Alii alios, inquit, successive, et suo quisque certo die, invitabant; sic enim Aquila interpretatus est. Atque id erat fraternæ benevolentiæ et concordiæ opus, ac paternæ institutionis argumentum. Summæ vero admirationis est, quod de maribus dixit: *Convenientes inter se*, id est, nullam ob rem de principe loco inter illos erat contentio: præcipuum vero unusquisque arbitrabatur, ad alterum properare. De feminis autem enuntiavit, quod, *una assumebant*; neque enim harum rerum curam ab iis requirebant, verum sodales eas tantum in convivium adhibebant, solique mares obeundo huic muneri intenti erant, feminæ vero præclare se gerentes fratribus indivulse aderant.

Vers. 5. « Et postquam consummati essent dies convivii, mittebat Job, et purificabat eos, exsurgens mane, et offerebat pro eis victimas, secundum numerum eorum, et vitulum unum pro peccato, pro animabus eorum. Dicebat enim Job: Ne forte filii mei in corde suo mala cogitarint erga Deum. Sic igitur faciebat Job omnibus diebus. »

Attende, quemadmodum vel ipso sacrificio animorum consensionem eos docebat, unicum vitulum pro omnibus, tanquam pro una anima offerens. Illud vero, *mittebat*, patris sollicitudinem indicat; non enim pro forma et ex consuetudine tantum hoc fiebat, sed ex insomni cura. *Mundabat* autem, aquis purgantibus adhibitis, quibus natura, homines, et ex lege, Judæi utuntur. Illud autem, *cum consummati essent dies convivii*, hoc ostendit, aut quod illud quotidie factitaret, ad exacti diei expiationem; aut post septem dierum anfractum, pro illorum salute semel in hebdomade hostiam offerret. Sacrificia quidem pro illorum salute offerebat, vitulum autem pro peccatis cogitationis et mentis: verebatur enim intelligentiæ perturbationem, quæ cœnas atque convivia comitari solet: et præteritis ac neglectis præceptis legis, gratiam intuens, actiones illorum soli Deo cognitas, sacrificiis expiare contendebat. Animadvertis exquisitum cultum evangelicum; eum enim sit in evangelicis jussis, neque mente fornicandum esse, neque temere irascendum, sanctus Jobus pro peccatis liberorum quæ mente tantum conceperant, Deum hostiis placabat.

Quapropter admiratione digni sunt filii, sed admiratione dignior horum pater et præceptor. Illorum enim nullum apertum peccatum apparebat, quare pro illis minime angebatur pater; hujus autem tanta in Deum liberosque suos charitas, ut illum placatum efficeret ac mitigaret; hos vero purgare studeret a peccatis, etiam quæ mente concipiuntur. Papæ! quanta erga Deum pietas, et quam incitatum

Digitized by Google

studium! *Sic*, inquit, *faciebat Job cunctis diebus.* Unde mentis ejus constans tenor, et nullis intervallis discretus, manifestatur: neque enim interdum quidem actiones virtutis suscipiebat, aliquando vero prætermittebat, sed justi vita universa Deo consecrabatur. Summa vero hæc laus est, et encomiorum omnium supremum, quod pietatis officia nullo tempore non exercuerit. Cessatio enim a rebus bonis, reditus est ad improbitatem. Atque hoc loco discimus, vitanda esse convivia, ut quæ peccati ansam præbeant: siquidem ubi expleta fuerint, indigent expiatione, tametsi ob fraternam benevolentiam amoremque mutuum, ea filii Jobi celebrarent. Illud recte omnino, *ne forté mala cogitaverint*, non quod ejusmodi essent filii Jobi, sed quod homines essent. Quare et illud magnum, de occultis etiam sollicitum esse, ac metuere: quod quidem justo huic accidit, ac propterea pro ipsis sacrificium faciebat, et a peccatis illos liberabat. Quis autem talem curam liberorum gerit? Non enim, quemadmodum multorum sermo est, Job loquebatur: Bona ac facultates iis relinquam, gloriam et principatum tradam, agros emam; sed quid? *Ne forte quid in corde suo cogitaverint.* Quæ enim utilitas ex iis omnibus quæ hic manent? Regem omnium propitium illis reddam, nec quidquam postea illis deerit.

A Οὕτω γὰρ ἐποίει ὁ Ἰώβ, φησὶ, πάσας τὰς ἡμέρας. Δι' οὗ δηλοῦται τὸ ἀδιάστατον τοῦ τόνου τοῦ ἁγίου· οὐ γὰρ ποτὲ μὲν τὴν ἀρετὴν ἐνήργει, ποτὲ δὲ οὔ, ἀλλ' ὅλος ὁ βίος τοῦ δικαίου Θεῷ προσανέκειτο. Ἀκρότατος δὲ καὶ οὗτος ἔπαινος, καὶ τελευταῖος ὅρος τῶν ἐγκωμίων, τὸ μηδαμῶς ἀναπαύεσθαι τὸν εὐσεβῶς πολιτευόμενον. Ἡ γὰρ ἀργία τῶν καλῶν ἐπάνοδος πρὸς κακίαν ἐστίν. Ἐκ τούτου μανθάνομεν, ὅτι φεύγειν δεῖ τὰ συμπόσια, ὡς ἁμαρτίας ποιητικά· ὅπουγε καὶ καθαρισμοῦ ἡμῖν δεῖ, μετὰ τὴν τούτων συμπλήρωσιν, εἰ καὶ τὰ μάλιστα οἱ τοῦ Ἰὼβ παῖδες δι' ὁμόνοιαν καὶ φιλαδελφίαν τοῦτο ἔπραττον. Εὖ δὲ τὸ, *μήποτε κακὰ ἐνενόησαν*, οὐχ ὅτι τοιοῦτοι ἦσαν οἱ παῖδες τοῦ Ἰὼβ, ἀλλ' ἐπειδὴ ἄνθρωποι. Μέγα ἄρα τὸ ὑπὲρ ἀδήλων φροντίζειν καὶ δεδοικέναι· ὅπερ οὖν B καὶ ὁ δίκαιος οὗτος ἔπασχε, καὶ διὰ τοῦτο ὑπὲρ τῶν παίδων ἐποίει θυσίας, καὶ ἀπήλλαττεν αὐτοὺς τῶν ἁμαρτημάτων. Οὕτω τίς προνοεῖται παίδων; Οὐκ εἶπε, καθάπερ οἱ πολλοὶ τῶν νῦν ἀνθρώπων, Καταλείπω αὐτοῖς ὑπάρχοντα, δῶ αὐτοῖς δόξαν, ἀρχὴν ὠνήσομαι, ἀγροὺς πριῶμαι· ἀλλὰ τί; *Μή τι ἐνενόησαν ἐν τῇ καρδίᾳ αὐτῶν.* Τί γὰρ ὄφελος, ἐκείνων πάντων ἐνταῦθα μενόντων; Τὸν βασιλέα πάντων ἵλεων ποιήσω, φησὶν, αὐτοῖς, καὶ οὐδὲν αὐτοῖς λείπει λοιπόν.

Vers. 7. « Et dixit Dominus diabolo: Unde venis? »

« Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν παραγέγονας; »

Angelos cum diabolo disceptando sermocinari, ex iis quæ apud Zachariam leguntur, perspicuum est, ubi angelus diabolo inquit: *Increpet te qui elegit Jerusalem* [6]; quinetiam in Epistolis catholicis dicitur: *Cum Michael contenderet de Mosis corpore cum diabolo, non est ausus judicium inferre blasphemiæ, sed dixit: Increpet te Dominus* [7]. Atque hoc loco etiam intelligere licet angelum quemdam, divino mandato obsequentem, cum diabolo collocutum esse: et quemadmodum principis cujuspiam satelles, cum responsa defert ad aliquem, principis illa responsa esse non dubitamus, ita angelorum voces, quæ Dei voluntate proferuntur, ipsius Dei esse creduntur. Deus igitur per sanctos angelos diabolum alloquitur, neque enim suo sermone eum dignatur; propter eum autem qui tentatur (Deo, scilicet, ex egregie factis justi hominis, voluptatem capiente, diabolo vero invidente, et tentandi ipsum veniam postulante), Scriptura figurata loquendi forma utitur. Illud autem: *Unde venis?* exprobrandi causa dicitur diabolo: propterea quod ordinem ministrantium spirituum deseruerit, sicut Adamo dictum est: *Ubi es* [8]? id est, e quibus, in quas res decidisti? Fortasse etiam verba illa: *Unde venis?* ad temerarium diabolo motum redarguendum valent, ac si diceret: Angeli, qui mihi obsequuntur, qui divina mea jussa capessunt, eadem cum perficiunt, vere mihi assistunt; voluntatis meæ exsecutionem

C Ὅτι θεῖοι ἄγγελοι προσδιαλέγονται τῷ διαβόλῳ, δηλοῦται μὲν καὶ ἐκ τῶν παρὰ τῷ Ζαχαρίᾳ, ἔνθα φησὶν ὁ ἄγγελος τῷ διαβόλῳ, *Ἐπιτιμήσαι σοι ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ*· εἴρηται δὲ καὶ ἐν καθολικαῖς, *Ὅτε ὁ Μιχαὴλ περὶ τοῦ Μωσέως διεμάχετο σώματος, ὅτι οὐκ ἐτόλμησεν ὁ ἅγιος Μιχαὴλ κρίσιν βλασφημίας ἐπενεγκεῖν κατὰ τοῦ διαβόλου, ἔφη δὲ μόνον, Ἐπιτιμήσαι σοι ὁ Κύριος.* Κἀνταῦθα τοίνυν ἔστιν ἐννοεῖν, ὡς τῷ δεσποτικῷ προστάγματι ὁ ἅγιός τις ἄγγελος ὑπηρετούμενος, τὴν διάλεξιν ποιεῖται πρὸς τὸν διάβολον· καὶ ὥσπερ εἴτις δορυφόρος ἄρχοντος ἀπόκρισιν ἐκ τοῦ κρατοῦντος φέρει πρός τινα, τοῦ ἄρχοντος εἶναι τὴν ἀπόκρισιν οἰόμεθα, οὕτω καὶ τῶν ἁγίων ἀγγέλων αἱ φωναὶ κατὰ γνώμην Θεοῦ προσφερόμεναι [1-6], αὐτοῦ εἶναι πιστεύονται τοῦ Θεοῦ. Διαλέγεται τοίνυν ὁ Θεὸς τῷ D διαβόλῳ διὰ τῶν ἁγίων ἀγγέλων, οὐκ ἀξιῶν αὐτὸν λόγου, ἀλλὰ διά γε τὸν πειραζόμενον (τοῦτό ἐστι, τοῦ Θεοῦ τοῖς τοῦ δικαίου κατορθώμασιν ἡδομένου, τοῦ δὲ διαβόλου διαφθονουμένου, καὶ ζητοῦντος λαβεῖν τὴν κατ' αὐτοῦ τῶν πειρασμῶν συγχώρησιν) ἡ Γραφὴ κατὰ σχηματισμὸν τὸν λόγον προήγαγε. Τὸ δὲ, *Πόθεν παραγέγονας;* ὀνειδιστικῶς πρὸς τὸν διάβολον λέγεται, διὰ τὸ ἐκπεπτωκέναι τῆς τῶν λειτουργικῶν πνευμάτων τάξεως· ὡς καὶ τῷ Ἀδὰμ τὸ, *Ποῦ εἶ;* ἀντὶ τοῦ, ἐκ ποίων, εἰς οἷα καταπέπτωκας; Τάχα δὲ καὶ ἐλεγκτικόν ἐστι τῆς ματαίας τοῦ διαβόλου κινήσεως τὸ, *Πόθεν παραγέγονας;* Οἱ μὲν γὰρ

[6] Zach. III, 2. [7] Judæ 9. [8] Gen. III, 9.

VARIÆ LECTIONES.

[1-6] *Isc.* προφερόμεναι.

Digitized by Google

ἄγγελοι, φησὶν, ὑπηρεσίας θείας πρὸς ἐμοῦ ποιεῖν προστεταγμένοι, ταύτας ἐκτελοῦντες, παρεστήκασί μοι, αὐτὸ τοῦτο ἀντὶ παραστάσεως ἐνεργοῦντες, τὴν τῶν ἐμῶν θελημάτων ἐκπλήρωσιν· οὐ γὰρ τοπικὴ ἡ τούτων παράστασις. Σὺ δὲ πόθεν; οὐ γὰρ ὑπάρχεις λειτουργὸς ἐμός.

pro assistentia adimplentes; neque enim eorum assistendi ratio, localis censenda est. Tu vero unde? neque enim meus es administer.

« Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Προσέσχες τῇ διανοίᾳ σου, κατὰ τοῦ θεράποντός μου Ἰώβ; »

Vers. 8. « Et dixit ei Dominus : Attendisti cogitatione tua super servum meum Job? »

Ἐμφατικῶς δὲ εἴρηται τὸ, *τῇ διανοίᾳ σου*, τῇ διεστραμμένῃ, δηλαδὴ, τῇ κακοστέχνῳ, ᾗ ἀεὶ προσέχεις εἰς τὸ παρατρέψαι τῶν ἀνθρώπων τὴν εὐθύτητα. Τὸ δὲ, *προσέσχες*, λέγεται μὲν καὶ ἐρωτηματικῶς· δύναται δὲ καὶ ἀποφαντικῶς νοεῖσθαι, ἀντὶ τοῦ, οἶδα ὅτι προσέσχες· διαφθονεῖς γὰρ αὐτῷ διὰ τὰς προσούσας αὐτῷ ἀρετάς. Πολλοῖς δὲ ἐγκωμίοις ὁ Θεὸς βάλλει τὸν δίκαιον, πρὸς τὴν κατὰ τοῦ ἀθλητοῦ πάλην τὸν ἀνταγωνιστὴν ἐκκαλούμενος, καί φησιν· *Ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς*, ἀντὶ τοῦ, τῶν κατὰ τοὺς αὐτοὺς χρόνους, κατὰ τὸ ἐν τῇ Γενέσει περὶ Νῶε λεχθὲν, ὅτι *Ἦν δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ*.

Enphasin autem habet illud : *cogitatione tua*, nimirum perversa, pravisque artibus imbuta, qua ad rectas hominum mentes pervertendas semper abuteris. Illud vero, *attendisti*, non magis cum interrogatione quam cum affirmatione intelligi potest, ac si diceret : Scio videlicet te animum advertisse; nam ob virtutes quæ ei insunt, ei invides. Crebris vero laudibus justum effert, ut ad incundum cum athleta certamen lacessat adversarium, dicitque, *Quod non est juxta eum, aliquis eorum qui sunt super terram*, id est, nemo eadem ætate, iisdem temporibus, quemadmodum in Genesi de Noe dictum est, quia *Justus erat in generatione sua* [a].

« Ἀπεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον Κυρίου. »

Vers. 9. « Respondit autem diabolus, et dixit coram Domino. »

Τοῦτο εἰς τὸ ἀναιδὲς τοῦ διαβόλου λαμβάνεται· τὸ γὰρ, *ἐναντίον τοῦ Κυρίου*, εἶπεν, ἵνα δείξῃ τὴν ἀναιδῆ γνώμην, τὴν ἀντιπράττειν ἀεὶ τοῖς τῷ Θεῷ δοκοῦσι σπουδάζουσαν· ὁ μὲν γὰρ Θεὸς ἐμαρτύρει τῷ δικαίῳ, ὁ δὲ συκοφαντεῖ αὐτὸν, ὡς οὐ κατ' ἀρετὴν, ἀλλὰ κατ' ἐμπορίαν, εὐσεβοῦντα· καί φησι, *Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Κύριον;* Οὕτως διαβόλου τὰ ῥήματα· Οὐκ ἀρετὴν, φησὶν, ἀλλ' ἀντιμισθίαν τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀπονέμει σοι τὸ σέβας· μισθωτός ἐστιν, οὐκ ἀληθινός. Ἐκεῖνος δωρεὰν σέβεται, ὁ μήτε διὰ κολάσεις, μήτε δι' ἐπαγγελίας δουλεύων Θεῷ. Ὅρα δὲ πονηρίαν· ἐπειδὴ τῶν εἰρημένων ἐπιλαβέσθαι οὐκ εἶχε, τὴν γνώμην διαβάλλει, καὶ οὐκ ἐπιλαμβάνεται τῶν φανερῶν, ἀλλὰ τῶν ἀφανῶν.

These diaboli impudentiam pervellunt : illud enim, *coram Domino dixit*, mentis illius impudentiam, iis quæ probantur Deo usque adversantis, prorsus ostendit. Deus enim justo virtutis testimonium dabat : hic contra criminatur, quod non ex virtute, sed nundinatione, pietatem præ se ferret : *An gratis*, inquit, *Job colit Deum?* Verba profecto diaboli, non virtutem, inquit, tibi reddit, cum te pietate colit, verum acceptorum beneficiorum mercedem persolvit. Mercenarius est, non verus. Ille gratuito erga Deum pius est, qui nec ob supplicia, nec ob promissa illi servit. Animadverte etiam improbitatem, cum ea quæ dicta erant, remordere non posset, animi sententiam calumniatur, et omissis eis quæ aperta et manifesta erant, occulta corripit.

« Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔξω, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; »

Vers. 10. « Nonne tu munisti ea quæ extra ipsum, et quæ intra domum ejus, et quæ extra ex omnibus quæ sunt in circuitu ejus? »

Τῶν ἀμοιβῶν ἤδη, φησὶ, τυγχάνει, πάντα τὰ αὐτοῦ ἀβλαβῆ διαφυλάττεις, εἰρήνης ἀπολαύει βαθείας, οὐκ ἐμφύλιος, οὐκ ἐξωτικὸς αὐτὸν ἐλυμήνατο πόλεμος, ἔχει μισθὸν τὴν τῶν παρόντων εὐπραγίαν, ἔχει τὴν θεραπείαν τοῦ πλούτου, καὶ αὐτόθεν ὑποκρίνεται τὴν εὐσέβειαν· πανταχόθεν αὐτῷ τὴν ἀπάθειαν πραγματεύῃ, καθάπερ τινὰ περίβολον ὀχυρὸν [b] περιῤῥάττων, καὶ κινδύνων ἐλευθερῶν. Ὅρα δὲ, πῶς δείκνυσιν ὁ διάβολος, ὡς πολλάκις ἐπεχείρησε λυμήνασθαι τὸν Ἰώβ· *Οὐ σὺ γὰρ*, φησὶ, *περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω*; Ἵνα εἴπῃ, τὰ κατ' ἀγροὺς καὶ τῶν βοσκημάτων τὴν περιουσίαν. Πόθεν δὲ οἶδας ὅτι πέφραται, ὦ πονηρέ; Δῆλον ὅτι πολλάκις βουλόμενος ταῦτα ποιῆσαι, ἃ ὕστερον λαβὼν ἐξουσίαν πεποίηκας, ἔγνως ἐκ τοῦ κεκωλύσθαι, ὅτι πάντα περιπεφραγμένα ἦν, καὶ διὰ τοῦτο λέγεις,

Jam, inquit, retributionis mercedem assecutus est : quæcunque ille habet, omnia ab injuria defendis, alta pace fruitur, bella nec domestica, nec externa sunt illi infesta, præsentem fortunarum felicitatem pro præmio reportat, cultus ei nequaquam deest divitiarum, atque hinc suam simulatam ostentat religionem : tanquam vallo firmissimo eum muniens, et a periculis liberans, securitatem illi ex omni parte, et indemnitatem præstare serio studes. Vide, ut diabolus ostendat se sæpius conatum fuisse Jobum perdere : *Nonne tu*, inquit, *munisti quæ externa, et quæ interna sunt ejus?* Quasi diceret, agrorum proventus, et armentorum copiam. Sed tamen, o sceleste, unde nosti Jobum septum esse atque munitum, nisi quia sæpius te id faciendi libido incessit? quod, postea potestatem nactus, fa-

[a] Gen. VI, 9.

VARIÆ LECTIONES.

[b] Ισ. τιλ περιβόλῳ ὀχυρῷ.

Digitized by Google

cere non dubitasti : mirum tunc res illius omnes A vallatas esse intelligebas, cum prohibebaris, ideoque dicis : *Et omnia quæ sunt illi in circuitu munisti.* testas non conceditur.

Vers. 11. « Sed mitte manum tuam, et tange omnia quæ habet, si non in faciem tibi benedixerit. »

Scriptura autem pro, *blasphemabit*, honesto usa vocabulo, dixit, *benedicet ;* sicut et in Regnorum libris de Nabutho scriptum est,[1] *Benedixit Deum et regem.*

Vers. 12. « Tunc dixit Dominus diabolo : Ecce omnia quæcunque sunt ei, do in manum tuam, sed cum ne tetigeris. »

Olympiodori et Polychronii. Cum futuri ignarus sit diabolus, neque in hominum corda insinuare sese penitus possit, frustra sibi justi cladem pollicetur ; quandoquidem dicat : Si Deus mihi potestatem in ejus facultates concesserit, et rerum copia ac gloria B qua fruitur spoliare permiserit, ut blasphema verba proferat, facile incitabo. Deus autem, qui futura longe ante novit, de athletæ sui victoria non dubitavit, unde et diabolo, pro sua libidine contra justum facere veniam concessit, modo corpori parceret, nec injuriam ullam ei inferret.

Ac vide, nec dicente scelesto : Veniam mihi concede, magnus agonotheta, cui sui erat virtus athletæ perspecta, eidem adversario cum condonat, ut illo ipso, utcunque collibitum fuerit, utatur. Sed quoniam humani generis hostis furorem nunquam expleri posse intelligebat, ejus libidinem infinitam certis finibus circumscribit : rebus, inquit, illius tua voluntate et arbitratu utere, ipsum vero ne attigeris. C

Attende ejus, qui certamini præest, sapientiam. Nam primum in externis, et in quibus minus erat periculi, athletam ipsum exerceri sinit ; sed ubi victorem eum declaravit, tunc adversus corpus certamen proponit : interea tamen calamitatem juxta vires metitur, eumque bono animo esse jubet ; quæ autem illius sunt, adversario tradit. Quid enim mali hinc capiat vir ad veram philosophiam institutus, qui nullum iis deferre solet honorem, quæ corruptioni et risui obnoxia sunt ?

« Et egressus est diabolus a Domino. »

Quanquam locus est nullus a divina potestate et imperio seclusus, sic tamen Scriptura loquitur, ut ostendat diabolum, concessa semel venia sine cunctatione opus aggredi : et quod intra id quod bonum D est, malum neque reperiatur, neque committi possit ; quæ enim mala sunt, extra bonum sunt. Ergo, meo quidem judicio, illud, *Egressus est a Domino*, pro eo est, impetrata ab illo venia, ad illa quæ sibi permissa sunt agenda, aggressus est.

Vers. 13. « Et erat sicut dies hæc. »

Pro illo est, dies advenit, qua theatrum apertum est, ac certamen initum, atque ad luctationem athleta descendit. Illud quoque considera, quemad-

[1] III Reg. xx, 13.

ὅτι *Σὺ περιέφραξας τὰ αὐτοῦ κύκλῳ.* Πάντα γὰρ, ἐφ' ὅσον οὐ δίδοται τῷ διαβόλῳ, Θεὸς περιφράττει.

« Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει, εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. »

Εὐφήμως δὲ ἡ Γραφὴ τὸ, *εὐλογήσει*, ἀντὶ τοῦ, *βλασφημήσει*, χρῆται· ὥσπερ καὶ ἐν ταῖς Βασιλείαις γέγραπται περὶ τοῦ Ναβουθαὶ, *Εὐλόγησε Θεὸν καὶ βασιλέα.*

« Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ πάντα ὅσα ἔχει, δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. »

Ὀλυμπιοδώρου καὶ Πολυχρονίου. Ὁ μὲν διάβολος οὐκ εἰδὼς τὸ μέλλον, οὐδὲ ἐμβατεύων καρδίαις, μάτην ἐπαγγέλλεται τὴν ἧτταν τοῦ δικαίου· εἴπερ γάρ φησιν, Εἰ συνεχώρησέ μοι ὁ Θεὸς ἅψασθαι τῶν αὐτῷ προσόντων, καὶ γυμνῶσαι τῆς προσούσης περιουσίας τε καὶ δόξης, παρεσκευάσα ἂν αὐτὸν βλάσφημα ῥήματα φθέγξασθαι. Ὁ δὲ Θεὸς ἱ προγνώστης ὤν, οἶδεν ὡς νικήσει ὁ ἀθλητής· ὅθεν καὶ συνεχώρησε τῷ διαβόλῳ τὰ κατὰ γνώμην πρᾶξαι περὶ τὸν δίκαιον, μόνον εἴρξας αὐτὸν τῆς κατὰ τοῦ σώματος βλάβης.

Ὅρα δὲ, ὅτι τοῦ πονηροῦ μὴ εἰρηκότος, Ἐπίτρεψόν μοι, ὁ μέγας ἀγωνοθέτης τὴν ἀνδρείαν ἐπιστάμενος τοῦ οἰκείου ἀθλητοῦ, αὐτῷ τῷ ἀντιπάλῳ δίδωσιν αὐτὸν ἔκδοτον, χρῆσθαι ὡς βούλεται. Εἰδὼς δὲ τοῦ μισανθρώπου τὸν ἀκόρεστον θυμὸν, μέτρῳ περιορίζει τὸ ἀόριστον αὐτοῦ τῆς ἐπιθυμίας· Τοῖς μὲν γὰρ αὐτοῦ, φησὶν, ὡς βούλει κέχρησο, αὐτοῦ δὲ μὴ ἅψῃ.

Ὅρα δὲ σοφίαν ἀγωνοθέτου. Πρῶτον ἑαυτὸν ἀθλητὴν ἐν τοῖς ἔξωθεν καὶ ἀκινδυνωτέροις διαγυμνασθῆναι, εἶτα νικηφόρον ἀναδείξας, τότε προτίθησι καὶ τὸν περὶ τὰς σάρκας ἀγῶνα· τέως γοῦν μετρεῖ τὴν συμφορὰν, καὶ μένειν μὲν αὐτὸν ἀσφαλῶς κελεύει, τὰ δὲ περὶ αὐτὸν ἐκδίδωσι· τί γὰρ ἂν ἐντεῦθεν πάθοι φιλόσοφος ἀνὴρ, ὁ μὴ τιμᾷν ἐγνωκὼς τὰ φθορᾶς καὶ γέλωτος ὑπεύθυνα;

« Καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ Κυρίου. »

Καίτοιγε οὐκ ἔστι τόπος ἔξω τῆς τοῦ Θεοῦ δεσποτείας, ἀλλ' οὕτως εἶπεν, ἵνα δείξῃ ὅτι τὴν ἐπιτροπὴν λαβὼν διὰ τῆς συγχωρήσεως, εἶχετο λοιπὸν τοῦ ἔργου, καὶ ὅτι ἐντὸς τοῦ ἀγαθοῦ, φαῦλον οὐδὲν, οὔτε εἶναι, οὔτε πράττεσθαι, δύναται· ἔξω γάρ εἰσι τοῦ ἀγαθοῦ τὰ φαῦλα. Κατὰ μὲν οὖν τὸν ἐμὸν λόγον τὸ, *Ἐξῆλθε παρὰ Κυρίου*, ἀντὶ τοῦ, παρ' αὐτοῦ λαβὼν τὸ ἐνδόσιμον, ἀπῆλθε λοιπὸν ἐνεργήσων ὅσα συνεχωρήθη.

« Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη.

Ἀντὶ τοῦ, ἦκέ τις ἡμέρα, ἐν ᾗ τὸ θέατρον ἠνοίχθη, καὶ ὁ ἀγὼν συνεκροτήθη, καὶ ὁ ἀθλητὴς κατέβη πρὸς τὰ παλαίσματα· καὶ ὅρα ὡς ἐν ἡμέρᾳ μιᾷ

VARIÆ LECTIONES.

ἱ Ἰσ. τοῦ μέλλοντος. ἱ Ἰσ. ἐᾷ τόν.

Digitized by Google

πάντα ὁ διάβολος ἐπήγαγε τὰ δεινά, εἰς ἔκπληξιν αὐτὸν, ἢ ἀγανάκτησιν καὶ βλασφημίαν κινῆσαι βουλόμενος· τοῦτο γὰρ δὲ καὶ ὑποσχόμενος ἐτύγχανε, φήσας· *Εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.*

« Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰώβ, καὶ εἶπεν αὐτῷ· Τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἑβόσκοντο ἐχόμεναι αὐτῶν, καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις, σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. »

Ἠδύνατο μὲν ὁ διάβολος ἐξουσίαν παρὰ τοῦ Θεοῦ λαβὼν, καὶ πολεμίων διερεθίσαι ψυχὰς, καὶ πῦρ αἰθέριον κατάγειν, καὶ μόνους ἀγγέλους σώζειν τῶν συμφορῶν, καὶ πνεῦμα συγκινεῖν εἰς τὴν τῆς οἰκίας κατάπτωσιν, τῇ ἀγγελικῇ δυνάμει χρώμενος, ᾗ ἐξ ἀρχῆς εἴληφε παρὰ τοῦ Δημιουργοῦ. Ἠδύνατο δὲ, ὡς ἔφην, παρὰ Θεοῦ συγχωρούμενος· δύναται[k] δὲ καὶ σχηματίζεσθαι, καὶ τοὺς οἰκείους δορυφόρους δαίμονας διασκευάζειν, ὡς πολεμίους φαίνεσθαι, καὶ ὡς ἀνθρώπους ἀπαγγέλλοντας τὰς συμφοράς· καὶ πυρὸς ὑπόληψιν ποιεῖν ἐξ οὐρανοῦ κατερχομένου, καὶ πνοῆς ἀνέμου βιαίας φερομένης κατὰ τῆς οἰκίας· ὅπουγε καὶ *εἰς ἄγγελον φωτὸς μετασχηματίζεται*, τοιαύτην τινὰ φύσεως ἐξουσίαν παρὰ τοῦ Δημιουργοῦ λαχών. Εἴτε οὖν οὕτως, εἴτε ἐκείνως ἠγωνίσατο, πλὴν ὅτι πικρῶς, καὶ ἐντέχνως, καὶ κακοήθως ἐχρήσατο τοῖς παλαίσμασιν[l]· ὅρα γὰρ ἀγγελίαν διαβολικὴν κακοτέχνως, καὶ κατὰ αὔξησιν προερχομένην, ἐφ' ᾧ τὴν ἀσειστον τοῦ δικαίου κατασεῖσαι ψυχήν· οὐκ εἶπεν ἁπλῶς, *τὰ ζεύγη τῶν βοῶν*, ἀλλὰ καὶ *ἠροτρία*, ἀντὶ τοῦ, πόρον τῶν ἐκ τῆς γῆς προσόδων εἰργάζοντο· οὐδὲ ἁπλῶς εἶπεν, *αἱ ὄνοι*, ἀλλὰ *αἱ θήλειαι*, ἐξ ὧν ἡ ἐπιγονὴ καὶ ἡ αὔξησις· εἶτα, εἰρηκὼς τὴν ἀφαίρεσιν τῶν ἀλόγων, τότε εἰς αὔξησιν τοῦ πάθους, προστίθησι καὶ τῶν οἰκετῶν τὴν ἀναίρεσιν, τῶν ἐπὶ τοῖς κτήνεσι τεταγμένων.

Σέσωσται γὰρ μόνος ὁ ἀπαγγείλας ταῦτα, οὐ φιλανθρωπίᾳ τοῦ πολεμίου, ἀλλ' ἵνα μηνυτὴς τῶν σκυθρωπῶν γένηται· ἴσως δὲ οὐκ ἄνθρωπος ἦν ὁ ἀπαγγέλλων, ἀλλ' αὐτὸς ὁ δαίμων εἰς τοὺς ἀγγέλους ἐσχημάτιζετο.

« Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰώβ· Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως, καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. »

Ἐπειδὴ πρὸς τὴν πρώτην ἀκοὴν ὁ δίκαιος οὐκ ἐταράχθη, ἀλλὰ γενναίᾳ ψυχῇ τὴν ἀγγελίαν ἤνεγκε, καὶ τὴν πεῖραν τοῦ δυσμενοῦς ἀπεκρούσατο, εὐθὺς ἕτερος τοῦ διαβόλου δορυφόρος ἐπέστη, οὐκ ἔτι μὲν αὐτὸν ἐξ ἀνθρώπων πολεμεῖσθαι λέγων, οὐρανόθεν δὲ κεραυνῷ βληθῆναι τὰ πρόβατα καὶ τοὺς ποιμένας, καὶ τὸν Θεὸν αὐτῷ παραδηλῶν πολέμιον γεγονέναι, τὸν ὑπ' αὐτοῦ σεβόμενον.

« Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος,

modum uno die malorum iliadem diabolus intulerit, ut eum ad amentiam, ad indignationem, et ad congerenda in Deum maledicta incitaret. Id enim sibi pollicebatur, cum diceret : *Si non in faciem te benedixerit.*

Vers. 14, 15. « Et ecce nuntius venit ad Jobum, et dixit ei : Juga boum arabant, et asinæ feminæ pascebantur conjunctæ eis, et venientes captivantes captivarunt eas, et pueros interfecerunt in gladiis : salvatus autem ego solus, veni ut annuntiarem tibi. »

Potuit quidem diabolus, a Deo potestate accepta, et inimicorum animos irritare, et ignem e cœlo deducere, ac calamitatum solos nuntios servare, et ventum, angelicis viribus utens, quas a primo ortu a Deo acceperat, ad disturbandas ædes impellere; potuit autem, ut dictum est, venia a Deo prius concessa. Potuit etiam novas formas induere, et dæmonas satellites suos, falsa quadam effigie conformare, ut hostes apparerent, et quasi homines, calamitatum nuntii essent; potuit etiam, ignis e cœlo ruentis, et venti violenti domum evertentis, opinionem concitare; cum *in angelum lucis transfiguretur* [10], talemque naturæ potestatem ab Opifice sortitus sit. Sive igitur hac, sive illa ratione pugnaverit, manifestum tamen est quod acerbe, astute et maligne luctationibus usus fuerit : considera enim quo improbo artificio diaboli nuntius processerit, et progrediendo incrementum ceperit, ut Jobi animum inconcussum labefactaret; non enim simpliciter dixit, *Juga boum*, sed addit, *arabant*, id est, quæstum ex iis quæ terra reddit, faciebant : neque simpliciter dixit, *asinæ*, sed, *asinæ feminæ*, e quibus fetus et propagatio. Ad hæc, jumentorum amissione exposita, servorum, qui armentis præpositi erant, cædem adjicit, ut doloris acerbitatem augeat.

Non humanitate adversarii servatus est solus qui hæc nuntiaret, sed ut tristium rerum duntaxat nuntius exsisteret : fortasse etiam, non homo aliquis erat qui nuntium perferebat, sed ipse dæmon nuntiorum personam ac formam induebat.

Vers. 16. « Adhuc isto loquente, venit alius nuntius, et dixit ad Jobum : Ignis cecidit de cœlo, et combussit oves, et pastores devoravit similiter, et salvatus ego solus, veni ut annuntiarem tibi. »

Ubi primo audito nuntio, non solum justi animus consternatus non est, verum animo forti tulit, atque imminentis adversarii impetum propulsavit; confestim alius quidam diaboli satelles supervenit, non amplius sibi ab hominibus bellum inferri dicens, verum oves ac pastores cœlitus fulmine tactos esse, Deumque ipsum, quem venerabatur, hostem sibi factum esse subindicans.

Vers. 17. « Adhuc isto loquente, venit alius

[10] II Cor. II, 14.

VARIÆ LECTIONES.

[k] *Isc.* ἠδύνατο. [l] *Isc.* φανερόν ἐστιν.

Digitized by Google

nuntius, et dixit ad Jobum : Equites fecerunt nobis tria capita, et circumdederunt camelos, et captivarunt eos, et pueros occiderunt in gladiis : salvatus autem sum ego solus, et veni ut annuntiarem tibi. »

Rursus belli mentio per nuntium fit, ut Jobus animum desponderet, quasi a Deo et hominibus bello lacessitus. Illud autem, *capita tria*, id est, triplici adversarii instructa acie, tribusque ducibus creatis, irruptionem fecerunt : sic enim Aquila exposuit : *Chaldæi disposuerunt contra nos tres præfecturas.* Addit vero narrationi, solum calamitatis nuntium fuisse servatum; nec de interfectis silet hominibus, quorum nece viri probi magnopere mœrent.

VERS. 18. « Adhuc isto loquente, alius nuntius venit, dicens Jobo : Filiis tuis et filiabus tuis comedentibus et bibentibus apud fratrem suum seniorem [VERS. 19], subito spiritus vehemens irruit e deserto, et tetigit quatuor angulos domus, et cecidit domus super liberos tuos, et mortui sunt; salvatus autem sum ego solus, et veni ut annuntiarem tibi. »

Hic etiam diaboli atrocitatem cognosce, et callidum narrationis artificium diligenter observa, quomodo nominatim prolis mentionem facit, propemodum ipsi naturæ justi vulnus infligens. Neque enim dixit : Supra omnes qui intus erant, cecidit (quamvis omnibus sepulcrum unum domus effecta sit, omnesque ruina sua interemerit, ex quorum numero solus ego servatus sum), sed magis proprie, naturam ei in memoriam revocans, ac letales plagas incutiens, dixit : *Cecidit super liberos tuos.* Convivium vero exornat, cum illius structorem fratrem natu majorem fuisse confirmat; porro liberos hilares ac ludibundos fuisse, ventum autem magnum e deserta regione repente commotum esse, ac alias quidem domus non attigisse, solam eam ubi epulabantur filii, eversam esse.

Rursus a Deo immissam calamitatem comminiscitur : cum enim adversariorum incursionem duplicem, et a Deo duplicem item finxisset, ignis ac venti, postremo liberorum cladem, nuntiis solis superstitibus, subjungit, ut inopinato nuntio, ad consilii inopiam, animique perturbationem, et blasphemiam contra Deum, justum impelleret.

VERS. 20. « Cum sic audisset Jobus, surgens, discidit vestes suas, et totondit comam capitis sui. »

Probabile est, ob superiores narrationes cogitabundum eum, rerum eventus admiratum fuisse. Ubi vero de tantæ ac tam speciosæ sobolis subito audivit interitu, ne doloris, communisve sensus expers videretur, quod debetur, naturæ largitur; vestemque discindit, ac comam, ad speciem luctus, tondet. Neque enim victoria quis idcirco potitur, quia non patitur; sed ideo quia, cum patitur, animo perfert invicto.

A καὶ εἶπε πρὸς Ἰώβ· Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ἠχμαλώτευσαν αὐτάς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. »

Ἡ πάλιν κάτωθεν ἀγγελία τοῦ πολέμου, ὡς ἂν ἀπείπῃ, καὶ ὑπὸ Θεοῦ, καὶ ὑπὸ ἀνθρώπων πολεμούμενος. Τὸ δὲ, *κεφαλὰς τρεῖς*, ἀντὶ τοῦ, διέταξαν ἑαυτοὺς οἱ πολέμιοι εἰς ἀρχὰς καὶ τάγματα τρία. Οὕτω γὰρ Ἀκύλας ἐκδέδωκεν· *Οἱ Χαλδαῖοι ἔθηκαν καθ' ἡμῶν τρεῖς ἀρχάς.* Σώζεσθαι δὲ πάλιν μόνον φησὶ τῶν συμφορῶν ἀγγελιαφόρον· προσέθηκε δὲ καὶ τῶν ἀνθρώπων τὴν ἀναίρεσιν, ἐφ' ᾗ μάλιστα ἀλγοῦσιν οἱ δίκαιοι.

B « Ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται, λέγων τῷ Ἰώβ· Τῶν υἱῶν σου, καὶ τῶν θυγατέρων σου, ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν, ἐσώθην δὲ ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. »

Θεώρει δὲ κάνταῦθα τοῦ διαβόλου τὴν πικρίαν, καὶ ἐπισήμηναι τὸ ἐπιτηδευμένον τῆς ἀγγελίας, πῶς ὀνομαστὶ τῆς γονῆς μέμνηται, μονονουχὶ τὴν φύσιν αὐτὴν τοῦ δικαίου πλήττων. Οὐ γὰρ εἶπεν· Ἔπεσεν ἐπὶ πάντας τοὺς ἔνδον, καίτοιγε πᾶσιν εἰς ἐγένετο τάφος ἡ οἰκία, καὶ πάντας ἀπέκτεινεν, ἐξ ὧν αὐτὸς, C φησὶν, ἐσώθην δὲ ἐγὼ μόνος· ἀλλ' ἰδικῶς φησιν *Ἔπεσεν ἐπὶ τὰ παιδία σου*, τῆς φύσεως ἀναμιμνήσκων, καὶ καιρίας αὐτῷ διδοὺς τὰς πληγάς. Σεμνύνει καὶ τὸ συμπόσιον, παρὰ μὲν τῷ ἀδελφῷ πρεσβυτέρῳ λέγων γίνεσθαι, αὐτοὺς δὲ κατευφραίνεσθαι, καὶ ἐξαίφνης ἐξελθεῖν ἄνεμον μέγαν ἐκ τῆς ἐρήμου, καὶ ὅλης μὲν οἰκίας μὴ ἅψασθαι, μόνον δὲ ἐκείνην, ἔνθα οἱ παῖδες εὐωχοῦντο, κατασεῖσαι.

Πάλιν δὲ θεήλατον ἔπλασε τὴν συμφοράν· δύο μὲν πολεμίων σχηματίσας ἐφόδους· δύο δὲ ἐκ Θεοῦ, τήν τε τοῦ πυρὸς, καὶ τοῦ ἀνέμου, τελευταίαν δὲ τὴν τῶν παίδων ἀναίρεσιν ἐπαγαγὼν[m], μόνων σωζομένων ἀγγέλων, τὸ παράδοξον[n], εἰς ἀμηχανίαν, καὶ σύγ- D χυσιν, καὶ τὴν κατὰ Θεοῦ βλασφημίαν ὑπερεθίζων τὸν δίκαιον.

« Οὕτως ἀκούσας Ἰώβ, ἀναστὰς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ. »

Ἐπὶ μὲν ταῖς προτέραις ἀγγελίαις σύννους ἦν, ὡς εἰκὸς, καὶ ἐθαύμαζε τὰ γινόμενα. Ὡς δὲ τὴν τῶν πολλῶν καὶ ὡραίων παίδων ἀθρόαν ἤκουσε τελευτὴν, ἵνα μή τις ἀνάλγητος εἶναι δόξῃ, καὶ ἀσυμπαθὴς, ἀποδίδωσι τῇ φύσει τὸ χρεὼς, καὶ διαῤῥήσσει μὲν τὴν ἐσθῆτα, κείρεται δὲ τὴν κόμην πενθικῶς. Οὐ γὰρ ἐν τῷ μὴ πάσχειν ἡ νίκη, ἀλλ' ἐν τῷ πάσχοντι καρτερεῖν.

VARIÆ LECTIONES.

[m] *Isc.* ἐπάγει. [n] *Isc.* τῷ παραδόξῳ. [o] πάσχειν τό.

Digitized by Google

Εἰ δὲ περιερρήξατο τὸν χιτῶνα, καὶ περιέτιλε τὴν κόμην, οὐκ ἀφιλόσοφον τὸ συμπαθές· καὶ τοῦτο δείκνυσι μὲν Παῦλος, λέγων ἐν ταῖς Πράξεσι· *Τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν;* Δείκνυσι δὲ καὶ Δαβὶδ, οὐ τῶν παίδων τὸν πειθήνιον, ἀλλὰ τὸν πολεμιώτατον ὀλοφυρόμενος, καὶ μετὰ πικρῶν οἰμωγῶν ἀναστένων, καὶ λέγων· *Υἱέ μου Ἀβεσσαλὼμ, υἱέ μου!* Δακρύει δὲ καὶ αὐτὸς ὁ Θεὸς ἡμῶν καὶ Σωτὴρ συμπαθῶς, εἴτε διὰ τὸν Λάζαρον, εἴτε διὰ τὴν τῶν Ἰουδαίων ἀπώλειαν, ὃ δὴ καὶ ἀληθέστερον εἰπεῖν. Καὶ Ἰὼβ τοίνυν, ἵνα μὴ δόξῃ ἀσυμπαθής τις εἶναι, ὃ δὴ καὶ φύσει καὶ ἀρετῇ ἀνοίκειον, πάσχει τὰ τῆς φύσεως, καὶ ἀλγήσας, κείρεται τὴν κόμην. Οἷς μὲν γὰρ τὸ κομᾶν πρὸς κόσμον νενόμιστο, οὗτοι ἐπὶ τοῖς πένθεσιν ἐκείροντο· οἷς δὲ τὸ κείρεσθαι εὐπρεπὲς ἐδόκει, οὗτοι ἐπὶ τοῖς πένθεσιν ἐκόμων, τοῦ τῶν τριχῶν ἀνεχόμενοι βάρους· περιῤῥήγνυσι δὲ καὶ τὴν ἐσθῆτα, ὅπερ καὶ αὐτὸ πένθους ἦν τοῖς ἀρχαίοις σύμβολον. Εἴποι δ' ἂν τις, γλαφυρώτερον ἐξηγούμενος, ὅτι καὶ αὐτὴν τῷ διαβόλῳ τὴν ἐσθῆτα προσέῤῥιψεν, οἷά τις ἀθλητὴς εἰς πάλην ἀποδυόμενος, ὡς ἂν γυμνὸς γενόμενος, τὰ πολυύμνητα φθέγξηται ῥήματα.

Quod si tunicam dilaceravit, cæsariemque circumcidit, non propterea affectum, philosopho alienum, ostendit : nam eumdem ipsum Paulus, his verbis, in Actis, præ se tulit : *Quid facitis flentes, et afflingentes cor meum*[15] ? Eumdem David ostendit, cum non morigerum aliquem ex liberis, sed eum qui illi armis fuit infestissimus, deploraret, luctuque ac mœrore acerbo ingemiscens, diceret : *Fili mi Absalon, fili mi*[16] ! Lacrymas etiam cum commiseratione fudit Deus et Salvator noster, sive causa Lazari[17], sive (ut verius dicam) propter Judæorum exitium. Ergo Jobus queque, ne communem sensum exuisse videretur (quod a natura atque virtute alienum est), quod naturale fuit, passus est, ac mœrens comam radit. Nam quibus comam nutrire ornamento erat, illi luctus tempore radebantur : contra, quibus tonderi decorum ducebatur, ii, cum in squalore luctuque jacerent, comam nutriebant, et capillorum molestiam ferebant : vestem etiam dilacerat, quæ priscis hominibus mœroris erat significatio. Dixerit vero aliquis, qui concinnius hæc ipsa volet interpretari, quasi athletam quemdam, nudatum ad luctam, diabolo vestem projecisse, ut nudus exsistens, celebria illa verba proferret.

« Καὶ πεσὼν χαμαὶ, προσεκύνησε τῷ Κυρίῳ, καὶ εἶπεν· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. »

Vers. 20, 21. « Et procumbens humi adoravit Dominum, et dixit : Ipse nudus egressus sùm de utero matris meæ, nudus et revertar illuc. »

Βαβαὶ, φιλοσοφίας ὑπερβολή[p] ! τῷ μὲν σχήματι, τῇ φύσει τὸ χρέος ἀπέδωκε περιῤῥηξάμενος τὴν ἐσθῆτα, καὶ τὴν κόμην τιλάμενος· τῇ δὲ διαθέσει, χωρεῖ πρὸς Θεὸν, καὶ φυσικῶς ἅπτεται φιλοσοφίας, ἐν μέσοις τοῖς πάθεσιν, ἑαυτῷ τε καὶ ἡμῖν τὸ τῆς παραμυθίας κατασκευάσας φάρμακον. Νόμος ἀνθρώπῳ, φησὶν, ἐξ οὐκ ὄντων, εἰς τὸ εἶναι παράγεσθαι γυμνόν, ἀλλὰ καὶ ἐξιέναι τοῦ βίου, μετὰ τοῦ ὁμοίου σχήματος. Τί οὖν δεινὸν πεπόνθαμεν, φησὶ, φυσικῶς μὲν οὐδὲν ἔχοντες, εἰληφότες δὲ παρὰ Θεοῦ, καὶ αὖθις ἀφαιρεθέντες, ὧν μικρὸν ὕστερον τὴν στέρησιν ὑπομένειν ἀνάγκη; καὶ νομίζει μὲν ὑπὸ Θεοῦ πάσχειν τὰ δεινὰ, προσκυνεῖ δὲ, καὶ εὐχαρίστως ἀποδίδωσι τὴν παρακαταθήκην, καὶ αὐτοῖς τοῖς ἀκοντίοις διαβολικοῖς κατατοξεύει τὸν ἀλιτήριον. Ὃ μὲν ἔλεγεν, εἰρωνευόμενος, *εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει*, ἀντὶ τοῦ, δυσφημήσει· ὁδὲ τὸν χαριστήριον ἐπὶ τοῖς συμβᾶσιν ἀναπλέκων ὕμνον, αὐτὴν ταύτην ἀφίησι τὴν φωνὴν, εὐλογῶν τὸν Θεὸν, καί φησιν.

Papæ ! quæ isthæc est philosophiæ excellentia ? externa quidem specie, naturæ debitum persolvit, discissa tunica, vulsaque coma : affectu autem ad Deum confugit, flexisque genibus, cum sincere adorat, et in mediis calamitatibus philosophiam naturaliter exercet, dum sibi ac nobis, ad ægritudinem solandam, medicamenta parat. Ea est, inquit, homini sancita lex, ut ab iis quæ non sunt, ad id quod exsistit, nudus deducatur, eademque forma excedat e vita. Quid igitur mali, inquit, passi sumus, cum a natura quidem nihil habeamus, si rebus nobis a Deo datis rursus spoliemur, quarum non multo post nobis erat amissio necessario sustinenda ? Ac Deum quidem calamitatum auctorem arbitrabatur, nihilominus cum veneratur, grataque voluntate depositum reddit, suisque improbum diabolum jaculis configit. Is enim usus ironia, dixerat, *si non in faciem tibi benedixerit*, id est, si non improbas in te voces jactarit : hic autem, in illis, quæ acciderunt, calamitatibus, ad gratias agendas comparato hymno, vocem, cum divina laude conjunctam, hujusmodi effert.

ΚΕΦΑΛ. Β'.

Προθεωρία.

Ὁ κοινὸς τοίνυν τῶν ἀνθρώπων ἀλιτήριος διάβολος, οὐ φέρων τοῦ δικαίου τὴν ἐπ' ἀρεταῖς ἀνδραγαθίαν, ἀλλ' οὐδὲ ἔχων τινὰ ἐξουσίαν καθ' ἡμῶν, ὅπουγε οὔτε χοίρων ἔσχεν, εἰ μὴ παρὰ τοῦ Σωτῆρος εἴλη-

CAP. II.

Protheoria.

Communis igitur humani generis et sceleratus calumniator, cum præstantem justi virtutem ferre haudquaquam posset, nec ullum in nos imperium obtineret, quod ipsum nec in porcos, nisi Salvatoris

[15] Act. xxi, 13. [16] II Reg. xviii 33. [17] Joan. x, 35.

VARIÆ LECTIONES.

[p] Ισ. τῆς ὑπερβολῆς.

Digitized by Google

consensu, habere potuit, justum hunc apud Deum criminatur, quod non virtutis ergo, sed ut accepta divinitus beneficia, ratione quadam remunerari videretur, quæ decebant, administraret: quoniam dicit: Spolia ipsum felicitate, et moris improbitatem cognosces; simul enim ut ei externarum rerum copiam ademeris, in os adversus te jaciet maledictum. Sed tamen Deus cum justi invictum animum perspexisset, velletque eum per hæc certamina illustriorem reddere, potestatem adversus Jobi opes diabolo permisit. Ad quas ille perdendas ita bacchatus est, ut funditus cunctas everterit, nuntiisque solis calamitatum pepercerit, qui eum semper novis, acerbissimisque nuntiis percellerent. Cumque pretiosissima patrum supellex sint liberi, optima filiorum decade intercepta, diabolus simul eos convivantes repentina domus conquassatione omnes contrivit: ita e domo sepulcrum effecit, ac domum, quæ multorum filiorum comitatu erat instructa, puncto temporis viduavit. Tunc indomitus ille Jobus, quod suum erat, naturæ reddens, vestem discidit, nec propterea quidquam aut animi sui splendore alienum, aut mentis celsitudine indignum loquitur, imo vero in gravissima illa et maxima plaga, celebratissimas illas voces protulit: *Dominus dedit, Dominus abstulit, sicut Domino placuit, ita factum est; sit nomen Domini benedictum*[18]. Quibus quidem vocibus cum letale vulnus diabolus accepisset, et præcipue propter laudes quas Deus justo detulit, pudore tamen suffusus non est (siquidem bellua impudens est); contra justi cutem certamen instituit, rogatque Deum ut sibi in Jobi corpus potestatem faciat. Sed Deus (quæ ejus est benignitas) qui athletas suos corona insigniendos, angelis et hominibus spectaculum publicum proponit, etiam hoc permittit. Postquam vero insanabilem plagam justus accepit, nec ideo animo dejectus aut immutatus est, ad veteratorium suum artificium confert se draco, et conjugem latenter subiens, eique se insinuans, justum his verbis hortatur: *Dic verbum contra Deum, et morere.* Verum in facie iterum vulnus accepit, cum audivit: *Si bona suscepimus de manu Domini, mala non sustineamus*[19]? Hac ratione, cum ab athleta diabolus sæpius, variisque oppugnationibus in fugam conjectus ac profligatus esset, tres quidem Jobi amici perinsignes, loca omnia calamitatis fama peragrante, cum quæ illi acciderant auditione accepissent, ad eum visendi causa accedunt. Verum propter malorum vim incredibilem, nullo ad consolandum invento remedio, prope eum taciti assidebant, ipso consessu communem sensum doloris significantes. Atque hæc est secundi capitis sententia, deinceps vero verba ponenda sunt, subtiliterque exponenda.

Vers. 2. « Et dixit Dominus diabolo: Unde tu venis? »

φε, διαβάλλει πρὸς τὸν Θεὸν τὸν δίκαιον, ὡς οὐ δι' ἀρετὴν μετιόντα τὸ δίκαιον, ἀλλ' ὡς ἀντιμισθίαν εἰσφέροντα τῷ Θεῷ, ἐφ' οἷς αὐτὸν εὐηργέτησεν· ἐπεί φησι· Περίελε τὴν εὐδαιμονίαν, καὶ ὄψει τοῦ τρόπου τὴν φαυλότητα· ἅμα γὰρ τῇ τῶν χρημάτων ἀφαιρέσει καὶ εἰς πρόσωπον ἐξοίσει κατά σου τὴν βλασφημίαν. Ἐπὶ τούτοις ὁ Θεὸς εἰδὼς τοῦ δικαίου τὴν κατὰ ψυχὴν ἀνδρείαν, βουλόμενος δὲ αὐτὸν, καὶ διὰ τῶν ἀγωνισμάτων λαμπρότερον ἀναγορεῦσαι, δίδωσι τῷ διαβόλῳ τὴν κατὰ τῆς περιουσίας τοῦ Ἰὼβ ἐξουσίαν. Ὁ δὲ οὗτος ἐπεξῆλθεν αὐτῷ τῇ τῶν ὑπαρχόντων ἀπωλείᾳ, ὡς ἀκριβῶς αὐτοῦ πᾶσαν ἐκκόψαι τὴν περιουσίαν, καὶ μόνους ἀγγέλους ὑπολείπεσθαι τῶν συμφορῶν, ἀλλεπαλλήλοις αὐτὸν καὶ πικροτάταις βάλλοντας ταῖς ἐπαγγελίαις. Ἐπειδὴ δὲ τὰ τιμιώτατα τῶν πατέρων κτήματα παῖδες τυγχάνουσιν, ἀπολαβὼν ὁ διάβολος τὴν ἀρίστην δεκάδα τῶν παίδων, ἐπὶ μιᾶς ἑστίας συνεστιωμένην, ἀθρόαν ἅπασι τὴν οἰκίαν ἐπέσεισε, καὶ πολυάνδριον αὐτοῖς τὸν οἶκον εἰργάσατο, ἅπαιδα τὸν πολύπαιδα ἐν μιᾷ καιροῦ καταστήσας ῥοπῇ. Τότε ὁ ἀδάμας ἐκεῖνος Ἰὼβ, ἀποδιδοὺς τῇ φύσει τὸ χρέος, τὴν μὲν στολὴν ἔῤῥηξε, φθέγγεται δὲ οὐδὲν ἀγενὲς, οὐδ' ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοψυχίας, ἀλλ' ὁμοῦ τῇ ὑστάτῃ πληγῇ τὰς πολυυμνήτους, ἐκείνας ἀφῆκε φωνάς, *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον.* Ταύταις ταῖς φωναῖς, τὰς καιριωτάτας πληγὰς δεξάμενος ὁ διάβολος, καὶ διαφερόντως διὰ τῶν εἰς τὸν δίκαιον ἐπαίνων τοῦ Θεοῦ, οὐκ αἰσχύνεται μὲν (ἀναιδὲς γὰρ τὸ θηρίον), τὸν δὲ εἰς τὸ δέρμα τοῦ δικαίου προτίθησιν ἀγῶνα, καὶ αἰτεῖ τὸν Θεὸν ἐξουσίαν λαβεῖν τῷ σώματι χρήσασθαι τοῦ Ἰώβ. Πάλιν δὲ ὁ φιλάνθρωπος Θεὸς, ὁ τοὺς οἰκείους στεφανίτας ἀγγέλοις καὶ ἀνθρώποις δημοσιεῦσαι βουλόμενος, ἐπιτρέπει καὶ τοῦτο. Ἐπειδὴ δὲ τὴν ἀνήκεστον πληγὴν εἴληφεν ὁ ἀνὴρ, καὶ οὐδὲν ἧττον ἔμεινεν ἀκλινὴς ¶ καὶ ἀκατάσειστος, ἐπὶ τὴν συνήθη τρέπεται πανουργίαν ὁ δράκων, καὶ ὑποδραμὼν αὐτοῦ τὴν σύνευνον, δι' αὐτῆς παραινεῖ τῷ δικαίῳ, λέγων· *Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα.* Ἀλλὰ πάλιν κατὰ κόῤῥης εἴληφε τὴν πληγὴν ἀκούσας· *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;* Οὕτω τοῦ διαβόλου πολλαῖς ταῖς προσβολαῖς περιτραπέντος καὶ καταῤῥαγέντος, τρεῖς ἔνδοξοι φίλοι τοῦ Ἰὼβ, τῆς φήμης αὐτοῦ πανταχοῦ τὰς συμφορὰς περιαγγελούσης, ἀκούσαντες τὰ συμβεβηκότα, ἦλθον αὐτοῦ πρὸς τὴν ἐπίσκεψιν. Παραμυθίας δὲ οὐχ εὑρίσκοντες φάρμακον, διὰ τὴν τῶν κακῶν ὑπερβολὴν, σιωπῇ παρεκαθέζοντο, τῇ προσεδρίᾳ τὴν συμπάθειαν ἐπιδεικνύμενοι. Τοιαύτη μὲν ἡ τοῦ δευτέρου κεφαλαίου δύναμις, ἑξῆς δὲ τὰ ῥητὰ προθετέον, καὶ κατίσχνως ἐξεταστέον.

« Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν σὺ ἔρχῃ; »

[18] Job I, 21. [19] Job II, 9, 10.

¶ *gr.* ἀναμπής.

VARIÆ LECTIONES.

Digitized by Google

Εἶδε ὁ Θεὸς, ὅπως αἰσχυνθεὶς διεπονεῖτο ὁ Σατανᾶς· ὅταν δὲ ἐπερωτῶν ἴδῃ ἀγνωμονοῦντα, τότε ἐλέγχει κακουργοῦντα, ὡς ἤλεγξε τὸν Κάϊν. Ἔγνων σε, φησὶν, ἀπὸ ποίας ἐπανῆλθες δεινοτάτης δραματουργίας, ἡττηθεὶς μὲν καὶ ἐγκαλυπτόμενος, πρὸς ἑτέραν δὲ παρασκευαζόμενος μηχανήν. Οὕτως αὐτὸν ἐπερωτῶν ἐλέγχει τὸ τῆς μανίας ἀκάθεκτον, καὶ τῆς ἐπιχειρήσεως τὸ πικρότατον.

« Τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ Κυρίου, Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι. »

Οὐκ οἶδε μετριοφρονεῖν ὁ τῆς ὑπερηφανίας διδάσκαλος, πανταχοῦ δὲ τὸν ἀπάνθρωπον ἐνδείκνυται τρόπον. Ταύτῃ τοι καὶ νῦν τὴν ἑαυτοῦ καταμηνύει περίοδον, καὶ τὴν πρὸς πάντας ἀνθρώπους ἀπέχθειαν, καὶ εἴχα τινὸς προκαλύμματος τὸ τῆς κακίας ἄστατον παραδηλοῖ, μὴ δυνάμενος ἠρεμεῖν.

« Σὺ δὲ εἶπας ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι. »

Τινὲς δὲ, *σὺ εἶπας διακενῆς*, φασὶ, τουτέστι, μάτην ἐλογίσω, ὡς ἐὰν ἀφαιρεθῇ τὰ ὑπάρχοντα, εἰς βλασφημίαν ἐκφέρεται· *διακενῆς* δὲ νοοῦσιν *ἀπολέσαι*, ἐπεὶ διὰ ἁμαρτίας ἀπώλοντο τὰ τοῦ Ἰὼβ, ἢ ὅτι οὐκ εἰς εὐποιΐας δεδαπάνηντο.

« Ὑπολαβὼν δὲ ὁ διάβολος, εἶπε τῷ Κυρίῳ, δέρμα ὑπὲρ δέρματος, ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει. »

Σκόπει δὲ ὧδε πρῶτον, ἐν πενίᾳ καὶ ἀπαιδίᾳ γυμνασθέντος τοῦ δικαίου, καὶ τὴν ἄκραν φιλοσοφίαν ἐπιδειξαμένου, ἐφ' οἷς οὐ μόνον οὐκ ἐδυσφήμησεν, ἀλλὰ καὶ εὐχαριστηρίους φωνὰς ἀνέπεμψεν. Οἱ μὲν ἅγιοι συνέχαιρον ἄγγελοι τῇ νίκῃ· ὁ δὲ διάβολος διεπρίετο τοὺς ὀδόντας, καὶ δευτέρας πείρας ἐξουσίαν ἐζήτει κατ' αὐτοῦ λαβεῖν. Ὁ δὲ ἀγαθὸς Θεὸς, καὶ τοὺς ἑαυτοῦ δοξάζων γνησίους θεράποντας, ὑπερεθίζει τὸ θηρίον, ἵνα καὶ μᾶλλον καταισχυνθῇ, καὶ πολλοῖς ἐγκωμίοις στεφανοῖ τὸν δίκαιον, ὡς τὴν φυσικὴν ἀλήθειαν διαφυλάξαντα, καὶ οὐδεμίαν ὑπομείναντα διαστροφὴν ἐκ τῶν συμφορῶν. Ἔτι γὰρ, φησὶ, *τῆς αὐτῆς ἀκακίας ἔχεται*, μηδεμίαν ὑπομείνας βλάβην· σὺ δὲ ἐμεγαλαύχεις διακενῆς, ἀντὶ τοῦ, ἀκαίρως ἐφλυάρεις, λέγων, Ἐὰν ἀπολέσῃ τὰ ὑπάρχοντα, δυσφημεῖ [r]. Κατανόει δὲ ἐντεῦθεν, ὡς ὁ μὲν Θεὸς, προγνώστης ὢν, καὶ εἰδὼς τὸ ἐκβησόμενον, καὶ ὅτι μέγας Ἰὼβ οὐκ ἂν ἁπρεπές τι φθέγξαιτό ποτε, ἐπέτρεψε τὴν κατὰ τοῦ δικαίου πάλην· ὁ δὲ διάβολος, οὔτε τὸ μέλλον οἶδεν, οὔτε τὰ ἐν ἡμετέρᾳ καρδίᾳ γινώσκει· διὸ καὶ ἀγνοῶν ὅτι ἡττηθήσεται, ἐλήρει λέγων, *ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει*· καὶ αὖθις, νικήσειν οἰόμενος, τὴν εἰς τὸ δέρμα τοῦ δικαίου πεῖραν ἐξαιτεῖ, καί φησι, *δέρμα ὑπὲρ δέρματος· πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει.* Ὁ δὲ Σύμμαχος· *χρῶτα*

A Vidit Deus, quemadmodum Satanas pudore suffusus moleste ferret: cum vero interrogando improbe se gerentem animadverteret, tum flagitium ejus coarguit, prout Cainum increpaverat. Haud me fugit, inquit, a quanam et quam funesta tragœdia redeas, victus quidem, et pudibundus, et quod aliud artificium animo verses ac moliaris. Ita vel ipsa interrogatione, bacchantem illius refutat insaniam, conatusque refellit immanitatem.

« Tunc dixit diabolus in conspectu Domini: Postquam peragravi eam quæ sub cœlo, et obambulavi universam, adsum. »

Superbiæ magister moderate se gerere nescit; in omni loco morum crudelitatem testatur. Hic quoque circuitionem illam suam, et adversus cunctos mortales inimicitias, haud dissimulat; et quoniam quietis ac cessationis est impatiens, aperte et sine involucro, improbitatis inconstantiam ostendit.

Vers. 3. « Tu vero dixisti substantiam ejus frustra perdere. »

Nonnulli autem, *tu dixisti sine causa*, aiunt, scilicet temere ac frustra ratiocinatus es, si ei res fuerit adempta, animum ad maledicta convertet: iidemque illud, *frustra perdere*, intelligunt, ac si Jobo bona propter peccata adempta fuerint, vel quia in bonos et pios usus non erogarentur.

Vers. 4. « Suscipiens autem diabolus, dixit Domino: Pellem pro pelle, quæcunque sunt homini, pro anima sua pendet. »

Hoc loco primum considera summam justi viri æquanimitatem, qui, cum egestate orbitateque exercercetur, non modo ab omni impio verbo abstinuit, sed voces etiam grati animi indices protulit. Sancti quidem angeli victoriæ congratulabantur: diabolus autem dentibus stridebat, regatque ut vires ejus denuo experiundi venia sibi concedatur. Ac Deus (quæ ejus est benignitas), cum eos qui sibi ex animo famulantur, gloria insignes reddere statuit, belluam lacessit atque irritat, ut pudore suffundatur vehementius, multisque encomiis justum exornet, ut qui naturalem veritatem conservarit, nullamque ex calamitatibus perversitatem contraxerit. *Adhuc*, inquit, *innocentiam suam retinet*, nullo accepto damno: tu vero inani jactatione gloriabaris, id est, importune nugabaris, cum diceres: Si bona amiserit, ad maledicta confugiet. Contemplare hic, quemadmodum Deus, qui antea prospexerat, cognoveratque eventum, sciebatque magnum Jobum nihil præter decorum locuturum, adversus justum luctæ potestatem adversario dederit. Diabolus vero neque rerum futurarum eventum, neque ea quæ in cordibus nostris sunt, novit: quare se victum iri in certamine ignorans, deliriando dixit, *certe in faciem te benedicet:* ac rursus, de victoria bene sperans, ut pelli justi periculum fa-

VARIÆ LECTIONES.

[r] *Isc.* δυσφημήσει.

Digitized by Google

cesseret, obnixe contendit, dicitque, *pellem pro pelle, omnia quæcunque sunt homini, pro anima sua pendet.* Symmachus vero, *cutem pro cute, et omnia quæcunque habet, projiciet pro anima sua.* Convictus humani generis hostis, etiam hic rursus impudenter se gerit, ac dicit, Nil magnum si, cum aliorum corpora paterentur, non blasphemavit; veritus enim est ne te iracundia inflammaret, suoque corpore plagam exciperet; id enim vult, cum dicit, *pellem pro pelle:* fit etiam sæpenumero, ut quis manum prætendat, ne oculus lædatur, pelleque pro pelle objecta, membro corporis viliori plagam accipiat, ut saluti præstantioris consulat. Quid igitur mirum, si opes projecerit? cum sæpenumero etiam corpus pro corpore profundamus, ictumque aut oculo, aut capiti forte intentatum, objecta manu repellamus, ut pars corporis nobilior, et periculis magis obnoxia, sit incolumis, ac pro salute nostra tuenda, divitias omnes alacri animo prodigamus. Licet etiam aliter verba illa intelligere, ut justi famam et gloriam apud Deum sceleslus elevaret, *pellem*, inquit, *pro pelle*, dedit, id est, cum leviter læsus sit, levem quoque est laudem consecutus; neque rem magnam præstat homo, si facultates contemnat, ut ipse a damno immunis sit: illud enim, *pro anima sua*, pro, *scipso*, dixit.

A ὑπὲρ χρωτὸς, καὶ πάντα ὅσα ἔχει, προήσεται ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. Ἐλεγχθεὶς ὁ μισάνθρωπος, κἀνταῦθα πάλιν ἀναισχυντεῖ, καί φησιν, Οὐδὲν μέγα, εἰ ἀλλοτρίων σωμάτων πεπονθότων, οὐκ ἐδυσφήμησε, δεδοικὼς μή σε παροργίσῃ, καὶ κατὰ τοῦ ἰδίου σώματος ἐνέγκῃ τὴν πληγήν· τοῦτο γάρ ἐστιν ὃ λέγει, *δέρμα ὑπὲρ δέρματος*· καὶ γὰρ πολλάκις τις, ἵνα μὴ εἰς ὀφθαλμὸν βλαβῇ, τὴν χεῖρα προτείνει, καὶ εἰς τὸ ἧττον τίμιον μέλος δέχεται τὴν πληγὴν, δέρμα ὑπὲρ δέρματος προϊσχόμενος, ἵνα σώσῃ τὸ καιριώτερον. Τί οὖν θαυμαστὸν, εἰ τὰ ὑπάρχοντα προήκατο; ὁπότε καὶ σῶμα ὑπὲρ σώματος πολλάκις προϊέμεθα, καὶ πληγῆς φερομένης τυχὸν κατὰ τοῦ ὀφθαλμοῦ, ἢ τῆς κεφαλῆς, τὴν χεῖρα ἀντιθέντες, τὸ καιριώτερον μέρος τῆς πληγῆς ἀπηλλάξαμεν[a], καὶ

B ἅπαντα δὲ τὸν πλοῦτον ἑτοίμως προτείνομεν, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας. Ἔστι δὲ καὶ ἄλλως νοεῖν τὸ ῥητόν· ἐξευτελίζων τὴν τοῦ δικαίου πρὸς Θεὸν εὐφημίαν ὁ πονηρὸς, *δέρμα*, φησὶν, *ὑπὲρ δέρματος* δέδωκε, τουτέστιν, εἰς ὀλίγα βλαβεὶς, ὀλίγον τινὰ εὐφημίαν προστήγαγε· καὶ οὐδὲν μέγα, εἰ τῶν ὑπαρχόντων ἄνθρωπος καταφρονῇ, ἵνα αὐτὸς μὴ βλαβῇ· τὸ γὰρ, *τῆς ψυχῆς αὐτοῦ*, ἀντὶ τοῦ, *ἑαυτοῦ*, εἴρηκεν.

Vers. 5. « Alioquin autem mittens manum tuam, tange ossa ejus, et carnes ejus; certe in faciem te benedicet. »

« Οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. »

Olympiodori et Chrysostomi. Truculenta est atque impudens bellua; neque enim satis habet, nostris tantum carnibus saturari, nisi in medullas etiam et ossa pervadat; improbitate non caret, novum commentum excogitat. Res, inquit, levis momenti est, si bona amiserit, omniaque libenter contempserit, ut saluti suæ consuleret: verum quid hoc est, si in ejus animam potestatem non concesseris? Atque hoc ipsum is postulare videbatur, cum diceret: *Omnia pro anima sua pendet;* corpori ergo plagam inflige. Sed quamobrem id non rogavit initio? nimirum, quia secum ipse cogitabat, si forte contigisset victum illum discedere, e rebus pusillis, illustriorem se victoriam reportaturum; sin secus, in corporis lucta se fore superiorem. Haud magni, inquit, bonorum possessio æstimatur ab hominibus; cuncta enim pro vitæ suæ salute largiuntur. Neque simpliciter tantum dixit, *carnes tange*, sed malum altius etiam penetrare voluit, tanta cum improbitate loquitur. Hinc etiam perspicitur nullam antiqui draconis esse in nos potestatem, nisi detur a Deo, et quidem propter arcanam suam erga nos providentiam. Ac licet, permittente Deo, homini possit vitam adimere, malum tamen inferre nequit, sed a Deo veniam flagitat. Novit enim quamvis ipse lapsus sit, se nihil adversus quempiam posse, nisi Deus permittat; quæ

C Ὀλυμπιοδώρου καὶ Χρυσοστόμου. Ὠμὸν τὸ θηρίον καὶ ἀναίσχυντον· οὐ γὰρ ἀνέχεται, μόνον τῶν ἡμετέρων ἐμφορηθῆναι σαρκῶν, ἀλλὰ καὶ μέχρις ὀστῶν καὶ μυελῶν διελθεῖν βούλεται· οὐκ ἀπορεῖ πονηρίας, εὑρίσκει πάλιν ἐπίνοιαν. Οὐδὲν, φησὶ, μέγα, εἰ ἀπώλεσε κτήματα, ἡδέως πάντων καταφρονήσας, ἵνα ἑαυτὸν σώσῃ. Ἀλλὰ μὴν [τί τοῦτο;] εἰ τὴν ψυχὴν οὐ δίδως λαβεῖν; Τοῦτο γὰρ ἐνέφηνε ζητῶν διὰ τοῦ λέγειν, *Πάντα ὑπὲρ τῆς αὐτοῦ ψυχῆς ἐκτίσει*· τὸ γοῦν σῶμα πλῆξον. Διὰ τί δὲ μὴ ἐξ ἀρχῆς τοῦτο ᾔτησεν; ἐλογίσατο ὅτι εἰ συμβῇ αὐτὸν ἡττηθῆναι, βέλτιον ἀπὸ τῶν ἐλαττόνων τὴν νίκην ἐνεγκεῖν· εἰ δὲ μὴ, ἀπὸ τοῦ σώματος περιέσομαι [ἴσ. περιέσεσθαι]. Οὐ πολλοῦ λόγου, φησὶ, τὰ χρήματα τοῖς ἀνθρώποις,

D ὑπὲρ γὰρ σωτηρίας τῆς οἰκείας ψυχῆς ἅπαντα διδόασιν. Οὐχ ἁπλῶς δὲ, *τῶν σαρκῶν*, εἶπεν, *ἅψαι*, ἀλλ' ὥστε καὶ ἔνδοθεν τεχθῆναι [ἴσ. τεθῆναι] τὸ κακὸν, οὕτω μετὰ πονηρίας διαλέγεται. Δείκνυται δὲ καὶ ἐντεῦθεν, ὡς οὐδεμίαν ἔχει καθ' ἡμῶν ἐξουσίαν ὁ ἀρχαῖος δράκων, εἰ μὴ ὑπὸ Θεοῦ συγχωρηθῇ, κατὰ τὰς ἀῤῥήτους αὐτοῦ περὶ ἡμᾶς οἰκονομίας, καὶ ὡς ἀνελεῖν μὲν ἄνθρωπον δύναται, εἰ λάβοι συγχώρησιν, κακὸν δὲ ποιῆσαι οὐ δύναται, παρὰ Θεοῦ δὲ ἐξαιτεῖ. Οἶδε γὰρ εἰ καὶ ἔπεσεν, ὅτι, εἰ μὴ Θεὸς ἐπιτρέψει, οὐδὲν αὐτὸς κατά τινος δύναται, τῆς ἐπιτροπῆς οὕτω νοουμένης, ὅτι σοφῶς γίνεται, ἅτε παρὰ Θεοῦ γινομένης. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, Περίελε αὐτοῦ τὴν

VARIÆ LECTIONES.

[a] *Ισ.* ἀπαλλάττομεν.

Digitized by Google

φρουρὰν τῆς ἔξωθεν θεραπείας, καὶ τῆς κατὰ ψυχὴν ἐπιμελείας· οὐ γάρ ἐστι θαύματος ἄξιος, εἰ φυλάττεις αὐτὸν ἀπολέμητον· συγχώρησόν μοι διαφθεῖραι τὰς σάρκας ἄχρι καὶ μυελῶν. Ἐλέγχειν γὰρ οἶδε συμφορὰ γνώμην ἀπαιδαγώγητον, τρυφὴν καὶ μόνην [ἴσ. καὶ τρυφὴν μόνην] τῆς περὶ σὲ θεραπείας ὑπόθεσιν ἔχουσαν· ὡς εἴγε ἅψῃ τῆς σαρκὸς αὐτοῦ, τηνικαῦτα *εἰς πρόσωπόν σε εὐλογήσει*, τουτέστι, φανερῶς σε βλασφημήσει.

A tamen permissio non nisi sapienter fieri judicanda est, quatenus a Deo proficiscitur. Quod vero dicit ejusmodi est, nudato eum externi cultus custodia, et animæ cura; non enim admirationem meretur, si intactum illum ab omni oppugnatione tueris: da, mihi, ut tabe carnes ejus ad medullas usque conficiam. Solet enim calamitas animum prodere, qui virtutis disciplina non est imbutus, et cui cultus et obsequii tui causa omnis in luxu ac voluptate posita est: quapropter si tetigeris carnes ejus, *in faciem te benedicet*, hoc est, aperte conscindet te maledictis.

« Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον (Ὁ δὲ *Θεοδοτίων*, τῆς ψυχῆς αὐτοῦ οὐχ ἅψῃ.) »

Vers. 6. « Dixit autem Dominus diabolo: Ecce, trado tibi eum: tantummodo animam ejus custodi (*Theodotion vero*, animam ejus ne tetigeris). »

Χρυσοστόμου καὶ *Ὀλυμπιοδώρου*. Πάλιν ὁ φιλάνθρωπος Θεὸς, ὁ τοὺς οἰκείους στεφανίτας ἀγγέλοις καὶ ἀνθρώποις δημοσιεύειν βουλόμενος, ἐπιτρέπει καὶ τοῦτο, ὥστε μαθεῖν ἡμᾶς, ὅτι ὅσα δύναται ὁ πονηρὸς, κατὰ συγχώρησιν δύναται· καὶ ὁ μὲν ἔλεγε, *Σὺ ἅψαι τῶν σαρκῶν αὐτοῦ*. Ἀλλ' ἵνα μὴ λέγῃ, ὅτι Σὺ πεφασμένως αὐτὸν ἔπληξας, ὡς οἰκεῖον θεράποντα, οὐκ ἐποίησεν ὅπερ ᾔτησεν ὁ διάβολος, ἀλλ' ἐκεῖνῳ ἐπέτρεψε.

Chrysostomi et *Olympiodori*. Rursus benignus Deus, qui athletas suos corona insigniendo angelis et hominibus spectaculum publicum proponit, etiam hoc diabolo largitur, nempe, ut nos intelligamus, nihil sine divino permissu posse diabolum: cujus quidem hæc erat vox, *tu tange carnes ejus*. Sed ne diabolus forte diceret: Tu quidem vulnus ei, tanquam famulo tuo, in speciem inflixisti, quod petebat facere noluit, verum illius potestati hoc permisit.

Ἢ τοίνυν τοῦτό φησιν, ὅτι Τοῦ ἡγεμονικοῦ αὐτοῦ μὴ ἅψῃ, διὰ δὲ τῶν εἰς τὴν σάρκα βασάνων τὸν ἀγῶνα ποιοῦ· καὶ τοῦ μὲν σώματος [a] ὑπεξαγαγεῖν τὴν ψυχὴν, ἵνα ἐξ ἐπιγονῆς τὰ διπλασίονα χαρίσηται ἀγαθὰ, καὶ ἀντεισαγάγῃ αὐτῷ τὰ ἀπολλύμενα.

Aut igitur hoc dicit, principem animi partem noli attingere, sed corporis cruciatibus certamen inito: et corporis quidem potestatem illi permittit, verum ut cum corpore animam subducat, veniam non concedit; quia instauratione nova duplicata bona illi restituenda erant, et quæ perierant redintegranda.

Πάλιν μέντοι, κατὰ μέτρον, χρυσοῦν ἀνδριάντα, τῷ διαβολικῷ πυρὶ δοκιμάζει Θεὸς, οὐκ αὐτὸς γνῶναι θέλων, ὃν ἠπίστατο, ἀλλ' εἰς ἔλεγχον διαβολικὸν, καὶ ἐφ' ᾧ τοῦτον ἡμῖν γνωρίσαι. Τόγε μὴν, *Τὴν ψυχὴν αὐτοῦ διαφύλαξον*, ἀντὶ τοῦ, Μὴ πειράσῃς τῆς θείας εἰκόνος. Οὐδὲ γὰρ τῷ ἐχθρῷ φρουρεῖν τὴν ψυχὴν ἐπέτρεψε· πῶς γὰρ τὸν πολέμιον, εὐεργετεῖν μὴ πεφυκότα, φύλακα ψυχῆς προεστήσατο;

Rursus simulacrum hoc aureum, diaboli igne probat Deus, sed moderatione tamen adhibita, non eo profecto, ut perspiceret ipse, quem cognitum habebat, sed ut diabolum aperte refelleret, nobisque virum tantum faceret insignem. Illudque, *animam ejus custodi*, pro illo est, divinam imaginem lædere ne tentes. Non enim inimico custodiam animæ ejus commisit: qua enim ratione hostem, qui ad bene faciendum natura non est comparatus, tuendæ animæ præfecisset?

« Ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τοῦ Κυρίου. »

Vers. 7. « Exivit autem diabolus a Domino. »

Πάλιν διδασκόμεθα, τὸν εἰς πεῖραν ἀνθρώπου τρεπόμενον, ἐξιέναι ἀπὸ προσώπου τοῦ Κυρίου. Θεοῦ γὰρ χωρίζεσθαι πέφυκε πᾶσα πονηρὰ μελέτη, μηδεμίαν ἔχουσα πρὸς τὴν ἀγαθότητα συγγένειαν.

Rursus docemur eum, qui ad hominem adoriendum mentem convertit, a facie Domini exire. Nullum est enim studium improbum, quod non per seipsum secernat a Deo, præsertim cum nullum habeat cum bonitate commercium.

« Χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· Μέχρι τίνος καρτερήσεις, λέγων· Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; »

Vers. 9. « Tempore autem multo transacto, dixit ei uxor ejus: Quousque sustinebis, dicens: Ecce permaneo tempus adhuc parvum, exspectans spem salutis meæ? »

Ὁ μὲν γὰρ ἐνεκαρτέρει τῇ πενίᾳ καὶ τοῖς πάθεσι χρόνον οὐκ ὀλίγον, καὶ πρὸς ἑαυτὸν παραμυθούμενος, ἔλεγε· Δεῖ φέρειν ἀνδρικῶς, δεῖ καρτερεῖν, δεῖ τὴν ἐκ Θεοῦ προσμένειν βοήθειαν· οὐ βραδύνει [b] ὁ Θεὸς

Is quidem egestatem acerbosque casus diu tolleranter tulerat, ac seipsum solando tali oratione utebatur: Ferendum est viriliter, mentis constantia adhibenda, a Deo auxilium exspectandum; neque

VARIÆ LECTIONES.

[a] *Ισ.* ἐξουσίαν δίδωσιν, οὐ συγχωρεῖ δὲ αὐτῷ μετὰ τοῦ σώματος. [b] *Ισ.* βραδυνεῖ.

Digitized by Google

enim in opitulando, hisque malis depellendis, cunctabitur Deus. Conjux vero, quæ tanquam postrema machina, ad evertendum munitissimum aliquem murum, a diabolo reservata fuit, inferendis calamitatibus viribus fractis languebat : versutus enim diabolus, cum longo satis tempore justum oppugnasset, uxoris imbecillitate tum utitur, ipsamque contra eum armis instruit, prout prius Evam adversus Adamum. Illa igitur, cum calamitatibus fracta, animum despondisset, spiritu diabolico plena, in hæc verba prorupit. Ac primo quidem ostendere conatur, ejus in Deum spes prorsus esse inanes, a præteriti temporis diuturnitate, ad probationem futuri, ducto argumento ; deinde quæ sequuntur superaddit. Observa autem astuti vafritiem; cum multum temporis efflUxisset, Jobum adoritur : tunc enim præcipue spei rationes refelluntur, et vires fractæ debilitantur. Duplici autem imbecillitate eo tempore Jobus laborare videbatur : ipse enim temporis diuturnitate imbecillior evasit, et spes omnis in dies magis extenuata evanuit. Ne igitur illud spectemus quod uxor fuit, sed quod suadet potius videamus. Hoc etiam omnibus consulo, non ut hominum dignitates, et ora, sed consilii rationem, et modum intueantur : uxor enim data est, non ut virum subverteret, sed ut laboranti subveniret.

A ἐπαμῦναι, καὶ τῶν παρόντων ἀπαλλάξαι δεινῶν· Ἐξασθενεῖ [u] δὲ ἡ γυνὴ, πρὸς τὰς συμφορὰς ὑπὸ τοῦ διαβόλου τηρηθεῖσα, ὥσπερ ὕστερον μηχάνημα κατά τινος ἀσείστου τείχους · ὁ γὰρ πανοῦργος διάβολος, ὡς ἱκανῷ χρόνῳ κατειργάσατο τὸν δίκαιον, τότε τῇ τῆς γυναικὸς ἀσθενείᾳ συγχρῆται, καὶ ὁπλίζει ταύτην κατ' αὐτοῦ, ὥσπερ ποτὲ τὴν Εὔαν κατὰ τοῦ προπάτορος. Ἡ δὲ καὶ πρὸς τὰς συμφορὰς ἀπεῖ ποῦσα, καὶ τοῦ διαβολικοῦ πληρωθεῖσα πνεύματος, ἐπὶ τοὺς παρόντας προήχθη λόγους. Καὶ πρῶτα μὲν αὐτῷ τὰς εἰς Θεὸν ἐλπίδας ἀνηνύτους πειρᾶται δεικνύναι, τῷ πολλῷ παρεληλυθότι χρόνῳ πιστουμένη τὸ μέλλον. εἶτα καὶ τὰ ἑξῆς ἐπάγει. Ὅρα δὲ τὸν κακοῦργον · ὅτε πολὺς διῆλθε χρόνος, τότε ἐπιτίθεται · τότε γὰρ μάλιστα τὰ τῆς ἐλπίδος ἐλέγχεται, τότε τὰ B τῆς δυνάμεως ἐξασθενεῖ. Διπλᾶ δὲ καὶ τῷ Ἰὼβ τότε τὰ τῆς ἀσθενείας ἦν · αὐτός τε γὰρ ἀσθενέστερος γέγονε τῷ μήκει τοῦ χρόνου, καὶ ἡ ἐλπὶς μᾶλλον ἀπέγνωστο. Μὴ τοίνυν τοῦτο ἴδωμεν, ὅτι γυνὴ, ἀλλὰ τί συμβουλεύει · τοῦτο καὶ πᾶσι παραινῶ, μὴ πρὸς τὰ τῶν ἀνθρώπων ἀξιώματα καὶ πρόσωπα βλέπειν, ἀλλὰ πρὸς τὸν τρόπον τῆς συμβουλῆς · γυνὴ γὰρ ἐδόθη, οὐχ ἵνα ὑποσκελίζῃ, ἀλλ' ἵνα βοηθῇ.

« Et ego errans, et ancilla, locum ex loco, et domum e domo. »

« Κἀγὼ πλανωμένη καὶ λάτρις, τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας. »

Totum autem hoc divina permissione contigit, et diaboli oppugnatione, qui, Deo veniam indulgente, cum licentia operabatur, ut in omnibus certantem C Jobum, victorem corona dignum ostenderet. Quamobrem uxoris ejus nemo miserabatur, nec quisquam pristinæ ejus felicitatis memor, egestatem ejus solabatur; non passus est enim hostis quempiam ejus misericordia moveri; sed mercede eam elocavit : id enim verbum, *ancilla*, declarat, se singulis rogantibus inserviisse, quo suam et mariti vitam sustineret.

Ὅλον δὲ τοῦτο Θεοῦ ἦν συγχώρησις, καὶ διαβόλου προσβολὴ, μετ' ἐξουσίας πράττοντος διὰ τὸν συγκεχωρηκότα Θεὸν, ἐφ' ᾧ διὰ πάντων ἀγωνισάμενον τὸν Ἰὼβ στεφανίτην ἀναδειχθῆναι. Διὸ καὶ τὴν γυναῖκα οὐδεὶς ἠλέει, οὐδὲ τῆς παλαιᾶς αὐτῆς εὐδαιμονίας μεμνημένος παρεμυθεῖτο τὴν ἔνδειαν · οὐ γὰρ συνεχώρει αὐτὴν ὁ ἐχθρὸς ἐλεεῖσθαι πρός τινος, ἀλλ' ἐθήτευεν ἐπὶ μισθῷ · τοῦτο γὰρ σημαίνει τὸ, *λάτρις*, τοῖς ἑκάστοτε [v] δεομένοις ὑπηρετοῦσα, ἐφ' ᾧ ἑαυτῇ καὶ τῷ συνεύνῳ ἐπαρκέσαι πρὸς τὸ ἀποζῆν.

Vers. 10. « Si bona suscepimus de manu Domini, mala cur non sustinebimus ? »

« Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν ; »

Vides in ærumnis magistri animum, et vultum : postquam enim ex conjuge, quam legibus religiosis erudierat, ea quæ nunquam sperasset audivisset, primum formidoloso illam terret aspectu, deinde verbis etiam pudore suffundit : Ista enim, inquit, D dixisse, stultæ erat mulieris. Annon stultitia est existimare fore ut mors blasphemiam statim comitetur, aut etiam audere sceleratum ullum verbum in Deum dicere ? Ita castigatam uxorem, tum oratione, tum vultu, cum gratiarum actione calamitatum impetum ferre admonet. Multi enim, inquit, nullam omnino felicitatem, et rerum copiam experti sunt ; nos vero, quibus Deus hanc indulsit, cur adversa iniquo animo patimur ? cur non cum multa gratiarum actione, tanquam a vero et germano

Ὁρᾷς διδασκάλου καὶ ἐν τοῖς πάθεσι γνώμην καὶ πρόσοψιν · ἐπειδὴ γὰρ τὴν γυναῖκα τοῖς θεοσεβέσιν ἐπαίδευσε [x] νόμοις, τὰ παρ' ἐλπίδα ἀκούσας [y], καταπληκτικῷ φοβεῖ τῷ βλέμματι, εἶτα καὶ λόγοις ἐντρέπει· Ταῦτα γὰρ, φησὶν, ἄφρονος ἦν εἰπεῖν γυναικός. Ἡ γὰρ οὐκ ἀφροσύνη, τὸ νομίζειν ὁμοῦ τῇ βλασφημίᾳ καὶ τὴν τελευτὴν ἀκολουθεῖν, ἢ ὅλως τολμᾷν βλάσφημόν τι ῥῆμα προσφέρειν κατὰ Θεοῦ ; Τούτοις παιδαδωγήσας, τῷ τε λόγῳ καὶ τῷ βλέμματι νουθετεῖ φέρειν εὐχαρίστως τῶν δυσχερῶν τὴν ἐπαγωγήν. Πολλοὶ μὲν γὰρ, φησὶν, οὐδὲ εὐθηνίας τινὸς ἐπειράθησαν, ἡμεῖς δὲ ταύτης ἀπολελαυκότες ἐκ Θεοῦ, τί πρὸς τἀναντία δυσχεραίνομεν; τί δὲ μὴ μετὰ πολλῆς τῆς εὐχαριστίας, ὡς παρὰ γνησίου Δεσπότου, καὶ ταῦτα δεχόμεθα ; Ἡ μὲν οὖν ταῦτα ἀκούσασα ἐφησύ-

VARIÆ LECTIONES.

[u] *Isc.* ἐξησθένει. [v] *Isc.* ἑκάστοις τοῖς. [x] *Isc.* παιδεύσας. [y] *Isc.* ἤκουσε.

Digitized by Google

χωσε, καὶ τὴν νουθεσίαν ἐδέξατο, μηδὲν ἀντιφθεγξαμένη· διόπερ οἶμαι καὶ τῶν ὕστερον ἀγαθῶν κοινωνὸν αὐτὴν γεγενῆσθαι τῷ Ἰώβ. Ὁ δὲ γενναῖος ἀγωνιστὴς τριπλᾶς τῷ διαβόλῳ δέδωκε τὰς πληγάς, αὐτός τε μὴ καμφθείς, καὶ τὴν ὑπ' αὐτοῦ παρατραπεῖσαν γυναῖκα ἐπανορθώσας, καὶ τὰς εὐχαρίστους καὶ παντὸς ἀξίας ἐπαίνου[x], καὶ ἀλήστου μνήμης φωνὰς, ἀναφθεγξάμενος.

« Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ, παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν. »

Ἐάν τις ζητῇ, διὰ τί μετὰ τοσοῦτον χρόνον οἱ φίλοι παραγεγόνασιν, ἐννοείτω, πρῶτον μὲν, ὡς διαφόρους ᾤκουν χώρας, καὶ μετὰ πολὺ μὲν ἴσως ἤκουσαν· τὸ δὲ παράδοξον τῆς συμφορᾶς καὶ ἄπιστον ἐδόκει, εἰ ἐπὶ κοπρίας ἀνεπικούρητος ὁ Ἰὼβ κάθηται· καὶ περιέμενον διὰ πλειόνων πιστώσασθαι τὴν ἀκοὴν, καὶ ἐκπέμψαι, καὶ ἰδεῖν εἰ ἀληθῆ τὰ λεγόμενα· ἐν τούτοις οὖν ὁ χρόνος ἐτρίβετο. Ἡρὸς δὲ τούτοις, ὅτε τὸ ἀληθὲς ἔγνωσαν, βασιλεῖς ὄντες, καὶ ἐκδημεῖν μέλλοντες, ἀνάγκην εἶχον πρότερον εὖ διαθεῖναι τὰ κατὰ τὸν οἶκον, καὶ ἐπιστῆσαι τοῖς ἀρχομένοις τοὺς ἀνθ' ἑαυτῶν. Ταῦτα πάντα αὐτοὺς ἀπησχόλει καὶ ἐνεβράδυνε· καὶ εἰ μὴ σφόδρα γε ἀγαπητικοί τινες ἦσαν καὶ δίκαιοι, οὐκ ἂν τὰς οἰκείας καταλιπόντες χώρας καὶ βασιλείας, ἀφικνοῦντο πρὸς τὴν ἐπίσκεψιν, ἀλλὰ δι' ἑτέρων τὴν χρείαν ἐπλήρουν. Ἔστε δὲ ἐννοεῖν, ὡς καὶ οἰκονομία τις ἦν θεία τῆς ἀφίξεως ἡ ἀναβολή· ἐπειδὴ γὰρ ὁμοῦ τῇ τῶν φίλων διαλέξει καὶ τὸ πᾶν τοῦ ἀγῶνος ἐλύθη, τοῦ Θεοῦ χρηματίσαντος, καὶ τὸν δίκαιον ἀνακτησαμένου, καὶ στεφανώσαντος, οἰκονομία τις χέγονε θεία ἐμβραδῦναι τοὺς φίλους, ἵνα παραπαθῇ τὰ τοῦ νοσήματος, καὶ μειζόνως φθλήσας ὁ δίκαιος, δικαιότερον ἀναρρηθῇ παρὰ τοῦ Θεοῦ.

« Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεὺς, Βαλδὰδ ὁ Σαυχέων τύραννος, καὶ Σωφὰρ ὁ Μιναίων βασιλεύς. »

Ἔστι δὲ ἡ μὲν Θαιμὰν πόλις τῆς Ἰουδαίας περὶ τὸ Σινᾶ. Ἡ δὲ Σαυχὴ, πόλις Μωαβιτῶν, ὧν βασιλεὺς ἦν ὁ Βαλδάδ. Τὸ γὰρ, *τύραννος* ἐνταῦθα, ἀντὶ τοῦ *βασιλεύς*, κεῖται. Μιναῖοι δὲ οἱ Ἀμμανῖται, ἢ ὡς ἐν δευτέρῳ τῶν Παραλειπομένων εὑρίσκομεν, ἕτεροι παρὰ τοὺς Ἀμμανίτας. *Ἀνέστησαν γὰρ*, φησὶν, *υἱοὶ Ἀμμὼν καὶ Μωὰβ ἐπὶ τοὺς κατοικοῦντας ὄρος Σηείρ, ἐξολοθρεῦσαι καὶ ἐκρίψαι αὐτούς· καὶ ὡς συνετέλεσαν τούτους, ἀνέστησαν εἰς ἀλλήλους.* Ἐπίσκεψαι τοίνυν εἰ ἄλλοι εἰσὶν οἱ Μιναῖοι παρὰ τοὺς Ἀμμανίτας, οἱ καὶ τὸ Σηείρ ὄρος οἰκοῦντες. Ἑρμηνεύεται δὲ Ἐλιφὰζ, *Θεός με διέσπειρεν*, ἢ, *Θεοῦ μου φαυλισμός*· Θαιμὰν δὲ, *ἐκλειψις αὐτοῦ*· Βαλδὰδ, *παλαίωσις*, ἢ *ἐπίδοξος*· Σαυχαίων, *ἀδολεσχία αὐτῶν*· Σωφὰρ, *σκοπὸς*, ἢ *φαυλισμός*.

Domino, hæc etiam amplectimur? Quibus illa auditis conquievit, monitisque obtemperans, nihil oblocuta est: ita ut facile crediderim, bonorum quæ postea evenerant, participem illam cum Jobo factam fuisse. Egregius autem athleta plagam triplicem diabolo inflixit, cum ipse minime succumberet, et subversam uxorem denuo erigeret, et voces illas, grati animi testes, omnique laude ac indelebili memoria dignas, proferret.

Vers. 11. « Cum audissent autem tres amici ejus mala omnia quæ supervenerant ei, advenerunt unusquisque e propria regione ad eum. »

Si quæsierit quispiam, quamobrem post tantum temporis intervallum amici venerint, intelligat, primum quidem eos diversarum provinciarum incolas fuisse, ac multo post nuntium fortasse accepisse; quin etiam calamitatis magnitudo, quod Jobus, scilicet, in sterquilinio omni ope destitutus sederet, fide videbatur carere: præterea, sermone plurium famam confirmari, et missione quorumdam, qui rei veritatem explorarent, præstolabantur; interea dum hæc fiunt, tempus labitur. His adde quod, rei veritate comperta, cum reges essent, et peregrinationem cogitarent, necessarium illis fuerit, res domesticas primum recte constituere, et illorum loco, qui subditis præessent, vicarios imperii substituere. Hæc omnia moram illis injecerunt, et iter tardarunt; et sane nisi charitate summa cum justitia abundassent, nunquam provincias suis regnisque relictis, visendi causa illum adiissent, sed per alios potius hoc munus adimplevissent. Cogitare illud item possumus, divina quadam dispensatione accidisse, ut diutius illorum adventus procrastinaretur; cum enim statim post amicorum colloquia, certaminis finis impositus sit, Deo (qui justum interea alloquebatur, refocillabat, et corroborabat) dispensante, factum est ut amici adventum virtusque certantis justi, justioribus præconiis a Deo celebraretur.

« Eliphaz Thæmanorum rex, Baldad, Sauchæorum tyrannus, et Sophar Minæorum rex. »

Est autem Thæman urbs Judææ circa Sina. Saucha urbs est Moabitarum, quibus Baldadus imperabat: hic enim, *tyrannus*, pro *rege* ponitur. Minæi vero sunt Ammanitæ; aut, ut in posteriore Chronicorum libro proditur, alii ab Ammanitis. *Surrexerunt enim*, inquit, *filii Ammon et Moab contra habitantes montem Seir, ad exterminandum et atterendum eos; et postquam hos consummaverunt, surrexerunt contra se invicem* [10]. Considera igitur, sintne alii Minæi ab Ammanitis, qui etiam montem Seir incolebant. Eliphaz autem, per interpretationem significat, *Deus me dissipavit*, vel, *Dei mei contemptio*; Thæman autem *defectio eorum*; Baldat, *vetustas*, vel *gloriosus*; Sauchæorum, *loquacitas eorum*; Sophar, *scopus*, vel *contemptio*. In libro au-

[10] II Paral. xx. 23.

VARIÆ LECTIONES.

[x] *Isc.* εὐχαριστηρίους.

Digitized by Google

tem Geneseos reperimus [21], Sophar filium Eliphazi fuisse, quem Esau ex Ada suscepit : Eliphazi autem filius Thæman exstitit, a quo regio, et oppidum, Thæman nomen invenit, quinto decimo lapide ab urbe Petra distans. Videntur autem amici hi, propter necessitudinem et cognationem, liberiore oratione usi fuisse. Sub finem enim historiæ audimus, Eliphazum unum ex numero filiorum Esau fuisse, a quibus etiam hic admirandus generis originem traxit : unde philosophiæ et æquanimitatis adversarii, tanquam facili negotio ipsi persuasuri essent propter sanguinis affinitatem, ad ipsum mittuntur.

« Et accesserunt ad eum unanimiter, ad consolandum et visitandum eum. »

Symmachus vero sic reddidit : *Condixerant enim, ut simul venientes compaterentur ei, et consolarentur eum.* Atque hinc etiam considera, aliud tempus effluxisse, dum, missis inter se nuntiis, congrediuntur, unaque iter suscipiunt. *Visitare* autem, pro *consolari*, dictum est : multum enim temporis videntur apud eum fuisse; haud sane id facturi, si invisere tantum in animo habuissent, quandoquidem plures alii solo visendi studio ad eum ventitarant.

Vers. 12. « Cum vidissent autem eum de longe, non agnoverunt. »

Hoc item loco, mali atrocitatem considera. Non agnoverunt autem eum, quia lues pristinos ejus characteres oblitteraverat : ulceribus enim, corporis formam in summam turpitudinem, vertentibus, immutatos eos fuisse, verisimile est.

Forte etiam illud, *in cœlum suspexisse*, hunc sensum habet : Qua demum ratione hæc evenerint, tu solus nosti, Domine; nos enim præ mentis inopia, eorum quæ acciderunt, causas assequi non possumus.

Vers. 12, 13. « Et aspergentes terram super capita eorum, assederunt ei septem dies et septem noctes. »

Quod autem septem integros dies a mane ad vesperam, septemque noctes a vespera ad mane, juxta illum sederint, Scriptura non dixit. Perspicuum igitur est eos, ubi magnam dicti partem assedissent, discedere solitos, ad necessaria munera obeunda; ac rursus redeuntes, ad multam noctem assedisse, rursusque abeuntes, primo diluculo ad eumdem revertisse ; quod sane verissimorum amicorum, et mutuo calamitatum sensu maxime affectorum, peculiare est. Quotidiani vero sermonis consuetudinem Scriptura secuta, sic libere et solute dixit : *Assederunt ei septem dies et septem noctes.* Sic cum dicit Jacob, annos quatuordecim serviisse, et diei æstu exustum fuisse, ac noctis glacie obriguisse, num ideirco sub tectum nunquam ingressus est, nullamque laborum requiem toto illo

Εὑρίσκομεν δὲ ἐν τῇ Γενέσει τὸν Σωφὰρ υἱὸν ὄντα τοῦ Ἐλιφὰζ τοῦ υἱοῦ Ἡσαῦ, ἐκ τῆς Ἀδᾶς · ὁ δὲ Ἐλιφὰζ υἱὸς Θαιμὰν [a], ἀφ' οὗ ἡ χώρα καὶ κώμη Θαιμᾶν, ἀπέχουσα Πετρῶν δεκαπέντε σημείοις. Φαίνονται οὖν οἱ φίλοι οὗτοι, καὶ τῇ τοῦ σώματος οἰκειότητι, παῤῥησίαν ἔχοντες. Πρὸς γὰρ τῷ τέλει τῆς ἱστορίας ἀκούομεν τὸν Ἐλιφὰζ ἐκ τῶν Ἡσαῦ υἱῶν εἶναι, ἐξ ὧν καὶ ὁ θαυμαστὸς οὗτος ἕλκει τὴν γενεάν · ὅθεν καὶ ὡς ἑτοίμως διὰ τὴν οἰκειότητα πείσοντες, φιλοσοφίας πολέμιοι πέμπονται.

« Καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν, τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν. »

Σύμμαχος οὕτως ἐκδέδωκε, *Συνετάξαντο γὰρ ὁμοῦ ἐλθόντες, συμπαθῆσαι αὐτῷ, καὶ παραμυθήσασθαι αὐτόν.* Ὅρα δὲ ἐντεῦθεν ὡς καὶ ἕτερος παρῆλθε χρόνος, ἕως ὅτε πρὸς ἀλλήλους διαπεμψάμενοι, τὴν ἐπὶ τὸ αὐτὸ σύνοδόν τε καὶ ἄφιξιν ἐποιήσαντο. Τὸ δὲ, *ἐπισκέψασθαι*, ἀντὶ τοῦ, *συμπαθῆσαι*, εἴρηται · φαίνονται γὰρ ἐπὶ πολὺ προσμείναντες αὐτῷ, οὐκ ἂν τοῦτο πεποιηκότες, εἰ μόνον ἐπισκέψασθαι προῃροῦντο, ἐπεὶ ψιλῆς ἕνεκεν θέας πολλοὶ καὶ ἄλλοι παρεγένοντο.

« Ἰδόντες δὲ αὐτὸν πόῤῥωθεν, οὐκ ἐπέγνωσαν. »

Τὸ τοῦ πάθους ἐπαχθὲς κἀντεῦθεν νόει. Οὐκ ἐπέγνωσαν δὲ, τῆς λώβης τοὺς παλαιοὺς αὐτοῦ χαρακτῆρας ἐξαφανισάσης · ἠλλοώθησαν γὰρ, ὡς εἰκὸς, τῶν ἑλκῶν εἰς ἐσχάτην δυσείδειαν μεταβαλλόντων τὴν μορφήν.

Τάχα δὲ τὸ, *εἰς τὸν οὐρανὸν ἀναβλέψαι*, τοιαύτην ἔχει τὴν ἔννοιαν, ὅτι Ὅπως ταῦτα γέγονε, σὺ μόνος ἐπίστασαι, Δέσποτα · ἡμᾶς γὰρ ἀμηχανία κατέχει, οὐ δυναμένους ἐφικέσθαι τῆς αἰτίας τῶν γινομένων.

« Καὶ καταπασάμενοι γῆν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας. »

Οὐκ εἶπε δὲ ἡ Γραφὴ, ὅτι παρεκάθηντο ἑπτὰ ἡμέρας πρωῒθεν ἕως ἑσπέρας, οὐδὲ ἑπτὰ νύκτας ἀφ' ἑσπέρας μέχρι πρωΐας. Δῆλον οὖν, ὅτι τὸ πλεῖον τῆς ἡμέρας παρακαθεζόμενοι, ὑπανεχώρουν τὰς ἀναγκαίας ἐκπληρώσοντες χρείας, καὶ πάλιν ἐπανήκοντες μέχρι πολὺ τῆς νυκτὸς παρεκαθέζοντο, καὶ αὖθις ἀπιόντες, πάλιν ὠρθριζον πρὸς αὐτόν · ὃ δὴ τῶν γνησιωτάτων καὶ συμπαθεστάτων φίλων ἴδιον. Τῇ δὲ κοινῇ συνηθείᾳ χρωμένη ἡ Γραφὴ, οὕτως ἀπολύτως εἶπε, *Παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας.* Ἐπεὶ καὶ ὅτε λέγει τὸν Ἰακὼβ δεκατέσσαρα ἔτη δουλεῦσαι, καὶ συγκαίεσθαι τῷ καύσωνι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἆρα ὑπὸ στέγην οὐκ εἰσῆει ποτέ; ἆρα οὐδεμιᾶς ἀναπαύσεως ἔτυχεν ἐν ὅλῳ τῷ χρόνῳ; Ταῦτα μὲν οὖν καὶ λεπτολογεῖν, φλύαρον · ὡς γὰρ ἔφην, ἡ Γραφὴ κοινῇ συν-

[21] Gen. xxxvi, 4.

VARIÆ LECTIONES.

[a] *Isc.* Θαιμὰν υἱὸς τοῦ Ἐλιφάζ.

Digitized by Google

ηθεία χρῆται. Ἐπειδὴ δέ τινες, κωμῳδοῦντες τὴν Γραφὴν, καὶ ἐντεῦθεν αὐτὴν ὡς ψευδῆ διασύρουσιν. Οὐ γὰρ ἂν, φησὶν, ἄσιτοι διετέλουν, καὶ ἄϋπνοι ἐπὶ τοσαύταις ἡμέραις· ἠναγκάσθημεν αὐτῶν συναπαχθῆναι τῇ ἀκαίρῳ λογολεσχίᾳ.

A tempore habuit? Hæc igitur subtiliter et argute nimis exponere velle, ridiculum est. Scriptura enim, ut dixi, familiari loquendi consuetudine utitur. Quia tamen nonnulli Scripturam subsannantes, ex hoc loco mendacii illam insimulant (impossibile enim fuisse inquiunt, ut tot dies sine cibo, et somno, transigere potuerint), coacti sumus hoc in loco importunam illorum et loquacem nugacitatem imitari.

« Καὶ οὐδεὶς αὐτῶν ἐλάλησε. »

Τέως μέντοι προσχαρτεροῦντες, τάς τε ἡμέρας καὶ νύκτας, καθ' ὃν ἔφην τρόπον, καὶ ὃ τῆς ἀγάπης ἀπῄτει θεσμὸς, οὐδένα λόγον εὗρισκον παραμυθίας, ὑπερνικώσης τῆς συμφορᾶς τὴν ἐκ τῶν λόγων παραψυχήν.

« Et nemo eorum locutus est. »

Interea quidem illi, diebus et noctibus persistentes ratione qua dixi, et quam lex charitatis postulabat, nullam ad levandam ægritudinem orationem idoneam invenerunt, cum calamitas omni verborum solatio longe major esset.

ΚΕΦΑΛ. Γ.

Προθεωρία.

CAP. III.

Protheoria.

Ἀλλ' ἐν τούτοις μὲν τὸ δεύτερον ἤνυσται κεφάλαιον· τοῦ τρίτου δὲ προθεωρίαν ποιούμενοι φαμεν, ὡς ἀλγεῖ μὲν ὁ δίκαιος, καὶ οὐκ ἄν τις ἀρνήσαιτο· οὐ γὰρ τῶν ἀναισθήτων ἡ ἀρετὴ, ἀλλὰ τῶν ἐν τοῖς πάθεσι φιλοσοφούντων. Ὀδυνᾶται κατὰ τὸ φαινόμενον, ὑπὸ τῆς ἐν τῇ σαρκὶ πληγῆς δριμυτάτως κεντούμενος· κατὰ δὲ τὸ νοούμενον, οἷα δίκαιος καὶ φιλόθεος ἀνὴρ ὁρῶν τινας σκανδαλιζομένους ἐπὶ τοῖς αὐτοῦ πάθεσιν, ὡς τῆς τοῦ Θεοῦ δόξης ἐπ' αὐτῷ διασυρομένης, εἰ ὁ δίκαιος τοιαῦτα ὑπομένει. Καὶ γὰρ ὅταν λέγει· *Διὰ τί ἔθου με κατεντευκτήν σου;* οὐκ αὐτὸς κατὰ Θεοῦ ἐνετύγχανε, μὴ γένοιτο· [b] τίνι γὰρ εἶχεν ἐντυγχάνειν; ἀλλὰ τοῦτό ἐστιν ὃ φησιν, Ἵνα τί δι' ἐμὲ, Δέσποτα, τὸ ὄνομά σου βλασφημεῖται; Ἐθορυβεῖτο οὐδὲν ἧττον, καὶ ἰλιγγιᾷ σφοδρῶς, τῇ τοῦ Θεοῦ τετρωμένος ἀγάπῃ, μήπως τελείαν ἐγκατάλειψιν ὑπέστη παρὰ Θεοῦ. Οὐδὲν γὰρ οὕτω τιμωρεῖται ψυχὴν φιλόθεον, ὡς τὸ ὑποπτεύειν καταλελεῖφθαι παρὰ Θεοῦ· καὶ μυριάκις ᾑρεῖτο τὸν θάνατον, ἢ μετὰ ἀλγηδόνων καὶ τοιαύτης ὑποψίας τοῖς ζῶσιν ἐγκαταλέγεσθαι. Ἐπὶ μὲν οὖν τῇ τῶν κτημάτων ἀπωλείᾳ, καὶ τῇ τῶν παίδων ἀθρόᾳ τελευτῇ, οἵας ἀφῆκε χαριστηρίους φωνὰς ἠκούσαμεν· καὶ ὅπως τὴν γυναῖκα ἐξεπαίδευσεν, ἁπρεπές τι περὶ τοῦ Δεσπότου λογισαμένην· καὶ ποῖα μετὰ πεῖραν, καὶ ἐξουδένωσιν, καὶ τὸ δριμὺ πάθος ἐφθέγξατο· καὶ ὡς οὐδὲν αὐτὸν τῶν ἀνθρωπίνων συμπτωμάτων διεθορύβησεν. Ὡς δὲ οἱ φίλοι παρεγένοντο, ἄνδρες δίκαιοι καὶ συμπαθεῖς, εὔκαιρον ᾠήθη, θεωρῶν αὐτῶν τὴν ὑπομονὴν καὶ τὴν ἀγάπην, ἐπ' αὐτῶν εἰπεῖν καὶ δημοσιεῦσαι τὰς κατὰ ψυχὴν ἀλγηδόνας· καὶ φθέγγεται μὲν καθ' ἱστορίαν ἀκίνδυνα [c]. Ἓν γὰρ ἦν τοῦ διαβόλου τὸ σπούδασμα, τὸ παρασκευάσαι τὸν δίκαιον βλασφημῆσαι Θεόν· ὁ δὲ οὐδαμῶς φαίνεται τοῦτο διαπραξάμενος, ἀλλὰ μᾶλλον εὐφημήσας, καὶ χαριστηρίους ἀναπέμψας φωνάς. Καταρᾶται δὲ τὴν ἡμέραν τῆς γεννήσεως, καὶ τὸν θάνατον ἐπιποθεῖ, διὰ τὰς ἀνωτέρω λεχθείσας αἰτίας. Πρὸς δὲ διάνοιαν μυστήριον λαλεῖ, καὶ περὶ τῶν ἤδη προγεγονότων φιλοσοφεῖ, καὶ πληρο-

B Et in his quidem secundum caput absolutum est; capitis autem tertii protheoriam præmittentes, justum in cruciatu esse dicimus, nemo enim est qui hoc negare potest : virtus quippe non eorum est qui sensu carent, sed eorum qui in adversis casibus philosophantur. Externum quidem dolorem et sensibus pervium, plaga corpori inflicta, qua vehementissime stimulabatur, creabat : internum vero animo alebat, quia, cum homo justus, Deoque charus esset, nonnullos suis calamitatibus scandalizari cerneret, ac si ejus causa (qui justus exsistens talia patiebatur) Dei gloria laceraretur. Etenim cum dicit : *Quare constituisti me oblocutorem tuum* [21a] ? ipse Deo oblocutus non est, absit ! qua enim in re C hoc facere potuit? hoc autem est quod dicit; cur mea causa, Domine, nomen tuum blasphematur ? Nihilominus Dei amore sauciatus, plurimum perturbabatur et vacillabat, ne forte a Deo plane derelictus fuisset. Nihil enim adeo animum Dei amore inflammatum excruciat, ut divinæ desertionis suspicio; mortemque millies prius optaret, quam cum angoribus et ejusmodi suspicione, viventium numero accenseri. Quales igitur in fortunarum amissione, ac repentino liberorum interitu, voces grati animi indices protulerit; et quemadmodum conjugem contra quam decebat de Deo cogitantem, increparit; et quænam post tentationem, ad nihilum redactionem, et graves cruciatus, locutus fuerit; et quemadmodum nihil eorum quæ in vita hominum D contingunt, eum perturbaverit, audivimus. Postquam autem amici, homines justi, et malis ejus taeti, advenissent, cognita eorum charitate et patientia, dolores animi et cruciatus coram illis narrare et palam facere opportunum duxit : et in historiæ quidem contextu, res periculi plenas loquitur. Diaboli etenim studium unicum et conatus omnis erat, ut justum ad maledicendum Deo impelleret; verum ille, nullibi hoc fecisse reperitur, imo potius honorifice de eo loquens, voces gratiarum actione plenas edidit. Exsecratur autem diem na-

[21a] Job VII, 20.

VARIÆ LECTIONES.

[b] *Isc.* ἐν. [c] *Isc.* ἐπικίνδυνα.

Digitized by Google

tulem suum, mortemque expetit, propter causas supra memoratas. Si sensum autem verborum spectes, mysterium loquitur, et de præteritis philosophatur, ac futurorum certam spem concipit; ejusmodi enim sanctorum prophetarum verba esse solent. Cum autem ad verba ipsa ventum fuerit, mentem illorum aperiemus, ductum illius in interpretatione nostra sequentes, qui sanctum Jobum ad certamina validum reddidit.

A φορεῖται τὸ μέλλον· τοιαῦται γὰρ ἀεὶ τῶν ἁγίων προφητῶν αἱ ῥήσεις. Ἐπὶ δὲ αὐτῶν τῶν λέξεων γενόμενοι, σαφηνίσωμεν τὴν ἔννοιαν, αὐτοῦ ποδηγοῦντος ἡμᾶς πρὸς τὴν ἑρμηνείαν τοῦ καὶ τὸν ἅγιον Ἰὼβ πρὸς τοὺς ἀγῶνας ἐνισχύσαντος.

Vers. 1. « Post hæc aperuit Jobus os suum. »

Quando justus os aperit, non negligenter iis quæ dicuntur advertendum est, sed ex verbis fructus aliquis est nobis quærendus : sanctorum enim voces utilitatis semper plenæ sunt. Et justus quidem os aperiens, thesauros abditos recludit. Quamobrem etiam vas electionis, Paulus, in epistola ait : *Os meum apertum est ad vos, Corinthii* [28]. Et de Domino scriptum est : *Et aperiens os suum, docebat* [29]. Denique os aperire is dicitur, qui modum silentii antea edoctus est. Enimvero et *Jobus post hoc aperit os suum*, id est, post insigne tropæum, post calamitates et dolores corporis, quos supra modum graves pertulerat, nihil inexploratum loquitur, lingua prudentiæ moderationem præcurrente; sed animi sapientiam sermone prodit. Quin et testimonium illud Scripturæ de eo, quod os aperuerit, mentis ejus tranquillitatem, et in verbis decorum, indicat.

« Μετὰ τοῦτο ἤνοιξεν Ἰὼβ τὸ στόμα αὐτοῦ. »

Ὅτε δίκαιος ἀνοίγει τὸ στόμα αὐτοῦ, οὐχ ἁπλῶς οὑτωσὶ προσήκει προσέχειν τοῖς λεγομένοις, ἀλλὰ τὴν ἐκ τῶν λόγων ἀναζητεῖν ὠφέλειαν· μεστὰ γὰρ αἰεὶ ὠφελείας τῶν ἁγίων τὰ ῥήματα. Καὶ ἀνοίγων τὸ στόμα δίκαιος, κεκρυμμένους δημοσιεύει θησαυρούς. Διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Παῦλος ἐπιστέλλων φησί· *Τὸ στόμα μου ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι.* Καὶ περὶ τοῦ Κυρίου γέγραπται, ὅτι *Ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκε.* Καὶ ἁπλῶς ἐκεῖνος μαρτυρεῖται στόμα ἀνοίγειν, ὁ σιωπῆς μέτρα πρότερον διδαχθείς. Οὐκοῦν καὶ *Ἰὼβ ἀνοίγει τὸ στόμα μετὰ τοῦτο*, τουτέστι, μετὰ τὸ μέγα τροπαῖον, μετὰ ἐκεῖνα τὰ πάθη οὐκ ἀβασανίστως φθέγγεται, περιαλγῶν τῷ σώματι, τῆς γλώσσης φθανούσης τὸ τῆς φρονήσεως ἔνθεσμον, ἀλλὰ σωφρονεῖν καὶ ταῖς φωναῖς ἀποδείκνυται. Δηλοῖ δὲ καὶ τὴν γαλήνην τῆς ψυχῆς, καὶ τῶν ῥημάτων τὸ ἁπρεπὲς [d], ἡ τοῦ ἀνοῖξαι τὸ στόμα αὐτοῦ μαρτυρία.

B

Vers. 1, 2, 3. « Et maledixit diei suo, dicens : Pereat dies in quo natus sum, et nox illa in qua dixerunt, Ecce masculus. »

Justos casibus mœreri adversis dubitari non potest. Jeremiam enim audire potes dicentem : *Maledictus dies in quo natus sum* [30]. Et Moysen : *Interfice me, si sic mihi facturus es* [31]. Negligentius autem se non gerunt, nec animum despondent, aut blasphemam aliquam vocem contra Deum proferunt; verum contra seipsos, aut contra res quæ injuriam pati non possunt, verba mœstitiæ eructant. Ita magnus David montibus Gelboe imprecatur [32], quia in iis dilectus Jonathas, cum patre, ceciderat. Propter causas igitur prædictas mœrore affligitur Jobus; cum autem audax facinus existimaret de Deo iniquum aliquod vel mente concipere, voces mœroris, non improbitatis et blasphemiæ profert : et rei quæ nequaquam exsistit, nocti, inquam ac diei, quæ præterierant, nec amplius D erant, imprecatur, ut ægritudinis magnitudinem ostenderet. Tanquam pius enim de Deo loqui non audebat (ratus humana ratiocinatione ejus providentiam longe superiorem esse) contra seipsum vero duriora verba protulit, ut malis suis hac ratione consolationem aliquam præberet.

Quod autem ad vocabuli vim attinet, diei ac noctis spatium, diem unum Scriptura appellare

« Καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ, λέγων· Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη ἐν ᾗ εἶπαν, Ἰδοὺ ἄρσεν. »

Ὅτι μὲν ἀθυμοῦσιν ἐν ταῖς περιστάσεσιν οἱ δίκαιοι, δῆλον. Ἱερεμίου μὲν ἀκούσῃ λέγοντος· *Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην*· Μωϋσέως δὲ, *Ἀπόκτεινόν με, εἰ οὕτω μέλλεις μοι ποιεῖν.* Οὐκ ὀλιγωροῦσι δὲ, οὐδὲ καταπίπτουσιν, οὐδὲ φθέγγονταί τι παλίμφημον κατὰ Θεοῦ· ἀλλ' ἢ καθ' ἑαυτῶν, ἢ κατὰ πραγμάτων οὐδὲν βλαπτομένων, τὰ τῆς ἀθυμίας ἐκφέρουσι ῥήματα. Καὶ γοῦν ὁ μέγας Δαβὶδ τὰ ὄρη τὰ Γελβουὲ καταρᾶται, διὰ τὸ ἐν αὐτοῖς πεσεῖν τὸν ποθούμενον Ἰωνάθαν, μετὰ τοῦ πατρός. Ἠθύμει τοίνυν καὶ Ἰὼβ διὰ τὰς εἰρημένας αἰτίας· τολμηρὸν δὲ εἶναι κρίνας, τὸ κατὰ Θεοῦ ἄδικόν τι λογίζεσθαι, ἐκφερε [e] ἀθυμίας ῥήματα, οὐχὶ πονηρίας καὶ βλασφημίας· καὶ καταρᾶται πρᾶγμα οὐχ ὑφεστηκὸς, ἀλλ' ἡμερονύκτιον παρελθὸν, καὶ οὐκ ὄν, ἵνα σημάνῃ τὴν ὑπερβολὴν τῆς ὀδύνης. Ὡς μὲν γὰρ εὐσεβὴς περὶ Θεοῦ φθέγξασθαι οὐκ ἐτόλμα, κρεῖττον αὐτὸν [f-g] ἀνθρωπίνων λογισμῶν τὴν αὐτοῦ οἰκονομίαν λογιζόμενος· καθ' ἑαυτοῦ δὲ ἤνεγκε τὸ τραχὺ τοῦ λόγου, παραμυθίαν τινὰ τῷ πάθει περιζόμενος.

Πρὸς μὲν οὖν τὸ ῥητὸν, ἡμέραν μίαν οἶδεν ἡ Γραφὴ [h], τὸ ἡμερονύκτιον· πρὸς δὲ διάνοιαν, τὴν αὐ-

[28] II Cor. vi, 11. [29] Matth. v. 2. [30] Jerem. xx, 14. [31] Num. xi, 15. [32] II Reg. i, 21. [33] Gen. iii, 5.

VARIÆ LECTIONES.

[d] Isc. εὐπρεπές. [e] Isc. ἐκφέρει. [f-g] Isc. κρείττονα τῶν. [h] Isc. καλεῖν.

Digitized by Google

τὴν ἡμέραν καὶ νύκτα καλεῖ, καθ' ἣν εἵληφε τὴν ἀρχὴν ἡ ἁμαρτία· ἡμέραν μὲν ὡς φωτισμοῦ ἔχουσαν ἐπαγγελίαν· *Ἔσεσθε* γὰρ, φησὶν, ὡς *Θεοὶ*· νύκτα δὲ, ὡς ἐπιζοφώσασαν τὴν ψυχὴν, καὶ εἰσάγουσαν τὸν θάνατον, ὅτε λοιπὸν καὶ ἐναργέστερον ἡ διαφορὰ ὤφθη τοῦ ἄρσενος πρὸς τὸ θῆλυ. Ὥστε, κατὰ ταύτην τὴν ἔννοιαν, οὐδὲ τὴν ἡμέραν ὡς κακὴν καταρᾶται, καθὰ τοῖς Μανιχαίοις δοκεῖ, ἀλλὰ τὰ ἐν τῇ ἡμέρᾳ γενόμενα αἰτιᾶται· καθ' ὃ σημαινόμενον καὶ αἱ ἡμέραι πονηραὶ λέγονται, οὐ κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ κατὰ τὰ ἐν αὐταῖς συμβαίνοντα. Καταρᾶται δὲ ἑτέρως ὁ δίκαιος τοὺς ὀνομάσαντας αὐτὸν ἄρσενα, ὡς μόνου Χριστοῦ ὄντος ἄρσενος, καὶ αὐτῷ ἁρμοζούσης τῆς τοιαύτης προσηγορίας, διὰ τὸ ἐκθηλυνθῆναι τὸ τῶν ἀνθρώπων γένος τῇ παρακοῇ, καὶ μηκέτι τοῖς ἡγεμονικωτέροις ὀνόμασι καλεῖσθαι αὐτῷ δύνασθαι. Ἡμέραν οὖν οἶδεν ἐκείνην, ἣν καὶ ἀπολέσθαι προσεύχεται, τὴν γέννησιν τοῦ σαρκικοῦ φρονήματος· διὸ καὶ ἰδίαν αὐτὴν ὀνομάζει, οὕτω καλῶν τὴν τοῦ προπάτορος, ἀπαλλάττων ταύτῃ τὴν δημιουργίαν πάσης κατηγορίας. Τῆς πρώτης γὰρ κατακρίσεως ἐλθούσης εἰς ἡμᾶς, ὡς ἰδίαν ταύτην πενθοῦμεν, ἐπιζητοῦντες τὸν λυτρωτὴν, καὶ ἀρώμεθα τὴν κακίαν, ὡς ἡμέραν φανεῖσαν καὶ παραγαγοῦσαν ἡμᾶς τῆς εὐσεβείας· ὃ γὰρ ἂν ἑκάστῳ φίλον φανείῃ, τοῦτο καὶ ἡμέρα νενόμισται, καὶ οὕτω κλεπτόμεθα, τῆς ἐν ἡμῖν διακρίσεως σφαλλομένης. Τὴν τοιαύτην ἡμέραν ὁ δίκαιος ἀπολέσθαι προσεύχεται, μέχρις ὀνόματος γυμνοῦ τῷ φωτὶ προσεγγίζουσαν· νύκτα δὲ λέγει τῆς ἁμαρτίας τὴν ἀθρόαν καὶ λανθάνουσαν ἔφοδον. Τῆς γὰρ τοιαύτης προσηγορίας ὁ μισόκαλος ἄξιος, οὐχ ὁ αὐτὸς τοῖς πράγμασιν ὤν, καὶ τοῖς ἄφροσι νομιζόμενος, ἀλλὰ σκότος ὤν, καὶ φῶς ὑποκρινόμενος, καὶ τοῦτο τοῖς ἀπατωμένοις δοκῶν· διὸ καθ' ἑτέραν φέρει τὴν ἀρὰν, ἵνα μὴ καθάπερ φῶς, τῆς ἀπάτης τὸ ἑτοιμότατον, μήτε καθὸ νύξ ἐστι λανθάνουσι δόλοις τοὺς πολλοὺς παρακρούσηται. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἀπόλοιτο ἡ ἄνωθεν ἡμέρα, τουτέστιν, ἡ προοιμιάστικὴ, καὶ αἰτία τῆς παραβάσεως, ἡ λύπην, καὶ ἁμαρτίαν, καὶ θάνατον τοῖς ἀνθρώποις κομίσασα, ἥτις καὶ τοῦ σκότους καὶ τῆς πλάνης κατὰ μέρος ἐγένετο γεννήτρια· ἀρχὴ γὰρ ὠδίνων, καὶ πρώτη λύπης ἡμέρα, ἡ τῆς Εὔας ἐχρημάτισε σύλληψις, τουτέστι, τὸ γεννητικὸν τῆς κατάρας προοίμιον· *Ἐν λύπαις* γὰρ, φησὶ, *τέξεις τέκνα*. Ἵνα οὖν δείξῃ ὁ Ἰὼβ πολλὴν τοῦ σώματος αὐτοῦ τὴν ὀδύνην, κατὰ τῆς γεννήσεως αὐτοῦ, καὶ οὐ κατὰ τοῦ Θεοῦ, τὴν κατάραν ἐφθέγξατο· οὐ τὴν ἐνεστῶσαν ἡμέραν, ἀλλὰ τὴν παρελθοῦσαν ἀντιλογῶν, τὴν αἰτίαν τῶν θλίψεων, καὶ ἑαυτὸν παραμυθούμενος κάμνοντα, ἐν τῷ τὴν ἡμέραν ἐκείνην λοιδορεῖν. Οἶδε γὰρ ψυχαγωγεῖν τοὺς σωματικοὺς πόνους ἡ τῶν ἐλεεινῶν φωνῶν ὁμιλία.

A solet; si sensum autem consideres, tempus illud quo peccatum primum cœpit, diem et noctem vocat : ac diem quidem, ob illuminationis promissionem : *Eritis*, inquit, *sicut dii* [27]; noctem vero, quoniam animam tenebris obduxit, et mortem introduxit, quando primum discrimen inter marem et feminam manifestius apparuit. Ita ut juxta hunc sensum, diei, tanquam rei malæ, neutiquam maledixerit, quæ Manichæorum opinio est, sed illa tantum quæ in die evenerant, accusat : juxta quam significationem, dies vocantur mali, non quod tales natura sint, sed propter ea quæ in iis accidunt. Detestatur etiam alia quadam ratione justus eos qui marem illum nuncuparunt; quia Christus solus mas esset, eique maris appellatio proprie competeret, quandoquidem genus humanum Adami inobedientia effeminatum evasit, ut non amplius principalioribus appellationibus vocari queat. Diem igitur agnoscit illum, quem et perire comprecatur, carnalis scilicet sensus generationem : quare suum vocat, qui fuit primi parentis; atque ea ratione, creationem ab omni accusatione liberat. Cum prima enim illa condemnatio ad nos usque pertingat, tanquam nobis peculiarem, liberatorem quærentes deflemus, et pravitati male precamur, quæ tanquam dies apparuit, et nos a pietate abduxit : quidquid enim alicui jucundum est, dies censetur, sic nos errore judicii incauti decipimur. Hunc diem justus cupit deleri, ut qui solo nomine luci vicinus sit : noctem vero dicit, peccati subitum ac furtivum introitum. Et hac quidem appellatione bonitatis osor dignus est, qui alius ab hominibus insipientibus putatur, quam quod re ipsa est, qui cum tenebræ sit, lucem ementitur, et fraude deceptis hominibus talis apparet : quare utrique imprecatur, ne tanquam lux, fraude quæ ei semper ad manum est, aut tanquam nox, latentibus dolis fraudulenter, plebem circumveniat. Quod igitur dicit, ejusmodi est : Pereat prior ille dies, inquam, primigenius, et transgressionis causa, qui tristitiam, peccatum et mortem, intulit hominibus, qui tenebrarum et singulorum errorum exstitit procreator : dolorum enim initium, et primus tristitiæ dies, Evæ conceptus, appellatus est, id est, exordium unde exsecrationes fluxerunt : *In tristitiis*, inquit, *paries filios* [28]. Ut ergo corporis vehementem cruciatum Jobus indicaret, nativitati suæ, non item Deo, imprecatus est; non præsentem diem, sed præteritum, et ærumnarum causam insectando, seque in ærumnis suis solando, dum conviciis diem illum proscindit. Solet enim miserabilium verborum usurpatio dolores corporis mitigare.

B

C

D

« Νὺξ ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι

VERS. 4. « Nox illa sit tenebræ, et non requirat

[28] Gen. III, 16.

VARIÆ LECTIONES.

[1] *Isc.* αὐτό. [j] *Isc.* τῷ ἑτοιμοτάτῳ.

Digitized by Google

cam Dominus desuper, nec perveniat ad eam splendor; excipiant illam tenebræ, et umbra mortis. »

Si verba quidem spectentur, natalem suum diem optat sine splendore esse, itemque noctem, nec lunæ, nec siderum luminibus illustrari, sed densissimis tenebris potius obrui; quod etiam mortis umbram nominat. Si sensum autem respicias, peccatum quale sit, sua ingenita pravitate, omni luce privatum, ut appareat, precibus enixe contendit; ne virtutem simulare valeat, aut lucis specie, rudioribus fucum faciat; sed ut cæca ejus caligine perspecta, ab omnibus vitetur. Vel, si mavis, ne dies ille requiratur, precatur; illo enim requisito necessario ruina quæ hominum generi accidit, in medium venit: quod si minime requiratur, exsecrationis contra nos, et sententiæ quæ inde fluxerat, oblivio fit. Unde postulat ut nullo fulgore dies ille irradietur, ne scilicet peccata quæ in eo Adamus commisit, in conspectum veniant; ac si diceret: Aurem præbeat his precibus meis Deus, ut e dierum numero ille eximatur, ne ortus mei recordatio memoriam calamitatum adducat. Cum autem adjungit: *Excipiant eam tenebræ, et umbra mortis*, in ipsum diabolum, mala quæ propter eum nobis evenerunt, recidere precatur, transfertque noctis nomen ad ea quæ in illa contigerunt (ad exsecrationem, inquam; atque sententiam), tenebras et umbram mortis diabolum appellans. Ad diversorium, inquit, illud ablegetur, conversatione sua dignum; qui mortem invenit, moriatur, et laqueis suis implicetur, neque propter eos, qui ex incogitantia ipsi obtemperant, improbitatis suæ licentiam sortiatur.

VERS. 5. « Superveniat in eam caligo. »

Aquila, Symmachus, et Theodotion, verbis aliis extulerunt; nam Aquila, *obnubilatio*; Symmachus, *caligo*, Theodotion, *nubium obductio*; dixit. Γνόφος autem, est caligo nebulosa. Ad litteram quidem dici obscuritatem precatur; ad sensum vero magis reconditum, ut peccatum, quale natura sua est appareat, enixe flagitat: ne Satanas in angelum lucis transformatus, mala nobis pro bonis obtrudat; sed potius ut cognita quod mala sint, et tenebrarum causa, odio habeantur. Verum hic forte subinferes peccatum invisibile esse: qua enim ratione, quæ non sunt, videre aliquis poterit, cum rerum non subsistentium sensum omnem una cum illis perire deprehendat?

VERS. 6. « Maledictus sit dies, et nox illa, auferant eam tenebræ. »

Numerus, inquit, illius diei ex hominum mentibus eradicetur; hoc enim illud est, *maledictus sit*. Illud autem, *auferant eam tenebræ*, Aquila, *lunæ obscuratio*, reddidit: Dicit autem: Quemadmodum homines in tenebris, nec cernere quidquam, nec ea

A αὐτὴν ὁ Κύριος ἄνωθεν, μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος· ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου. »

Πρὸς μὲν οὖν τὸ ῥητὸν, εὔχεται ἀφεγγῆ γενέσθαι τὴν ἡμέραν αὐτοῦ τῆς γεννήσεως, καὶ τὴν νύκτα, καὶ μὴ καταλαμφθῆναι ταύτην ὑπὸ σελήνης, ἢ ἀστέρων, ἀλλὰ βαθεῖ κατασχεθῆναι σκότῳ, ὃ δὴ καὶ σκιὰν θανάτου καλεῖ. Πρὸς δὲ διάνοιαν, ἐξαιτεῖ τὴν ἁμαρτίαν ἐν τῇ ἰδίᾳ κακίᾳ φαίνεσθαι, ὥσπερ ἐστὶ, μηδὲ ἔχειν φέγγος, ἵνα μὴ ἰσχύσῃ ὑποκρίνεσθαι ἀρετὴν, μηδὲ σχήματι φωτὸς τοὺς ἁπλουστέρους δελεάζῃ, ἀλλὰ γνωριζομένη ὅτι ζοφώδης ἐστὶ, φευκτὴ γένηται. Εἰ δὲ βούλει, μὴ ἀναζητηθῆναι τὴν ἡμέραν ἐκείνην εὔχεται· ἀναζητουμένης γὰρ αὐτῆς, ἀναγκαίως εἰς μέσον τὸ συμβὰν πτῶμα τοῖς ἀνθρώποις B ἔρχεται· μὴ ἀναζητουμένης δὲ, λήθη τῆς ἐφ' ἡμῖν κατάρας καὶ τῆς ἐκεῖθεν ἀποφάσεως γίνεται. Ὅθεν μηδὲ φέγγος ἐλθεῖν ἐπ' αὐτὴν παρακαλεῖ, ὡς μὴ ὁρᾶσθαι τὰ ἐν αὐτῇ παρὰ τοῦ Ἀδὰμ ἡμαρτημένα· ὡσανεὶ ἔλεγε· Δέξαιτό μου ταύτην τὴν ἱκεσίαν ὁ Θεὸς, ὥστε μὴ μετὰ τῶν λοιπῶν ἡμερῶν ταγῆναι, ὡς ἂν μὴ ἡ μνήμη τῆς γεννήσεως ὑπόμνησις τῶν ἐμῶν συμφορῶν γένοιτο. Εἰπὼν δὲ, *Ἐκλάβοι αὐτὴν σκότος καὶ σκιὰ θανάτου*, εἰς αὐτὸν τὸν διάβολον ἐλθεῖν εὔχεται τὰ δι' αὐτοῦ ἡμῖν συμβεβηκότα κακά· αὐτὴν γὰρ τὰ ἐν αὐτῇ συμβάντα λέγει, τὴν κατάραν, καὶ τὴν ἀπόφασιν, σκότος καὶ σκιὰν θανάτου τὸν διάβολον ὀνομάζων. Πρὸς ἐκεῖνο, φησὶ, φερέσθω τὸ καταγώγιον τῆς οἰκείας πολιτείας ἐπ- C άξιον· δέξαιτο τὸν θάνατον ὁ τοῦτον εὑράμενος, ἔστω συμπλεκόμενος τοῖς ἑαυτοῦ δικτύοις· μὴ εὕροι παῤῥησίαν ἐπὶ κακίᾳ, διὰ τοὺς πειθομένους ἐξ ἀβουλίας.

« Ἐπέλθοι ἐπ' αὐτὴν γνόφος. »

Ἀκύλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων, ὁ μὲν, *νέφωσις*, ὁ δὲ, *ἀχλὺς*, ὁ δὲ, *συννέφεια*, ἐξέδωκαν. Γνόφος δέ ἐστι νεφελώδης ἀχλύς. Πρὸς μὲν οὖν τὸ ῥητὸν, τὸ ἀφεγγὲς τῆς ἡμέρας εὔχεται· πρὸς δὲ διάνοιαν, τὴν ἁμαρτίαν, ὅπερ ἐστὶν αὐτὸ τοῦτο, ἐξαιτεῖ φαίνεσθαι· ἵνα μὴ ὁ Σατανᾶς, ὡς ἄγγελος [k] φωτὸς σχηματιζόμενος, δείξῃ τὰ φαῦλα ὡς ἀγαθά· ἀλλὰ γνωριζόμενα ὅτι εἰσὶ φαῦλα καὶ σκότους αἰτία, μισῆται. Ἐπιβαλεῖς δὲ καὶ ὧδε· Ἡ κακία ἀθεώρητος· πῶς γὰρ ἄν τις τὰ μὴ ὄντα καὶ ἱστορήσειεν, συναφανιζομένην εὑρίσκων τοῖς ἀνυπάρκτοις καὶ τὴν ἐπ' αὐτοῖς αἴσθησιν;

« Καταραθείη ἡμέρα, καὶ ἡ νὺξ ἐκείνη ἀπενέγκοιτο αὐτὴν σκότος. »

Τῆς διανοίας, φησὶ, τῶν ἀνθρώπων ὁ τῆς ἡμέρας ἐκείνης ἀριθμὸς ἐξαρθείη· τοῦτο γὰρ τὸ, *καταραθείη*. Τὸ δὲ, *ἀπενέγκοιτο αὐτὴν σκότος*, Ἀκύλας, *σκοτομηνία*, ἔφη· λέγει δὲ, ὅτι ὥσπερ ἐν σκότῳ οἱ ἄνθρωποι ὁρᾷν οὐ δύνανται οὐδὲν, οὔτε εἰδέναι τι τῶν

VARIÆ LECTIONES.

[k] *Ισ.* εἰς ἄγγελον.

Digitized by Google

πρὸ ποδῶν, οὕτως ἐν ἀγνοίᾳ γένοιτο καὶ ἡ τῆς γενέσεως ἡμέρα· πρὸς δὲ νοῦν, ἡ τῆς παραβάσεως, ἡ καθάπερ τι φῶς κλέψασα τοὺς πρώτους ἀνθρώπους, τοῦτο φαίνεσθαι βουλομένη, διὰ τὸ πρόχειρον τῆς ἀπάτης· ἡ γὰρ ἡμέρα [1] νὺξ ἡμέρα γέγονε τῷ δυσμενεῖ, μηδὲν τῆς πονηρᾶς ἐνεργείας εὑραμένη [m] κώλυμα· αὖθις δὲ, ἡ τοῖς φιλοσάρκοις ἡμέρα λογιζομένη, κατὰ τὸ εἰρημένον, *Καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου*, νύξ ἐστι, κυκλοῦσα πανταχόθεν τὸν ἄνθρωπον.

A quæ ante pedes sunt, videre possunt : ita in ignoratione sit nativitatis meæ dies ; ad sensum autem, transgressionis, quæ tanquam lux aliqua primos homines celans, propter fallendi facilitatem sub lucis specie apparere voluit : nox enim immani hosti dies fuit, qui pravarum suarum operationum nullum impedimentum objectum habet ; ac rursus, qui iis qui corporis voluptatibus deliniti sunt, videtur dies (juxta illud : *Et nox illuminatio in deliciis meis* [29]) nox est, quæ undique hominem umbra sua involvit.

« Μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ, μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν. »

« Non sit in diebus anni, neque numeretur in diebus mensium. »

Ὁ Σύμμαχος, *Μηδὲ συναρθείη*. Πρὸς μὲν τὸ ῥητὸν, Ἐξαφανισθείη, φησὶν, ἡ ἡμέρα τῆς γενέσεώς μου, συστελλομένου τοῦ ἐνιαυσιαίου κύκλου. Καὶ ἐπειδὴ τῶν μηνῶν οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους ἔχουσι τὰς ἡμέρας· καὶ ὁ ἐνιαυτὸς κατά τινα περίοδον προσθήκην δέχεται, ὡς ἐπὶ τῆς τετραετηρίδος, φησὶν, ὅτι μήτε εἰς μηνῶν ἀριθμὸν ἔλθοι, μήτε ὡς ἡμέρα τοῦ ἐνιαυτοῦ εἴη ἀριθμουμένη πρὸ τῆς εἰθισμένης περιόδου, μέλλουσα δὲ ἀναφ[αν]ῆναι, παντελῆ λαβέτω λήθην. Πρὸς δὲ διάνοιαν, ἐνιαυτὸν καλεῖ τὸν καιρὸν τῆς παρουσίας τοῦ Κυρίου, κατὰ τὸ εἰρημένον ἐκ προσώπου αὐτοῦ· *Καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν*. Εὔχεται οὖν, ἐν ἐκείνῳ τῷ χρόνῳ μὴ γενέσθαι αὐτῆς μνείαν, ἵνα μὴ λογίζηται ἡμῖν τὰ παραπτώματα, ἐπιφανεὶς τῷ κόσμῳ Χριστὸς, ἀλλὰ πάντων ἀμνηστίαν χαρίζηται.

Symmachus, *Neque copuletur*. Id est, si verba ipsa spectemus : Deleatur dies ille nativitatis meæ, B anni contracta periodo. Et quoniam mensium, alii pluribus, alii paucioribus constant diebus, et annus certo quodam confecto circuitu augetur (id quod quarto quoque anno solet accidere), dies illa, inquit, in numerum mensium non veniat, nec tanquam dies anni, ante usitatam periodum numeretur, et cum apparere debeat, oblivione prorsus obruatur. Ad sensum autem, Domini adventum, annum vocat, juxta illud quod sub ejus persona dictum est : *Vocare annum Domini acceptabilem* [30]. Precatur igitur, ne illo tempore, ejus diei ulla fiat memoria, ne Christus, cum sese orbi terrarum ostenderit, peccata nobis imputet, sed omnia potius oblivione sempiterna deleat.

« Καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη, μηδὲ χαρμονή. »

Vers. 7. « Et non veniat super eam lætitia, C neque gaudium. »

Οὐδὲν οὖν κατὰ Θεοῦ φθέγγεται, οὐδὲ κατὰ τῶν ἔργων αὐτοῦ, ἀλλὰ τοῖς οὐκ οὖσι καταρᾶται, παρηγορῶν ἑαυτὸν, καὶ τὰς ὀδύνας παραμυθούμενος· καὶ γὰρ καὶ ἡ νὺξ ἐκείνη, καὶ τὸ φῶς τῶν ἀστέρων, καὶ τοῦ ἑωσφόρου τὸ λάμψαν ἐν ἐκείνῃ τῇ νυκτὶ παρῳχήκει. Καὶ ὥσπερ οἱ ὑπὸ τῶν ἰατρῶν καιόμενοι, ἢ τεμνόμενοι, τὸ ἱμάτιον ἐνδάκνουσι, καὶ ἐκφαίνουσι τὴν ὀδύνην, οὕτω καὶ ὁ μακάριος οὗτος ταῦτα πάντα σχετλιάζει. Πρὸς δὲ διάνοιαν, τὸ, *Ἡ νὺξ ἐκείνη εἴη ὀδύνη*, ἀντὶ τοῦ, Γνωσθήτω ὅτι φαύλη ἐστὶν ἡ ἁμαρτία, καὶ διὰ τοῦτο μισείσθω ὡς ὀδύνης αἰτία. *Καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη*· εἰ γὰρ ἐλογίσθη ἡμῖν, καὶ μὴ ἀφεθῇ ἡ ἁμαρτία, ἐμελλεν ἂν σφόδρα εἶναι ἐν χαρᾷ ὁ ἡμέτερος ἐχθρὸς, ἡ νὺξ ἐκείνη, τῶν D ἁμαρτιῶν μήτηρ. Εἴτουν [n] αὐτὸς ὁ πολέμιος ἔστω δὲ ἁμαρτάνων [o] τοῦ πονηροῦ σκοποῦ, καὶ διὰ τοῦτο ὀδυνώμενος [p] διαπιπτέτω τῆς θήρας, ἵνα μειζόνως πενθήσῃ· μὴ γενοίμην αὐτὸς τῷ δυσμενεῖ χαρᾶς πρόξενος, τρωθεὶς τοῖς αὐτοῦ τοξεύμασιν.

Nihil contra Deum, neque contra ejus opera loquitur, verum rebus non exsistentibus maledicit, sibi ipsi, et doloribus suis solatium afferens (nox enim etiam illa præteriit, et astrorum et phosphori lumen, quod nocte illa resplenduit). Et quemadmodum qui a medicis uruntur, seu secantur, ad doloris significationem, morsus vestibus infigunt : ita beatus hic illa omnia flebiliter lamentatur. Ad sensum vero : *Nox illa sit dolor*, id est, Peccatum, quod malum sit, cognoscatur, ac proinde tanquam doloris causa odio habeatur. *Et non veniat super eam lætitia ;* si enim peccatum non remitteretur, sed nobis imputaretur, adversarius noster, nox licet illa, et peccatorum parens, gaudium gauderet maximum. Utinam igitur hostis sceleratum suum finem minime assequatur, ac proinde lugens præda frustretur, ut acerbius mœreat ; ne sim ego infenso hosti lætitiæ causa, illius jaculis vulneratus !

« Ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην· ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. »

Vers. 8. « Sed maledicat ei qui maledicit diem illam, qui habet magnum cetum opprimere. »

Ὁμοῦ δὲ προσεύχεται καὶ προφητεύει τὰ μέλλον-

Simul optat et vaticinatur futura, ad Christum

[29] Psal. CXXXVIII, 11. [30] Isa. LXI, 2.

VARIÆ LECTIONES.

[1] *Isc.* del. [m] *Isc.* εὑραμένῳ. [n] *Isc.* εἴθ' οὖν. [o] *Isc.* διαμαρτάνων. [p] *Isc.* ὀδυρόμενος.

Digitized by Google

traducens cogitationem, qui fortem vinciens diabolum, vasa ejus diripuit. Quis enim alius peccato maledixit, illudque in scipso delevit? quis cetum qui intellectu comprehenditur, in potestatem redegit? Serpentem antiquum, peccati suasorem, Leviathan illum, qui in voluptatum nostrarum mollitiem et facilitatem, tyrannidem exercet, et cum summa licentia innatat; quem Scriptura multis in locis, *draconem*, appellat, præcipue vero sub finem hujus libri, cum suis vocibus testetur Deus, fortem illum esse, atque omnibus superiorem : quare nec hoc loco, *cetus*, simpliciter, sed, *magnus*, vocatur. Is igitur, inquit, qui solus cetum immanem capere potest, qui potestate, cui nequit obsisti, pollet, is circa diem et noctem postulationis meæ votum adimpleat.

Vers. 9. « Obtenebrescant sidera noctis illius; permaneat, et in lucem non veniat, et non videat luciferum exorientem. »

Olympiodori, et *Polychronii*. Symmachus vero, *Exspectetur lumen, et non sit, maneat in tenebris.* Ad verbum, ne impertiant, inquit, suum splendorem, id est, ne luceant noctis illius sidera, sed obscura sint, neque astrorum usum ostendant, cursusque siderum illius noctis plane inutilis sit. *Permaneant*, id est, a cursu et illuminatione cessent, neque lucere amplius pergant, aut cursum suum conficere; sed neque noctem illam lux excipiat, neque præteriisse illam quispiam agnoscat; hoc enim significat illud : *Non videat luciferum exorientem*, id est, stellam matutinam, aut solem. Ad sensum autem, peccatum intelligit, quod noctem etiam appellat. Apparentes, inquit, pulchritudines et deliciæ obscurentur, neve aliquando virtutem vincat improbitas; illud enim : *In lucem non veniant*, idem est ac si diceret : Cognoscantur peccati jucunditates quod tenebræ sint, neque fallere, aut in errorem inducere aliquos boni specie valeant : in peccati nocte stella matutina non sit, id est, sermo lucidus et clarus propter probabilitatem apparens. Nam qui peccatis delectatur, sæpenumero perseverat in prolapsione : aut quia voluptatem amplectitur, ejusdemque illecebris delinitur; aut quia probabiles sibi fingit rationes, ob quas putat nequaquam se in errore versari.

Illud, *Non videat luciferum exorientem*, fortasse non deprecando pronuntiavit, verum id quod est indicavit; peccatum enim verbum de Domino sustinere non potest, quod lucifer appellatur (sicut Petrus in Epistolis suis scribit [31]) in cordibus nostris exoriens, splendescente enim luce, tenebræ diffugiunt.

Vers. 10. « Quia non conclusit portas ventris matris meæ. »

Ad verbum, quia meum, inquit, ortum non prohi-

τα, εἰς Χριστὸν ἀναπέμπων τὴν διάνοιαν, ὃς τὸν ἰσχυρὸν δήσας διάβολον, τοῦτου τὰ σκεύη διήρπασε. Τίς γὰρ ἕτερος τὴν ἁμαρτίαν κατηράσατο, καὶ ἐξηφάνισεν ἐν ἑαυτῷ; τίς δὲ τὸ νοητὸν ἐχειρώσατο κῆτος; τὸν ἀρχαῖον ὄφιν, τὸν τῆς ἁμαρτίας εἰσηγητήν, τὸν τῇ ὑγρότητι τῶν ἡμετέρων ἡδονῶν ἐνδυναστεύσαντα Λευϊαθάν, καὶ μετὰ πολλῆς ὅσης ἀδείας ἐννηξάμενον· ὃν πολλαχοῦ ἡ θεία Γραφὴ *δράκοντα* ὀνομάζει, μάλιστα δὲ ἐν τοῖς τελευταίοις τοῦδε τοῦ βιβλίου, ἡνίκα καὶ ἰσχυρὸν, καὶ πάντα ὑπερφέροντα, διὰ τῶν οἰκείων λόγων δείκνυσιν ὁ Θεός· διὰ τοῦτο καὶ νῦν οὐχ ἁπλῶς, *κῆτος*, εἴρηται, ἀλλὰ, *μέγα*. Ὁ τοίνυν, φησὶ, μόνος τὸ μέγα κῆτος ἑλεῖν δυνάμενος, τὸ ἄμαχον ἔχων τὴν δύναμιν, αὐτὸς καὶ περὶ τὴν ἡμέραν καὶ περὶ τὴν νύκτα εἰργάσαιτο τὰ τῆς αἰτήσεως.

« Σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης· ὑπομεῖναι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι, καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα. »

Ὀλυμπιοδώρου καὶ Πολυχρονίου. Ὁ δὲ Σύμμαχος, *Προσδοκηθείη φῶς, καὶ μὴ εἴη, ὑπομεῖναι ἐν σκότῳ.* Πρὸς μὲν τὸ ῥητὸν, Μὴ δοῖεν, φησὶ, τὸ οἰκεῖον φέγγος, ἀντὶ τοῦ, Μὴ λάμψωσι τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης, ἀλλ' ἀφανῆ γένοιτο, μηδὲ τὴν τῶν ἄστρων ἐπιδείξαιντο χρείαν, ἄχρηστος ὀφθείη τῆς νυκτὸς ἐκείνης τῶν ἀστέρων ὁ δρόμος. *Ὑπομεῖναι*, τουτέστι, παύσαιτο τοῦ δρόμου, καὶ τοῦ φωτίσαι, καὶ μὴ ἐμμένοι φαίνοντα, μηδὲ τὸν οἰκεῖον ἐκτελοῦντα δρόμον· ἀλλὰ μηδὲ διαδέξηται τὴν νύκτα ἐκείνην φῶς, μηδὲ γνωσθείη αὕτη ὡς παρερχομένη· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ· *Μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα*, τουτέστι, τὸν ἑωθινὸν ἀστέρα, ἢ καὶ τὸν ἥλιον. Πρὸς δὲ διάνοιαν, τῆς ἁμαρτίας [q] φησὶ, ἣν καὶ νύκτα καλεῖ. Αἱ δοκοῦσαι τερπνότητες, καὶ τὰ κάλλη, ἐξαφανισθείησαν, καὶ μὴ νικήσοι τὰ πονηρὰ τὴν ἀρετήν ποτε· τοῦτο γὰρ λέγει τὸ, *Εἰς φωτισμὸν μὴ ἔλθοι*, ἀντὶ τοῦ, γνωσθείησαν αἱ τῆς ἁμαρτίας τερπνότητες, ὅτι σκότος εἰσὶ, καὶ μὴ ἰσχυσάτωσαν ἀπατῆσαι, μηδὲ πλασάσθαι [r], ὅτι ἔχουσί τι ἀγαθόν· ἐν αὐτῇ δὲ ταύτῃ μηδὲ ἑωσφόρος γένοιτο, λόγος δοκῶν εἶναι φωτεινὸς διὰ πιθανότητα. Πολλάκις γὰρ ὁ φιλαμαρτήμων ἐμμένει τῷ σφάλματι, ἢ τὴν ἡδονὴν ἀποδεχόμενος, καὶ τῷ λείῳ ταύτης θελγόμενος, ἢ λογισμοὺς πιθανοὺς ἀνακινῶν, ἐξ ὧν οἴεται μὴ σφάλλεσθαι.

Ἴσως δὲ τὸ, *Μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα*, οὐκ εὐκτικῶς φησιν, ἀλλὰ αὐτὸ τὸ ὂν ἀπαγγέλλει· οὐ γὰρ δύναται ἡ ἁμαρτία ὑπομεῖναι τὸν περὶ τοῦ Κυρίου λόγον, ἑωσφόρον λεγόμενον, καθὼς ἐπιστέλλει Πέτρος, ταῖς ψυχαῖς ἡμῶν ἀνατέλλοντα· τοῦ γὰρ φωτὸς ἐπιλάμψαντος, τὸ σκότος ὑπαναχωρεῖ.

« Ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου. »

Κατὰ μὲν τὸ ῥητὸν, Ὅτι, φησὶν, οὐκ ἐκώλυσέ με

[31] II Petr. I, 19.

VARIÆ LECTIONES.

[q] *Ισ.* τὴν ἁμαρτίαν. [r] *Ισ.* πλανῆσαι.

Digitized by Google

γεννηθῆναι· καίτοιγε οὐκ ἐν τῇ νυκτὶ ἐτύγχανε τὸ κωλῦσαι αὐτὸν ἐκ μήτρας προελθεῖν. Ἀλλ' ὁ διὰ πάντων λέγει, τοιοῦτον ἔχει τὸν νοῦν, ὅτι ἄμεινον ἦν μὴ γεννηθῆναι, ἢ γεννηθέντα ταῦτα παθεῖν. Πρὸς δὲ διάνοιαν, Ἐπαρῶμαι, φησὶ, τῇ ἁμαρτίᾳ, ὅτι μὴ ἐκωλύθησάν μου αἱ τῆς προθέσεως ὁρμαί· ἀλλὰ καὶ ὠδίνησα τὴν ἁμαρτίαν καὶ ἀπέτεκον, τουτέστιν, ἔργῳ ἔπραξα, τοῦ ἀπηγορευμένου ξύλου γευσάμενος, καὶ μὴ μέχρι ὁρμῆς στάς.

« Διατί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα; ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην; »

Κατὰ μὲν οὖν τὸ ῥητὸν, ἡ ἔννοια πρόδηλος, ὅτι ἄμεινον ἦν, ἢ μὴ τεχθῆναι, ἢ τεχθέντα παραχρῆμα ἀποθανεῖν. Κατὰ δὲ ἀναγωγὴν, Καλόν ἐστι, φησὶν, ἢ μηδὲ ὅλως τινὰ φαῦλον ἡμῖν γεννηθῆναι λογισμὸν, ἢ καὶ εἰ γένοιτο, παραχρῆμα αὐτὸν ἐξαφανισθῆναι.

« Ἵνατί δὲ συνήντησάν μοι τὰ γόνατα; ἵνατί δὲ μαστοὺς ἐθήλασα; »

Κατὰ μὲν τὸ ῥητὸν οὕτως· Οὐκ ὤφειλον, φησὶν, οὔτε εἰς γόνατα τεθῆναι τῆς τροφοῦ, οὔτε γάλακτος μεταλαβεῖν, ἵνα καὶ ζωοποιηθῶ. Κατὰ δὲ τὴν θεωρίαν, Ἵνατί, φησὶν, οὐκ ὤκλασα ἐπὶ τῇ παραβάσει, ἢ ὑπεσκελίσθην, πορευόμενος τοῦ ἀπηγορευμένου γεύσασθαι ξύλου; ἵνατί δὲ καὶ ἐπίδοσίν τινα ἐποίησα ἐπὶ τὰ φαῦλα; Τοῦτο γὰρ λέγει· *Μαστοὺς ἐθήλασα*, τουτέστι, Τοὺς τρόπους τῆς κακίας ηὔξησα.

« Νῦν ἂν κοιμηθεὶς ἡσύχασα, ὑπνώσας δὲ ἀνεπαυσάμην μετὰ βασιλέων, βουλευτῶν γῆς, οἱ ἐγαυριῶντο ἐπὶ ξίφεσιν· ἢ μετ' ἀρχόντων, ὧν πολὺς ὁ χρυσὸς, οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου. »

Ἐκ τούτων παιδευόμεθα, μὴ μέγα φρονεῖν ἐπὶ δυναστείᾳ, ἢ πλούτῳ, ἢ φρονήσει· ὅπουγε καὶ βασιλεῖς, καὶ οἱ τῆς γῆς βουλευταὶ, τουτέστιν, οἱ ἐπὶ σοφίᾳ καὶ βουλῇ μέγα φρονοῦντες, καὶ οἱ γαυριῶντες ἐπὶ ξίφεσιν, ἤγουν ταῖς ἀρχαῖς, ταῖς δυναστείαις, τοῖς κατὰ πολεμίων τροπαίοις, πρὸς δὲ τούτοις, καὶ οἱ πολύχρυσοι, τὸν κοινὸν ἅπασιν ὑφίστανται θάνατον. Οὐδὲν οὖν ἔπασχον δεινὸν, σύνδρομον ὑπομένων τῇ γεννήσει τὸν θάνατον, καὶ μηδενὸς τῶν ἐν βίῳ δοκούντων καλῶν ἐν μεθέξει γενόμενος· ὅπουγε καὶ οἱ ἐπὶ τούτοις μέγα φρονήσαντες, ἴσα τοῖς λοιποῖς ἀνθρώποις τεθνήκασι.

Τί θρηνεῖτε ταῦτα, φησὶν, ἃ μὴ παραμένειν πέφυκεν; Ἀλλὰ* τὸν θάνατον ἡγεῖσθε βαρύν; ἀλλὰ γὰρ μᾶλλον ἡσυχία ἐστὶ τῶν εἰς τὸν παρόντα βίον κακῶν, ἀ' ὃν κἀγὼ ἀπηλλάγην ἂν τῶν κατεχόντων δεινῶν, μηδὲ εἰς φῶς προελθών· ἀλλὰ καὶ νῦν τελευτήσας, ὅμοιος ἔσομαι βασιλεῦσι καὶ ἄρχουσι. Ποῦ γὰρ νῦν ἡ ἐκείνων δυναστεία, καὶ ἡ ἐπὶ τῷ πλούτῳ πεποίθησις, ἢ τε ἐν βουλῇ καὶ ἐν συνέσει μεγαλαυχία; πλὴν κατὰ τὸ ῥητὸν, πῶς ὁ μηδόλως τεχθεὶς ἔμελλεν ὑπνοῦν καὶ ἀναπαύεσθαι; Πρόδηλον οὖν, ὅτι κατὰ τὸ θεωρηματικὸν νοηθήσεται, ὡς εἰ μὴ

A buit : atqui quominus ex utero materno egrederetur, in noctis potestate non erat. Horum autem verborum omnium hæc mens est, multo melius fuisse omnino non nasci, quam natum talia perpeti. Ad sensum autem : Peccatum, inquit, exsecror, quia primi voluntatis meæ motus non sunt repressi ; sed peccatum concepi et peperi, id est, gustando lignum vetitum reipsa patravi, neque intra primos motus constiti.

Vers. 11. « Quare enim in ventre non obii? ex utero autem exii, et non protinus perii? »

Ad litteram si verba sumantur, sensus planus est, melius illi fuisse, aut non nasci, aut natum confestim exstingui. Secundum anagogiam vero : Bonum, inquit, est, aut nullam cogitationem pravam mentibus B nostris innasci, aut conceptam statim deleri.

Vers. 12. « Utquid autem occurrerunt mihi genua? quare autem ubera suxi? »

Ad litteram sic : Neque in genibus, inquit, nutricis collocari debebam, neque ut vivificarer, lac sugere. Ad theoriam vero et sensum magis reconditum : Cur in transgressione non titubavi, aut supplantatus fui, quando ad ligni vetiti gustum proficiscerer? Cur in malis progressus aliquos feci? Illud enim : *Suxi ubera*, idem est ac : Mores improbos auxi.

Vers. 13-15. « Nunc utique dormiens quiescerem, somnum autem capiens requiescerem cum regibus, consiliariis terræ, qui gloriabantur in gladiis ; aut cum principibus, quibus multum fuit C aurum, qui compleverunt domos suas argento. »

Ex his erudimur, propter potestatem, divitias, aut sapientiam, non esse magnopere gloriandum ; quandoquidem reges, et consiliarii terræ, hoc est, qui propter sapientiam et consilium elato animo sunt, et qui gloriantur in gladiis, id est, in imperio, dominatione, et in victoriis ac tropæis de hostibus partis, adde eos etiam qui copia auri abundant, communem omnibus mortis conditionem subire cogantur. Nihil igitur grave et acerbum passus fuissem, si ortus comitem, interitum, subiissem, nulliusque eorum particeps fuissem, quæ in vita videntur bona ; præsertim cum illi, qui ob eas res superbierunt, non secus ac alii homines morte absorpti sint.

Quamobrem hæc, inquit, lugetis, quæ sua natura D fluxa sunt et fugacia? Num mortem duram et molestam putatis? at illa præsentis hujus vitæ malorum requies potius est, quæ me, si in lucem non exiissem, circumstantibus ærumnis liberasset : et nunc quidem moriens, regibus, et principibus similis ero. Ubi enim nunc illorum dominatus, et in divitiis fiducia? ubi consilii et prudentiæ superba jactantia? Verum si verba nuda spectentur, qui fieri potest, ut in lucem nunquam editus, somnum et quietem capere potuerit? Manifestum igitur est quod secundum

VARIÆ LECTIONES.

* Ἰσ. ἆρα.

Digitized by Google

theoriam intelligendum sit, scilicet, si primus parens peccatum non admisisset, sempiterna se quiete, quasi jucundissimo somno, fruiturum fuisse.

τὴν ἁμαρτίαν ὁ προπάτωρ εἰργάτατο, εἰς αἰῶνας ἀνεπαύετο, οἷά τις ὑπνῶν ἡδέως.

Vers. 16. « Aut tanquam abortivum exiens de vulva matris, aut tanquam infantes qui non viderunt lucem. »

« Ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, ἢ ὥσπερ νήπιοι οἳ οὐκ εἶδον φῶς. »

Polychronii et *Olympiodori*. Postquam dixisset, optasse se, ut mors egressum suum ex utero materno statim excepisset, amplificandi causa subinfert: Aut quasi embryon lucem non videns. Utinam, inquit, maternos dolores mors insecuta fuisset, ut ad sepulcrum elato, lactis nutrimento mihi opus non fuisset; sic enim non modo nihil grave et acerbum pertulissem, sed etiam a vitæ molestiis liberatus fuissem. Quid autem dico, statim a nativitate emori me exoptasse? utinam ne primitus quidem ad membrorum in utero efformationem pervenissem. Ne videatur seipsum efferre, fetui abortivo se comparat. Abortus est, fetus nondum in utero perfecte formatus: infantem autem dicit eum, qui nec malorum nec bonorum quæ in vita sunt sensum adhuc percepit. Horum autem ratio et causa, cur nonnulli, scilicet, fetus minime absolvantur, alii vero perfecti quidem, sed tamen mortui in lucem edantur, quidam etiam in ipso partu exstinguantur, judicio divino, quod captum nostrum longe exsuperat, relinquendum est. Fetibus autem informibus invideo, qui ægritudinem nullam experti sunt, neque in difficultates aliquas aut molestias inciderunt; sed quemadmodum sine labore in mundum venerunt, sic sine ullo doloris sensu inde abierunt. Illis etiam invideo, qui immatura ætate decesserunt; hi enim brevi tempore vitam intuentes, subito exstincti sunt. Deinde, ne quis illic paria esse omnia arbitretur, inter pium et impium discrimen esse positum ostendit, dum addit:

Πολυχρονίου καὶ Ὀλυμπιοδώρου. Ἐπειδὴ ἔφησεν, ἐθέλειν τὴν ἐκ τῆς μητρικῆς γαστρὸς πρόοδον διαδεδέχθαι θάνατον, κατὰ αὔξησιν ἐπάγει, Ἢ ὥσπερ ἔμβρυον μὴ ἰδὸν φῶς. Εἶθε, φησὶ, τὰς μητρικὰς ὠδῖνας διεδέξατο θάνατος, ὥστε μηδὲ τῆς τοῦ γάλακτός με δεηθῆναι τροφῆς, εἰς τάφους ἀπενεχθέντα· οὕτω γὰρ οὐ μόνον οὐδὲν δεινὸν ὑπέμεινα, ἀλλὰ καὶ τῆς τοῦ βίου δυσχερείας ἀπηλλάγην. Τί δέ φησι[1] λέγων γεννηθέντα ἀποθανεῖν; εἶθε μηδὲ τὴν ἀρχὴν εἰς διαμόρφωσιν ἦλθον. Ἵνα μὴ δόξῃ ἑαυτὸν ἐπαίρειν, καὶ τοῖς ἀμβλωθριδίοις ἑαυτὸν παραβάλλει. Ἔκτρωμα γάρ ἐστι, τὸ μηδέπω διαμορφωθὲν τελείως ἐν τῇ γαστρί· νήπιον δὲ λέγει τὸν μήπω δεξάμενον αἴσθησιν τῶν τοῦ βίου καλῶν ἢ κακῶν. Τὸν δὲ περὶ τούτων λόγον, διά τί οἱ μὲν οὐδὲ τελεσφοροῦνται, οἱ δὲ καὶ τελεσφορηθέντες νεκροὶ γεννῶνται, οἱ δὲ ὁμοῦ τῇ γεννήσει τὸν θάνατον ὑπομένουσι, τοῖς ἀνεφίκτοις τοῦ Θεοῦ κρίμασι καταλειπτέον. Πλὴν, φησὶ, ζηλῶ τὰ ἔμβρυα, ἃ οὐδεμιᾶς ἐπειράθη ὀδύνης, οὐδὲ πραγμάτων τινῶν δυσχερείαις περιέπεσεν· ἀλλ' ὥσπερ ἀπόνως ἦκεν, ἀνοδύνως ἀπῆλθεν, οὐδενὸς ἐπαισθόμενα. Ζηλῶ δὲ καὶ τοὺς ἐν ἀώρῳ τῇ ἡλικίᾳ θανόντας· καὶ οὗτοι γὰρ πρὸς ὀλίγον παρακύψαντες εἰς τὸν βίον, θᾶττον ἀπεσβέσθησαν. Εἶτα, ἵνα μή τις οἴηται πάντα ἴσα εἶναι ἐκεῖ, δείκνυσιν ὡς ἔστι διαφορὰ ἀσεβῶν τε καὶ εὐσεβῶν· ἐπάγει γάρ·

Vers. 17. « Illic impii accenderunt furorem iræ: ibi requieverunt fatigati corpore. »

« Ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς, ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι. »

Disciplina nos erudit præstantissima, et mortis lucrum ac quæstum nos docet, quod licet propter peccatum mors exsistat, Dei nihilominus benignitate et dispensatione, in hominum bonum et utilitatem convertatur: impii enim et superbi, ea ratione ab improbitate et insanabili furore, etiam inviti abscinduntur, et cessant; et *qui corpore sunt defatigati*, id est, qui corporis doloribus cruciantur, et rerum adversarum molestiis exercentur, laborum exitum consequuntur.

Nullum igitur malum mihi accidere postulo; sed mortem, quam Deus ad mortalium commodum et utilitatem instituit. Verum cum libri quidam habeant: *Ibi impii accenderunt furorem iræ*, hic verborum sensus esse potest, quod qui in hac vita minime castigantur, sed in impietate permanent, divinæ iræ supplicium sibi ipsis arcessant. Theodotio autem ad hunc modum interpretatus: *Sedarunt furorem iracundiæ*, sensum alium affert, quod scilicet, ab improbitate sua cessaverint.

Κάλλιστον οὖν ἡμᾶς διδάσκει μάθημα, καὶ δείκνυσι τὸ τοῦ θανάτου ἐπικερδές· ὅτι εἰ καὶ δι' ἁμαρτίαν ὁ θάνατος, ἀλλ' οὖν χρησίμως καὶ φιλανθρώπως ὁ Θεὸς τοῖς ἀνθρώποις καὶ τοῦτον ᾠκονομήσατο· οἵ τε γὰρ ἀσεβεῖς καὶ ἀλαζόνες ἀνακόπτονται τοῦ κακοῦ, καὶ τῆς ἀνιάτου μανίας καὶ ἄκοντες παύονται· οἵ τε *κατάκοποι τῷ σώματι*, τουτέστιν, οἱ ἐν ὀδύναις σωματικαῖς ὄντες, καὶ ἐν δυσχερείαις πραγμάτων ἐξεταζόμενοι, τῶν πόνων λήγουσιν.

Οὐδὲν οὖν, φησὶν, αἰτῶ συμβῆναί μοι φαῦλον, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ τοῖς ἀνθρώποις χρησίμως οἰκονομηθὲν, τὸν θάνατον. Ἐπειδὴ δὲ ἕτερα βιβλία ἔχει· *Ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς*, οὕτω νοήσεις, ὅτι οἱ μὴ ἐνταῦθα παιδευθέντες, ἀλλ' ἐμμείναντες τῇ ἀσεβείᾳ, τὴν ἐκ τῆς θείας ὀργῆς κόλασιν ἑαυτοῖς ἐπισπῶνται. Ὁ δὲ Θεοδοτίων· *Ἐκόπασαν ὀργῆς θυμὸν*, ἐκδοὺς, ἕτερον νοῦν ὑποβάλλει, ὅτι ἐλώφησαν τῆς ἰδίας κακίας.

VARIÆ LECTIONES.

[1] *Ισ.* φημι.

Digitized by Google

« Μικρὸς καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ. » A

Ταῦτα περὶ τοῦ θανάτου διὰ πολλῶν ἐφιλοσόφησεν ὁ σηπόμενος, καὶ σκώληκας βρύων, καὶ τῷ ἰχῶρι περιῤῥεόμενος, καὶ ὥσπερ τῶν ἀλγηδόνων ἐπιλαθόμενος, καθαρῷ διανοίας ὄμματι τὰ κάλλιστα ἡμῖν τῶν μαθημάτων παραδέδωκεν. Ἡμεῖς δὲ τούτων εἰς ἔννοιαν οὐκ ἐρχόμεθα· εἰ γὰρ τοῦ θανάτου τὴν μνήμην εἴχομεν, βελτίους ἂν ἐγενόμεθα, καὶ πλούτου, καὶ δυναστείας, καὶ τῶν ἐν τῷ βίῳ δοκούντων τερπνῶν ῥᾳδίως ἂν περιεφρονοῦμεν.

« Ἵνατί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς; ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; »

Πολλαχοῦ ἡ Γραφὴ τὸ, *Ἵνατί;* ἐπὶ παρακλήσεως τίθησιν, οὐκ ἐπὶ ἀποδυσπετήσεως· ὡς ἐπὶ τοῦ· *Ἵνατί, Κύριε, ἀφέστηκας μακρόθεν;* Καὶ, *Ἵνατί, ὦ Θεὸς, ἀπώσω εἰς τέλος;* Οὐ γὰρ μέμφεται, οὐδὲ αἰτιᾶται, ἀλλ' ἱκετεύει μὴ ἐγκαταλειφθῆναι ἐν ταῖς ὑλίψεσι, μηδὲ ἀπωσθῆναι εἰς τέλος. B

Ἐπειδὴ τοίνυν φωτὸς καὶ ζωῆς εἶ χορηγὸς, Κύριε, περίελε τὰς ὀδύνας, περίελε τῆς ψυχῆς τὴν πικρίαν· ὡς νῦν γε τοῦ ὀδυνηροῦ βίου ὁ θάνατος αἱρετώτερος.

« Θάνατος ἀνδρὶ ἀνάπαυμα· συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ. »

Εἰπών γε μὴν ὁ Ἰὼβ, ὅτι θάνατος ἀνδρὶ ἀνάπαυσις, καὶ τὴν αἰτίαν εὐθὺς ἐπήγαγε· *Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ.* Καθ' ἑκάτερα, φησὶν, ὁ θάνατός ἐστιν ἀνάπαυσις· πέρας γάρ ἐστι τοῦ ἐνταῦθα βίου, καὶ συγκλείει τὰς ἐνταῦθα τῶν ἀνθρώπων πράξεις, ὥστε μὴ δύνασθαι ἡμᾶς ἔτι φαῦλόν τι πράττειν· ἀλλὰ καὶ τὰ κατὰ τοὺς πόνους τῆς ἀρετῆς πέρας ἔχει· ἐκεῖ γὰρ οὐκέτι οἱ ἀγῶνες, ἀλλ' οἱ στέφανοι· οὐκέτι οἱ ἱδρῶτες, ἀλλ' ἡ ἀνάπαυσις. Τὸ οὖν, *Συνέκλεισεν ὁ Θεὸς κατ' αὐτοῦ*, ἀντὶ τοῦ, Καὶ τῶν πόνων τῶν περὶ τὴν ἀρετὴν πέρας ἔχει ὁ θάνατος, καὶ τῆς κακίας ἀποχήν. Τάχα δὲ, ἵνα μὴ λέγῃ τις, ὅτι Εἴπερ ὁ θάνατός ἐστιν ἀνάπαυσις, τίνος ἕνεκεν οὐ χαιρῇ [a] αὐτόν; *Συνέκλεισε*, φησὶν, *ὁ Κύριος κατ' αὐτοῦ*· αἱ πύλαι, φησὶ, κεκλεισμέναι εἰσὶν· οὕτω καὶ ὁ Σύμμαχος ἐξέδωκεν· *Ἀπέῤῥαξεν ὁ Θεὸς κατ' αὐτοῦ*, τουτέστιν, ἀνενέργητον αὐτὸν ἐποίησεν. Ἄμεινον δὲ οἶμαι τὸ πρῶτον. Τινὰ δὲ τῶν βιβλίων ἐν τῷ μεταξὺ, τοῦ τε, *Θάνατος ἀνδρὶ ἀνάπαυσις*, καὶ τοῦ, *Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ*, ἔχουσι καὶ τοῦτον τὸν στίχον, *Οὗ ἡ ὁδὸς ἀπεκρύβη ἀπ' αὐτοῦ.* Ὁ δὲ νοῦς οὗτος, Τοῦ θανάτου ἡ ὁδὸς ἀπεκρύβη ἀπὸ τοῦ ἀνθρώπου· οὐ γὰρ οἶδεν ὁ ἄνθρωπος, πότε ὁ θάνατος ἐφίσταται, διὰ τὸ αἰφνίδιον καὶ τὸ ἄδηλον· κατὰ τὸ εἰρημένον, *Ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται.* Τινὲς δὲ τὸ, *Οὗ ἡ ὁδὸς ἀπεκρύβη*, τοῦ ἀν- C D

Vers. 19. « Pusillus et magnus ibi est, et servus timens dominum suum. »

Hæc de morte pluribus philosophatus est, qui tabe putrescebat, qui vermium fontibus scatebat, et sanie diffluebat, ac quasi dolorum oblitus, clara mentis acie optimas nobis tradidit disciplinas. Ipsi autem nullam harum rerum cogitationem suscipimus; si enim mortis memoria animo nostro obversaretur, meliores evaderemus, et divitias, ac principatus, et quidquid est in vita jucundum, facile contemneremus.

Vers. 20. « Ut quid enim data est eis qui in amaritudine sunt, lux? et vita animabus quæ sunt in doloribus? »

Scriptura multis in locis, illud, *ut quid?* ad deprecationem, non autem ad impatientiam ullam exprimendam usurpat, juxta illud: *Utquid, Domine, recessisti longe* [22]? Et: *Utquid, Deus, repulisti in finem* [23]? Non enim expostulat, aut criminatur, sed precibus contendit, ne in rebus adversis deseratur, neve finaliter repudietur.

Quandoquidem igitur tu, Domine, vitæ et lucis largitor es, tolle dolores, aufer animi ægritudinem: nam ut nunc se res habet, vita hac doloribus plena mors optabilior est.

Vers. 23. « Mors viro requies, conclusit enim Deus super eam. »

Jobus autem cum dixisset mortem viro quietem esse, causam statim subjungit: *Conclusit enim Deus super eam.* Duplici, inquit, nomine mors requies est; vitæ enim hujus terminus est, et actiones hominum quæ hic geruntur concludit; ita ut scelerate agere amplius in potestate nostra non sit: quinetiam virtutis studia et labores, in morte finem sortiuntur; illic enim non amplius certamina, sed corona; non amplius sudores, sed requies. Illud igitur: *Conclusit Deus super eam;* id est: Laborum qui virtutis causa suscipiuntur, in morte finis est, et improbitatis cessatio. Fortasse etiam, ne quispiam diceret, si mors requies est, cur igitur non eam eligis? *Deus*, inquit, *conclusit super eam;* portæ, inquit, clausæ sunt; sic enim Symmachus reddidit: *Sepsit Deus contra eam*, id est, ineffícacem eam reddidit. Verum prius illud magis probo. Habent nonnulli libri, inter ea verba, *Mors viro requies*, atque inter hæc, *Conclusit enim Deus super eam*, versum hunc interjectum, *Cujus via abscondita est ab eo.* Sensus autem hic est: Mortis via abscondita est ab homine; quando enim mors instet, propter incertum et subitum ejus adventum, homines ignorant; juxta illud: *Quia dies Domini, ut fur in nocte, sic veniet* [24]. Quidam autem illud: *Cujus via abscondita est ab eo*, de homine interpretantur: mihi vero de morte potius intelligendum videtur, quod ex præcedentibus satis liquet, et ex

[22] Psal. x, 1. [23] ibid. xliii, 2. [24] II Petr. iii, 10.

VARIÆ LECTIONES.

[a] *Isc.* οὐχ αἱρῇ.

Digitized by Google

eo quod dicat : *Effodientes eam tanquam thesaurum*[35], scilicet, absconditum.

Vers. 24. « Ante escas quippe meas gemitus adest, et fleo ego coarctatus timore. »

Olympiodori et *Polychronii*. Causam exponit, cur mortem exoptet. Quod autem dicit est hujusmodi : Haud quispiam dixerit, hæc leviter a me ac temere proferri, quasi nihil mali paterer, quandoquidem nec cibum ipsum sine labore capere possum, nec sine gemitu eum sumo; semper autem ærumnis gravatus ingemisco, et malorum additamentum in dies exspecto, necnon ex præteritis futura pertimesco; neque hoc tantum, sed, veritus ne me Deus
B plane deseruerit, lacrymas fundo; ita ut melius omnino fuerit non exstitisse, quam hoc pati.

Vers. 25. « Timor enim quem verebar, venit mihi; et quem metueram, occurrit mihi. »

Illa Davidis verba haudquaquam usurpavit : *Ego dixi in abundantia mea : Non movebor in æternum*[36]; sed propter excellentem philosophiam et æquanimitatem, rerum in contrarium statum mutationem secum meditans, metum semper alebat.

CAPUT IV.

Protheoria.

Iis quæ Jobus philosophatus est, palam ostendit quod dolores quidem sentiret; sed in mediis cruciatibus extra corpus constitutus esset : quin et de immortalitate animæ præstantissimam doctrinam
C proposuit, animas cum corporibus nequaquam exstingui, sed neque sepulcro includi, docens; et rerum omnium, terribilium simul, et quæ in vita jucundæ esse videntur, finem esse confirmans, divites etiam erudivit, et pauperes solatus est : et quod mortis mysterio Deus hominum utilitati consuluerit, quia, scilicet, improbitatem cohibeat, et laboribus ac molestiis quietem largiatur; quod in prospera fortuna insanire non oporteat, sed vitæ mutabilitatem potius considerare, et metuere; et quod mori longe melius sit, quam Deum offendere. Hæc cum Eliphazi comitibus minime intellecta essent, ac verba, quibus moriendi desiderium justus testabatur, impia in Deum maledicta arbitrarentur, inconsidero zelo concitati, et irascibili animi parte
D turbata, circa divinæ Providentiæ rationes hallucinantur : et propter peccata solum homines mala pati, existimantes, Deique patrocinium suscipientes (quod Jobum, scilicet, tanquam peccatorem merito suppliciis afficeret), qui consolandi causa accesserant, dolorum incrementum facti sunt. Verum hoc nulla malevolentia ab illis fit, sed terrore injecto, amicum ad pœnitentiam agendam, et ad meliorem mentem, et saniora consilia, traducturos se hac ratione arbitrati sunt. Quocirca stomachatur iis

[35] Job III, 21. [36] Psal. XXIX, 7.

A θρώπου φασί· ἐμοὶ δὲ τοῦ θανάτου δοκεῖ λέγειν· καὶ δῆλον ἐκ τῶν προειρημένων, καὶ τοῦ λέγειν· *Ἀνορύττοντες αὐτὸν ὥσπερ θησαυρὸν*, δηλονότι κεκρυμμένον.

« Ἡρὸ γὰρ τῶν σίτων μου στεναγμὸς ἥκει· ἀκρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ. »

Θλυμπιοδώρου καὶ *Πολυχρονίου*. Αἰτίαν ἀποδίδωσι τοῦ ποθεῖν τὸν θάνατον, Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐκ ἔχει τις εἰπεῖν, ὡς τηνάλλως ταῦτά φημι, οὐδὲν δεινὸν παθών· οὐδὲ γοῦν τὴν τροφὴν, φησὶν, ἀπονητὶ λαβεῖν δύναμαι, οὐδὲ ἀστενακτὶ ταύτης μεταλαμβάνω· ἀεὶ δὲ τοῖς πάθεσι βαρούμενος στένω, καὶ ἑκάστοτε αὔξησιν τῶν δεινῶν ἐλπίζω, καὶ δέδοικα τὸ μέλλον ἀπὸ τῶν παρελθόντων, οὐ μόνον δὲ ἀλλὰ καὶ δακρύω, φοβούμενος μή τι ἄρα τέλειον
B ὑπὸ Θεοῦ ἐγκατελείφθην· ὡς ἄμεινον μὴ γενέσθαι ὅλως, ἢ τοῦτο παθεῖν.

« Φόβος γὰρ ὃν ἐφρόντισα, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. »

Οὐκ εἶπε κατὰ τὸν Δαβὶδ, *Ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα*· ἀλλ' ἐξ ὑπερβαλλούσης φιλοσοφίας ἀεὶ περιδεὴς ἦν, τὴν εἰς τὸ ἐναντίον μεταβολὴν ἐνοῶν.

ΚΕΦΑΛ. Δ'.

Προθεωρία.

Ὁ μὲν Ἰὼβ ἐν οἷς ἐφιλοσόφησεν, ἔδειξεν, ὡς ἐπαισθάνεται μὲν τῶν ἀλγηδόνων, ἔξω δὲ γίνεται τοῦ σώματος ἐν αὐταῖς μέσαις ταῖς βασάνοις· εἰσηγήσατο δὲ καὶ τὸ περὶ ἀθανασίας ψυχῆς κάλλιστον μάθημα, δι' οὗ διδάσκει, μὴ συναπόλλυσθαι τοῖς σώμασι τὰς ψυχὰς, ἀλλ' ἐν ᾅδου [y] τυγχάνειν· καὶ ἐπαίδευσε τοὺς πλουσίους, καὶ παρεμυθήσατο τοὺς ἐν ἀνάγκαις, πέρας ἁπάντων λέγων εἶναι, καὶ τῶν ἐν βίῳ φοβερῶν, καὶ τῶν δοκούντων ἡδέων· καὶ ὅτι χρησίμως ὑπὸ Θεοῦ τοῖς ἀνθρώποις τὸ τοῦ θανάτου ᾠκονομήθη μυστήριον, διὰ τὸ καὶ κακίαν ἐπέχειν, καὶ πόνων φέρειν ἀνάπαυλαν· καὶ ὡς οὐ δεῖ καταφρονεῖν [x] ἐν ταῖς εὐθηνίαις, ἀλλ' ἐννοεῖν τοῦ βίου τὸ εὐμετάπτωτον, καὶ δεδοικέναι· καὶ ὅτι τὸ ἀποθανεῖν ἄμεινον, ἢ ἐν προσκρούσει γενέσθαι Θεοῦ. Ταῦτα δὲ οὐ νενοηκότες οἱ περὶ τὸν Ἐλιφάζ, ὑποπτεύσαντες δὲ βλασφημίαν εἶναι κατὰ Θεοῦ, τὸ παθεῖν τὸν δίκαιον ἀπαλλαγῆναι τοῦ βίου, ἀλόγῳ κι-
D νοῦνται ζήλῳ, καὶ ἐκταραχθέντος αὐτοῖς τοῦ θυμικοῦ, πλανῶνται περὶ τοὺς τῆς Προνοίας λόγους· καὶ νομίζοντες, ὅτι δι' ἁμαρτίας μόνον πάσχουσιν οἱ ἄνθρωποι, τὴν ὑπὲρ τοῦ Θεοῦ δῆθεν συνηγορίαν ἀναλαβόντες ὅτι δικαίως, καὶ ὡς ἁμαρτωλὸν τιμωρεῖται τὸν Ἰὼβ, προσθήκη τῶν ἀλγηδόνων οἱ ἐπὶ παραμυθίαν ἥκοντες αὐτῷ γεγόνασι. Ποιοῦσι δὲ τοῦτο οὐ κακονοίᾳ τινὶ, ἀλλ' οἰόμενοι τὸν ἑαυτῶν φίλον ἐπιστρέφειν, καλλίονα ποιεῖν, καὶ διὰ τοῦ ἐκφοβεῖν ἐπὶ μετάνοιαν προτρέπειν. Διὸ καὶ ὑπὸ Θεοῦ ἀγαναχτοῦνται μὲν, ὡς οὐ δίκαια λαλήσαντες· συγ-

VARIÆ LECTIONES.

[y] *Isc.* add. οὐδέ. [x] *Isc. παραφρονεῖν.*

Digitized by Google

χωροῦνται δὲ, ὡς οὐ κακονοίᾳ τινὶ, εὐνοίᾳ δὲ μᾶλλον τῇ περὶ τὸν δίκαιον, καὶ τῇ πρὸς Θεὸν εὐλαβείᾳ, τοιαῦτα φθεγξάμενοι. Ἔστιν οὖν οὐδὲ ἡ τῶν φίλων ἀντιλογία ἡμῖν ἀλυσιτελὴς, εἰ καὶ μὴ κατὰ τὸ δέον, μηδὲ ἐν καιρῷ, μηδὲ ἐπὶ προσώπου ταῦτα μὴ ὀφείλοντος ἀκούειν, γέγονε. Πρῶτα μὲν γὰρ διδασκόμεθα, μὴ ὡς ἔτυχε τὰς παραινέσεις ποιεῖσθαι, ἀλλὰ μετὰ πολλῆς εὐλαβείας, καὶ δεήσεως τῆς πρὸς τὸν Θεὸν, ὅπως ἀπλανεῖς ἡμῶν καὶ ἀδιαστρόφους φυλάξῃ τοὺς λογισμούς· καὶ ὅτι οὐδεμία ὠφέλεια, μᾶλλον δὲ καὶ βλάβη, τῷ μὴ κατὰ τὸ δέον κρίνοντι, κἂν ὑπὲρ Θεοῦ δοκῇ ποιεῖσθαι τοὺς λόγους. Χρὴ τοιγαροῦν μετὰ φόβου Θεοῦ ποιεῖσθαι τοὺς λόγους· πέφυκε γὰρ ὁ πονηρὸς ἐφεδρεύειν ἡμῶν ταῖς διαλέξεσι, καὶ τὸ θυμικὸν τῆς ψυχῆς ἐκταράττειν μέρος, ὡς ἂν σκοτωθέντες τὸν νοῦν, καὶ τῆς εὐσεβείας [f] παρατραπέντες, οἱ ἐπὶ ὠφελείᾳ πολλάκις συναχθέντες, βλάβης αἴτιοι ἑαυτοῖς γενώμεθα. Πιθανῷ δὲ προοιμίῳ χρησάμενος ὁ Ἐλιφὰζ, ἐν μέσοις πλανᾶται τοῖς λόγοις, καὶ πειρᾶται δεικνύναι, ὡς δι' ἁμαρτίας πάσχει ὁ Ἰὼβ, καὶ ἐπιστρέφειν τὸν ἐπεστραμμένον, καὶ πρὸς θεοσέβειαν ἕλκειν τὸν ἄμεμπτον καὶ θεοσεβῆ, καὶ παρ' αὐτὰς μέσας ἀλῃδόνας τοιαῦτα φιλοσοφήσαντα.

A lieus, tanquam hominibus minus justa locutis; veniam tamen illis largitur, quia non a malevolo animo, sed a benevolentia erga hunc justum, atque a pietate erga Deum, illorum instituta esset oratio. Altercatio autem amicorum Jobi, et contradictio, licet neque secundum decorum, neque tempore opportuno, et coram persona ad audiendum idonea, exstiterit, nobis inutilis non est. Principio igitur hoc docemur: non temere adhortationes faciendas esse, sed magna cum cura, ac precibus ad Deum fusis, ut sine errore et depravatione cogitationes nostras custodire velit; et, quod is qui contra quam oportet judicat, non modo ex suo judicio utilitatem nullam, sed damnum potius percipiat, quamvis Dei causam verbis tueri videatur. B Cum timore igitur Dei omnis sermo habendus est; improbus enim dæmon nostris solet insidiari sermonibus, et partem animi irascibilem perturbare, ut mente obcæcati, et a recta via declinantes, qui utilitatis causa sæpenumero convenerunt, iidem nobis mali ac damni simus auctores. Eliphazus autem exordio usus ad persuadendum accommodato, in media oratione errat et vagatur, et Jobum propter peccata malis torqueri, probare nititur; ac conversum convertere, et ad pietatem traducere eum conatur, qui omni reprehensione vacabat, et Deum religiose colebat, quique in mediis cruciatibus talia philosophatus fuerat.

« Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει. »

Τὸ, *ὑπολαβὼν*, τουτέστι, τοὺς λόγους τοῦ Ἰὼβ διαδεξάμενος.

« Suscipiens autem Eliphaz Thæmanites, alt. » *Suscipiens*, id est, cum Jobi verba excepisset.

Ὁ μέντοι Θεοδοτίων, καὶ ὁ Σύμμαχος, ὁ μὲν ἐκδοὺς, *Εἰ ληψώμεθα λαλῆσαι πρός σὲ, κοπιάσεις*, ὁ δὲ *Ἐὰν ἀναλάβωμεν λόγον, μοχθήσεις*. Τοιόνδε τινὰ νοῦν παριστῶσιν· Οἶσθα, φησὶν, ὦ Ἰὼβ, ὅτι οὐδέποτέ σοι λελαλήκαμεν λυπηρὰ, ὥστε σε κοπῶσαι [f]· νῦν δὲ ἐπειδὴ μὴ δυνάμεθά σου φέρειν τὴν τραχύτητα τῶν ῥημάτων, εἰς ἀντιλογίαν ἤλθομεν. Δέον γὰρ χάριν γινώσκειν τῷ γενεσιουργῷ, ἐφ' οἷς οὐκ ὄντα σε παρήγαγε [g], καὶ μεταμελείᾳ τῶν ἐπταισμένων αὐτὸν ἐξιλεοῦσθαι· μηδὲν δὲ ἀπηχὲς περὶ αὐτοῦ λογίσασθαι ἐτόλμησας [a] καθ' αὐτοῦ, καὶ ἐπὶ τῇ γενέσει, ἀποδυσπέτησας [b]. Ταῦτα μὲν ἔλεγεν Ἐλιφὰζ, ἀγνοῶν τὴν δυνάμιν τῶν παρὰ τοῦ δικαίου εἰρημένων.

C Theodotio sic exponit, *Si cœperimus loqui ad te, laboriose feres:* Symmachus vero, *Si receperimus sermonem, afflige ris.* Quarum quidem interpretationum hic sensus est: Nosti, o Jobe, quod numquam tristia locuti simus, quæ molestiam tibi crearent: nunc vero, cum verborum tuorum asperitatem ferre nequeamus, cogimur contradicere. Oportebat enim te ortus tui auctori gratias agere, quod, cum non esses, fecit ut esses, et pœnitentia pro peccatis admissis illum placare: cum autem nihil absonum de eo cogitare auderes, contra teipsum, et natalem tuum, graviter stomachatus es. Hæc loquebatur Eliphazus, vim eorum quæ a Jobo dicebantur, prorsus ignorans.

« Ἢ πότε ἀληθινοὶ ὁλόῤῥιζοι ἀπώλοντο; »

VERS. 7. « Vel quando veraces radicitus perierunt. »

D

Οὐκ ἀφ' ὧν ἔπραξεν, ἀλλ' ἀφ' ὧν ἔπαθε, κατακρίνει τὸν δίκαιον, ἀγνοῶν τοῦ Θεοῦ τὰς οἰκονομίας. Τὸ δὲ, *ὁλόῤῥιζοι*, ἔμφασιν ἔχει τοῦ πάντα αὐτὸν ἀπολέσαι τὸν πλοῦτον, τοὺς παῖδας, τὸ σῶμα αὐτό. Ἔστω, φησὶν, ἔχεις εἰπεῖν, ὅτι ἔπαθόν τι δεινὸν ἕτεροι· ἀλλ' οὐ μέχρι τῶν ἐγγόνων ἦλθεν αὐτοῖς τὰ δεινὰ, ὡς σὺ πανέστιος ἀπόλωλας· ἀλλ' οὐκ ἀπολεῖται, ὦ βέλτιστε, ὁ ἀληθινὸς Ἰώβ.

Non ob illa quæ gesserat, sed ob ea quæ patiebatur, divinæ administrationis ignarus, justum condemnat. Illud autem, *radicitus*, emphasin magnam habet, et rerum omnium jacturam, divitiarum, liberorum, et corporis ipsius subiisse illum, significat. Dicere fortasse possis, alios quoque mala esse perpessos: sit ita sane, inquit; at illa mala ad filios et posteros haudquaquam permanarunt, prout tibi accidit, qui cum tota familia funditus interiisti: quanquam, o vir præstantissime, verus Jobus haud unquam periturus sit.

« Καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτο-

VERS. 8, 9. « Quemadmodum vidi eos qui arabant

VARIÆ LECTIONES.

[f] Ἰσ. εὐθείας. [f'] Ἰσ. κοπιάσαι. [g] Ἰσ. interser. εἰς τὸ εἶναι [a] Ἰσ. τολμήσας. [b] Ἰσ. ἀπεδυσπέτησας.

Digitized by Google

absurda : qui autem seminant ea, dolores metent sibi. A præcepto Domini peribunt; a spiritu autem iræ ejus delebuntur. »

Olymp. et *Polychr. Quod seminat quis, hoc et metit* [37], ut inquit sanctus Apostolus, manifestum est : illud, etiam præclare ab Eliphazo dictum est, supplicia facinorosis constituta esse. Hos egomet, inquit, vidi judicii divini calculum subeuntes ; et merito quidem, suis enim operibus fructum ferunt dignum : improbi enim homines, vitiis quæ seminant, congruum supplicium pro manipulo reportabunt. Et quoniam primum arandum est, deinde serendum, tum ad extremum metendum, ordine servato vocum metaphora usus est, dicendo primum, *Aranies absurda ;* deinde, *Seminantes ea ;* tum subjungendo, *Metent dolores.* Illud autem non animadvertit, quod non semper in hac vita retributiones contingant ; multi enim eorum qui scelera admiserunt, sine redargutione et supplicio ex hac vita migrarunt, et futuris illic tribunalibus servantur. Non recte igitur illud affirmavit, quod injusti omnino in hac vita puniantur, et justi et veri in calamitates non incidant ; cum hi plerumque ut eorum virtus spectetur, mala patiantur. Itaque errore mentis Eliphazus divinæ adversatur Scripturæ, de Jobo his verbis testificanti : *Et erat ille homo verus* [38] : ille vero inquit, Haud verus es ; nam si esses, radicitus non periisses, id est, liberis, fortunisque orbatus.

Illud vero, *A spiritu iræ ejus*, pro Dei minis ponitur. Dictum enim est, *Peribunt a spiritu*, ut seminibus a vento consumptis accidere solet, ut hic etiam metaphora retineatur : nam qui talem sementem faciunt, sterilitatem metunt.

VERS. 10. « Robur leonis, et vox leænæ, et gaudium draconum exstinctum est. Myrmicoleo periit, eo quod non haberet escam : et catuli leonum divisi sunt ab invicem. »

Negant nonnulli, myrmicoleonem animal esse, ad veritatem historiæ, sed vocum compositione duntaxat ita dictum esse. Alii, bestiolam ex Oceano ortam, aut e terra procreatam esse aiunt, quæ naturali suo alimento destituta, interit. Quidam etiam affirmant, eam sine cibo vivere posse, a Deo, scilicet, sic fabricatam. Ad historiam quod attinet, exemplis a natura petitis, Jobum nequaquam hominem verum esse conatur Eliphazus ostendere, et per interrogationem in hunc modum loquitur : Dic mihi, Jobe, num leones suum amiserunt robur? annon in hunc usque diem robustum animal est leo? Nunquid draconum exsultatio et gloriatio exstincta est? annon in hunc usque diem exsultant, et impavidam naturam retinent? Num myrmicoleo periit, et quidem cibum non capiens? Num leonum catuli, armentorum more, gregatim pascuntur? an non vitam degunt solitariam? atque in suo loco sinA πα· οἱ δὲ σπείροντες αὐτὰ, ὀδύνας θεριοῦσιν ἑαυτοῖς. Ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται· ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται. »

Ὀλυμπ. καὶ Πολυχρ. Ὅτι μὲν ὃ *σπείρει τις, τοῦτο καὶ θερίζει*, κατὰ τὸν ἱερὸν Ἀπόστολον, πρόδηλον· καὶ καλῶς τοῦτο εἶπεν ὁ Ἐλιφάζ, ὅτι εἰς τιμωρίαν οἱ τὰ παράνομα δρῶντες πρόκεινται. Τούτους γάρ, φησὶν, εἶδον ἐγὼ ὑπὸ τῆς τοῦ Θεοῦ πίπτοντας ψῆφον· καὶ εἰκότως, ἀξίως γὰρ τῶν σφετέρων ἔργων τὴν ἐπικαρπίαν δέχονται· οἷς γὰρ πονηροὶ σπείρουσι κακοῖς, κατάλληλον ἀποίσονται δράγμα, τὴν κόλασιν. Ἐπεὶ δὲ δεῖ ἀροτριᾶν, εἶτα σπείρειν, εἶτα θερίζειν, ἀκολούθως ἐχρήσατο τῇ τροπῇ τοῦ λόγου, πρῶτον εἰπὼν, *Οἱ ἀροτριῶντες τὰ ἄτοπα·* εἶτα, *Οἱ σπείροντες αὐτά·* καὶ τότε ἐπαγαB γὼν τὸ, *Θεριοῦσιν ὀδύνας*. Ἐκεῖνο δὲ οὐκ ἐνόησεν, ὅτι οὐ πάντως ἐνταῦθα αἱ ἀνταποδόσεις· πολλοὶ γὰρ τῶν φαῦλα πραξάντων ἀνελέγκτως ἀπῆλθον, μὴ κολασθέντες ἐν τῷ βίῳ τῷδε, ἀλλὰ τηρούμενοι τοῖς ἐκεῖ δικαιωτηρίοις. Οὐ καλῶς οὖν ἀπεφήνατο, ὅτι πάντως οἱ ἄδικοι ἐνταῦθα κολάζονται, ἢ ὅτι πάντως οἱ ἀληθινοὶ καὶ δίκαιοι οὐ περιπίπτουσιν ἐνταῦθα συμφοραῖς· οὗτοι γὰρ μάλιστα ὡς ἐπίπαν πάσχουσιν, ἵνα δοκιμασθῶσιν, ἀλλὰ πλανηθεὶς ὁ Ἐλιφὰζ ἀντιφθέγγεται τῇ Γραφῇ· τῆς γὰρ Γραφῆς εἰπούσης περὶ τοῦ Ἰὼβ, *Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινὸς*, αὐτός φησιν, ὅτι Οὐκ εἶ ἀληθινός· εἰ γὰρ ἂν ἦς, οὐδὲ ἐκ ῥιζῶν ἀπώλου, τουτέστιν, αὐτοῖς τέκνοις καὶ περιουσίᾳ.

Τὸ δὲ, *Ἀπὸ πνεύματος ὀργῆς αὐτοῦ*, ἀντὶ τοῦ, C διὰ τῆς ἀπειλῆς τοῦ Θεοῦ. Εἴρηται δὲ τὸ, *Ἀφανισθήσονται ἀπὸ πνεύματος*, ὡς ἐπὶ σπερμάτων γενομένων ἀνεμοφθόρων, ἵνα κἀνταῦθα ἡ τροπὴ τηρηθῇ· ὅτι οἱ τὰ τοιαῦτα σπείροντες θερίζουσιν ἀκαρπίαν.

« Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους. »

Τὸν μέντοι μυρμηκολέοντα οἱ μὲν οὐδὲ ὅλως εἶναί φασι ζῶον καθ' ἱστορίαν, ἀλλὰ κατὰ σύνθεσιν οὕτως εἰρῆσθαι. Οἱ δὲ ζωῦφιον τοῦτο εἶναι λέγουσιν, ἐκ τοῦ Ὠκεανοῦ τὴν γένεσιν ἔχον, ἢ τοι ἐκ γῆς φυόμενον· ἀπόλλυσθαι δὲ, διὰ τὸ μὴ ἔχειν τὴν ἀναλογοῦD σαν τροφήν· οἱ δὲ καὶ δίχα τροφῆς φασιν αὐτὸ δύνασθαι ζῆν, οὕτω τοῦ Θεοῦ κατασκευάσαντος. Πρὸς μὲν οὖν τὴν ἱστορίαν, πειρᾶται δεικνύναι ὁ Ἐλιφάζ, ὅτι οὐκ ἔστι ἀληθινὸς ὁ Ἰὼβ, φυσικοῖς παραδείγμασι χρώμενος, καὶ κατ' ἐρώτησιν τὸν λόγον ποιούμενος· Εἰπέ μοι γάρ, φησὶν, ὦ Ἰὼβ, μὴ οἱ λέοντες τὴν οἰκείαν ἀλκὴν ἀπώλεσαν; Οὐ μέχρι νῦν ἰσχυρόν ἐστι τὸ ζῶον ὁ λέων; μὴ τῶν δρακόντων ἐσβέσθη τὸ γαυρίαμα; οὐ μέχρι νῦν σώζουσι τὸ γαυρίαμα καὶ τὸ ἀπτόητον; Μὴ ὁ μυρμηκολέων ἀπώλετο, καὶ ταῦτα μὴ τρεφόμενος; Μὴ τῶν λεόντων οἱ σκύμνοι ἀγεληδὸν, ὥσπερ τὰ θρέμματα, νέμονται; οὐ καθ' ἑαυτοὺς ζῶσι; καὶ ἕκαστος ἐν ἰδιάζοντι τόπῳ, ὡς

[37] Galat. VI, 7. [38] Job I, 1.

Digitized by Google

ἐξ ἀρχῆς ὑπὸ τῆς φύσεως ἐτάγησαν; Ὥσπερ οὖν, φησὶ, ταῦτα τηροῦσι τοὺς ὅρους τῆς φύσεως, καὶ τούτοις ἐμμένουσι, μικρά τε καὶ μεγάλα ζῶα· οὕτως καὶ σὺ, εἰ ἦς ἀληθινὸς ὄντως, καὶ μὴ μέχρι λόγων μόνον εἶχες τὸ θεοσεβὲς, οὐδὲν ἂν τούτων συνέπεσέ σοι, οὐδ' ἂν μετετέθης τῶν ὅρων τοῦ Θεοῦ, ὥστε καὶ δικαιοπραγῶν δυστυχῆσαι. Κατὰ δὲ θεωρίαν, τὰς ὁρμὰς τῶν παθῶν τοῖς θηρίοις ἀπεικαστέον· τῷ δὲ μυρμηκολέοντι τὸν διάβολον, μύρμηκα μὲν ὄντα τοῖς εὐσεβέσι, λέοντα δὲ τοῖς ἀσεβέσιν. Εἰ μὴ εὗρεν οὖν, φησὶ, παρὰ σοὶ τροφὴν ὁ διάβολος, τουτέστιν, εἰ μὴ ἦς ἄδικος, ἀπώλετο ἂν, ἀντὶ τοῦ, ἄπρακτος ἔμενε, καὶ αἱ τῶν παθῶν προσβολαὶ ἀπεσβέννυντο καὶ διελύοντο. A

« Εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, » [*ὁ δὲ Συμμάχος*, Πρὸς ἐμὲ δὲ ἐλαλήθη λαθραίως, ἐν κλοπῇ.] οὐδὲν ἂν σοι τούτων κακὸν ἀπήντησεν. »

Ἐκ τῶν εἰκότων, φησὶ, συλλογίσαιτο ἄν τις, δίκην σε πλημμελημάτων τινῶν δεδωκέναι. Εἰ μὴ γὰρ μόνον ἐν λόγοις εἶχες τὸ θεοσεβεῖν, ἀλλὰ καὶ ἔργοις ὑπῆρχες ἀληθινὸς, καὶ οὐδέν τι τῶν μὴ προσηκόντων παρὰ σοῦ ἐγένετο, οὐκ ἂν τοσούτων πεῖραν ἔλαβες κακῶν, τοῦ Θεοῦ μὴ παρορῶντος τῶν δικαίων τὰς πράξεις. B

« Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ; [*ὁ δὲ Σύμμαχος*· Καὶ ἐδέξατο τὸ οὖς μου ψιθυρισμὸν παρ' αὐτοῦ.] Φόβῳ δὲ, καὶ ἤχῳ νυκτερινῷ ἐπιπίπτων φόβος ἐπ' ἀνθρώπους, φρίκη μοι συνήντησε καὶ τρόμος, καὶ μεγάλως μου τὰ ὀστᾶ διέσεισε, καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν· ἔφριξαν δέ μου τρίχες καὶ σάρκες· ἀνέστην, καὶ οὐκ ἐπέγνων· εἶδον, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον. » C

Βαθὺ τὸ χωρίον καὶ δυσκάτοπτον, καὶ πολλὰς ἐννοιῶν ἀτραποὺς προβαλλόμενον. Ἤτοι γὰρ εἰς φόβον ἐνάγων ὁ Ἐλιφὰζ τὸν δίκαιον, φησὶν, ὅτι Δεῖ σε φοβεῖσθαι, ὦ Ἰὼβ, καὶ μὴ καταφρονεῖν τοῦ Θεοῦ, ἐπειδήπερ οὐ μεθ' ἡμέραν κολάζει, ἀλλὰ καὶ ἐν ὕπνῳ, διὰ νυκτερινῶν ὄψεων, ὡς καὶ ἑτέρων διηγουμένων τὰ περὶ αὐτοῦ [c] θαυμάσια, ἤκουσα, καὶ αὐτὸς ἐπειράθην πολλάκις, ἐν ὕπνῳ φοβηθεὶς, ὡς σύντρομόν με γενέσθαι, καὶ φρίξαι μου τὰς τρίχας, καὶ σεισμὸν ὑπομεῖναι τῶν ὀστῶν τὴν ἁρμονίαν, καὶ δοκεῖν τι πνεῦμα ἐπιέναι μοι, μηδὲν μέντοι μεμορφωμένον ὁρῶν· φωνῶν δὲ μόνον ἀκούειν [d] ἠρέμα, ἐκπληκτικῶς μοι προσπιπτουσῶν, καὶ τρόμον ἐμβαλλουσῶν. Ἢ καὶ τοιοῦτόν τι δοκεῖ λέγειν· Φοβήθητι τὸν καὶ δι' ἐνυπνίων κολάζοντα, οὗ καὶ ἡ ἔννοια φοβερά. Ἐὰν γὰρ εἰς νοῦν ποτε λάβω τὴν περὶ τῆς φύσεως αὐτοῦ μεγαλειότητα, καὶ πῶς πανταχοῦ τέ ἐστι, καὶ ἔξω τοῦ παντὸς τυγχάνει, ταυτὸν ὑπομένω τοῖς ἀωρὶ τῶν νυκτῶν, βαθείας σιγῆς κατεχούσης τὸ πᾶν, ἐν πολλῇ τῇ ἡσυχίᾳ ὑπὸ τοῦ ἤχου τοῦ νυκτερινοῦ καταπτοου- D

Vers. 12. « Si quod autem verbum verax fuisset in sermonibus tuis » [*Symmachus autem*, « Ad me autem dictum est clanculum, in furto »], nihil tibi horum malum accidisset. »

Ex verisimilibus, inquit, colligere quis potest, te scelerum quorumdam pœnas luisse. Si enim non tantum in verbis Dei cultum posuisses, sed factis etiam veritatem religionis tuæ ostendisses, nihilque, quod fieri minime oportebat, a te factum fuisset, tantorum malorum acerbitatem non degustasses; præsertim cum justorum hominum actiones nullo pacto Deus aspernetur.

« Nunquid non capiet auris mea ab eo magnifica? » [*Symmachus autem* : « Et accepit auris mea susurrum ab eo. »] [Vers. 13-16] Timore autem, et sonitu nocturno incidens timor super homines, horror mihi occurrit et tremor, et valde ossa mea concussit, et spiritus in faciem meam incurrit; horruerunt autem pili mei et carnes : surrexi, et non cognovi; vidi, et non erat figura ante oculos meos, sed auram et vocem audiebam. »

Profundus est hic locus, et qui difficulter spectari potest, multasque cogitationum semitas producit. Vel enim ut justo timorem incutiat Eliphazus, sic loquitur : Timere, inquit, o Jobe, nec Deum contemnere te oportet, quandoquidem non diu tantum, sed noctu etiam nocturnis visis territans, supplicia irroget; prout ab aliis, mirabilia narrantibus quæ ipsis acciderunt, audivi, ipseque sæpenumero in somnis territus expertus sum, ita ut totus contremiscerem, pili capitis horrerent, ossium compago universa quateretur, et spiritus quidam impetum in me facere videretur; cum nullius rei tamen formam aut speciem cernerem; sed voces tantum audirem, quæ sensim, et cum formidine aures feriebant, et tremorem mihi incutiebant. Vel tale quidpiam loqui videtur Eliphazus : Verere eum, qui per insomnia etiam punit, cujus vel sola cogitatio formidabilis est. Etenim si quando naturæ illius admirabilem excellentiam mente complexus fuero; et quemadmodum, cum loca compleat omnia,

VARIÆ LECTIONES.

[c] *Isc.* αὐτῶν. [d] *Isc.* ἀκούων.

Digitized by Google

extra omnia tamen sit, perpendero; accidere idem mihi sentio, quod iis evenit qui, intempesta nocte, altissimo silentio omnia occupante, mira quiete consopiti, a nocturno nihilominus sonitu perterrentur; ita ut in ejusmodi meditationibus, tremor et horror me incessent, menteque spiritum aliquem invisibilem et incomprehensibilem complectar. Quod si ratiocinando altius me levare pergam, nihil tamen percipio, neque comprehendo; Dei enim natura, quæ forma omni caret, opticam animi facultatem fugit; quantoque altius quis ratiocinationibus ascenderit, tanto magis quæsiti inventio eum deserit : natura enim incomprehensibilis est, animo tamen percipitur, tenui quasi quadam aura, et voce tacita mentem refocillante, et divina efficacia sensum illum in nobis operante, ipsam autem divinam naturam minime ostendente. Cogitatio enim ejusmodi omnino inaccessa est, et horrore plena, ac caliginosa vertigine ratiocinationis aciem suffundit: et quod in vento deprehenditur, simile quid accidit; quemadmodum enim illum oculis cernere non licet, ita nec Deum rationis discursu invenire possibile est; intelligentiæ enim nostræ vires non minus superat, quam ventus oculorum. Et quemadmodum vox, et venti flatus, sensum quemdam sui præbent, sub hominis tamen aspectum non cadunt; sic etiam divina natura. Sæpe enim ratiocinationis aciem in sublime erexi, nihilominus tamen a contemplatione divina lapsante gressu, aberravi; Deumque, cum quid esset videre vellem, solos ejus effectus vidi. Verum hic fortasse objicies : Sermones meos et adhortationem noli vilipendere; nam ipse quoque revelatione divina dignatus sum, et in somniis visiones vidi, sanctique Spiritus recepi illustrationem, atque intellexi, divinum numen ab omni specie ac figura secretum esse, natura simplex, et incomprehensum; sensum autem ejus, quasi in aura tenui, percepi. Hæc eo disserit Eliphazus, ut gratior ipsius oratio reddatur, atque ut in iis quæ parat dicere, fide dignus habeatur : fortasse etiam terrorem Jobo incutere conatur, eumque ad pœnitentiam deducere nititur. An non, inquit, auris mea magnifica quædam de Deo accepit, ut tibi fide dignus videar (hoc enim loco, *capiet*, pro, *cepit*, Scriptura multis in locis tempus pro tempore substituente, intelligendum est)? et quidem cum ipse sæpenumero disputantes de Deo audiam, ac ipse disserere coner, formidine percellor, metuque omni plenus evado, et sonitu nocturno (hoc autem ab eo quod naturaliter accidit, dicit; nocte enim intempesta, cum alta quies cuncta complectitur, quasi sonum quemdam circumcursantem mente concipimus), et sicut vento irruente, effectus ejus sensu percipio, oculis autem cernere non possum : sic de Deo mihi cogitanti, quantum invenisse me arbitror, tantum

A μένοις· ὥστε καὶ φρίκην μοι συμβαίνειν, καὶ τρόμον ἐν ταῖς τοιαύταις ἐννοίαις, καὶ γίνομαι μὲν ἐν περινοίᾳ ἀφανοῦς τινος καὶ ἀκαταλήπτου πνεύματος. Εἰ δὲ καὶ διανασταίην ἐπὶ πλέον τοῖς λογισμοῖς, οὐδὲν ἐπιγινώσκω, οὐδὲ καταλαμβάνω· τὸ γὰρ ἀνείδεον τοῦ Θεοῦ διαφεύγει τὴν ὀπτικὴν δύναμιν τῆς ψυχῆς· καὶ ὅσον ἂν τις ἀνέλθοι τοῖς λογισμοῖς, τοσοῦτον αὐτὸν τοῦ ζητουμένου ἡ εὕρεσις ἀπολιμπάνει· τὴν γὰρ φύσιν ἐστὶν ἀκατάληπτος, συναισθάνεται δ' οὖν ὅμως τῇ διανοίᾳ, ὡσανεὶ αὔρας λεπτῆς, καὶ φωνῆς ἠρεμαίας ἀναψυχούσης τὸν νοῦν, καὶ τῆς μὲν τοῦ Θεοῦ ἐνεργείας ποιούσης συναισθάνεσθαι, τὴν μέντοι θείαν

B φύσιν οὐκ ἐπιδεικνύσης. Παντελῶς γάρ ἐστιν ἀνέφικτος, καὶ φρίκης γέμουσα, καὶ σκοτοδινιᾷν τοὺς λογισμοὺς παρασκευάζουσα, ἡ τοιαύτη θεωρία· καὶ παραπλήσιόν τι γίνεται τῷ ἐπὶ τοῦ ἀνέμου. Ὡς γὰρ ἐκεῖνον λαβεῖν ὀφθαλμοῖς οὐκ ἔνεστιν, οὕτως οὐδὲ Θεὸν εὑρεῖν λογισμῷ δυνατόν· ἀνέφικτος γὰρ νῷ, ὡς ἄνεμος ὀφθαλμῷ. Καὶ καθάπερ ἡ φωνὴ, καὶ ἀνεμιαῖον πνεῦμα, διδόασι μὲν ἑαυτῶν τὴν συναίσθησιν, εἰς δὲ θέαν ἀνθρώπου οὐκ ἔρχονται· οὕτω καὶ ἡ θεία φύσις. Πολλάκις γοῦν ὕψωσά μου τὸν λογισμὸν, οὐδὲν δὲ ἧττον τῆς θεοπτίας ἀπωλίσθουν· καὶ Θεὸν ὅ τί

C ποτέ ἐστιν ἰδεῖν θέλων, μόνας εἶδον αὐτοῦ τὰς ἐνεργείας. Ἐπιβαλεῖς δὲ καὶ ὧδε· • Μὴ φαυλίσῃς μου τοὺς λόγους, καὶ τὴν παραίνεσιν· καὶ γὰρ θείας ἀποκαλύψεως ἠξιώθην, καὶ δι' ὀνείρων ὀπτασίας ἐθεώρησα, καὶ ἁγίου Πνεύματος ἔλαμψιν ἐδεξάμην, καὶ οἶδα μὲν ὅτι ἀνείδεός ἐστιν ὁ Θεὸς, ἁπλοῦς τε καὶ ἀκατάληπτος τὴν φύσιν· πλὴν ὡς ἐν αὔρᾳ τινὶ λεπτῇ συναίσθησίς μοι γέγονεν. Ταῦτα δέ φησιν ὁ Ἐλιφὰζ, εὐπρόσδεκτον ἑαυτοῦ τὸν λόγον κατασκευάζων, ἵνα ἐν οἷς μέλλει λέγειν, πίστεως εἶναι ἄξιος δόξῃ· τάχα δὲ φοβεῖν πειρᾶται τὸν Ἰώβ, καὶ εἰς μετάνοιαν

D ἐπιστρέφειν. Ἆρα γὰρ, φησὶν, οὐκ ἐδέξατό μου τὸ οὖς ἐξαίσια παρὰ ᶠ τοῦ Θεοῦ, ἵνα σοι φανείην ἀξιόπιστος; Τὸ γὰρ, *δέξεται*, ἐνταῦθα, ἀντὶ τοῦ, *ἐδέξατο*, νοήσεις, πολλαχοῦ τῆς Γραφῆς χρόνον ἀντὶ χρόνου τιθείσης. Καὶ μὴν πολλάκις καὶ παρ' ἄλλων ἀκηκοὼς, καὶ αὐτὸς περὶ Θεοῦ λογίζεσθαι βουλόμενος, εἰς δέος καθίσταμαι, φόβου τε παντὸς πληροῦμαι, καὶ μέντοι καὶ νυκτερινῆς ἠχοῦς (λέγει δὲ τοῦτο, ἀπὸ τοῦ φύσει συμβαίνοντος· καὶ γὰρ ἀωρὶ τῶν νυκτῶν, ἡσυχίας ἐπιλαβούσης τὸ πᾶν, οἷά τινος ἠχοῦς περιιούσης ὑπόληψιν ἔχομεν)· καὶ καθάπερ ἀνέμου προσπεσόντος, αἴσθησιν μὲν τῆς ἐνεργείας ἔχω, οὐ μὴν τὸ δι' ὑποψίας λαβεῖν δύναμαι· οὕτω καὶ περὶ Θεοῦ λογιζόμενος, ἐν ὅσῳ εὑρεῖν προσδοκῶ, διαδιδράσκει μου τῶν λογισμῶν τὴν κατανόησιν, καίτοιγε οὐδὲ ἄμοιρός εἰμι τῆς θείας ἐλλάμψεως· *Πνεῦμα γὰρ*, φησὶν, *ἐπὶ πρόσωπόν μου ἐπῆλθε*. Τί οὖν σὺ, φησὶν, ὦ Ἰώβ, ἀντιφιλοσοφεῖς; καὶ οὐ καταπτήσσεις τὸν Θεὸν, τὸν οὕτως ὑπερφυῆ; οὗ ὅσῳ τις ἐφικνεῖσθαι δοκεῖ τοῖς λογισμοῖς, τοσοῦτον αὐτὸν ἡ ἀκριβὴς διαδιδράσκει κατάληψις, καὶ τὴν τε οἰκείαν

VARIÆ LECTIONES.

• *Ισ.* add. Ἀλλά. ᶠ *Ισ.* περί.

Digitized by Google

ἐπιγινώσκει ἀσθένειαν, καὶ τοῦ ζητουμένου τὸ μέγεθος.

enim, inquit, *in faciem meam incurrit*. Cur ergo, adeo præstanti excellentique natura præditum? quem quanto quis solertiore ratiocinationis indagatione assecutus esse videtur, tanto eum magis et quæsiti pondus perspicit.

« Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ Κυρίου; ἢ, ἀπὸ τῶν ἔργων αὐτοῦ, ἄμεμπτος ἀνήρ; »

Ὅρα δὲ αὐτὸν ἀντιφθεγγόμενον τῷ Θεῷ· αὐτοῦ γὰρ εἰπόντος· Ἄνθρωπος ἄμεμπτος, οὗτός φησιν, Οὐκ ἄμεμπτος, ἀπὸ τῶν οἰκείων ἐπαίρων τὴν ψῆφον.

« Εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν. »

Ἀπὸ τοῦ μείζονος τὴν ἀπόδειξιν ἐπαγαγεῖν βούλεται, καὶ πιστώσασθαι, ὅτι πᾶς ἄνθρωπος ὑπὸ ἁμαρτίαν ἐστί. Τί γὰρ δεῖ λέγειν περὶ ἀνθρώπων, φησὶν, ὅταν οἱ ἄγγελοι μὴ ὦσιν ἄμεμπτοι; τρεπτὴς γὰρ φύσεως καὶ αὐτοί· καὶ ὅσον πρὸς τὴν τοῦ Θεοῦ ἀκρίβειαν, οὐδὲ αὐτοὶ οἱ γνήσιοι δοῦλοι αὐτοῦ καὶ λειτουργοὶ, ἐν πᾶσι τὸ πιστὸν καὶ βέβαιον ἔχουσι. Καὶ τὴν ἔννοιαν ταύτην ὁ Σύμμαχος παρέστησεν, εἰπών· Ἐν δούλοις αὐτοῦ ἀβεβαιότης, καὶ ἐν ἀγγέλοις αὐτοῦ εὑρήσει ματαιότητα. Μὴ τοίνυν θαυμάσῃς, φησὶν, ὅτι εἶπον, ὡς Οὐ καθαρὸς ἔσται βροτὸς ἐναντίον Κυρίου· ὁπότε οὐδὲ τοῖς παισὶν αὐτοῦ καὶ θεράπουσιν ἀγγέλοις ἐμπεπίστευκε τὸ κατὰ φύσιν καὶ ἑδραίως ἄμεμπτον· τῇ γὰρ αὐτοῦ καὶ αὐτοὶ συνέχονται χάριτι, ἐπείπερ αὐτοῦ μόνου τὸ ἄτρεπτον.

Τὸ δὲ, *Σκολιόν τι ἐπενόησεν*, ἀντὶ τοῦ, Τρεπτὴν αὐτῶν τὴν φύσιν κατεσκεύασεν, ὡς ἐνδέχεσθαι καὶ μέμψεως ἐντὸς γενέσθαι διὰ τοῦτο· ὅπερ οὖν καὶ πεπόνθασιν αἱ ἀποστατικαὶ δυνάμεις, ἐπεὶ μὴ τὴν φύσιν ἄτρεπτον ἐκληρώσαντο, προαιρετικῶς τῆς οἰκείας στάσεως ἀπολισθήσασαι.

« Τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν. Ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν μέχρι ἑσπέρας οὐκ ἔτι εἰσί· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι, ἀπώλοντο. Ἐνεφύσησε γὰρ αὐτοῖς, καὶ ἐξηράνθησαν, ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν. »

Εἰ ἀγγέλους, φησὶν, ἐκόλασεν ἁμαρτάνοντας, τί θαυμαστὸν εἰ ἡμεῖς, πλεῖστον ὅσον ἐκείνων λειπόμενοι, ἀπὸ γῆς τε ὄντες, καὶ περὶ γῆν εἱλούμενοι, αὐτῆς ἡμῶν τῆς φύσεως καθελκούσης εἰς πταίσματα εὐκόλως, τοῖς ἁμαρτήμασι περιπίπτοντες, τιμωρούμεθα; καὶ τοῦτο τοῦ Θεοῦ σοφῶς οἰκονομοῦντος, ὥστε μὴ ὑπὸ τῆς ἀδείας, εἰς ἐσχάτην ἀσέβειαν ἐκβακχεύεσθαι. Εἰ γὰρ ἄγγελοι, πνεύματά τε ὄντες, καὶ οὐρανὸν οἰκοῦντες, οὐκ ἄμεμπτοι πρὸς τὴν θείαν ἀκρίβειαν, τί ἂν πάθοιμεν ἡμεῖς οἱ γήϊνοι, καὶ γῆν οἰκοῦντες; Τοῦτο δηλοῖ καὶ ὁ Σύμμαχος, ἐκδοὺς, *Πόσῳ μᾶλλον ἐν τοῖς κατασκηνοῦσιν οἰκίας πηλίνας, ὧν γήϊνος ὁ θεμέλιος;* Εἰ γὰρ πλήξει Θεὸς,

rationis meæ conceptum fugit, licet etiam divinæ illuminationis plane immunis non sim : *Spiritus* Jobe, contra philosopharis, et Deum non vereris, quem quanto quis solertiore ratiocinationis indaabsoluta perceptio fugit, ingeniique sui tenuitatem,

Vers. 17. « Quid enim? numquid homo coram Domino mundus erit? vel de operibus suis irreprehensibilis vir? »

Vide ut Deo contradicat; illo enim dicente : *Homo irreprehensibilis* [29], hic, ex seipso et factis suis judicium de eo ferens, reprehensione illum carere negat.

Vers. 18. « Si contra servos suos non credit, et adversus angelos suos pravum quid advertit. »

A majore argumentum ducere vult, et affirmare omnem hominem sub peccato esse. Quid de hominibus, inquit, attinet dicere, cum ne angeli quidem reprehensione careant? mutabilis enim et eorum natura est, et divinæ quidem perfectionis respectu, ne illi quidem qui legitimi ejus famuli et ministri sunt, in omnibus fidelitatem et firmitatem habent. Et hunc quidem sensum Symmachus expressit, cum diceret : *In servis suis inconstantia; et in angelis suis inveniet vanitatem.* Ne igitur mirere, inquit, quod dixi : *Homo mundus non erit coram Domino;* quandoquidem neque angelis, servis ac famulis ejus, ut naturaliter et constanter reprehensione carerent, crediderit, et concesserit; illi enim illius gratia constricti tenentur, quandoquidem illius solius est mutationem non agnoscere.

Illud autem, *Pravum quid avertit*, id est, mutabilem eorum naturam fabricavit; ut propterea vituperationem incurrere contingeret : quod quidem et apostaticæ potestates passæ sunt, quæ, quia naturam a mutatione alienam non sunt sortitæ, libertatis arbitrio de sua statione delapsæ sunt.

Vers. 19-21. « Habitantes autem domos luteas, ex quibus et ipsi de eadem luto sumus. Percussit eos tanquam tinea, et a mane usque ad vesperam ultra non sunt, eo quod non possent sibi ipsis subvenire, perierunt. Insufflavit enim eis, et exaruerunt; interierunt, quia non habebant sapientiam. »

Si angelos, inquit, peccantes pœnis coercuit, quid mirum, si nos peccata admittentes plectamur, qui longe illis inferiores sumus, et à terra oriundi, circa terram volutamur, naturaque ea præditi sumus, quæ facile nos ad delicta trahat, et alliciat? et hoc quidem ex prudenti dispensatione divina, ne peccandi impunitatem sperantes, ad summam impietatem furore insano impellamur. Nam si angeli, qui spiritus sunt, ac cœli incolæ, si cum perfectione divina conferantur, reprehensione non careant, quid nobis fiet, qui terrestres sumus, terramque habitamus? Hoc ipsum Symmachi expositione significatur, sic enim ille : *Quanto magis qui domos*

[29] Job. I, 1; II, 3.

Digitized by Google

habitant luteas, quarum terrenum est fundamentum? Etenim si Deus percusserit, sic facile consumimur, neque diem integrum sustinemus, tanquam olera a vermibus peresa, aut vestimenta consumpta a tineis. His verbis, quanta Deus potestate polleat, et quanta nostræ sit naturæ imbecillitas, ob oculos ponit; nos enim, sicut olera imbecilles sumus, celeriterque consumimur, ut vestis a tinea : Deus autem potestate præditus est, et cum facilitate, quos vult, in nihilum redigit : prout enim homini spirare facile est, sic Deo velle tantum, et exsiccare ac perdere.

Cujus judicium, metaphorice, insufflationem vocavit (*Insufflavit*, inquit, *eis, et exaruerunt;* tanquam vento flante, et floribus exarescentibus), ut potestatem ejus proderet : illo enim sententiam solum proferente, subito supplicio afficiuntur, neque plagam inflictam repellere possunt. Deinde, ne videretur dicere quod, ex potestate sua omnia faciens, iram hominibus sine causa inferat, homines hæc pati ait, non temere, et indicta causa, sed, *quia sapientiam non haberent*, id est, Deum non timerent, *Initium enim sapientiæ est timor Domini* [10].

CAP. V.

Vers. 1, 2. « Invoca autem, si quis tibi respondeat, vel si quem angelorum sanctorum aspicias; etenim stultum perimit ira, errantem occidit zelus. »

Quid, inquit, supra dignitatem loqueris homo? tanto enim intervallo homo Deo inferior est, qui non solum invisibilis, sed incomprehensibilis etiam est, et si millies eum invocaveris, tibi nequaquam respondebit. Quid autem de Deo loquor, cum etiam angeli ejus nobis invisibiles sint?

Eum, meo quidem animo, *insipientem* appellat, qui peccat, quem etiam *ira interimit*, non autem sapientem, neque enim illic est ira. Sic etiam intelligere potes, Teipsum sine peccato judicans, et contra Deum superbia elatus, insipienter ira accenderis, et prospera fortuna utentes invidia prosequeris; ita ut merito justæ divinæ iræ impetum experiaris, vel a tua ipsius opprimaris : omni enim insipienti, et iracundo, propria iracundia interitum affert.

Vers. 3. « Ego autem vidi stultos radicem mittentes; sed statim absumpta est illorum habitatio. »

Symmachus autem : *Et maledixi decori illorum statim.* Cum hominum injustorum prospera plerumque fortuna, et præcipue felix prior Jobi rerum status, causæ Eliphazi adversaretur, ne hic multorum certaminum vir diceret : Si insipiens eram, quomodo prius divitiis abundavi? diluendo id quod objici poterat, amicus dicit : Injustus quamvis in deliciis vivat, et bona sua se firmiter et secure pos-

A οὕτω ῥᾳδίως δαπανώμεθα, καὶ οὐδὲ ὅλην ἡμέραν ἀντέχομεν, ὥσπερ λάχανα ὑπὸ σκωλήκων βρωθέντα, ἢ ἱμάτια ὑπὸ σητῶν δαπανηθέντα. Ἐν τούτοις, καὶ τὸ δυνατὸν τοῦ Θεοῦ, καὶ τὸ ἀσθενὲς τὸ ἡμέτερον παρίστησιν· ὥσπερ γὰρ τὰ λάχανα, οὕτω καὶ ἡμεῖς ἐσμεν ἀσθενεῖς, καὶ ταχὺ ἀναλούμεθα, ὡς ἱμάτιον ὑπὸ σητός· Θεὸς δὲ οὕτω [8] δυνατὸς, καὶ μετ' εὐκολίας ἀφανίζων οὓς ἂν θελήσῃ· ὅτι ὥσπερ ἀνθρώπῳ ῥᾴδιον τὸ φυσῆσαι, οὕτω Θεῷ τὸ θελῆσαι μόνον καὶ ἀποξηρᾶναι.

B Οὗ τὸ κρῖμα, ἐμφύσημα τροπικῶς ὠνόμασεν, εἰπών, *Ἐνεφύσησεν αὐτοῖς, καὶ ἐξηράνθησαν*, ὡς ἐπὶ ἀνέμου φυσῶντος, καὶ ἀνθῶν ξηραινομένων, διὰ τὸ παραστῆσαι αὐτοῦ τὴν ἐξουσίαν. Μόνον γὰρ, φησὶν, ἀποφαινομένου, ταχεῖαν τὴν τιμωρίαν δέχονται, οὐκ ἀρκοῦντες ἀπώσασθαι τὴν ἐνεχθεῖσαν πληγήν. Εἶτα, ἵνα μὴ δόξῃ λέγειν, ὅτι ἐπ' ἐξουσίας ἅπαντα πράττων, ἀκρίτως ἐπιφέρει τὴν ὀργὴν, φησὶν, ὅτι ταῦτα πάσχουσιν οἱ ἄνθρωποι, οὐκ ἀκρίτως, ἀλλὰ, *διὰ τὸ μὴ ἔχειν σοφίαν*, τουτέστι, μὴ φοβεῖσθαι τὸν Θεὸν, *Ἀρχὴ γὰρ*, φησὶ, *σοφίας φόβος Κυρίου.*

ΚΕΦΑΛ. Ε'.

« Ἐπικάλεσαι δὲ, εἴ τις ὑπακούσεται, ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ· καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργὴ, πεπλανημένον δὲ θανατοῖ ζῆλος. »

C Τί, φησὶν, ὑπὲρ τὴν ἀξίαν φθέγγῃ, ἄνθρωπος ὤν; τοσοῦτον γὰρ ἀπολιμπάνεται Θεοῦ ἄνθρωπος, ὅτι οὐ μόνον ἀόρατός ἐστιν ὁ Θεὸς, καὶ ἀκατάληπτος, ἀλλ' οὐδ' ἂν μυριάκις αὐτὸν ἐπικαλέσῃ, ἀποκριθήσεταί σοι. Τί δὲ λέγω περὶ Θεοῦ, ὅπουγε καὶ οἱ ἄγγελοι αὐτοῦ ἀόρατοί εἰσιν ἡμῖν;

Ἐμοὶ δὲ δοκεῖ, *ἄφρονα*, τὸν ἁμαρτωλὸν λέγειν, ὃν καὶ *ἡ ὀργὴ ἀναιρεῖ*, οὐ μὴν καὶ τὸν φρόνιμον, οὐ γάρ ἐστιν ἐκεῖ ὀργή. Νοήσεις δὲ καὶ ὧδε· Ἀφρόνως ὀργίζῃ, καὶ ζηλοῖς τοὺς εὐημεροῦντας, κρίνων σαυτὸν ἀναμάρτητον, καὶ κατὰ τοῦ Θεοῦ θρασυνόμενος· ὅθεν εἰκότως πειραθήσῃ τῆς δικαίας τοῦ Θεοῦ κινήσεως, ἢ καὶ ὑπὸ τῆς οἰκείας ὀργῆς κατεργασθήσῃ· παντὶ γὰρ ἄφρονι, καὶ ὀργίλῳ, ἡ ἰδία ὀργὴ θάνατον κατεργάζεται.

D « Ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. »

Ὁ δὲ Σύμμαχος· *Καὶ κατηρασάμην τὴν εὐπρέπειαν αὐτῶν παραχρῆμα.* Ἐπειδὴ ἀντέπιπτε τῷ Ἐλιφάζ, τὸ καὶ ἀδίκους πολλάκις ἐν εὐημερίᾳ γενέσθαι, καὶ μάλιστα τὰ κατ' αὐτὸν τὸν Ἰὼβ πρότερον ἐν εὐπραγίᾳ τυγχάνοντα, ἵνα μὴ εἴπῃ ὁ πολύτλας οὗτος, Εἰ οὖν ἄφρων ἤμην, πῶς ἐπλούτουν τὸ πρίν; τὸ ἀντιπίπτον ἐπιλύων ὁ φίλος, ἔφη, ὅτι Ἄδικος κἂν γένηται ἐν εὐπαθείᾳ τινὶ, καὶ βεβαίως ἔχειν νομίζῃ

[10] Psal. cx, 10.

VARIÆ LECTIONES.

[8] ἴσ. del.

Digitized by Google

τὰ ἀγαθὰ καὶ ἀσφαλῶς (τοῦτο γάρ ἐστι τὸ, *ῥίζας βάλλειν*), ἀλλ' οὐκ ἐπιπολὺ διαμένει· ἀλλ' ἡ *δίαιτα* αὐτοῦ, τουτέστιν, ἡ πᾶσα οἰκία, καὶ ἡ ἐν εὐθηνίᾳ διαγωγὴ διαπίπτει, καὶ διαφθείρεται. Ῥίζαν δὲ εἰπών, ὡς ἐπὶ φυτοῦ, μεταφορικῶς ἐφύλαξε τὴν τροπὴν, ἐπαγαγὼν τὸ, *βρωσθῆναι*· τὰ γὰρ φυτὰ, ὧν ἡ ῥίζα ἐβρώθη, ξηραίνεται. Εἶτα ἐπιφέρει τῶν ἀσεβῶν τὰ ἀποτελέσματα, εὐκτικῶς μὲν λεγόμενα, ὁριστικῶς δὲ, καὶ ἀποτελεσματικῶς, εἴτουν ἐκβατικῶς νοούμενα.

« Πόῤῥω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας. »

Ταῦτα πολλάκις μὲν συμβαίνει τοῖς ἀσεβέσι· καὶ γὰρ ἐκληρονόμησεν ὁ Ἑβραίων λαὸς τὴν γῆν τῆς ἐπαγγελίας, τῶν προτέρων οἰκητόρων δι' ἀσέβειαν ἀναιρεθέντων. Οὐκ ἀεὶ δὲ ταῦτα συμβαίνει ἐν τῷ παρόντι βίῳ· αἱ γὰρ ἀνταποδόσεις οὐκ ἐνταῦθα πάντως, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ὥστε μὴ μετὰ διαιρέσεως τεθέντα οὐ καλῶς εἴρηται τῷ Ἐλιφάζ. Τὸ δὲ, *Πόῤῥω γένοιντο*, οὐκ εὐκτικῶς εἴρηται, ἀλλ' ἀντὶ τοῦ, *ἐγένοντο*, ὡς πάντως συμβαῖνον· οἱ γὰρ χρόνοι ἀδιαφόρως κεῖνται, καὶ μάλιστα ἐν τῇ παρούσῃ γραφῇ.

« Κολαβριτθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. »

Τουτέστιν, ἐπιτριβείησαν, ἐξευτελισθείησαν· κόλαβρος γὰρ ὁ μικρὸς χοῖρος, ἀνθ' οὗ, ὁ μὲν Ἀκύλας, *ἐπιτριβήσονται*· ὁ δὲ Θεοδοτίων, *κατεκλάσθησαν*, ὁ δὲ Σύμμαχος, *ταπεινωθήτωσαν*, ἐξέδωκεν. Εὐτελεῖς, φησὶ, νομισθήσονται, καὶ οὐδενὸς λόγου ἄξιοι, ἀλλοτρίαις θύραις προσῳθειρόμενοι, καὶ ταῦτα, τῶν ἐλαττόνων· καὶ ἐν ἐσχάτῃ ταλαιπωρίᾳ καταστήσονται, ἐν ἐρημίᾳ τῆς τοῦ Θεοῦ κηδεμονίας γενόμενοι, καὶ οὐδεὶς ἔσται ὁ τῶν συμφορῶν αὐτοὺς ἐξαιρούμενος.

« Οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος. » [*Ὁ δὲ Σύμμαχος*· « Οὐ γὰρ ἐξελεύσεται ἀπὸ κόνεως ὀδύνη. »] « Οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος· ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ· νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται. »

Ἤρεμα δοκεῖ παραμυθεῖσθαι τὸν Ἰὼβ ἐν τούτοις. Οὐ γὰρ δεῖ σε, φησὶ, δυσχεραίνειν ἄνθρωπον ὄντα, καὶ πάσχοντα· οὐ γὰρ ἀναισθήτων τὸ τιμωρεῖσθαι. Ἀλλὰ καὶ τὰ πτηνὰ (ἀπὸ γὰρ γυπὸς καὶ τὰ ἄλλα λέγει), ἀπονώτερον ἡμῶν καὶ ἀμεριμνότερον ἐκληρώσαντο βίον.

« Οὐ μὴν δὲ, ἀλλὰ ἐγὼ δεηθήσομαι Κυρίου. »

Ταῦτα μέν, φησὶν, ὧδε ἐχέτω· ἐγὼ δὲ προσφεύγω Θεῷ, καὶ πρὸς τὴν αὐτοῦ καταφεύγω βοήθειαν. Εἶτα ἐκδιηγεῖται τοῦ Θεοῦ τὴν ὑπεροχὴν, πρὸς φόβον ἐνάγων τὸν Ἰὼβ, καὶ διὰ τοῦ οἰκείου προσώπου πρὸς μετάνοιαν ἕλκων. Τὸ δὲ, Ἐγὼ, ὑπερηφάνως τε εἴρηται, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ Ἰὼβ· ὡσανεὶ ἔλεγεν· Ἐγὼ δεηθήσομαι, ἐπειδὴ σὺ τῆς προσευχῆς ἠμέλησας.

« Διαλλάσσοντα βουλὰς πανούργων, καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές. »

Τὸν μεταστρέφοντα βουλὰς τῶν μὴ ποιούντων τὸ

A sidere arbitretur (id enim est, *radices mittere*), non tamen diuturna erunt : sed ejus *habitatio*, id est, domus universa, et vita cum tranquillitate transacta, diffluit et corrumpitur. Cum autem radicem dixisset, quæ plantarum propria est, metaphora servata, subjunxit illud, *absumi* ; plantæ enim quarum exeduntur radices, exarescunt. Deinceps ea quæ impiis eveniunt attexit, quæ ad modum optantis quidem efferuntur, definitive tamen, et apotelesmatice, sive effective intelliguntur.

Vers. 4. « Longe fiant filii eorum a salute. »

Hæc non raro contingunt impiis ; terram enim promissionis Judæorum natio sortita est, prioribus incolis propter impietatem sublatis. Verum hæc non semper in hac vita eveniunt, retributiones enim B non semper hic fiunt, sed in futura etiam vita ; quare minus recte Eliphazus dixit, qui sine discrimine ea posuit. Illud vero, *Longe fiant*, non optantis est, sed pro, *facti sunt*, dictum est, ac si omnino jam accidisset : tempora enim absque discrimine usurpantur, et præsertim in hoc præsenti volumine.

« Et conterantur super januas minorum, et non erit qui eripiat. »

Id est, conterantur, vilipendantur (κόλαβρος enim pusillus est porcus), pro quo Aquila, *conterentur* ; Theodotio, *confracti sunt* : Symmachus, *humilientur*, reddidit. Contempti enim, nulliusque pretii habebuntur, in alienis januis contabescent, et quidem C inferiorum ; et ope ac cura divina destituti, ad summam miseriam redigentur, neque quisquam erit, qui calamitatibus eos eripiet.

Vers. 7. « Non enim prodibit de terra labor. » [*Symmachus autem* : « Non egredietur de pulvere labor. »] « Neque de montibus germinabit molestia ; sed homo nascitur labori : pulli autem vulturis altissime volitant. »

Tacite his verbis Jobum consolari videtur. Minime decet, inquit, te hominem exsistentem ægre ferre, quod ærumnis afficiare, supplicia enim iis quæ sensu carent minime infliguntur. Sed et volucres (vulturis enim nomine reliquas intelligit) vitam D nostra multo minus anxiam et laboriosam adeptæ sunt.

Vers. 8. « Verumtamen ego deprecabor Dominum, »

Hæc quidem, inquit, ita se habeant ; ego vero ad Deum me recipio, et ad illius auxilium confugio. Deinde Dei excellentiam enarrat, ut Jobo terrorem incutiat, et suo exemplo ad pœnitentiam alliciat. Illud autem, *Ego*, dictum est arroganter, et ad differentiam ipsius a Jobo ; tanquam si diceret : Quandoquidem tu preces neglexisti, ego Deum supplex venerabor.

Vers. 14. « Qui avertit consilia versutorum, et non facient manus eorum veritatem. »

Qui in contrarium vertit consilia eorum qui

Digitized by Google

verum et rectum non operantur, id est, qui non patitur hominibus vafris et callidis ex voto res succedere, verum facili negotio, cum illi collibitum fuerit, hujusmodi hominum artificia prava pervertit; vel etiam, ut Aquila interpretatus est, *Irrita facit*; ut Symmachus, *Dissolvit*; ut Theodotio, *Dissipat*.

A ἀληθὲς, τουτέστι, τὸν μὴ συγχωροῦντα κατὰ γνώμην τοῖς πανούργοις ἐκβαίνειν τὰ πράγματα· ἀλλὰ ῥᾳδίως, ὅταν θέλῃ, τῶν τοιούτων ἀνατρέποντι· τὰς κακοτεχνίας· ἢ, ὡς μὲν Ἀκύλας, Ἀκυροῦντα· ὡς δὲ Σύμμαχος, Διαλύοντα· ὡς δὲ Θεοδοτίων, Διασκεδάζοντα.

Vers. 13. « Qui capit sapientes in prudentia; consilium autem astutorum disjecit. »

« Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει· βουλὴν δὲ πολυπλόκων ἐξέστησεν. »

Hoc est : Qui arguit, qui superat, qui vincit, sua scilicet sapientia ; vel, qui humanam sapientiam, stultitiam esse ostendit ; juxta illud : *Qui capit sapientes in astutia ipsorum* [61]. Astutos vero vocat eos qui prudentes admodum sunt, et occulte et subdole, ea quæ sibi proponunt, exsequuntur ; quos, propter perversitatem indolis, qui verborum proprietates B sectantur, ἀγκυλογνώμονας, id est, pravi consilii homines, appellare solent. Illud vero, *Disjecit*, id est, inutile reddidit, irritum fecit, et ut a scopo aberraret, curavit. Symmachus vero sic interpretatus est : *Consilium pravum perturbabitur*.

Τουτέστιν, ὁ ἐλέγχων, ὁ περιγινόμενος, ὁ κρατῶν ἐν τῇ ἑαυτοῦ φρονήσει, δηλονότι· ἢ ὁ τὴν παρὰ ἀνθρώποις σοφίαν, μωρίαν ἀποδεικνύς. Ὅμοιον δὲ τῷ, *Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν*. Πολυπλόκους δὲ καλεῖ τοὺς ἄγαν συνετοὺς, καὶ ὑπούλως κατασκευάζοντες [h] τὰ προκείμενα· οὓς, ἀγκυλογνώμονας, διὰ τὸ σκολιὸν τῆς γνώμης, εἰώθασι προσαγορεύειν, οἱ τὰς κυρίας τῶν λέξεων ἐκλέγοντες. Τὸ δὲ, *Ἐξέστησεν*, ἀντὶ τοῦ, ἀχρήστους πεποίηκεν, ἠχύρωσεν, ἔξω τοῦ σκοποῦ στῆναι παρεσκεύασεν. Ὅπερ ὁ Σύμμαχος οὕτως ἡρμήνευσε, *Βουλὴ δὲ σκολιὰ ταραχθήσεται*.

Vers. 14-16. « In die occurrent eis tenebræ, in meridie autem palpent tanquam in nocte ; et pereant in bello. Infirmus autem egrediatur de manu potentis ; sit autem infirmo spes ; injusti autem os obstruatur. »

« Ἡμέρας συναντήσεται αὐτοῖς σκότος, τὸ δὲ μεσημβρινὸν ψηλαφήσωσαν ἴσα νυκτί· ἀπώλοιντο δὲ ἐν πολέμῳ. Ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου· εἴη δὲ ἀδυνάτῳ ἐλπὶς, ἀδίκου δὲ στόμα ἐμφραχθείη. »

Dici, ac meridiei nomine, vitæ hilaritas atque jucunditas significatur ; quasi diceret : Tum demum improbos, florentis status improvisam mutationem passuros esse, cum illorum erit ad summam C perducta felicitas : noctem enim ac tenebras, calamitosam rerum conditionem vocat. Accidit quoque hisce hominibus, ut cladem ab hostibus sustineant ; qui vero, secundum Deum humilis, nullaque potestate ac vi munitus est, in Deo autem fiduciam collocat, potentium damnum et injuriam effugiet.

Διὰ τῆς ἡμέρας καὶ τῆς μεσημβρίας, τὴν εὐημερίαν αἰνίττεται· ἵνα εἴπῃ, ὅτι ἐν αὐτῇ τῇ ἀκμῇ τῆς εὐπραγίας, οἱ πονηροὶ ἀδόκητον ὑπομενοῦσι τῆς εὐθηνίας τὴν μεταβολὴν· σκότος γὰρ καὶ νύκτα, τὸ δυσπραγεῖν λέγει. Τούτοις δὲ συμβαίνει, καὶ τὴν ἐκ πολεμίων ὑποσῖῆναι σφαγήν· ὁ δὲ κατὰ Θεὸν ταπεινὸς, καὶ οὐδεμίαν δύναμιν περιβεβλημένος, ἔχων τὴν εἰς Θεὸν ἐλπίδα διαφεύξεται τῶν δυνατῶν τὴν ἐπῆρειαν.

Vers. 17. « Beatus autem homo quem arguit Dominus ; monitionem vero omnipotentis ne renuas. Ipse enim dolere facit, et rursus restituit ; percussit, et manus ejus sanaverunt. »

« Μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ Κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. »

Beatitudinem vocat, disciplinam quæ ad morum emendationem tendit. Jobum vero hortatur, ac si pro peccatis pœnas lueret, ne iniquo animo ferat, sed Deum potius, qui plagam inflixit, et qui medicinam adhibere potest, precibus exoret : quod D autem dicit hujusmodi est.

Μακαρισμὸν [i] καλεῖ, τὴν ἐπὶ τῷ σωφρονισμῷ παιδείαν. Παραινεῖ δὲ καὶ τῷ Ἰὼβ, ὡς δι' ἁμάρτημα παιδευομένῳ, μὴ δυσχεραίνειν, ἱκετεύειν δὲ Θεὸν, τὸν καὶ τὴν πληγὴν ἐπαγαγόντα, καὶ τὴν ἴασιν ἐπιθεῖναι δυνάμενον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν·

Vers. 18. « Sexies de necessitatibus te eruet, et in septimo non tanget te malum. »

« Ἐξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν. »

Sexies enim, id est, sæpius in ærumnas et difficultates incides ; postquam autem illas expertus fueris, si gratus et acceptus visus fueris, *in septimo*, post multas, scilicet, tentationes, ad extremum, non amplius mala te pati sinet Deus.

Ἐξάκις μὲν γὰρ, τουτέστι, πολλάκις συμβήσεταί σοι τὰ δυσχερῆ· μετὰ δὲ τὴν τούτων πεῖραν, ἐὰν εὐχάριστος ὀφθῇς, ἐν τῷ ἑβδόμῳ, ἤγουν μετὰ τοὺς πολλοὺς πειρασμοὺς, τελευταῖον ὁ Θεὸς οὐκέτι συγχωρήσει σε παθεῖν.

Vers. 22-24. « Injustos et iniquos deridebis, et feroces bestias non timebis ; bestiæ enim feræ pa-

« Ἀδίκων καὶ ἀνόμων καταγελάσῃ, ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς· θῆρες γὰρ ἄγριοι εἰρηνεύ-

[61] I Cor. III, 19.

VARIÆ LECTIONES.

[h] κατασκευάζοντας. [i] *Isc.* μακαριστόν.

Digitized by Google

σοὶ σοι· εἶτα γνώσῃ, ὅτι εἰρηνεύσει σου ὁ οἶκος· ἡ δὲ διαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ. »

Γνοὺς, φησὶ, τῆς εὐσεβείας τὴν δύναμιν, καὶ τῆς εἰς Θεὸν καταφυγῆς, κατὰ μὲν τῶν ἀδίκων πλατὺ γελάσῃς· τοὺς δὲ θηριώδεις ἀνθρώπους οὐ μὴ φοβηθήσῃ. Καὶ γὰρ καὶ οὗτοι τὴν σὴν θεοσέβειαν αἰσχυνόμενοι, οὐκέτι σοι πολεμεῖν αἱρήσονται, ἀλλὰ προσέσται σοι μετὰ τῶν λοιπῶν ἀγαθῶν, καὶ ἡ ἐκ τῶν ἐπιβουλευόντων ἀσφάλεια· καὶ τότε τῇ πείρᾳ μαθήσῃ, ὡς εἰρηνεύει μέν σου ὁ οἶκος. *Ἡ δὲ πᾶσα τοῦ βίου διαγωγὴ οὐ μὴ ἁμάρτῃ*, ἀντὶ τοῦ, οὐκ ἔξω τῶν χρηστῶν ἐλπίδων γενήσεται, οὐ δυσπραγήσει, οὐ μὴ πάθῃ τι δεινὸν, οὐδεμίαν ἕξει μεταβολὴν, καθάπερ νῦν, ἀλλ' ἐν ἀσφαλεῖ καταστήσεται, τοῦ Θεοῦ διὰ τῆς οἰκείας προνοίας διακρατοῦντος τὴν προσοῦσαν εὐεξίαν.

« Γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου· τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ. »

Εἰρήνης, φησὶ, πανταχόθεν κυκλούσης, ἕξεις καὶ τὴν ἐκ τῆς πολυπαιδίας μακαριότητα· ἐν εὐλογίας γὰρ μέρει καὶ τοῦτο ἦν κατὰ τὸ παλαιὸν, καὶ ὡραίων παίδων πατὴρ ὁ ἅπαις ἀναφανήσῃ, δίκην ἀρούρης κομώσης καὶ βριθομένης ἀστάχυσιν· ἔσονται γάρ σου *τὰ παιδία*, εἴτουν οἱ ἔκγονοι, *ὡς τὸ παμβόταυον τοῦ ἀγροῦ*, τουτέστιν, ὡς ἀγρὸς πάσαις βοτάναις ἀνθηρός.

« Ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν ἃ ἀκηκόαμεν. Σὺ δὲ γνῶθι σεαυτῷ, εἴ τι ἔπραξας. »

Πολυχρονίου καὶ *Ὀλυμπιοδώρου*. Τουτέστι· Ταῦτα οὕτως ἔχει, καὶ οὐκ ἄν τις εἴπῃ, ἑτέρως διακεῖσθαι τὰ ἀνθρώπεια. Ταῦτα ἡμεῖς ἐν τῷ βίῳ ἐκ πείρας ἔγνωμεν, καὶ παρ' ἑτέρων ἐξ ἀκοῆς παρειλήφαμεν, ὅτι οὐδὲν ἀπρονόητον παρὰ τῷ Θεῷ· ἀλλ' οἱ μὲν παράνομοι τιμωροῦνται, οἱ δὲ εὐσεβεῖς πολλῶν ἀγαθῶν ἀπολαύουσι τῇ τοῦ Θεοῦ προνοίᾳ. Τούτων τοιγαροῦν οὕτως ἐχόντων, σκοπεῖν σε προσῆκον, ποίων ἁμαρτημάτων δίκην τινύεις, καὶ ὅπως δι' ἐπιμελείας ἐξιλεώσῃ τὸν Θεὸν, ἀλλὰ μὴ τηνάλλως, ὡς νῦν, δυσχεραίνῃς.

ΚΕΦΑΛ. Ϛ'.

Προθεωρία.

Ἐπειδὴ παρῄνεσεν ὁ Ἐλιφὰζ τῷ δικαίῳ πρὸς μετάνοιαν ἰδεῖν, ὡς δι' ἁμαρτίαν τιμωρουμένῳ, εἰς ἄπρακτον αὐτῷ κατέληξεν ἡ συμβουλή· οὐ γὰρ ἔσχε πεῖθειν ὡς ἁμαρτωλὸς εἴη, ὁ μηδὲν ἑαυτῷ συνειδὼς ἄτοπον. Ὥστε καὶ πρὸς ἀντιλογίαν εἶδεν ὁ δίκαιος, καὶ ἀπολογεῖται μὲν ὑπὲρ ὧν καὶ ὅλως λαλεῖ [k], καὶ οὐ τῇ σιωπῇ τὴν ἑαυτοῦ καρτερίαν ἐπιδείκνυται. Διὰ δὲ φυσικῶν παραδειγμάτων τῶν ἑαυτοῦ λόγων παραστήσας τὸ εὔλογον, καὶ ἅγιον ἀποκαλεῖ τὸν Θεὸν, καὶ ὅτι ἐπ' αὐτῷ τὴν ἐλπίδα ἔσχε, φησὶ· τήν τε κεκρυμμένην αἰτίαν τῆς ἀθυμίας δημοσιεύει, δεδοικέναι λέγων μὴ τελείως αὐτὸν ὁ Θεὸς ἐγκατέλι-

A catæ erunt tibi : deinde scies quod in pace erit domus tua ; habitatio autem tabernaculi tui non peccabit. »

Perspecta, inquit, pietatis efficacia, quantumque præsidii ac perfugii in Deo sit, homines injustos effuse deridebis ; efferos autem et agrestes non timebis. Hi enim tuam in Deum pietatem reveriti, bello amplius te non adorientur, sed securitas ab insidiantibus, cumulus tibi erit reliquorum bonorum ; ac tum domum tibi et familiam pacatam esse, experientia magistra, disces : *Omnis autem vitæ tuæ conversatio non peccabit*, id est, spem bonam non abjiciet, in adversam fortunam non incidet, nec acerbum quidquam patietur, aut vicissitudinem ullam, prout nunc, experietur ; sed Deo

B felicem rerum statum quo frueris providentia sua conservante, in secura tranquillitate constituetur.

VERS. 25. « Scies autem quod multum semen tuum ; et filii tui erunt quasi omnis herba campi. »

Pace, inquit, undique te complectente, felicitatem etiam ex numerosa sobole percipies (hoc enim pro felicitate priscis temporibus habebatur), et orbatus nunc liberis, instar agri qui spicis luxuriat et onustus est, pulchræ prolis pater eris : erunt enim *filii*, sive posteri tui, *sicut omnis herba agri*, id est, tanquam ager qui omni herbarum genere floret.

VERS. 27. « Ecce hæc sunt quæ exquisivimus,

C hæc sunt quæ audivimus. Tu vero scito tibi ipsi si quid egeris. »

Polychronii et *Olympiodori*. Id est : Hæc ita se habent, neque aliter dicat quispiam res humanas esse comparatas. Hæc nos ipsi experientia in vita cognovimus, et auditione ab aliis accepimus, quod nihil divinam Providentiam subterfugiat ; sed quod Dei providentia, improbi suppliciis afficiantur, et pii multis bonis fruantur. Quæ cum ita se habeant, quorum peccatorum pœnas luas, et qua ratione, diligenti cura adhibita, Deum placare possis, neque frustra, ut nunc facis, indigneris, considerare consentaneum est.

CAP. VI.

Protheoria.

D Postquam justum Eliphazus ad resipiscendum hortatus fuisset, ac si scelerum suorum pœnas lueret, consilium ejus irritum evasit ; persuadere enim ei nequaquam poterat quod peccator esset, cum nullius absurdi, et quod a ratione abhorreret, sibi conscius esset. Quare contradicendi studium amici intuitus, pro omnibus quæ dixerat apologiam instituit, neque silentio amplius tolerantiam suam ostendit. Exemplis autem a natura petitis verborum suorum rationem in medium producens, Deum sanctum appellat, et in eo fiduciam se collocare, ait ; abditamque mœroris causam aperit, cum ve-

VARIÆ LECTIONES.

[i] *Isc.* σου. [k] *Isc.* ἐλάλει.

Digitized by Google

reri se dicat ne a Deo plane derelictus esset. Suas deinde calamitates enumerat, et hortatur ne in divitiis ac potestate spem et fiduciam ponamus : amicos etiam vituperat quod sermonibus suis molestias ejus graviores reddidissent ; consulitque ut quæ aliis contingunt intuentes, ipsi metuant ; ac documentum optimum omni homini proponit : quod vita, scilicet, tentatio sit. Postea rursus calamitates suas tragice exaggerat, contenditque a Deo enixe ut memor ejus sit, illumque visitare velit dignetur. Pro sermonibus suis denuo apologiam facit, et humanæ naturæ vilitatem pro supplicatione obtendit, petitque a Deo ut, si quid ab eo peccatum est, perpetua oblivione velit delere.

Vers. 1-3. « Respondens autem Job, dicit : Si vero quis appendens appenderet iram meam, et dolores meos tolleret in statera pariter, et utique arena maris gravior erit. »

Cum Eliphazus per exprobrationem Jobo dixisset : Licet tu multos ad patienter ferendum res adversas commonefeceris, nunc dolor te invasit, et animo perturbatus es ; illumque tanquam hominem philosophia carentem, et qui sibi ipsi solatium adhibere non posset, criminatus esset ; justus calamitatem suam omni solatio majorem ostendens : Utinam, inquit, iram mihi a Deo immissam, et dolores simul animi et corporis, in statera liceret appendere, ut manifestum fieret graviora esse mala quæ mihi simul illata sunt, et quæ angorem et tristitiam inducunt, arena quæ in maris littore est.

Vers. 4. « Sed, ut videtur, verba mea sunt mala [*Symmachus vero :* « Sermones mei peramari »] ; sagittæ enim Domini in corpore meo sunt, quarum furor earum bibit sanguinem meum : cum incepero loqui, stimulant me. »

Olympiodori et *Polychronii*. Vos enim qui solandi causa advenistis, probrosas voces usurpantes, contra quam vobis initio propositum fuit, agitis ; et quidem, conspectis vulneribus, quæ vel inimicorum animos ad miserationem facile inflectere possent. Sed vos quidem in alienis malis philosophamini, nullam calamitatem ipsi experti, et verba mea contemnitis, mollitie diffluentes, neque considerantes quemadmodum supplicia, corpori meo a Deo cum vehementia quadam inflicta, sanguinem meum absumant, id est, vires imminuant, et vitalem facultatem auferant, neque vocem absque dolore emittere sinant, sed cum loqui voluero, intercidant. Mihi vero merito fides non adhibetur, cum verba ægritudinem exprimere non possint, et auditores ex quiete sua et tranquillitate, non autem ex meis calamitatibus, de verbis meis judicium faciant. Unde nemo est qui mei miseretur, sed vilia et nullius pretii esse videntur quæcunque dixero : solus autem ego, quam immedicabile sit malum mihi inflictum, novi, qui plagas a Deo immissas corpore

A πεν. Εἶτα καὶ τὰς οἰκείας ἐξαριθμεῖται συμφορὰς, καὶ παραινεῖ μὴ πεποιθέναι ἐπὶ πλούτῳ, καὶ δυναστείᾳ· καὶ τοῖς φίλοις μέμφεται, ὡς τὰς ἀνίας αὐτῷ φορτικωτέρας διὰ τῶν λόγων ἐργαζομένοις, καὶ συμβουλεύει [1] φοβεῖσθαι, εἰς τὰ τοῖς πλησίον συμβαίνοντα βλέποντας· καὶ κάλλιστον πάντας ἀνθρώπους διδάσκει μάθημα, ὅτι πειρατήριόν ἐστιν ὁ βίος. Καὶ πάλιν ἐκτραγῳδεῖ τὰς οἰκείας συμφορὰς, καὶ ἐξαιτεῖ τὸν Θεὸν μνήμην αὐτοῦ καὶ ἐπισκοπὴν ποιήσασθαι. Καὶ αὖθις ὑπὲρ τῶν οἰκείων ἀπολογεῖται λόγων, καὶ τὴν ἀνθρωπίνην οὐδένειαν εἰς ἱκετηρίαν προβάλλεται, καὶ αἰτεῖ τὸν Θεὸν ὀμνηστίαν αὐτῷ χαρίσασθαι, εἴ τι πεπλημμέληκεν.

B « Ὑπολαβὼν δὲ Ἰὼβ λέγει· Εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργὴν, τὰς δὲ ὀδύνας μου ἅραι ἐν ζυγῷ ὁμοθυμαδὸν, καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται. »

Τοῦ Ἐλιφὰζ ὀνειδιστικῶς εἰρηκότος τῷ Ἰὼβ, Εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς, νῦν δὲ ἦκει ἐπὶ σὲ πόνος, καὶ τεθορύβησαι· καὶ ὡς ἀφιλοσόφου, καὶ μὴ δυναμένου ἑαυτὸν παραμυθήσασθαι, κατηγορήσαντος· ἀπαραμύθητον δεικνὺς τὴν συμφορὰν ὁ δίκαιος, Εἴθε, φησὶν, ἐνδεχόμενον ἦν σταθμηθῆναι τὴν ἐκ Θεοῦ ἐπενεχθεῖσάν μοι ὀργὴν καὶ τὸν σταθμὸν [m], καὶ τὰς ὀδύνας ὁμοθυμαδὸν τάς τε τῆς ψυχῆς, καὶ τὰς τοῦ σώματος, ὥστε φανερὸν γένεσθαι ὡς καὶ αὐτῆς τῆς παραλίας ψάμμου βαρύτερά ἐστι τὰ συναχθέντα [n] μοι, καὶ ἀθυμεῖν παρασκευάζοντα.

C « Ἀλλ', ὡς ἔοικε, τὰ ῥήματά μού ἐστι φαῦλα· [*Ὁ δὲ Σύμμαχος·* Οἱ λόγοι μου κατάπικροι·] βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα· ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου.* Ὑμεῖς γὰρ οἱ εἰς παράκλησιν ἥκοντες, ἐναντία τῇ προθέσει διαπράττεσθε, ὀνειδιστικοῖς κεχρημένοι τοῖς ῥήμασι· καὶ ταῦτα, τῶν τραυμάτων ὁρωμένων, καὶ τοὺς ἐχθροὺς εἰς ἔλεον ἐπισπάσασθαι δυναμένων. Ἀλλ' ὑμεῖς μὲν, ἅτε οὐδεμίαν πεῖραν ἔχοντες τῶν δεινῶν, ἐν τοῖς ἀλλοτρίοις φιλοσοφεῖτε κακοῖς, καὶ τὰ ἐμὰ ἐκφαυλίζετε ῥήματα, ἐν ἀνέσει τυγχάνοντες, καὶ οὐκ ἐννοοῦντες, ὡς αἱ παρὰ τοῦ Θεοῦ ἐπενεχθεῖσαι τῷ σώματί μου τιμωρίαι μετά τινος σφοδρότητος, D ἐκδαπανῶσί μου τὸ αἷμα, τουτέστι τὴν ἰσχὺν καταναλίσκουσι, καὶ τὴν ζωτικὴν προσαφαιροῦνται δύναμιν, οὐδὲ φθέγγεσθαι ἀνωδύνως συγχωροῦσαι, ἀλλ' ἐκκόπτουσαι, ὅταν λαλῆσαι βουληθῶ. Ἐγὼ δὲ εἰκότως ἀπιστοῦμαι, οὔτε τῶν λόγων δυναμένων παραστῆσαι τὸ πάθος, καὶ τῶν ἀκουόντων, ἐκ τῆς ἑαυτῶν ἀνέσεως, ἀλλ' οὐ τῶν ἐμῶν συμφορῶν, κρινόντων τὰ ῥήματα. Διὰ τοῦτο οὐδὲ δύναμαι ἐλέους τυχεῖν, ἀλλ' εὐτελῆ δοκεῖ ὅσα ἂν εἴπω· μόνος δὲ οἶδα τῶν ἐπενεχθέντων τὸ ἀνήκουστον [o], ὁ ἐν τῷ ἐμῷ σώματι τὰς παρὰ τοῦ Θεοῦ πληγὰς δεξάμενος. *Βέλη*

VARIÆ LECTIONES.

[1] *γρ.* παραινεῖ. [m] *Ισ.* ἐν σταθμῷ. [n] *Ισ.* συνενεχθέντα. [o] *Ισ.* ἀνήκεστον.

Digitized by Google

γὰρ, τὰς τιμωρίας λέγει· *Καὶ θυμὸν αὐτῶν*, τὴν ἐπίτονον καὶ πικρὰν ἐπιφορὰν, καὶ τὴν ὀδύνην, ὑφ' ἧς ἧκεντούμενος, οὐδὲ λαλεῖν συγχωρεῖται.

« Τί γάρ; μὴ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς, ἐπὶ φάτνης ἔχων τὰ βρώματα; »

Ὁ δὲ Σύμμαχος, *Μὴ στένει λιμῷ ὄναγρος, παρούσης χλόης*; Φυσικοῖς κέχρηται παραδείγμασι, καὶ τῶν ἑαυτοῦ λόγων τὸ εὔλογον δείκνυσι, καὶ ὡς δικαίως οὐκ ἐπείσθη τῇ τοῦ Ἐλιφὰζ παραινέσει, ἀλλὰ πρὸς ἀντιλογίαν εἶδε.

« Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς; »

Ὁ δὲ Σύμμαχος, *Μήτι βρωθήσεται ἀναρτυτον, τῷ μὴ ἔχειν* P *ἅλα*; Πῶς, φησὶ, πεισθήσομαι τῇ ὑμετέρᾳ παραινέσει, μήτε τὸ εὔλογον ἐχούσῃ, μήτε πρὸς παραμυθίαν ἐξηρτυμένῃ; Ὥσπερ γὰρ ἄναλος ἄρτος οὐ βρώσιμος· οὕτω καὶ λόγοι διάκενοι, καὶ οὐκ ἔχοντες τὸ πιθανὸν, ἢ τὸ εὔλογον, πείθειν οὐ δύνανται τοὺς ἀκούοντας· γεῦμα γὰρ τὴν πειθὼ λέγει, ἐπιμείνας τῇ τοῦ λόγου τροπῇ. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος ἔλεγεν· *Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος*, οἱονεὶ ἡδὺς καὶ νόστιμος, ἐπιστύφων τε ὁμοῦ, καὶ καταγλυκαίνων τοὺς ἀκούοντας.

« Εἰ γὰρ δῴη, καὶ ἔλθοι μου ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ Κύριος· ἀρξάμενος ὁ Κύριος τρωσάτω με, εἰς τέλος δὲ μή με ἀνελέτω. »

Ἀκύλας δὲ καὶ Σύμμαχος, ἀντὶ τοῦ, *Ἀρξάμενος*, *Ἐπιβαλὼν τὴν χεῖρα*, ἐξέδωκαν. Τίς ἡ τοῦ Ἰὼβ αἴτησις καὶ ἡ ἐλπὶς, ἣν καὶ πληρωθῆναι εὔχεται; Ἡ τελευτὴ, καὶ ὁ θάνατος, καὶ τὸ μὴ ἐπιπολὺ παραταθῆναι τὰς βασάνους· τοῦτο γάρ ἐστι τὸ, *Εἰς τέλος μή με ἀνελέτω*· ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Μία μοι λύσις τούτων ἐστὶ τῶν δεινῶν, θάνατος καὶ ἀνάπαυσις· αὐτὸς μὲν οὖν ἐμαυτὸν ἐξαγαγεῖν οὐ δύναμαι, παρακαλῶ δὲ τὸν Κύριον, ἵνα ἐπιβαλὼν τὴν χεῖρα, καὶ μαστιγώσας, ἀπαγάγῃ, καὶ μὴ ἐάσῃ εἰς τέλος ἀναιρεῖσθαι, τουτέστιν, ἐπιπολὺ βασανίζεσθαι. Οὕτως ἐν χάριτος μέρει αἰτεῖ τὸν θάνατον, ὥστε ἀπαλλαγῆναι τῆς ἀθυμίας.

« Εἴη δέ μου πόλις, τάφος· ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐτῆς. »

Ἀκύλας δὲ καὶ Θεοδοτίων, *Καὶ ἔσται ἔτι παράκλησίς μου*, εἰρήκασιν. Ἡ δὲ τοῦ στίχου δύναμις αὕτη· Ἀρκεῖ μοι, φησὶν, εἰς παράκλησιν καὶ παραμυθίαν, τὸ ἐν αὐτῇ τῇ πόλει ἀποθανεῖν καὶ ταφῆναι. Τὸ δὲ, *Ἐπὶ τειχέων ἡλλόμην*, ἀντὶ τοῦ· Ἐφ' ἧς γαῦρος ἤμην, καὶ πεποιθὼς, καὶ μεθ' ἡδονῆς διῆγον.

meo excepi. Supplicia enim, *Sagittas*, vocat; et, *Iram illarum*, molestum et acerbum impetum, ac dolorem, quo stimulatus, ne loqui quidem illi liberum erat.

VERS. 5, 6. « Quid enim? nunquid frustra clamabit onager, nisi escas requirens? nunquid et erumpet vocem bos, cum habeat in præsepi cibos? »

Symmachus autem : *Nunquid ingemiscit fame onager, si adsit gramen?* Naturalibus exemplis utitur, ostenditque quod sermo ejus rationi consentaneus sit, et quod Eliphazi adhortationibus merito sibi persuaderi non sit passus, quin potius ad contentionis ejus studium respexerit.

« Nunquid potest sine sale edi panis? aut est sapor in sermonibus vanis? »

Symmachus autem : *Nunquid manducabitur non conditum, quod sale caret?* Quomodo, inquit, vestra adhortatione persuaderi mihi patiar, quæ neque rationi consentanea est, neque ad consolandum comparata est? Quemadmodum enim panis qui sale caret edi non potest, ita nec inanes sermones, qui persuadendi vim et rationem in se non habent, auditoribus persuadere possunt; persuasionem enim, saporem vocat, metaphoræ insistens. Propterea etiam Apostolus dixit : *Sermo vester semper cum gratia sit, sale conditus*[48], quasi dulcis et jucundus, auditores simul astringens, et dulcedine deliniens.

VERS. 8, 9. « Si enim det, et veniat postulatio mea, et spem meam det Dominus : qui cœpit Dominus vulneret me; in finem autem ne me tollat. »

Aquila vero, et Symmachus, pro illo : *Qui cœpit*, reddiderunt, *Injiciens manum suam*. Quænam autem fuit Jobi postulatio et spes, quam adimpleri precatur? vitæ exitus, et mors, et ne tormenta in longum extendantur : hoc enim vult illud : *In finem ne me tollat;* ac si dixisset : Mors unicum mihi est remedium horum malorum, et requies : Me ipsum quidem ex hac vita educere non possum, Dominum autem imploro, ut manum mihi injiciens, et flagellans, hinc abducere velit, neque sinat me in finem interfici, id est, diuturnos cruciatus pati. Atque ita mortem beneficii loco petit, ut ab animi mœrore liberetur.

VERS. 10. « Sit autem mea civitas, sepulcrum; super cujus muros saltabam super eam. »

Aquila vero, et Theodotio : *Et erit adhuc consolatio mea*, dixerunt. Hujus autem commatis sensus hic est : Sufficit mihi, inquit, ad solatium et fomentum dolorum, si in ipsa urbe mori et sepeliri contingat. Illud vero : *Super muros saltabam*, pro eo est : In qua cum fiducia gestiebam, et cum voluptate degebam.

[48] Coloss. IV, 6.

VARIÆ LECTIONES.

P *Ita.* τὸ μὴ ἔχον.

Digitized by Google

« Non parcam; non enim mentitus sum verba sancta Dei mei. »

Vobis, inquit, contradicere non parcam, neque timide, sed libere loquar, quandoquidem divini mandati violati mihi conscius non sum, ut vexationem hanc justam esse existimem : non enim alia in mente habere possum, nec verba animi sententiæ contraria proferre ; sed quæ mente cogito, ea veraciter eloquor. Propter hunc ejus animum, et loquendi libertatem cum veritate conjunctam, Scriptura eum laudans, dixit : *Et erat homo ille verax, irreprehensibilis* [44]. Intuere affinitatem Abrahamæam, contemplare hunc Isaaci, et Jacob, non solum carnis, sed pietatis etiam, et religionis successorem : de illis enim locutus est Deus : *Ego illorum Deus sum* [45]. Germanum autem illorum germen quid dicit? *Non enim mentitus sum verba sancta Dei mei.* Charitatem qua Deum complectitur, vidisti, quomodo in omnibus Deum sibi conciliet; veritatem etiam ejus, quæ ubique elucet, lauda, et quanto erga Deum studio verba protulerit, considera.

Vers. 11, 12. « Quæ enim virtus mea, ut sufferam? aut quod tempus meum, ut sustineat anima mea? nunquid virtus lapidum virtus mea, aut carnes meæ sunt æneæ? »

Polychronii et *Olympiodori*. Aquila vero : *Et quis finis meus, ut longanimiter agam* ? Si quis, inquit, me calamitatibus oppressum vituperaverit, secum reputet, me hominem, et ærumnis undique vallatum, verba hujusmodi coactum fuisse proferre, eo quod sine doloris sensu mala tolerare non potuerim (corpus enim cum imbecillum sit, doloribus omnino cedit); num ego, inquit, expers omni sensu doloris, aut lapideus, aut æneus sum? nonne humana carne vestior, et brevis temporis sum? nemo igitur mœrentem, et præsentium malorum liberationem postulantem, arguat.

Vers. 13, 14. « Aut non in ipso confidebam? sed adjutorium a me recessit, negavit me misericordia, et visitatio Domini me despexit. »

Et hic quidem, inquit, corporis status est : illud vero præcipue animum cruciat, quod ex præsentibus malis conjicere liceat, Deum, cujus desiderio maxime tenebar, et ex quo vitæ meæ spes omnes pendebant, dereliquisse me, et præsidio suo, et misericordia nudasse : propter hoc præcipue justi animus angebatur. Consideret autem unusquisque qui divino amore sauciatur, quantum dolorem suspicio derelictionis Dei qui desideratur, animæ ratione præditæ creet. Si enim qui mulierum amore vulnerantur, et despicatui postea ab eis habentur, vitam suam non amplius vitalem existimant, et cum ærumnis intolerabilibus conflictan-

« Οὐ φείσομαι, οὐ γὰρ ἐψευσάμην ῥήματα ἁγια Θεοῦ μου. »

Οὐ φείσομαι, φησὶ, τῆς πρὸς ὑμᾶς ἀντιλογίας, οὐδὲ ὑπεσταλμένως φθέγξομαι, ἀλλὰ πεπαῤῥησιασμένως, ἐπειδὴ μὴ σύνοιδα ἐμαυτῷ παραβεβηκότι ἐντολὴν τοῦ Θεοῦ, ὥστε καὶ δικαίαν ἡγεῖσθαι τὴν κάκωσιν· οὐ γὰρ ἀνέχομαι ἕτερα μὲν ἔχειν κατὰ διάνοιαν, ἐναντία δὲ τῇ γνώμῃ φέρειν ῥήματα· ἀλλ' ἃ φρονῶ, σὺν ἀληθείᾳ φθέγγομαι. Διὰ ταύτην αὐτοῦ τὴν γνώμην, καὶ τὴν σὺν ἀληθείᾳ παῤῥησίαν, ἐπαινοῦσα αὐτὸν ἔφησεν ἡ Γραφὴ, *Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος, ἀληθινὸς ἄμεμπτος*. Ὅρα δὲ τὴν Ἀβραμιαίαν συγγένειαν, θεώρει τοῦ Ἰσαὰκ, τοῦ Ἰακὼβ, τοῦτον οὐ μόνον κατὰ σάρκα, ἀλλὰ καὶ κατὰ τὴν εὐσέβειαν, διάδοχον· περὶ μὲν γὰρ ἐκείνων ἔλεγεν ὁ Θεός· *Ἐγὼ Θεὸς αὐτῶν εἰμι*. Τὸ δὲ τούτων γνήσιον γέννημα τί φησιν; *Οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια Θεοῦ μου*. Εἶδες ἀγάπην ἣν [q] ἔχει εἰς Θεόν! πῶς ἐπὶ πάντων ἰδιοποιεῖται τὸν Θεόν! ἐπαίνεσον αὐτοῦ καὶ τὴν διὰ πάντων ἀλήθειαν, καὶ σκόπει μεθ' ὅσης τῆς πρὸς Θεὸν ἀγάπης, τοὺς λόγους προέφερε.

« Τίς γάρ μου ἡ ἰσχὺς, ὅτι ὑπομένω; τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή; μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου; ἢ αἱ σάρκες μού εἰσι χάλκεαι; »

Πολυχρονίου καὶ Ὀλυμπιοδώρου. Ὁ δὲ Ἀκύλας· *Καὶ τί τὸ τέλος μου, ὅτι μακροθυμήσω;* Εἴ τις, φησὶ, μέμφοιτο βαρυνομένῳ, λογιζέσθω ὡς ἄνθρωπος ὢν, καὶ ὑπὸ τῶν παθῶν συνεχόμενος, ἠναγκάσθη[r] προέσθαι τοιαῦτα ῥήματα, διὰ τὸ μὴ δύνασθαι ἀναλγήτως ἐνεγκεῖν τὰ κακὰ, ἐπειδὴ ἀσθενὲς ὂν τὸ σῶμα, εἴκει πάντως τοῖς πάθεσι· μὴ γὰρ ἀνάλγητος, ἢ λίθινος, ἢ χαλκοῦς εἰμι, φησίν; οὐκ ἀνθρώπου σάρκα περίκειμαι, καὶ ὀλιγοχρόνιος τυγχάνω; μηδεὶς οὖν μεμφέσθω ἀλγοῦντι, καὶ ἀπαλλαγὴν αἰτοῦντι τῶν παρόντων δεινῶν.

« Ἦ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν; βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν, ἀπείπατό με ἔλεος, ἐπισκοπὴ δὲ Κυρίου ὑπερεῖδέ με. »

Τὰ μὲν τοῦ σώματος, φησὶ, τοιαῦτα· ὃ δὲ μάλιστα τὴν ἐμὴν ἀνιᾷ ψυχὴν, τὸ ἐκ τῶν παρόντων τεκμαίρεσθαι, ὡς ὁ ὑπ' ἐμοῦ ποθούμενος Θεὸς, εἰς ὃν τὴν πᾶσάν μου τῆς ζωῆς ἐλπίδα ἀνήρτησα, ἐγκατέλιπέ με, καὶ τῆς οἰκείας ἐπισκοπῆς, καὶ τῶν οἰκτιρμῶν ἐγύμνωσε· διὰ ταῦτα μάλιστα ὁ δίκαιος ἠθύμει. Καὶ σκοπείτω γε ἕκαστος τῶν τῇ θείᾳ τετρωμένων ἀγάπῃ, ὅσην ὀδύνην ἐμποιεῖ λογικῇ ψυχῇ, τὸ ὑποπτεύειν ἐγκαταλελεῖφθαι παρὰ τοῦ ποθουμένου Θεοῦ. Εἰ γὰρ οἱ γυναικὸς ἔρωτι τρωθέντες, εἶτα ὑπερορθέντες, ἀβίωτον ἡγοῦνται τὸν βίον, καὶ ἀφορήτοις ἀνίαις βάλλονται· τί ἂν πάθοι ψυχὴ τῇ εἰς Θεὸν ἀγάπῃ τρωθεῖσα, καὶ ἐγκατάλειψιν ὑπομεμενηκέναι

[44] Job I, 1. [45] Exod. III, 6.

VARIÆ LECTIONES.

[q] γρ. οἷαν [r] Ισ. ἠναγκάσθην.

Digitized by Google

νομίζουσα; Εἶτα ἐπιφέρει τὰ αὐτῷ συμβεβηκότα, ἐξ ὧν ὑπώπτευε παρῶφθαι ὑπὸ Θεοῦ.

tur; quanta animæ illius anxietas credenda est, quæ divino amore saucia est, et desertionem se pati existimat? Subjungit deinde quæ ipsi acciderunt, ex quibus a Deo despectum se esse suspicabatur.

« Οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· ὥσπερ χειμάρρους ἐκλείπων, ἢ ὥσπερ κῦμα, παρῆλθόν με. »

Vers. 15. « Propinqui mei non respexerunt me; tanquam torrens deficiens, aut sicut fluctus, transierunt me. »

Πολυχρονίου καὶ *Ὀλυμπιοδώρου*. Πρῶτα μὲν, φησὶν, ὁ Θεὸς ἐγκατέλιπέ με ἐν τοσαύτῃ καταστάντα συμφορᾷ. Ἔπειτα εἰς τοσαύτην κατέστην ταλαιπωρίαν, ὥστε καὶ τῆς παρὰ τῶν φίλων ἐπικουρίας στερηθῆναι, καὶ μηδὲ τῆς παρὰ τῶν συγγενῶν γοῦν τυχεῖν φιλανθρωπίας· *οὐ γὰρ προσεῖδόν με*· οὐκ ἀφ' ὧν ἥμαρτον, ἀλλ' ἀφ' ὧν πέπονθα, βδελυττόμενοί με. Χειμάρρῳ δὲ ἑαυτὸν προσομοιοῖ, διὰ τὴν προλαβοῦσαν εὐθηνίαν· τοιοῦτος γὰρ καὶ ὁ ἐν χειμῶνι ῥέων ποταμὸς, νῦν μὲν πληροῦται ὑδάτων, νῦν δὲ ξηραίνεται, καὶ ἡ χαράδρα ἄνικμος καταλείπεται· τοιοῦτον δὲ καὶ τὸ κῦμα, μὴ ἐν ταὐτότητι μένον, ἀλλὰ ποτὲ μὲν μετεωριζόμενον, καὶ εἰς ὕψος ὀγκούμενον, ποτὲ δὲ συστελλόμενον, καὶ εἰς ἀφρὸν λυόμενον.

Polychronii et *Olympiodori*. Primum, inquit, Deus in tanta calamitate constitutum me deseruit: deinde, in tantam miseriam sum conjectus, ut amicorum auxilio destituar; et ne a sanguine quidem conjunctis humanitatem ullam experiar: *non enim respexerunt me*; non propter delicta mea, sed propter ea quæ passus sum, detestantes me. Torrenti autem, propter pristinam rerum abundantiam, se assimilat; talis enim est fluvius, qui hieme tantum fluit, nunc aquarum plenus est, nunc aret, et salebra sine humore ullo relinquitur: talis etiam est fluctus, qui in eodem statu non manet, sed interdum in altum elevatur, et turgescit, interdum vero deprimitur, et in spumam dissolvitur.

« Ὥσπερ χιὼν, ἢ κρύσταλλος πεπηγώς· καθὼς τακεῖσα θέρμης γενομένης, οὐκ ἐπεγνώσθη ὅπερ ἦν· οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων. Ἀπωλόμην δὲ, καὶ ἔξοικος ἐγενόμην. »

Vers. 16-18. « Sicut nix, aut gelu concretum; quemadmodum quod liquefactum est calore exorto, non cognitum est quod erat: ita et ego derelictus sum ab omnibus. Perii autem, et exsul de domo mea factus sum.

Τουτέστιν· Οὐδὲ μνημόσυνον ὑπολέλειπται, οὐδὲ λείψανον τῆς προτέρας εὐπραγίας· ἀλλ' ὥσπερ χιὼν, ἢ κρύσταλλος, ὑπὸ θέρμης διαλυόμενα, ἀδιάκριτον ποιοῦσι τὸν τόπον, καὶ οὐδὲ ἴχνος ἐγκαταλιμπάνουσιν· οὕτως ὡς μηδὲν ὄντα με ἐλογίσαντο, καὶ ταῦτα, οἱ διὰ γένους ἐγγύτητα συμπαθεῖν ὀφείλοντες· καὶ ὅπερ πρὸ τούτου ἐκρύπτετο, φανερὸν ἡ περίστασις ἔθηκεν, ὅτι οὐκ ἦσαν φίλοι, ἀλλ' ἐδόκουν. Ἔστι δὲ καὶ ἄλλο τι χαλεπώτερον· οἱ γὰρ πρότερόν με διευλαβούμενοι, νῦν ταῖς ἐμαῖς ἐπεμβαίνουσι συμφοραῖς. Τὸ δὲ, *ἀπωλόμην*, πρὸς τὴν τῶν πολλῶν εἶπε διάληψιν, ἀπώλειαν λογιζομένων, τὴν πάντων ἀφαίρεσιν· τὸ δὲ, *ἔξοικος ἐγενόμην*, ἀντὶ τοῦ, πανέστιος ἀπόλωλα.

Id est: Pristinæ felicitatis, neque memoria, neque reliquiæ ullæ reliquæ sunt: sed quemadmodum nix et glacies calore liquefactæ locum indiscriminatum reddunt, neque vestigium ullum relinquunt; ita et pro nihilo me æstimarunt, et quidem li qui propter generis propinquitatem præcipue amicum affectum mihi ostendere debuerant; et quod antea latebat, scilicet, quod amici non essent, sed viderentur, calamitas in propatulo collocavit. Est etiam et aliud gravius: Qui prius me reverebantur, nunc calamitatibus meis insultant. Illud autem, *perii*, ad captum vulgi dixit, qui facultatum omnium amissionem, interitum et exitium existimant: et illud, *exsul factus sum*, id est, cum familia universa funditus excisus sum.

« Ἴδετε ὁδοὺς Θαιμανῶν, ἀτραποὺς Σαβῶν οἱ διορῶντες· καὶ αἰσχύνην ὀφειλήσουσιν, οἱ ἐπὶ πόλεσι καὶ χρήμασι πεποιθότες. »

Vers. 19, 20. « Vias Thæmanorum videte, semitas Sabæorum intuentes: et confusionem debebunt, qui in civitatibus et pecuniis confiderunt. »

Ἕτερος τῶν ἑρμηνευτῶν οὕτως ἐξέδωκεν, *Ἀποβλέπουσιν εἰς ὁδοὺς Θαιμὰν, ὁδοιπορίας Σαβὰ προσδοκῶσιν ἑαυτοῖς*. Τοὺς ἐπὶ πλούτῳ τοίνυν καὶ δυναστείᾳ μεγαλοφρονοῦντας, ἐκ τῆς καθ' ἑαυτὸν μεταβολῆς νουθετεῖ, μὴ ἐλπίζειν ἐπὶ τῇ τούτων ἀδηλίᾳ. Οἱ γὰρ προσέχοντες, φησὶν, εἰς τὰς ὁδοὺς τῆς Θαιμὰν καὶ τὰς ἀτραποὺς τῶν Αἰθιόπων (Σαβὰ γὰρ οἱ Αἰθίοπες), τουτέστιν, οἱ ἐκ τῆς ἐμπορίας τῆς πρὸς τούτους κέρδη προσδοκῶντες, μὴ πεποίθετε ἐπὶ χρήμασιν· αἰσχύνην γὰρ ὀφειλήσουσιν οἱ ἐπὶ τούτοις ἐλπίζοντες. Τὰ δὲ χωρία ἐπιδείκνυσι, πάλαι μὲν εὐδαίμονα, τότε δὲ ἔρημα ἐρείπια, καὶ εἰς ταῦτα ἀποβλέπειν κελεύει, καὶ μὴ πιστεύειν τῇ τοῦ πλούτου ἀδηλότητι. Εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο, παραινεῖ μὴ

Interpres alius sic reddidit: *Respiciunt in vias Thæman, itinera Sabæ expectant sibi*. Qui potentia igitur et divitiis gloriantur, ex subita earum mutatione quam expertus est, ne in illarum incertitudine spem collocent, hortatur. Vos enim, inquit, qui ad vias Thæman, et Æthiopum semitas animum advertitis (Saba enim Æthiopes sunt), id est, qui ex commercio cum eis lucrum exspectatis, nolite pecuniis confidere; qui enim in illis spem ponunt, in dedecus et infamiam incurrent. Regionum autem, quæ olim felices erant, nunc vero desertæ, et ruderibus plenæ sunt, mentionem facit, ac illas intueri jubet, nec divitiarum incertitudini credere. Sive vero sic, sive aliter interpretandum sit, hortatur eos

Digitized by Google

qui intuentur, id est, qui cum intelligentia res examinant, et investigant, ne in divitiis ac potestate fiduciam ponant. Hæc autem amicis succinens, dixit, non debere eos præsentibus bonis insolenter efferri, neque illum qui ad extremam paupertatem redactus esset, contemnere; ac si dixisset : Conditionis propriæ memores estote, quia futurum incertum est, et omnes pari jure ei subjicimur.

VERS. 21. « Nunc autem et vos insurrexistis in me sine misericordia. »

Esto, inquit; illi me neglexerint; cur etiam et vos, amici mei, cum illis cognatis, propter corporis labem, tanquam improbum me et legis transgressorem, judicastis, et verbis adeo acerbis me excepistis, mihique immisericorditer insultastis? id est, sine ullo mutuo affectu, accusatorie et reprehensorie dolorem conviciis radentes, cum solari oporteret? Sequitur deinde hominis philosophi, et Deum timentis, consilium optimum, oportere scilicet aliorum calamitates intuentem cautiorem evadere, et metu percelli : subjungit enim :

VERS. 25. « Sed ut videtur, vilia veracis verba. »

Ac si dixisset : Veritas odiosa et molesta est multis, cum quibus vos idem patimini; ac proinde veritatis meæ verba in nullo pretio habetis.

VERS. 28. « Nunc autem inspiciens in facies vestras non mentiar. »

Hoc est : Quod verum est, sine verecundia aut rubore libere eloquar. Verba autem doctrinam in se continent, absentibus, scilicet, dicteriis non esse obtrectandum, sed coram et in os loqui oportere quæ dicenda sunt : dictum enim est : *Ne detrahe, neque detrahentem libenter audi.* Illud vero : *Non mentiar*, loquendi libertatem ostendit; quemadmodum et Paulus : *Veritatem dico in Christo, non mentior* [48].

VERS. 29, 30. « Sedete, obsecro, et non sit injustum, et rursus justo adestote. Non est enim in lingua mea iniquitas, aut fauces meæ nonne intellectum meditantur? »

Olympiodori et *Polychronii*. Vos ipsos, inquit, postulo, ut in causa mea judices sedeatis, et justum judicium feratis : spero enim, vos nihil injustum dicturos, neque imprudentia aut futilia verba prolaturos. Hæc autem, ad diligentem examinationem eos provocans, loquitur; perinde ac si diceret : Vos, eorum quæ vobis dico, judices estote, dummodo calculus æquitatis non sit expers; incipite, ad refutationem pergite, et sermonum meorum veritatem arguere aggredimini.

Quasi autem judices eos jam constituisset, suorum verborum patrocinium suscipere incipit, et ostendere se reprehensione non dignum fuisse, quod vitam cum morte mutare optaverit. Desiderium autem suum rationi consentaneum esse, ex duabus

A πεποιθέναι ἐπὶ χρήμασιν, ἢ δυναστείᾳ, τοὺς διορῶνας, τουτέστι, τοὺς μετὰ διανοίας ἐξετάζοντας. Ταῦτα δὲ ἔλεγεν ὑπηχῶν [t] καὶ τοῖς φίλοις, ὅτι οὐ χρὴ ἐπὶ τοῖς προσοῦσι μέγα φρονοῦντας ὑπερορᾶν αὐτοῦ εἰς ἐσχάτην πενίαν ἐλάσαντος· τουτέστι, Τὰ οἰκεῖα ἀναμνήσθητε, τὸ [u] μέλλον ἄδηλον, καὶ πάντες ὁμοίως ὑποκείμεθα.

« Ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως. »

Ἔστω, φησίν· ἐκεῖνοι παρεῖδόν με· διὰ τί καὶ ὑμεῖς, οἱ ἐμοὶ φίλοι, μετ' ἐκείνων τῶν συγγενῶν, ὡς παράνομόν με κρίνετε [u'] διὰ τὴν τοῦσώματος λώβησιν; καὶ οὕτω πικροῖς τοῖς κατ' ἐμοῦ λόγοις, ἐχρήσασθε [v], καὶ ἀνελεημόνως ἐνήλασθε; τουτέστιν, ἀσυμπαθῶς, B ἐλεγκτικῶς, κατηγορικῶς ἐπιξέοντες τὸ λυποῦν τοῖς ὀνείδεσι, δέον παρακαλεῖν; Εἶτα ἡ ἀρίστη τοῦ φιλοσόφου καὶ φιλοθέου συμβουλὴ, τὸ δεῖν εἰς τὰς ἑτέρων προσέχοντα συμφορὰς, εὐλαβέστερον γίνεσθαι, καὶ περίφοβον· ἐπάγει γάρ·

« Ἀλλ' ὡς ἔοικε, φαῦλα ἀληθινοῦ ῥήματα. »

Ὡσανεὶ ἔλεγε· Φορτικὸν τοῖς πολλοῖς ἡ ἀλήθεια, οἷς καὶ ὑμεῖς ταυτὸ πεπόνθατε· καὶ διὰ τοῦτο τῆς ἐμῆς ἀληθείας ἐκφαυλίζετε τὰ ῥήματα.

« Νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπα ὑμῶν, οὐ ψεύσομαι. »

Τουτέστι, μετὰ παῤῥησίας ἐρῶ τὴν ἀλήθειαν, οὐδὲν [x] ὑποστειλάμενος, οὐδὲ ἐρυθριάσας. Διδακτικὸν δὲ τὸ ῥητὸν, πρὸς τὸ μὴ περὶ ἀπόντων προσφέρειν C λόγους καταλαλιᾶς, ἀλλ' εἰς πρόσωπον λέγειν ἃ δεῖ· εἴρηται γάρ· *Μὴ καταλάλει, μηδὲ ἡδέως ἄκουε καταλαλοῦντος.* Εὐπαῤῥησίαστον δὲ καὶ τὸ λέγειν· *Οὐ ψεύσομαι*, καθὰ καὶ Παῦλος, *Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι.*

« Καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε. Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον, ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ; »

Ὀλυμπιοδώρου, καὶ *Πολυχρονίου*. Αὐτοὺς, φησὶν, ὑμᾶς αἰτῶ καθίσαι μοι κριτὰς, καὶ δικαίας ἐξενεγκεῖν τὰς ψήφους. Πιστεύω γὰρ μηδὲν ἄδικον λέξιν [y] μηδὲ ἀσυνέτους, ἢ φλυάρους προαγαγεῖν λόγους. Ταῦτα δέ φησι, προκαλούμενος αὐτοὺς εἰς τὴν D ἐξέτασιν, καὶ μονονουχὶ λέγων· Ὑμεῖς κριταὶ τῶν πρὸς ὑμᾶς γίνεσθε λόγων, μόνον ἡ τοῦ δικαίου μοῖρα προσέστω τῇ ψήφῳ· ἄρξασθε, χωρήσατε πρὸς ἀντιλογίαν, ἐγχειρήσατε ἐλέγξαι τῶν λόγων τὴν ἀλήθειαν.

Ὥσπερ δὲ ἤδη καθίσας αὐτοὺς δικαστὰς, ἄρχεται συνηγορεῖν τοῖς ἑαυτοῦ λόγοις, καὶ δεικνύναι, ὡς οὐ μέμψεως ἄξιός ἐστι ποθῶν μεταλλάξαι τὸν βίον. Ἐκ δύο δὲ τούτων αἰτιῶν εὔλογον ἑαυτοῦ κατασκευάζει τὴν ἐπιθυμίαν· μιᾶς μὲν, ὅτι καθόλου κινδύνων με-

[48] Rom. IX, 1.

VARIÆ LECTIONES.

[t] γρ. ὑποσχών. [u] Ισ. ὅτι. [u'] Ισ. ἐκρίνατε. [v] γρ. κέχρησθε. [x] Ισ. οὐδέ. [y] Ισ. προφέρειν. [z] Ισ. λέξειν.

Digitized by Google

σις ὁ ἐπίκηρος οὗτος βίος· ἑτέρας δὲ, ὅτι πρὸς τὸ καθόλου καὶ τοῖς γενικοῖς φόβοις τε καὶ ἀγωνίαις, αὐτὸς διαφερόντως ταῖς ἀνηκέστοις περιβέβληται συμφοραῖς. Γυμνάζει δὲ τέως τὸ καθόλου τοῦ βίου μοχθηρὸν, καὶ φησι·

A causis conatur astruere: una quidem, quod fragilis hæc vita periculis plena sit; alia vero, quod præter communes et generales metus, et animi anxietates, ipse præ reliquis immedicabilibus calamitatibus involutus esset. Interim vero communes vitæ ærumnas exagitat, dicens.

ΚΕΦΑΛ. Ζ'.

« Οὕτω κἀγὼ ὑπέμεινα μῆνας κενούς. »

Οὕτω πῶς; Μετὰ ταλαιπωρίας, μετὰ φόβου. Τοῦτο δὲ οὐχὶ περὶ πάντων λέγει, ἀλλὰ περὶ ἑαυτοῦ· δείξας γὰρ, ὡς καθόλου μοχθηρὸς ὁ βίος, ἐπὶ τὰ ἰδικῶς αὐτῷ συμβεβηκότα μετέρχεται, καὶ φησιν, ὅτι Κἀγὼ εἷς γέγονα τῶν τὸν ἀνιαρὸν τοῦτον ἀνατλώντων βίον, καὶ πολὺν ἤδη χρόνον ἐν ταλαιπωρίαις ἐξετάζομαι· τοῦτο γὰρ σημαίνει, τὸ, *Μῆνας κενούς.*

CAP. VII.

Vers. 3. « Sic et ego exspectavi menses vanos. »

Sic, inquam, in ærumna et metu. Hoc autem non de omnibus, sed de seipso loquitur: postquam enim ostendisset vitam omni homini ærumnosam esse, ad ea quæ sibi peculiariter evenerant, descendit: Ego, inquit, unus ex illorum numero fui, qui vitam cum molestia transegerunt, et multo jam tempore calamitatibus et ærumnis exerceor; illud enim significat, *Menses vanos.*

B

« Νύκτες δὲ ὀδυνῶν δεδομέναι μοί εἰσιν. Ἐὰν κοιμηθῶ, λέγω· Πότε ἡμέρα; ὡς δ' ἂν ἀναστῶ, πάλιν· Πότε ἑσπέρα; πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωΐ. »

« Noctes vero dolorum datæ sunt mihi. [Vers. 4] Si dormiero, dico: Quando dies? et si surrexero, rursus, Quando vesper? Repleor autem doloribus à vespera usque ad mane. »

Ἀκύλας δὲ, καὶ Θεοδοτίων, *Πότε ἀναστήσομαι;* Εἰ βούλεσθε, φησὶ, τὰ ἰδίᾳ μοι συμβεβηκότα μαθεῖν, εἰσὶ ταῦτα· αἱ νύκτες εἰς ἀνάπαυσιν τοῖς ἀνθρώποις ᾠκονομήθησαν, ἐγὼ δὲ ὀδυνῶμαι περὶ ταύτας, καὶ τὸν ἥλιον ἰδεῖν ἀπεύχομαι, ἴσως ἐν ἡμέρᾳ παραμυθίας τύχω τινός[a]· ἡμέρας δὲ διαλαμψάσης, ταῖς ὁμοίαις ὀδύναις βαλλόμενος, τὴν ἑσπέραν ποθῶ· καὶ ταύτης ἐλθούσης, ἐπὶ τοῖς ὁμοίοις κατεξετάζομαι μέχρι τῆς ἑτέρας ἡμέρας.

Aquila vero, et Theodotio, *Quando surgam?* Si ea, inquit, quæ mihi peculiariter acciderunt, discere cupitis, hæc sunt: noctes ad quietem hominibus divina dispensatione tributæ sunt; ego vero illarum tempore doloribus crucior, et solem videre votis exopto, forte in die solatium aliquod habiturus: die vero illucescente, eisdem doloribus confectus, noctem desidero; et illa adveniente, quousque dies alius exoriatur, similibus angoribus crucior.

« Φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων· τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων. »

Vers. 5. « Conspergitur autem corpus meum in putredine vermium; infundo autem glebas terræ a sanie radens. »

C

Εἴθε, φησὶ, μέχρις ὀδυνῶν εἱστήκει τὸ πρᾶγμα· νῦν δὲ οἱ σκώληκες τίκτονται μὲν ἐξ ἐμοῦ, τὸ δὲ ἐμὸν καταδαπανῶσι σῶμα, καὶ οὕτω δριμεῖς ἰχῶρας ἐκρέω, ὡς ἐὰν ὀστράκου διαπορήσω, εἶτα ἐθελήσω βώλῳ[b] τούτους ὑποδέξασθαι, αὐτοὺς τήκουσι τοὺς βώλους οἱ ἰχῶρες τῷ σφοδρῷ τῆς δριμύτητος.

Utinam, inquit, ultra dolores non longius processisset malum; nunc vero vermes ex me enascuntur, et corpus meum exedunt, tabesque acris adeo et mordax ex me profluit, ut si quando, testa deficiente, illam glebis excipere voluero, ipsas glebas acrimoniæ vehementia liquefaciat.

« Ὁ δὲ βίος μου ἔστιν ἐλαφρότερος λαλιᾶς· [*Οἱ δὲ λοιποὶ*, δρομέως, *ἐξέδωκαν*]. Ἀπόλωλε δὲ ἐν κενῇ ἐλπίδι. [*Ὁ δὲ Σύμμαχος*, Αἱ ἡμέραι μου ἀνηλώθησαν, μὴ οὔσης ἐλπίδος.] »

Vers. 6, 7. « Vita autem mea velocior est quam loquela: [*Alii*, quam cursor, *reddiderunt.*] Periit autem in spe vana. [*Symmachus autem:* Dies mei consumpti sunt, quippe cum non sit spes.] »

Μετὰξὺ θεὶς τὰ ἤδη αὐτῷ συμβεβηκότα, τελευταῖον ἐπάγει, ὡς ὁ βίος αὐτῷ δίκην δρομέως, πρὸς τὸ τέρμα ἐπείγεται, οὐδὲν τῶν χρηστῶν παντάπασιν ὑποφαίνων[c]· τοῦτο γάρ ἐστι τὸ, *Ἐν κενῇ ἐλπίδι.*

Cum ea quæ ipsi accidissent, in medium attulisset; tandem, qualiter ipsius vita, instar cursoris, nullam omnino spem melioris status ostendens, ad metam festinet, ultimo loco subjungit; illud enim est: *In vana spe.*

D

« Μνήσθητι οὖν, ὅτι πνεῦμά μου ἡ ζωὴ, καὶ οὐκέτι ἐπανελεύσεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν. »

Vers. 7. « Recordare ergo, quia spiritus est vita mea, et non revertetur ultra oculus meus ad cernendum bonum. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρον.* Ὅμοια καὶ Δαβὶδ ηὔξατο, λέγων· *Ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.* Ὅρα δὲ τὸν δίκαιον, οὐδαμοῦ ἀπὸ κατορθωμάτων

Olympiodori et *Polychronii.* Similem in modum et David precatus est, cum diceret: *Remitte mihi, ut refrigerer, priusquam abeam, et amplius jam non ero*[46]. Vide autem quemadmodum justus nusquam

[46] Psal. xxxviii, 14.

VARIÆ LECTIONES.

[a] *Isc.* τευξόμενος. [b] *Isc.* βώλοις. [c] *γρ.* ὑπομένων.

Digitized by Google

ex operibus et recte factis salvari se postulet, sed quia vita ejus brevis et momentanea esset. Spiritum autem hoc loco, respirationem, quæ sensu percipitur, et quam respirando haurimus, intelligit; prout et Salomon dixit : *Quia fumus in naribus vita nostra* [47]. Quod dicit ejusmodi est : Memento vitam humanam fragilem et caducam esse, ad quam redire nefas est, cum mors semel nos inde avulserit, et quod vitæ hujus bona intueri, eisque frui, postea non liceat.

VERS. 8, 9. « Non circumspiciet me oculus videntis me : oculi tui in me, et non ultra sum, tanquam nubes expurgata de cœlo. »

Polychronii et *Olympiodori*. Quam subita sit mors, hoc loco ostendit; sæpenumero enim, inquit, dum quis attentius me intuetur, discedo et intereo; et vitæ nostræ exitus adeo repentinus est, ut qui hodie me viderunt, cras omnino non sint visuri : si enim solum volueris, et oculis, ut non amplius sim, me aspexeris, interii; hoc enim illis verbis significat : *Oculi tui in me, et non ultra sum;* et nubi dissipatæ similis sum, quæ propriam compagem amisit. Symmachus autem dilucidius sic interpretatus est : *Tanquam absumpta nubes absolvetur.*

VERS. 11, 12. « Propterea itaque et ego non parcam ori meo, loquar cum in necessitate spiritus mei sim. [*Symmachus autem*, Confabulabor in amaritudine animæ meæ.] Aperiam amaritudinem animæ meæ compressus; utrumne mare sum ego, aut draco, quia statuisti super me custodiam. »

Non silebo igitur, inquit, sed in angustiis constitutus, orabo et precabor. Præsentes autem necessitates, animum dolore exacerbatum, et naturæ humanæ vilitatem, pro supplicatione obtendit, ac dicit : Considera, Domine, quod inter magna tua opera et mole immensa numerari non merear, qualia sunt mare, aut cetus (quem hic draconem vocat), sed quod vilis et exiguus, calamitatibus ejusmodi vallatus, vires meæ langueant. Quemadmodum autem mare, et cetos qui in eo sunt, limitibus quos non transgrediuntur, sepivisti; ita et calamitatibus, quarum exitum nullum invenio, me circumvallasti. Hebræus autem pro eo : *Statuisti super me custodiam, labores et ærumnas*, dicit. Hoc autem est quod innuit : Quemadmodum aquæ in mare influunt, ita ærumnæ me inundant, illi autem proprium et peculiare est, sine sensu aquarum influxus sinu suo recipere et consumere, et cetо qui in eo est, fluctuum inundationem minime declinare : homini vero pari modo gravia et adversa tolerare, impossibile est. Deinde, ad misericordiam Deum inflectens, subjungit :

VERS. 15, 16. « Absolves a spiritu meo animam meam. [*Illud*, Absolves, *pro*, Absolve *ponitur*. *Aquila*

[47] Sap. II, 2.

A ἀξιοῦντα σωθῆναι ἑαυτὸν, ἀλλ' ἐπειδὴ ὀλιγοχρόνιός ἐστι [d]. Πνεῦμα δὲ λέγει νῦν, τὴν πνοὴν [e] τὴν αἰσθητὴν, ὃ [f] ἀναπνέοντες ἐπισπώμεθα · καθὰ καὶ Σαλομὼν ἔφη · *Ὅτι καπνὸς ἐν ῥισὶν ἡ ζωὴ ἡμῶν.* Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Μνήσθητι ὅτι εὐδιάλυτός ἐστιν ἡ ἀνθρωπίνη ζωὴ, καὶ ἐπειδὰν ταύτης ἀποῤῥαγῶμεν διὰ τοῦ θανάτου, οὐκέτι εἰς τὴν τοιαύτην ζωὴν ἐπανερχόμεθα, οὐδὲ τὰ τοῦ βίου ὁρᾶν ἀγαθὰ, καὶ ἀπολαύειν αὐτῶν δυνάμεθα.

« Οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με · οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ, καὶ οὐκέτι εἰμὶ, ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ. »

Πολυχρονίου καὶ *Ὀλυμπιοδ.* Τὸ ἀθρόον τοῦ θανάτου ἐνταῦθα δηλοῖ · ἐν ὅσῳ γὰρ, φησὶ, τὶς ἀτενίζει μοι, πολλάκις οἴχομαι καὶ ἀπόλλυμαι · καὶ οὕτω ταχεῖά τίς ἐστιν ἡ τοῦ βίου τελευτὴ, ὅτι οἱ σήμερον ὁρῶντές με, οὐ πάντως αὔριον βλέψουσιν · εἰ γὰρ μόνον θελήσειας, καὶ τοὺς ὀφθαλμούς μου ἐμβλέψειας πρὸς τὸ μὴ εἶναι, ἀπωλόμην · τοῦτο γὰρ σημαίνει τὸ, *Οἱ ὀφθαλμοί σου ἐν ἐμοὶ, καὶ οὐκέτι εἰμί* · καὶ ἔοικα νέφει διαλυθέντι, καὶ τὴν οἰκείαν σύστασιν ἀπολέσαντι. Τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον ἐξέδωκεν, εἰπών · *Καθάπερ ἀναλωθεῖσα νεφέλη ἀπαλλαγήσεται.*

« Ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου, λαλήσω ἐν ἀνάγκῃ ὧν τοῦ πνεύματός μου. [*Ὁ δὲ Σύμμαχος*, Διαλεχθήσομαι τῷ παραπικρασμῷ τῆς ψυχῆς μου.] Ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος · πότερον θάλασσά εἰμι, ἢ δράκων, ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν ; »

Τοιγαροῦν οὐκ ἐφησυχάσω, ἀλλὰ εὔξομαι, καὶ δεηθήσομαι συνεχόμενος · τὰς δὲ παρούσας ἀνάγκας, καὶ τὴν καταπικρανθεῖσαν ψυχὴν, καὶ τὸ εὐτελὲς τῆς φύσεως, εἰς ἱκετηρίαν προβάλλεται, καί φησιν · Ἐννόησον, ὦ Δέσποτα, ὅτι οὐκ εἰμὶ μέγα τι καὶ ἐξαίσιον τῶν σῶν κτισμάτων, οἷον θάλασσα, ἢ κῆτος (τοῦτο γὰρ δράκοντα καλεῖ), ἀλλ' εὐτελὴς, καὶ σμικρός [h] τις, καὶ ἐξασθενῶ τοιαύταις περικλειόμενος συμφοραῖς. Ὥσπερ δὲ τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτῇ κήτη, ὁρίοις περιέκλεισας, ἃ οὐχ ὑπερβαίνουσιν· οὕτω με ταῖς συμφοραῖς περιεστοίχισας, ἃς ὑπεξελθεῖν οὐχ εὑρίσκω. Ὁ μέντοι Ἑβραῖος, ἀντὶ τοῦ, *Ἔταξας ἐπ' ἐμὲ φυλακὴν, πόνους*, λέγει. Ὃ οὖν βούλεται εἰπεῖν τοῦτό ἐστι, ὅτι Ὥσπερ τῇ θαλάσσῃ ἐπιῤῥεῖ τὰ ὕδατα, οὕτως ἐμοὶ οἱ πόνοι · ἀλλ' ἐκείνῃ μὲν ἴδιον, τὸ δέχεσθαι καὶ ἀναλίσκειν ἀνεπαισθήτως τὰ ἐπιχεόμενα ῥεύματα · καὶ τῷ ἐν αὐτῇ δὲ κήτει, μὴ ἀποστρέφεσθαι τῶν ὑδάτων τὴν πλημμύραν · ἀνθρώπῳ δὲ οὐκέτι [i] τὸν ὅμοιον τρόπον δυνατὸν φέρειν τὰ δεινά. Εἶτα, καὶ εἰς οἰκτιρμοὺς ἐκκαλούμενος τὸν Θεὸν, ἐπάγει ·

« Ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου. [*Τὸ*, ἀπαλλάξεις, *ἀντὶ τοῦ*, ἀπάλλαξον. *Ὁ δὲ*

VARIÆ LECTIONES.

[d] *Ισ.* ἦν. [e] *γρ.* ζωήν. [f] *Ισ.* ἣν. [g] *Ισ.* τοῖς ὀφθαλμοῖς μοι. [h] *γρ.* σμικρότατος. [i] *Ισ.* οὐκ ἔστι.

Digitized by Google

Ἀκύλας, καὶ αἱρεῖται ψησὶν, ἀγχόνην ἡ ψυχή μου.] Ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου. [*Ὁ Σύμμαχος*, Καὶ θάνατον διὰ τῶν ὀστέων μου.] Οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. »

Ἱκετεύω, λάβε τὴν ψυχήν μου, καὶ ἀπάλλαξόν με τῆς ὀδύνης διὰ τοῦ θανάτου, οὐ γὰρ αἰωνίων με κατεσκεύασας, ἵνα νῦν μὲν ἐνέγκω τὰς ἀλγηδόνας, τὸν ὕστερον δὲ χρόνον ἐν ἀναπαύσει ζήσωμαι. Οὐδὲν οὖν αἰτῶ παρὰ τὸ σὸν δόγμα, Δέσποτα· θνητόν με ἔπλασας, καὶ οὐκ ἀθάνατον, ἐπάγαγέ μοι τὸν θάνατον, ἄνελέ με. Ἰδοὺ τὰ φορτικὰ ῥήματα. Τί φορτικὸν ἔχει; Εἶπε τὴν συμφοράν, καὶ ᾔτησε τὸν θάνατον· οὐκ ἄδικον, φησὶν, εἰ θνητὸς ὢν, θανάτου ἐρῶ. Τὸ ὅμοιον καὶ Μωϋσῆς ἱκέτευε, λέγων· *Εἰ οὕτω μοι μέλλεις ποιεῖν, ἀπόκτεινόν με.*

« Ἀπόστα ἀπ' ἐμοῦ· κενὸς γάρ μου ὁ βίος. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ὁ δὲ Σύμμαχος, *Ὅτι ματαιότης αἱ ἡμέραι μου*. Ἕτερος δὲ, *Ἀτμὸς γὰρ αἱ ἡμέραι μου*. Παῦσαι, φησὶ, πλήττων με ἐν ματαιότητι ζῶντα, καὶ οὐδὲν ἀσφαλὲς κεκτημένον, ὅτι ἐκλείπω, καὶ οὐκέτι ἔχω ἰσχύν· τοῦτο γάρ ἐστι, τό· *Κενός μου ὁ βίος*. Οὕτω καὶ ὁ Δαβὶδ ηὔχετο, *Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου, ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον*. Ἔθος δὲ τοῖς ἁγίοις, καὶ τὰς κατὰ συγχώρησιν Θεοῦ γινομένας παρὰ τῶν ἐχθρῶν πληγὰς, ἐπ' αὐτὸν ἀναφέρειν· ὡς δυνάμενον μὲν παῦσαι, συγχωροῦντα δὲ τέως. Οὐκ ἴσμεν γὰρ, φασὶ, τινὰ ἄλλον, σὺ πάντων ἔχεις τὴν ἐξουσίαν.

« Τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτὸν, ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν; Ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωΐ, καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς; »

Τὸ τῆς τοῦ ἀνθρώπου φύσεως εὐτελὲς, καὶ τοῦ Θεοῦ περὶ αὐτὸν τὴν κηδεμονίαν, εἰς ἱκεσίαν προβάλλεται. *Τί γάρ ἐστιν ἄνθρωπος*, φησίν; εἰς ἰδίαν φύσιν οὐδέν· σὺ δὲ διὰ πλῆθος φιλανθρωπίας οὕτως ἐμεγάλυνας, ὅτι καὶ προσέχειν ἀξιοῖς αὐτῷ, καὶ ἐπισκέπτειν τὰ κατ' αὐτὸν, μετὰ σπουδῆς, καὶ καθ' ἡμέραν· τοῦτο γὰρ σημαίνει τὸ, *πρωΐ*. Καὶ αὐτὸ δὲ τοῦτο, τὸ κολάζεσθαι τὸν ἄνθρωπον, τεκμήριον τίθεται τῆς ὑπὸ τοῦ Θεοῦ μεγαλοσύνης αὐτοῦ. Ὅλως γὰρ, φησὶν, ἄξιός ἐστιν ἄνθρωπος τοῦ κολάζεσθαι παρὰ σοῦ, ἢ τοῦ κἂν ἐν διανοίᾳ σου εἶναι· αὐτὸ γάρ, τὸ δίκας ἰ ἀπαιτεῖν, ὡς ὄντος τι τοῦ ἀνθρώπου, τεκμήριόν ἐστιν. Ἢ, *Ἐπισκοπὴν αὐτοῦ ποιήσῃ*, τουτέστιν, Ἀντιλαμβάνῃ αὐτοῦ. Ὅρα δὲ μεμιγμένα τὰ ῥήματα τὰ μὲν ἐπιεικείας, τὰ δὲ ὀδύνης· καί μοι δοκεῖ, κατὰ τὴν ἐπίτασιν τῶν ἀλγηδόνων ταῦτα λέγειν. Τί δέ ἐστι, τὸ, *Εἰς ἀνάπαυσιν κρινεῖς;* ἀντὶ τοῦ, Ἀποθανεῖν κελεύεις[k], καὶ ἀναπαύεσθαι· ἐπειδὴ τοίνυν κρῖμα καὶ δόγμα σόν ἐστι, τὸ διαναπαύειν τὸν ἄνθρωπον, τουτέστι, τὸ παρασκευάζειν ἡμᾶς τε-

A *autem*, Eligit suspendium anima mea.] Et a morte ossa mea. [*Symmachus*: Et mortem per ossa mea.] Non enim in sempiternum vivam, ut longanimiter agam. »

Supplex oro, vitam meam aufer, et a doloribus per mortem me libera (non enim immortalem me creasti), ut nunc quidem dolores patiar, in futuro autem sæculo quiete et tranquillitate fruar. Nihil igitur, Domine, decreto tuo contrarium postulo; mortalem, non autem immortalem me finxisti, mortem igitur mihi infer, eneca me. En verba atrocia: Quid autem atrocitatis et arrogantiæ in se habent? Calamitatem enarravit, et mortem expetivit; non injustum, inquit, est, si mortalis cum sim, mortem diligam. Moses in eadem verba precabatur, dicens: *Si sic mihi facturus es, interfice me* [57].

B « Discede a me, vana est enim vita mea. »

Olympiod. et *Polychr.* Symmachus autem, *Quoniam vanitas sunt dies mei.* Alius autem interpres, *Vapor enim sunt dies mei.* Desine, inquit, plagas mihi amplius infligere, qui in vanitate vitam dego, et nihil tutum aut securum possideo; deficio enim, et vires non amplius suppetunt; hoc enim illud significat: *Vana est vita mea.* Sic etiam David precatus est: *Amove a me plagas tuas, a fortitudine enim manus tuæ ego defeci* [58]. Sanctis autem solemne est, plagas, quas Dei permissu ab hostibus accipiunt, ad ipsum Deum, tanquam ad auctorem, referre; quippe qui finem illis imponere possit, interim tamen permittat; alium enim non novimus, inquiunt,

C in tua potestate et arbitrio sunt omnia.

Vers. 17, 18. « Quid enim est homo, quod magnificasti eum, aut quod adhibes mentem erga eum? Num visitationem ejus facies usque mane? et in requie judicabis eum? »

Humanæ naturæ vilitatem, et divinam erga hominem providentiam, pro supplicatione obtendit. *Quid enim est homo*, inquit? sua natura nihil; tu autem ex humanitatis et benignitatis tuæ abundantia sic eum magnificasti, ut animum illi advertere, et rebus ejus prospicere diligenter et in dies digneris; illud enim significat, *mane*. Quin et hominem puniri, et suppliciis obnoxium esse, magnificentiæ, qua Deo minor est, indicium facit: Prorsus, inquit, dignior est homo qui suppliciis a te coer-

D ceatur, quam vel ut in animo illum geras: quod enim pœnas de illo sumas, hominem ipsum aliquid esse, argumentum est manifestum. Vel, *Visitationem ejus facies*, id est, opem illi feres. Vide autem, quemadmodum verba mista inter se sint, quædam levitatis, alia vero doloris; et mihi quidem in excessu doloris videtur hæc dicere. Quid autem est illud, *In requie judicabis?* mori, scilicet, me jubebis, et requiescere. Cum igitur decretum et statutum tibi sit ut hominem requiescere facias, id est,

[57] Num. xi, 15. [58] Psal. xxxviii, 11.

VARIÆ LECTIONES.

i γρ. δίκαιον. [k] Ισ. κελεύσεις.

Digitized by Google

cum viam ad ejus mortem et exitum munias, noli dolores meos in longum producere; ideoque subjungit :

Vers. 19. « Usquequo non sinis me, neque dimittis me, donec deglutiam salivam meam? »

Olympiodori et *Polychronii*. Non hæc indignabundus profert, sed supplex scire desiderat, quousque dolores ejus prolongandi essent; num eousque donec neque spuere, neque loqui amplius posset? Quam brevissimum igitur mihi, inquit, spatium ad animi remissionem largire, et a doloribus me libera. Illud enim : *Donec deglutiam salivam meam*, ac si diceret, quod moribundis accidere solet, patior. Quale etiam est illud Davidis : *Dimitte mihi ut refrigerer, priusquam abeo et amplius non ero* [49]. Idemque alibi : *Quousque, Domine, irasceris? Exardescet, sicut ignis, ira tua* [50]? — *Memento quæ est substantia mea* [51]; non vituperans, sed supplicans dicebat, et naturæ imbecillitatem, supplicationis argumentum faciebat : sicut et hoc loco Jobus, dolores suos non ad mortem usque produci, sed brevi respiratione frui postulat. Postea, Deum magis deliniens, dicit :

Vers. 20. « Qui scis mentem hominum, quare posuisti me ut loquerer adversus te? sum autem super te onus. »

Non te fugit, inquit, Domine, cui aditus est ad intimas cogitationes, quod sæpe me servum tuum hæc patientem et neglectum intuentes, nomen tuum blasphement; ita ut oneri quodammodo tibi sim, asperitatis verborum et blasphemiæ causa factus. Illud igitur : *Ut loquerer adversus te*, pro incusationis causa intelligendum est, non quod ipse de Deo quereretur.

Vers. 21. « Quare non fecisti iniquitatis meæ oblivionem, et purgationem peccati mei. »

Et hæc etiam verba supplicationem in se continent (illud enim, *quare*, ut sæpenumero ostensum est, per modum supplicationis usurpatur); justus enim hoc loco tentationum suarum causam intelligere, enixe petit. Verborum autem hic sensus est : An non benignus es, inquit, erga humanum genus? An non idoneus peccata condonare, et miserationum tuarum multitudine peccatorem ab omni labe purum reddere? Quare non etiam mihi benignitate tua frui conceditur? si non mea, at tua causa. Cur, cum magnus et immensus sis, meam vilitatem non contempsisti? Cur non, omisso examine, delicta mea propter misericordiam et clementiam tuam, neglexisti, aut plane oblitterasti? sed ad justos calculos cuncta exigens, delictorum pœnas a me petiisti; ac ut nimia loquendi libertate tibi gravis et molestus viderer, fecisti, cum plura quam per naturam licet, Domino meo locutus fuerim, imo et

A λευτᾶν, μὴ μακρύνῃς μου τὰς ἀλγηδόνας· διὸ καὶ ἐπιφέρει·

« Ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύελόν μου; »

Ὀλυμπιοδώρου, καὶ *Πολυχρονίου*. Οὐκ ἀποδυσπετῶν ταῦτα λέγει, ἀλλ' ἱκετεύων μαθεῖν ἕως τίνος αὐτῷ τὰ τῶν ὀδυνῶν παρατείνεται· ἆρα μέχρις οὗ μηδὲ πτύσαι, μηδὲ φθέγξασθαί τι δυνηθείη; Τοιγαροῦν, φησὶ, βραχύτατον γοῦν ἐάσας [l] με ἐν ἀνέσει, καὶ τῶν ὀδυνῶν ἐκτός με κατάστησον. Τὸ γάρ· *Ἕως ἂν καταπίω τὸν πτύελόν μου*, ἵνα εἴπῃ, τὸ τυχὸν γοῦν [m] οἷόν ἐστι καὶ τὸ τοῦ Δαβὶδ, *Ἄνες μοι ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω*. Ὁ δ' αὐτὸς καὶ τό· *Ἕως πότε,* B *Κύριε, ὀργισθήσῃ, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Μνήσθητι τίς μου ἡ ὑπόστασις*· οὐ μεμφόμενος, ἀλλ' ἱκετεύων ἔλεγε, καὶ τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκετηρίαν προὐβάλλετο· καθὰ καὶ νῦν Ἰὼβ, μὴ μέχρι θανάτου τὰ τῶν ὀδυνῶν ἐκταθῆναι, ἀλλὰ μικρὸν γοῦν ἐαθῆναι παρακαλεῖ. Εἶτα, καὶ μειζόνως ἐκμειλισσόμενος τὸν Θεὸν, φησίν·

« Ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, διατί ἔθου με κατεντευκτήν σου; εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον. »

Οἶσθα, φησὶν, ὦ Δέσποτα, οἷα ταῖς ἐννοίαις ἐμβατεύων, ὡς πολλάκις εἰς ἐμὲ τὸν σὸν ὁρῶντες θεράποντα ταῦτα πάσχοντα, καὶ παρορώμενον, βλασφημοῦσι τὸ σὸν ὄνομα, καὶ εἰμί σου τρόπον τινὰ φορτίον, βάρους ῥημάτων καὶ βλασφημίας αἴτιον κατα- C βοήσεως νοητέον, οὐ μὴν ὅτι αὐτὸς κατεβόα τοῦ Θεοῦ.

« Διατί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; »

Ἱκεσίας καὶ ταῦτα τὰ ῥήματα (τὸ γὰρ, *διατί*, ὡς πολλάκις δέδεικται, ἱκετευτικῶς κεῖται), ποθοῦντος τοῦ δικαίου τὴν αἰτίαν μαθεῖν τῶν πειρασμῶν. Ὁ δὲ νοῦς οὗτος· Οὐκ εἶ, φησὶ, φιλάνθρωπος; οὐχ ἱκανὸς συγχωρεῖν ἁμαρτίας, καὶ καθαρὸν δεικνύναι διὰ πλήθους οἰκτιρμῶν, τὸν ἁμαρτήσαντα; Διατί μὴ κἀγὼ τῆς σῆς χρηστότητος ἀπολαύω; εἰ καὶ μὴ δι' ἐμὲ, ἀλλὰ διὰ σαυτόν. Διατί, μέγας ὤν, οὐ κατεφρό- D νησάς μου τῆς εὐτελείας; Ὅτου δὲ ἕνεκεν μὴ παρεὶς τὴν ἐξέτασιν, φιλανθρωπίᾳ ὑπερεῖδες τὰ πταίσματα, ἢ καὶ παντάπασι ταῦτα ἐξήλειψας; ἀλλὰ πρὸς ἴσον ἐξεταζόμενος, εὐθύνας ἐπράξω τῶν πεπλημμεληκότων, καί με πεποίηκας τῷ μεγέθει τῆς παῤῥησίας, φορτικόν σοι φαίνεσθαι, μείζονα ἢ κατὰ φύσιν πρὸς τὸν ἐμὸν Δεσπότην φθεγγόμενον, καὶ οἱονεὶ κατεντυγχάνοντα, ὅτι μὴ ἐχαρίσω μοι ἀμνηστίαν, εἴ τι καὶ ἥμαρτον, τρεπτῆς ὢν φύσεως, καὶ εὐολίσθου, καὶ ἀσθενοῦς;

[49] Psal. xl, 14. [50] ibid. lxxviii, 5. [51] ibid. lxxxviii, 47, 48.

VARIÆ LECTIONES.

[l] *Isc.* ἔασον. [m] *Isc.* τοῖς θανοῦσι πάσχω. Sic enim Comitolus legisse videtur.

Digitized by Google

quasi, obtrectaverim quod sempiterna oblivione delicta mea sepelire nolueris; præsertim cum natura mea varia et mutabilis, ad lapsum proclivis et imbecillis sit?

« Νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι· ὀρθρίζων δὲ οὐκέτι εἰμί. »

Καὶ τὸ ὀλιγοχρόνιον τῆς ζωῆς ἔπλεξε [n] τῇ ἱκετηρίᾳ, πανταχόθεν εἰς οἶκτον τὸν Θεὸν ἐκκαλούμενος. Τὸ δὲ, *Ὀρθρίζων οὐκέτι εἰμί*, τοιοῦτο ὑποβάλλει νοεῖν· Οὐ γάρ ἐστι, φησὶν, ὥσπερ ὕπνος ὁ θάνατος· μετὰ γὰρ τὸν ὕπνον οἱ ἄνθρωποι πάλιν ὀρθρίζοντες, ἐν τῷ βίῳ τυγχάνουσιν· ὁ δὲ ἅπαξ ἀποθανὼν, οὔτε ὄρθρον προσδοκᾷ, ὥστε διυπνισθῆναι, οὔτε τὴν μετὰ ἀνθρώπων διατριβήν. Εἰ οὖν οὕτω πρόσκαιρος ἐγὼ καὶ ὀκύμωρος, καὶ μικρὸν ὕστερον ἀποθανὼν, οὐκέτι ὡς ἐξ ὕπνου ἀναστήσομαι· διατί οὐδὲ τὸ βραχύτατον τοῦ βίου τιμωρίας ἐκτὸς κατέλιπες; Ταῦτα δὲ εἶπεν [o] ὁ Ἰώβ, οὐδὲν μὲν ἑαυτῷ συνειδὼς ἁμάρτημα, κατὰ δὲ συγχώρησιν λέγων, ὅτι Εἰ καὶ ἥμαρτον, μετὰ πάντων ὀφείλω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαῦσαι. Δέδεικται τοίνυν διὰ πάντων ἡ εὐσέβης, καὶ φιλόθεος, καὶ δικαία, καὶ ἄμεμπτος τοῦ Ἰὼβ γνώμη, εἰ καὶ ἀσαφέστερον τῇ ἐπαγγελίᾳ τῶν λόγων ἐχρήσατο.

A « Nunc autem in terram abibo : mane autem surgens ultra non ero. »

Vitæ brevitatem supplicationi intexuit, ut Deum modis omnibus ad misericordiam moveret. Illud autem : *Surgens mane ultra non ero*, hoc innuere videtur : Mors, inquit, somno non est similis : homines enim post somnum diluculo rursus surgentes, vitam ducunt et respirant; qui vero semel obiit, neque matutinum tempus, ut ex somno expergefiat, neque cum hominibus conversationem exspectat. Si igitur ego momentaneus adeo sum, et subitæ morti obnoxius, brevique postea moriens, non amplius, tanquam ex somno, resurgam; cur pauxillum vitæ spatium a suppliciis non sinis esse immune? Hæc autem Jobus nullius peccati sibi conscius, sed B per modum concessionis loquebatur : Licet, inquit, peccavi, cum aliis tamen benignitatem et misericordiam tuam experiri debeo. Jobi igitur animus pius, Dei amans, justus, et irreprehensibilis, in omnibus apparet, etsi non adeo dilucida verborum enuntiatione usus fuerit.

ΚΕΦΑΛ. Η'.

Προθεωρία.

Εἰς ἀντιλογίαν τῶν νῦν εἰρημένων ὑπὸ τοῦ Ἰὼβ καθιστάμενος ὁ Βαλδὰδ, μέμφεται μὲν αὐτὸν, ὡς πολυῤῥήμονα· εἰς τοὺς αὐτοὺς δὲ τῷ Ἐλιφὰζ καὶ αὐτὸς ἐξεκυλίσθη λόγους, ταῖς ἁμαρτίαις τὰς κακώσεις ἀκολουθεῖν ὑπολαμβάνων. Ἐπεὶ δὲ ᾔδει ἀντιπίπτοντα αὐτῷ, ὅτι Εἰ καὶ Ἰὼβ ἥμαρτε, διὰ τί οἱ παῖδες ἐτιμωρήθησαν; προκαταλαμβάνει, καί φησιν, ὅτι καὶ αὐτοὶ δι' ἁμαρτίας πεπόνθασι· καὶ παραινεῖ μὲν τῷ δικαίῳ Θεὸν ἱκετεύειν. Πειρᾶται δὲ διὰ φυσικῶν παραδειγμάτων αὐτὸν πείθειν, ὡς δι' ἁμαρτίας πάντως αἱ κολάσεις ἐπιφέρονται [p]. Πέπονθε δὲ καὶ αὐτὸς τὴν ὁμοίαν πλάνην [q] τῷ Ἐλιφὰζ, τὴν ὑπὲρ Θεοῦ δῆθεν συνηγορίαν ἀναδεξάμενος. Καὶ ἁπλῶς τῶν φίλων ὁ χορὸς παρεγένετο ἐν προσωπείῳ συμπαθείας, τὰ τῶν πολεμίων ἐπιδεικνύμενος· καὶ ἐνάλλονται κειμένῳ, καὶ ἀναξαίνουσι τὰ ἕλκη, ἀλλήλους διαδεχόμενοι, καὶ μηδὲ ἀναπνεῖν ἐῶντες, πολλοὺς κύκλους κυκλοῦντες, καὶ χαλεπήν τινα χορείαν χορεύοντες. Ἴδωμεν οὖν τί καὶ οὗτος φθέγγεται.

CAP. VIII.

Protheoria.

Quæ a Jobo nuper dicta sunt refutaturus Baldadus, tanquam multiloquum eum vituperat : in eadem autem verba cum Eliphazo devolvitur, existimans calamitates et afflictiones peccatorum sequelam esse. Verum cum objici sibi posse intelligeret, cur liberi propter Jobi peccata supplicio C afflicti fuerint? per anticipationem dicit, etiam illos ob peccatum passos fuisse; et justum hortatur, ut supplex Deum veneretur. Exemplis autem a natura petitis, propter peccata punitiones omnino infligi, conatur ei persuadere. Dei autem patrocinium suscipiens, in eumdem errorem cum Eliphazo lapsus est. Et sane amicorum chorus, sub larva communis affectus et doloris, animum hostilem ostendens, ad eum accesserat : prostrato enim insiliunt, et alii alios insequentes, et gyros innumeros ducentes, ac choream molestam saltantes, nec respirandi quidem facultate ei concessa, ulcera ejus redulcerant. Videamus igitur, quid etiam hic loquatur.

« Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει, Μέχρι τίνος λαλήσεις ταῦτα, πνεῦμα πολυῤῥῆμον τοῦ στόματός σου; »

Vers. 1, 2. « Respondens autem Baldad Sauchites, ait : Usquequo loqueris hæc, spiritus multiloquus oris tui? » D

Ὁ δὲ Θεοδοτίων, *βαρύτατον*, εἶπε. Παῦσαι, φησὶ, τῷ πλήθει τῶν λόγων νικήσειν οἰόμενος, ὡς λίαν φορτικὸς ἡμῖν εἶ καὶ βαρὺς, πληθύνων ῥήματα, καὶ φθεγγόμενος ἄκριτα [r]. Εἶτα, ὡς φλυαρήσαντα μέμφεται τὸν Ἰώβ, καὶ οἴεται αὐτὸν ἐπιστομίζειν ἐκ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, λέγων·

Theodotio vero, *gravissimus*, dixit. Desine, inquit, in verborum multitudine spem victoriæ collocare; gravis nobis et molestus es valde, multiplicans verba, et proferens ea quæ ratione et judicio carent. Deinde Jobum, tanquam nugas agentem reprehendit, et justum Dei judicium in medium afferens, obturaturum illi os arbitratur, et dicit :

VARIÆ LECTIONES.

[n] Ἐν ἐνέπλεξε. [o] γρ. εἰπών. [p] γρ. προσφέρονται. [q] γρ. πληγήν. [r] γρ. ἀκίχητα.

Digitized by Google

Vers. 3. « Nunquid Dominus injuste aget judicans? aut qui omnia fecit, turbabit justitiam? »

Chrysost., *Polychron.* et *Olympiod.* Nonne vides, inquit, quanta sit æquitas in creatura, et ordinata dispositio? An fieri potest ut Deus contra aliquem sententiam sine judicio et ratione ferat? An, qui omnia decenter et harmonice fecit, et in initio benignitate sua et clementia produxit, æquitatis jura in te uno pervertit, et contra jus et fas malis te afflixit? Tacite igitur sanctum ferit, tanquam jure, et propter peccata, adversa pateretur; in eadem opinione cum superiore exsistens, quod scilicet tribulationes et afflictiones ob peccatum omnino hominibus immittantur. Oportebat autem animo reputare, quod ejusmodi non tantum pravis, sed probis etiam contingant (quippe quæ adiaphora sint), et quod justus, tolerando ærumnas et dolores, admirabilior redderetur. Postquam autem illum peccati arguere non posset, ad liberos se convertit, et dicit :

Vers. 4. « Si filii tui peccaverunt coram eo, misit in manu iniquitates eorum. »

Sensus autem verborum hic est : Si liberi tui peccaverunt, nonne justo supplicio affecti sunt? Illud autem : *coram eo*, dixit, quia nihil Deum lateat. *In manu* autem, id est, in actione, quasi diceret : Secundum ipsorum actiones præmium reportarunt, et omnino delicta liberorum tuorum Deus mortis supplicio punivit; *et misit in manu sua iniquitates eorum*, id est, iniquitatum supplicia : innuit autem ædium ruinam, qua liberi interempti fuerunt. In hoc vero quod dicit (Si tu non peccasti, filii tamen tui peccaverunt), sermonem confundit, et opinionum multitudine circumagitur, secum minime perpendens, quod alter pro altero nequaquam plectatur.

Vers. 5-7. « Tu autem diluculo surge, ad Dominum omnipotentem deprecans. Si mundus es et verax, deprecationem exaudiet tuam; restituet autem tibi habitaculum justitiæ. Et erunt priora quidem tua pauca, novissima autem tua inenarrabilia. »

Consulo, inquit, tibi, ut cum omni studio et diligentia Deum ores, et precibus res alias omnes postponas; illud enim significat, *Surge diluculo*. Et si reipsa verus sis absque omni fuco et fallacia, vitæ conditionem et statum viro justo dignum tibi restituet, tantaque rerum omnium felicitate frueris, ut priora tua bona posterioribus collata, exigua existimare oporteat.

Vers. 8, 9. « Interroga enim generationem primam, et investiga per genus patrum : hesterni enim sumus, et nescimus : umbra enim est nostra super terram vita. »

Antiqua; inquit, inquirito, et quæ patrum temporibus gesta sunt, investiga; nos enim heri et nudiustertius exstitimus, heri et hodie vivimus, et vita nostra universa, tanquam umbra, præterit; ac propter vitæ brevitatem, neque scire, neque loqui

A « Μὴ ὁ Κύριος ἀδικήσει κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον; »

Χρυσοστόμου, *Πολυχρονίου*, καὶ *Ὀλυμπιοδώρου*. Οὐχ ὁρᾷς, φησὶ, πόση δικαιοσύνη ἐν τῇ κτίσει, πόση εὐταξία; Μὴ ἐνδέχεται τὸν Θεὸν ἄκριτον τὴν κατά τινος ἐξενεγκεῖν ψῆφον; Μὴ ὁ τὰ πάντα ποιήσας εὐκόσμως καὶ ἁρμονίως, καὶ φιλανθρωπίᾳ τὴν ἀρχὴν παραγαγὼν, ἐπὶ σοῦ μόνου τὴν τοῦ δικαίου διετάραξεν ἰσότητα, καὶ σὲ παρὰ τὸ δίκαιον ἐκάκωσεν; Ἠρέμα οὖν πλήττει τὸν ἅγιον, ὡς κατὰ τὸ δίκαιον, καὶ δι' ἁμαρτίας ὑπομένοντα, τῆς αὐτῆς τῷ φθάσαντι διαλήψεως ὑπάρχων καὶ οὗτος, ὅτι δι' ἁμαρτίας τὰ κακωτικὰ πάντως ἐπιπέμπεται. Ἔδει δὲ λογίζεσθαι, ὅτι τὰ τοιαῦτα οὐ μόνον φαύλοις, ἀλλὰ καὶ σπουδαίοις συμβαίνει, ἀδιάφορα γὰρ, καὶ B ὅτι θαυμαστότερός ἐστιν ὁ δίκαιος, ὑπομένων θλίψεις καὶ πόνους. Ἐπεὶ δὲ μὴ ἔχειν[a] αὐτὸν ἐλέγξαι ἡμαρτηκότα, εἰς τοὺς υἱοὺς τρέπεται, καί φησιν·

« Εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν. »

Ὁ δὲ νοῦς οὗτος· Εἰ τὰ τέκνα σου ἥμαρτον, οὐ δικαίως ἐτιμωρήθησαν; Τὸ δὲ, *ἐναντίον αὐτοῦ*, εἶπε, διὰ τὸ μηδὲν λανθάνειν τὸν Θεόν. *Ἐν χειρὶ* δὲ, ἐν τῇ πράξει· ἵνα εἴπῃ, ὅτι Κατὰ τὰς ἑαυτῶν πράξεις ἀπέλαβον, καὶ πάντως πλημμελημάτων δίκην παρὰ τῶν σῶν παίδων εἰσεπράξατο τὸν θάνατον· *καὶ ἀπέστειλεν ἐν τῇ ἑαυτοῦ χειρὶ τὰς ἀνομίας αὐτῶν*, τουτέστι, τὰς ὑπὲρ τῶν ἀνομιῶν τιμωρίας· αἰνίττεται δὲ τὴν πτῶσιν τῆς οἰκίας, καθ' ἣν τὰ C τέκνα ἀπώλοντο. Πλὴν συγχεῖ καὶ οὗτος τὸν λόγον, καὶ τοῖς δόγμασι περιφέρεται, λέγων, ὅτι Εἰ καὶ μὴ αὐτὸς ἥμαρτες, ἀλλὰ οἱ υἱοί σου, μὴ προσνοήσας, ὅτι ἕτερος ὑπὲρ ἑτέρου οὐκ ἂν κολάζοιτο.

« Σὺ δὲ ὄρθριζε, πρὸς Κύριον παντοκράτορα δεόμενος. Εἰ καθαρὸς εἶ καὶ ἀληθινὸς, δεήσεως ἐπακούσεταί σου· ἀποκαταστήσει δέ σου δίαιταν δικαιοσύνης. Ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα, τὰ δὲ ἔσχατά σου ἀμύθητα. »

Συμβουλεύω σοι, φησὶ, δέεσθαι τοῦ Θεοῦ μετὰ σπουδῆς, παντὸς προτιμωτέραν τὴν ἱκεσίαν ποιούμενον[b]· τὸ γὰρ, *Ὄρθριζε*, τοῦτο δηλοῖ. Καὶ εἰ ὄντως ἀληθινὸς εἶ, καὶ οὐκ ἐπίπλαστος, ἀποκαταστήσει σοι βίον καὶ διαγωγὴν πρέπουσαν δικαίῳ, ἵν' οὕτως εὐD πράξῃς, ὡς ὀλίγα σου νομισθῆναι τὰ πρότερον ἀγαθὰ, τοῖς ὕστερον συγκρινόμενα.

« Ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων· χθιζοὶ γάρ ἐσμεν, καὶ οὐκ οἴδαμεν· σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος. »

Ζήτησον, φησὶ, τὰ παλαιότερα, καὶ ἀνερεύνησον τὰ ἐπὶ τῶν πατέρων· ἡμεῖς γὰρ χθὲς καὶ πρώην γεγόναμεν, χθιζοί τέ ἐσμεν καὶ ἐφήμεροι, καὶ ὅλος ὁ βίος ἡμῶν, ὡς σκιὰ, παρατρέχει· καὶ διὰ τὸ τοῦ βίου ὀλιγοχρόνιον οὐδὲ γνῶναι τὸ ἀκριβὲς δυνάμεθα, οὐδὲ φθέγξασθαι. Ὅθεν οὐδ' ἀξιόπιστοι ἴσως δίκα

VARIÆ LECTIONES.

[a] *Isc.* εἶχεν. [b] *Isc.* ποιουμένῳ.

Digitized by Google

τῆς τῶν ἀρχαίων μνήμης, τὰ τοιαῦτα διηγούμενοι, οἱ μήτε πρὸ πολλοῦ γεγονότες, καὶ μικρὸν ὕστερον οὐκ ἐσόμενοι. Τοιοῦτος γὰρ ὁ βίος ἡμῶν· μὴ ὄντες γεγόναμεν, καὶ γεγονότες λυθησόμεθα· καθάπερ σκιὰ κλινούσης ἡμέρας, οὕτως εὔσειστος ἡμῶν ἡ ζωὴ, καὶ εὐπαράγωγος. Ἐκ τῶν παλαιοτέρων δὲ πιστοῦσθαι τὰ καθ' ἑαυτὸν βουλόμενος, ταῦτά φησιν, ὡς ἂν ἐκείνων πλείστοις παρατυχόντων πράγμασιν, οἷς οὐ πάντες εἰς τὸν καιρὸν αὐτῶν [u] παρέτυχον.

A de re aliqua perfecte possumus. Quare sine veterum memoria et testimonio talia narrantes, fide digni fortasse non habebimur, qui non multo ante nati sumus, et paulo postea amplius non erimus. Talis enim est vita nostra; cum non essemus, facti sumus, et facti dissolvemur: tanquam umbra die inclinante, ita vita nostra facile de statu suo dimovetur, et huc illuc inflectitur. Hoc autem dicit, fidem dictis suis ex ætate majoribus conciliare volens, quasi rerum experientiam assecuti, plurimis rebus illi interfuissent, quibus pauci sui sæculi et ætatis interfuerant.

« Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος; ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου; »

Vers. 11. « Nunquid viret scirpus sine aqua? aut exaltabitur carex sine potu? »

Ὥσπερ, φησὶν, οὐκ ἐνδέχεται πάπυρον, ἢ βούτομον ἢ αὔξεσθαι, ἢ θερίζεσθαι, τῆς τοῦ ὕδατος ἰκμάδος μὴ ἀπολαύσαντα, ἀλλὰ καὶ πᾶσα βοτάνη μὴ ἀρδευομένη ξηραίνεται· οὕτως ἄνευ εὐσεβείας ἀμήχανον ἀνθρώπῳ εὐθηνίαν διαμεῖναι [v]· διὸ καὶ ἐπάγει, *Οὕτως τοίνυν ἔσται τὰ ἔσχατα τῶν ἀσεβῶν*, τουτέστιν, οὐ μέχρι τέλους αὐτοῖς ἡ εὐημερία διαμένει, ἀλλὰ δίκην ἀράχνης τῆς μὴ ὑφισταμένης ἁφὴν, διαλύεται, καὶ πανέστιος ὁ τοιοῦτος ἀπόλλυται· τοῦτο γὰρ σημαίνει τὸ, *Ἀοίκητος αὐτοῦ ὁ οἶκος*.

Quemadmodum, inquit, fieri nequit, ut scirpus B aut carex incrementum capiant, et ad messem perveniant, si humore aqueo destituantur, imo et omnis herba exarescit, quæ nequaquam irrigatur: sic homini rerum abundantiam sine pietate perdurare, impossibile est. Quare subjungit: *Sic igitur erunt novissima impiorum*, id est, prosperitas eorum ad finem usque non durat, sed instar aranearum telæ quæ tactum non sustinet, vir talis dissolvitur, et cum tota familia funditus perit; hoc enim significat: *Domus ejus erit inhabitabilis*.

« Ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ· ἐπιλαβομένου δὲ αὐτοῦ, οὐ μὴ ὑπομείνῃ. »

Vers. 15. « Si suffulserit domum suam, non stabit, et cum cœperit, non permanebit. »

Κἂν γὰρ, ὡς οἷόν τε, ἀσφαλῶς δόξῃ πράττειν, καὶ ἑδραίως τὰ καθ' ἑαυτὸν διατίθεσθαι, *ἐπιλάβηται* δὲ αὐτοῦ ὁ Θεὸς, τουτέστι, πληκτικῶς περιδράξηται, *οὐ μὴ ὑπομείνῃ*, ἤγουν οὐ σταθήσεται. Οὕτω καὶ ὁ Σύμμαχος, *Ἐρεισθήσεται ἐπ' οἶκον*, *καὶ οὐ στήσεται*.

Licet vitam securissimam degere videatur, et in tuto res suas omnes collocatas habere, nihilominus, si Deus eum *ceperit*, id est, in ultione sua apprehenderit, *non permanebit*, id est, non consistet. Sic etiam Symmachus reddidit: *Innitetur super domum, et non stabit*.

« Ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου, καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται. »

Vers. 16. « Humidus enim est sub sole, et de putredine ejus germen ejus ascendet. »

Ὁ δὲ Ἀκύλας, *Ἐνικμός ἐστιν εἰς πρόσωπον ἡλίου*. Ὥσπερ πάπυρος, φησὶ, καὶ βούτομος, κἂν ἰκμάδα ὕδατος ἔχωσιν, ἡλιακοῦ καύσωνος ἐπιπεσόντος, ἀποξηραίνονται, καὶ αἱ παραφυάδες αὐτῶν σήπονται· οὕτω καὶ οἱ ἀσεβεῖς πάσχουσι, τῆς θείας ὀργῆς ἐπιπεσούσης. Ἔοικε δὲ διὰ τῶν ῥαδάμνων, οἱ σημαίνουσι τὰς παραφυάδας, ἢ κλάδους, ἢ ἄνθη, τὴν ἀπώλειαν τῶν παίδων τοῦ Ἰὼβ αἰνίττεσθαι. Νοήσεις δὲ τὸν στίχον καὶ οὕτως, ὅτι ἐν ὅσῳ ὑγρός ἐστιν ὑπὸ ἡλίου ὁ πάπυρος, τουτέστιν, ἀμέτοχος ἡλίου, αὔξει μὲν ἐκ τῆς ἰλύος· ὑπομεῖναι δὲ ἥλιον οὐ δύναται, ἀλλ' οἱονεὶ σήπεται, καὶ τὸ ἄνθος αὐτῷ ἀποπίπτει, καὶ ἀπορρέει· τοῦτο γὰρ τὸ, *Ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται*, τουτέστιν, ἀπορρυήσεται διὰ τὸ σαπῆναι.

Aquila vero, *Humectus est in faciem solis*. Sicut, inquit, scirpus et carex, licet aquæ humorem habeant, solis æstu flagrante, exarescunt, et surculi eorum putrescunt; idem improbi patiuntur, cum ira divina in illos irruit. Per rhadamnos autem (qui surculos, ramos, vel flores significant) liberorum Jobi interitum innuere videtur. Vel sic etiam versus hic intelligi potest, quod quandiu scirpus humidus est sub sole, id est, solis expers, ex limo crescat; solem autem sustinere non potest, sed corrumpitur quasi, et flos ejus decidit ac defluit: hoc enim sibi vult, *Germen ejus ascendet*, id est, putrefactum dilabetur.

« Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλίκων ζήσεται· ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν. »

Vers. 17, 18. « In congregatione lapidum dormit, in medio autem silicum vivet. Si absorbuerit, locus mentietur eum. »

Ὡς περὶ φυτοῦ διαλεγόμενος ἐν μέσοις λίθοις φυομένου καὶ χάλιξι, μὴ διαρκοῦντος δὲ μέχρι παν-

Tanquam de planta disserens, quæ, inter lapides et silices crescens, non semper durat, sed subito

VARIÆ LECTIONES.

[u] *Ισ.* ἐν τῷ καιρῷ αὐτοῦ. [v] *γρ.* διαβῆναι.

Digitized by Google

marcescit : Similes sunt, inquit, impii, stirpibus in terra plantatis, quæ altitudinem non habet, sed petrosa et dura est ; vel enim omnino radices nullas agunt, vel si egerint, quia terræ profunditate destituuntur, exarescunt, ita ut non amplius in eo loco appareant. *Si absorbuerit* enim, idem est ac si radices egerit, et firmiter stare visus fuerit. Illud vero : *Locus mentietur eum*, id est, præ calamitate obscurus et ignotus evadet ; quandoquidem arbor cæsa memoriam sui relinquit, herba vero nullam. Recte autem lapidum et silicum meminisse videtur, quia impii (de quibus dictum est : *Projicite de via lapides*[52]) rerum pravarum asperitati, inæquabilitati, et scandalis indormiunt ; et licet sermonem aliquem de Deo, ejusque cultu, amplecti videantur, protinus illum evomunt, quia anima fertili et frugifera præditi non sunt.

« Non vidisti talia, [Vers. 19] quoniam subversio impii talis ? »

Olympiodori et *Polychronii*. Hæc, inquit, etiam ex iis quæ aliis hominibus evenerunt, contemplari debes. Num eorum quæ dicta sunt quidquam in dubium a te vocatur? An non vere oratio impiorum interitum depinxit? Num ea te fugiunt, quæ cognitioni omnium obvia sunt?

« De terra autem alterum germinabit : [Vers. 20] Dominus enim non improbabit innocentem. »

Alius est impius ab homine pio : idcirco dicit, quod virum pium Deus non omnino deseret et despiciet, licet adversitate aliqua affligatur. Quemadmodum enim impios prospera fortuna utentes Deus funditus evertit ac delet ; sic simplices et innocentes, licet ad tempus deflorescant, virere rursus facit, et in felici rerum statu collocat : neque enim innocens semper negligitur, neque impius perpetua felicitate fruitur.

« Non vero ullum munus impii accipiet. [Vers. 21] Veracium autem os implebit risu ; labia autem eorum confessione. »

Olympiodori et *Polychronii*. Postquam Dei erga pios providentiam enarrasset, odium ejus erga impios, et munera quæ ab eis offeruntur, docet : deinde lætitiam quam justis exhibet, et laudis argumenta scripto inserit, et impiorum cum dedecore interitum prædicat : Dona enim impiorum, inquit, Deo accepta non sunt, neque illorum honores admittit ; lætitia vero et gaudio eos complet (ut rerum omnium copia abundantes, exsultent et Deum laudent), qui proposito recto et affectu pio eum venerantur. Videtur autem oratione figurata Jobum sic alloqui : Virtutem olim falso præ te tulisti ; quare Deus, condemnata tua hypocrisi, supplicium de te sumpsit : et quia verus nequaquam eras, nec honores specie apparentes, nec munera et sacrificia quæ obtulisti, admisit.

[52] Isa. LXII, X.

τὸς, ἀλλὰ μαραινομένου· Ἔοικασι, φησὶν, οἱ ἀσεβεῖς τοῖς ἐν γῇ φυτευθεῖσι, μὴ ἔχουσι[x] βάθος, ἀλλὰ λιθώδη καὶ σκληρὰ[y] τυγχανούσῃ· ἢ γὰρ οὐδὲ ὅλως ριζοῦνται, ἢ κἂν ριζωθῶσι, διὰ τὸ μὴ ἔχειν βάθος γῆς, ξηραίνονται, ὡς μηδὲ φαίνεσθαι ἔτι ἐν τῷ τόπῳ ἐκείνῳ. Τὸ γὰρ, *Ἐὰν καταπίῃ*, ἀντὶ τοῦ, ἐὰν ριζωθῇ, καὶ βεβαίως ἑστάναι δοκῇ. Τὸ δὲ, *Ὁ τόπος ψεύσεται αὐτὸν*, ἀντὶ τοῦ, ἀφανὴς γίνεται καὶ ἀνεπίγνωστος ὑπὸ τῆς συμφορᾶς· ἐπεὶ καὶ δένδρον μὲν τεμνόμενον καταλιμπάνει μνήμην, χόρτος δὲ οὐδεμίαν. Καλῶς δὲ ἔοικε λίθων καὶ χαλίκων μεμνῆσθαι· οἱ γὰρ ἀσεβεῖς ἐπὶ τῇ τῶν φαύλων τραχύτητι καὶ ἀνωμαλίᾳ, καὶ τοῖς σκανδάλοις ἐπαναπαύονται, περὶ ὧν εἴρηται, *Τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε*· κἂν δόξωσί τινα δέχεσθαι θεοσεβείας λόγον, εὐθέως ἐμοῦσιν αὐτὸν, διὰ τὸ μὴ ἔχειν εὔγειον καὶ καρποφόρον ψυχήν.

« Οὐχ ἑώρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη; »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ταῦτα, φησὶ, καὶ ἐκ τῶν ἑτέροις συμβεβηκότων ὀφείλεις θεωρῆσαι. Μή τί σοι τῶν εἰρημένων ἀμφίβολον; Οὐκ ἀληθῶς ὁ λόγος ὑπέγραψε τῶν ἀσεβῶν τὴν ἀπώλειαν; Ἆρα οὖν ταῦτά σε λανθάνει, τὰ πᾶσιν εἰς γνῶσιν προκείμενα;

« Ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· ὁ γὰρ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον. »

Ἄλλος παρὰ τὸν ἀσεβῆ εἴη ἂν ὁ εὐσεβής· λέγει οὖν, ὅτι τὸν εὐσεβῆ, κἂν ἔν τινι δυσπραγίᾳ γένηται, οὐ περιόψεται καθάπαξ ὁ Θεός. Ὥσπερ γὰρ τοὺς ἐν εὐημερίᾳ ἀσεβεῖς ὁ Θεὸς ἀφανίζει· οὕτω καὶ τοὺς ἀκάκους, ἐὰν ἀπανθήσωσι πρὸς καιρὸν, παρασκευάζει πάλιν ἀναβλαστῆσαι, καὶ ἐν εὐημερίᾳ καθίστησι· καὶ οὔτε εἰς τέλος ὁ ἄκακος περιορᾶται, οὔτε ὁ ἀσεβὴς εἰς τέλος εὐθηνεῖται.

« Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. Ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Εἰπὼν τοῦ Θεοῦ τὴν περὶ τοὺς εὐσεβεῖς πρόνοιαν, τὴν ἀποστροφὴν αὐτοῦ τὴν περὶ τοὺς ἀσεβεῖς, καὶ τὰ ὑπ' αὐτῶν προσφερόμενα, διδάσκει· εἶτα τὴν ὑπ' αὐτοῦ παρεχομένην εὐφροσύνην τοῖς δικαίοις, καὶ ὑμνῳδίαν ἐγγράφει, καὶ τῶν ἀσεβῶν τὴν μετ' αἰσχύνης κηρύττει ἀπώλειαν· Τὰ μὲν γὰρ δῶρα, φησὶ, τῶν ἀσεβῶν οὐ δεκτὰ παρὰ τῷ Θεῷ, τούτων γὰρ οὐδὲ τὰς τιμὰς προσίεται· τοὺς δὲ γνησίᾳ τῇ διαθέσει αὐτὸν εὐσεβοῦντας εὐφροσύνης ἐμπίμπλησιν, ὡς εὐθηνουμένους ἀγαλλιᾶσθαι καὶ δοξάζειν τὸν Θεόν. Ἔοικε δὲ ἐσχηματισμένως λέγειν πρὸς τὸν Ἰὼβ, ὅτι Πάλαι ἐσχημάτιζου τὴν ἀρετήν· διὰ τοῦτο ὁ Θεὸς καταγνοὺς τῆς ὑποκρίσεως, δίκην ἐπράξατο, οὐδὲ τὰς δοκούσας εἶναι τιμὰς προσιέμενος, οὐδὲ τὰ δῶρα καὶ τὰς θυσίας ἃς προσέφερες, ἐπεὶ μὴ ἦσθα ἀληθινός.

VARIÆ LECTIONES.

[x] *Isc.* ἐχούσῃ. [y] *Isc.* λιθώδει καὶ σκληρᾷ.

Digitized by Google

ΚΕΦΑΛ. Θ'.

Προθεωρία.

Τοῦ Βαλδὰδ εἰρηκότος, *Μὴ ὁ Κύριος ἀδικήσει κρίνων; ἢ ὁ τὰ πάντα ποιήσας παράξει τὸ δίκαιον;* συντρέχει καὶ ὁ Ἰὼβ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, φάσκων, *Ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν*· ἀποφηνάμενος δὲ μετὰ πολλῆς τῆς πληροφορίας δίκαιον τὸν Θεὸν, φησὶν, ὅτι καὶ σοφός ἐστι, καὶ δυνατὸς, καὶ μέγας, καὶ χαλεπὸν παντὶ πρὸς Θεὸν ἀντιτείνειν. Εἶτα κατασκευάζει διὰ πλειόνων τοῦ Θεοῦ τὸ δυνατὸν καὶ ἀκατάληπτον, καί φησιν, ὅτι οὐδεὶς δίκαιος παρὰ τῷ Θεῷ, εἰ μὴ κατὰ χάριν· καὶ ὅτι οὐδὲν μὲν σύνοιδεν ἑαυτῷ, πλὴν οὐκ ἐν τούτῳ δεδικαίωται. Εἶτα τοῦ βίου τὸ ὀλιγοχρόνιον εἰς ἱκετηρίαν προβάλλεται, καί φησιν, ὅτι Εἰ ὡς ἀσεβὴς κολάζομαι, ἄμεινόν μοι ἦν τὸ ἀποθανεῖν. Ὑπὸ δὲ τῆς πολλῆς πρὸς Θεὸν ἀγάπης τὸν ἐμπαθῆ φόβον ὑπερβὰς, ἐπειδὴ μὴ πείθει τοὺς φίλους, ὅτι οὐ δι' ἁμαρτίας κολάζεται, πρὸς τὸν ἀδέκαστον Θεὸν ἡδέως τὴν ἑαυτοῦ λέγει δίκην, σφόδρα θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, εἰδὼς ὅτι οὐκ ἀνέξεται Κύριος ἄδικόν τι φθέγξασθαι. Ταῦτα οὖν οὐ τραχυνομένου τυγχάνουσι τὰ ῥήματα, ἀλλ' ὡς υἱοῦ πρὸς τὸν πατέρα παῤῥησιαζομένου, καὶ μονονουχὶ λέγοντος· Ἡδέως σοι, ὦ πάτερ, δικάζομαι· οἶδα γὰρ ὅτι ψεύσασθαι οὐκ ἀνέχῃ. Ὁ δὲ ταῦτα λέγων ὑπερβαλλόντως τιμᾷ τὸν Θεὸν, ὡς δίκαιον, καὶ ἀληθῆ, καὶ ἀπροσωπόληπτον· ἐκ τοιαύτης οὖν διαθέσεως τὴν πρὸς Θεὸν αἰτεῖ διαδικασίαν. Καὶ πάλιν, ἐπειδὴ ὅλως ἐτόλμησε λαλῆσαι, Σύγγνωθι, φησὶν, ὦ Δέσποτα, αἱ γὰρ περιστᾶσαί μοι ὀδύναι, καὶ ὅλως φθέγξασθαί με παρεσκεύασαν. Καὶ πάλιν, τὸ φιλάνθρωπον τοῦ Θεοῦ, καὶ ἀμνησίκακον, καὶ μεγαλόδωρον προῖσχεται, καὶ ἱκετεύει ὡς ποιητὴν φείσασθαι τοῦ ποιήματος· καὶ τὸ δυνατὸν τοῦ Θεοῦ παρίστησι, καὶ αἰτεῖ τινος ἀναψύξεως τυχεῖν πρὸ τελευτῆς, οὐχ οὕτως, οἶμαι, διὰ τὸ τῶν βασάνων ἀπαλλαγῆναι, ὡς ἵνα πληροφορηθῇ ζῶν, ὅτι οὐκ ὀργίζεται αὐτῷ ὁ Θεὸς, οὐδὲ ἀπορρίπτει[z] αὐτὸν εἰς σκότος, ἐκ τοῦ φωτεινοτάτου ἑαυτοῦ προσώπου.

CAP. IX.

Protheoria.

Postquam Baldadus dixisset: *Numquid Dominus injuste aget judicans? aut qui omnia fecit, turbabit justitiam* [83]? Jobus justo Dei judicio assensum præbet, dicens: *Vere scio quia ita est* [84]; cum multa autem confidentia Deum justum esse asseverans, sapientem, potentem et magnum eum esse prædicat, et quod difficile sit cuiquam cum eo contendere. Deinde Dei potentiam et naturæ incomprehensibilitatem pluribus astruit, et neminem coram Deo justum esse, nisi ex gratia, asserit; ac nullius sceleris sibi conscium se esse, nontamen propterea justificatum esse. Postea vitæ brevitatem pro supplicatione obtendit, dicitque, Si tanquam unus ex impiis punior, satius mihi esset emori. Eximia autem charitate erga Deum timorem cum perturbatione conjunctum superans, postquam amicis persuadere non poterat, propter peccata se punitum non fuisse, justo Dei judicio plurimum fretus, et probe sciens Dominum non passurum, ut vox aliqua injusta ex ore suo excidat, causam suam judici incorrupto libenter narrat. Hæc igitur non sunt hominis exacerbati verba, sed quasi filii libere patrem alloquentis, et ad hunc fere modum dicentis: Libenti animo, pater, judicio tecum contendo; novi enim quod mentiri non sustineas. Qui autem hæc dicit, Deum tanquam justum, verum, et personarum acceptionem abhorrentem, supra modum honorat: atque hoc animi affectu litem cum Deo contestari postulat. Et rursus, quia os aperire ausus esset: Daveniam, inquit, Domine; dolores enim qui me undique circumstant, sermonem mihi extorserunt: Denique Dei benignitatem erga humanum genus, malorum oblivionem, et munificentiam in medium affert; supplexque rogat, ut tanquam opifex et creator suo opificio parcere velit. Dei etiam potestatem proponit, et ante obitum requie et refocillatione aliqua potiri postulat; idque, ut autumno, non tam ut a tormentis liberari, quam ut vivus firmam persuasionem habere possit, Deum sibi minime exeandescere, nec a lucidissimo suo vultu ad tenebras ablegaturum esse.

Vers. 2. « Respondens autem Job, ait: Vere scio quia ita est. »

Novi, inquit, ego, quod Deus injustus non sit, imo vero impios puniens, juxta æquitatis normam supplicium de eis sumat. Ut autem dogma hoc ratum et firmum sibi esse ostenderet, quasi jurejurando sermonem confirmat, dicens: *Vere scio quia ita est.*

Ejusmodi vero procœmio usus est, ut sermonem suum insequentem præmuniret, ne scilicet suspicetur quispiam (cum dicentem eum audit: Libenter cum Deo judicio decerno) tanquam iniqua passum

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, Ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν. »

Οἶδα κἀγὼ, φησὶν, ὅτι οὐκ ἄδικος ὁ Θεὸς, ἀλλὰ καὶ κολάζων τοὺς ἀσεβεῖς, κατὰ τὸν τοῦ δικαίου κολάζει λόγον. Δεικνὺς δὲ, ὅτι τοῦτο τὸ δόγμα παρ' ἑαυτῷ πάγιον ἔχει, οἱονεὶ μεθ' ὅρκου πιστοῦται τὸν λόγον, φήσας· *Ἐπ' ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν.*

Οὕτω δὲ προοιμιάσατο, τοὺς ἐφεξῆς ἑαυτοῦ λόγους προασφαλιζόμενος[a], ἵνα ὅταν λέγῃ, Ἡδέως κρίνομαι πρὸς τὸν Θεὸν, μή τις ὑπολάβῃ, ὅτι ὡς ἄδικα πάσχων ταῦτά φησιν, ἀλλ' ὅτι θαῤῥῶν τῇ τοῦ

[83] Job VIII, 3. [84] Job IX, 1.

VARIÆ LECTIONES.

[z] Ἰσ. ἀπορρίψει. [a] Ἰσ. προασφαλισόμενος.

Digitized by Google

hæc loqui; sed quod justo Dei judicio, sua ipsius justitia et charitate erga Deum fretus, verba illa protulerit; juxta id quod dictum est: *Si cor nostrum non reprehenderit nos, fiduciam habemus ad Deum*[55]. Quod igitur nullius sibi peccati conscius fuerit, ex ipsius verbis perspicuum est. Verum cum intelligeret, districto et exacto Dei judicio neminem a peccati labe purum esse, subjungit:

« Quomodo enim erit justus mortalis apud Dominum? [Vers. 3, 4.] Si enim voluerit judicari cum eo, non obaudiet ei, ut non contradicat ad unum sermonem ejus de mille; sapiens est enim mente, robustusque, et magnus. »

Verum et hoc novi, inquit, districto Dei judicio neminem justum esse, neque in ejus conspectu justificatum iri omnem viventem, nisi mera sua gratia justificare quempiam voluerit; sin minus, contra eum os aperire non licet. Poterit quidem justus aliquis esse, si cum aliis hominibus conferatur; si autem cum Domino universi comparetur, *Quomodo justus erit mortalis?* (Deus enim judicando tyrannidem non exercet, sed judicato persuadet, et ut sententiam ejus in bonam partem accipiat facit), vel quomodo Deo exæquabuntur qui terram incolunt, cum inter eos maximum sit discrimen? Nam si in jus descendere cum homine Deus voluerit, homo Dei vocem audire, et os suum contra aperire omnino non poterit; nec uni quidem e mille verbis, tanquam perperam a Deo prolato, contradicere valet. Impossibile enim est ut ipsa sapientia non omnia sciat, etiam ea quæ nos fugiunt; et ut sapiens (non verborum compositione, sed sensu) insipiens aliquod loquatur et reprehensione dignum, fieri nequit: præter sapientiam autem, omnipotentia et naturæ majestate ornatus est.

Rursus animadvertendum est, quod justus hæc præfatus sit, verba beati David fere usurpans: « Et non intres in judicium cum servo tuo, quia non justificabitur in conspectu tuo omnis vivens[56]; » ut si audiverimus, velle eum judicio cum Deo contendere, ne suspicemur eum dicere: Iniqua patior, et si litem Deo movero, injustas ejus actiones redarguere possum (apage; hæc enim a magni Jobi, et Deum amantis, magnanimitate longe aberant), sed ut discamus hominum judicia illum devitare, tanquam imperite vel in gratiam alicujus loquentium: quod et ejus amici passi sunt, qui circa divinæ providentiæ rationem hallucinabantur, et Deo patrocinari se arbitrabantur, quia justum hominem condemnassent. Postulat autem et supplici ter precatur, ut Deus ipse, qui verax est, judex sibi constituatur, ut propter peccata minime puniri, vero Dei judicio demonstrari possit.

« Quis durus factus contra eum permansit? »

Rursus vero Jobus præmunitione usus, hoc posuit, ut intelligamus, nequaquam eum exacerbatum,

A Θεοῦ δικαιοκρισίᾳ, καὶ τῇ ἑαυτοῦ δικαιοσύνῃ, καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ τοὺς λόγους προφέρει· κατὰ τὸ εἰρημένον, *Ἐὰν μὴ ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν.* Ὅτι μὲν οὖν οὐδὲν ἑαυτῷ σύνοιδεν ἁμάρτημα, πρόδηλον ἐκ τῶν αὐτοῦ λόγων. Ἐπιστάμενος δὲ πάλιν, ὡς πρὸς τὴν θείαν ἀκρίβειαν οὐδείς ἐστιν ἀναμάρτητος, ἐπιφέρει·

« Πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ Κυρίῳ; ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων· σοφὸς γάρ ἐστι διανοίᾳ, κραταιός τε καὶ μέγας. »

B Ἀλλὰ καὶ τοῦτο οἶδα, φησὶν, ὅτι οὐδεὶς πρὸς τὴν θείαν ἀκρίβειαν δίκαιος, οὐδ' οὐ μὴ δικαιωθῇ ἐνώπιον αὐτοῦ πᾶς ζῶν, εἰ μὴ γὰρ μόνον κατὰ χάριν ἐθελήσῃ δικαιῶσαι· εἰ δὲ μή, οὐκ ἔστι πρὸς αὐτὸν [b] διᾷραι. Δύναται μὲν γὰρ γενέσθαι τις δίκαιος συγκρίσει ἀνθρώπων, ὡς δὲ πρὸς τὸν τῶν ὅλων Κύριον, *Πῶς ἔσται δίκαιος βροτός;* οὐ γὰρ τυραννεῖ κρίνων ὁ Θεὸς, ἀλλὰ πείθει τὸν κρινόμενον, καὶ ποιεῖ αὐτὸν θελῆσαι παραδέξασθαι αὐτοῦ τὴν ἀπόφασιν· ἢ πῶς οἱ ἐπὶ γῆς πρὸς Θεὸν ἰσωθήσονται, ὧν πλείστη δήπου διαφορά; Ἐὰν γὰρ ἐθελήσῃ ὁ Θεὸς κρίνεσθαι μετ' ἀνθρώπου, ἀμηχανεῖ ὅλως ὁ ἄνθρωπος ὑπακοῦσαι, καὶ διᾷραι τὸ στόμα· οὐ γὰρ δύναται, χιλίους λόγους λέγοντος τοῦ Θεοῦ, καὶ πρὸς ἕνα γοῦν μόνον ἀντειπεῖν, ὅτι κακῶς ἐῤῥέθη. Τὴν γὰρ αὐτοσοφίαν ἀμήχανον μὴ πάντα εἰδέναι, καὶ τὰ ἡμᾶς διαλανθάνοντα· ἀμήχανον δὲ καὶ ἄσοφόν τι C λαλῆσαι, ἢ ἐπιλήψιμον, τὸν σοφὸν, οὐ συνθέσει λόγων, ἀλλὰ τῇ διανοίᾳ· μετὰ δὲ τοῦ σοφοῦ, ἔχει καὶ τὸ παντοδύναμον, καὶ τὸ τῆς φύσεως μεγαλεῖον.

Πάλιν δὲ σημειωτέον, ὡς ταῦτα προεῖπεν ὁ δίκαιος, μονονουχὶ λέγων τὸ τοῦ μακαρίου Δαβὶδ· *Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν·* ἵνα ἐὰν ἀκούσωμεν αὐτοῦ βουλομένου κρίνεσθαι πρὸς τὸν Θεὸν, μὴ ὑπολάβωμεν, ὅτι φησὶν, Ἄδικα πάσχω, καὶ δύναμαι, κρινόμενος πρὸς Θεὸν, ἀπελέγξαι αὐτὸν οὐ δίκαια ποιοῦντα· ἄπαγε, πόῤῥω γὰρ ταῦτα τῆς τοῦ μεγάλου καὶ φιλοθέου Ἰὼβ μεγαλονοίας· ἀλλ' D ἵνα μάθωμεν, ὅτι τὰς μὲν παρὰ ἀνθρώποις κρίσεις φεύγει, οἷα ἢ κατὰ ἄγνοιαν λαλούντων, ἢ πρὸς χάριν τινός· ὃ δὴ πεπόνθασιν οἱ αὐτοῦ φίλοι, πεπλανημένοι περὶ τοὺς τῆς Προνοίας λόγους, καὶ οἰόμενοι Θεῷ συνηγορίαν νέμειν, διὰ τοῦ καταψηφίζεσθαι τοῦ δικαίου. Ἀξιοῖ δὲ καὶ ἱκετεύει αὐτὸν αὐτῷ καταστῆναι τὸν ἀψευδῆ Θεὸν εἰς κρίσιν, ὡς ἂν διὰ τῆς τοῦ Θεοῦ ἀληθείας ἀποδειχθῇ μὴ δι' ἁμαρτίας κολαζόμενος.

« Τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινε; »

Πάλιν δὲ καὶ τοῦτο προασφαλιζόμενος τέθεικεν ὁ Ἰὼβ, ἵνα γνῶμεν, ὅτι οὐδαμοῦ τραχυνόμενος, ἀλλ'

[55] I Joan. III, 21. [56] Psal. CXLII, 2.

VARIÆ LECTIONES.

[b] ἴσ. suppl. τὸ στόμα.

Digitized by Google

ἱκετεύων, καὶ θαῤῥῶν τῇ τοῦ Θεοῦ ἀληθείᾳ, τοὺς λόγους προφέρει. Ὁ γὰρ εἰδὼς, μὴ συμφέρον εἶναι σκληρὸν φαίνεσθαι κατὰ τοῦ Θεοῦ, πῶς ἂν αὐτὸς ἐτραχύνετο; καίτοι, μηδὲ πολλοῦ παρελθόντος χρόνου, ἀλλ' ἐν αὐτοῖς τοῖς ἑφεξῆς λόγοις, οὕτω προοιμιασάμενος, καὶ ἱκανῶς ἡμῶν τὴν γνώμην ἀσφαλισάμενος, τὴν τοῦ Θεοῦ δύναμιν ἐξηγεῖται· μονονουχὶ ἑκάστῳ παραινῶν, μηδόλως τολμᾷν ἀντιφθέγγεσθαι τῷ τοσούτῳ μὲν τὴν δύναμιν, τοσούτῳ δὲ τὴν ἰσχὺν, καὶ τὴν μεγαλειότητα, καὶ μὴ ἀνεχομένῳ κατὰ μηδὲν ταράξαι ἢ σκελίσαι τὸν [c] δίκαιον.

A sed supplicem, et divina veritate nixum, verba sua proferre. Qua enim ratione animo exasperato esse potest, qui nihil homini prodesse novit, si contra Deum duriorem se præbeat? Et quidem, non multo post tempore, sed in ipsis quæ statim sequuntur verbis, postquam ejusmodi proœmio usus fuisset, et mentem nostram sufficienter muniisset, Dei potestatem explicat; unicuique propemodum suadens ne ei obloqui audeat, qui tanta potestate, tanto robore, et majestate præditus est, et qui justitiam in nullo perturbari aut supplantari sinit.

« Ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ. »

Vers. 5. « Qui in vetustatem perducit montes, et nesciunt; qui subvertit eos in ira. »

Τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν, *Ἐξαίρων ὄρη, καὶ ἀδηλοποιῶν αὐτά.* Τίς δὲ ἡ τοῦ στίχου δύναμις; Πρὸς μὲν τὸ ῥητὸν· Ὁ τὰ ὄρη, φησὶν, ἐξαφανίζων μετ' εὐκολίας· κατὰ τὸ, *Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται·* πρὸς δὲ διάνοιαν, Ὁ παραφέρων τὰς ὑπερεχούσας τοῦ πονηροῦ, ἐκ τῶν ἀνθρώπων ἐπιβουλὰς, καὶ ἀγνοούντων αὐτῶν. B Hoc Symmachus apertius interpretatus est: *Qui auferi montes, et e conspectu removet eos.* Quænam vero vis est hujus versus? Ad litteram quidem, Qui nullo, inquit, negotio montes evanidos reddit; secundum illud: *Qui tangit montes, et fumigant*[57]; ad sensum vero, Qui ab hominibus, illis etiam insciis, diaboli insidias, quæ eorum vires exsuperant, transfert et amolitur.

« Ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται. »

Vers. 6. « Qui commovet eam quæ sub cœlo a fundamentis: columnæ autem ejus quatiuntur. »

Στύλους τὰ στηρίγματά φησιν· ἐν αὐτῷ γάρ ἐστι τῷ θεμελιώσαντι, καὶ στηρίξαντι, ὡς αὐτὸς οἶδε, καὶ σαλεῦσαι. Ὅμοιον τὸ ἐν ψαλμοῖς, *Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.*

Columnas fulcimenta dicit; est enim in potestate illius qui fundavit et stabilivit, prout ipsi libitum est, eam commovere. Par huic illud in Psalmis: *Qui respicit terram, et facit eam tremere*[58].

« Ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει. »

Vers. 7. « Qui dicit soli, et non oritur. »

Οὐχ ὡς ἀκούοντος τοῦ ἡλίου, φησὶν, ἀλλὰ τὸ μεγαλεῖον τῆς ἐξουσίας ἐμφαίνων. C Non tanquam sol audiret, inquit; sed magnificentiam potestatis ejus ostendit.

« Κατὰ δὲ ἄστρων κατασφραγίζει. »

Vers. 8. « Contra sidera autem signaculum ponit. »

Τουτέστιν, ἀποκλείει. Δύναται, φησὶ, καὶ τῷ ἡλίῳ ἐπιτάττειν κατὰ χώραν μένειν, καὶ μὴ ἀνατέλλειν, καὶ τὰ ἄστρα ἀποκλείειν, ὥστε μὴ φωτίζειν τὴν γῆν.

Hoc est, intercludit. Potest, inquit, soli imperare, ut in loco permaneat, nec exoriatur, astra etiam prohibere, quominus terram illustrent.

« Ὁ ποιῶν Πλειάδα, καὶ Ἕσπερον, καὶ Ἄρκτουρον, καὶ ταμεῖα Νότου. »

Vers. 9. « Qui facit Pleiada, et Hesperum, et Arcturum, et penetralia Noti. »

Ἀπὸ μὲν τῶν περιφανεστέρων ἀστέρων τοὺς λοιποὺς περιέλαβε, καὶ οἱονεὶ εἶπεν, Ὁ πάντα τὸν οὐρανὸν [d] ποικίλας κόσμον. Ἀπὸ δὲ τοῦ Νότου καὶ τοὺς ἄλλους ἀνέμους ἐσήμανε· ταμεῖα δὲ τοὺς θησαυροὺς τῶν ἀνέμων ἐκάλεσεν, ἵνα γνῶμεν, ὅτι ἀνέφικτοί εἰσιν οἱ περὶ τῶν ἀνέμων λόγοι. Ὁ δὲ Ἑβραῖος, *Καὶ πάντα τὰ ἄστρα τὰ κυκλοῦντα Νότον*, φησὶν, ὡς δηλοῦσθαι τὸ πλῆθος τῶν αὐτόθι φαινομένων ἄστρων, ἐν τῇ τοῦ ταμείου προσηγορίᾳ, τουτέστι, τὰ ἄστρα ταμιευόμενα ἐν τῷ νοτίῳ μέρει τοῦ οὐρανοῦ. Διαφέρει δὲ ἄστρον ἀστέρος, ὅτι τὸ ἄστρον ἐξ ἀστέρων σύγκειται· ὡς ἀνεγκλήτοις [e] μέντοι τούτοις D Sub nomine celebriorum siderum reliqua complexus est, ac si diceret: Qui omnem cœli ornatum distinxit. Per Notum autem alii etiam venti significantur: ventorum autem thesauros, promptuaria vocavit, ut intelligamus causam et rationem ventorum captum nostrum transcendere. Hebræus vero inquit: *Et omnia astra circumdantia Notum* (ut promptuarii nomine astrorum multitudo in ea plaga apparentium indicetur), hoc est, astra quæ in australi parte cœli, tanquam in promptuario recondita sunt. Differt autem astrum a stella, eo quod astrum constet ex stellis (1): sine reprehen-

[57] Psa. CIII, 33. [58] Psal. CIII, 32.

VARIÆ LECTIONES.

[c] *Isc.* τό. [d] *Isc.* τοῦ οὐρανοῦ. [e] *Isc.* ὃς ἀνεγκλήτως.

NOTÆ.

(1) In Græco aliquid desiderari videtur, ut veteris cujusdam auctoris nomen, forte Aristotelis, sic: *Atque ita sæpenumero in scriptis suis Aristoteles, qui*, etc.

Digitized by Google

sione quidem promiscue hæc vocabula usurpavit. Qua in re igitur sanctam Scripturam lædunt, si ita ab ea nuncupentur, ut ab hominibus audientibus intelligi queant?

τοῖς ὀνόμασιν ἐχρήσατο. Τί γὰρ [f] ἀδικοῦσι τὴν Γραφὴν ὀνομαζόμενα παρ' αὐτῆς οὕτως, ὡς ἀκούοντες οἱ ἄνθρωποι δύνανται νοεῖν;

Vers. 11. « Si transgressus me fuerit, non videbo; si præterierit me, neque sic novi. »

« Ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω· ἐὰν παρέλθῃ με οὐδ' ὡς ἔγνων.

Natura, inquit, invisibilis et incomprehensibilis est, adeo ut nos lateat, quemadmodum in omnibus, extra omnia, et super omnia sit. Quid autem de illo verba facio? cum judicia etiam ejus nulla creatura mentis conceptu comprehendere valeat: omnia enim invisibili potentia operatur, ut non tantum sensus apprehensionem, sed et mentis etiam aciem lateant. Ego igitur nec clementem cum agnosco, nec iratum contemplari possum; ac licet supergressus me fuerit et præterierit, non sentio.

Ἀόρατος, φησὶ, καὶ ἀκατάληπτος τὴν φύσιν τυγχάνει, ὥστε ἄγνωστον ἡμῖν εἶναι, πῶς τε ἐν πᾶσι, καὶ ἔξω πάντων, καὶ ὑπὲρ πάντα τυγχάνει. Καὶ τί λέγω περὶ αὐτοῦ; ὅπου καὶ τὰ κρίματα αὐτοῦ πάσῃ γεννητῇ φύσει δι' ἐπιβολῆς καταλαβεῖν ἀμήχανον· πάντα γὰρ ποιεῖ ἀοράτῳ δυνάμει ταῦτα ἐργαζόμενος, ὡς μὴ μόνον λανθάνειν τὴν αἴσθησιν, ἀλλὰ καὶ αὐτοῦ τοῦ νοῦ τὴν κατάληψιν. Ἐγὼ γοῦν οὔτε εὐμενῆ ὄντα ἐπιγινώσκω, οὔτε ὀργιζόμενον νοῆσαι δύναμαι· κἂν ὑπερβῇ με, κἂν παρέλθῃ, οὐκ αἰσθάνομαι.

Vers. 12. « Si removerit, quis restituet? aut quis dicet ei: Quid fecisti? »

« Ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει; ἢ τίς ἐρεῖ αὐτῷ, Τί ἐποίησας;»

Ecce, inquit, aliquid e mundo abripuit, quis abreptum referet? Quid autem dico: Quis referet? quis est omnino, qui iis quæ ab illo fiunt, poterit contradicere? si omnia funditus delere voluerit, quis illius decretum rescindet?

Ἰδοὺ, φησὶν, ἀνήρπασεν ἐκ τοῦ κόσμου, τίς ἀνακομίσει τὸ ἁρπαγέν; Τί λέγω, ἀνακομίσει; τίς ὅλως ἐπὶ τοῖς γενομένοις ἀντειπεῖν αὐτῷ δυνήσεται; ἐὰν τελείαν συντέλειαν ποιήσασθαι θελήσῃ, τίς ἀνασκευάσει τὰ αὐτῷ δοκοῦντα;

Vers. 13. « Ipse enim avertit a se iram. »

«Αὐτὸς γὰρ ἀπέστραπται ὀργήν. »

Unum, inquit, scimus, quod rebus nostris omnibus utiliter consulens, sine animi perturbatione puniat, et sine ira supplicia irroget. Synecdochice vero per *iram* improbitatem omnem expressit; non enim iram tantum avertit, sed cæteras etiam perturbationes. Symmacho vero dicente: *Deus cujus ira est inflexibilis*, divinus motus ac impetus inevitabilis esse ostenditur: quis enim vindicem Dei manum avertet?

Ἕν, φησὶν, οἴδαμεν, ὅτι ἀπαθῶς κολάζει, καὶ ἀοργήτως τιμωρεῖται, πάντα συμφερόντως οἰκονομῶν τὰ καθ' ἡμᾶς. Συνεκδοχικῶς δὲ διὰ τῆς ὀργῆς πᾶσαν κακίαν δεδήλωκεν· οὐ γὰρ δὴ μόνον ὀργὴν ἀπέστραπται, ἀλλὰ καὶ τὰ ἄλλα πάθη. Κατὰ δὲ τὸν Σύμμαχον εἰπόντα, *Ὁ Θεὸς οὗ ἀναπόστρεπτος ἡ ὀργὴ*, τὸ ἄφυκτον δηλοῦται τῆς θείας κινήσεως· τίς γὰρ ἀποστρέψει χεῖρα Θεοῦ κολάζουσαν;

Vers. 14-16. « Si vero me audierit, vel dijudicaverit verba mea; quod si etiam fuero justus, non exaudiet me, judicium ejus rogabo: si vero invocavero, et me exaudierit, non credam quod exaudiverit vocem meam, ne caligine me conterat. »

« Ἐὰν δέ μου ὑπακούσεται, ἢ διακρίνει [g] τὰ ῥήματά μου· ἐὰν γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου, τοῦ κρίματος αὐτοῦ δεηθήσομαι· ἐάν τε καλέσω, καὶ μὴ [i] ὑπακούσῃ, οὐ πιστεύω ὅτι εἰσακήκοέ μου τῆς φωνῆς, [17] μὴ γνόφῳ με ἐκτρίψῃ. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Εἴθε, φησὶν, ἦν Θεὸν διαλεχθῆναί σοι, καὶ τῆς αὐτοῦ σοφίας τὰ ἀπόῤῥητα παραστῆσαι τῷ λόγῳ· τοῦτο γὰρ μηνύει τὸ, *Ἀναγγελεῖ σοι δύναμιν σοφίας*· ἵνα μαθὼν τὴν αὐτοῦ σοφίαν, καὶ τὴν κατὰ δικαιοσύνην ὑπεροχὴν, μηκέτι τολμήσεις [f] λέγειν, ὅτι Καθαρός εἰμι καὶ ἄμεμπτος· ἀλλὰ γνῷς ὅτι τὸ κατ' ἀξίαν ἀπένειμέ σοι Θεὸς, ἰσομέτρους τοῖς ἁμαρτήμασι τὰς τιμωρίας ἐπαγαγών. Τὸ δὲ, *Ὅτι διπλοῦς ἔσται τῶν κατὰ σὲ*, τοῦτο δηλοῖ· Πολλὴ, φησὶν ἡ ὑπεροχὴ τοῦ Θεοῦ, πρὸς τὸν λέγοντα, ὥσπερ σὺ, σοφὸν εἶναι καὶ δίκαιον· εἰ οὖν καὶ σοφώτερος ἡμῶν καὶ δικαιότερος, σοφῶς καὶ δικαίως ἐπήγαγέ σοι τὰς τιμωρίας· καὶ τοῦτο ἔγνως ἂν εἰ ἐλάλησε πρὸς σὲ Κύριος, καὶ ἐπέστησέ [g] σε κατὰ τὴν σοφίαν ἑαυτοῦ. Τότε γὰρ κατανοήσας τὴν μετὰ σοφίας αὐτοῦ καὶ ἐν τοῖς πικροῖς ἐπαγωγὴν, ὅτι οὐκ ἀμυνόμενος, ἀλλ' ἰατρικῶς καὶ πρὸς ὑγείαν ψυχῆς, ἐπάγει τὰ; θλίψεις, σωφρονέστερος

VARIÆ LECTIONES.

[f] Ισ. τολμήσῃς. [g] Ισ. συνέτισε.

Digitized by Google

ἂν κατέστης· καὶ συνιδὼν ἑαυτοῦ τε καὶ τοῦ Θεοῦ A tribulationes immittat), prudentior evaderes; et, discrimine inter te et Deum perpenso, quodque homo cum Domino in judicium descendere volens, cum ne rationem quidem eorum quæ ab eo fiunt intelligas, natura tua et viribus majora ausus fueris, supercilium deprimeres; et divinæ sapientiæ ac potestatis magnitudine cognita, meritas te peccatorum pœnas luisse agnosceres.

τὸ διάφορον, καὶ ὡς μείζονα ἢ κατὰ τὴν σεαυτοῦ ἐτόλμησας φύσιν, κρίνεσθαι πρὸς τὸν Δεσπότην ἑλόμενος ἀνήρ, μηδὲ τῶν ὑπ' αὐτοῦ γινομένων συνιεὶς τὸν λόγον [h], κατέβαλες ἂν τὴν ὀφρύν· καὶ τὸ μέγεθος τῆς θείας σοφίας καὶ δυνάμεως γνοὺς, ὡμολόγησας, ὡς ἀξίαν τῶν ἁμαρτημάτων τὴν δίκην ὑπέσχες.

VERS. 7. « Aut vestigium Domini invenies? aut ad ultima pervenisti quæ fecit Omnipotens? »

« Ἦ ἴχνος Κυρίου εὑρήσεις; ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ Παντοκράτωρ; »

Quæ Dei, inquit, sunt, vires tuas excedunt, nec illius providentiæ rationes invenire, aut consiliorum actionumve ejus fines assequi potes. Sed ne dixeris quidem, te principium ejus et finem inventurum (eventa enim *ultima* vocat); neque principium quidem te invenire non posse, finem autem assecuturum affirmaveris; Dei enim interminabile et sempiternum intellectu comprehendi non potest.

Ἀνέφικτά σοι, φησὶ, τὰ τοῦ Θεοῦ, καὶ τὰς ὁδοὺς αὐτοῦ τῆς προνοίας εὑρεῖν ἀμήχανον, ἢ ἄχρι τέλους τῶν βουλευμάτων αὐτοῦ φθάσαι, ἢ τῶν ποιημάτων. Πολλοῦ δέω λέγειν [i], ὅτι ἀρχὴν ἢ τέλος αὐτοῦ εὑρήσεις, *ἔσχατα* γὰρ τὰς ἐκβάσεις λέγει, οὐδ' ἂν εἴποις, ὅτι τὴν μὲν ἀρχὴν οὐχ εὑρήσῃς, τοῦ δὲ τέλους ἐφικέσθαι δυνήσῃ· τὸ γὰρ χρόνοις ἀπέραντον καὶ ἀΐδιον τοῦ Θεοῦ ἐν περινοίᾳ ληφθῆναι ἀδύνατον.

VERS. 8, 9. « Sublime est cœlum, et quid facies? profundiora autem iis quæ in inferno; quid nosti? nonne longiora quam mensura terræ, vel latitudo maris? »

« Ὑψηλός ὁ οὐρανὸς, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου· τί οἶδας; Ἢ μακρότερα μέτρου γῆς, ἢ εὖρους θαλάσσης; »

Olympiodori et *Polychronii*. Qui autem, inquit, quanta sit cœli sublimitas assequi poteris? (hoc enim significat: *Et quid facies?* id est, invenire nequaquam poteris) aut quænam illa sint quæ sub inferno posita sunt? Quorsum autem mentionem eorum facio, quæ supra cœlum elata sunt, vel infra terram depressa? Nosti maris latitudinem, quantave sit terræ mensura, aut quemadmodum ipsa fabricata fuerit, et cui fundamento innitatur? profecto nullius harum rerum scientiam insolenter tibi ipsi arrogaveris. Si igitur quæ cernuntur, et quæ a Deo facta sunt, nostrum intellectum fugiant, neque quibus limitibus terra et mare circumscribantur, explicari possit; quomodo non summæ audaciæ fuerit, contra Deum ipsum linguam stringere?

Τοῦ Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Πῶς δ' ἂν ἐφίκοιο, φησὶ, πόσον ἐστὶ τὸ ὕψος τοῦ οὐρανοῦ; τοῦτο γὰρ σημαίνει τὸ, *Καὶ τί ποιήσεις;* ἀντὶ τοῦ, Ἀμηχανήσεις εὑρεῖν· ἢ τίνα εἰσὶ τὰ ὑπὸ τὸν ᾅδην; Καὶ τί λέγω τὰ ὑπεράνω τοῦ οὐρανοῦ, ἢ τὰ κατώτερα [j] τῆς γῆς; Οἶδας τῆς θαλάσσης τὸ πλάτος, ἢ τῆς γῆς τὸ μέτρον πόσον ἐστὶν, ἢ ὅπως αὕτη γέγονε, καὶ ἐπὶ τίνος ἔστηκε τῆς ἕδρας; ἀλλὰ μὴν οὐδὲν τούτων εἰδέναι ἀλαζονεύσαιο. Εἰ οὖν τὰ ὁρώμενα, καὶ ὑπὸ Θεοῦ γενόμενα διαφεύγει τὴν ἡμετέραν κατάληψιν, καὶ οὐκ ἔστιν εἰπεῖν τίσι μέτροις περιώρισται ἢ τι γῆ καὶ θάλασσα, πῶς οὐ τῆς ἐσχάτης θρασύτητος πρὸς αὐτὸν τείνειν [k] τὴν γλῶσσαν;

Olympiodori et *Polychronii*. Qui autem, inquit, quanta sit cœli sublimitas assequi poteris? (hoc enim significat: *Et quid facies?* id est, invenire nequaquam poteris) aut quænam illa sint quæ sub inferno posita sunt? Quorsum autem mentionem eorum facio, quæ supra cœlum elata sunt, vel infra terram depressa? Nosti maris latitudinem, quantave sit terræ mensura, aut quemadmodum ipsa fabricata fuerit, et cui fundamento innitatur? profecto nullius harum rerum scientiam insolenter tibi ipsi arrogaveris. Si igitur quæ cernuntur, et quæ a Deo facta sunt, nostrum intellectum fugiant, neque quibus limitibus terra et mare circumscribantur, explicari possit; quomodo non summæ audaciæ fuerit, contra Deum ipsum linguam stringere?

« Ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ, Τί ἐποίησας; »

VERS. 10. « Si autem subverterit omnia, quis dicet illi: Quid fecisti? »

Τοῦ *Ὀλυμπιοδώρου* καὶ *Πολυχρονίου*. Ἵνα εἴπῃ· Ἀνέφικτος ὢν τὴν φύσιν, ἀκατάληπτός ἐστι καὶ εἰς τὴν τῶν καθ' ἕκαστον οἰκονομίαν. Εἰ οὖν καὶ τὰ πάντα ἀνατρέψαι βουληθῇ, τίς ἀντερεῖ τοῖς αὐτοῦ νεύμασι, καὶ τῇ τοσαύτῃ ἐξουσίᾳ; Καὶ τοῦτο ἀληθῶς λέγει, καὶ πρὸς τὸν σκοπὸν τὸν *πρέποντα*· *Τίς γὰρ ἀνθίσταται τῷ βουλήματι τοῦ Θεοῦ;* Ὅμοιον τοῦτο τῷ, *Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως;* Ἐπειδὴ δὲ εἶπεν, *Ἐὰν καταστρέψῃ τὰ πάντα, τίς ἀντερεῖ;* ἵνα μὴ δόξῃ λέγειν, ὅτι Καὶ σὲ κατ' ἐξουσίαν ἐτιμωρήσατο, εὐθέως ἐπήγαγεν·

Olympiodori et *Polychronii*. Quasi diceret: Natura ejus captum humanum superat, et particularis providentia erga singulos incomprehensibilis est. Si igitur cuncta etiam subvertere voluerit, quis ejus nutibus tantæque potestati contradixerit? Et hoc quidem recte dicit, et ad rem apposite: *Voluntati enim Dei quis resistat* [11]? Hoc cum illo congruit: *Numquid dicet figmentum ei qui se finxit, Quid me fecisti sic* [12]? Postquam vero dixerat, *Si subverterit omnia, quis contradicet?* ne videretur dicere, quod te etiam pro potestate sua supplicio affecerit, confestim subjungit:

[11] Rom. IX, 19. [12] ibid. 20.

VARIÆ LECTIONES.

[h] γρ. τὴν γνῶσιν. [i] Ισ. ἀλλ' οὐδ' ἂν λέγοις, vel, πολλοῦ δεῖ λέγειν. [j] Ισ. κατωτέρω. [k] Ισ. ἀντεῖναι.

Digitized by Google

Vers. 11. « Ipse enim novit opera iniquorum ; videns autem absurda, non despiciet. »

Eorumdem. Hæc, inquit, actiones uniuscujusque, et eorum quæ geruntur causam cognoscens, et res humanas sine indagatione non relinquens, nec peccatores impunitos dimittens, facit : tanquam potens ergo, et sapiens, et justus, te peccantem non neglexit, sed punivit. Manifestum igitur est, Jobi causa Sopharum dixisse : *Si subverterit ;* cumque Deum inevitabilem esse ostendisset, subjunxit, quod hominum opera explorata habeat, nec eorum delicta negligat.

Vers. 12. « Homo autem aliter natat sermonibus, et vir natus mulieris tanquam onager solitarius. »

Olympiodori et *Polychronii.* Ab asino autem solitario, animali immorigero, similitudinem sumpsit, ut Jobum in rebus divinis immorigerum et effrenatum esse innueret : tantus enim talisque est Deus, et quæ Dei sunt talia exsistunt, ut de eis vel mente cogitare tremendum sit. Homines autem frustra ac temere nugantur, vilitate naturæ, si cum divina sapientia et excellentia comparentur, nihil ab asino distantes, et in rebus divinis Dei naturæ contraria sentientes, frustra hallucinantur, neque quidquam a pecudibus discrepant, quæ, præter ea quæ ante pedes posita sunt, nihil intelligunt ; quemadmodum asinus in deserto viæ exitum non habet, quia invia est, neque ad deserti limitem extremum pervenire potest, prout neque ad maris terminum is qui in eo natat ; ac si diceret, quod tanquam rationis participes, ex visibilibus Dei sapientiam et potestatem, non intelligant, sed pecudum more circa res præsentes volutati, nihil rationali natura dignum sapiant.

Vers. 13, 14. « Nam si tu mundum posuisti cor tuum, et extendis manus ad eum, si iniquum quid est in manu tua, longe facito illud a te, et iniquitas in domo tua non maneat. »

Symmachus vero pro, *Extendis ad Deum manus,* reddidit, *Expandes ad eum palmas tuas :* tempora igitur hic mutantur. Sensus autem hic est : Si qua in re, inquit, mihi optima consulenti obtemperare volueris, cor tuum purga, et repudiatis eis quæ nefarie gessisti, mente sincera ad Deum accede, ac expansis in precatione inculpatis manibus, Deum suppliciter invoca, finemque peccandi facito, nihil injustum vel iniquum amplius perpetrato, nec improbitatis ullæ reliquiæ in te remaneant ; et si contigerit quidem te injustam aliquam actionem moliri, at in vita tua nulla improbitas perduret. Si enim hac ratione Deum propitium reddideris, purusque in omnibus videberis, ea tibi contingent, quorum postea mentionem facit ; et (ut uno verbo dicam) sublato omni infortunio, ad pristinam felicitatem redibis.

A « Αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων· ἰδὼν δὲ ἄτοπα, οὐ παρόψεται. »

Τῶν αὐτῶν. Ταῦτα, φησὶ, ποιεῖ τὰς ἑκάστου πράξεις εἰδὼς, καὶ τὴν τῶν γινομένων αἰτίαν, καὶ οὐκ ἀνεξέταστα καταλιμπάνων τὰ ἀνθρώπεια, οὐδὲ τοὺς ἁμαρτάνοντας ἐκτὸς τιμωρίας ἀφιείς· ὡς δυνατὸς τοίνυν, καὶ σοφὸς, καὶ δίκαιος, ἀνομοῦντά σε οὐ παρεῖδεν, ἀλλ' ἐτιμωρήσατο. Σαφὲς δὴ, ὅτι δι' αὐτὸν εἶπε τὸ, *Ἐὰν καταστρέψῃ* · καὶ δεικνὺς τοῦ Θεοῦ τὸ ἀναπόδραστον, ἐπήγαγεν, ὅτι οἶδε τὰ τῶν ἀνθρώπων ἔργα, μὴ παροφῶν τὰ πταίσματα.

« Ἄνθρωπος δὲ ἄλλως [1] νήχεται λόγοις, βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου.* Τὸν ἐρημίτην ὄνον διὰ τὸ ἀνυπότακτον παρέλαβεν, αἰνιττόμενος τὸν Ἰὼβ ὡς τὰ πρὸς Θεὸν ἀνυπότακτον· ὁ μὲν γὰρ Θεὸς, φησὶ, τοσοῦτός ἐστι, καὶ τοιοῦτος, καὶ τὰ κατ' αὐτὸν τοιαῦτα, οἷα καὶ λογίσασθαι φοβερόν. Οἱ δὲ ἄνθρωποι εἰκῇ καὶ μάτην φλυαροῦσιν, οὐδὲν ὄνου, κατὰ τὸ εὐτελὲς τῆς φύσεως, ὅσον πρὸς τὴν θείαν σοφίαν καὶ ὑπεροχὴν, διαφέροντες, τηνάλλως τε πλανῶνται περὶ τὰ θεῖα, ἐναντία τῇ τοῦ Θεοῦ φύσεως δοξάζοντες, καὶ οὐδὲν τῶν βοσκημάτων διενηνόχασι, τῶν ἐν ποσὶ πλέον εἰδότες οὐδέν· καθάπερ καὶ ὄνος ἐν ἐρήμῳ, τῆς ὁδοῦ διέξοδον οὐκ ἔχων διὰ τὸ ἄδατον, μηδὲ δυνάμενος εἰς πέρας ἀφικέσθαι τῆς ἐρήμου, ὥσπερ οὖν οὐδ' ὁ νηχόμενος εἰς πέρας τῆς θαλάσσης· ἵνα εἴπῃ, ὅτι οὐχ ὡς λογικοὶ συνιᾶσιν ἀπὸ τῶν ὁρωμένων τοῦ Θεοῦ τήν τε σοφίαν καὶ τὴν δύναμιν, ἀλλὰ θρεμμάτων δίκην περὶ τὰ παρόντα εἱλούμενοι, οὐδὲν ἄξιον λογικῆς φρονοῦσι φύσεως.

« Εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου, ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτὸν, εἰ ἀνομόν τί ἐστιν ἐν χειρί σου, πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ, ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω. »

Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, *Ὑπτιάζεις χεῖρας πρὸς Θεὸν, Ἁπλώσεις πρὸς αὐτὸν τὰς παλάμας σου,* ἐκδέδωκεν· οἱ οὖν χρόνοι ἐνταῦθα ἐνηλλαγμένοι εἰσίν. Ὁ δὲ νοῦς οὗτος, Εἴ τί μοι πείθῃ, φησὶ, τὰ κάλλιστα συμβουλεύοντι, καθαρὰν σου τὴν καρδίαν, καὶ τῶν ἀθέσμων [m] σοι πεπραγμένων ἀποβολὴν ποιησάμενος, εἰλικρινεῖ πρόσελθε τῷ Θεῷ διαθέσει, καὶ τὰς χεῖρας ἀμώμους εἰς εὐχὴν ἐκπέτασον, δεήθητί τε τοῦ Θεοῦ, καὶ παῦσαι παρανομῶν, καὶ μηκέτι ἀδικήσῃς ἢ παρανομήσῃς, μηδέ τι φαῦλον λείψανον ἐν σοὶ ἀπομεινάτω· ἀλλὰ κἂν σομβῇ σε ἐν ἀρχῇ τοῦ ἀδικεῖν γενέσθαι, μὴ παραμενέτω ἐν τῷ σῷ βίῳ ἡ κακία. Εἰ γὰρ οὕτως ἵλεων ποιήσῃ τὸν Κύριον, καὶ καθαρὸς ἐν πᾶσι δειχθήσῃ, ἔσονταί σοι τάδε ἅπερ ἐφεξῆς φησι· καὶ τὸ ὅλον, πᾶσαν δυσπραγίαν ἀποδυσάμενος, εἰς τὴν προτέραν ἐπανήξεις εὐδαιμονίαν.

VARIÆ LECTIONES.

[1] *Ισ.* τηνάλλως. [m] *Ισ.* ἀθέσμως.

Digitized by Google

« Καὶ τὸν κόπον ἐπιλήσῃ, ὥσπερ κῦμα παρελθὸν, A καὶ οὐ μὴ πτοηθήσῃ. »

Ἀλλ' οὐδὲ ἴχνος ὑπολειφθήσεταί σοι τῶν κόπων, οὐδὲ μνημόσυνον τῶν συμφορῶν, ὥσπερ οὐδὲ κύματος παρελθόντος ἴχνη καταλιμπάνεται· ἄφοβος δὲ ἔσῃ λοιπὸν, γαληνιασάντων ἐπὶ σοὶ τῶν κακῶν. Ἡδὺ δὲ πάντως ὥσπερ γαλήνη μετὰ χειμῶνα, οὕτως εὐκληρία μετὰ τὴν δυσκληρίαν.

« Ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ἀντὶ τοῦ, καθαρὰ καὶ ἀνύουσα [a], ἡ φωτίζουσα τῆς ψυχῆς σου τὴν ἐκ τῶν κακῶν σκοτομηνίαν· εἴτουν ἄγγελος τῆς περιφανοῦς ζωῆς.

« Ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη. » B

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Τὰς δὲ, νῦν ἐχούσας μερίμνας ἐπωδύνους, φροντίδας, γαληνιαία τις καὶ εἰρηνικὴ κατάστασις διαδέξεται· πάσης γὰρ ταραχῆς καὶ φροντίδος ἡ κατὰ Θεὸν φροντὶς ἠλευθέρωται· φροντιστέον οὖν τῶν εἰς εὐσέβειαν ἡκόντων.

« Μεταβαλλόμενοι δὲ πολλοί σου δεηθήσονται· σωτηρία δὲ αὐτοὺς ἀπολείψει· ἡ γὰρ ἐλπὶς αὐτῶν, ἀπώλεια· ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται. »

Πολυχρ. καὶ Ὀλυμπ. Οἱ δὲ νῦν, φησὶ, περιορῶντές σε διὰ τὰς συμφορὰς, καὶ ἐπεμβαίνοντές σοι, ὕστερόν σου δεηθήσονται, ὅταν αὐτοὺς ἡ παρὰ Θεοῦ σωτηρία καταλίπῃ, καὶ μηδεμίαν ἔχωσιν ἐλπίδα· C τότε δὴ καὶ τακήσονται αὐτῶν οἱ ὀφθαλμοὶ ἐπὶ τῇ σῇ εὐημερίᾳ, ὑπὸ τοῦ φθόνου δηλονότι. Ἐκ δὲ τούτων τῶν λόγων ἔστι συνιδεῖν, ὅτι πρὸς πᾶσι τοῖς κακοῖς καί τινας ἐπέστησεν ὁ διάβολος ἐπιγελᾷν, καὶ ἐπεμβαίνειν ἐν ταῖς τοῦ Ἰὼβ συμφοραῖς. Ἀλλ' οὗτοι, φησὶ, μετὰ τοῦτο ἐν συμφοραῖς ἐξεταζόμενοι, τῆς παρὰ σοῦ ἐπικουρίας τυχεῖν σπουδάσουσιν, οὐ μὴν καὶ ἐπιτεύξονται ὧν προσεδόκησαν, ἀλλ' αἱ ἐλπίδες αὐτῶν ἀπολοῦνται μὴ ἐπιτυγχάνουσαι· οὐδὲ γὰρ ἐνδέχεται τοὺς παρανόμους πράττειν ἀσφαλῶς, ἀλλὰ τοῖς δεινοῖς περιπεπτωκότες, ἐν ὅσῳ μεταβολὴν ἐλπίζουσιν, ὑπὸ τῶν συμφορῶν φθάνουσι διαφθαρῆναι, ἤ τινος ἀγαθοῦ τυχεῖν. Ἐνταῦθα μέντοι πονηρούς τινας αἰνίττεται, καὶ τὴν λύπην αὐτῶν τὴν γινομένην ἐπὶ μεταβολῇ τοῦ [b] ἀνιαροῖς περιπε- D πτωκότος· περὶ ὧν καὶ ἀποφαίνεται, ὅτι νεκρωθήσονται, τῶν ἐπὶ σοὶ πονηρῶν ἐλπίδων ἐκπεπτωκότες, καὶ τῷ φθόνῳ τακήσονται, τὴν σὴν εὐπραγίαν θεωροῦντες· ἢ, κατὰ Θεοδοτίωνα, *Οἱ ὀφθαλμοὶ αὐτῶν ἐκλείψουσι*, τουτέστι, Ἀποκαμοῦσιν ἐν τῷ ὁρᾷν ἐπιπολὺ, καὶ προσδοκᾷν τὴν σὴν πάλιν εἰς ἀτυχίαν μεταβολὴν, μὴ ἔχειν δὲ ταύτην ἰδεῖν. Ταῦτα δὲ πρὸς ἕτερον μὲν λεγόμενα δι' ἁμαρτίας κακῶς πάσχοντα, καλῶς ἐλέγετο· οὐδὲ γὰρ ἀπόβλητοι τῶν φίλων τοῦ Ἰὼβ οἱ λόγοι, ἐὰν ἕτερον ἦν πρόσωπον τὸ νουθετού-

VERS. 16. « Et laborem oblivisceris tanquam fluctum qui præteriit, et non terreberis. »

Sed ne vestigium quidem molestiarum, aut calamitatum memoria ulla exstabit, prout nec fluctus præterlapsi vestigia ulla relinquuntur: reliquum vero vitæ, sedatis omnibus malis, intrepide transiges. Sicut autem grata est omnino post tempestatem tranquillitas, ita post adversam prospera fortuna.

VERS. 17. « Et oratio tua tanquam lucifer erit. »

Olympiodori et *Polychronii*. Id est, pura et exoriens; vel, tenebricosam animæ tuæ noctem ex malis contractam illustrans; sive, vitæ conspicuæ nuntia.

VERS. 18. « De cura vero ac sollicitudine apparebit tibi pax. »

Olympiod. et *Polychr.* Curas vero, quæ cum anxiis et laboriosis sollicitudinibus nunc conjunctæ sunt, tranquilla quædam et pacata conditio excipiet. Cura enim quæ secundum Deum est, ab omni sollicitudine et perturbatione libera est: res igitur quæ ad religionem et Dei cultum spectant, diligenti studio curandæ sunt.

VERS. 19, 20. « Transmutati autem multi rogabunt te; salus autem eos deseret; spes enim eorum, perditio; et oculi impiorum tabescent. »

Polychronii et *Olympiodori*. Qui vero nunc, inquit, te propter calamitates tuas despiciunt, tibique insultant, postea, cum divina salus eos deseruerit, et spes omnis decollaverit, opem tuam implorabunt: tunc etiam oculi eorum, præ invidia, scilicet, prosperam tuam sortem intuentes, liquescent. Ex his autem verbis intelligere licet, quod diabolus, præter cætera mala, quosdam etiam instigaverit, qui Jobum ludibrio haberent, et in calamitatibus ejus insultarent. Ili autem, inquit, postea calamitatibus vexati, auxilio tuo potiri sedulo contendent, exspectatione autem frustrabuntur, et spes illorum irritæ et inanes peribunt; fieri enim non potest, ut improbi secure degant, sed in casus adversos incidentes, quatenus rerum mutationem exspectant, priusquam boni alicujus participes fiant, calamitatibus obruti exstinguuntur. Itaque hoc in loco improbos quosdam intelligit, et mœrorem quem conceperant pro mutatione tui status, qui in molestias et difficultates incideras; de quibus etiam pronuntiat, quod de spe improba, quam de te fovebant, excidentes, enecabuntur, et prosperam tuam sortem intuentes, invidia contabescent; vel, secundum Theodotionem: *Oculi eorum deficient;* id est, Multum intuendo, et fortunæ tuæ in pejus rursus mutationem exspectando, quam videre tamen non possint, fatiscent. Hæc vero si alteri dicta fuissent, qui propter peccata adversa pateretur, non inepte dicta fuissent (neque enim amicorum Jobi sermones

VARIÆ LECTIONES.

[a] *Ισ.* ἀνίουσα. [b] *ἴσ.* σοῦ.

Digitized by Google

rejiciendi erant, si alius quispiam commonefaciendus fuisset, et debita adhibita distinctione habiti fuissent); justus vero eo magis dolet, quod improbitatis nullius sibi conscius, tanquam impius ad agendam pœnitentiam moneretur.

CAP. XII.

Protheoria.

Postquam Sopharus vehementiore usus fuisset oratione, et divina sapientia et potestate in medium allata, justo partim metum incutere, partim quod non injuste pateretur, ostendere conatus fuisset; Jobus Sopharum, quod manifesta et ab omnibus confessa demonstrationibus astruere vellet, subsannat. Deinde, in rebus divinis se plus amicis sapere ostendens, magnifice de Dei sapientia et potestate loquitur; illosque vituperat quod sermones ad medendum idoneos proferre non potuerint: ipse vero, coram justo Deo quænam pateretur, justo ejus judicio multum fretus, libenter narrat. Amicos etiam causatur, quod Dei patrocinium contra jus et fas in se recepissent, dicitque: Licet millies pro Deo loqui videamini, si dolose tamen et juste locuti fueritis, Deus qui veritatem diligit, vos nequaquam probabit. Ipse vero e contrario, quia sine dolo et sincere, quæ animo habebat, coram Deo cum fiducia dissereret, salutem assequi sperat, et dicit: Novi ego quod in veritate loquens, apud verum et justum Deum, justus apparebo. Deinde ad preces convertitur, et veniam, si in aliquo offendisset, a Deo deprecatur, naturæque imbecillitatem pro supplicatione in medium proponit, nullum hominem purum esse asserens, quamvis uno tantum die in vitam prodeat. Comparatione autem facta, hominem plantis imbecilliorem esse ostendit, et Deum tanquam opificem, ut suo opificio parcere velit, suppliciter precatur, nolitque ad accuratam examinationem et inquisitionem descendere, enixe rogat. Admiratione autem dignum est, quomodo tantis calamitatibus et cruciatibus vexatus, stupore perculsus non fuerit, nec animum desponderit; quomodo eorum, quæ ab amicis dicebantur, nihil eum latuerit, sed omnibus obviam iverit, dogmata protulerit, de Deo opiniones dignas habuerit, et in mediis tormentis, tanquam non in carne, sed totus in spiritu, philosophatus fuerit.

VERS. 1, 2. « Respondens autem Job, ait: Itaque vos estis homines? aut vobiscum morietur sapientia? »

Vos solos, inquit, homines esse judicatis, qui Dei magnalia cognita habeatis, et rationis facultatem diligenter custodiatis; neque quemquam ante vos sapientem fuisse, vel postea evasurum, sed sapientiam omnem vestra ætate exitum habituram, ita ut nemo alius particeps ejus fiat, existimatis. Id est: Vobiscum finem sortietur, neque ad alium transibit, sed in vobis solis sapientiæ perfectio limitibus

ΚΕΦΑΛ. ΙΒ'.

Προθεωρία.

Σφοδρότερον τοῦ Σωφὰρ χρησαμένου τοῖς λόγοις, καὶ διὰ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως πειρασθέντος, τοῦτο μὲν φοβῆσαι τὸν δίκαιον, τοῦτο δὲ καὶ δεῖξαι, ὅτι οὐκ ἀδίκως πάσχει· χλευάζει ὁ Ἰὼβ τὸν Σωφὰρ, ὡς τὰ ὡμολογημένα δι' ἀποδείξεων βουληθέντα κατασκευάσαι. Εἶτα καὶ αὐτὸς μεγαλοπρεπῶς ἐξηγεῖται τὰ περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως, δεικνὺς ὅτι συνετώτερος αὐτῶν ἐστι περὶ τὰ θεῖα· καὶ μέμφεται μὲν τοὺς φίλους, ὡς οὐ δυνηθέντας θεραπευτικοὺς λόγους εἰπεῖν· αὐτὸς δὲ, ἐπὶ τοῦ δικαίου Θεοῦ ἡδέως λέγει τὰ προσόντα αὐτῷ, σφόδρα θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, καὶ αἰτιᾶται τοὺς φίλους, ὡς παρὰ τὸ δίκαιον τὴν ὑπὲρ Θεοῦ δικαιολογίαν ἀναλαβόντας, καί φησιν, ὅτι Κἂν μυριάκις δόξητε ὑπὲρ Θεοῦ λαλεῖν, λαλῆτε δὲ μετὰ δόλου καὶ παρὰ τὸ δίκαιον, οὐκ ἀποδέξεται ὑμᾶς ὁ φιλαλήθης Θεός. Τὸ δὲ ἐναντίον, αὐτὸς σωτηρίας ἐλπίζει τεύξεσθαι, ὡς ἀδόλως καὶ καθαρῶς ἃ φρονεῖ μετὰ παῤῥησίας ἐπὶ τοῦ Θεοῦ διαλεγόμενος, καί φησιν· Οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι πρὸς ἀληθῆ Θεὸν καὶ δίκαιον σὺν ἀληθείᾳ φθεγγόμενος. Εἶτα τρέπεται καὶ εἰς αἴτησιν πρὸς Θεὸν, καὶ παρακαλεῖ συγγνώμης τυχεῖν, εἴ τι καὶ ἥμαρτε, καὶ τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκεσίαν προβάλλεται, φάσκων, μηδένα ἄνθρωπον εἶναι καθαρὸν, κἂν μίαν ἡμέραν εἰς τὸν βίον παρέλθῃ P. Δείκνυσι δὲ κατὰ παράθεσιν, ὡς τῶν φυτῶν ἀδρανέστερός ἐστιν ὁ ἄνθρωπος, καὶ ἱκετεύει τὸν Θεὸν ὡς ποιητὴν, φείσασθαι τοῦ ἰδίου δημιουργήματος, καὶ ἀξιοῖ, μὴ πρὸς ἀκριβεῖς ἐλέγχειν ζητήσεις καὶ ἐλεγμούς. Θαυμάσαι δὲ ἄξιον, πῶς ἐν τοσαύταις συμφοραῖς καὶ βασάνοις οὐκ ἐξεπλάγη, οὐ κατέπεσε· πῶς οὐδὲν αὐτὸν τῶν ὑπὸ τῶν φίλων λαληθέντων διέλαθεν, ἀλλὰ καὶ πρὸς πάντα ἀπαντᾷ, καὶ δόγματα λαλεῖ, καὶ ἀξίως Θεοῦ τὰς περὶ αὐτοῦ κέκτηται ὑπολήψεις, καὶ ἐν μέσαις ταῖς βασάνοις, ὡς μὴ ὢν ἐν σαρκὶ, ἀλλ' ὅλος ἐν πνεύματι, φιλοσοφεῖ.

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, Εἶτα ὑμεῖς ἐστε ἄνθρωποι; ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; »

Μόνους, φησὶν, ἑαυτοὺς κρίνεται q ἀνθρώπους, εἰδότας τὸ μεγαλεῖον τοῦ Θεοῦ, καὶ τὸ λογικὸν ἀκριβῶς διασώζοντας· καὶ οἴεσθε μήτε τινὰ τῶν πρὸ ὑμῶν γεγενῆσθαι σοφὸν, μήτε ἔσεσθαι μεθ' ὑμᾶς, ἀλλ' εἰς ὑμᾶς ἡ πᾶσα τελευτᾷ σοφία r, ὡς μηδένα ἄλλον μετέχειν αὐτῆς. Τουτέστι, Πέρας σὺν ὑμῖν λήψεται, ἐφ' ἕτερον δὲ οὐ μεταβήσεται, ἀλλ' ἐν ὑμῖν μόνοις ἡ τελειότης τῆς σοφίας περιγραφήσεται. Ταῦτα δὲ λέγει,

VARIÆ LECTIONES.

P *Ισ.* προέλθῃ. q *Ισ.* κρίνετε. r *Ισ.* ἐφ' ὑμῶν τὴν πᾶσαν τελευτήσειν σοφίαν.

Digitized by Google

οὐ κατεπαιρόμενος αὐτῶν, ἀλλ' ἀχθόμενος ἐφ' οἷς παρὰ τὴν ἀλήθειαν λαλοῦσιν· ἐπάγει γοῦν·

« Κάμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστιν. »

Τὴν αὐτὴν ὑμῖν, φησὶν, εἰμὶ ἔχων φύσιν, οὐδ' αὐτὸς ἀγνοεῖν τὰ τοιαῦτα δύναμαι· ἄνθρωπος γάρ εἰμι κἀγὼ, καὶ πάντως οὐκ ἀκάρδιος. Βούλεται δὲ εἰπεῖν, ὅτι Συνέσει μὲν ὑμῶν οὐ λείπομαι· ἀλλὰ συνίημι κἀγὼ ὥσπερ ὑμεῖς, καὶ οὐκ ἀπολώλεκα τὴν καρδίαν, ὡς περί τινων λέγεται τὴν καθήκουσαν ἐνέργειαν ἀποβαλόντων τῆς ψυχῆς, τῷ δὲ μεγέθει τῶν κακῶν βεβλημένος, πρὸς τὸ λοιδορεῖσθαι πρόκειμαι.

« Δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα. »

Καὶ ἔοικε μὲν περὶ ἑαυτοῦ λέγειν, καθολικὸν δὲ ἐκτίθεται λόγον, ὅτι οἱ σαρκικοὶ τὰ τῶν δικαίων καὶ πνευματικῶν μωρίαν ἡγοῦνται· κατὰ τὸ εἰρημένον, *Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος*· Δίκαιον δὲ ἑαυτὸν ἐνταῦθα λέγει, οὐχὶ τὴν τελείαν ἀρετὴν ἑαυτῷ μαρτυρῶν, ἀλλὰ τὸ μηδένα ἠδικηκέναι, τὸ μηδένα τῶν ἄλλων ἔχειν ἐγκαλεῖν αὐτῷ. Καὶ εἰ ἐγὼ, φησὶ, μηδὲν ἠδικηκὼς τοιαῦτα πάσχω, πόσῳ μᾶλλον ὁ πονηρός; »

« Εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπὸ ἄλλων, οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων. »

Ἐνταῦθα οἱ τὴν εἱμαρμένην δοξάζοντες, φασὶν, ὅτι Ἰδοὺ καὶ ἡ Γραφὴ λέγει ὅτι εἱμαρτὸν[a] αὐτὸν παθεῖν καὶ ὅτι ὡρίσθη ὑπὸ Θεοῦ ἐλάττονα τοῦτον ὀφθῆναι τῶν πρότερον ὑποδεεστέρων. Ἀλλ' οὐ τοῦτο ἡ Γραφὴ λέγει, μὴ γένοιτο· οὐ γὰρ ὑπ' ἀνάγκην τὰ ἡμέτερα πάθη, εἴτε φυσικὰ εἶεν, εἴτε προαιρετικά, εἴτε πειραστικά· τὰ μὲν γὰρ τῇ τῆς φύσεως ἀσθενείᾳ προσαπτέον, τὰ δὲ τῇ αὐτεξουσίῳ προαιρέσει, τὰ δὲ τῇ τοῦ Θεοῦ κυβερνήσει, πρὸς τὸ συμφέρον ἐπί τινα χρόνον ἡμῖν ἐπιφέρεσθαι συγχωρούσῃ· ἀλλ' ὅτι ἐν μέτρῳ διοικῶν τὰ καθ' ἡμᾶς ὁ Θεὸς τοῖς τῆς ἑαυτοῦ προνοίας λόγοις, οἶδε καὶ μέχρι πόσου συμφερόντως δεῖ πάσχειν ἡμᾶς, καὶ κατὰ μέτρον ἐπάγει τοὺς πειρασμούς.

« Οὐ μὴν δὲ ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῷος ἔσεσθαι, ὅσοι παροργίζουσι τὸν Κύριον, ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται. »

Πολυχρονίου καὶ Ὀλυμπιοδώρου. Οἴεσθέ με, φησὶν, ἀγνοεῖν τοὺς τῆς Προνοίας λόγους, καίτοι καὶ τούτους οὐκ ἔλαττον ὑμῶν γινώσκω· καὶ οἶδα ὥσπερ καὶ ὑμεῖς, ὡς οὐκ ἔνεστιν εἰς Θεὸν ἡμαρτηκότα μὴ δοῦναι δίκην. Δῆλον γὰρ τοῦτο καὶ ὁμολογημένον, ὡς οὐκ ἀτιμώρητος ἡ ἁμαρτία, οὔδὲ ἀνεξέταστοι μένουσιν οἱ τὸν Θεὸν παροργίζοντες· κἂν χλευάζῃ τις τὸν δίκαιον, καὶ καταδυναστεύῃ, οὐκ ἔσται ἀθῷος, κἂν ἐκνικήσῃ αὐτὸν τῷ δοκεῖν· παροργίζει γὰρ ὁ

circumscribetur. Hæc autem nulla animi elatione contra eos dicit, sed moleste ea ferens quæ contra veritatem dixerant; quare subjungit :

Vers. 3. « Et mihi quidem cor juxta vos est. »

Eadem, inquit, vobiscum natura præditus sum, neque hæc ignorare possum; homo enim ego sum, nec omnino excors. Dicere autem vult : Rerum intelligentia vobis inferior non sum, sed perinde ut vos sapio, neque cor perdidi, quod de quibusdam dicitur qui debitum animi usum amiserunt; malorum autem magnitudine ictus, aliorum contumeliis expositus sum.

Vers. 4. « Sed justus vir et sine crimine venit in derisum. »

Videtur quidem de seipso verba facere; dictum autem catholicum profert, quod homines, scilicet, carnales, ea quæ ab hominibus justis et spiritualibus fiunt, stultitiam existimant; juxta illud : *Animalis homo non percipit ea quæ sunt Spiritus* [76]. Justum autem se hoc loco dicit, non quod perfectam virtutem hoc testimonio sibi arroget; sed quod nemini injuriam fecerit, nec quisquam sit, qui criminari eum posset. Quod si ego, inquit, qui nihil injustum perpetravi, talia patior, quanto magis improbus?

Vers. 5. « In tempus autem statutum paratus fuerat, ut caderet ab aliis, et domus ejus ut devastarentur ab iniquis. »

Qui opinionem fati tuentur, ex hoc loco dicunt : Ecce ut Scriptura ipsa asserat fato decretum ut pateretur, et a Deo constitutum fuisse, ut minor eis appareret, qui prius ipsi inferiores erant. Scriptura autem hoc non dicit, absit. Mala enim quæ patimur, sive naturalia, sive voluntaria sint, sive a tentatione procedant, fatali necessitati obnoxia non sunt (quædam enim naturæ imbecillitati, alia vero voluntatis libero arbitrio, et alia divinæ gubernationi, quæ propter commodum nostrum ad tempus aliquod nobis inferri ea sinit, ascribenda sunt); Deus vero qui secundum modum et mensuram, providentiæ suæ rationibus nostra gubernat, quatenus cum utilitate pati nos mala oporteat novit, et tentationes certo modo et debita mensura hominibus infert.

« Verumtamen nemo confidat, cum malignus sit, futurum se insontem, [Vers. 6] quicunque irritant Dominum, tanquam inquisitio in eos non sit futura. »

Polychronii et *Olympiodori.* Arbitramini, inquit, me Providentiæ rationes ignorare, quæ mihi tamen non minus quam vobis cognitæ sunt : quin et illud non secus ac vos novi, quod supplicium effugere non possit, qui in Deum peccaverit. Quod peccatum enim non evadat impunitum, neque sine exploratione maneant qui Dei iram accendunt, manifestum et in confesso est : etsi justum aliquis ludibrio habuerit et potestate sua oppresserit, licet externa ap-

[76] 1 Cor. II, 14.

VARIÆ LECTIONES.

[a] *Isc.* εἱμαρτο.

Digitized by Google

parentia exsuperare eum videatur, insons non erit; talis enim Dei iram provocat: eorum autem quæ geruntur, sine dubio examinatio futura est et judicium.

VERS. 7-11. « Sed tamen interroga quadrupedia, si tibi respondeant; volatilia autem cœli, si tibi annuntient; enarra terræ si tibi dicat, et exponent tibi pisces maris. Quis igitur non cognovit in omnibus his, quod manus Domini fecit hæc? si non in manu ejus est anima omnium viventium, et spiritus omnis hominis? Nam auris quidem dijudicat verba, fauces autem cibos gustant. »

Chrysostomi et *Olympiodori*. Quandoquidem Dei notitiam se habere gloriabantur, ideo omnem creaturam suum opificem nosse demonstrat, quod non tantum hominibus compertum est, sed etiam brutis animantibus, et terræ quæ sensus expers est. Cur igitur, inquit, quasi magnum aliquid et admirandum dixissetis, sic affecti estis? Oportet enim omnino improbum interire, neque quisquam est, qui hoc ignoret. Ut Sopharo autem majorem pudorem incuteret, hyperbolice dixit: Interroga irrationalia et inanimata, quæ etiam, licet non loquantur, eo quod vocem talem edere videantur, Dei gloriam enarrant; cum itaque divinæ potentiæ vim sentiant, si sermone prædita essent, Deum universi creatorem profiterentur, cujus sapientia captum humanum superat, qui de improbis supplicium sumit, in cujus manu viventium omnium vita et mors sita est, qui quidquid de singulis statuerit, facili negotio præstat, quique brutorum animam, et hominis spiritum, et omnia alia fovet ac conservat. Si igitur bruta animantia ita de Deo prædicarent, si sermone prædita essent, quanto magis homo qui natura ratione imbutus est, quemadmodum nimirum guttur vel palatum gustabilia, et auris discernendi sonos facultate pollet. Quædam autem exemplaria, pro *aure*, *mentem* habent; dicit igitur: Quemadmodum ad dijudicandum esculenta, gutture omnes præditi sumus, et commune est omni homini cibum sumere: ita et ad Dei notitiam mentem accepimus, quæ sapientiam ejus et potentiam percipere posset (mens enim intelligibilia, sensus autem ea quæ sub sensum cadunt, discernit), nobisque etiam omnibus commune est, Deum universi opificem agnoscere.

VERS. 12. « In multo tempore sapientia est, et in multa vita est scientia. »

Chrysostomi et *Olympiodori*. Mihi videtur his verbis illos perstringere: Nolite, inquit, vos omnia invenisse existimare; licet enim mente imbuti simus quæ vim dijudicandi habet, ut inveniamus tamen, longo tempore egemus; sapiens enim senescens in sapientia progressus facit. Hoc etiam fortasse dicere vult: Quæ audio scio, et tempus ad scientiam adipiscendam impendi. Aquila autem et Symmachus, hic quidem: *In antiquis sapientia*; ille vero, *In longævis*, reddidit; quæ apud homines quidem labore perficitur, et tempore acquiritur, apud Deum vero sola voluntate.

VERS. 13. « Apud eum sapientia et virtus. »

A τοιοῦτος τὸν Θεόν· ἔσται δὲ πάντως ἐξέτασις τῶν πραττομένων καὶ κρίσις.

« Ἀλλὰ δὴ ἐρώτησον τετράποδα, ἐάν σοι εἴπωσι· πετεινὰ δὲ οὐρανοῦ, ἐάν σοι ἀπαγγείλωσιν· ἐκδιήγησαι γῇ ἐάν σοι φράσῃ, καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης. Τίς οὖν οὐκ ἔγνω ἐν πᾶσι τούτοις, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα; εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων ζώντων, καὶ πνεῦμα παντὸς ἀνθρώπου; Οὖς μὲν γὰρ ῥήματα διακρίνει, λάρυγξ δὲ σῖτα γεύεται. »

Χρυσοστόμου καὶ Ὀλυμπιοδώρου. Ἐπειδὴ μέγα ἐκεῖνοι ἐφρόνουν, ὡς τὴν τοῦ Θεοῦ ἔχοντες γνῶσιν, τούτου χάριν ἀποφαίνεται, ὅτι πᾶσα ἡ κτίσις οἶδε τὸν Δημιουργὸν, καὶ οὐκ ἀνθρώποις τοῦτο δῆλον μόνον, ἀλλὰ καὶ ἀλόγοις, καὶ αὐτῇ τῇ ἀναισθήτῳ γῇ. Τί τοίνυν ὡς μέγα τι καὶ θαυμαστὸν εἰρηκότες, οὕτω διάκεισθε; Δεῖ γὰρ πάντως τὸν πονηρὸν ἀπολέσθαι, καὶ οὐδεὶς ἀγνοεῖ. Πρὸς πλείονα δὲ ἐντροπὴν τοῦ Σωφὰρ, ὑπερβολικῶς εἶπεν, Ἐπερώτησον τὰ ἄλογα καὶ ἄψυχα, ἃ καὶ αὐτὰ διηγεῖται δόξαν Θεοῦ, τῷ φαίνεσθαι οὕτω φθέγγεσθαι, κἂν μὴ λαλῶσι· τῆς γοῦν τοῦ Θεοῦ δυνάμεως ἐπαισθάνοντα, κἂν φωνὴν λάβωσιν, ἐροῦσιν, ὅτι δημιουργός ἐστι τῶν ὅλων Θεὸς, καὶ τὴν σοφίαν ἀνέφικτος, καὶ τῶν πονηρῶν τιμωρὸς, καὶ ὅτι ὑπὸ τὴν χεῖρα αὐτοῦ πάντα ἐστὶ, καὶ ἡ ζωὴ τῶν ζώντων, καὶ ὁ θάνατος, καὶ ἑτοίμως ἔχει ποιεῖν, ὃ ἂν περὶ ἑκάστου βουλεύσηται, καὶ πάντα συνέχει καὶ διακρατεῖ, τήν τε ψυχὴν τῶν ἀλόγων, καὶ τὸ πνεῦμα τοῦ ἀνθρώπου. Εἰ τοίνυν τὰ ἄλογα, εἰ ἐφθέγξατο, οὕτως ἂν ἀπήγγειλε περὶ Θεοῦ, πόσῳ γε μᾶλλον ὁ ἄνθρωπος, ὁ ἔμφυτον ἔχων τὸ λογικὸν, ὥσπερ ἀμέλει καὶ ὁ λάρυγξ διακριτικός ἐστι τῶν γευστῶν, καὶ τὸ οὖς τῶν φωνῶν. Τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ τοῦ *οὖς*, *νοῦν* ἔχουσι· λέγει οὖν, ὅτι Ὥσπερ λάρυγγα ἐπὶ διακρίσει βρωμάτων ἅπαντες ἔχομεν, καὶ κοινὸν ἀνθρώποις, τὸ τῆς τροφῆς μεταλαμβάνειν· οὕτω καὶ νοῦν εἰς γνῶσιν Θεοῦ εἰλήφαμεν, δυνάμενον εἰδέναι τὰ περὶ τῆς αὐτοῦ σοφίας καὶ δυνάμεως· νοῦς μὲν γὰρ νοητὰ, αἴσθησις δὲ τὰ αἰσθητὰ διακρίνει· καὶ κοινὸν ἡμῖν τὸ καὶ δημιουργὸν εἰδέναι τὸν τῶν ὅλων Θεόν.

« Ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη. »

Χρυσοστόμου καὶ Ὀλυμπιοδώρου. Ἐμοὶ δοκεῖ καθάπτεσθαι αὐτῶν· Μὴ γὰρ νομίζητε, φησὶ, τὸ πᾶν εὑρηκέναι· εἰ γὰρ καὶ νοῦν ἔχομεν διακρίνοντα, ἀλλ' ὅμως καὶ χρόνου δεόμεθα πολλοῦ ὥστε εὑρεῖν· ὁ γὰρ φρόνιμος παλαιούμενος προκόπτει τῇ σοφίᾳ. Καὶ τάχα τοῦτο θέλει εἰπεῖν, ὅτι Καὶ οἶδα ἃ ἀκούω, καὶ χρόνον εἰς ἐπιστήμην προσέλαβον. Ἀκύλας δὲ, καὶ Σύμμαχος, ὁ μὲν, *Ἐν παλαιοῖς σοφία*· ὁ δὲ, *Ἐν μακροχρονήσασιν*, ἐξέδωκε, παρὰ ἀνθρώποις πόνῳ ἀνυομένη, καὶ χρόνῳ ἐγγινομένη, παρὰ δὲ Θεῷ, θελήσει.

« Παρ' αὐτῷ σοφία καὶ δύναμις. »

Digitized by Google

Παρ' αὐτῷ, τῷ Θεῷ δηλονότι· αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς σοφίας καὶ δυνάμεως, ὁ καὶ τοῖς ἄλλοις ταῦτα διδούς. Καὶ τὸ μὲν περὶ Θεοῦ τὰ μέγιστα φρονεῖν, πάντες ἄνθρωποι κέκτηνται· τὴν δὲ ἀκριβῆ τῶν ἐν τῇ κτίσει γνῶσιν, καὶ τὴν κατὰ πάντων δύναμιν ἔχει μόνος Θεὸς, καὶ πάντα οἰκονομεῖ, οὐκ εἰκασίᾳ καὶ ἀγνοίᾳ τοῦ μέλλοντος, ἀλλ' ἀκριβῆ ἑκάστου τὴν γνῶσιν ἔχων.

« Ἐὰν καταβάλῃ, τίς οἰκοδομήσει; ἐὰν κλείσῃ κατ' ἀνθρώπων, τίς ἀνοίξει; »

Τῷ παντοδυνάμῳ προστέθεικε καὶ τὸ ἀναμφήριστον, κατὰ τὸν ψάλλοντα, *Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;* Οὐδεὶς ἀγνοεῖ, φησὶν, ὅτι καὶ σοφός ἐστιν ὁ Θεὸς καὶ δυνατὸς, καὶ πάντα μετ' εὐκολίας ποιεῖ ὅσα καὶ βούλεται, καὶ οὐδεὶς ἱκανὸς ἀνατρέψαι τὰ αὐτῷ δοκοῦντα. Ἀπόδειξις δὲ τῆς δυνάμεως τὰ πράγματα. Εἰ γάρ τινος θάνατον καταψηφίσηται, τίς τοῦτον ἐπελθεῖν κωλύσαι δύναται; εἰ δὲ ἀποκτεῖναι μὲν οὐ βουληθείη, ἐπώδυνον δὲ τὴν ζωὴν κατασκευάσαι τινὶ, τίς ἀρκεῖ παραμυθήσασθαι; Ἃ γὰρ ἂν ποιῇ καθ' ἡμῶν διὰ τὰς ἡμῶν ἁμαρτίας, ἀναντιῤῥήτως ἐκβήσεται.

« Καθιζάνων βασιλεῖς ἐπὶ θρόνους, καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν. »

Ἀλλὰ καὶ αὕτη τοῦ Θεοῦ ἐξουσία, τὸ μηδένα χωρὶς αὐτοῦ βασιλεύειν. *Καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν.* Ὁ δὲ Σύμμαχος, *Καὶ περιζωννύων αὐτοὺς σχοινίῳ κατὰ λαγόνων*, ἀντὶ τοῦ, καὶ μεταβάλλων αὐτοὺς εἰς οἰκέτας.

« Ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους, δυνάστας δὲ γῆς κατέστρεψε. »

Οὐδὲ γὰρ τῶν ἱερέων φείδεται παρανομούντων, ἀλλὰ τοῖς κακῶς ἄρχουσιν αὐτοὺς συναπόλλυσιν· ἵνα εἴπῃ, ὅτι Καὶ οἱ μέγιστοι παρὰ ἀνθρώποις εἰς οὐδὲν αὐτῷ εἰσιν. Εἰ μὲν οὖν τοὺς οὐκ ὀρθῶς χρωμένους τῇ ἱερωσύνῃ λέγει, δηλοῖ ὅτι οὐδὲ ἐκείνων φείδεται, καιροῦ καλοῦντος· εἰ δὲ τοὺς εἰς δέον χρωμένους τῷ πράγματι, σημαίνει ὅτι καὶ τούτους πολλάκις, ὡς τοὺς περὶ Δανιὴλ καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, εἰς αἰχμαλωσίαν ἐξαποστέλλει Θεὸς, καὶ διὰ τὸ χρήσιμον τοῦ ἄλλου πλήθους· ὅσον γὰρ ἐφ' οἷς ἔπραττον οὗτοι, οὐκ ἦσαν ἄξιοι αἰχμαλωσίαν ὑποστῆναι. Τὸ δὲ, *Δυνάστας γῆς κατέστρεψεν*, ὅμοιον τῷ πρὸ αὐτοῦ, *Κριτὰς δὲ γῆς ἐξέστησε.*

« Διαλλάσσων χείλη πιστῶν. »

Πιστοὺς ἐνταῦθα λέγει, τοὺς ὀφείλοντας ὡς ἀληθεύοντας πιστεύεσθαι· ὅπερ ὁ Σύμμαχος ἐσαφήνισεν, ἐκδοὺς, *Περιτρέπων χείλη ἀπλανήτων*, τουτέστι, καὶ τῶν δοκούντων εἶναι ἀπλανεστάτων τὰς βουλὰς εἰς τοὐναντίον μεθίστησιν, ὡς ἐπὶ τὸν Βαλαὰμ πεποίηκε.

« Ἀνακαλύπτων βαθέα ἐκ σκότους, ἐξήγαγε δὲ εἰς φῶς σκιὰν θανάτου. »

Πρὸς μὲν τὸ ῥητόν· Ὁ καὶ τὰ πᾶσιν ἄδηλα φανε-

[75] Psal. LXXV, 8.

Apud eum, Deum scilicet; ille enim sapientiæ et potentiæ fons est, qui hæc etiam aliis largitur. Et quidem de Deo magnificenter sapere, omnibus hominibus datum est; rerum autem creatarum exactam cognitionem et potestatem super omnes solus Deus habet, omniaque gubernat, non conjectura et ignoratione futuri, sed perfecta uniuscujusque cognitione præditus.

Vers. 14. « Si destruxerit, quis ædificabit? si clauserit contra homines, quis aperiet? »

Omnipotentiæ divinæ ejus certitudinem ratam et indubitatam addidit, juxta Psalmistam : *Tu terribilis es, et quis resistet tibi* [75]? Quod Deus, inquit, sapientia et potestate præditus sit, quod summa cum facilitate cuncta quæ vult operetur, et quod nullus ejus beneplacita irrita facere possit, nemo est qui ignorat. Rerum autem eventus potestatem ejus demonstrant. Si enim mortem alicujus decreverit, quis, quominus illa superveniat, impedire potest? si autem interimere noluerit, sed vita doloribus plena affligere, quis ad solandum idoneus erit? Quæ enim propter peccata nostra contra nos molitus fuerit, absque omni controversia effectum sortientur.

Vers. 18. « Qui collocat reges super sedes, et circumdedit baltheo lumbos eorum. »

Sed et hæc etiam Dei potestas est, quod sine eo nemini regnare concedatur. *Et circumdedit baltheo lumbos eorum.* Symmachus vero : *Et circumcingens eos fune super lumbos*, id est, ex dominis servos eos reddens.

Vers. 19. « Qui emittit sacerdotes captivos, dynastas autem terræ evertit. »

Neque enim improbis sacerdotibus parcit, sed una cum imperium male gerentibus eos perdit; ac si diceret : Qui in summa auctoritate apud homines sunt, in nullo pretio apud eum sunt. Si igitur eos intelligit, qui sacerdotio abutuntur, Deum ostendit neque iis quidem parcere, si temporis ratio postulet : si vero eos qui prout par est munere fungantur, illos etiam significat sæpenumero Deum solere, et quidem propter reliqui populi commodum, in captivitatem ablegare; quod in Daniele et Jesu Josedechi filio factum est, qui propter suas actiones, ut in captivitatem ducerentur non sunt meriti. Illud autem : *Dynastas terræ evertit*, par illi est quod supra dixit : *Judices autem terræ semovit.*

Vers. 20. « Qui permutat labia fidelium. »

Fideles eos hoc loco vocat, quibus tanquam vera dicentibus fides habenda est; quod Symmachus sua interpretatione evidentius sic expressit : *Qui subvertit labia non errantium*, id est, Eorum, qui minime omnium videntur errare, consilia in contrarium convertit, sicut fecit in Balaamo.

Vers. 22. « Qui revelat profunda de tenebris, et produxit in lucem umbram mortis. »

Ad litteram quidem : Qui manifesta facit quæ

Digitized by Google

omnibus sunt obscura, et qui in apertum producit, quæ tenebris involuta erant; vel, qui homines in periculis et morti vicinos conservat; periculum enim *umbram mortis* vocat. Ad sensum vero magis reconditum, prophetice videtur Domini adventum annuntiare, qui *iis qui in vinculis sunt, dixit: Exite, et his qui in tenebris, Revelate vos* [16]; *et apparuit iis qui in tenebris et umbra mortis sedebant* [17].

A ροποιῶν, καὶ τὰ συνεσκιασμένα ἐξάγων εἰς τὸ φανές· ἢ καὶ τοὺς ἐν κινδύνοις, καὶ πλησίον ὄντας θανάτου διασώζων· *σκιὰν γὰρ θανάτου* τὸν κίνδυνον καλεῖ. Πρὸς δὲ διάνοιαν ἔοικε προφητικῶς τὴν τοῦ Κυρίου παρουσίαν καταγγέλλειν, ὃς *εἶπε τοῖς ἐν δεσμοῖς, Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε· καὶ ἐπιφάνη τοῖς ἐν σκάτει καὶ σκιᾷ θανάτου καθημένοις.*

Vers 23. « Decipiens gentes, et perdens eas; sternens gentes, et in viam ducens eas. »

« Πλανῶν ἔθνη, καὶ ἀπολλύων αὐτά· καταστρωνύων ἔθνη, καὶ καθοδηγῶν αὐτά. »

Hoc Israelitis fecit, a recto itinere abducens eos qui ex Ægypto egressi sunt, et mandatis ejus obtemperare noluerunt, quorum cadavera in deserto ceciderunt [18]: filios autem eorum, viam quasi iis sternendo et complanando, in terram promissionis deduxit.

Τοῦτο πεποίηκε τοῖς Ἰσραηλίταις, τοὺς μὲν ἐξελθόντας ἐξ Αἰγύπτου καὶ ἀπειθήσαντας πλανήσας, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ· τὰς δὲ τούτων υἱοὺς B καθοδηγήσας ἐν τῇ γῇ τῆς ἐπαγγελίας, ἐν τῷ οἷον καταστρῶσαι καὶ ἐξομαλίσαι αὐτοῖς τὴν ὁδόν.

Vers. 24. « Permutans corda principum terræ, errare fecit eos in via quam non noverant. »

« Διαλλάσσων καρδίας ἀρχόντων γῆς, ἐπλάνησε δὲ αὐτοὺς ἐν ὁδῷ ᾗ οὐκ ᾔδεισαν. »

Olymp. et *Polychr.* Simile quiddam etiam in Psalmis dictum est: *Reprobat cogitationes populorum, et reprobat consilia principum* [19]. Theodotio vero, pro *permutans*, reddidit, *transferens;* Symmachus, *evertens;* et Aquila, *removens*, in uno sensu omnes tres convenientes, ac si diceret: Non tantum plebem in fugam vertit, sed viros etiam fortes, et qui reliquis imperare videntur: quod et Sedechiæ contigerat, qui manus contra barbarum attollere non poterat, sed in primo congressu terga dedit. Horum autem meminit, tanquam quæ rebus præsentibus C accommodari possent; ita enim et vocum harum commodus et opportunus usus melius elucesceret. Deinde enarrans ea, quæ necessario fuga sibi consulentibus evenire solent, subjungit:

Θλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ὅμοιόν τι καὶ ἐν Ψαλμοῖς εἴρηται, *Ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων*. Θ μέντοι Θεοδοτίων τὸ, *διαλλάσσων*, *μεθιστῶν*, φησίν· ὁ δὲ Σύμμαχος, *παρατρέπων*· ὁ δὲ Ἀκύλας, *ἀφιστῶν*, εἰς μίαν οἱ τρεῖς ἐρχόμενοι ἔννοιαν· ὡς εἰ λέγει, Οὐ μόνον τοὺς πολλοὺς εἰς φυγὴν τρέπει, ἀλλὰ καὶ τοὺς ἀνδρείους, καὶ τῶν λοιπῶν ἄρχειν δοκοῦντας· οἷον δή τι καὶ ἐπὶ Σεδεκίου γέγονεν, οὐδ' ἀντᾶραι χεῖρας τῷ βαρβάρῳ δυνηθέντος, ἀλλὰ διαδράντος καὶ πρὸς τὴν ἔφοδον μόνην. Μέμνηται δὲ τούτων, ὡς δυναμένων ἐπὶ πραγμάτων ἁρμοσθῆναι· οὕτω γὰρ καὶ τὸ καίριον τῶν φωνῶν τούτων δειχθήσεται. Εἶτα καὶ τὰ τοῖς φεύγουσιν ἐξ ἀνάγκης συμβαίνοντα διηγούμενος, φησί·

« Palpent tenebras, et non lucem; errent autem tanquam ebrius. »

« Ψηλαφήσαισαν σκότος, καὶ μὴ φῶς· πλανηθείησαν δὲ ὥσπερ ὁ μεθύων. »

* Ac si diceret, Illi, quod ad res propositas agendas attinet, nihil ab iis differunt, qui luce orbati in tenebris et caligine versantur; et calamitatum magnitudine victi, ab iis qui crapula circumaguntur, in nullo discrepant. Illud enim, *Palpent tenebras*, et, *Errent*, optantis non est, sed eventum innuit, hoc est, palpant et oberrant.

* Ἵνα εἴπῃ, Οὐδὲν οἱ τοιοῦτοι διαλλάττουσι, τῶν ἐν ζοφερῷ σκότει ἀφαιρουμένων τὸ φῶς, πρὸς τὴν τῶν προκειμένων πρᾶξιν· καὶ ὑπὸ τοῦ μεγέθους δὲ τῶν συμφορῶν, οὐδὲν τῶν ὑπὸ κραιπάλης περιφερομένων διοίσουσι [*ἴσ.* διαφέρουσι]. Τὸ γὰρ, *Ψηλαφήσαισαν σκότος*, καὶ, *Πλανηθείησαν*, οὐκ εὐκτικῶς λέγει, ἀλλὰ τὸ συμβαῖνον [*ἴσ.* add. δηλοῖ], τουτέστι, ψηλαφῶσι, καὶ πλανῶνται. D

CAP. XIII.

ΚΕΦ. ΙΓ'.

Vers. 1. « Ecce hæc vidit oculus meus, et audivit auris mea, et novi quæcunque et vos scitis, et non sum minus intelligens quam vos. »

« Ἰδοὺ ταῦτα ἑώρακέ μου ὁ ὀφθαλμὸς, καὶ ἀκήκοέ μου τὸ οὖς, καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίστασθε, καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν. »

Olympiodori et *Polychronii*. Hæc, inquit, ipsa experientia didici, et aliis dicentibus audivi, id est, de Deo ex rebus ipsis intellexi, et doctrina accepi, et institutus sum: et licet ætate minor vobis videar, prudentia tamen, et maxime rerum divinarum cognitione, nequaquam superor, nec vobis in his ulla ratione inferior sum.

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ταῦτα, φησὶ, καὶ αὐτῇ τῇ πείρᾳ ἔγνων, καὶ λεγόντων ἑτέρων ἤκουσα, τουτέστι, καὶ ἐκ τῶν πραγμάτων κατέλαβον, καὶ διδαχῇ παρέλαβον, καὶ ἐπαιδεύθην περὶ Θεοῦ· καὶ εἰ τῇ ἡλικίᾳ ἐλάττων ὑμῶν εἶναι δοκῶ, ἀλλ' οὐδὲν εἰς σύνεσιν λείπομαι, καὶ οὐχ ἥκιστα εἰς τὴν τῶν Θείων εἴδησιν, κοὐδὲν ὑμῶν εἰμι περὶ ταῦτα καταδεέστερος.

[16] Isa. xlix, 9. [17] Luc. i, 79. [18] Num. xiv, 29. [19] Psal. xxxii, 10.

Digitized by Google

« Οὐ μὴν δὲ ἀλλ' ἐγὼ πρὸς Κύριον λαλήσω. »

Ὁρᾷς ὡς ἐπὶ τοῦ δικαίου κριτοῦ, καὶ τοῦ τῶν ψυχῶν ἰατροῦ, βούλεται τὰ καθ' ἑαυτὸν ἐξετασθῆναι, θαρρῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, ὡς τῶν φίλων καὶ σφαλλομένων, καὶ ἀντὶ θεραπείας φαρμάκων καὶ λόγων παρακλήσεως, ἐπιτριβόντων αὐτῷ τῷ τραύματα.

« Ἐλέγξω δὲ ἐναντίον αὐτοῦ, ἐὰν βούληται. »

Ἀντὶ τοῦ, Ἀποδείκνυμι τὰ κατ' ἐμαυτόν, εἰ καθ' ὑπόθεσιν τοῦτο θέλει καὶ ἐπιτρέπει· οἶδα γὰρ ὅτι αὐτὸς τὴν αἰτίαν τῆς κακώσεως ἐπίσταται. Ὅμοιον τούτῳ τὸ, *Ἄρτι γὰρ ἀνθρώπους πείθω;* καὶ τὸ, *Ὁ δὲ ἀναχλίνων με Κύριός ἐστιν.* Ἐὰν οὖν ὁ Θεὸς, φησὶν, ἐπιτρέψῃ μοι, αὐτοῦ δικάζοντος, ἐλέγξω ὑμᾶς ψευδομένους, οἳ τὰς νόσους τῶν καμνόντων [1] ἐπιτρίβετε, ψευδόμενοι παρουσίας τὴν ἐπαγγελίαν· ἀλλὰ καὶ τὴν πρὸς ὑμᾶς ἄμιλλαν παρήσω· εἰ δὲ Θεὸς βούλοιτο κρίνειν τὰς ἐμὰς πράξεις, ὑποστήσομαι τὴν δικαιολογίαν.

« Εἴη δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀποβήσεται ὑμῖν σοφία. »

Χρυσοστόμου καὶ *Ὀλυμπιοδώρου.* Ὅταν γάρ τις τὰ μὴ λόγον ἔχοντα φθέγγηται, βέλτιον σιγᾷν, καὶ σιωπῶν μᾶλλον ἔσται σοφὸς, ἢ λέγων. Καλὸν γὰρ τοὺς τοιούτους σιωπᾷν, ἢ τοιούτοις ἐνάλλεσθαι ῥήμασιν· ἡ μὲν γὰρ σιωπὴ τούτων ὑπόνοιαν ἔχει σοφίας· ἐννοῶν γάρ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι· ἡ δὲ λαλιὰ παροξύνει τὸν πάσχοντα. Καὶ σὺ τοίνυν, ὦ φιλόθεε, ἐν τοῖς τοιούτοις λόγοις μὴ σαλεύου, μιμοῦ δὲ μᾶλλον τοὺς ἁγίους, εἰδὼς ὅτι σατανικαί εἰσιν αὗται ὑποβολαὶ, καὶ διάβολός ἐστιν ὁ ἐνεργῶν ἐν τοῖς ὀνειδίζουσιν, ἵνα σε τῆς πίστεως ἀφελκύσῃ, καὶ τῆς προθέσεως παύσῃ τῆς ἀγαθῆς. Οἶδε γὰρ ὁ πανοῦργος, ὅτι ὁ μὲν πόνος οὐδέν σε βλάπτει, ἀλλὰ μᾶλλον συνίστησι παρὰ τῷ Θεῷ· τὸ δὲ παύσασθαι τῆς προθέσεως, τοῦτο μεγάλως βλάπτει. Ὅσῳ οὖν μεγάλως σε πειράζει, τοσούτῳ μᾶλλον πρόκοπτε τῇ ἀρετῇ· καὶ ὅτῳ ὀλιγωρεῖν σε βιάζεται, τοσούτῳ μᾶλλον μακροθύμει, καὶ ὑπόμενε, καὶ λέγε, *Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου.* Ἂν οὕτω κραταιωθῇς πρὸς τοὺς πειρασμοὺς, ὁ μὲν διάβολος ἀποστραφήσεται εἰς τὰ ὀπίσω κατηισχυμμένος, μνημονεύσει δέ σου ὁ τῶν ὅλων Δεσπότης, καὶ ἀναψύξει μὲν ὧδε διττῶς, ἀκούσῃ δὲ μετὰ ταῦτα, *Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω.* Μνήσθητι τῆς ὑπομονῆς τοῦ Ἰὼβ, τοῦ μήτε ἐν εὐθηνίᾳ [2], μήτε ἐν πειρασμῷ περιτραπέντος, τοσαῦτα ἐν ἑκάστῳ πράγματι μακροθυμήσαντος καρτερῶς, ἕως ἂν ἀπολάβῃ διπλᾶ παρὰ Θεοῦ, καὶ μαρτυρηθῇ μέχρι νῦν, ὅτι πέπονθεν, ἵνα φανῇ δίκαιος τοῖς πᾶσιν.

A VERS. 3. « Verumtamen ego ad Dominum loquar. »

Vides quemadmodum amicis errore lapsis, et pro pharmacorum medela ac verbis consolatoriis, vulnus refricantibus, justo Dei judicio fretus, a justo judice et animarum medico, causam suam examinari velit.

« Et arguam in conspectu ejus, si voluerit. »

Id est : Causam meam plane aperiam, hoc supposito, quod ille voluerit et permiserit : novi enim quod afflictionis meæ causa illi non incognita sit. Simile huic est illud : *Modo hominibus suadeo* [80] ? et, *Qui autem judicat me, Dominus est* [81]. Si Deus igitur, inquit, permiserit, illo judice, mendacii vos arguam, qui adventus vestri professionem ementiti, B laborantis ægritudines vehementius irritatis : sed vobiscum contendere desinam ; Dei autem justum judicium, si actiones meas judicare voluerit, libens subibo.

VERS. 5. « Sit autem vobis obmutescere, et evadet vobis sapientia. »

Chrysost. et *Olymp.* Quando quis ea quæ a ratione aliena sunt loquitur, silere melius est, et tacendo potius quam loquendo sapiens erit. Tacere enim id genus hominibus melius est, quam ejusmodi verbis aliis insultare : eorum quippe silentium sapientiæ opinionem præbet : sapiens enim videbitur, qui mutum se præstiterit : loquacitas autem eum qui adversa patitur exacerbat. Tu igitur qui Deum amas, noli his verbis labefactari, sed sanctos potius C imitare, suggestiones has Satanæ esse certo tibi persuadens; et quod diabolus sit qui in calumniatoribus operetur, ut te a fide avellat, et de recto instituto dimoveat. Novit enim veterator callidus, dolorem et molestiam te non lædere, sed Deo magis commendatum reddere; a bono autem proposito desciscere, illud esse quod summopere tibi officiat. Quanto igitur magis tentationibus te adoritur, tanto majores in virtute progressus facito; quantoque magis ad socordiam te compellit, tanto magis cum animi tolerantia et patientia ferto, ac dicito : *Hæc omnia venerunt super nos, nec obliti sumus te* [82]. Si hac ratione contra tentationes animum obfirmaveris, diabolus quidem pudore suffusus retro abibit, D Dominus autem universi tui recordabitur, et in hac vita dupliciter te refrigerabit; posthæc autem audies : *Euge, serve bone et fidelis ; super pauca fuisti fidelis, super multa te constituam* [83]. Jobi patientia in mentem tibi veniat, qui neque in prospera fortuna, neque in tentationibus perculsus fuit; sed in utraque sorte multa et gravia fortis animo patienter tulit, donec a Deo dupla recepisset, et testimonium hoc in hodiernum diem ei datum fuisset, quod ærumnas passus fuerit, ut justus omnibus appareret.

[80] Galat. I, 10. [81] I Cor. IV, 4. [82] Psal. XLIII, 18. [83] Matth. XXV, 21.

VARIÆ LECTIONES.

[1] *Isc.* τοῦ κάμνοντος. [2] *gr.* εὐθυμίᾳ.

Digitized by Google

Vers. 7, 8. « Nunquid non coram Domino loquimini? et ante conspectum ejus profertis dolum? an subtrahetis vos? »

Docendo eos quod Deus omnia intueatur quæ proferunt, initium reprehensionis facit; imo ut a sanniorem mentem redeant, ac talem affectum deponant, quippe qui Dominum inspectorem habeant, dolum etiam quem animo versant, illo inspectante adhiberi narrat, dicitque : Nonne animo vobiscum reputatis, Deum sermones vestros audire? Quomodo igitur, audiente illo, quod falsum est eloqui audetis? An subdole et mala fide agentes, eum latebitis? Hoc enim vult illud : *An subtrahetis vos?* id est, Num eum celare potestis? Theodotio vero reddidit : *An personam ejus sustinetis?* Hebræus autem dixit : *Verecundamini*, id est, Contra Deum loqui B veremini, ac proinde in gratiam ejus dicitis. Vos igitur qui Deo patrocinari videmini, vobis ipsis attendite, ne alia et diversa ab eis quæ de me nostis, falso mihi affingentes, sermonibus vestris contraria decernatis; pro Deo enim loquimini veritatem simulantes : hypocrisin enim et simulationem *dolum* hoc loco vocavit.

« Vos autem ipsi judices sitis : [Vers. 9, 10] bonum enim si investiget vos : si enim omnia facientes adjiciemini ei, nihilominus arguet vos. »

Olympiod. et *Polychr.* Vos judices estote, annon vera sint quæ dico, quod Deus, scilicet, qui judex est incorruptus, si diligentius in vos inquisierit, quamvis millies pro eo loqui videamini, et licet C multo plura quam quæ adhuc dicta sunt in medium afferatis, ac ulterius verbis illi gratificari pergatis, subdolum animi vestri affectum arguendo, et mendaces vos, non secus ac si contra eum verba fecissetis, ostendendo, calculo suo vos condemnaturus sit : ita ut mihi prosit vestra exploratio, vobis autem non item. Vide autem, quemadmodum ubique justus mendacium vituperet, licet etiam pro Deo quispiam loqui videatur. Quare ipse quæ mente concipit, cum veritate et libertate effatur; unde et Deus, qui est ipsa veritas, eum laudat et probat. Amicos igitur mentientes alloquitur : Vos judices statuo; dicite, an lucrum aliquod reportaturi sitis, si Deus sermones vestros examinaverit? an potius non in damnum vestrum res cessura sit, siquidem ille si- D mulationem et mendacium abominatur?

« Quod et si occulte personas mirati fueritis, [Vers. 11, 12] nonne turbo ejus versabit vos? » [*Symmachus autem*, « An occulte personam ejus verebimini? nunquid non commotio ejus exterrebit vos? »] Timor autem ab eo cadet super vos, evadet autem elatio vestra tanquam cinis, corpus autem luteum. »

Sensus verborum Jobi hic est : Licet, inquit, Deo gratificantes, et tanquam personam ejus reveriti, A « Πότερον οὐκ ἐναντι Κυρίου λαλεῖτε; ἐναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον; ἢ ὑποστελεῖσθε; »

Ἀπάρχεται τοῦ ἐλέγχου, διδάσκων αὐτούς, ὅτι πᾶν ὃ προφέρουσιν, ὁρῶντος τοῦ Θεοῦ φθέγγονται, ἀλλὰ καὶ τὸν δόλον ὡς κατέναντι αὐτοῦ προσφερόμενον αὐτοῖς ἀπαγγέλλει διορθώσεως ἕνεκεν, ἵνα παύσωνται τῆς τοιαύτης διαθέσεως, ὡς ἔχοντες τὸν ἐφορῶντα Κύριον, καί φησιν· Οὐκ ἐννοεῖτε ὅτι ὁ Θεὸς ἐπακούει τῶν λόγων ὑμῶν; Πῶς οὖν τολμᾶτε εἰς ἐπήκοον αὐτοῦ παρὰ τὸ ἀληθὲς φθέγγεσθαι; ἢ λήσετε [x] αὐτὸν ῥᾳδιουργοῦντες; Τοῦτο γὰρ τὸ, *Ἢ ὑποστελεῖσθε;* τουτέστιν, Ἆρα δύνασθε κρύψαι αὐτόν; Ὁ δὲ Θεοδοτίων, *Ἢ πρόσωπον αὐτοῦ λαμβάνετε;* Ὁ δὲ Ἑβραῖος, *Δυσωπεῖσθε*, λέγει, τουτέστι, δεδοίκατε κατὰ Θεοῦ λέγειν, καὶ διὰ τοῦτο πρὸς χάριν λέγεται [x]. Σκοπήσατε οὖν τὰ καθ' ἑαυτοὺς ὑμεῖς οἱ δοκοῦντες Θεῷ συνηγορεῖν, εἰ μὴ τὰ ἐναντία τοῖς λόγοις τῇ γνώμῃ ψηφίσησθε, ἀλλὰ μὲν περὶ ἐμοῦ εἰδότες, ἕτερα δὲ καταψευδόμενοι· ὑπὲρ γὰρ τοῦ Θεοῦ λαλεῖτε σχηματιζόμενοι τὸ ἀληθές· *δόλον* γὰρ τὴν ὑπόκρισιν ἐκάλεσεν.

« Ὑμεῖς δὲ αὐτοὶ κριταὶ γίνεσθε· καλὸν γὰρ ἐὰν ἐξιχνιάσῃ ὑμᾶς· εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ, οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς. »

Ὀλυμπιοδώρου καὶ Πολυχρονίου. Ὑμᾶς, φησί, κρίνατε εἰ μὴ ἀληθῆ λέγω, ὅτι ἐὰν τὰ καθ' ἡμᾶς [y] ἀναζητήσῃ Θεὸς, κἂν μυριάκις ὑπὲρ αὐτοῦ λαλεῖν δοκῆτε, κἂν πολυπλασίονα τῶν εἰρημένων, κἂν πέρα τούτων προσχαρίσησθε αὐτῷ, ἀδέκαστος ὢν τὴν κρίσιν, οἵσει τὴν καθ' ὑμῶν ψῆφον, ἐλέγχων τῆς γνώμης τὸ ὕπουλον, καὶ δεικνὺς ψευδομένους οὐδὲν ἧττον, ἢ εἰ κατ' αὐτοῦ ἐλέγετε· ὥστε συμφέρει [z] μοι τὸ ἐξετασθῆναι ὑμᾶς, ὑμῖν δὲ οὐκ ἀγαθόν. Ἐπιτήρει δὲ, ὡς πανταχοῦ μέμφεται τὸ ψεῦδος ὁ δίκαιος, κἂν ὑπὲρ Θεοῦ τις λέγειν δοκῇ. Διόπερ αὐτὸς ἃ φρονεῖ, σὺν ἀληθείᾳ καὶ μετὰ παῤῥησίας διαλέγεται· ἐφ' ᾧ καὶ Θεὸς αὐτὸν ἀποδέχεται, αὐτὸς ὢν ἡ ἀλήθεια. Φησὶ γοῦν πρὸς τοὺς φίλους ψευδομένους· Ὑμᾶς αἱροῦμαι κριτὰς, εἴπατε, μή τι ἀγαθόν ἐστιν [zz], ἐὰν τοὺς ὑμετέρους λόγους ὁ Θεὸς ἐξετάσῃ; ἢ πάντως, οὐ πρὸς καλοῦ [a] ὑμῖν ἐστι [b] τὸ πρᾶγμα, εἴπερ αὐτὸς μισεῖ τὴν ὑπόκρισιν καὶ τὸ ψεῦδος;

« Εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε, πότερον οὐχ ἡ δίνη αὐτοῦ στροβήσει ὑμᾶς; » [Ὁ δὲ Σύμμαχος, « Μὴ κρύφα πρόσωπον αὐτοῦ δυσωπηθήσεσθε; μὴ οὐχὶ ἡ κίνησις αὐτοῦ πτοήσει ὑμᾶς; »] « Ὁ φόβος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν, ἀποβήσεται δὲ ὑμῶν τὸ γαυρίαμα ἴσα σποδῷ, τὸ δὲ σῶμα πήλινον. »

Ὁ δὲ νοῦς τῶν τοῦ Ἰὼβ ῥημάτων τοιοῦτος· Εἰ καὶ χαριζόμενοι, φησὶ, τῷ Θεῷ, καὶ ὥσπερ αἰδούμενοι

VARIÆ LECTIONES.

[x] *Ισ.* λάσεσθε. [x] *Ισ.* λέγετε. [y] *Ισ.* ὑμᾶς. [z] *Ισ.* συμφέρειν. [zz] *Ισ.* ἔσται. [a] *Ισ.* κακοῦ. [b] *Ισ.* ἔσται.

Digitized by Google

αὐτοῦ τὸ πρόσωπον, κρυφίως λαλεῖτε, ἄλλα μὲν ἔχοντες κατὰ διάνοιαν, ἕτερα δὲ φθεγγόμενοι, ἆρα οὐχὶ ἡ συστροφὴ καὶ ἡ ἔτασις (τοῦτο γάρ ἐστιν *ἡ δίκη αὐτοῦ*) περιτρέψει [e] ὑμᾶς καὶ φοβήσει, καὶ ἡ μεγαλαυχία ὑμῶν καὶ τὸ οἴημα ταπεινωθήσεται, καὶ ἡ μετὰ τὴν ὀργὴν ὑμῶν κατάστασις τῶν λαθραίως κρινόντων, καὶ διὰ τοῦτο εὐτελιζομένων, οὐδὲν ἕτερον ἀποδειχθήσεται ἢ σποδὸς, καὶ ὅτι οὐδὲν ἄλλο, ἢ πηλὸς τυγχάνετε; ἀντὶ τοῦ, Ἀλαζονεύεσθε τέφρα ὄντες; καὶ πηλὸς, καὶ ἀσύγγνωστοι πρὸς τὰ ἐπενεχθέντα μοι δεινὰ καθεστήκατε, ἐκτὸς ὑπάρχοντες συμφορῶν, καὶ οὐδὲ τὸ πολλοστὸν τῶν ἐμῶν παθημάτων ὑπομεῖναι δυνάμενοι.

« Κωφεύσατε ἵνα λαλήσω, καὶ ἀναπαύσωμαι θυμοῦ, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσιν. »

Ἄγετε, φησὶν, ἡσυχίαν, καὶ σιωπῶντες ἀκούσατέ μου, ὡς ἂν φθεγξάμενος λάβω τινὰ παραψυχὴν τῆς ἐπικειμένης ὀδύνης, καὶ ἀναπαύσωμαι, παραμυθούμενος διὰ τῶν λόγων τὸ πάθος. Τοῦτο γὰρ ἴσως δηλοῖ τὸ, *Ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι*, τουτέστι, Στένων μὲν καὶ ὀδυνώμενος διαλεχθήσομαι. Λαλήσω δ' ὅμως, μίαν παραμυθίαν τῶν πόνων ἡγούμενος τὸ περὶ τῶν κατ' ἐμαυτὸν μετὰ παῤῥησίας διαλεχθῆναι, τὸ τὰ παθήματά μου ἐξαγορεῦσαι τῷ στόματί μου.

« Ψυχὴν δέ μου θήσω ἐν χειρί. Ἐάν με χειρώσηται ὁ δυνάστης, ἐπεὶ καὶ ἤρκται, ἢ μὴν λαλήσω, καὶ ἐλέγξω ἐναντίον αὐτοῦ. »

Τίθημι, φησὶ, τὴν ἐμὴν ψυχὴν εἰς ἐνέχυρον, ἕτοιμος ὢν ἡδέως τὴν ὑπὲρ τῶν λόγων ὑπομένειν δίκην, κἂν ἀνελεῖν θέλῃ ὁ ἀρξάμενός με βασανίζειν Θεός· εἰ μὴ γὰρ τ' ἀληθῆ φθέγγομαι, ἕτοιμός εἰμι ὑπομένειν ὅ τι ἂν τῷ Θεῷ δοκεῖ· πλὴν οἶδα ὅτι διελέγξω ψευδομένους.

« Ἰδοὺ, ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου, οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι. Τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι, ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω; »

Πολυχρονίου καὶ *Ὀλυμπιοδώρου*. Διδασκαλίας ἀρχὴν τοῖς φίλοις καὶ νῦν καταβάλλεται, παιδεύων ὅτι οὐ δι' ἁμαρτίας πάσχει, καί φησιν, Ἰδοὺ εἰς κρίσιν καθίσταμαι, θαῤῥῶν τοῖς ἐμαυτοῦ δικαίοις· καὶ τῆς παῤῥησίας τὴν αἰτίαν διδάσκων, ἐπάγει, *Τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι*, ὡς ἠδικημένος δηλαδή τι παρ' ἐμοῦ; Τίς ὁ ἐλέγξων ἐφ' ἁμαρτίας, ἵνα δείσας ἡσυχίαν ἀγάγω; Τὸ γὰρ *ἐκλείψω*, ἀντὶ τοῦ, κωλυθήσομαι λαλεῖν· ὁ γοῦν Ἑβραῖος, *Ἵνα μὴ λαλήσω*, ἔχει. Οὐκ ἀλαζονείᾳ δὲ τοῦτό φησιν, ἀλλὰ πρὸς τὸ παιδεῦσαι αὐτοὺς, μὴ ἑτέραν παρὰ τὴν ἀληθῆ διάληψιν ἔχειν περὶ αὐτοῦ. Ἔσθ' ὅτε γάρ τις περὶ ἑαυτοῦ λέγει χρηστὰ, μὴ προθέμενος τοῦτο ποιεῖν, ὅταν ἄλλως ᾖ διακείμενός τι περὶ αὐτοῦ. Φέρε γάρ, εἴ τις ἐγκεχειρισμένος τινὰ διακονίαν εἰς τοὺς δεομένους ἀποπληρῶσαι, διαβάλλοιτο ὡς σφε-

A alia mente gerentes, alia lingua proferentes, tacite loquamini, nonne contorsio, et inquisitio, vel supplicium (id enim est *turbo ejus*) terrebit vos et circumaget; et arrogantia vestra et gloriatio humiliabitur, iraque ejus accensa, corporis vestri constitutio (qui clandestina judicia exercebatis, ac propterea in contemptum abiistis) pulvis et cinis esse monstrabitur, et quod nihil aliud præterquam lutum exsistatis? ac si diceret: Cinis et lutum exsistentes, insolenter gloriamini, et extra calamitates constituti, nec minimam malorum meorum partem sustinere valentes, veniam nullam ærumnis meis tribuitis.

Vers. 13, 14. « Obmutescite ut loquar, et requiescam ab ira, apprehendens meas carnes dentibus meis. »

B Quieti, inquit, estote, et silentium agentes aures mihi præbete, ut loquendo instantis doloris solatium aliquod inveniam, et verbis ægritudinem leniens, requiescam. Hoc enim illud fortasse significat: *Apprehendens carnes meas dentibus meis*, id est: Cum gemitu quidem et dolore disseram: loquar tamen, unicum ærumnarum mearum solatium esse existimans, de rebus meis libere posse disserere, et ore meo mala quæ sustineo, proferre.

« Et animam meam ponam in manu. [Vers. 15.] Licet opprimat me qui potens est, quoniam et cœpit, tamen loquar, et coram eo arguam. »

C Animam, inquit, meam pignori oppono, paratus libenti animo pro verbis meis supplicium subire, licet interimere me voluerit Deus, qui tormentis me explorare cœpit: si enim vera non sint quæ loquor, quidquid Deo visum fuerit, pati non recusabo; novi autem quod mendaces redarguam.

Vers. 18, 19. « Ecce ego appropinquo judicio meo, novi ego quod justus apparebo. Quis est enim qui judicium sit facturus mihi, quia nunc obmutescam et deficiam? »

Polychronii et *Olympiodori*. Nunc etiam docendi fundamentum jacit, et propter peccata se minime adversa pati, amicos instruere incipit: Ecce, inquit, æquitate causæ meæ fretus, in judicio me D sisto: et libertatis suæ in loquendo causam ostendens, subjungit: *Quis enim est qui judicium sit facturus mihi*, quasi injuria aliqua a me læsus? Quis peccati arguet, ut præ formidine silentium agam? Illud enim, *Deficiam*, idem est ac, loqui prohibebor: Hebræus habet, *Ut ne loquar*. Hoc autem non per arrogantiam dicit, sed ut amicos erudiat, ne falsam de eo opinionem fovere velint. Accidit enim aliquando, ut præclara de se quispiam loquatur, quod in initio facere minime proposuerat, cum alium male erga se affectum offendit. Exempli gratia, si quis, cui provincia pauperibus ministrandi incum-

VARIÆ LECTIONES.

[e] γρ. περιτρέχει.

Digitized by Google

bit, ab alio traducatur, tanquam in suum usum, quod illis erogandum erat, interverterit; si sub apologiæ forma dicat, quod etiam sua indigentibus dederit, cum prius hoc ab eo dictum non fuerit, vitio illi nequaquam vertimus. Ita neque Jobus accusandus est, qui nullo sui amore, sed propter causam prædictam, cum pura confidentia locutus est : *Scio quia justus apparebo*, in veritate divina et justo Dei judicio fiduciam collocans, coram quo etiam verba facio; idcirco *non deficiam*, id est, non silebo, et silentio reum me et inexcusabilem faciam, quasi nulla causæ meæ defensio mihi superesset.

A τεριζόμενος, οὐκ ἂν αὐτὸν αἰτιασώμεθα, ἐν ἀπολογίας εἴδει λέγοντα, ὅτι Καὶ τὰ ἐμὰ παρέσχον τοῖς δεομένοις, πρότερον τοῦτο μὴ εἰρηκότα. Οὕτως οὐδὲ τὸν Ἰὼβ αἰτιατέον, οὐ φιλαυτίας, ἀλλὰ τῆς εἰρημένης αἰτίας ἕνεκα, μετὰ παῤῥησίας καθαρᾶς λέγοντα, *Οἶδα ὅτι δίκαιος ἀναφανοῦμαι*, πιστεύων τῇ τοῦ Θεοῦ ἀληθείᾳ καὶ δικαιοκρισίᾳ, ἐφ' οὗ καὶ φθέγγομαι· διὸ *οὐδὲ ἐκλείψω*, τουτέστιν, οὐ σιωπήσω, κἀντεῦθεν ὑπόδικον ἐμαυτὸν ποιήσω καὶ ἀναπολόγητον, ὡς ἐκλειπουσῶν μοι δικαιολογιῶν.

Vers. 20. « Duo autem mihi præbeas, tunc a facie tua non abscondar. »

« Δυεῖν δέ μοι χρήσῃ, τότε ἀπὸ τοῦ προσώπου σου οὐ κρυβήσομαι. »

Ad Deum sermonem convertit : Si duo hæc mihi concesseris, libere apud te loquar, nemo enim hominum me redarguet; tecum vero, metu sepositio, libenter disseram. Aquila autem et Theodotio pro illo, *Duo autem mihi præbeas*, reddiderunt, *Tantummodo duo ne facias mecum*. Hebræus autem pro eo, *A facie tua non abscondar*, habet, *non declinabo*, id est, Ex adverso tibi in judicio occurram, si duas has res mihi largitus fueris. Quasnam?

Πρὸς Θεὸν ἔτρεψε τὸν λόγον· Ἐὰν τὰ δύο ταῦτα παράσχῃς μοι, παῤῥησιάσομαι πρὸς σὲ, ἀνθρώπων μὲν γὰρ οὐδεὶς ἐλέγξει, πρὸς σὲ δὲ δίχα ὑποστολῆς διαλέξομαι ἀσμένως. Ὁ μέντοι Ἀκύλας καὶ ὁ Θεοδοτίων ἀντὶ τοῦ, *Δυεῖν δέ μοι χρήσῃ, Πλὴν δύο μὴ ποιήσῃς μετ' ἐμοῦ*, ἐξέδωκαν. Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, *Οὐ κρυβήσομαι ἀπὸ τοῦ προσώπου σου, οὐκ ἐκκλινῶ*, ἔχει, τουτέστιν, Ἐξ ἐναντίας σοι εἰς κρίσιν ἐλεύσομαι, ἐὰν τὰ δύο μοι ταῦτα παράσχῃς. Τίνα δή;

Vers. 22. « Deinde vocabis, ego autem tibi obediam; aut loqueris, ego autem tibi dabo responsum. »

« Εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι· ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν. »

Reliqui vero planius interpretati sunt, *Loquar, et respondebis mihi*. Si hæc, inquit, a te consecutus fuero, teque animo benevolo erga me esse affectum cognovero, vitæ meæ anteactæ rationem exigito, et reddere me promptum invenies, et rogatus, ad causæ meæ defensionem me accingam. Pluribus autem suam fiduciam in Deum manifestam reddit, ut hac ratione amicos ad veram de se opinionem alliciat. Quod enim calamitates minui sibi et levari suppliciter oraverit, et absque metu Deum allocutus fuerit, et judicio cum eo contenderit, justum eum esse evidenter ob oculos ponit.

Οἱ δὲ λοιποὶ σαφέστερον ἐξέδωκαν, *Λαλήσω, καὶ ἀποκρίνῃ μοι*. Εἰ ταῦτα, φησὶν, ὑπάρξει μοι παρὰ σοῦ, καὶ γνῶ ὅτι εὐμενῶς διάκεισαί πρός με, ἀπαίτησον τῶν βεβιωμένων εὐθύνας, καὶ ὑπέχω τὸν λόγον, καὶ ἐρωτώμενος εἰς ἀπολογίαν ἔρχομαι. Διὰ πλειόνων δὲ τὴν πρὸς τὸν Θεὸν ἑαυτοῦ παῤῥησίαν γνωρίζει, ἵν' ἐν τούτῳ ἀγάγῃ τοὺς φίλους εἰς τὴν ἀληθῆ περὶ αὐτοῦ διάληψιν. Τὸ γὰρ ἱκετεύειν κουφισθῆναι, καὶ ἀφόβως εἰπεῖν, καὶ δικαιολογήσασθαι πρὸς Θεὸν, παραστατικόν ἐστι τοῦ εἶναι αὐτὸν δίκαιον.

Vers. 26. « Quoniam scripsisti contra me mala, et imposuisti mihi peccata juventutis. »

« Ὅτι κατέγραψας κατ' ἐμοῦ κακὰ, περιέθηκας δέ μοι νεότητος ἁμαρτίας. »

Scripsisti mala, id est, Peccata mea omnia a juventute adnotasti, ne ex memoria tua unquam deleantur. Hæsitans enim, et eorum quæ ei contigerant causam non reperiens, animum in omnes partes versat; cumque nullorum peccatorum, quæ virili et firmata ætate admisisset, conscius sibi esset : Num, inquit, eorum quæ adolescens exsistens commiseram, pœnas nunc a me exigis? Vides quemadmodum peccatorem se agnoscat, et propter ætatem veniam obtinere, vel etiam propter ætatem peccatorem se ostendere velit.

Κατέγραψας κακὰ, ἀντὶ τοῦ, Ἀπεσημήνω πᾶν εἴτι καὶ ἥμαρτον ἐκ νεότητος, ὥστε εἶναί σοι ἀείμνηστον. Ὡς γὰρ ἀπορῶν, καὶ οὐκ ἔχων αἰτίαν εὑρεῖν τῶν γεγενημένων, πανταχόσε περιάγει τὸν λογισμὸν, καὶ μὴ συνειδὼς ἑαυτῷ ὡς τελείῳ ἀνδρὶ ἁμαρτήματα, φησί· Μήποτε ὢν ἔπραξα μειράκιον ἔτι ὤν, ἐκείνων με νῦν δίκην εἰσπράττῃ; Ὁρᾷς, πῶς οἶδεν ἑαυτὸν ἁμαρτωλὸν, καὶ ἀπὸ τῆς ἡλικίας; βούλεται τυχεῖν συγγνώμης, ἢ καὶ ἀπὸ τῆς ἡλικίας δεῖξαι ἑαυτὸν ἁμαρτωλόν.

« Et posuisti in impedimento pedem meum. »

« Ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι. »

Polychronii et *Olymp.* Aquila, et Symmachus, ille quidem, *In angustia et miseria, sicut sub ligno carceris*, ille vero, *In cippo*, transtulit. Metaphoræ autem insistit; cum enim dixisset, *Scripsisti contra me*, et supplicio me addixisti, et pro peccatis quæ in adolescentia commisi pœnas exigis, subjun-

Πολυχρονίου καὶ *Ὀλυμπιοδώρου*. Ἀκύλας δὲ καὶ Σύμμαχος, ὁ μὲν, *ἐν ταλαιπωρίᾳ, ὡς ὑπὸ ξύλον εἱρκτῆς*, ὁ δὲ, *ἐν ξυλοπέδῃ*, ἐξέδωκεν. Ἐπέμεινε δὲ τῇ μεταφορᾷ· εἱρικῶς γὰρ, ὅτι *Κατέγραψας κατ' ἐμοῦ*, καὶ ἀπεφήνω κόλασιν, καὶ ὑπὲρ ὧν ἐν νεότητι ἥμαρτον, ὑπὲρ τούτων με τιμω-

Digitized by Google

ρῇ, ἐπήγαγεν, ὅτι Καὶ ἐπέδησάς με τρόπον τινὰ τοῖς δεινοῖς, ὥστε μηδὲ περαιτέρω δύνασθαι προβῆναι· ἵνα εἴπῃ, ὅτι Ἀκριβῶς ἐφύλαξας τὰ κατ' ἐμὲ ὡς οἱ ἐν τῇ ξυλοπέδῃ δεσμοῦντες τοὺς καταδίκους· ὁ γὰρ Ἀκύλας οὕτως ἐκδέδωκε, *Καὶ ἔθηκας ἐν ξυλοπέδῃ τὸν πόδα μου.*

« Εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου. »

Ὅρα δὲ, πῶς δι' ὅλων τὸ τῆς φύσεως ἀσθενὲς εἰς ἱκετηρίαν προβάλλεται, φύλλῳ παρεικάζων τὸν ἄνθρωπον, καὶ χόρτῳ τῇδε κἀκεῖσε περιφερομένῳ, καὶ ἀσκῷ παλαιουμένῳ, καὶ ἄνθει ταχέως μαραινομένῳ, καὶ σκιᾷ παρατρεχούσῃ. Τὸν τοιοῦτον οὖν, φησὶ, Δέσποτα, εἰς ἀκριβεῖς ἄγεις ἐλεγμοὺς, καὶ λεπτῶς τὰ κατ' αὐτὸν ἐξετάζεις;

« Ὁ παλαιοῦται ἴσα ἀσκῷ. »

Ἔδειξε μὲν τὸ τῆς ἀνθρωπίνης φύσεως εὐτελὲς διὰ δύο ἤδη παραδειγμάτων, διά τε τοῦ φύλλου τοῦ ἀποῤῥέοντος, καὶ διὰ τοῦ χόρτου τοῦ διὰ τὸ ἄνικμον ξηραινομένου, καὶ παιζομένου τοῖς πνεύμασι· νῦν δὲ καὶ ἑτέρᾳ κέχρηται εἰκόνι, δι' ἧς παρίστησιν, ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ φύσις ἀσθενὴς, αὐτοδιαλύτου ὄντος τοῦ σώματος ἡμῶν, καὶ παλαιουμένου ἀσκοῦ δίκην, ἢ κατὰ τὸν Σύμμαχον, *ὁμοίως σηπεδόνι.*

ΚΕΦ. ΙΔ'.

« Βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος, καὶ πλήρης ὀργῆς. »

Τὸ, *πλήρης ὀργῆς*, ὁ Ἀκύλας, *πλήρης κλονήσεως*, ἐκδέδωκεν· ἵνα εἴπῃ, ὅτι καὶ ὀλιγοχρόνιός ἐστιν ὁ ἄνθρωπος, καὶ ὁ βίος αὐτοῦ μεστὸς ταραχῆς· πάντες γὰρ φθαρτοὶ ἐκ φθαρτῶν γεννώμενοι, καὶ οὐ μακρῷ τῷ χρόνῳ τὴν ζωὴν περιωρισμένην ἔχοντες, θορύβου καὶ ταραχῆς μεστὸν τὸν βίον κεκτήμεθα, ἢ κολάσεως καὶ ἀγανακτήσεως τῆς ἀπὸ τοῦ Θεοῦ πάντως ἐσμὲν ὑπεύθυνοι. Ταῦτα δὲ εἶπε, καὶ συγγνώμην αἰτῶν εἴ τι καὶ ἥμαρτε, καὶ ἔλεον ἐπιζητῶν ἐπὶ τῇ ἀνθρωπίνῃ ταπεινότητι.

« Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ' οὐθείς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς. »

Τί γὰρ, φησὶ, μακρὰ δεῖ περὶ ἀνθρώπου λέγειν, ὅπουγε καὶ αὐτὴ ἡ ἀνθρωπίνη γέννησις οὐκ ἄνευ ῥύπου καὶ ἁμαρτίας τυγχάνει; ὅθεν καὶ βαπτίζεται τὰ βρέφη, τὸν διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ ῥύπον ἀποπλυνόμενα. Τοῦτο δὲ λέγει, διὰ τὸ ἠσθενηκέναι τὴν φύσιν ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως, καὶ εὐόλισθον γεγονέναι εἰς ἁμαρτίαν, καὶ μέντοι καὶ διὰ τὴν ἐκ φιληδονίας γέννησιν, οὐ μὴν ὡς συνουσιωμένης ἡμῖν τῆς ἁμαρτίας· μὴ γένοιτο.

« Ἀπόστα ἀπ' αὐτοῦ ἵνα ἡσυχάσῃ, καὶ εὐδοκήσῃ τὸν βίον, ὥσπερ ὁ μισθωτός. »

Ἔλθε εἰς οἶκτον, Δέσποτα, τοῦ οὕτως εὐτελοῦς καὶ ὀλιγοβίου, καὶ ἀπόστησόν σου τὸ ἐπαστικὸν ἀπ' αὐτοῦ, ἵνα ἀναπνεύσῃ δίκην μισθωτοῦ, μετὰ τοὺς πολλοὺς καμάτους, ὀλίγην εὑρίσκων ἀνάπαυσιν. Τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι, *Ἀπόστα ἀπ' ἐμοῦ, ἵνα ἡσυχάσω, καὶ εὐδοκήσω τὸν βίον μου, ὥσπερ*

A xit: Malis me quodammodo implicatum vinxisti, ut ulterius progredi non liceat; ac si diceret: Diligenter actiones meas observasti, quod facere illi solent qui sontes in compedes conjiciunt: Aquila enim sic reddidit; *Et posuisti in cippo pedem meum.*

Vers. 27. « Et ad radices pedum meorum pervenisti. »

Vide quemadmodum per omnia naturæ imbecillitatem in medium proponens pro deprecatione utatur, hominem folio, gramini huc illuc vento jactato, utri inveterascenti, flori subito marcescenti, et umbræ prætereunti, comparans. Talemne igitur, inquit, et tantillum, Domine, severe tu redarguis, et actionum ejus minutias examinas?

B Vers. 28. « Qui inveterascit sicut uter. »

Hactenus duobus exemplis, ductis scilicet a folio defluente, et gramine propter humoris defectum arescente, ventorumque ludibrium facto, naturæ humanæ vilitatem et fragilitatem ostendit: nunc alia similitudine utitur, qua naturam nostram etiam ante supplicium imbecillem esse, ob oculos ponit, corpore scilicet nostro sponte sua ad dissolutionem vergente, et instar utris senium contrahente; vel, ut Symmachus reddidit, *tanquam putredo.*

CAP. XIV.

Vers. 1. « Homo enim natus ex muliere, brevi vivens tempore, et plenus iracundiæ. »

C Illud, *plenus iracundiæ*, Aquila, *plenus turbatione*, reddidit; ac si diceret: Hominis vita momentanea est, et perturbatione plena; mortales enim ex mortalibus geniti, et brevi tempore vitam circumscriptam habentes, vitam tumultus et perturbationis plenam possidemus; vel, divinæ iræ et punitioni obnoxii omnino sumus. Hæc autem, veniam simul petens si in quo offendisset, et propter humilem et abjectam hominis conditionem misericordiam implorans, locutus est.

Vers. 4, 5. « Quis enim mundus erit a sorde? at nemo, etsi unus dies sit vita ejus super terram. »

Quorsum plura, inquit, de homine dicenda sunt, quandoquidem ipsa hominis generatio sine illuvie et peccato non exsistat? unde fit ut infantes ad D eluendam sordem, quam ex Adami transgressione contraxerunt, baptizentur. Hoc autem dicit, quia per Adami transgressionem natura nostra facta est infirma, et ad peccatum proclivis, et quidem propter generationem quæ amorem voluptatis conjunctum habet, non autem quod peccatum nobis connatum et consubstantiale sit; absit!

Vers. 6. « Discede ab eo ut requiescat, et victu contentus sit, sicut mercenarius. »

Miserere, Domine, tam vilis et caduci hominis, et tormenta et cruciatus ab eo avertito, ut instar mercenarii, post multos labores invento laxamento aliquo, respiret. Quædam autem exemplaria habent: *Recede a me, ut requiescam, et victu seu mercede contentus sim, sicut mercenarius.* Rursus

Digitized by Google

vero vitæ brevitatem cum molestia et miseria conjunctam ob oculos ponens, Jube, inquit, me ærumnis et laboribus confectum quiescere.

VERS. 7-10. « Est enim arbori spes; si enim excisa fuerit, adhuc pullulabit, et germen ejus non deficiet. Si enim senuerit in terra radix ejus, et in petra interierit truncus ejus, ab odore aquæ germinabit, et faciet messem sicut novella plantatio : vir vero cum mortuus fuerit, abiit; et mortalis cum ceciderit, non ultra est. »

Quin et plantis homo fragilior est. Illæ enim post excisionem aquis irrigatæ, revirescere rursus possunt, et surculos emittere, et *messem facere*, id est, fructum : homo vero postquam semel obierit, nulla ei spes, ut arbori, amplius est reliqua, sed prorsus interit, neque denuo revocabitur, aut ad vitam redire poterit : qui enim hic in terris vitam egerunt, eo migrabunt; qui vero quiete illa et sorte fruuntur, illinc non revertentur.

VERS. 13, 14. « Itaque utinam apud inferos me custodisses, et abscondisses me donec requiesceret ira tua, et constituas mihi tempus, in quo memoriam mei facias! Si enim mortuus fuerit homo, vivet consummatis diebus vitæ suæ. »

Causam reddit cur mortem exoptet, ostenditque migrationem hinc non immerito vitæ doloribus refertæ præferendam esse. Utinam, inquit, vivum me non fabricasses, sed mortuum dolore vacuum servasses! Utinam hoc tempore, quo contra me ira accensus es, in inferno me custodisses, nec prorsus me oblivioni tradidisses, sed tempus constituisses, quo me providentia tua dignatum, ab ærumnis liberares; homo enim cum, exactis vitæ hujus diebus, moritur, in nihilum non redigitur, sed resurrectionem exspectans anima vivit. Et sic quidem verba expones, hoc concesso, quod justus resurrectionem speraverit. Illud autem : *Si mortuus fuerit homo, vivet*, sic etiam intelligi potest, ac si diceret : A cruciatibus liberatur; qui enim in vivis non est, nihil sentit, neque dolere potest.

VERS. 15. « Sustinebo donec rursus fiam : deinde vocabis, et ego obediam tibi. »

Aquila autem et Theodotio, et Symmachus; hi quidem : *Sperabo quoadusque venerit immutatio mea;* ille vero : *Donec sancta mea nativitas veniat.* Sensus autem hic est : Licet in inferno custodiar, te mortuos resurgere jubente, regenerationem, mutationem, ac in melius transformationem, exspectabo. *Ego autem obediam;* his verbis significat resurrectionem in ictu oculi futuram.

VERS. 16, 17. « Sed opera manuum tuarum ne repellas. Numerasti autem adinventiones meas, et non præteribit te ullum peccatorum meorum : signasti autem in sacculo iniquitates meas, et annotasti si quid invitus erravi. »

Ideo, inquit, salvari volo, quia manuum tuarum

A μισθωτός. Τὸ ὀλιγοχρόνιον δὲ πάλιν, καὶ ἐπίπονον, καὶ ταλαίπωρον παριστῶν, φησὶ, Καταπονούμενόν με καὶ ταλαιπωρούμενον κέλευσον ἐν ἡσυχίᾳ εἶναι.

« Ἔστι γὰρ δένδρῳ ἐλπίς · ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλείπῃ. Ἐὰν γὰρ γεράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ, ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ, ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει, ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον · ἀνὴρ δὲ τελευτήσας ᾤχετο, πεσὼν δὲ βροτὸς οὐκέτι ἐστίν. »

Ἀλλὰ καὶ φυτῶν εὐτελέστερός ἐστιν ὁ ἄνθρωπος. Ἐκεῖνα γὰρ καὶ μετὰ τὴν τομὴν δύνανται ἐπανθῆσαι, καὶ κλῶνας ἀναβλαστῆσαι, ἀρδείας ὑδάτων τυχόντα, καὶ *ποιεῖν θερισμόν*, τουτέστι, καρπόν · ἄνθρωπος δὲ ἅπαξ ἀποθανὼν, οὐχ ὡς τὸ δένδρον ἐν B ἐλπίδι καθέστηκεν, ἀλλὰ τέλεον ἀπόλλυται, καὶ οὐκ ἀνακληθήσεται, οὐδὲ εἰς τὸν βίον παλινδρομῆσαι δύναται · οἱ μὲν γὰρ ἐνταῦθα πολιτευσάμενοι, ἀπελεύσονται ἐκεῖσε · οἱ δὲ ἐν ἐκείνῃ τῇ λήξει γενόμενοι, οὐκ ἐνταυθοῖ ἐπαναστραφήσονται.

« Εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας, ἐκρυψας δέ με ἕως ἂν παύσηταί σου ἡ ὀργὴ, καὶ τάξῃ μοι χρόνον, ἐν ᾧ μνείαν μου ποιήσῃ. Ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ. »

Αἰτίαν ἀποδίδωσι τοῦ ποθεῖν τὸν θάνατον, καὶ δείκνυσιν οὐκ ἀπεικότως αἱρετωτέραν τὴν ἐντεῦθεν ἀπαλλαγὴν τῆς ἐπωδύνου ζωῆς. Εἴθε γὰρ, φησὶ, μὴ ζῶντά με ἔπηξας, ἀλλ' ἀποθανόντα ἀνώδυνον ἐτήρεις! Εἴθε τὸν χρόνον τοῦτον ὃν ὀργίζῃ μοι, ἐν τῷ C ᾅδῃ με ἐφύλαξας, καὶ μὴ ἐπελάθου μου παντελῶς, ἀλλ' ὥρισας χρόνον καθ' ὃν τῆς σῆς ἀξιώσας με προνοίας, τῶν παθῶν ἐλευθερώσεις · ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, συντελέσας τὰς ἡμέρας τοῦδε τοῦ βίου, οὐκ εἰς ἀνυπαρξίαν χωρεῖ, ἀλλὰ ζῇ τῇ ψυχῇ, περιμένων τὴν ἀνάστασιν. Καὶ οὕτω μὲν ἑρμηνεύσεις τὸ ῥητὸν, δεδομένου τοῦ, ὅτι ἤλπιζεν ὁ δίκαιος ἀνάστασιν. Νοηθήσεται δὲ καὶ οὕτω τὸ, *Ἐὰν ἀποθάνῃ ἄνθρωπος, ζήσεται*, ἵνα εἴπῃ, ὅτι τῶν βασάνων ἀπαλλάττεται · ὁ γὰρ μὴ ζῶν, οὐδενὸς αἰσθάνεται, οὐδὲ οἶδεν ἀλγεῖν.

« Ὑπομενῶ ἕως ἂν πάλιν γένωμαι · εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι. »

Ἀκύλας δὲ καὶ Θεοδοτίων, καὶ Σύμμαχος, οἱ μὲν, D *Ἐλπιῶ ἕως ἂν ἔλθῃ τὸ ἀλλαγμά μου* · ὁ δὲ, *Ἕως ἂν ἔλθῃ ἡ ἁγία φύσις μου.* Ὁ δὲ νοῦς οὗτος · Ἐὰν ἐν ᾅδου φυλαχθῶ, προσδοκῶ τὴν παλιγγενεσίαν, καὶ τὴν ἐπὶ τὸ κρεῖττον ἀλλαγὴν καὶ ἀλλοίωσιν, ὅτε σὺ μὲν ἐντέλλῃ τοῖς νεκροῖς ἀναστῆναι. *Ἐγὼ δὲ ὑπακούσομαι* · σημαίνει δὲ διὰ τούτου τὸ ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ γίνεσθαι τὴν ἀνάστασιν.

« Τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ. Ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα, καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου · ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ, ἐπισημήνω δὲ εἴ τι ἄκων παρέβην. »

(*) Ἀπὸ τούτου βούλομαι σωθῆναι, φησὶν, ἀπὸ τοῦ

* Quæ asterisco notantur anonyma sunt in catena Nicetæ, sed cum Olympiodori scholia sequuntur aut illis circumclauduntur, illa hic non prætermittenda putavimus.

Digitized by Google

ἔργον εἶναι χειρῶν σου, ἀπὸ δὲ δικαιοσύνης οὐδαμῶς, οὐδὲ ἀπὸ τοῦ δύνασθαί σε ἀπατῆσαι· ἀναπόδραστος γάρ σου ἡ γνῶσις, καὶ ἀριθμητά σοι τὰ τοῦ ἐμοῦ βίου διαβήματα, καὶ οὐδέν σε λέληθε τῶν ἐμῶν· ἀλλ' ἐμπεριείληφας αὐτῶν καὶ τὴν ποιότητα, καὶ τὸν ἀριθμὸν, καὶ οὕτως ἐξηρίθμησας, καὶ ἐξιχνίασας, καὶ ὡς ἐν βαλαντίῳ ἐπεσώρευσας, καὶ κατέκλεισας τὰς ἀνομίας μου, ἐφ' ᾧ μηδεμίαν παραπολέσθαι, ἀλλὰ πασῶν ἀπαιτεῖσθαι τὰς δίκας. Καὶ δέον δὲ διὰ τὴν τῆς φύσεως ἀσθένειαν παριδεῖν τὰ ἐπταισμένα· τοῦτο μὲν οὐ πεποίηκας, λεπτῶς δὲ καὶ ἀκριβῶς πάντα ἐξήτασας, καὶ αὐτῶν τῶν ἀκουσίων ἀπῄτησας δίκην, οἱονεὶ ταῦτα ἀπογραφόμενος. Ταῦτα δέ φησι, Θεὸν μὲν ἱκετεύων, μὴ ἀκριβῶς ἐξετάζειν τὰ καθ' ἡμᾶς· ἡμᾶς δὲ διδάσκων, ὡς οὐδὲν διαλανθάνει τὴν ἁπλανῆ τοῦ Θεοῦ κατανόησιν τῶν ἡμετέρων, εἴτε προαιρετικῶς, εἴτε ἀκουσίως τι πράξομεν. Ἐπισήμηναι δὲ, ὅτι καὶ τῶν ἀκουσίων ὑφέξομεν λόγους.

A opus sum; propter justitiam autem meam nequaquam, neque quia decipi te posse sperem : tuam enim cognitionem nemo diffugere potest, tu vitæ meæ gressus in numerato habes, neque te quidquam rerum mearum latet; sed qualitatem et numerum earum complexus es, atque ita enumerasti et investigasti ut tanquam in marsupium congesseris et concluseris iniquitates meas, ita ut nulla ex iis pereat, sed omnium pœnas exsolvam. Oportebat autem te, propter naturæ imbecillitatem, delicta præterire; hoc autem non fecisti, verum subtiliter et accurate singula examinasti, ac quasi tabulis inscribens, eorum etiam supplicia exegisti, quæ invito me commissa sunt. Hæc autem dicit, Deum orans, ne districto examine in actiones nostras inquirere velit; simul etiam ut nos doceat, B nihil a nobis fieri, sive arbitrii nostri voluntate, sive inviti aliquid agamus, quod Dei cognitionem fugiat, quæ decipi et errare non potest. Observa autem, quod peccatorum etiam quæ contra voluntatem nostram admissa sunt, rationem reddituri simus.

« Καὶ πλὴν ὄρος πίπτον διαπεσεῖται, καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς· λίθους ἐλέαναν ὕδατα, καὶ κατέκλυσαν ὕδατα ὑπτια τοῦ χώματος τῆς γῆς, καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας. »

Vers. 18, 19. « Et quidem mons cadens decidet, et petra veterascet de loco suo : lapides lævigaverunt aquæ, et demerserunt aquæ supina cumuli terræ, et patientiam hominis perdidisti. »

Ὁ σοφὸς Ἰὼβ αἰνίγματα λαλεῖ, ἐπειδὴ καὶ πολλὰ τῶν φίλων δι' αἰνιγμάτων ῥηθέντα συνῆκεν αὐτὸς ὡς σοφὸς, οὐδαμοῦ τὸν νοῦν ἐκ τῶν ἀλγηδόνων περισπασθείς, ἀλλ' ἐν μέσοις αὐτοῖς τοῖς πάθεσι φιλοσοφῶν. Ἔοικεν οὖν ἐν τούτοις τὸν Θεὸν ἱκετεύειν μὴ ἐπιπολὺ παρατείνειν αὐτῷ τὰς συμφορὰς, μήπως τις αὐτῷ καὶ ὀκλασμὸς γένηται, καὶ ἐξατονήσῃ. Εἰ γὰρ καὶ ὄρος, φησὶ, καὶ πέτρα τῷ χρόνῳ παλαιοῦται καὶ πίπτει, καὶ τοὺς στερροτάτους λίθους λεαίνει ἡ συχνὴ τῶν ὑδάτων ἐπιῤῥοὴ, καὶ τὰ ἀνεστηκότα τῆς γῆς χώματα καὶ ἐν ὑπτίῳ κείμενα, ἡ τῶν ὑδάτων φορὰ κατακλύζει, καὶ παρασύρει· δέος μὴ τῇ συνεχείᾳ τῶν πειρασμῶν, καὶ τῷ μήκει τοῦ χρόνου πάθω τι κἀγὼ τῶν ἀβουλήτων, καὶ ἀπείπω πρὸς τὰς συμφοράς. Τὸ δὲ, *Ὑπομονὴν ἀνθρώπου ἀπώλεσας*, ἀνθ' οὗ Σύμμαχος οὕτω, *Προσδοκίαν ἑκάστου ἀνδρὸς ἀπολέσῃς*, ἐκδέδωκε, τοῦτο σημαίνει, ὅτι ἐκτὸς τῆς ἄνωθεν βοηθείας οὐδέν ἐστιν, οὐδὲ τὰς τῶν πειρασμῶν νιφάδας ὑπομεῖναι δύναται.

C Prudens Jobus, cum pleraque ab amicis allata in ænigmate dicta fuisse prudentia sua intelligeret, animo propter dolores imperturbato, et in mediis ærumnis philosophiam ac æquanimitatem ostendens, ipse ænigmata loquitur. Deum autem his verbis venerari videtur, ne calamitates suas in longum extendere velit, ne animo forte labasceret, et ferendis iis impar evaderet. Si enim, inquit, mons et petra tempore inveterascat et cadat, si continua aquarum alluvies lapides durissimos lævigat, si terræ cumulos prominentes et loca excelsa aquarum vis inundet, et impetu suo secum abripiat; verendum est ne, tentationum frequentia et temporis diuturnitate, aliquid mihi contra voluntatem accidat, et calamitatibus victus animum despondeam. Illud autem, *Patientiam hominis perdidisti* (pro quo Symmachus sic reddidit, *Uniuscujusque viri exspectationem perdideris*) significat hominem sine D superno auxilio nihil esse, nec tentationum procellas posse perferre.

« Ὧσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο· ἐπέστησας αὐτῷ τὸ πρόσωπον, καὶ ἐξαπέστειλας. »

Vers. 20. « Impulisti eum in finem, et abiit; adjecisti ei faciem, et dimisisti. »

Πάλιν περὶ τῆς οὐδενείας τοῦ ἀνθρώπου πρὸς Θεὸν ἀποδύρεται, καὶ τὸ ὀλιγοχρόνιον πρὸς παραίτησιν καὶ ἱκεσίαν προβάλλεται. Ὡς γὰρ ἐπὶ ἀνέμου, καὶ χοὸς, ἢ τινος τῶν κουφοτάτων, ἐὰν, φησὶ, μόνον ὠθήσῃς αὐτὸν, ἢ ἐπιστήσῃς αὐτῷ τὸ πρόσωπον ἀπειλητικῶς, καὶ ἐμβριθῶς προσχῇς, εὐθέως ἀποστέλλεται, καὶ *οἴχεται*, ἀντὶ τοῦ, ἀποθνήσκει, καὶ ἀφανὴς γίνεται· τὸ γὰρ, *ἐξαπέστειλας*, ἀντὶ τοῦ, ἀλλότριον ἑαυτοῦ αὐτὸν ἐπέδειξας, καὶ ἀπεπέμψω.

Rursus hominis vilitatem et fragilitatem apud Deum deflet, et vitæ ejus brevitatem pro deprecatione et supplicatione in medium affert. Sicut enim vento, pulveri, vel rei alicui levissimæ accidit, si tu eum, inquit, tantum impuleris, et torvo vultu aspexeris, et cum asperitate animum illi adverteris, statim ablegatur, et *abit*, id est moritur, et evanescit : *Dimisisti* enim, id est, alienum illum a te ostendisti, et amandasti.

« Πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ, οὐκ οἶδεν, ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται· ἀλλ' ἢ

Vers. 21, 22. « Et cum multi fuerint filii ejus, nescit; sin autem pauci fuerint, ignorat : sed

Digitized by Google

carnes ejus doluerunt, et anima ejus luxit. »

Vitam, inquit, doloribus refertam agit, et in dies mortem exspectans animi anxietate cruciatur. Quamnam autem utilitatem ex posteris percipit homo, qui in doloribus et animi ægritudine vivit? Sive enim soboles ejus in multitudinem extendatur, sive ad paucos redigatur, ille semel moriens ignorat. Rursus vero tacite nos docet, ne præclaram sobolem vel numerosam magni faciamus; homini enim morituro horum nihil prodest, præcipue cum unusquisque sibi, et non alteri vivat.

CAP. XV.

Protheoria.

Cum Jobus in sermonis sui exordio dixisset: *Itaque vos estis homines? aut vobiscum morietur sapientia? Et mihi quidem cor juxta vos est* [84]; huic statim occurrens Eliphazus, sic Jobum affatur: Sapiens nunquam sapientiam suam cum ostentatione venditat, quod a te factum est, cum tamen nihil necessarium et ad rem in medium attuleris; ita ut ex verbis tuis metum etiam abjecisse ostendaris. Dic enim: Num ante omnes homines, et ipsam etiam creationem exstiteris? vel divinæ sapientiæ mysta constitutus fueris, ut tibi ipsi cognitionem arroges? Qua etiam ratione ausus es dicere, *Irreprehensibilis sum;* et, *Justus apparebo* [85]? cum neque angeli, neque cœlum, nedum homo impurus, respectu puritatis divinæ, puri esse possint. Vetus igitur ac verum dictum, quod propter peccata supplicia hominibus irrogentur, addiscito. Deinceps, ea quæ impiis pariter contingunt, enarrat. Vere quidem illud dicitur, causam afflictionum esse peccata; non tamen semper per modum retributionis, sed quandoque etiam explorationis causa, ut probentur justi, hominibus inferuntur: quare Eliphazus, hæc sine debita distinctione adhibita locutus, et Jobum illis accensens qui propter peccata adversa patiuntur, novam illi plagam inflixit. Illud autem considera, quomodo observato decore Jobi amici sermones habeant, et vices invicem aliis tribuentes, neque ostentationis gratia suos sermones interserentes, uno ex iis verba faciente, cæteri sileant, ac donec peroraverit, exspectent. Sic etiam Paulus [86], prophetantes in Ecclesia facere præcepit, ordinem simul ipsis injungens, et ut sermonis methodum concinnam observarent. Unde Eliphazus Jobo denuo respondet, quoniam is primo illi restiterat; deinde Baldadus; et post illum Sopharus. Juxta igitur debitam sermonis seriem et vicissitudinem, ipse rursus iis quæ dicta sunt, contradicens, inquit.

VERS. 4. « Nonne et tu repulisti timorem? » [*Pro quo Theodotio*, « Non enim tu rejecisti timorem. »] « Consummasti autem verba talia coram

[84] Job XII, 2, 3. [85] Job XIII, 18. [86] I Cor. XIV, 27.

αἱ σάρκες αὐτοῦ ἠλγησαν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησεν; »

Ἐπώδυναν, φησίν, ἔχει τὴν ζωὴν, καὶ ἑκάστοτε περιμένων τὸν θάνατον, ἐν ἀθυμίᾳ καθέστηκε. Τί δὲ ὄφελος ἀνθρώπῳ ἐν ὀδύναις ζήσαντι, καὶ ἐν πένθει ψυχῆς, ἐκ τῶν μετ' αὐτὸν ἐσομένων; κἂν τε γὰρ εἰς πλῆθος ἐκταθῇ αὐτῷ ἡ γονὴ, κἂν τε εἰς ὀλίγους περιστῇ, αὐτὸς ἅπαξ ἀποθανὼν ἀγνοεῖ. Ἡρέμα δὲ πάλιν ἡμᾶς διδάσκει, μὴ μέγα οἴεσθαι τὴν εὐπαιδίαν, ἢ πολυπαιδίαν, τῷ γὰρ ἅπαξ ἀποθνήσκειν μέλλοντι, τούτων οὐδὲν ὄφελος, μάλιστα ὅτι καὶ ἕκαστος ἑαυτῷ, ἀλλ' οὐκ ἄλλῳ ζῇ.

ΚΕΦΑΛ. ΙΕ'.

Προθεωρία.

Τοῦ Ἰὼβ προοιμιασαμένου, καὶ εἰρηκότος· *Πότερον ὑμεῖς ἐστε ἄνθρωποι; ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; κἀμοὶ μὲν οὖν καρδία καθ' ὑμᾶς ἐστιν* · εὐθὺς ὁ Ἐλιφὰζ πρὸς τοῦτο ἱστάμενος, φησὶ πρὸς τὸν Ἰὼβ, ὅτι οὐδέποτε ὁ σοφὸς ἐπιδεικτικῶς τὴν ἑαυτοῦ προάγει σοφίαν, ὅπερ σὺ πεποίηκας, καίτοιγε οὐδὲν ἀναγκαῖον εἰρηκὼς, ὥστε ἐκ τῶν σῶν ῥημάτων καὶ ἄφοβος ὢν δείκνυσαι. Εἶπὲ γάρ· Πρὸ πάντων ἀνθρώπων γέγονας, ἢ καὶ πρὸ αὐτῆς τῆς κτίσεως; ἢ μύστης τῆς τοῦ Θεοῦ σοφίας κατέστης, ὅτι σαυτῷ ἀποδίδως τὴν γνῶσιν; Πῶς δὲ καὶ ἐτόλμησας εἰπεῖν, ὅτι *Ἀμεμπτός εἰμι* · καὶ, *Δίκαιος ἀναφανοῦμαι*; ὅπουγε οὔτε ἄγγελοι, οὔτε οὐρανὸς, μήτοιγε ἄνθρωπος ἀκάθαρτος, δύνανται εἶναι καθαροὶ πρὸς τὴν τοῦ Θεοῦ καθαρότητα. Μάνθανε τοίνυν παλαιὸν καὶ ἀληθινὸν λόγον, ὅτι δι' ἁμαρτίας αἱ κολάσεις τοῖς ἀνθρώποις ἐπάγονται. Εἶτα λέγει καὶ τὰ τοῖς ἀσεβέσιν ἴσως συμβαίνοντα. Καὶ ἀληθὴς μὲν ὁ λόγος, ὅτι καὶ δι' ἁμαρτίας αἱ κακώσεις · πλὴν οὐ πάντοτε ἀνταποδοτικῶς ἐπιφέρονται, ἀλλ' ἔσθ' ὅτε καὶ γυμναστικῶς, ἵνα δοκιμασθῶσιν οἱ δίκαιοι. ὥστε μὴ μετὰ τῆς προσηκούσης διαιρέσεως ταῦτα εἰρηκὼς ὁ Ἐλιφὰζ, πάλιν ἔπληξε τὸν Ἰὼβ, συντάξας αὐτὸν τοῖς δι' ἁμαρτίας πάσχουσι. Σὺ δὲ ἄθρει, ὅπως ἐν κόσμῳ ποιοῦνται τὰς διαλέξεις οἱ τοῦ Ἰὼβ φίλοι, καὶ τοῦ ἑνὸς λαλοῦντος, οἱ ἕτεροι σιωπῶσιν, ἀντιπαραχωροῦντες ἀλλήλοις, καὶ οὐκ ἐπιδεικτικῶς τοὺς ἑαυτῶν παρεμβάλλοντες λόγους, ἀλλ' ἕκαστος ἀναμένει ἕως ἂν ὁ λέγων πληρώσῃ. Οὕτω καὶ Παῦλος τοῖς ἐν Ἐκκλησίᾳ προφητεύουσιν ἐπέταττε ποιεῖν, ὁμοῦ καὶ τάξιν αὐτοῖς ἐπιτιθεὶς, καὶ τὸ ἀσύγχυτον τοῖς λεγομένοις φυλάττων [c]. Διὰ τοῦτο οὖν πάλιν ὁ Ἐλιφὰζ πρὸς τὸν Ἰὼβ ἀποκρίνεται, ἐπειδήπερ αὐτὸς πρῶτος ἀντικατέστη τῷ Ἰὼβ, εἶτα ὁ Βαλδὰδ, καὶ μετ' ἐκεῖνον ὁ Σωφάρ. Κατὰ τὴν προσήκουσαν τοίνυν τῶν λόγων διαδοχὴν, πάλιν αὐτὸς ἵσταται πρὸς τὰ εἰρημένα καὶ φησι.

« Οὐ καὶ σὺ ἀπεποιήσω φόβον; » [*ἀνθ' οὗ ὁ Θεοδοτίων*, « Οὐ γὰρ σὺ παρῃτήσω φόβον. »] « Συνετελέσω δὲ ῥήματα τοιαῦτα ἐναντι τοῦ Κυρίου; [Ὁ

VARIÆ LECTIONES.

[c] *Ισ.* φυλάττειν.

Digitized by Google

δὲ Σύμμαχος, « Καὶ ἀναίδην ὡμίλησας ἐναντία τῷ Θεῷ. »]

Ἀπετόλμησας, φησὶ, καὶ ἀφόβως ἐλάλησας, πρὸς Θεὸν θελήσας κρίνεσθαι· καὶ τολμηρῶς ἐφθέγξω κατὰ τοῦ Θεοῦ, οὐδὲν δείσας, οὐδὲ συνειδὼς τὸ πρὸς Θεὸν διάφορον τῆς σῆς φύσεως. Τρόπῳ δὲ θεοσεβείας, ὡς ὑπὲρ Θεοῦ, ταῦτα λέγουσιν οἱ περὶ τὸν Ἐλιφάζ, ἴσως διὰ τὸ εὐπαρρησίαστον τῶν τοῦ δικαίου λόγων, οὓς προέφερεν ἀπὸ καθαροῦ τοῦ συνειδότος, βλασφημεῖν αὐτὸν οἰόμενοι.

« Ἔνοχος εἶ ῥήμασι στόματός σου, οὐδὲ διέκρινας ῥήματα δυναστῶν. Ἐλέγξαι σε τὸ σὸν στόμα, καὶ μὴ ἐγὼ, τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου. »

Πολυχρονίου καὶ *Ὀλυμπιοδώρου*. Θρασέως αὐτῷ διαλέγεται, ὡς πρὸς μὴ δίκαιον προφέρων τοὺς λόγους· οἴεται δὲ καὶ ἐκ τῶν αὐτοῦ λόγων ἐλέγχειν αὐτὸν, φάσκων, ὅτι Ἐκ τῶν σεαυτοῦ ἐλεγχθήσῃ λόγων, καὶ ἐκ τῶν οἰκείων ῥημάτων κατακριθήσῃ· οὐ γὰρ ἐδέξω τὴν ἡμετέραν παραίνεσιν οὕτως οὖσαν λυσιτελῆ, μὴ κατανενοηκὼς, μηδὲ διακρίνας τὰ τῶν ἐν σοφίᾳ δυνατῶν ῥήματα, ἤτοι τῶν πρὸ σοῦ παλαιοτέρων σοφῶν, ἢ καὶ ἡμῶν τῶν σῶν φίλων, οὕτως ἐλάλησας, ὡς μὴ ἀλλαχόθεν, ἀλλ' ἐκ τῶν σῶν λόγων καταδικάζεσθαί σε. Οὐκοῦν ταῖς παρὰ σοῦ λεχθείσιν ἀντιπαρεξέτασον τὰ πράγματα· οὕτω γὰρ ἴσως καταγνώσῃ σαυτοῦ, ἀλσγώτατα θρασυνόμενος. Διχόθεν μέντοι τὸν λόγον ἐλέγχει, ἀπό τε τοῦ χρόνου, καὶ ἀπὸ τῆς συνέσεως, λέγων·

« Τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγεννήθης; ἢ πρὸ θινῶν ἐπάγης; ἢ σύνταγμα Κυρίου ἀκήκοας; ἢ συμβούλῳ σοὶ ἐχρήσατο ὁ Θεός; εἰς δὲ σὲ ἀφίκετο σοφία; Τί γὰρ οἶδας, ὃ οὐκ οἴδαμεν; ἢ τί συνιεῖς σὺ, ὃ οὐ καὶ ἡμεῖς; »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Μὴ πρὸ πάντων, φησὶν, ἐγένου, καὶ πρὸ αὐτῆς τῆς κτίσεως, ὥστε σὲ διὰ τὸν χρόνον ἁπάντων εἶναι σοφώτερον; Μὴ γὰρ δὴ πρὸ πάντων αὐτὸς εἶ, ἵνα ἀπὸ τοῦ χρόνου τοῦ μακροῦ μάθῃς; ἢ παρὰ τοῦ Θεοῦ τί ἀκήκοας; οὐδὲν ἡμῶν πλεονάζεις κατὰ τὸ εἰδέναι. Ἐπειδὴ γὰρ εἶπεν ὁ Ἰὼβ, ὅτι « Ἐν μακρῷ χρόνῳ σοφία εὑρίσκεται, » Οὐκοῦν ἐάλως, φησίν. Μὴ γὰρ πρὸ πάντων ἀνθρώπων ὑπέστης, καὶ ἄχρι τοῦ νῦν διατείνας τὸν βίον, πλειόνων πραγμάτων πεῖραν ἔσχηκας παρὰ τοὺς ὁμοφυεῖς; ἀλλὰ μὴν οὐ διαφέρεις τῶν ἄλλων ἀνθρώπων, οὐδὲ ἔξω τῆς φύσεως αὐτῶν ὑπάρχεις, ὥστε πλεῖόν τι τῶν ἄλλων κατειληφέναι· οὐδὲ *πρὸ θινῶν ἐπάγης*, ἤ, ὡς ὁ Ἑβραῖός φησι, *συνελήφθης*· *θῖνας* δὲ λέγει τοὺς βουνοὺς, εἴτουν τοὺς ὑψηλοὺς, καὶ δυσβάτους, καὶ ψαμμώδεις τόπους. Οὐδὲ *σύνταγμα Κυρίου ἀκήκοας*· ἀνθ' οὗ, ὁ μὲν Ἀκύλας, *ἀπόῤῥητα*, ὁ δὲ Θεοδοτίων, *μυστήριον*, ὁ δὲ Σύμμαχος, *ὁμιλίαν*, ἐξέδωκεν· ἵνα εἴπῃ, Μὴ τὰ πρὸ τῆς κτίσεως ἐπίστασαι, ὡς καὶ πρὸ βουνῶν γενόμενος; *Ἢ συμβούλῳ σοι ὁ Θεὸς ἐχρήσατο*, ἐπειδὴ

[87] Job xii, 12.

Domino? [*Symmachus autem*, « Et impudenter locutus es contra Deum. »]

Cum Deo in judicium descendere cupiens, ausu temerario, et metu omni abjecto, locutus es; et posthabito, et non intellecto, inter Deum et naturam tuam discrimine, contra Deum sermone insolenti usus es. Forte vero Eliphasus ejusque socii, propter libertatem et confidentiam sermonis, quam ex pura conscientia justus protulerat, blasphemia eum uti opinantes, prætextu pietatis, et quasi Deo patrocinarentur, hæc dicunt.

VERS. 5, 6. « Reus es verbis oris tui, neque dijudicasti verba potentum. Arguat te os tuum, et non ego, et labia tua testificabuntur contra te. »

Polychronii et *Olympiodori*. Audacter cum illo disserit, et tanquam hominem injustum alloquitur; ex ipsius autem verbis redarguturum se illum opinatur, dicens : Ex sermone tuo redarguere, et ex tuis verbis condemnabere. Nostram enim adhortationem adeo utilem non es amplexus, sed verbis eorum qui prudentia valent (veterum, scilicet, sapientum, qui ante te exstiterunt, et nostrorum, qui amici tui sumus) non consideratis, neque dijudicatis, sic locutus es, ut non aliunde quam ex tuis ipsius verbis condemnandus sis. Quare quæ a te dicta sunt cum rebus ipsis confer; sic enim fortasse, tanquam a ratione alienissima loqui ausum, teipsum condemnabis. Dupliciter ergo illius sermonem vituperat, quod tempore, scilicet, et intelligentia indigeret, dicens.

VERS. 7-9. « Quid enim? nunquid primus homo natus es? aut ante colles concretus es? aut constitutionem Domini audisti? aut consiliario te usus est Deus? et in te pervenit sapientia? Quid enim nosti quod non novimus? aut quid intelligis tu, quod non et nos? »

Olympiodori et *Polychronii*. An tu, inquit, ante omnes, et ante creationem ipsam exstitisti, ut propter ætatem omnibus sapientior sis? Num tu omnibus antiquior es, ut temporis longinquitas te erudierit? Num aliquid à Deo audivisti? scientia certe nos non antecellis. Quoniam autem Jobus dixerat, « In longo tempore invenitur sapientia, » [87] ideo captus, inquit, teneris. Nunquid ante omnes homines exstitisti, et hucusque vitam tuam extendens, rerum multarum experientia, eos qui ejusdem naturæ tecum sunt participes, superasti? verum ab aliis hominibus non differs, neque extra illorum naturam constitutus es, ut plus cæteris assequare; neque *ante colles concretus es*, vel, ut Hebræus habet, *conceptus es : colles* vero dicit clivos, loca nimirum edita, invia et arenosa. Neque *constitutionem Domini audisti*; pro quo Aquila, *arcana*, Theodotio, *mysterium*, Symmachus vero, *colloquium*, reddidit; ac si diceret, Num tanquam ante colles exsistens, quæ ante mundi creationem fuerunt, nosti? *Aut consiliario te usus est Deus*, quandoquidem sapien-

Digitized by Google

tia tibi tantopere placeas? Profer aliquid nobis ignotum, et ostende, te scientia nobis esse superiorem. Quid tandem novi nosti, quod nostram cognitionem fugiat? Præter enim res humanas, et quæ in medio posita sunt, nihil amplius est quod dicere potes. Hæc vero dicunt, ut seipsos summam sapientiam assecutos esse ostendant.

A μέγα ἐπὶ σοφίᾳ φρονεῖς; Πριβαλοῦ τι τῶν ἡμῖν οὐκ ἐγνωσμένων, καὶ δεῖξον ὡς ἡμᾶς ὑπερβέβηκας. Καίτοι τί ξένον γινώσκεις, ὃ ἡμεῖς οὐκ ἐπιστάμεθα? πλέον γὰρ τῶν ἀνθρωπίνων, καὶ τῶν ἐν μέσῳ στρεφομένων, οὐκ ἂν ἔχοις εἰπεῖν. Ταῦτα δέ φασιν, ἵν' ἑαυτοὺς ὡς ἐφικνουμένους τῆς ἀκριβείας παραστήσωσιν.

Vers. 10. « Sed et senex, et antiquus in nobis est, patre tuo gravior diebus. »

« Καί γε πρεσβύτης, καί γε παλαιὸς ἐν ἡμῖν, βαρύτερος τοῦ πατρός σου ἡμέραις. »

Olympiodori et Didymi. Quorsum autem, inquit, dicis, tempus te sapientiorem reddidisse? est vero fortasse aliquis ex nobis tribus, non te solum, sed et patre etiam tuo ætate provectior; vel, secundum Symmachum, *longævior*. Aut igitur hoc dicit : Si de tempore gloriaris, sunt apud nos antiqui; vel fortasse illud : Licet senex, et ætate grandis sis, inter nos est qui ætate te superat, qui et patre tuo diebus gravior, hoc est, senior exsistit, neque tu plus nobis sapis. Et hæc quidem pro auctoritate Eliphazus arroganter loquitur.

Ὀλυμπιοδώρου καὶ *Διδύμου*. Ἀλλὰ τί λέγεις, φησὶν, ὅτι ὁ χρόνος σε σοφώτερον κατεσκεύασεν; ἀλλ' ἔστι τις ἐξ ἡμῶν τῶν τριῶν τυχὼν, οὐχὶ μόνον σοῦ, ἀλλὰ καὶ τοῦ σοῦ πατρὸς παλαιότερος, εἴτουν *πολυχρονιώτερος*, κατὰ Σύμμαχον. Ἤ τοίνυν τοῦτό φησιν, ὅτι Εἰ καὶ ἐπὶ χρόνῳ αὐχεῖς, εἰσὶ παρ' B ἡμῖν παλαιοί· ἢ ἐκεῖνο τάχα, Εἰ καὶ πρεσβύτης ὑπάρχεις, καὶ παλαιὸς, ἐν ἡμῖν προγενέστερος τυγχάνων [f], ὡς καὶ τοῦ σοῦ πατρὸς βαρύτερος, τουτέστι, γηραλεώτερος γεγονέναι [g], οὐ πλεῖόν τι ἡμῶν ἐπίστασαι. Καὶ ταῦτα ἀπὸ αὐθεντίας ἀλαζονικῶς ὁ Ἐλιφὰζ λέγει.

Vers. 12, 13. « Quid ausum fuit cor tuum? aut quid sustinuerunt oculi tui? quod furorem erupisti ante Dominum, protulisti autem ex ore verba talia. »

« Τί ἐτόλμησεν ἡ καρδία σου; ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου; ὅτι θυμὸν ἔῤῥηξας ἔναντι Κυρίου, ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα. »

Oculos, animi aciem et intelligentiam dicit. Quomodo, inquit, sic animo efferri, et iracundia inflari ausus es, ut tanquam peccati expers, cum Deo dissereres, et injuste te pati affirmares?

Ὀφθαλμούς φησι τὸ ὁρατικὸν καὶ νοητικὸν τῆς ψυχῆς. Πῶς οὖν, φησὶ, τῇ διανοίᾳ σου οὕτως ἐτόλμησας ἀρθῆναι, καὶ μετ' ὀργῆς, ὡς ἄδικα πάσχων, πρὸς Θεὸν διαλεχθῆναι, οἷά τις ἀναμάρτητος τυγχάνων;

Vers. 14. « Quis enim cum homo sit, quia erit sine crimine? aut tanquam futurus justus natus de muliere? »

« Τίς γὰρ ὢν βροτὸς, ὅτι ἔσται ἄμεμπτος; ἢ ὡς C ἐσόμενος δίκαιος γεννητὸς γυναικός; »

Hebræus autem, *Quomodo justificabitur proles mulieris?* ac si diceret, Ipsa natura perturbationibus obnoxia, proclivis ad peccatum est.

Ὁ δὲ Ἑβραῖος, *Καὶ πῶς δικαιωθήσεται γέννημα γυναικός*, ἵνα εἴπῃ, Αὐτὴ ἡ φύσις πάθεσιν ὑποκειμένη, εὔκολός ἐστι πρὸς τὴν ἁμαρτίαν.

Vers. 22-24. « Non credat converti a tenebris, decretus enim est jam in manus ferri. [*Symmachus autem*, Prævisus enim est ad gladium.] Et dispositus in escas vulturum. Novit autem in seipso, quod manet in ruinam; dies autem tenebrosa ipsum versabit, angustia autem et tribulatio ipsum comprimet. »

« Μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους, ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας σιδήρου [Ὁ δὲ Σύμμαχος, Προεσκοπεύθη γὰρ εἰς μάχαιραν], κατατέτακται δὲ εἰς σῖτα γυψίν. Οἶδε δὲ ἐν ἑαυτῷ, ὅτι μένει εἰς πτῶμα· ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει, ἀνάγκη δὲ καὶ θλῖψις αὐτὸν καθέξει. »

Supplicium vocat tenebras. Ne credat igitur, inquit, impius, impune se laturum, cautum enim est decreto divino, ut ferro pereat, et insepultus jacens a vulturibus consumatur. Quare si felicitatem suam intuitus peccator, nullam vicissitudinem exspectaverit, seipsum decipit; dudum enim decreto pœnæ est obnoxius, ac, licet Deus longanimitate sua morum mutationem expetat, supplicium (quod per ferrum et vultures innuitur) ex eo tempore sibi ipsi thesaurizavit : cum seipsum non condemnaverit, extremum supplicium luet, ita ut sepulturæ honor illi denegetur, et inhumatus jacens esca volucrum evadat; quod quidem tunc temporis grave

Σκότος λέγει τὴν τιμωρίαν. Μὴ πιστευέτω οὖν, φησὶν, ἀτιμώρητος μένειν ὁ ἀσεβής· θεῖον γάρ ἐστιν ἔνταλμα, ὑπὸ σιδήρου αὐτὸν ἀναιρεθῆναι, καὶ ὑπὲρ γυπῶν δαπανηθῆναι, ἄταφον κείμενον. Ὥστε εἰ πρὸς τὴν εὐημερίαν ἀφορῶν ὁ ἁμαρτάνων, οὐδεμίαν μεταβολὴν ἐλπίζει, ἑαυτὸν ἀπατᾷ· ἤδη γὰρ τῇ ἀποφάσει ὑπὸ τιμωρίαν κεῖται, κἀντεῦθεν ἑαυτῷ ἐθησαύρισε κόλασιν, ἥπερ διὰ τοῦ σιδήρου καὶ τῶν γυπῶν σημαίνεται, εἰ καὶ τῇ ἀνεξικακίᾳ Θεὸς τὴν μεταβολὴν ἀπαιτεῖ τοῦ τρόπου· μὴ κατηγνοὺς ἑαυτοῦ, τὴν ἐσχάτην δώσει δίκην, ὡς μηδὲ ταφῆς ἀξιωθῆναι, ἀλλ' ἄταφος ῥιφεὶς βορὰ τοῖς οἰωνοῖς γενέσθαι· ὃ χαλεπὸν εἰς τιμωρίαν τοῖς τότε νενόμιστο· χαλεπὸ-

VARIÆ LECTIONES.

[f] *Isc.* τυγγάνει, ὅς. [g] *Isc.* γέγονε, καί.

Digitized by Google

τερον δὲ τοῦτο, ὅταν αὐτὸς διὰ τοῦ συνειδότος ἑαυτῷ τοιαῦτα μαντεύηται καὶ προλέγῃ· καὶ αὐτὸς γὰρ συνεπίσταται ἑαυτῷ τὴν μέλλουσαν πτῶσιν, καὶ ὅτι μέλλει ὑπὸ σκότος εἶναι, καὶ κλόνησιν, καὶ θλῖψιν, καὶ ἀνάγκην. Οἶδε γὰρ τὸ συνειδὸς τῶν ἁμαρτανόντων [h], ὅτι ἡ τῶν φαύλων ἐπιτηδευμάτων ἐργασία πτῶμα ἄγει, καὶ ὡς μεταμελήσει αὐτῷ συμφορᾶς καταλαβούσης, ἡνίκα ἐν ἀμηχανίᾳ καταστᾶς, καὶ οὐδεμίαν διάλυσιν εὑρίσκων τῶν κακῶν, ἀλλὰ διαταραττόμενος ἐκ τῶν κολάσεων, ἐν ἡμέρᾳ σκοτεινῇ, περὶ ἧς εἴρηται ἐν Ἀμώς, ὅτι *Ἡ ἡμέρα Κυρίου σκότος ἐστὶ καὶ οὐ φῶς*, εἴσεται τὸ διάφορον εὐσεβοῦς πρὸς τοὺς παρανόμους. Ὅρα δὲ, ὅτι τοῦ ἁμαρτωλοῦ καὶ ὁ βίος ἐν ταραχῇ, καὶ ὁ θάνατος ἐλεεινός, οὐ κατὰ τὸν κοινὸν νόμον τῆς φύσεως, ἀλλὰ βίᾳ, καὶ πολέμῳ, καὶ μάχῃ· καὶ μετὰ θάνατον, οὐδὲ ταφὴ καὶ κηδεία· καὶ οὐ μόνον τὸ ἄταφον κεῖσθαι, ἀλλὰ καὶ σῖτα γυψὶν εἶναι. Οὐ δεῖ δὲ ξενίζεσθαι, ὅτι οὗτος τοιαῦτα φθέγγεται· ἤδη γὰρ εἴρηται, ὅτι ἴσως ἐκ παρακουσμάτων ἀρχαίων αὐτὰ προφέρει· διὰ πάντων μέντοι κατασκευάζει, ὅτι δι' ἁμαρτίας πάσχει ὁ Ἰώβ.

A supplicii genus judicatum est; quamvis et illud gravius, cum conscientia sua talia ipsi vaticinatus fuerit et prædixerit; ipse enim futuri casus sibi conscius est, et quod tenebras, perturbationem, afflictionem et angustias subiturus sit. Novit enim peccatoris conscientia, quod pravorum studiorum exercitium ruinam secum afferat, et quod calamitate oppressum ipsum pœnitebit, cum, in angustias conjectus, ac malorum suorum nullum exitum inveniens, sed suppliciorum gravitate in die tenebricosa perculsus (de qua in prophetia Amos dictum est, *Dies Domini tenebræ sunt, et non lux* [88]), discrimen inter pium et impium intelliget. Observa autem quod peccatoris vita cum perturbatione, et mors cum miseria conjuncta sit; nec hæc quidem communi lege naturæ, sed vi, bello, aut pugna eveniat; B et ut post mortem, sepultura et exsequiis careat; nec tantum insepultus jaceat, sed pabulum etiam vulturibus fiat. Mirandum autem non est, quod talia hic loquatur; supra enim dictum est, quod ex antiqua forte doctrina, qua perperam imbutus fuit, hæc protulerit: porro Jobum propter peccata adversa pati, in omnibus conatur ostendere.

« Ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων, ὅτι ἦρκε χεῖρας ἐναντίον τοῦ Κυρίου, ἐναντίον δὲ Κυρίου παντοκράτορος ἐτραχηλίασεν· ἔδραμε δὲ ἐναντίον αὐτοῦ ὕβρει ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ. »

« Sicut dux in prima acie decidens, [Vers. 25, 26] quia elevavit manus contra Deum, et contra Dominum omnipotentem induravit cervicem; cucurrit autem contra eum injuria in crassitudine dorsi scuti sui. »

Πρωτοστάτην λέγει τὸν ἐν τοῖς πολέμοις τοῦ στρατοῦ προηγούμενον. Ὥσπερ τοίνυν ὁ τοιοῦτος τῇ ἑαυτοῦ δυνάμει θαῤῥῶν, καὶ προπηδῶν [i] τῶν πολεμίων, καιρίαν λαβὼν τὴν πληγὴν, οὐδεμίαν ἔχει σωτηρίας ἐλπίδα· οὕτω καὶ ὁ ἀσεβὴς ὡς χεῖρας ἀνταίρων Θεῷ, καὶ οὐ μέχρι βουλῆς, ἀλλ' ἐπὶ τῶν ἔργων τὴν κατὰ τοῦ Θεοῦ [i] ἐπιδεικνύμενος τραχύτητα, καὶ τὸν χρηστὸν ἀποσειόμενος ζυγὸν, εἴτουν τὴν αὐτοῦ κηδεμονίαν, καθάπερ δάμαλις γαυριῶσα, τοῦ τραχήλου τὸν ζυγὸν ἀποβάλλουσα, καὶ ἀποσκιρτῶσα πρὸς τὴν ζεύγλην, καὶ μονονουχὶ τρέχων εἰς τὸ συμβαλεῖν αὐτῷ πρὸς παράταξιν· καὶ ὡς πρὸς ὁμοφυῆ κατασυστάδην τρόπον τινὰ πρὸς αὐτὸν ἀντιπαρατατόμενος, οἷά τινα παχεῖαν ἀσπίδα τὴν ὑπερηφανίαν ἐπιφερόμενος, θαῤῥῶν τοῖς ἀμυντηρίοις αὐτοῦ, καταβάλλεται καὶ πίπτει, οἷά τις στρατοπέδων ἄρχων, ὡς ὑπ' ἀντιπάλου τοῦ Θεοῦ τιτρωσκόμενος· τὸ γὰρ, *ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ*, ἵνα εἴπῃ, ὅτι δοκῶν τοῖς ἔξωθεν ἠσφαλίσθαι, κρειττων ἔσεσθαι τῆς τοῦ Θεοῦ πληγῆς ἐνόμισε. Τινὲς δὲ τὸ, *Ὥσπερ πρωτοστάτης*, ἀντὶ τοῦ, *ὥσπερ ὁ διάβολος*, ἐνόησαν· αὐτὸς γὰρ ἐτραχηλίασεν ἐναντι Κυρίου· ὡς οὖν ἐκεῖνος ἔπεσεν, οὕτω καὶ πᾶς ὁ Θεῷ ἀντιτείνων.

Ducem in prima acie dicit eum qui in bello exercitui præest. Sicut igitur dux talis, viribus suis C confisus, et in hostem impetum faciens, letali vulnere accepto, de salute desperat, sic impius manus quasi adversus Deum tollens, non solum consilio, sed operibus etiam, animi acerbitatem erga Deum ostendens, et excusso levi jugo, cura, scilicet, ac sollicitudine qua Deus eum prosequitur, instar juvencæ ferocientis, et jugum collo excutientis, ac ab eo resilientis, currendo, quasi festinans ut in aciem descendat, et prælium cum eo conserat; et tanquam cum ejusdem naturæ participe cominus congressurus esset, apparatu bellico se instruens, superbiam instar crassi scuti gestans, suisque confisus munimentis, non secus ac imperator exercitus, a Deo antagonista vulneratus, prosternitur et D occumbit: illud enim, *In crassitudine dorsi scuti sui*, idem est ac si dixisset, qui externis præsidiis muniri visus, divinam plagam declinare se posse arbitrabatur. Nonnulli autem pro eo, *Sicut dux in prima acie, sicut diabolus*, intellexerunt; ille enim contra Dominum cervicem erexit: quemadmodum igitur ille cecidit, sic omnis qui Deo renititur, cadet.

« Ὅτι ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ, [Ὁ δὲ Σύμμαχος, Ἐπεκαλύφθη γὰρ] καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων. » [*Πάλιν ὁ Σύμμαχος*, Καὶ ἐπάχυνε πιμελὴν κατὰ τῆς ψόας.]

Vers. 27. « Quia operuit faciem ejus in adipe suo, [*Symmachus vero:* Coopertus est enim] et fecit peristomium super femora. » [*Rursus Symmachus:* Et incrassavit adipem supra lumbos.]

[88] Amos v, 18.

VARIÆ LECTIONES.

[h] *Isc.* τοῦ ἁμαρτάνοντος. [i] *Isc.* προσπηδῶν τῷ πολεμίῳ. [i] *gr.* Χριστοῦ.

Digitized by Google

Qui luxu diffluentes bene saginantur, facies suas pinguedine incrassant, et duplicata mole carnis supercrescentis (quam peristomium vocat) femora vestiunt, quæ illa, non secus ac peristomium collum, ambit undique et constringit. Sicut igitur, inquit, hi molles et delicatuli, tales evadunt; sic etiam impius præ divitiis et luxu insolenter se gerit, nullam præsentis prosperitatis mutationem exspectans; sed bonis undique affluens, et carnis potentia fretus, eo audaciæ effertur, ut Deo adversetur, et contra ejus statuta bellum moveat: unde tanquam hostis et inimicus, ab eo prosternitur. Pro illo autem, *operuit faciem ejus*, Hebræus habet, *cor*; ac si diceret: Facultas animæ visibilis luxu et deliciis occæcata est: pro illo vero, *peristomium*, habet, *pinguedinem et diploidem*, id est, edacitati et cuti curandæ se totum dedidit, ut exuberante carnis copia femora diploidas contraherent. Symmachus vero, *supra lumbos*, interpretatus est: idem autem sensus est omnium.

A Οἱ εὐτραφεῖς ὑπὸ τῆς ἄγαν τρυφῆς, πιμελῇ παχύνονται τὸ πρόσωπον, καὶ διπλώματα καὶ περισαρκώσεις ποιοῦσιν ἐπὶ τῶν μηρῶν, ἃ δὲ περιστόμιον καλεῖ, ὡς συνέχοντα τοὺς μηροὺς, καὶ οἷον θλίβοντα, καθάπερ τὸ περιστόμιον τὸν τράχηλον. Ὥσπερ οὖν οὗτοι, φησὶ, τοιοῦτοι γίνονται· οὕτω καὶ ὁ ἀσεβὴς διὰ τὸν πλοῦτον καὶ τὴν τρυφὴν θρασύνεται, οὐδεμίαν τῆς παρούσης εὐημερίας μεταβολὴν προσδοκῶν· ἀλλ' ὑπὸ ταύτης πανταχόθεν περιῤῥεόμενος, καὶ σαρκικῇ δυνάμει πεποιθὼς, εἰς ἀντίστασιν ἐπαίρεται τὴν κατὰ τοῦ Θεοῦ, καὶ πολεμεῖ τοῖς αὐτοῦ διατάγμασι· διὸ καὶ ὡς ἀντιμαχόμενος τῷ Θεῷ, ὑπ' αὐτοῦ καταβάλλεται. Ἀντὶ δὲ τοῦ, *ἐκάλυψε πρόσωπον αὐτοῦ*, ὁ Ἑβραῖος, *τὴν καρδίαν*, ἔχει· ὡσανεὶ λέγων· Τὸ βλεπτικὸν τῆς ψυχῆς B ὑπὸ τῆς τρυφῆς ἐπηρώθη· ἀντὶ δὲ τοῦ, *περιστόμιον, πιμελὴν καὶ διπλοΐδα*, ἔχει, τουτέστι, πολυτροφίᾳ καὶ σαρκὶ ἑαυτὸν ἐξέδωκεν, ὥστε καὶ διπλοΐδας ἔχειν ἐπὶ τῶν μηρῶν ἐκ τῆς πολυσαρκίας. Ὁ δὲ Σύμμαχος, *κατὰ ψόας*, ἑρμήνευσεν· εἰς δὲ τὴν αὐτὴν ἔννοιαν ἅπαντα τελεῖ.

Vers. 34. « Et ignis comburet domos eorum qui munera accipiunt. »

« Πῦρ δὲ καύσει οἴκους δωροδεκτῶν. »

Iram divinam, quæ homines cupiditate inexplebiles, et avaros, et propter munera juris æquitatem prodentes, cum tota familia incendio absumit, *ignem* appellat. Verba autem utilem instructionem, et cuivis obviam in se continent, quod, scilicet, qui donis et largitionibus corrumpuntur, propter injustitiam et iniquitatem hæc patiantur.

Πῦρ φησιν τὴν θείαν ὀργὴν καταφλέγουσαν πανεστίους τοὺς ἁπλήστους, καὶ πλεονέκτας, καὶ δώρων τὸ δίκαιον καταπροδιδόντας. Ἔχει δὲ ὠφέλειαν τὸ ῥητὸν, καὶ κατὰ τὸ πρόχειρον, ὅτι οἱ δωροδοκοῦντες, πάντως ἐπὶ ἀδικήμασι καὶ ἀσεβήμασι τοῦτο ὑπομένουσιν.

C

Vers. 35. « Concipiet et in ventre gemitus; evadent autem ei vana. [*Aquila vero*, Concepit et peperit rem inutilem.] Et venter ejus sustinebit dolum. »

« Ἐν γαστρὶ δὲ λήψεται ὀδύνας, ἀποβήσεται δὲ αὐτῷ κενά· [Ὁ δὲ Ἀκύλας, Συνέλαβε καὶ ἔτεκεν ἀνωφελές.] ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον. »

Dolores, inquit, contra alios impius meditatur; et dolum in se habens, quo pacto aliis dolorem afferat, deliberat: quare exitus et finis ejus inanis et vanitati similis erit. Illud autem, *sustinebit dolum*, ideo dicitur, quia ex voluntate arbitrii mala concipiat. *Ventrem* autem vocat regionem omnem corporis internam, et animam ipsam: *dolum* autem, omnem improbitatem, ac si anima ejus dolum innatum et insitum haberet. Vel igitur hoc dicit: Improbum, scilicet, adversus alios dolores concepturum, et parentem improbi fetus futurum; fraudem tamen ejus et iniquitatem contra alios conceptam, et in lucem editam, in nihilum evasuram. Vel, Hominem ex impietate ditescentem, instar feminæ parturientis, propter ea quæ possidet, acerbo dololoris sensu affectum iri, ac eventum ejus vanum et inanem futurum. Calamitas enim illi qui rerum affluentia abundat, gravior esse solet; Deo enim rapinarum pœnas ab eo exigente, ex bonorum copia quam accumulavit, fructum nullum percipiet, nec præter calamitatem, quam propter rerum alienarum appetitum patitur, quidquam illi reliquum erit; ac si diceret: Tu, Jobe, qui multum sudasti; et ex injutia aliis illata divitias coacervasti, meritas impro-

D

' Ὀδύνας, φησὶν, ὁ ἀσεβὴς μελετᾷ τὰς καθ' ἑτέρων, καὶ δόλον ἔχων ἐν ἑαυτῷ, βουλεύεται πῶς τινας ὀδυνήσῃ· διὰ τοῦτο καὶ ἡ ἔκβασις αὐτοῦ καὶ τὸ τέλος κενὸν ἔσται, καὶ ματαιότητι ἐοικός. Τὸ δὲ, *ὑποίσει δόλον*, διὰ τὸ ἐκ προαιρέσεως ὑποδέχεσθαι τὰ κακά. *Κοιλίαν* δὲ, ὅλον τὸ ἐντὸς χωρίον φησὶ, καὶ αὐτὴν τὴν ψυχήν· *δόλον* δὲ τὴν πᾶσαν κακίαν, ὡς τῆς ψυχῆς αὐτοῦ δόλον φερούσης. Ἢ τοίνυν τοῦτό φησιν, Ὅτι ὁ φαῦλος κυήσει κατ' ἄλλων ὀδύνας, καὶ πατὴρ ἔσται πονηρῶν γεννημάτων· εἰς οὐδὲν δὲ αὐτῷ ἀποβήσεται ἡ καθ' ἑτέρων ὠδινηθεῖσα καὶ συλληφθεῖσα ἀνομία καὶ δολιότης· ἢ, ὅτι Ὁ ἐν ἀσεβείᾳ πλουτῶν, δίκην τῶν τικτουσῶν, περιώδυνος ἐπὶ τοῖς κτηθεῖσι γενήσεται, καὶ ἡ ἔκβασις αὐτοῦ κενὴ, καὶ ματαία. Χαλεπωτέρα γὰρ ἡ συμφορὰ τοῖς [ἴσ. τῷ] ἐν περιουσίᾳ καθέστηκε· πλεῖστα γὰρ συναγαγὼν οὐδὲν ἀποίσεται κέρδος, τοῦ Θεοῦ δίκην αὐτὸν τῆς ἁρπαγῆς εἰσπραττομένου, καὶ οὐδὲν πλέον ἕξει τῆς ταλαιπωρίας, ἣν ὑφίσταται τῶν ἀλλοτρίων ἐρῶν· ἵνα εἴπῃ, ὅτι Σὺ πολλὰ καμὼν, ὦ Ἰὼβ, καὶ ἐκ τῆς καθ' ἑτέρων ἀδικίας συναγαγὼν, οὐδὲν ἐντεῦθεν ἀπόνασαι [ἴσ. ἀπωνήσω], ἀξίαν τῆς πονηρίας δεδωκὼς τὴν δίκην· τὸν γὰρ δόλον, ὃν καθ' ἑτέρων εἰργάσω καὶ ἐβουλεύσω, ἤγουν τὴν ἐπ' αὐτῷ τιμω-

Digitized by Google

ρίαν, αὐτὸς ὑποστήσῃ· κοιλίαν δὲ τὴν διάνοιαν, ἤτοι τὴν ψυχὴν λέγει.

ΚΕΦΑΛ. ΙϚ'.

Προθεωρία.

Τοῦ Ἐλιφὰζ εἰρηκότος, τὰς κολάσεις τοῖς ἀσεβέσιν ἐπιφέρεσθαι, πρὸς τοῦτο εὐθὺς ὁ Ἰὼβ ἀπαντᾷ, καί φησιν· *Ἀκήκοα τοιαῦτα πολλά.* Μέμφεται δὲ τοῖς φίλοις, ὡς οὐκ εἰδόσι παρακλητικοὺς προσαγαγεῖν λόγους καὶ αἰσθάνεται μὲν διαβόλῳ παραδιδόμενος ὑπὸ Θεοῦ, τὴν δὲ αἰτίαν ἀγνοεῖ. Εἶτα λέγει τὰ περιέχοντα δεινά, καὶ αἰτεῖ μὴ παρασιωπηθῆναι τὰ κατ' αὐτόν· καὶ Θεὸν ποιεῖται μάρτυρα τῆς ἑαυτοῦ συνειδήσεως, καὶ ποθεῖ τὸν θάνατον· καὶ πάλιν ἐκδιηγεῖται τὰς συμφορὰς, εἰς ὀδυρμὸν κατακλείων τὸν λόγον.

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει· Ἀκήκοα τοιαῦτα πολλά. »

Τοιαῦτα, φησὶν, οἷα λέγετε, πολλάκις ἀκήκοα, ὡς τοὺς ἀσεβεῖς αἱ κολάσεις ἐκδέχονται· ὥστε καὶ σὺ τὰ κατημαξευμένα μοι εἰρηκας, καὶ προφάσει παραινέσεως ὠνείδισας· κοινὰ γὰρ ταῦτα πάντων ἐστὶ τὰ ῥήματα, ἐπεὶ καὶ ῥᾴον τοῖς ἐν συμφορᾷ τοὺς μηδὲν πάσχοντας μακρὰν παρατείνειν τὰς παραινέσεις.

« Παρακλήτορες κακῶν πάντες. »

Ὑμεῖς οὖν, φησὶν, ἐστὲ κακοὶ παρακλήτορες, διὰ τῶν λόγων ἐπιτρίβοντές μοι τὰ πάθη· καὶ ὡς ἔοικεν, ἐναντίον τοῦ σκοποῦ διαπράττεσθε· ἐλθόντες γὰρ παρακαλέσαι, πλήττοντες διατελεῖτε πολλαῖς βασάνοις ταῖς λοιδορίαις τὸν μηδὲν ἠδικηκότα.

« Εἶτ' ἐναλοῦμαι ὑμῖν ῥήμασι, κινήσω δὲ καθ' ὑμῶν κεφαλήν. »

Ἔστι δὲ καὶ μετὰ ἤθους ἀναγνῶναι οὕτως· Εἰ ἦτε ἐν τοῖς ἐμοῖς κακοῖς, ἆρα ἐνηλλόμην καθ' ὑμῶν τοῖς ῥήμασιν, ἢ ἐκίνουν καθ' ὑμῶν τὴν κεφαλήν; οὐδαμῶς· ἀλλὰ λόγοις ἂν ὑμᾶς ἐπέῤῥωσα παρακλητικοῖς. Ταύτῃ δὲ συντρέχων τῇ ἐννοίᾳ, καὶ ἕτερος τῶν ἑρμηνευτῶν οὕτως ἐκδέδωκεν· Εἰ ὑμεῖς τοῖς ἐμοῖς ὑπέκεισθε πάθεσιν, ἑτέροις προσεγενόμην ἂν ὑμῖν λόγοις, καὶ ἐκίνησα ἂν ἐφ' ὑμῖν τὴν κεφαλήν, συμπαθῶς, δηλονότι, καὶ ἐπέῤῥωσα ἂν ὑμᾶς ἐν τῷ στόματί μου· ἀνθ' οὗ οἱ Ἑβδομήκοντα,

« Εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου· κίνησιν δὲ χειλέων οὐ φείσομαι. »

Εἴθε, φησὶν, οἷόν τε ἦν μοι τῷ λόγῳ παραστῆσαι τὰ πάθη, καὶ οὐκ ἂν παρῆκα ἄχρις οὗ ὑπ' ὄψιν ἤγαγον τὰς συμφορὰς· οὕτω γὰρ ἴσως μόνως συγγνώμονες ἐγεγόνειτε, εἴπερ ἐγένετό μοι ἰσχυρῷ τόνῳ καὶ ἀνακεκαλυμμένῃ γλώσσῃ κεχρῆσθαι πρὸς ὑμᾶς. Εἶτα ἐρωτηματικῶς τὰ ἑξῆς ἀνάγνωθι.

« Ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα; ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι; »

Ἀντὶ τοῦ, Ναὶ πάντως ἀλγήσω. Ὃ δὲ λέγει τοῦτό

bitatis tuæ pœnas luens, fructum nullum ex lis percepisti : dolum enim quem in alios machinatus et meditatus es (pro eo, scilicet, supplicium) ipsø subibis : *ventrem* autem, mentem vel animam dicit.

CAP. XVI.

Protheoria.

Cum Eliphazus impios suppliciis affici dixisset, huic dicto statim Jobus occurrens, dicit : *Multa talia audivi.* Amicos autem vituperat, quod verba consolatoria in medium afferre nescirent; et seipsum diabolo a Deo traditum agnoscit, causam autem ignorat. Deinde ærumnas quibus premebatur persequitur, et enixe postulat, ne silentio et oblivione sepeliantur quæ ipsi acciderunt : Deum etiam conscientiæ suæ testem statuit, ac mortem exoptat : rursusque luctu ac lamentis orationem claudens, calamitates suas enarrat.

Vers. 1, 2. « Respondens autem Job, ait : Audivi talia multa. »

Qualia, inquit, vos loquimini sæpius audivi, quod, scilicet, impios supplicia consequuntur; ita ut trita etiam et omnibus vulgata mihi dixeris, et consolationis prætextu probris ac conviciis incesseris : hujusmodi enim verba omnibus sunt communia, quandoquidem facile est iis qui nihil acerbi patiuntur, homines calamitosos sermonibus in longum productis adhortari.

« Consolatores malorum omnes. »

Vos, inquit, mali estis consolatores, qui sermonibus vestris ærumnas meas refricatis : et, ut videtur, alia quam in initio proposueratis, facitis; ad solandum enim accedentes, pluribus conviciis, tanquam tormentis, incessere eum non desinitis, qui nulla vos injuria læsit.

Vers. 5. « Deinde insultabo in vos verbis, et movebo contra vos caput. »

Licet etiam morata loquendi formula, et quæ affectus exprimat, sic legere : Si in malis et ærumnis meis constituti essetis, num verbis vobis insultarem, vel caput contra vos agitarem? Nequaquam; sed verbis potius consolatoriis animos vestros erigerem. Huic etiam sensui alius interpretum consentiens, sic reddidit : Si vos meis ærumnis subjecti essetis, aliis sermonibus ad vos accessissem, et caput super vos movissem, cum doloris, scilicet, affectu, et vos in ore meo corroborassem; pro quo Septuaginta,

Vers. 6. « Sit autem fortitudo in ore meo : motui autem labiorum non parcam. »

Utinam, inquit, verbis ærumnas repræsentare possem, non prius desinerem, quam ob oculos calamitates meas ponerem : hac enim fortasse solatione veniam mihi indulgeretis, si voce robusta et sermone aperto apud vos uti possem. Quæ deinceps sequuntur, per interrogationem legenda sunt.

Vers. 7. « Si enim loquar, non dolebo vulnus? Quod et si tacebo, quid minus vulnerabor? »

Id est, Omnino dolebo. Ejusmodi autem est quod

Digitized by Google

dicit : Licet præ dolorum magnitudine in verba proruperim, non solum consolatione indignus censeor, neque *dolor meus remittet*, ut Symmachus reddidit, sed singulis blasphemum me judicantibus, in pejora incido : si autem convicia silentio ferre voluerim, non solum philosophiæ et æquanimitatis gloria privabor; sed e contra, propter silentium, quod a conscientia eorum quæ dicuntur proficisci existimabitur, multo magis tanquam legum violator condemnabor. Si igitur, sive loquar, sive taceam, omnino mihi dolendum sit, loqui satius erit, ne silentio vestram accusationem comprobare videar.

VERS. 8. « Nunc autem lassatum me fecit, stultum, putrem. »

Olympiodori et *Chrysostomi*. Non sufficit, inquit, quod suppliciis plectar, sed stultus et fatuus etiam videor; supplicium enim defatigavit, concidit, et putrem me reddidit; ut parum absit, quin mente captus existimer. Vel hoc etiam fortasse dicit : Permisit Deus ut amici me doloris sensu in ærumnis carere arbitrarentur; *stultum* enim hoc loco, pro stupido et sensus experte, dixit; unde huic, *putrem*, conjunxit, quia membra putrefacta sensu priventur.

« Et apprehendisti me; et in testimonium fuit. »

Alia exemplaria habent : *Apprehendit me*. Juxta autem priorem lectionem (pro qua Symmachus reddidit : *Colligasti me assidue in jugo*), Deum sic alloquitur : Simul atque tanquam vir fortis, parvum me et imbecillem attigisti, in exemplum omnibus propositus sum, quod propter peccata pœnas luerem : secundum autem alteram lectionem, *apprehendit me*, de Deo amicis dicit : Attigit me, et ad vituperandum coram mihi obstitit. Et illud, *in testimonium fui*, id est : Fortitudo mea omnium auribus exposita est. Prior autem acceptio verior est, quod, scilicet, postquam Deus supplicio me affecerit, omnes inde vituperandi me ansam arripiant, nullamque pietatis meæ examinationem instituant : *In testimonium* igitur, id est, in reprehensionem.

VERS. 9. « Et surrexit super me mendacium meum, contra faciem meam respondit. »

Olympiodori et *Polychronii*. Symmachus apertius hoc dixit : *Et surrexit contra me mentiens, in faciem meam contradicens mihi*. Dum hæc, inquit, ego patior, qui contra me mentiuntur prætextum invenerant coram et in os, pudore omni abjecto, respondendi, et dicendi, quod propter peccata patiar. Et accusatio quidem contra me creverat, nullam veritatem in se habens, sed affectibus uniuscujusque prævalens, qui ex iis quæ accidunt, non autem ex ipsa rerum natura, judicium ferunt. Dicit igitur, *surrexit mendacium meum*, sub mendacio contra eum confecto, quasi sub persona ficta, accusationis speciem inducens. Quod dicere autem vult, hoc est : Vos adversum me mentientes insurrexistis, minime quidem veritatem reveriti, sed multa cum audacia mihi contradicentes.

A ἐστιν, ὅτι Κἂν τι ὑπὸ τῶν ἀλγηδόνων προαχθῶ φθέγξασθαι, οὐ μόνον παραμυθίας οὐκ ἀξιοῦμαι, οὐδὲ *ἐνδώσει ὁ πόνος μου*, κατὰ Σύμμαχον, ἀλλὰ καὶ χείροσι περιπίπτω, ἑκάστου με ὡς βλάσφημον κρίνοντος· εἰ δὲ καὶ σιωπῇ ἐνέγκαι τὰ ὀνείδη βουληθείην, οὐ μόνον φιλοσοφίας δόξαν οὐκ ἀποίσομαι, ἀλλὰ τοὐναντίον μειζόνως ὡς παράνομος κριθήσομαι, τῆς σιωπῆς ἀπὸ τοῦ περὶ τὰ λεγόμενα συνειδότος γίνεσθαι νομιζομένης. Εἰ τοίνυν, καὶ λαλῶν, καὶ σιωπῶν, πάντως ἀλγεῖν μέλλω, ἄμεινον τὸ λαλεῖν, ἵνα μὴ δόξω τῇ σιωπῇ συγκατατίθεσθαι τῇ ὑμετέρᾳ κατηγορίᾳ.

« Νῦν δὲ κατάκοπόν με πεποίηκε, μωρὸν, σεσηπότα. »

B *Ὀλυμπιοδώρου* καὶ *Χρυσοστ.* Οὐκ ἀρκεῖ, φησὶν, ὅτι κολάζομαι, ἀλλὰ καὶ ἀνόητος εἶναι δοκῶ· ἡ γὰρ τιμωρία κατέσκυλέ με, καὶ κατέκοψέ με, καὶ κατέσηψεν, ὡς μικροῦ δοκεῖν καὶ τῶν κατὰ φύσιν ἐκστῆναι φρενῶν. Ἢ τάχα κἀκεῖνο λέγει, ὅτι Συνεχώρησεν ὁ Θεὸς τοὺς φίλους περὶ ἐμοῦ ὑπολαμβάνειν, ὅτι ἀνάλγητός εἰμι ἐν ταῖς συμφοραῖς· *μωρὸν* γὰρ ἐνταῦθα, ἀντὶ τοῦ, ἀναίσθητον, εἶπε· διὸ συνῆψε τούτῳ, τὸ, *σεσηπότα*, διὰ τὸ τὰ σεσημμένα τῶν μελῶν ἀφῃρῆσθαι τὴν αἴσθησιν.

« Καὶ ἐπελάβου μου· εἰς μαρτύριον ἐγενήθη. »

C Ἕτερα δὲ ἀντίγραφα· *Ἐπελάβετό μου*, ἔχει. Κατὰ μὲν οὖν τὸ, *Ἐπελάβου μου*, ὅπερ ὁ Σύμμαχος, *Κατέδησάς με ἀδιαλείπτως ἐν ζυγῷ*, ἐξέδωκε, πρὸς τὸν Θεὸν λέγει, ὅτι Οἷά τις ἀνδρεῖος ἅμα τε ἥψω μου τοῦ μικροῦ καὶ ἀσθενοῦς, καὶ εὐθὺς εἰς παράδειγμα γέγονα πᾶσιν, ὅτι δι' ἁμαρτίας κολάζομαι· κατὰ δὲ τὸ, *Ἐπελάβετό μου*, ὡς πρὸς τοὺς φίλους λέγει περὶ τοῦ Θεοῦ, ὅτι Καθήψατό μου, εἰς ἔλεγχόν μοι ἀντικατέστη ἢ [*Ισ.* καὶ] τὸ, *εἰς μαρτύριον ἐγενήθην*, ἀντὶ τοῦ, Ἡ ἐμὴ ἀνδρεία πᾶσιν ἐξάκουστος ἐξετέθη. Ἀληθεστέρα δὲ ἡ πρώτη ἐκδοχή, ὅτι Ἐπειδὴ ἐτιμωρήσατό με ὁ Θεὸς, ἅπαντες τοῦτο ἀφορμὴν τῆς κατ' ἐμοῦ κατηγορίας ποιοῦνται, οὐδεμίαν τῆς ἐμῆς εὐσεβείας ἐξέτασιν ποιούμενοι· τὸ οὖν, *εἰς μαρτύριον* ἀντὶ τοῦ, εἰς κατηγορίαν.

« Καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου, κατὰ πρόσωπόν μου ἀνταπεκρίθη. »

D *Ὀλυμπιοδώρου* καὶ *Πολυχρονίου*. Τοῦτο σαφέστερον εἶπέν ὁ Σύμμαχος· *Καὶ ἀνέστη μοι καταψευδόμενος, κατὰ πρόσωπόν μου ἀντιλέγων μοι*. Ταῦτά μου, φησὶ, πάσχοντος, εὗρον πρόφασιν οἱ καταψευδόμενοί μου, ὡς καὶ κατὰ πρόσωπόν μου ἀνερυθριάστως ἀνταποκρίνασθαι, καὶ λέγειν, ὅτι δι' ἁμαρτίας πάσχω. Καὶ ἐχώρησεν ἡ κατ' ἐμοῦ κατηγορία, ἔχουσα μὲν οὐδὲν λέγειν ἀληθὲς, κρατοῦσα δὲ τοῖς πάθεσιν, ἑκάστου οὐκ ἐκ τῶν πραγμάτων κρίνοντος, ἀπὸ δὲ τῶν συμβαινόντων φέροντος τὴν ψῆφον. Λέγει μὲν οὖν, τὸ, *ἀνέστη τὸ ψεῦδός μου*, ἐπὶ τῆς κατ' αὐτοῦ ψευδηγορίας, προσωποποιῶν τῆς κατηγορίας τὸ εἶδος. Βούλεται δὲ εἰπεῖν, ὅτι Ὑμεῖς ἀντέστητε ψευδόμενοι κατ' ἐμοῦ, ἧκιστα μὲν τὴν ἀλήθειαν αἰδούμενοι, σὺν πολλῷ δὲ τῷ θράσει τὴν πρὸς ἐμὲ ἀντιλογίαν ποιούμενοι.

Digitized by Google

« Ὀργῇ χρησάμενος κατέβαλέ με, ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας. »

Ταῦτα εἰ μὲν περὶ Θεοῦ λέγει, τὸ σφοδρὸν τῆς ὀργῆς σημαίνει· ὅτι Ὡς οἱ τρίζοντες τοὺς ὀδόντας ὑπὸ τοῦ θυμοῦ, οὕτως ἐχρήσατό μοι· εἰ δὲ περὶ τοῦ διαβόλου καὶ τῶν δαιμόνων, αὐτολεξεὶ περὶ τούτων καὶ ὁ μέγας ψάλλει Δαβίδ· *Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν*· ἐπειδὴ γὰρ *Ὡς λέων περιέρχεται ζητῶν τίνα καταπίῃ*, ἐνδίκως ὡς λέων καὶ βρύχεσθαι λέγεται.

« Βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσαν. »

Εἰ μὲν περὶ Θεοῦ τὸ λεγόμενον, τὸ ἀθρόον δείκνυσι τῶν ἐπελθόντων αὐτῷ κακῶν· ἵνα εἴπῃ, ὅτι Αἱ τιμωρίαι, ὥσπερ τινὲς πειρατα, ἀδοκήτως ἐπιπεπτώκασί μοι· εἰ δὲ περὶ τοῦ διαβόλου, πειρατὰς αὐτοῦ λέγει τοὺς ὑπουργοῦντας αὐτῷ δαίμονας.

« Ἀκίσιν ὀφθαλμῶν ἐνήλατο. »

Ὀλυμπιοδώρου καὶ Πολυχρονίου. Καὶ τοῦτο σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν, εἰπών· *Οἱ ἐναντίοι μου ὠξυναν τοὺς ὀφθαλμοὺς αὐτῶν ἕκαστος εἰς ἐμέ*· ὡς εἶναι τὸ δηλούμενον τοιοῦτον, ὅτι Οὐ μόνον ἐν τῷ βρύχειν τοὺς ὀδόντας τὴν κατ' ἐμοῦ ὀργὴν ἐνέφηνεν, ἢ ὁ Θεὸς συγχωρῶν, ἢ ὁ διάβολος ἐνεργῶν, ἀλλὰ καὶ ἐν τῷ ὀξύνειν κατ' ἐμοῦ τοὺς ὀφθαλμοὺς, καὶ δεινοποιεῖν αὐτούς, καὶ λοξόν τι καὶ ἄγριον ἐνορᾶν, καὶ μετὰ τοιούτου σχήματος φοβεροῦ ἐνάλλεσθαί μοι. Τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι Καιρίας ἤνεγκε κατ' ἐμοῦ τὰς πληγὰς, καὶ ὡς βέλεσι καὶ ἀκοντίοις κατὰ τῶν ἐμῶν ὀφθαλμῶν ἔτρωσέ με· ἀκίδες γάρ εἰσι τὰ τῶν βελῶν σιδήρια. Ὀφθαλμῶν δὲ ἐμνημόνευσε, τὸ βαρὺ τῆς πληγῆς σημαίνων.

« Ὀξεῖ ἔπαισέ με εἰς τὰ γόνατα. »

Σφοδρῶς, φησὶν, ἔπληξέ με, ὡς ἐκλελύσθαι μου τὰ γόνατα, καὶ καταπεσεῖν.

« Ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμοί. »

Αἱ τοῦ Θεοῦ, δηλαδὴ, τιμωρίαι, ἢ οἱ τοῦ διαβόλου πειραταί. Λέγει δὲ πάντα τὰ συμβεβηκότα αὐτῷ, τὴν τῶν ὑπαρχόντων ἀπώλειαν, τὴν τοῦ σώματος κάκωσιν.

« Λαβών με τῆς κόμης διέτιλε. »

Κόμην, τὸν κόσμον καὶ τὴν εὐπραγίαν φησὶν· ἵνα εἴπῃ, ὅτι Τὴν ἐν ἀνέσει μου διαγωγὴν, καὶ τὴν εὐθηνίαν, καὶ τὴν εὐπρέπειαν ὑφείλετο, καὶ διεσκέδασέ με. Ὁ δὲ Ἑβραῖος· *Λαβών με τοῦ τένοντος διετίναξεν*, ἐκ μεταφορᾶς τῶν κατ' ἔριν καὶ θυμὸν παλαιόντων, καὶ τοῦ τραχήλου ἐπιλαμβανομένων τοῦ ἀντιπαλαίοντος, καὶ εἰς γῆν αὐτὸν καταῤῥασσόντων μετὰ τιναγμοῦ.

« Κατέστησέ με ὥσπερ σκοπὸν· ἐκύκλωσάν με λόγχαις βάλλοντες εἰς νεφρούς μου, οὐ φειδόμενοι. »

Τοῦ Θεοῦ, φησὶν, στήσαντός με ὥσπερ τινὰ σκοπὸν, ἐπὶ τῷ τὰς ἁπάντων δέχεσθαι βολὰς, ὥσπερ τισὶ βολαῖς κατὰ τῶν νεφρῶν μου κατηκόντισαν· ἵνα

Vers. 10. « Iracundia usus dejecit me, fremuit super me dentibus. »

Hæc si de Deo loquitur, iræ ejus vehementiam significat; quia quemadmodum ii qui præ iracundia dentibus stridunt, talem se erga me gessit: si vero de diabolo et de dæmonibus, iisdem verbis de iis magnus David canit; *Frenderunt super me dentibus suis*[89]; quandoquidem enim *tanquam leo circumit, quærens quem devoret*[90], merito etiam tanquam leo fremere dicitur.

« Sagittæ piratarum ejus super me deciderunt. »

Si de Deo hoc dicitur, subitum incursantium malorum impetum indicat; quasi diceret: Supplicia tanquam piratæ aliqui ex improviso me invaserunt; si autem de diabolo, dæmonas qui illi famulantur, piratas ejus vocat.

Vers. 11. « Acie oculorum irruit. »

Olympiodori et *Polychronii*. Symmachus hoc dilucidius sic interpretatus est: *Adversarii mei acuerunt oculos suos unusquisque in me*; ita ut sensus verborum hic sit, quod non solum dentibus frendendo, iram quam contra me conceperat, ostenderit, sive Deus veniam indulgens, sive diabolus opus peragens; verum etiam in eo quod oculos contra me acuerit, et truculentos reddiderit, et quod obliquo et truci aspectu me intuitus fuerit, et sub hac specie formidabili in me impetum fecerit. Alii vero sic intellexerunt, quod letales plagas mihi inflixerit, et tanquam sagittis et jaculis contra oculos meos directis, me vulneraverit; sagittarum enim cuspides, ἀκίδες vocantur. Meminit autem oculorum, ad vulneris atrocitatem indicandam.

« Mucrone percussit me in genibus. »

Valide, inquit, me percussit, ita ut dissolverentur genua mea et corruerent.

« Et simul concurrerunt in me. »

Divina, scilicet, supplicia, vel diaboli piratæ. Omnia autem quæ ipsi acciderant, narrat, bonorum amissionem, et corporis afflictionem.

Vers. 13. « Tenens me coma divulsit. »

Ornatum, et prosperum rerum statum, *comam* vocat; ac si diceret: Vitam meam in otio et quiete transactam, rerum omnium affluentiam, et cultum omnem ac elegantiam abstulit, meque ipsum dissipavit. Hebræus autem: *Apprehendens me per cervicem, concussit*, metaphora ab iis sumpta, qui contentione et ira accensi luctantur, colloque adversarii manum injiciunt, et cum concussione ad terram eum allidunt.

« Statuit me sicut signum; [Vers. 14] circumdederunt me lanceis emittentes in renes meos, non parcentes. »

Cum Deus me tanquam scopum constituerit, ut omnium tela et ictus exciperem, tanquam jaculis quibusdam renes meos transfixerunt; ac si diceret,

[89] Psal. xxxiv, 16. [90] I Petr. v, 8.

Digitized by Google

membra mea occulta et maxime letalia. Hac autem similitudine, mortiferæ plagæ insanabilitatem ob oculos posuit; illud enim, *Sicut signum*, id est, ut tanquam ad scopum ictus dirigant, et omnes in me collineent: quod quidem ab iis factum est; in orbem enim circum me stantes, cum studio et diligentia plagas mihi inflixerunt, et in nullo mihi parcentes, omnia sine misericordia ab iis gesta sunt: hoc autem dixit, quia fortunarum nullæ reliquiæ ei sunt factæ. Postquam autem dixisset: Signum sum omnibus propositus, et jaculis petor, metaphoræ insistens, tanquam in præcordiis et visceribus vulnus accepisset, ait :

« Effuderunt in terram fel meum. »

Id est, rebus omnibus me nudarunt, exhaurientes quidquid in me vitale et vegetabile erat.

Vers. 15. « Dejecerunt me ruinam super ruinam. »

His verbis continua et non interrupta supplicia innuit, et quod calamitates alias pertulerit.

Vers. 16. « Cilicium assuerunt corio meo. »

Vel hoc dicit: Propter dolorum vehementiam cutis mea, tanquam saccus ex pilis contextus, nigredinem contraxit: vel, Quemadmodum qui cilicium gestant, corpus affligunt, sic ego totus affligor: vel, Quia propter summam egestatem, pro veste splendida et regia, sacco amictus sum, et prioris felicitatis nullas reliquias possidens, ad lugubrem habitum redactus sum.

« Robur autem meum in terra exstinctum est. »

Id est, Omnis mea potestas et felicitas, et gloria ac dignitas qua fruebar, exstincta et deleta est.

Vers. 17. « Venter meus combustus est a fletu, et super palpebras meas umbra. »

Animam, *ventrem* vocat, vel quia abdita et invisibilis sit, vel quia rationis alimenta distribuit. Dicit igitur : Ardet anima mea, et lacrymas indesinenter fundo, ita ut oculorum videndi facultas læsa sit: vel, Præ animi ægritudine tanquam in tenebris dego. Alia autem exemplaria, *Umbram mortis*, habent; ac si diceret, Mors mihi ob oculos versatur.

Vers. 19. « Terra, ne operias super sanguinem carnis meæ, nec sit locus clamori meo. »

Olympiodori et *Polychronii*. Verba hæc ad misericordiam excitantis sunt, quamvis precantis more concipiantur: dicit autem, Ne sileas, o terra, ea quæ mihi acciderunt, neque sanguinem meum injuste e carne mea effusum contegas (quin tanquam Abelis sanguis, clamorem edat[91]) et quæ corporis mei sanie respersa es, Deum precibus ad vindictam sumendam excita : neque vociferationem meam aer cohibeat, neque luctus et lamenta loco consistant, et occultentur, aut oblivione deleantur,

[91] Gen. IV, 10.

εἶπη, ὅτι κατὰ τῶν ἀποκρύφων καὶ καιριωτάτων. Τῷ δὲ παραδείγματι τὸ καίριον παρέστησε τῆς πληγῆς· τὸ γάρ, *ὥσπερ σκοπόν*, ἀντὶ τοῦ, ὥστε κατὰ σκοποῦ βαλεῖν, ὥστε πάντας ἐμοὶ ἐπιτοξάζεσθαι· ὃ καὶ ἐποίησαν, κύκλῳ γάρ με περιστάντες, ἐπιμελῶς ταῖς κατ' ἐμοῦ ἐχρῶντο πληγαῖς, καὶ ἀνηλεῶς ἅπαντα διεπράττοντο, μὴ φειδόμενοι· τοῦτο δὲ εἶπεν, ἐπειδὴ μηδὲ λείψανον περιελείφθη. Ἐπειδὴ δὲ εἶπεν, ὅτι Σκοπὸς τέθειμαι πᾶσι, καὶ τοξεύομαι, ἐπιμένων τῇ μεταφορᾷ, ὡς κατὰ τῶν σπλάγχνων πληγείς, φησίν·

« Ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου. »

Τουτέστιν, ἔρημόν με πάντων κατέστησαν, κενώσαντες εἴ τι μοι ζωτικὸν ἐνῆν.

« Κατέβαλόν με πτῶμα ἐπὶ πτώματι. »

Διὰ τούτου τὰς ἀλλεπαλλήλους αἰνίττεται τιμωρίας, καὶ ὅτι ἄλλας ἐπ' ἄλλαις συμφορὰς ὑπέμεινεν.

« Σάκκον ἔῤῥαψαν ἐπὶ βύρσης μου. »

Ἢ τοῦτο λέγει, ὅτι Μεμελάνωταί μου τὸ δέρμα διὰ τὴν τῶν παθῶν ἐπίτασιν, ὥσπερ τις ἐκ τριχῶν πεποιημένος σάκκος· ἢ, ὅτι Ὥσπερ οἱ σάκκον φοροῦντες κατατρύχονται τὸ σῶμα, οὕτως ὅλος κατατρύχομαι· ἢ, ὅτι Ἐκ λαμπρᾶς καὶ βασιλικῆς ἐσθῆτος, ὑπὸ τῆς ἄγαν πενίας σάκκον περιβέβλημαι, καὶ εἰς πενθικὸν σχῆμα κατέστην, οὐδὲν λεῖψανον τῆς προλαβούσης εὐημερίας φέρων.

« Τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη. »

Ἀντὶ τοῦ, Ἡ δύναμις, καὶ ἡ εὐπραγία μου πᾶσα, καὶ ἡ προσοῦσά μοι ἀξία καὶ τιμὴ, ἀπεσβέσθη καὶ ἠφανίσθη.

« Ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ, ἐπὶ δὲ βλεφάροις μου σκιά. »

Γαστέρα τὴν ψυχὴν φησιν, ἢ διὰ τὸ ἀπόκρυφον καὶ ἀόρατον, ἢ ὡς ἀναδοτικὴν τῶν ἐκ τοῦ λόγου τροφῶν. Λέγει οὖν, ὅτι Ἡ ψυχή μου συγκαίεται, καὶ ἀπαύστως δακρύω, ὥστε καὶ ἡ ὀπτικὴ τῶν ὀφθαλμῶν μου κατεβλάβη δύναμις· ἢ καὶ ὑπὸ τῆς ἀθυμίας [γρ. ῥᾳθυμίας] ὡς ἐν σκότει διάγω. Ἄλλα δὲ ἀντίγραφα, *Σκιὰν θανάτου*, ἔχουσιν· ἵνα εἴπῃ, ὅτι Καὶ πρὸ ὀφθαλμῶν μου ἔχω τὸν θάνατον.

« Γῆ, μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου, μηδὲ εἴη τόπος τῇ κραυγῇ μου. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Εἰς συμπάθειαν δὲ ἐκκαλουμένου τὰ ῥήματα, εἰ καὶ εὐκτικῶς εἴρηται· λέγει δὲ, Μὴ σιωπήσῃς, ὦ γῆ, τὰ κατ' ἐμὲ, μηδὲ συγκρύψῃς τὸ ἐμὸν αἷμα, τὸ ἀδίκως ἐκχεόμενον ἐκ τῆς σαρκός μου, ἀλλὰ κραξάτω, ὡς τὸ τοῦ Ἄβελ, καὶ ἐκκάλεσαι τὸν Θεὸν εἰς ἐκδικίαν, αὐτοὺς τοῦ σώματος τοὺς ἰχῶρας ἔχουσα· καὶ ὁ ἀὴρ μὴ ἐπίσχοι μου τὴν κραυγὴν, μηδὲ στῇ ἐν τόπῳ καὶ ἀποκρυβῇ, καὶ εἰς λήθην ἔλθοι τὰ κατὰ τοὺς ἐμοὺς ὀδυρμοὺς, ἀλλ' εἰς οὐρανοὺς φθασάτω τῆς φωνῆς μου ὁ τόνος,

Digitized by Google

ἵν' ὁ Θεὸς τῶν γινομένων κακῶν ἔκδικος καταστὰς, καὶ τοὺς αἰτίους ἀμυνόμενος, τοῦτο γοῦν ἅπασι δείξῃ, τῶν ἐμοὶ βεβιωμένων τὰ ἄμεμπτον. Ἔθος δὲ τοῦτο τοῖς ἐν δεινοῖς οὖσι, τὰ κακὰ αὐτῶν μὴ θέλειν καλύπτεσθαι. Τοσοῦτον ἀπέχω, φησὶ, τοῦ συνειδέναι ἐμαυτῷ πονηρὰ, ὥστε βούλομαι πάντας ὁρᾷν ἃ πάσχω. Ταῦτα εὐκτικῶς ἅμα καὶ προφητικῶς εἶπας, μακάριε· οὐ γὰρ ἀπεκρύβη τὰ κατὰ σὲ, ἀλλὰ πάντες ἀνὰ στόμα ἔχομεν ἄνθρωποι τὰ σὰ παλαίσματα, καὶ τὴν ἀνδρείαν, καὶ τὴν ὑπομονὴν, καὶ τὰ ἐπὶ τούτοις βραβεῖα καὶ τοὺς στεφάνους, καὶ τὴν ἀφόρητον.

« Καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου, ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις. »

Ὀλυμπιοδώρου καὶ Πολυχρονίου. Εὖγε ψυχῆς καθαρᾶς, καὶ ἀγάπης ἀνυπερβλήτου, καὶ συνειδήσεως ἀληθινῆς, τὸν πάντα ἐφορῶντα ὀφθαλμὸν πρὸς μαρτυρίαν ἐπικαλουμένης. Τοῦ Θεοῦ γὰρ, φησὶ, τὴν κρίσιν καλῶ, ὃς τῶν ἁπάντων ἀκριβῆ τὴν γνῶσιν ἔχων, καὶ οὐκ ἀπὸ τῶν φαινομένων. Ἀλλ' ἀπὸ τῆς ἀληθείας τὴν ψῆφον φέρων, μάρτυς τῶν παρ' ἐμοῦ λεγομένων εἶναι δύναται.

« Ἔτη δὲ ἀριθμητὰ ἥκασιν, ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι, πορεύσομαι. »

Πάλιν τὸ ὀλιγοχρόνιον εἰς ἱκετηρίαν προβάλλεται, διδάσκων ὁμοῦ, ὅτι οἱ ἅπαξ ἀποθανόντες παλινδρομῆσαι εἰς τόνδε τὸν βίον οὐ δύνανται. Ταῦτα οὖν φησιν, αὐτῷ γενέσθαι πρὸ τοῦ θανάτου, μεγίστην κρίνων παραμυθίαν τῶν πραγμάτων τὸν ἔλεγχον.

ΚΕΦΑΛ. ΙΖ'.

« Ὀλέκομαι πνεύματι φερόμενος· δέομαι δὲ ταφῆς, καὶ οὐ τυγχάνω· λίσσομαι κάμνων, καὶ τί ποιήσας; »

Ἐν ταραχῇ, φησὶ, τὴν ψυχὴν καθέστηκα, ὑπὸ μὲν τῶν παθῶν στενοχωρούμενος· οὐδένα δὲ κριτὴν τῆς ἀδικίας ἔχων, καὶ οὔτε τῶν δεινῶν ἐλευθερίαν εὑρίσκω, οὔτε τοῦ βίου ἀπαλλαγὴν, ἀλλ' ἀπόλυμαι, πανταχοῦ τοῖς λογισμοῖς περιφερόμενος, καὶ πρὸς πάντα ἄφορῶν τὰ ἐμοὶ συμβεβηκότα· διὸ καὶ ποθῶ τὸν θάνατον, καὶ ἀπορίᾳ συνέχομαι, τούτου τυχεῖν μὴ δυνάμενος. « Τὸ γὰρ, *Λίσσομαι*, ἀντὶ τοῦ, Διαποροῦμαι, εἶπεν, ἤτοι, ἀντιβολῶ ταφῇ παραδοθῆναι· πλὴν οὐ τυγχάνω, φησὶ, τῆς ἐπιθυμίας, ἀλλὰ παραλελόγισμαι. Ὅρα οὖν, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, ὡς ποθεῖ μὲν τὸν θάνατον, καὶ ἐξὸν ἦν αὐτόχειρα αὐτὸν ἑαυτοῦ καταστῆναι, ἀλλ' οὐχ ἑαυτὸν ἐξάγει, τιμῶν τὸν συνδήσαντα.

« Ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι. »

Οἱ ἱππεῖς, φησὶν, καὶ πολέμιοι μετ' ἐξουσίας ληϊσάμενοι τὰ προσόντα μοι, ᾤχοντο· ἐγὼ δὲ ὥσπερ πελάγιος ἐν μέσῳ τῶν κακῶν φερόμενος [k] οὐδεμίαν τῶν συμφορῶν ὁρῶ λύσιν.

« Ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν. »

Τὸν ἐπὶ τοῖς τέκνοις ἀδιάλειπτον κλαυθμὸν ἐκτρα-

A sed ad cœlos vocis meæ intensio pertingat, ut Deus, malorum quæ fiunt vindex, et sceleris auctorum ultor constitutus, vitæ meæ anteactæ integritatem inculpatam, omnibus manifestam faciat. Mos autem hic est eorum qui in ærumnis versantur, ut nolint mala sua celari. Tantum, inquit, abest, ut malorum mihi conscius sim, ut omnes intueri ea quæ patior, desiderem. Hæc, o beate, ad modum supplicis simul et prophetæ a te dicta sunt; tua enim facinora non sunt occulta, sed certamina tua, fortitudinem tuam, et invictam patientiam, virtutumque harum præmia, coronas, et præconia, omnes homines in ore habemus.

Vers. 20. « Et ecce nunc in cœlis est testis meus, et conscius meus in excelsis. »

B *Olympiodori et Polychronii.* Euge animam puram, et charitatem eximiam, ac conscientiam veracem, quæ oculum cuncta intuentem in testimonium advocat. Dei, inquit, judicium appello, qui cum exactam omnium cognitionem habeat, neque secundum apparentiam, sed secundum veritatem sententiam ferat, eorum quæ a me dicuntur, testis idoneus esse potest.

Vers. 23. « Anni enim dinumerati venerunt; et via, per quam non revertar, ambulabo. »

Rursus vitæ brevitatem pro supplicatione in medium affert, simulque docet, vita functos ad hanc vitam redire non posse. Hæc igitur dicit, solatium sibi maximum futurum judicans, si actiones suæ

C ante obitum examinarentur.

CAP. XVII.

Vers. 1, 2. « Pereo spiritu agitatus: oro autem sepulcrum, et non contingit mihi; preces adhibeo cum labore, et quid feci? »

Præ ærumnis, inquit, et doloribus in angustias conjectus, animo sum perturbato; neminem vero injuriarum judicem habens, nec liberationem a malis, aut vitæ exitum reperiens, sed cogitationum æstu undique fluctuans, et cuncta quæ mihi acciderunt contemplans, pereo: unde fit ut mortem desiderem, et consilii inopia laborem, quod illam assequi non valeam. Illud enim, *Preces adhibeo*, id est, Animi, inquit, pendeo; vel, Sepulturæ tradi enixe peto; falsis autem rationibus decipior, D nec voti compos fio. Animadverte igitur, quod (prout in initio diximus) mortem exoptet; veritus tamen eum qui animam corpori conjunxit, violentas manus sibi non injecerit, cum in potestate sua esset mortem sibi consciscere.

« Et furati sunt extranei bona mea. »

Equites, inquit, et hostes, bona mea cum potestate deprædantes, abierunt: ego vero in mediis malis, tanquam in alto oceano jactatus, nullum exitum calamitatum video.

Vers. 5. « Et oculi super filios tabuerunt. »

Luctum perpetuum pro liberis tragice exaggerat.

VARIÆ LECTIONES.

[k] γρ, σαλεύων.

Digitized by Google

Vide autem quemadmodum non dixerit : Oculi mei propter fortunarum amissionem tabuerunt (illas enim in parvo pretio habuit), sed propter subitum liberorum interitum ; pro illis enim, tanquam illorum clade affectus, vehementer indoluit.

VERS. 7. « Cæcati enim sunt ab ira oculi mei. »

Id est, propter mala mihi a divina ira inflicta obfuscati et hebetati sunt : parum enim abest quin lacrymas pro liberorum interitu immaturo effundens, oculos corruperim.

VERS. 8. « Admiratio tenuit veraces super hoc. »

Qui veritatem sectantur, pariter ut vos affecti non erant, sed causam ob quam hæc paterer ignorantes, attoniti obstupuerunt. Hoc fortasse, ut amicos innuat, ab eo dictum est, quasi veritatis studio nequaquam tenerentur, sed Deo duntaxat gratificari vellent.

« Justus autem super impium consurgat. »

Tanquam de alio verba faciens, de seipso loquitur : *Ne exaltaveris injustos* ; contrarium nunc, inquit, eveniat, ut justus improbo superior evadat. Prius enim impii contra justum insurrexerant ; nunc ordo mutetur, rerum vices convertantur, et justi in iniquos et improbos imperium obtineant.

VERS. 9. « Teneat autem fidelis viam suam, et purus manibus sumat audaciam. »

Hoc per modum supplicationis dictum est, Utinam pristinam felicitatem recuperem. Theodotio autem sic reddens : *Et adhærebit justus viæ suæ*, non patitur ut in verbis precationem intelligamus, sed causæ potius redditionem et appositionem. Si justus, inquit, homine impio superior evaserit, neque vitium contra virtutem semper prævaluerit, quid demum eveniet ? Virtutis operarius minime scandalizabitur, neque æmulabitur ea quæ æmulanda non sunt ; sed si forte (quod fieri potest) a ratione aliquantulum deflexerit, rursus viæ suæ adhærebit, et ex virtutis præscripto ambulabit. Tale quiddam David in Psalmis canit : *Quia non relinquet Dominus virgam peccatorum super sortem justorum ; ut non extendant justi ad iniquitatem manus suas*[93]. Cui simile est hoc Jobi : Mei, inquit, nulla ratio aut cura habeatur ; quomodo autem alii viam virtutis insistent, nisi præter spem res eveniant, et ab injustis ad justos prospera fortuna transferatur ? Nisi sontium felix rerum status in contrarium mutetur, et insontes superiores inimicis evadant, quomodo vir integer animi fiduciam habebit ? Hoc autem negotium meo exemplo prospere succedet, si pristinam felicitatem recuperavero, et humiliatos eos videro, qui injuriam mihi intulerunt. Hæc autem Justus omnibus precatur : unde apparet eum non pro seipso, sed indefinite pro omni justo homine preces fudisse.

« Verumtamen omnes incumbite, et venite, quæso ; non enim invenio in vobis veritatem. »

[93] Psal. CXXIV, 3.

A γωδεῖ. Ὅρα δὲ, ὡς οὐκ εἶπεν, Οἱ ὀφθαλμοί μου ἐπὶ τῇ ἀπωλείᾳ τῶν ὑπαρχόντων ἐτάκησαν, μικρὸν γὰρ ἐκείνων ἐποιεῖτο λόγον· ἀλλ' ἐπὶ τῇ τῶν τέκνων ἀθρόᾳ τελευτῇ· ἐπὶ γὰρ τούτοις, ὡς συμπαθὴς πεπλήγητεν.

« Πεπήρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου. »

Τουτέστιν, ἠμαυρώθησαν ὑπὸ τῶν κατὰ θείαν ὀργὴν ἐπενεχθέντων μοι κακῶν· δακρύων γὰρ ἐπὶ τῇ ἀώρῳ τῶν παίδων τελευτῇ, μικροῦ καὶ τοὺς ὀφθαλμοὺς διέφθαρον.

« Θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ. »

Οὐ μὴν οἱ τῆς ἀληθείας μεταποιούμενοι, ὥσπερ ὑμεῖς διετέθησαν, ἀλλ' ἐξεπλάγησαν, διαποροῦντες ἐφ' οἷς ταῦτα πέπονθα. Τοῦτο δὲ, ἴσως καὶ τοὺς φίλους αἰνιττόμενος, λέγει, ὡς οὐ τῆς ἀληθείας μεταποιουμένους, ἀλλ' ἁπλῶς Θεῷ χαρίζεσθαι θέλοντας. B

« Δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπαναστήτω. »

Ὡς μὲν περὶ ἑτέρου λέγει, περὶ ἑαυτοῦ δέ φησιν· ἐπειδὴ γὰρ προεῖπε, *Μὴ ὑψώσῃς τοὺς ἀδίκους*, Τὸ ἐναντίον, φησὶ, γένοιτο, τὸ τὸν δίκαιον κατισχύσαι τοῦ παρανόμου. Πρότερον μὲν γὰρ δικαίῳ παράνομοι ἐπανέστησαν· νῦν δὲ ἀμειφθήτω ἡ τάξις, ἐναλλαγήτω τὰ πράγματα, καὶ κρατείτωσαν τῶν ἀδίκων καὶ φαύλων οἱ δίκαιοι.

« Σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδὸν, καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος. »

Τοῦτο εὐκτικῶς εἴρηται, κατασταίην εἰς τὴν ἀρχαίαν εὐημερίαν. Ὁ δὲ Θεοδοτίων ἐκδοὺς, *Καὶ ἀνθέξεται δίκαιος τῆς ἑαυτοῦ ὁδοῦ*, οὐκ ἀφίησιν ὡς εὐχὴν νοεῖσθαι τὸν λόγον, ἀλλ' ὡς αἰτίας παράθεσιν· ἐν [γρ. ὁ, ἴσ. εἰ] γὰρ κρείττων, φησὶ, φανεῖται τοῦ παρανόμου ὁ δίκαιος, καὶ οὐ κατισχύσει μέχρι τέλους ἡ κακία τῆς ἀρετῆς, τί συμβήσεται; Οὐ σκανδαλισθήσεται ὁ τῆς ἀρετῆς ἐργάτης, οὐ ζηλώσει τὰ ἀζήλωτα· ἀλλὰ κἂν, ὡς εἰκὸς, μικρόν τι τοῦ λόγου παρεκτράπῃ, πάλιν τῆς οἰκείας ὁδοῦ ἀνθέξεται, καὶ βαδιεῖται κατ' ἀρετήν. Τοιοῦτόν τι καὶ Δαβὶδ ψάλλει, ὅτι *Οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν*. Παραπλήσιον καὶ τοῦτο τοῦ Ἰώβ· Ἔστω, φησὶ, τὰ ἐμὰ ἐν οὐδενί· πῶς ἄλλοι στήσονται ἐν τῇ ὁδῷ τῆς ἀρετῆς, εἰ μὴ παρ' ἐλπίδας ἐκβαίη τὰ πράγματα, καὶ μεταστήσεται ἀπὸ τῶν ἀδίκων εἰς τοὺς δικαίους τὰ τῆς εὐημερίας; Πῶς ὁ καθαρὸς ἕξει θάρσος, εἰ μὴ περιτραπήσεται τὰ τῆς εὐτυχίας τοῖς ἐναγέσι, καὶ οἱ εὐαγεῖς κατισχύσουσι τῶν ὑπεναντίων; Τοῦτο δὲ κατορθωθήσεται ἐκ τοῦ κατ' ἐμὲ παραδείγματος, εἰ τὴν πρώτην εὐδαιμονίαν ἀναλήψομαι, καὶ τοὺς ἀδικήσαντας ταπεινωθέντας ὄψομαι. Ταῦτα δὲ πάλιν ὁ ἅγιος ὑπὲρ πάντων εὔχεται· ὅθεν οὐ περὶ ἑαυτοῦ, ἀλλ' ἀορίστως περὶ δικαίου παντὸς προσώπου τὴν εὐχὴν ἐποιήσατο. C D

« Οὐ μὴν δὲ ἀλλὰ πάντες ἐρείδετε, καὶ δεῦτε δή· οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές. »

Digitized by Google

Πάντως[m], φησὶν, αὖθις ἀγαναχτεῖτε, τούτων παρ' ἐμοῦ λεγομένων, καὶ πρὸς ἀντιλογίαν παρασκευάζεσθε, ὡς ἐπὶ πολέμου τοῖς λόγοις παρατατόμενοι, καὶ ἕκαστος τῷ ἑτέρῳ ἐπαμύνει, ὡς ἂν τὸ πᾶσιν ἐνδέον ὑπὸ πάντων πληρωθείη[n]. Ἐνισχύσατε τοιγαροῦν ἀλλήλους, καὶ συγκροτήσατε, καὶ συσφίγξατε, καὶ οἷόν τινα συνασπισμὸν ποιησάμενοι, οὕτως ἔλθετε· κἂν γὰρ πάντες ὁμοφρονῆτε[o], κἂν μυριάκις ἀντείπητε, διελέγξω ὑμᾶς μὴ ἀληθεύοντας· οὐ γὰρ προσοῦσαν ὑμῖν ὁρῶ τὴν ἀλήθειαν.

« Νύκτα εἰς ἡμέραν ἔθηκα, φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους. »

Τὴν νύκτα, φησὶν, ἅπασαν ἀγρυπνῶν ὡς ἐν ἡμέρᾳ διετέλεσα, προσδοκῶν ἀεὶ τὸ φῶς· τοῦτο δὲ φυσικῶς πάσχουσιν οἱ ἐν ταῖς νόσοις ἀγρυπνοῦντες, εὐχόμενοι τὴν ἡμέραν ἰδεῖν· καὶ τῆς ἡμέρας αὖθις ἐπιλαβούσης, ὡς ἐν νυκτερινῇ ἡσυχίᾳ, θρηνῶν οὐδὲν ἧττον ὑπὸ τῶν ὀδυνῶν διετέλουν· τὸ δὲ ὅλον, συνῆπτον, φησὶ, τὰς νύκτας ταῖς ἡμέραις, οὐδένα καιρὸν ἔρημον θρήνων καταλιμπάνων. Τάχα δὲ λέγων· *Φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους*, ἐκεῖνο ἔοικε λέγειν, ὅτι Καὶ αὐτὸ τὸ φῶς ὑπὸ τῆς ἀθυμίας οὐ μακράν μοι σκότους ἐδόκει· κατ' ἐκεῖνο δὲ τὸ ἀλλαχοῦ εἰρημένον περὶ τῶν ἀθυμούντων· *Δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας*· οὐχ ὡς τοῦ ἄστρου δύνοντος, ἀλλ' ὡς τῶν λυπουμένων, καὶ τὴν ἡμέραν νύκτα λογιζομένων, καὶ μὴ ἀπολαβόντων[p] ἡδέως τοῦ φωτός.

« Ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος, ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή. Θάνατον ἐπεκάλεσα μὴν πατέρα μου εἶναι, μητέρα δέ μου καὶ ἀδελφὴν, σαπρίαν. Ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπίς; ἢ τὰ ἀγαθά μου ὄψομαι; ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσονται; ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα; »

Ἀλλὰ δεῖ[q-r], φησὶ, καρτερεῖν ἵνα τί πλέον προσγένηται; διατί δὲ ὑπενέγκω, καὶ μὴ θελήσω τὸν θάνατον; οὐ γὰρ παρέσται, κἂν μὴ θέλωμι; οὐ κοινὸν ἅπασιν ἀνθρώποις τὸ ἀποθανεῖν; οὐχὶ ᾅδης ἅπασιν οἶκος; οὐκ ἐκεῖ πάντες τῶν ἐνθάδε καταλήγουσι πόνων; τοῦτο γὰρ λέγει· *Ἐν γνόφῳ ἡ στρωμνή μου*. Ἐν τῷ ἀφεγγεῖ χωρίῳ ἡ ἀνάπαυσις τῶν ἐνθάδε πόνων· διὰ τοῦτο μὲν οὖν ἀντὶ πατρὸς ἔχω τὸν θάνατον, καὶ δικαίως αὐτὸν ἐπελθεῖν μοι ποθῶ· ἀντὶ δὲ μητέρος, τὴν τοῦ σώματος σῆψιν καὶ ἀνάλυσιν, τὴν ἐξ ἀνάγκης συμβαίνουσαν μετὰ τὴν τελευτὴν, τὴν αὐτὴν δὲ καὶ ὡς ἀδελφὴν ποθῶ, καὶ πᾶσι τοῖς τῆς φιλίας ὀνόμασι κατασπάζομαι· καὶ τοῦτό φημι, ὡς ἤδη τοῦ σώματος ὑπὸ τῆς λωβήσεως ὀδωδότος, καὶ νεκροῦ καὶ τετελευτηκότος φέροντος εἰκόνα. Μὴ γὰρ οἴεσθε, ὡς τὰ ἐνθάδε ἀπελπίσας, εἰς ᾅδου πλουτεῖν προσδοκῶ. Μὴ ἐνδέχεταί τινα μεθ' ἑαυτοῦ καταγαγεῖν εἰς ᾅδου τὸν πλοῦτον, ἢ τὴν ἐνθάδε δόξαν; Μὴ μετὰ τῶν ἐνθάδε ἀγαθῶν δύναμαι ἀπελθεῖν ἐπὶ χώ-

A Rursus, inquit, his quæ a me dicuntur, omnes irascimini, et verbis instructi, prout in bello fieri solet, ad contradictionem vos comparatis, atque alter alteri suppetias fert, ut quod singulis deest, ab omnibus adimpleatur. Alii alios igitur corroborate, impellite, constringite, et quasi facta testudine, sic impetum facite : licet idem animus omnibus fuerit, licet millies contradixeritis, falsi tamen vos arguam, veritatem enim vobis favere non video.

Vers. 12. « Noctem in diem posui, lumen prope a facie tenebrarum. »

Lucem, inquit, perpetuo exspectans, tanquam diurno tempore, noctem totam insomnem transegi (hoc autem naturaliter valetudinariis contingit, ut B in morbis vigilias agant, et diem aspicere precentur), et die rursus succedente, non secus quam in nocturno silentio, in luctu et doloribus degebam ; denique, nullum tempus a lamentis liberum relinquens, diebus noctes continuabam. Cum autem dicat : *Lumen prope a facie tenebrarum*, illud fortasse dicere vult, quod ipsa lux præ animi angore parum mihi a tenebris abesse videbatur; juxta illud quod alibi de iis qui mœrore afficiuntur, dictum est : *Occidet iis sol meridie*[93]; non quidem quod sidus illud tunc occidat, sed quia qui animi ægritudine laborant, diem etiam noctem reputent, nec luce ipsa placide fruantur.

Vers. 13-16. « Nam si sustinuero, inferi domus C mea erunt, et in caligine stratum est stratum meum. Interitum appellavi patrem meum esse, matrem autem meam et sororem, tabem. Ubi igitur est mea jam spes? aut bona mea videbo? aut mecum ad inferos descendent? aut pariter super pulverem descendemus? »

Sed in malorum tolerantia, inquit, perseverandum est, utquid lucri inde reportem? Cur vero adversa sustinere pergam, et mortem recusem? nonne invito me aderit? annon omnibus hominibus commune est mori? annon infernus omnium domus est? annon illic omnes a doloribus et laboribus quos hic sustinent, cessabunt? Illud enim hoc vult : *In caligine stratum meum;* id est : In regione obscura a vitæ hujus molestiis et laboribus D requies est; quare mortem pro patre existimo, et jure adventum ejus opto ; pro matre vero, corporis tabem et dissolutionem, quæ mortem necessario consequitur, illamque tanquam sororem diligo, et omnibus amicitiæ nominibus compello et saluto; et hoc idcireo dico, quia corpus jam lue depravatum fetet, et mortui ac exstincti imaginem referat. Nolite autem arbitrari quod, desperatis in hac vita rebus, apud inferos ditescere exspectem. Num divitias et gloriam qua hic fruitur, ad inferos se-

[93] Amos VIII, IX.

VARIÆ LECTIONES.

[m] Ισ. πάντες. [n] γρ. πληροφορηθείη. [o] γρ. πάντα ὁμοφωνῆτε. [p] Ισ. ἀπολαυόντων. [q-r] Conjectum est ἀλλὰ τί δεῖ εἰ mox ἵνα πλέον.

Digitized by Google

cum deferre, alicui contingit? Num ad pulverem, id est, ad inferos, cum bonis quæ hic possidentur, abire possum? Verum hoc fieri nequaquam potest. Qua igitur spe fretus mala sustinebo, cum exiguo post tempore, relictis his omnibus, omnino moriendum sit? Posthac enim, præter interitum, nihil aliud exspecto, et mortem unicam quietem arbitror; quam cum assecutus fuero, omnis dolorum memoria evanescit. Ut enim qui defuncti sunt, ea quibus in hac vita fruimur, minime exspectant; ita nec ego, eorum quæ mihi erepta sunt, spem ullam foveo : et quidem si aliquam ejusmodi mihi spem pollicerer, frustra, ut apparet, rei instabili inhians, hinc migrabo, nullamque bonorum fruitionem adeptus, vitam cum morte commutabo. Quod cum ita se habeat, merito subitum mortis adventum tanquam patris exopto : quemadmodum enim liberi in parentibus solatium collocant, ita et mihi in nulla re alia quies et tranquillitas est, quam in morte et corporis dissolutione. Similitudine autem et exemplo, malorum magnitudinem ob oculos posuit. (Quemadmodum enim, inquit, embryon utero materno comprehenditur, et vivere videtur, patremque cum qui genuerat, agnoscit, nondum tamen in lucem et diem prodit, sed humoris et corruptæ sanguinis abundantia ambitur : similiter, inquit, mecum agitur; mors enim nondum advenit, neque apud se detinet, sed instar patris, familiaris mihi redditur, et sine liberatione ab ærumnis, aut salutis spe ulla proposita, quasi perturbationum utero inclusum me continet). Simul autem et nos docuit, ne bona hujus vitæ in deliciis haberemus, nihil enim eorum ex hac vita nobiscum commigrabit : et quod non temere et sine causa tot malis exhaustus mortem optaverit, apologiam pro seipso idoneam instituit.

A ματος, τουτέστιν, ἐν τοῖς καταχθονίοις; Ἀλλὰ μὴν τοῦτο οὐκ ἔστι. Ποίᾳ τοιγαροῦν ἐλπίδι ὑπομείνω[a], ὅπουγε μικρὸν ὕστερον ἀποθανεῖν ἀπόκειται πάντως, πάντα τὰ ἐνθάδε καταλελοιπότα; Ἐπὶ τούτοις γὰρ οὐδὲν ἕτερον προσδοκῶ, ἢ θάνατον, καὶ ἀνάπαυσιν μίαν ἡγοῦμαι τὴν τελευτήν, ἐν ᾗ κατάστᾳ, οὐδεμίαν μνήμην ἔξω τῶν ἀλγηδόνων· ὥσπερ δὲ οἱ τετελευτηκότες οὐδεμίαν τῶν παρόντων προσδοκίαν ἔχουσιν· οὕτως οὐδ' αὐτὸς ἐλπίδα τινὰ τῶν ἀφαιρεθέντων ἔτι κέκτημαι· ἀλλ' εἰ καί τινας τοιαύτας ἐμαυτῷ ὑποτείνω ἐλπίδας, ὡς ἔοικεν οἰχήσομαι, μάτην κεχηνὼς ἐπ' οὐδενὶ βεβαίῳ, καὶ καταστρέψω τὸν βίον, οὐδεμίαν ἀπόλαυσιν τῶν ἀγαθῶν λαβών. Τούτου δὲ ὧδε ἔχοντος, εἰκότως ἐπελθεῖν συντόμως τὸν θάνατον ὡς πατέρα ποθῶ· ὥσπερ γὰρ οἱ παῖδες παραμυθίαν B ἔχουσι τοὺς γονεῖς, οὕτω κἀγὼ ἐν οὐδενὶ ἔχω τὴν ἀπόλαυσιν[t], ἢ ἐν τῷ θανάτῳ καὶ τῇ ἀναλύσει. Παραδείγματι δὲ τὸ ἐπιτεταμένον παρέστησε τῶν δεινῶν. Ὥσπερ γάρ, φησί, τὰ ἔμβρυα ἐν τῇ μητρῴᾳ νηδύϊ ζῆν δοκεῖ καὶ περιέχεται, ἔχει δὲ πατέρα τὸν σπείραντα, οὔπω δὲ εἰς φῶς παρελθόντα, ἐν ὑγρότητι καὶ ἰχῶρι πλείστῳ περιέχεται· τὸν αὐτὸν τρόπον καὶ αὐτός, φησί, διάκειμαι· ὁ μὲν γὰρ θάνατος οὔπω ἀφῖκται, οὐδὲ ἔχει παρ' ἑαυτῷ[u], ὡς δὲ πατὴρ ᾠκείωται, καὶ καθάπερ ὑπό γαστρός τινος τῶν παθῶν περιέχει, οὐδέποτε τῶν δεινῶν ἀπαλλάττων, οὐδὲ ἐλπίδα σωτηρίας ὑποτείνων· ὁμοῦ τοιγαροῦν καὶ ἡμᾶς ἐδίδαξε, μὴ περιέχεσθαι τῶν ἐν τῷ βίῳ καλῶν, οὐδὲν γὰρ αὐτῶν ἡμῖν συνεξέρχεται ἐκ τοῦδε τοῦ C βίου· καὶ ἱκανῶς ἀπολελόγηται τοῦ μὴ μάτην ἐπιποθεῖν τὸν θάνατον, τοσούτοις ἀλγεινοῖς περιαντλούμενος.

CAP. XVIII.

Protheoria.

Baldadus iniquo animo fert, quod Jobus sermonem extendisset : Non enim, inquit, nos oportet brutorum more cum silentio tibi assidere. Deinde, quoniam a Jobo sæpius dictum fuisset, quod a corpore liberari in votis haberet, Cur, inquit, insolenter te effers, et sæpius illud iteras (libenter corpus exuerom) et de rebus tuis magnifice gloriaris, quasi singularis aliquis homo non exsisteres, sed mundus universus? Quid enim? An te exstincto, statim universi interitus sequitur? Hæc locutus, ad ea quæ impiis eventura sunt, generalibus quidem verbis utens, Justum vero propter impietatem suggillans, stylum orationis convertit.

Vers. 1-3. « Respondens autem Baldad Sauchites, ait : Quousque non cessabis? Cohibe te, ut et ipsi loquamur. Et cur tanquam quadrupedia tacuimus coram te? »

Sauchæorum tyrannus tyrannice loquitur. *Quousque* enim, inquit, *non cessabis? Cohibe te;* noli

ΚΕΦΑΛ. ΙΗ'.

Προθεωρία.

Δυσχεραίνει ὁ Βαλδὰδ ἐπὶ τῇ τοῦ Ἰὼβ μακρηγορίᾳ· Οὐ γὰρ δεῖ, φησίν, ἀλόγων δίκην σιωπῶντας παρακαθῆσθαι. Εἶτα, ὡς πολλάκις τοῦ Ἰὼβ εἰρηκότος, ὅτι ἐπιποθεῖ τοῦ σώματος ἀπαλλαγῆναι, Τί, φησί, σοβαρεύῃ, καὶ πολλάκις λέγεις, Ἥδέως ἐξέμι τοῦ σώματος, καὶ σεμνύνεις τὰ κατὰ σαυτόν, ὥσπερ οὐκ ὢν ἄνθρωπος εἷς, ἀλλὰ κόσμος ὅλος; Ἐὰν[v] ἀποθάνῃς, γενικὴ γίνεται συντέλεια; Εἶτα ταῦτα εἰρηκὼς, στρέφει τὸν λόγον εἰς τὰ τοῖς ἀσεβέσι συμβησόμενα, ὡς τὰ καθόλου μὲν λέγων, ἐπ' ἀσεβείᾳ[x] δὲ σκώπτων τὸν δίκαιον.

« Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει· Μέχρι τίνος οὐ παύσῃ; Ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν. Διατί δὲ ὥσπερ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου; »

Ὁ Σαυχαίων τύραννος τυραννικῶς διαλέγεται. *Μέχρι τίνος* γὰρ, φησὶν, *οὐ παύσῃ; Ἐπίσχες*, μὴ οἷον

VARIÆ LECTIONEM.

[a] *Isv.* ὑπομενῶ. [t] *Isv.* ἀνάπαυσιν [u] *Isv.* ἑαυτῷ. [v] *Isv.* add. τί γάρ. [x] *γρ.* εὐσεβείᾳ.

Digitized by Google

πρὸς ἄλογα τοὺς λόγους ποιεῖσθαι, καὶ ἀποτάδην οὕτω διαλέγου, δίδου δὲ μᾶλλον καὶ ἡμῖν τοῦ λαλεῖν χώραν, τοὺς σαυτοῦ συστέλλου λόγους.

« Τί γάρ; Ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανόν; ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων; »

Τί νομίζεις, φησὶν, ὅτι τῇ σῇ συστάσει καὶ ὁ κόσμος συνίσταται; καὶ μεγαλύνεις τὰ κατὰ σαυτὸν, καὶ ὡς τὸ πᾶν ζημίᾳ περιβάλλων, οὕτω τὸν θάνατον ἐπεύχῃ; ὥσπερ γὰρ τῆς ὑφ' ἥλιον ζημιουμένης ἐπὶ τῇ σῇ τελευτῇ, καὶ ὡς γενικῆς γινομένης συντελείας, οὕτω διαλέγῃ, καὶ ὡς τῆς σῆς μὲν δικαιοσύνης ἱστώσης τὰ ἀνθρώπινα, ἐκ ποδῶν δὲ γενομένου, οὐκέτι ὄντος τοῦ πλεῖον καθιστῶντος τὸ Θεῖον.

« Θηρεύσαισαν ἐλάχιστοι τὰ ὑπάρχοντα αὐτοῦ· σφάλαι δὲ αὐτοῦ ἡ βουλή. [Ἀνθ' οὗ ὁ Θεοδοτίων, καταῤῥάξει αὐτὸν ἡ βουλὴ αὐτοῦ.] Ἐμβέβληται δὲ ὁ ποῦς αὐτοῦ ἐν παγίδι· ἐν δικτύῳ ἐλιχθείη· ἐλθοίσαν δὲ ἐπ' αὐτὸν παγίδες. »

Ἐκ μεταφορᾶς τῶν θηρωμένων ὀρνέων ἢ ζώων, ταῦτα εἶπε, τὸ ἀδιεξόδευτον διὰ τούτων δηλῶν τῶν κακῶν ἐν οἷς περιεῖληπται ὁ ἀσεβής. Ὥσπερ γὰρ τὰ ζῶα, φησὶν, ὑπὸ τὴν παγίδα ἢ τὰ δίκτυα γενόμενα, διεκδῦναι λοιπὸν οὐ δύνανται· οὕτω καὶ οἱ ἀσεβεῖς ἀναποδράστους ἔχουσι τὰς καταλαμβανούσας αὐτοὺς συμφοράς· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι πολλάκις οὐδὲ ὑπὸ δυναστῶν τινων, ἀλλ' ὑπὸ ἐλαχίστων καὶ εὐτελῶν τὴν τῶν ὑπαρχόντων ὑπομένουσι στέρησιν, πάσης αὐτῶν τῆς βουλῆς εἰς τοὐναντίον περιτρεπομένης· ἵνα εἴπῃ, ὅτι Σὺ ὁ καυχώμενος ἐπὶ δικαιοσύνῃ, δι' ἁμαρτίας τῶν οἰκείων ἐκπέπτωκας, καὶ ἀφύκτοις κακοῖς συνελήφθης, ἅπερ τῷ τῶν παγίδων καὶ τῶν δικτύων ἠνίξατο παραδείγματι.

« Κατισχύσει ἐπ' αὐτὸν διψῶντας. »

Κραταιώσει, φησὶν, ὁ Θεὸς τοὺς ὀρεγομένους ἐμφορηθῆναι τῶν ὑπαρχόντων τοῦ ἀσεβοῦς· καὶ τοὺς ἐπιθυμοῦντας εὑρεῖν τι κατ' αὐτοῦ δυνατωτέρους αὐτοῦ ἀπεργάσεται· καὶ ὁ μὲν ἐκκείσεται πρὸς τὸ πάσχειν διὰ τὴν τοῦ Θεοῦ ἀπόφασιν, ἄλλοι δὲ τὴν νομὴν αὐτοῦ ἕξουσιν.

« Κέκρυπται ἐν τῇ γῇ σχοινίον αὐτοῦ, καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβον. »

Καὶ τοῦτο ἐκ μεταφορᾶς εἶπε τῶν ἐκ λίνου κατεσκευασμένων θηράτρων, ἃ τῇ γῇ κατακρύψαντες οἱ θηραταὶ, τὰ ἐπικαθήμενα τῶν ὀρνέων αἴρουσι, τῷ σχοινίῳ συνάγοντες τὸ λῖνον. Ὥσπερ γὰρ, φησὶν, οἱ θηρεύοντες κρύπτουσιν εἰς γῆν τοῦ δικτύου τὸ σχοινίον, καὶ πόῤῥωθεν καθήμενοι, ἀποσχοποῦσιν εἰ γέγονε περὶ τὸ δίκτυον τὸ θήραμα, εἶτα ἕλκοντες τὸ σχοινίον συλλαμβάνουσι τὴν ἄγραν ἀδοκήτως ταῖς ἅρκυσι περιπεσοῦσαν· ἐκεῖνα γ' γὰρ τὰ ὄρνεα ἀφανῶς περιπίπτει, ὡς ἐφ' ἑτοίμην τρέχοντα τροφήν· οὕτω καὶ οἱ ἀσεβεῖς ἀδεῶς πράττοντες τὰ κακὰ, λαν-

A existimare, cum belluis te sermonem habere, neque orationem in longum producito, nobis potius loquendi vicissitudinem concedito, et sermonem tuum contrahe ac compesce.

Vers. 4. « Quid enim? Si tu mortuus fueris, inhabitabilis erit ea quæ sub cœlo? aut subvertentur montes a fundamentis? »

Num arbitraris, inquit, te stante et superstite, mundum consistere? et magnifice adeo tua effers, mortemque exoptas, quasi rerum universitati morte tua damnum afferres? tales etenim sermones profers, ac si terra omnis quæ soli subjacet, tuo interitu, tanquam communi ruina, detrimentum caperet, et quasi tua justitia res humanæ stabilirentur, teque e medio sublato, nullus præterea superB stes foret, qui Numen divinum placatum et propitium redderet.

Vers. 7-9. « Venentur infimi substantiam ejus; erret autem ejus consilium. [*Pro quo Theodotio*, Præcipitabit eum consilium ejus.] Et immissus est pes ejus in laqueum; in rete involvatur; venient autem super eum laquei. »

Per metaphoram ab avibus et bestiis quæ aucupio et venatu capiuntur, ut malorum quibus impius irretitur nullum exitum esse ostenderet, hæc dixit. Quemadmodum enim animalia quæ in laqueos et retia inciderunt, evadere amplius inde nequeunt: ita etiam impii calamitatibus inevitabilibus premuntur, et, quod gravius est, omni eorum consilio everso et in contrarium mutato, sæC penumero non a dynastis, sed a minimis et infimæ sortis hominibus, facultates illis eripiuntur; ac si diceret: Tu qui justitiam tuam gloriose venditas, propter peccata bonis tuis excidisti, et malis ineluctabilibus (quæ laqueorum et retium similitudine innuerat) illaqueatus teneris.

« Confortabit super eum sitientes. »

Eos, inquit, qui facultatibus impii saturare se cupiunt, corroborabit Deus; et eos qui desiderant criminationis causam in eo deprehendere, potentiores reddet: et ille quidem decreto divino malorum perpessioni exponetur, alii vero possessione ejus fruentur.

Vers. 10. « Absconditus est in terra funiculus ejus, et captio ejus in semita. »

D Et hoc, metaphora sumpta a laqueis ex filo contextis, dixit, quos aucupes terra occultantes, et funiculo rete contrahentes, aves quæ insident captant. Quemadmodum enim, inquit, qui aves aucupantur, retis funiculum terra occultant, et procul remoti sedentes, si præda in rete inciderit diligenter observant, attractoque funiculo, prædam inopinato in laqueos illapsam capiunt (volucres enim tanquam ad paratam escam advolantes, ex insperato in eos incidunt); ita etiam impii, dum omni timore abjecto mala perpetrant, calamitati-

VARIÆ LECTIONES.

γ Ισ. ἐκείναις.

Digitized by Google

bus et infortuniis improvisis seipsos imprudentes implicant. Hoc etiam præterea his verbis innuitur, quod funiculus impii, id est, portio ejus terra obruta sit, et quod ex delictis quæ commisit vinctus deveniat, et in omnibus semitis suis coarctetur; juxta illud : *In laqueo quem absconderunt, comprehensus est pes eorum* [94]. Illud autem : *Captio ejus in semitis*, tale quid innuit : Incursus et impetus hostilis in locis desertis fieri solet; impius autem, inquit, non in solitudinibus, sed in ipsis mediis viis comprehenditur, id est dum adhuc prospera fortuna utitur, subitam rerum mutationem sustinet.

A θάνουσι σφᾶς αὐτοὺς ἀπροσδοκήτοις περιβάλλοντες συμφοραῖς καὶ δυσπραγίαις. Σημαίνει δὲ καὶ τοῦτο, ὅτι τὸ σχοινίον τοῦ ἀσεβοῦς, τουτέστιν, ἡ μερὶς αὐτοῦ κατακέχωσται, καὶ ἐξ ὧν ἥμαρτε δέσμιος γίνεται, καὶ ἐν πάσαις ταῖς τρίβοις αὐτοῦ σφίγγεται· κατὰ τὸ, *Ἐν παγίδι ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν*. Τὸ δὲ, *Ἡ σύλληψις αὐτοῦ ἐπὶ τρίβοις*, τοιοῦτόν ἐστιν· Αἱ ἔφοδοι ἐν ταῖς ἐρήμοις γίνονται· ὁ δὲ ἀσεβὴς, φησὶν, οὐκ ἐν ἐρήμοις, ἀλλ' ἐν αὐταῖς μέσαις ταῖς ὁδοῖς συλλαμβάνεται, τουτέστιν, ἔτι ὢν ἐν τῇ εὐημερίᾳ τὴν αἰφνίδιον ὑπομένει μεταβολήν.

Vers. 11. « Per circuitum perdant eum dolores. »

« Κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι; »

Huic, inquit, malorum perpessio calamitatis finis non est, verum mortis quoque supplicium luit. Vel illud, *per circuitum*, id est, acerba et dolore plena undiquaque illi evenient.

B Οὐ μέχρι παθῶν, φησὶν, ἵσταται τῷ τοιούτῳ τὰ δεινὰ, ἀλλὰ καὶ θανάτου δίδωσι δίκην. Ἢ τὸ, *κύκλῳ*, ἀντὶ τοῦ, πανταχόθεν ὀδυνηρὰ αὐτῷ συμβήσεται.

« Et multi circa pedes ejus venient in angustia famis. »

« Πολλοὶ δὲ περὶ πόδας αὐτοῦ ἦλθοισαν ἐν λιμῷ στενῷ. »

Alia exemplaria sic habent : *Circa multorum autem pedes veniat in fame angusta*, id est, ad extremam egestatem redigatur, ita ut ad multorum pedes provolutus, cibum supplex petat. Juxta autem priorem lectionem : Multi, inquit, circa pedes ejus erunt, id est, in angusta fame supplantantes eum, quasi diceret, in calamitate qua premitur.

« Ἕτερα δὲ ἀντίγραφα οὕτως ἔχουσι· *Πολλῶν δὲ περὶ πόδας ἔλθοι ἐν λιμῷ στενῷ*, ἀντὶ τοῦ, εἰς ἐσχάτην ἀπορίαν ἐλάσοι, ὡς καὶ ὑπὸ πόδας πολλῶν πίπτειν, καὶ δεῖσθαι ὑπὲρ τροφῆς. Κατὰ δὲ τὸ πρῶτον, Πολλοὶ, φησὶν, ἔσονται περὶ τοὺς πόδας αὐτοῦ, τουτέστιν, ὑποσκελίζοντες αὐτὸν ἐν λιμῷ στενῷ, ἵνα εἴπῃ, ἐν τῇ καταλαμβανούσῃ αὐτὸν συμφορᾷ.

Vers. 15. « Habitet in tabernaculo ejus in nocte ejus. »

« Κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ. »

Alia autem exemplaria pro eo, *in nocte ejus*, habent, *in corpore ejus*. Juxta igitur illam lectionem : *In nocte ejus*, id est, in caligine et obscura nocte omnis ejus conversatio erit; juxta alteram vero, *in corpore ejus*, idem est ac si diceret : Locum quem inhabitaturus est, cum summa rerum inopia ingredietur, præter corpus suum nihil prorsus habens. Huic sensui Theodotio sic interpretatus consentit : *Habitabit in tabernaculo ejus rerum omnium egestas*. Hebræus autem, amplius quiddam dicens, habet : *Habitabit in tabernaculis non suis*, id est, vagabundus in aliorum ædibus commorabitur.

C Ἕτερα δὲ ἀντίγραφα ἀντὶ τοῦ, *ἐν νυκτὶ αὐτοῦ, ἐν σώματι αὐτοῦ*, ἔχουσι. Κατὰ μὲν οὖν τὸ, *ἐν νυκτὶ αὐτοῦ*, ἀντὶ τοῦ, ἐν ζόφῳ καὶ ἐν νυκτὶ ἀφεγγεῖ ὅλη αὐτοῦ ἔσται ἡ διαγωγή· κατὰ δὲ τὸ, *ἐν σώματι αὐτοῦ*, ἵνα εἴπῃ, ὅτι εἰσελεύσεται εἰς τὸν τόπον ὅπου κατασκηνοῖ μετὰ τῆς ἐσχάτης πενίας, μηδὲν ἕτερον ἔχων ἢ τὸ ἑαυτοῦ σῶμα. Ταύτῃ τῇ ἐννοίᾳ καὶ ὁ Θεοδοτίων συντρέχει, οὕτως εἰρηκώς· *Κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἀνυπαρξία*. Ὁ δὲ Ἑβραῖος ἔχει, *Κατασκηνώσει ἐν σκηναῖς οὐχ αὐτοῦ*, πλέον τι λέγων, ἀντὶ τοῦ, ἀλώμενος διατελέσει ἐν ἀλλοτρίοις.

« Aspergentur speciosa ejus sulphure. »

« Κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ θείῳ. »

Theodotio autem : *Ventilabitur in speciositate ejus*. Sulphur iræ vehementiam ostendit : quemadmodum enim, inquit, igne terræ immisso omnia pereunt; sic etiam impiorum apparens felicitas evanescet, cunctaque illorum, tanquam sulphure respersa, infrugifera evadent. Quod in terra Sodomitica contigit, quam Deus, ignem inferens, in cineres redegit. Huic simile de peccatoribus dixit David : *Ignis, et sulphur, et spiritus procellæ, pars calicis eorum* [95].

D Ὁ δὲ Θεοδοτίων *Λικμηθήσεται ἐπὶ ὡραιότητι αὐτοῦ*. Θεῖον, τῆς ὀργῆς ἔδειξε τὸ ἐπιτεταμένον· ὥσπερ γὰρ, φησὶ, πυρὸς ἐνεχθέντος ἐπὶ τῆς γῆς, ἅπαντα ἀπόλλυται· οὕτω καὶ τῶν ἀσεβῶν ἡ δοκοῦσα εὐημερία ἐκ ποδῶν γίνεται, καὶ πάντα τὰ κατ' αὐτοὺς εἰς ἀκαρπίαν καταλήξει, ὡς ὑπὸ θείου κατασπαρέντα· ὡς ἐπὶ τῆς Σοδομίτιδος, ἣν πῦρ ἐπαφεὶς ὁ Θεὸς, ἐτέφρωσεν. Ὅμοιον εἶπε καὶ Δαβὶδ περὶ τῶν ἁμαρτωλῶν, *Πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν*.

Vers. 16. « De subtus radices ejus siccabuntur, et desursum decidet messio ejus. »

« Ὑποκάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται, καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ. »

Sed et omnis, inquit, ejusmodi hominis securitas (id enim est, *radix*), refelletur, cum nemo contra decretum divinum resistere valeat. Licet,

Ἀλλὰ καὶ πᾶσα, φησὶν, ἀσφάλεια τοῦ τοιούτου, τοῦτο γὰρ ἡ ῥίζα, ἐλεγχθήσεται, οὐδενὸς ἀρκοῦντος πρὸς τὴν Θεοῦ ἀπόφασιν [*f. add.* ἀντιστῆναι]. Κἂν

[94] Psal. IX, 16. [95] Psal. X, 7.

Digitized by Google

τις, φησὶν, ὑπόνοια βλαστήσεως γένηται, ταχέως ἐκκοπήσεται, καὶ συνδιαφθαρήσεται τοῖς προσοῦσιν ἡ δοκοῦσα περιφάνεια. Ἐκ μεταφορᾶς δὲ αὐτὸ ἔλαβε τῶν ἐκτεμνομένων δένδρων.

« Τὸ μνημόσυνον αὐτοῦ ἀπώλοιτο ἐκ γῆς. »

Τουτέστιν, Εἰς λήθην τοῖς πᾶσι καταστήσεται ὁ ἀσεβής· ἀπολοῦνται γὰρ οἱ παῖδες αὐτοῦ, οἳ δὴ μνημόσυνόν εἰσι τῶν γεννησάντων.

« Καὶ ὑπάρξει ὄνομα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω. »

Τὸ ὄνομα αὐτοῦ, φησὶν, οὕτως ἔσται σκαιὸν καὶ ἀποτρόπαιον, ὡς ἕκαστον ἀκούοντα τῆς προσηγορίας στρέφειν ἐξωτέρω τοῦ λέγοντος τὸ ἑαυτοῦ πρόσωπον, μυσαττόμενον καὶ αὐτὴν τὴν ὀνομασίαν αὐτοῦ.

« Ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι. [Ὁ δὲ Ἀκύλας, Ἐν τῇ ἡμέρᾳ αὐτοῦ ἀδημονήσουσιν ὕστερον.] Πρώτους δὲ ἔσχε θαῦμα. »

Πρώτους λέγει τοὺς ἐπὶ τῆς αὐτοῦ γενεᾶς πρεσβύτας· *ἐσχάτους* δὲ, τοὺς μετ' αὐτόν. Θαυμάσουσιν οὖν, φησὶ, καὶ οἱ ὁρῶντες τῶν ἀσεβῶν τὴν πτῶσιν, καὶ οἱ τὰ κατ' αὐτοὺς ὕστερον ἀκοῇ παραδεχόμενοι· καὶ τοὺς μὲν νέους ἕξει φόβος, περὶ τῶν καθ' ἑαυτοὺς δεδοικότας, οἱ δὲ προβεβηκότες καὶ πεῖραν ἔχοντες πραγμάτων, ἐκπλήττονται ἐπὶ τοῖς πράγμασιν.

ΚΕΦ. ΙΘ'.

Προθεωρία.

Οἱ μὲν φίλοι τῷ Ἰὼβ ἐπιτιμῶσιν ὡς περιττὰ θρασυνομένῳ· ὁ δὲ ὡς βαρεῖς ὄντας ἐν τοῖς ὀνείδεσιν αἰτιᾶται, καὶ φησιν, ὅτι Τοῦτο μόνον ὑμᾶς γνῶναι θέλω, ὅτι Θεός ἐστιν ὁ τὰς ἀνηκέστους μοι ταύτας πληγὰς ἐπαγαγών, ἵνα τοῦτο γνόντες, φοβηθῆτε μὴ τοῖς ἰσοστασίοις καὶ ὑμᾶς περιβάλλῃ κακοῖς. Μέμφεται δὲ ὡς κατὰ πρόσωπον αὐτὸν κακολογοῦντας. Δῶμεν γὰρ, φησὶν, ὅτι μὴ καθηκόντως φθέγγομαι, ἀλλ' ὑμᾶς οὐκ ἔδει φίλους ὄντας ἐπιτρίβειν μοι τὰς συμφοράς. Ταῦτα πρὸς τοὺς φίλους εἰρηκὼς, πάλιν ἐκδιηγεῖται τὰ συνέχοντα αὐτὸν δεινὰ, ἑαυτόν τε πείθων κἀκείνους, ὡς ὑπὲρ ἁμαρτίας ἀνθρωπίνας αἱ τιμωρίαι, καὶ ἐχθροῦ μᾶλλόν εἰσιν αἱ τοιαῦται πληγαί· ὄντως γὰρ ἐχθρὸς ἦν ὁ οὕτως χρώμενος, εἰ καὶ αὐτὸς τὴν αἰτίαν ἠγνόει τῆς συγχωρήσεως. Εἶτα παρακαλεῖ ἵνα, εἰ καὶ μὴ ὡς δίκαιον ἐπαισχύνωνται, ἀλλ' ὡς φίλον ἐλεήσωσι· καὶ ἐπεύχεται γραφῇ παραδοθῆναι αὐτοῦ τὰ ῥήματα, ἵνα διαδόσιμα καὶ ταῖς ἐφεξῆς γένωνται γενεαῖς· ὃ δὴ καὶ γέγονε, καὶ οὐκ ἀπέτυχέ γε τῆς εὐχῆς ὁ δίκαιος. Καὶ μέμφεται τοῖς φίλοις ὡς ἀναζητοῦσι πῶς ἂν αὐτὸν τοῖς λόγοις πλήξωσι, καὶ παραινεῖ παύσασθαι τῶν ὀνειδισμῶν, τοῦ Θεοῦ τὸ κρίμα διευλαβουμένους.

« Γνῶτε μόνον ὅτι ὁ Κύριος ἐποίησέ με οὕτως. »

Ἃ βλέπετε, φησὶ, περὶ ἐμὲ, μὴ λογίζησθε ἄλλοθεν

inquit, germinationis suspicio aliqua fuerit, subito exscindetur apparens splendor, et una cum facultatibus quas possidet, peribit et corrumpetur. Metaphora autem ab arboribus ferro excisis ducta est.

VERS. 17. « Memoriale ejus pereat de terra. »

Id est : Impius ab omnibus oblivioni tradetur; liberi enim ejus peribunt, qui monumentum parentum exsistunt.

« Et erit nomen ei super faciem extra. »

Nomen, inquit, ejus infaustum adeo et abominandum erit, ut statim simulatque quis audierit nominis ejus appellationem, vel solam ejus mentionem detestatus, faciem suam extra ab eo quì protulerit, avertat.

VERS. 20. « Super eum gemuerunt ultimi. [*Aquila autem*, In die ejus angentur et cruciabuntur ultimi.] Primos autem tenuit admiratio. »

Primos vocat, sæculi quo ille floruit seniores; *ultimos* vero, post eum oriundos. Qui impiorum, inquit, ruinam oculis cernunt, et qui postea quæ illis evenerint, fama accipient, admirabuntur ; et juvenes quidem rebus suis metuentes timor invadet, ætate autem provectis et expertis, rerum eventus stuporem incutiet.

CAP. XIX.

Protheoria.

Amici quidem Jobum, tanquam inepta effutientem, objurgant; ille vero eos tanquam sibi molestos et contumeliosos accusat, dicitque ; Illud unum scire vos volo, Deum esse qui plagas has immedicabiles mihi inflixit; ut hoc cognito, vereamini ne paribus ærumnis vos involvat. Vituperat autem eos, quod coram et in os maledicta evomerent. Concedatur, inquit, me contra quam decorum est loqui ; vos autem, qui amici estis, non oportebat calamitates meas refricare et augere. Hæc postquam amicis dixisset, rursus mala quibus premebatur enarrat, ut sibi non minus quam illis persuadeat, supplicia sua delictis humanis graviora exsistere, plagasque ejusmodi ab inimico dæmone inflictas esse; revera enim inimicus erat qui tam inclementer eo utebatur, licet ille permissionis divinæ causam ignoraverit. Deinde hortatur ut, sin minus tanquam justum revereri, saltem tanquam amicum misericordia eum prosequi velint ; optatque verba sua scriptis tradi, ut ad futura sæcula transmittantur ; quod sane factum est, neque justi vota irrita fuerunt. Amicos etiam increpat, quod occasionem studiose quærerent conviciis eum proscindendi, hortaturque eos ut, judicium divinum reveriti, a conviciis et contumeliis abstineant.

VERS. 2. « Scitote tantum quia Dominus fecit me sic. »

Mala, inquit, quæ pati me videtis, ne existimetis

VARIÆ LECTIONES.

Ισ. ἐκπλήξονται.

Digitized by Google

aliunde quam a Deo mihi contingere. Vobiscum igitur calamitatem meam considerantes, ejusque magnitudinem perpendentes, et quemadmodum malorum acerbitas vestigium omne pristinæ felicitatis deleverit, et vos mecum eamdem naturam indueritis, animo vestro reputantes, timete ne, dum conviciis et maledictis contra me secure et intrepide peccatis, easdem mecum plagas sentientes, supplicium luatis; qui mihi enim eas inflixit, potest etiam et vobis infligere. His autem verbis, ostendens quod non oporteat illis insultare qui a Deo plectuntur, sed illorum potius sortem lugere, et timere, metum illis injicit; ac si ita diceret: Nolite sic, misericordiam exuentes, et calamitatis meæ affectum deponentes, laboranti mihi insultare, ne eamdem mecum naturam habentes, in eadem mala incidatis.

A ἐληλυθέναι μοι ἢ ἀπὸ τοῦ Θεοῦ. Ἔννοιαν τοίνυν λαβόντες τῆς ἐμῆς συμφορᾶς, καὶ τὸ μέγεθος ταύτης κατανοήσαντες, καὶ ὡς ἡ ἐπίτασις τῶν δεινῶν οὐδὲν ἴχνος τῆς προτέρας εὐπραγίας συνεχώρησε περιλειφθῆναι, καὶ ὡς τὴν αὐτὴν περίκεισθε φύσιν, λογισάμενοι, φοβήθητε, μὴ ἀδεῶς ταῖς κατ' ἐμοῦ λοιδορίαις ἁμαρτάνοντες, δίκην ὑπόσχητε, τὰς αὐτὰς ἐμοὶ δεχόμενοι πληγάς· ὁ γὰρ ἐμοὶ ταῦτα ἐπάγων, δύναται καὶ ὑμῖν ἐπαγαγεῖν. Διὰ τούτων δὲ εἰς φόβον αὐτοὺς ἀποφέρει, δεικνὺς, ὅτι τοῖς ὑπὸ τοῦ Θεοῦ τιμωρουμένοις οὐ χρὴ ἐπεμβαίνειν, ἀλλὰ θρηνεῖν, καὶ φοβεῖσθαι· οἱονεὶ λέγων, Μὴ οὕτως ἐπεμβαίνητέ μοι κάμνοντι, μὴ ἐλεοῦντες, μηδὲ συμπαθοῦντές μου τῇ περιστάσει, μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσητε, τὴν αὐτὴν ἔχοντες φύσιν. B

Vers. 3. « Loquimini contra me, non reveriti me infesti estis mihi. »

Et juxta Theodotionis et Symmachi interpretationem: *Jam decies pudore affecistis me* Grave quidem est, inquit, absentibus detrahere; vos autem, pudore omni abjecto, coram et in os conviciis me proscinditis, et sine misericordia, aut calamitatis meæ affectu ullo, mihi insultatis.

« Καταλαλεῖτέ μου, οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι. »

Καὶ κατὰ Θεοδοτίωνα καὶ Σύμμαχον, *Τοῦτο δέκατον κατησχύνατέ με.* Βαρὺ μὲν, φησὶ, καὶ τὸ ἀπόντων καταλαλεῖν· ὑμεῖς δὲ ἀνερυθριάστως καὶ κατὰ πρόσωπον λοιδορεῖτέ με, καὶ προσεπεμβαίνετέ μοι, μὴ ἐλεοῦντες, μηδὲ συμπαθοῦντές μου τῇ περιστάσει.

Vers. 4, 5. « Esto utique, in veritate ego erravi, et apud me moratur error, loqui verba quæ non oportebat, et verba mea errant, et non in tempore: sine vero, quoniam super me magnificamini, et insultatis mihi opprobrio. »

« Ναὶ δὴ ἐπ' ἀληθείας ἐγὼ ἐπλανήθην, παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος, λαλῆσαι ῥήματα ἃ οὐκ ἔδει, τὰ δὲ ῥήματά μου πλανᾶσθαι, καὶ οὐκ ἐπὶ καιροῦ· ἔα δὴ, ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθε, ἐνάλλεσθε δέ μοι ὀνείδει. »

Per suppositionem, inquit, vobis concedo quod pro peccatis hæc patiar, prout vos arbitramini; detur ex opinione vestra quod ex recta via deflexerim, quod a veritate aberrem, in sermonibus meis de meipso mentiar, et cum impius sim justitiam simulem, neque tempore opportuno verba mea proferam, sit autem in me *error*, vel (secundum reliquos interpretes) *ignorantia*, neque prout decet loquar; verum hoc supposito, quod ea quæ non oportebat, admiserim, me tamen (licet talis forem) qui olim pietatem sum sectatus, ex operibus libertate loquendi nunc frui oportebat: hoc autem non feci, sed tanquam justus respondeo. Nonne vobis igitur, verbera, tabem, vermes, et bonorum jacturam intuentibus, verendum erat? ac venia mihi, præ dolore verba cruciantti, concedenda fuit? Non tantum autem sine modo et modestia conviciis me laceratis, sed impetu facto, et tanquam insultantes, afflictum, ærumnosum, et tam gravia perpessum, pedibus proculcatis. C

Καθ' ὑπόθεσιν ὑμῖν, φησὶ, δίδωμι, ὡς ὑπολαμβάνετε, ὅτι διὰ τὰ ἁμαρτήματα ταῦτα πάσχω· δεδόσθω καθ' ὑμᾶς, ὅτι τῆς ἀληθοῦς ὁδοῦ ἔξω γέγονα· δῶμεν ὅτι κατ' ἀλήθειαν ἐγὼ πλανῶμαι, καὶ ψεύδομαι τοῖς ὑπὲρ ἐμαυτοῦ λόγοις, καὶ ἀσεβὴς ὢν δικαιοσύνην σχηματίζομαι, καὶ οὐ κατὰ καιρὸν τοὺς λόγους προφέρω, ἔστι δὲ ἐν ἐμοὶ *πλάνος*, ἢ κατὰ τοὺς λοιποὺς, *ἀγνόημα*, καὶ οὐ κατὰ τὸ δέον φθέγγομαι· ἀλλ' εἰ καὶ καθ' ὑπόθεσιν τοιαῦτα ἐπεποιήκειν, οἷα οὐκ ἔδει, εἰ καὶ τοιοῦτος ἦμην, καὶ δέον με πάλαι εὐσεβείας ἐπιμελούμενον, νῦν τὴν ἐκ τῶν ἔργων ἔχειν παῤῥησίαν· τοῦτο μὲν οὐ πεποίηκα, ἀποκρίνομαι δὲ ὡς δίκαιος. Ἆρα οὐκ ἐχρῆν ὑμᾶς βλέποντας τὰς μάστιγας, τοὺς ἑλκῶρας, τοὺς σκώληκας, τὴν ἀπώλειαν τῶν ὑπαρχόντων, αἰδεσθῆναι, καὶ συγγινώσκειν ὑπὸ ἀλγηδόνων φθεγγομένῳ; Μᾶλλον δὲ οὐ μετρίως μοι ὀνειδίζετε, ἀλλ' ἐναλλόμενοι ὥσπερ οἱ ἐπεμβαίνοντες καὶ καταπατοῦντες, καὶ ταῦτα οὕτω πάσχοντα καὶ ταλαιπωρούμενον. D

Vers. 6. « Scitote igitur quia Dominus est qui turbavit. »

« Γνῶτε οὖν ὅτι Κύριός ἐστιν ὁ ταράξας. »

Id est, qui res meas adeo conturbavit. Hebræus autem, pro, *turbavit*, habet, *percussit*. Ut autem timorem illis incuteret, et a contradictionibus cessare cogeret, dictum quo in exordio usus est, rursus hic usurpavit: Meam enim, inquit, plagam animo vobiscum reputantes, ne in easdem vos ærumnas incidatis, metuite.

Τουτέστιν, ὁ ἐν τοσαύτῃ συγχύσει τὰ κατ' ἐμὲ καταστήσας· ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, *ὁ ταράξας*, *ἔπληξεν*, ἔχει. Τὴν δὲ ἐν τῷ προοιμίῳ ῥῆσιν οὗτος τέθεικεν, εἰς φόβον αὐτοὺς καταστῆσαι βουλόμενος, καὶ παῦσαι τῆς ἀντιλογίας· Ἐννοήσαντες γὰρ, φησὶ, τὴν κατ' ἐμοῦ πληγὴν, δείσατε μὴ καὶ ὑμεῖς τοῖς αὐτοῖς περιπέσητε.

Digitized by Google

« Ἰδοὺ γελῶ ὀνείδει, οὐ λαλήσω. »

Τοῦτο πολλαχοῦ ἔστι νοῆσαι· ἤτοι γὰρ τοῦτό φησιν, ὅτι Ἐπὶ τῷ ὀνείδει ὑμῶν γελᾶν, οὐ λαλεῖν νομίζομαι· ἢ, ὅτι Λέγων μετ' ἀληθείας τὰ κατ' ἐμὲ ὡς ἔχει, οὐ παραδέχεσθέ μου τοὺς λόγους, ἀλλὰ διὰ τὸ ἀντιλέγειν μοι ὑμᾶς, δοκῶ μηδὲ εἰρηκέναι· ἢ, ὅτι Βέλτιον τὸ γελᾶν ἐπὶ τοῖς ὑμετέροις ὀνείδεσι, καὶ μὴ ἀποκρίνεσθαι, ἀλλὰ καταφρονεῖν αὐτῶν ὡς ψευδῶν. Τί γὰρ εἴποιμι, μήπως τῆς ἀποφάσεως δεικνυούσης πότερον ἐγὼ τ' ἀληθῆ λέγω, ἢ ὑμεῖς;

« Κύκλῳ περιῳκοδόμημαι, καὶ οὐ μὴ διαβῶ· ἐπὶ πρόσωπόν μου σκότος ἔθετο. »

Οἱ δὲ ἄλλοι ἀντὶ τοῦ, *ἐπὶ πρόσωπόν μου, ἐπὶ ἀτραπούς*, ἐξέδωκαν. Ἀδιεξίτητά μοι, φησὶ, τὰ κακὰ, καὶ οὕτω τοῖς δεινοῖς κεκύκλωμαι, ὥστε μηδὲ ἔχειν διέξοδον. Ὡς γὰρ οἱ κυκλοτερῶς ὑπὸ τείχος ἀπειλημμένοι, ἢ ἀορασίᾳ τὰς ὄψεις ἐμποδιζόμενοι, περαιτέρω προελθεῖν οὐ δύνανται· οὕτως ἀμήχανον τῶν συμφορῶν ἔξω γενέσθαι· ἐσκότωσέ με, οὐκ ἔχω ποῦ ἀπελθεῖν, οὐδὲ βλέπω, οὐδὲ δύναμαι, ὡς ἐν ὀχυρώματι καὶ φρουρᾷ καθειργμένος.

« Διέσπασέ με κύκλῳ, καὶ ᾠχόμην· ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου· δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο, ἠγήσατο δέ με ὥσπερ ἐχθρόν. »

Μεληδὸν, φησὶ, διέσπασε, τὴν προσοῦσαν κτῆσιν ἀφείλετο, τὴν ἐκ τῆς εὐπαιδίας μνήμην ἠφάνισε, πᾶσάν μου χρηστὴν ἐλπίδα, ὡς δένδρον ἐξέκοψεν· ὥσπερ δέ τις ἐχθρὸς ὀργῇ χρώμενος, οὕτω τὰ κατ' ἐμὲ διεσκεύασε [b], καὶ κατὰ τοῦ σώματος ἤνεγκε τὴν πληγὴν, καὶ ὡς πολέμιον ἐτιμωρήσατο, καὶ βαρύτερον. Καλῶς δὲ εἶπε τὸ *ὥσπερ*· οὐ γὰρ ἐμπαθῶς, οὐδὲ ὡς ἐχθρὸς ὁ Θεὸς κολάζει. Ταῦτα δὲ εἶπε, καὶ τοὺς φίλους καὶ ἑαυτὸν πείθων, ὡς ὑπερέβαλε μέτρον ἀνθρωπίνων ἁμαρτημάτων ἡ τιμωρία· καὶ γὰρ ἀληθῶς, οὐ δι' ἁμαρτίας, ἀλλὰ κατὰ γυμνασίαν ἔπασχεν ὁ δίκαιος.

« Ταῖς ὁδοῖς μου ἐκύκλωσαν ἐγκάθετοι. »

Ἐκ μεταφορᾶς τῶν πολεμίων τοῦτο εἶπεν, οἱ λόχους καὶ ἐνέδρας πανταχόσε ἱστῶντες, ἀθρόον πάντες ἐπέρχονται, ἀπολαβόντες ἐν μέσῳ τὸν ἐνεδρευόμενον· ἵνα εἴπῃ, ὅτι Πανταχόθεν με περιεστοίχισαν οἱ τὰς ἀλγηδόνας ἐπιφέροντες, καὶ ὁδός τις τοῖς ἐπιοῦσιν οἱ προλαβόντες ἐγίνοντο, ἄλλος ἄλλον διαδεχόμενοι, καὶ τῇ συνεχεῖ τῶν δεινῶν ἀγγελίᾳ βαπτίζοντες τὴν διάνοιαν. *Ἐγκάθετοι* δέ εἰσιν οἱ δόλιοι, οἱ τῷ κακῷ ἐγκείμενοι, οἱ ἐνεδρεύοντες, καὶ καταβλάπτοντες, εἴτε ἄνθρωποι, εἴτε δαίμονες· *ὁδοὶ* δὲ, δι' ὧν τὴν πορείαν οἱ διαρπάσαντες αὐτοῦ τὴν περιουσίαν ἐποιήσαντο.

« Θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσεν. »

Τῆς ἐκ τῶν λοιπῶν παρακλήσεως ἐν ἐρημίᾳ κα-

A Vers. 7. « Ecce rideo opprobrio, non loquar. »

Hoc sensum multifarium admittit; vel enim hoc dicit : Propter vestra convicia ridere potius quam loqui videor; vel : Res meas prout se habent vere enarrans, fidem sermonibus meis non adhibetis, sed contradictione vestra facitis ut ne locutus quidem esse videar; vel : Satius est non respondendo, sed tanquam falsa rejiciendo, convicia vestra ludibrio habere. Quid enim dicere oporteat, cum judicio nondum ostensum sit quis nostrum vera loquatur?

Vers. 8. « In circuitu circumædificatus sum, et non transibo : in vultu meo tenebras posuit. »

Alii vero, pro illo, *in vultu meo*, interpretati sunt, *super semitas*. Mala mea, inquit, nulla oratione percurri possunt, meque sic ærumnæ circumvallarunt, ut exitum invenire nequeam. Quemadmodum enim qui undique muro clausi sunt, vel tenebris impediti, cernere nequeunt, ulterius progredi non possunt; sic calamitates evadere, impossibile mihi est : occæcavit me, perfugii locum non habeo; et tanquam septo ac propugnaculo inclusus, neque video, neque videre possum.

Vers. 10, 11. « Dirupit me undique, et abii; et excidit tanquam arborem spem meam : graviter autem mihi ira usus est, et arbitratus est me tanquam inimicum. »

Membratim, inquit, me discerpsit, facultates quas possederam eripuit, præclaræ sobolis memoriam omnem delevit, et tanquam arborem, spem omnem bonam radicitus excidit : tanquam hostis ira accensus bona mea omnia diripuit, corpori plagam inflixit, gravioreque supplicio quam adversarium me affecit. Recte vero dixit, *tanquam*, Deus enim absque perturbatione et animo hostili supplicia irrogat. Dicit autem hæc, ut amicis et sibi persuadeat quod humanorum delictorum mensuram supplicium excederet : justus enim revera non propter peccata, sed propter patientiæ suæ explorationem patiebatur.

Vers. 12. « Viis meis in circuitu insederunt insidiatores. »

Metaphora ab hostibus sumpta hoc dictum est, qui undique insidias locantes, eum cui insidiantur in medio inclusum deprehendentes, subito omnes adoriuntur; ac si diceret : Qui novis angoribus me cumulant, undique me circumvallarunt, aliique aliis succedentes, et non interrupto malorum puntio animum meum obruentes, priores subsequentibus viam munierunt. *Insidiatores* autem sunt, vafri, qui improbitati incumbunt, qui insidiantur et injuria lædunt, sive homines, sive dæmones sint; *viæ* autem, rationes erant quas inierunt, qui bona ejus diripuerant.

Vers. 16. « Servum meum vocavi, et non obedivit. »

Orbatus aliorum solatio, cultum et obsequium

VARIÆ LECTIONES.

[b] *Isc.* διεσκέδασε.

Digitized by Google

famulorum postulabam, et quidem precibus enixe efflagitans quod volebam non sum assecutus. Hoc autem inter acerbissima locum meretur, si quis morbo laborans, opem ejus imploraverit qui obsequium præstare debet, nec tamen audiatur. Nos igitur exemplo beati Jobi attendentes, irasci contra eos qui nobis famulantur minime oportet, sive conjux, sive servus, sive filius, dicto inobediens et immorigerus fuerit.

A ταστὰς, τὴν ἐκ τῶν οἰκετῶν ἐζήτουν θεραπείαν. Καὶ ταῦτα ἱκετεύων, διήμαρτον τῆς γνώμης. Καὶ τοῦτο δὲ τῶν σφόδρα ἀλγεινῶν, τὸ ἐν νόσῳ κείμενον καλεῖν τὸν ὀφείλοντα ὑπηρετεῖν, καὶ μὴ ἀκούεσθαι. Δεῖ οὖν ἡμᾶς τῷ ὑποδείγματι τοῦ μεγάλου Ἰὼβ προσέχοντας, μὴ ὀργίζεσθαι κατὰ τῶν ὑπηρετῶν, μήτ' ἂν γυνὴ, μήτ' ἂν οἰκέτης, μήτ' ἂν υἱὸς ᾖ ὁ παρακούων.

VERS. 18. « Cum exsurrexero, contra me loquuntur. »

« Ὅταν ἀναστῶ, κατ' ἐμοῦ λαλοῦσιν. »

Forte etiam, scelestum, impium, et impurum me vocant, et propter peccatorum multitudinem pœnas luere dicunt. Vel hæc quidem nequaquam, illud vero quod plerisque in diuturnioribus morbis contingere solet : Quousque hic non moritur? cur grave et inutile pondus factus est terræ? Illud autem, *cum exsurrexero* (vel, scilicet, quando ab iis separatus fuero ; vel quando, exacta nocte, a somno excitatus fuero secum ita loquuntur : Nondum obiit? vivit adhuc hic morticinus?

Ἴσως καὶ αὐτοὶ λέγοντες τὸν μιαρὸν, τὸν ἐναγῆ, τὸν ἀκάθαρτον, τὸν διὰ πλῆθος ἁμαρτιῶν αὐτοῦ τιμωρούμενον· ἢ ταῦτα μὲν οὐδαμῶς, τὸ δὲ τοῖς πολλοῖς ἐπὶ ταῖς μακραῖς νόσοις συμβαῖνον, Μέχρι B τίνος οὐ τελευτᾷ; τί βαρὺ φορτίον καὶ ἀχρεῖον κεῖται τῇ γῇ; Τὸ δὲ, *ὅταν ἀναστῶ*, ἤτοι ὅταν αὐτῶν ἀποχωρισθῶ, ἢ ὅταν ἀφ' ὕπνου ἐξεγερθῶ μετὰ τὴν νύκτα, πρὸς ἑαυτοὺς λέγουσιν, Οὔπω τέθνηκεν; ἔτι ζῇ ὁ ᾅδης οὗτος;

Vers. 22. « Quare me persequimini sicut et Dominus, et de carnibus meis non satiamini? »

« Διατί με διώκετε ὥσπερ καὶ ὁ Κύριος, ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε; »

Cur nulla miseratione mei tacti, et quidem mali acerbitatem videntes, calamitates meas augetis? Cur divinæ iracundiæ vestram superadjicitis, et inexplebili verborum atrocitate contra me utimini, ex voluntate divina nequaquam hoc faciente? Licet enim ipse puniat, benignos tamen et clementes nos esse vult; et licet ab ipso castigemur, humanitatem C tamen et misericordiam erga nos invicem Deus a nobis postulat. Illud igitur, *Quare me persequimini sicut et Dominus?* id est : Poterit quidem Deus aliquid in me culpa dignum deprehendere; vos autem dicite qua in re contra vos deliquerim? Annon vobis satis est quod corpus meum ita tabe consumptum sit? hoc enim innuit cum dicit : *De carnibus autem meis non satiamini;* præsertim cum contumeliosi sermones ad depascendas carnes per se sufficiant. Contumelias igitur et convicia formidemus, cum fratres nostros iis vulnerari non ignari simus.

Τίνος ἕνεκεν ἐπιτίθεσθε ταῖς συμφοραῖς, οὐδένα οἶκτον ἐπ' ἐμοὶ λαμβάνοντες, καὶ ταῦτα, ὁρῶντες τὸ δεινόν; Διατί δὲ τῇ θείᾳ ὀργῇ συνεπιτίθεσθε, καὶ ἀκορέστως τῇ τῶν λόγων βαρύτητι κέχρησθε κατ' ἐμοῦ, οὐ πάντως κατὰ γνώμην Θεοῦ τοῦτο ποιοῦντες; Εἰ γὰρ καὶ αὐτὸς τιμωρεῖται, ἀλλ' ἡμᾶς φιλανθρώπους εἶναι βούλεται· φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ Θεὸς, κἂν ὑπ' αὐτοῦ παιδευώμεθα. Τὸ οὖν, *Διατί με διώκετε ὥσπερ καὶ ὁ Κύριος*; ἀντὶ τοῦ, Ἴσως μὲν ἔχοι ἄν τι καὶ κατηγορεῖν μου Θεὸς, τί δὲ ἄρα καὶ εἰς ὑμᾶς ἥμαρτον, εἴπατε. Ἢ γὰρ οὐκ ἀρκετὸν ὑμῖν τὸ οὕτω μοι διαφθαρῆναι τὸ σῶμα; τοῦτο γὰρ δηλοῖ λέγων, *Ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε*· ἄλλως δὲ ἱκανοί εἰσιν οἱ ὀνειδιστικοὶ λόγοι καὶ σάρκας δαπανᾶν. Δείσωμεν οὖν καὶ ἡμεῖς τὰς λοιδορίας, εἰδότες ὅπως πλήττομεν δι' αὐτῶν τοὺς ἀδελφοὺς ἡμῶν.

A Domino enim hæc mihi consummata sunt, quorum ego mihi conscius sum. »

« Παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη, ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι.

Polychr. et Olymp. Non est humana, inquit, injuria et contumelia, quam patior ; ex iis enim quæ corpori acciderunt, cladem pecorum et liberorum a Deo plagam esse inflictam novi. Idcirco dicit : Hæc quæ mihi contingunt, satis evincunt et docent plagam esse maximam quam sustineo ; escam enim meam (prout supra ab eo dictum est [96]) in fetorem versam esse video. Hoc autem non a naturali morbo profluit, jamdudum enim fractum corpus elanguisset: Deus hæc mihi inflixit, quæ solum animæ meæ nota sunt; nemo enim eodem malorum sensu mecum

D *Πολυχρ.* καὶ *Ὀλυμπ.* Οὐ γάρ ἐστι, φησὶν, ἀνθρωπίνη ἐπήρεια· καὶ γὰρ τὰ συμβάντα περὶ τὰ θρέμματα καὶ τὰ τέκνα, ἐκ τῶν συμβάντων μοι περὶ τὸ σῶμα οἶδα Θεοῦ πληγῆς ὄντα. Διὰ τοῦτό φησιν, Ἱκανὸν ἔχω διδάσκαλον τοῦ ἐσχάτην εἶναι τὴν πληγὴν, τὰ συμβάντα μοι ταῦτα· οἷον ὡς ὅταν λέγῃ, βρόμον [c] γὰρ ὁρῶ τὰ σῖτά μου. Οὐκ ἔστι ταῦτα νόσου φυσικῆς, πάλαι γὰρ ἂν ἀπηγόρευσε τὸ σῶμα· Θεός μοι ταῦτα ἐπήγαγεν, ἃ μόνη οἶδεν ἡ ἐμὴ ψυχή· οὐδεὶς γὰρ οὕτω συναισθάνεται τῶν κακῶν, οὐδὲ ἐπιδεῖν δύναται, ὡς ὁ πάσχων ἐγὼ, τῶν

[96] Job VI, 7.

VARIÆ LECTIONES.

[c] *Ita.* βρῶμον.

Digitized by Google

εἰνῶν τὸ μέγεθος· αὐτὸς γὰρ γινώσκω, ὁ ὑπὸ τῶν παθῶν κεντούμενος, καὶ ἡ ὄψις δὲ ἱκανὸς διδάσκαλος τοῖς νοῦν ἔχουσι γίνεται.

A tangitur, nec eorum magnitudinem, prout ego qui ea patior, perspicere quis potest. Ego enim, quem dolores pungunt et lancinant, ignarus non sum; et sane iis qui mente et intelligentia præditi sunt, ipse intuitus magister est idoneus.

« Εἰ δὲ καὶ ἐρεῖτε, Τί ἐροῦμεν ἐναντι αὐτοῦ; [*Ἀνθ' οὗ ὁ Σύμμαχος*, Λέγετε δὲ, Τί ἐστιν ᾧ διώξομεν αὐτόν;] καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ; [*ὁ δὲ Ἑβραῖος*, καὶ ἁμάρτημα λόγου, *λέγει.*] Εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος. [*Πάλιν ὁ Σύμμαχος*, Εὐλαβεῖσθε ὑπὲρ ἑαυτῶν τὴν μάχαιραν.] Θυμὸς γὰρ ἐπ' ἀνόμους ἐπελεύσεται· καὶ τότε γνώσονται ποῦ ἐστιν αὐτῶν ἡ ὕλη. »

Vers. 28, 29. « Quod si et dixeritis, Quid dicemus contra eum? [*Pro quo Symmachus :* Dicitis autem : Quid est, quo persequemur eum?] et radicem sermonis inveniemus in eo? [*Hebræus vero*, et peccatum sermonis, *dicit.*] Cavete utique et vos a tegmine. [*Rursus Symmachus :* Timete pro vobis ipsis gladium.] Ira enim super iniquos veniet; et tunc cognoscent ubi est eorum materia. »

Κατὰ δὲ τοὺς λοιποὺς, *Ὅπως γνῶτε ὅτι ἐστὶ κρίσις.* Τὸ μέντοι δηλούμενον ἐν τούτοις τοῖς ῥήμασιν ἐκεῖνό ἐστιν· Ἐπειδὴ, φησὶν, ἀντὶ παρακλητικῶν λόγων κατ' ἰδίαν σκοπεῖτε, ποίας ἀντιλογίας εὕρητε, καὶ ὡς οἱ τὰς ῥίζας ἐπιζητοῦντες, ἀνιχνεύετέ μου τοὺς λόγους, πόθεν μου λάβησθε, καὶ ποῖον ἐν τούτοις ἁμάρτημα φωράσητε· καὶ τῶν πραγμάτων ὑπὲρ ἐμοῦ μαρτυρούντων, αὐτοὶ σπεύδετε, ὡς ἂν μηδὲ ὑπὸ τῆς ἀληθείας ψηφίσησθέ με ἀνεύθυνον. Εὐλαβήθητε δὴ, μὴ ἐν προσχήματι τοῦ θέλειν Θεῷ συνηγορεῖν καταψηφίζησθέ μου, τοῦτο γὰρ σημαίνει, τὸ *ἀπὸ ἐπικαλύμματος*· καὶ φοβήθητε οὕτως ἀκρίτως μου κατηγοροῦντες, μήποτε ὁ ἀπροσωπολήπτης Θεὸς, εἰς κρίσιν καταστὰς, καθ' ὑμῶν ὀργισθῇ, καὶ δίκην ὑμᾶς εἰσπράξηται τῆς ἀλόγου ταύτης θρασύτητος· οὐ γὰρ ἀνεύθυνα τὰ τοιαῦτα καταλιμπάνει. Εἰ δὲ αὐτὸς κινηθείη καθ' ὑμῶν, τότε γνώσεσθε ὡς οὐδὲν ὑμῶν ἐστιν ἡ ὕλη, ἀλλ' ἀνόνητος ὑμῖν φανεῖται ἡ ἐπὶ γνώσει τοῦ καλοῦ οἴησις, καὶ ἡ ἐπὶ τοῖς προσοῦσιν ἅδεια· *ὕλην* γὰρ ἔοικε λέγειν, ἢ τὸν ὄχλον τῶν ῥημάτων, ἢ τοῦ πλούτου τὴν περιουσίαν. Ἐγὼ δὲ ἀνορύττων εἰς βάθος τὰ ῥήματα, καὶ ἕτερόν τι ἐν τούτοις κκανοῶ. Εἰ γὰρ τοῦτο, φησὶ, λέγετε, ὦ φίλοι, ὅτι φανερὸν μὲν καὶ ἐκκείμενον ἁμάρτημα οὐδὲν ἔχω, λανθάνει δὲ ἐν ἐμοὶ κρυπτόμενόν τι πλημμέλημα, ὥσπερ ῥίζα βοτάνης τινὸς ἐν τῇ γῇ καλυπτομένη, καὶ διὰ τοῦτο, ὡς ἐν πονηρίᾳ ὢν, ταῦτα πάσχω· ὀφείλετε καὶ ὑμεῖς τὰ αὐτὰ φοβεῖσθαι *ἀπὸ ἐπικαλύμματος*, τουτέστιν, ἀπὸ τῆς δικαιοκρισίας Θεοῦ, ὅτε γνωσόμεθα ἕκαστος, ὅτι ἐστὶ κρίσις καὶ κόλασις τὴν ὕλην κατεσθίουσα.

Secundum cæteros vero : *Ut cognoscatis quod est judicium.* Horum autem verborum hæc mens est : B Quoniam, inquit, pro verbis consolatoriis unusquisque vestrum privatim altercandi et contradicendi rationes studet invenire, et more eorum qui radices scrutantur, verba mea investigatis, ut redargutionis occasionem captetis, et peccatum aliquod in iis deprehendatis; rebusque ipsis testimonium mihi præbentibus, vos tamen ut crimini obnoxium, veritatis calculo condemnare contenditis. Cavete vero ne me condemnetis, dum Deo patrocinari vos velle simulatis (illud enim significat, *a tegmine*) et timete ne forte, dum absque ratione et judicio me criminamini, Deus, qui personarum non est acceptor, pro tribunali sedens, contra vos ira accendatur, et amentis hujus audaciæ pœnas a vobis repetat; neque enim hæc inulta et impunita relinquit. Si autem ille contra vos concitatus fuerit, tunc cognoscetis quod materia vestra nihil sit, sed potius opinio omnis de cognitione recti et honesti concepta, et fiducia in divitiis collocata, inutilis vobis videbitur : *materiam* enim dicere videtur, vel turbam et multitudinem verborum, vel divitiarum abundantiam. Ego vero, quod in verbis abditum latet altius effodiens, aliud etiam præterea animadverto. Si enim illud, inquit, amici dicitis, quod nullius manifesti peccati et oculis omnium obvii reus sim, sed delictum aliquod occultum, sicut plantæ alicujus radix quæ terra tegitur, in me delitescat, ac proinde tanquam improbus hæc patiar; debetis etiam et vos, *a tegmine*, id est a justo Dei judicio, eadem formidare, quando unusquisque cognoscet judicium esse et supplicium, quod materiem consumet, et in nihilum rediget.

C

ΚΕΦ. Κ'.

Προθεωρία.

Ὡς πολλὰ καὶ καλὰ δόγματα αὐτός τε εἰπὼν ὁ Σωφὰρ, καὶ τῶν λοιπῶν φίλων εἰρηκότων, ἠλπιζε μὲν μηδὲν ἔτι τὸν Ἰὼβ ἀντιλέγειν· ἐπειδὴ δὲ εἶδεν αὐτὸν θαῤῥοῦντα τοῖς ἑαυτοῦ δικαίοις, καὶ πάντας αὐτῶν τοὺς λόγους ἀμυνόμενον, ἔξω τῶν ἐλπισθέντων γεγονὼς, Οὐχ οὕτως, φησὶν, ὑπελάμβανον ἀντερεῖν σε ταῦτα. Εἶτα καὶ πρὸς τοὺς φίλους φησὶν, ὅτι Οὐχ οὕτως ἀκριβῶς κατανοεῖτε τὰ ὑφ' ἡμῶν αὐτῶν λεγόμενα, καὶ τὰ ὑπὸ τοῦ Ἰὼβ, ὥσπερ ἐγώ· πλὴν ἐρῶ ὅσα ἡ σύνεσις ὑπαγορεύει. Εἶτα καταλέγει τὰ κατὰ τοὺς ἀσεβεῖς, ἅτε δρῶσι, καὶ ἃ πάσχουσι

D

CAP. XX.

Protheoria.

Sopharus, tanquam multa et præclara dogmata a seipso et reliquis amicis prolata fuissent, Jobum nihil amplius quod iis opponeret, habiturum sperabat; cum autem causæ suæ æquitate fretum, omnes illorum sermones repellere eum videret, spe sua et exspectatione excidens : Non ita, inquit, hæc existimabam te regesturum. Deinde ad amicos conversus, dicit : Non adeo accurate quæ a nobis ipsis et Jobo dicuntur, ut ego, consideratis; nihilominus quæ intelligentia mihi suggerit, proferam. Postea impiorum facinora, et quæ divino judicio supplicia

Digitized by Google

patiuntur, enumerat; quodque eorum felicitas a somnio nihil discrepet; et quod, præter ipsorum impietatem, nihil eos ex hac vita comitetur. Et postquam multa quæ impiis eventura sunt, commemorasset: Hæc, inquit, impiorum portio est, et hæc sors et possessio iis a Deo tribuitur; verum ea quæ hominibus accidere solent, non semper propter peccata contingere, sed propter alias dispositionis et providentiæ divinæ causas, Sopharus non intellexit; neque ea quæ dicebantur in Jobi personam apte quadrabant. Bona enim verba, nisi bene, cum recto animi affectu, et rerum apta discriminatione, temporis etiam opportuni et personæ idoneæ habita ratione proferantur, vituperium potius quam laudem merentur.

A κατὰ θείαν δίκην, καὶ ὅτι ὀνείρων τὰ κατὰ τὴν αὐτῶν εὐπραγίαν οὐδὲν διαφέρει, καὶ ὅτι οὐδὲν αὐτοῖς συνεξέρχεται ἐκ τοῦδε τοῦ βίου, εἰ μὴ ἡ αὐτῶν ἀσέβεια. Πολλὰ δὲ εἰρηκὼς τὰ τοῖς ἀσεβέσι συναντησόμενα, ταῦτα ἔφη μερίδα εἶναι τῶν ἀσεβῶν, τοῦτον αὐτοῖς κλῆρον καὶ κτῆμα δεδόσθαι παρὰ Θεοῦ· πάλιν δὲ οὐκ ἔγνω, ὅτι τὰ συμβαίνοντα οὐ πάντως δι' ἁμαρτίας γίνονται, ἀλλὰ καὶ κατ' ἄλλας οἰκονομίας· ἀλλ' οὐδὲ ἐπὶ τοῦ προσώπου τοῦ Ἰὼβ ταῦτα καλῶς ἐλέγετο. Ὥστε οἱ καλοὶ λόγοι, ἐὰν μὴ καλῶς λέγωνται, καὶ μετὰ ὀρθῆς διαθέσεως, καὶ προσηκούσης διαιρέσεως, καὶ ἐπὶ καιροῦ καὶ προσώπου ὑποκειμένου ἐπιτηδείου πρὸς τὰ λεγόμενα, οὐκ ἐπαίνου μᾶλλον, ἀλλὰ μέμψεως ἄξιοι.

Vers. 1-3. « Respondens autem Sophar Minæus, ait: Non sic putabam contradicere te his; et non intelligitis magis quam et ego; eruditionem confusionis meæ audiam, et spiritus ex intelligentia respondet mihi. »

B « Ὑπολαβὼν δὲ Σωφὰρ ὁ Μιναῖος, λέγει, Οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα· καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ· παιδείαν ἐντροπῆς μου ἀκούσομαι, καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι. »

Olympiodori et *Polychronii*. Hujus loci sensum interpretes non sunt plene assecuti, sed a decoro et veritate multum aberrarunt, neque scopum attigerunt. Ita enim Sopharum Jobum allocutum fuisse dixerunt: Talibus sermonibus contra nos uti non opinabar te voluisse, vel acerbos et difficiles nos existimare, qui quæ e re tua sunt, tibi ostendimus; ad amicos autem conversus, sic inquit: Nequaquam, sicut ego, quæ Jobo dicta sunt, intelligitis. Deinde acrius in Jobum rursus invehitur, ac dicit: Eruditionem tuam, qua merito pudorem nobis incussisti, et spiritum intelligentiæ, quo nobis recte respondisti, audiam. Hæc autem ironice Sopharum locutum esse volunt, ac si dixisset: Nihil a te dictum est quod prudentiam et eruditionem sapiat, et quod nobis pudorem suffundere possit. Hæc quidem interpretes. Vera autem hujus loci mens alia esse apparet. Dixerat enim antea [97] Jobus Sopharo: *Itaque vos estis homines, aut vobiscum morietur sapientia? et mihi quidem cor juxta vos est.* Et post nonnulla [98]: *Sit autem vobis obmutescere, et evadet vobis sapientia. Audite ergo increpationem oris mei, et judicium labiorum meorum animadvertite. Obmutescite ut loquar, narrabo enim vobis audientibus.* His Eliphazus responderat et contradixerat; Sopharus autem confutationem parturiebat et meditabatur, quoad tamen Eliphazus desineret exspectabat, ut ipse iis quæ audierat respondere posset. Postquam igitur Eliphazus sermoni finem imposuisset, et Jobus illi vicissim suum sermonem reposuisset, Sopharus succedens vices loquendi implet, iisque respondet quæ a Jobo prius audierat, dicitque: Cum multa et præclara, o Jobe, tibi a nobis dicta essent, existimabam te adhortationibus nostris consensurum, et silentium acturum, non autem

C

D

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Ἐνταῦθα οὐκ εἰς νοῦν ἔβαψαν οἱ ἐξηγησάμενοι, ἀλλὰ πολὺ τοῦ πρέποντος καὶ τῆς ἀληθείας διήμαρτον, καὶ τοῦ σκοποῦ οὐκ ἐφίκοντο. Ἔφασαν γὰρ ὡς ὁ Σωφὰρ πρὸς μὲν τὸν Ἰὼβ εἶπεν, Οὐκ ᾤμην σε καθ' ἡμῶν τούτοις χρήσασθαι τοῖς λόγοις, καὶ πικροὺς ἡμᾶς νομίζειν τοὺς τὰ συμφέροντα εἰσηγουμένους· πρὸς δὲ τοὺς φίλους στραφείς, εἴρηκεν, ὅτι Ὑμεῖς οὐ πάνυ κατανοεῖτε τὰ λεγόμενα ὑπὸ τοῦ Ἰώβ, ὡς ἐγώ. Εἶτα πάλιν πρὸς τὸν Ἰὼβ ἀποτείνεται, καί φησιν, ὅτι Ἀκούσομαί σου τῆς παιδεύσεως, δι' ἧς ἡμᾶς εἰκότως ἐνέτρεψας, καὶ τοῦ πνεύματος τῆς συνέσεώς σου, δι' οὗ καλῶς ἡμῖν ἀπεκρίνω. Ταῦτα δὲ, φασὶν, ὁ Σωφὰρ κατ' εἰρωνείαν εἶπεν, ἀντὶ τοῦ, Οὐδὲν συνετὸν οὐδὲ ἀπαίδευτον[d], οὐδὲ οἷον ἡμᾶς ἐντρέψαι, λελάληκας. Καὶ ταῦτα μὲν οἱ ἐξηγηταί. Τῇ δ' ἀληθείᾳ ἄλλα δοκεῖ. Εἶπε γὰρ προσλαβὼν [e] ὁ Ἰὼβ πρὸς τὸν Σωφὰρ, *Εἶτα ὑμεῖς ἐστε ἄνθρωποι, ἢ μεθ' ὑμῶν τελευτήσει σοφία; ἐμοὶ μὲν καρδία καθ' ὑμᾶς ἐστι.* Καὶ μετ' ὀλίγα, *Εἰ δὲ ὑμῖν κωφεῦσαι, καὶ ἀποβήσεται ὑμῖν σοφία. Ἀκούσατε δὲ ἐλέγχου τοῦ στόματός μου, κρίσει δὲ χειλέων μου προσέχετε· κωφεύσατε ἵνα λαλήσω, ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.* Πρὸς ταῦτα τὴν ἀπόκρισιν καὶ ἀντιλογίαν ὁ Ἐλιφὰζ ἐποιήσατο· ὁ δὲ Σωφὰρ ὠδίνε μὲν τὴν ἀντίῤῥησιν, ἀνέμενε δὲ παυθῆναι τὸν Ἐλιφὰζ, καὶ τότε αὐτὸν ἀποκριθῆναι πρὸς ἃ ἤκουσεν. Ἐπεὶ τοίνυν καὶ ὁ Ἐλιφὰζ λαλῶν ἐπαύσατο, καὶ ὁ Ἰὼβ πάλιν πρὸς ἐκεῖνον τὰ παρ' ἑαυτοῦ ἀντέθηκε, διαδέχεται νῦν ὁ Σωφὰρ τοὺς λόγους, καὶ ἀποκρίνεται πρὸς ἃ πρότερον ἤκουσε παρὰ τοῦ Ἰώβ, καί φησι πρὸς αὐτὸν, Ὤμην σε, ὦ Ἰώβ, πολλῶν πρὸς σὲ καὶ καλῶν εἰρημένων λόγων, ἡσυχίαν ἄγειν συνθησόμενον ταῖς παραινέσεσιν, οὐ μὴν ἀντιφθέγξασθαι πρὸς ἡμᾶς τοὺς σοὺς φίλους, καὶ εἰπεῖν, ὅτι

[97] Job XII, 2, 3. [98] Job XIII, 5, 6, 15, 17.

VARIÆ LECTIONES.

[d] *Ita* εὐπαίδευτον. [e] *Ita.* προλαβών.

Digitized by Google

Οὐ συνίετε οὐδὲ νοεῖτε πλέον τι παρ' ὃ ἐγώ· ταπεινωθῆναι μὲν οὖν σε μᾶλλον ὑπελάμβανον, καὶ ἐρεῖν, ὅτι Ὑμᾶς τοὺς παιδεύοντάς με καὶ ἐντρέποντας, ἡδέως δέξομαι, καὶ ἀκούσομαι τῆς ὑμετέρας νουθεσίας, καὶ ὁμολογήσω, ὅτι ταῦτα ἅπερ μοι ἀποκρίνεσθε καὶ λαλεῖτε, πνεῦμα ὄντως ἐστὶ συνέσεως· σὺ δὲ τοὐναντίον ἅπαν, ἑαυτῷ μὲν σοφίαν καὶ σύνεσιν ἐμαρτύρησας, ἡμῖν δὲ σιγὴν ἐπέταξας, καὶ ἀκούειν σου διδάσκοντος, ὡς τῆς σιωπῆς μᾶλλον ἡμῖν πρεπούσης, ἢ τοῦ λόγου.

A nobis amicis tuis contradicturum, aut, quod majore intelligentia et prudentia te præditi non simus, dicturum; sed humiliatum potius dicere te hoc voluisse opinabar : Libenti vos animo suscipiam, et monitis vestris auscultabo, qui me instituitis, et ruborem mihi suffunditis, et reipsa confitebor, non sine intelligentiæ spiritu hæc a vobis dici et responderi; tu vero plane e contrario, tibi ipsi quidem sapientiæ et prudentiæ testimonium detulisti, nobis vero silentium (quasi illud nobis potius quam sermo conveniret), et ut te docentem audiremus imperasti.

« Μὴ ταῦτα ἔγνως ἀπὸ τοῦ ἔτι, ἀφ' οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς; »

Μὴ γάρ τι καινὸν γέγονε, φησὶν, ἀφ' οὗ ὁ κόσμος ἐγένετο; οὐδὲν παράδοξον γίνεται, οὐδεμία καινοτομία, οὐδὲ ἐναλλαγή. Εἶδες πώποτε ἀδίκως τιμωρηθέντα τινὰ παρὰ Θεοῦ; Τὸ δὲ, *ἀπὸ τοῦ ἔτι*, ὁ Σύμμαχος, *ἀπ' αἰῶνος*, ἐκδέδωκεν.

Vers. 4. « Nonne hæc nosti ab eo quod olim, ex quo positus est homo super terram? »

Num aliquid, inquit, novum, ex quo mundus factus est, exstitit? nihil paradoxum, nulla innovatio, aut rerum mutatio accidit. Vidistine aliquando quempiam a Deo injuste supplicio affectum? Illud autem, *ab eo quod olim*, Symmachus, *a sæculo*, est interpretatus.

« Ἐὰν ἀναβῇ εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται· ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται. Οἱ δὲ εἰδότες αὐτὸν ἐροῦσι, Ποῦ ἐστιν; Ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ· ἔπτη δὲ ὥσπερ φάσμα νυκτερινόν. »

Vers. 6-8. « Si ascenderint in cœlum dona ejus, et sacrificium ejus tetigerit nubes : nam cum visus fuerit jam firmatus esse, tunc in finem peribit. Qui autem noverant eum, dicent, Ubi est? Tanquam somnium quod avolavit, non invenietur; volavit autem sicut visio nocturna. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Μή μοι, φησὶ, τὰς θυσίας εἴπῃς, αἷς τιμᾷν τὸ Θεῖον ἐνόμιζες· ὁ γὰρ παράνομος, ἐὰν οὐρανομήκεις δωροφορίας προσαγάγῃ, καὶ ἐὰν δόξωσιν αἱ θυσίαι αὐτοῦ τῶν νεφελῶν ἅπτεσθαι, καὶ δόξῃ τὰ ἀγαθὰ βεβαίως ἔχειν, Θεοῦ μὴ προσιεμένου τὰς ἐξ ἀδικίας καρποφορίας, εἰς τέλος ἀπόλλυται, οὐδὲν ἐκ τῶν ἐπιπλάστων θυσιῶν ὠφεληθείς. Οὐ γὰρ τὸ πρόσχημα τῆς εὐσεβείας αἰδεῖται Θεὸς, ἀλλ' ὑπὲρ τῆς πλεονεξίας τὴν δίκην εἰσπράττεται· καὶ ὁ παρὰ πᾶσιν εὐσεβὴς νομιζόμενος πρότερον, κολασθεὶς ἐλέγχεται μόνον ἐπὶ σκηνῆς ἔχων τὴν εὐσέβειαν. Ὡς γὰρ οἱ κατ' ὄναρ πλουτοῦντες, οὐκ ἀσφαλῆ τὴν κτῆσιν ἔχουσιν, ὅρος δὲ τῆς εὐημερίας ὁ ὕπνος αὐτοῖς· οὕτως οὐδὲ τῷ παρανόμῳ βεβαία τῶν ἀγαθῶν ἡ ἀπόλαυσις, ἀλλ' οὕτως οἴχεται τὰ κατ' αὐτὸν, καὶ εἰς ἀνυπαρξίαν χωρεῖ, ὡς ἐνύπνιον καὶ φάσμα νυκτερινόν· ὡς τοὺς πρότερον εἰδότας αὐτὸν μετ' ἐκπλήξεως λέγειν, *Ποῦ ἐστιν;* ἀντὶ τοῦ, Ποῦ ἡ δόξα; ποῦ ἡ δυναστεία; ποῦ ἡ τιμή; ποῦ ὁ πλοῦτος; πάντα μάταια, εἰς τὸ μηδὲν αὐτῷ κατέληξεν ἡ ὑπερηφάνεια. Οὕτως ἀθρόως αὐτοῦ ἡ ἀπώλεια γίνεται, ἵνα μὴ νομίσῃς κατὰ φυσικὴν ἀκολουθίαν τὴν συμφορὰν εἶναι, ἀλλὰ κατὰ θείαν τινὰ δύναμιν καὶ παράδοξον. Μή μοι λέγε ἀνομίας μόνον, ἀλλὰ κἂν θυσίας προσενέγκῃ ὁ ἄδικος, οὐδὲν ὄφελος. Ἀκουέτωσαν οἱ ἐξ ἀδικίας καὶ πλεονεξίας καρποφοροῦντες, εἶτα δοκοῦντες εὐσεβεῖν.

Olympiodori et Polychronii. Ne, inquit, sacrificia mihi obtrudas, quibus divinum numen colere te et honorare existimabas : licet enim improbus dona offerat quæ altitudine sua ad cœlum pertingant, et sacrificia ejus nubes ipsas attingere, et bona quæ possidet stabilia esse videantur, cum Deus fructuum oblationes qui ex iniquitate comparantur repudiet, ad extremum peribit, nec fructum ullum ex simulatis et fictis suis sacrificiis percipiet. Deus enim simulatam pietatis speciem in nulla æstimatione habet, sed avaritiæ et inexhaustæ cupiditatis pœnas repetit; et qui prius omnium opinione pius habebatur, supplicio affectus, personatam tantum pietatem habuisse convincitur. Quemadmodum enim qui per somnium ditescunt, stabiles divitias non possident, sed una cum somno felicitas eorum finem sortitur : ita neque homini impio bonorum fruitio firma est, sed tanquam insomnium et spectrum nocturnum, omnia ejus transeunt, et in nihilum rediguntur; ita ut qui prius eum cognoverant, stupore attoniti dicant : *Ubi est?* id est : Ubi gloria? ubi dominatio? ubi honor? ubi divitiæ? Omnia vana sunt, fastus ejus et arrogantia in nihilum cessit. Ruina ejus subita adeo et improvisa exsistit, ne cladem ejus ex causa aliqua naturali, sed ex potestate quadam divina et admirabili provenire existimes. Sed neque iniquitates tantum quas impius admisit, commemora; licet enim sacrificia etiam obtulerit, fructum nullum ex iis percipiet. Audiant hæc qui injustitiæ et avaritiæ dona offerunt, et pro piis et religiosis haberi volunt.

« Τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες, αἱ δὲ χεῖρες αὐτοῦ πυρσεύσαισαν ὀδύνας. »

Vers. 10. Filios ejus disperdant minores, et ipsæ manus ejus succendant dolores. »

Τοὺς μὲν υἱοὺς αὐτοῦ, φησὶν, ἀναιροῦσιν ἐλάχιστοί τινες, καὶ κρατοῦσιν αὐτῶν ὑποδεέστεροι· καὶ εἰκό-

Quidam e minimis, inquit, filios ejus de medio tollunt, et qui infra eorum sortem sunt, imperium

Digitized by Google

In eos obtinent : et merito quidem, quia paternæ impietatis imitatores erant : *Semen enim impiorum peribit* [99]. Ipse autem suis facinoribus rogum sibi accendit ; πυρσὸς enim fax est, *manus* autem, actiones : actiones igitur ejus supplicium illi accendent, homini impio, scilicet, cujus preces pro peccato illi imputantur. Simile quid prophetia dicit : *Ambulate in lumine ignis vestri, et in flamma quam succendistis* [99'].

A τως, ὅτι μιμηταὶ τῆς πατρικῆς ὑπῆρξαν ἀσεβείας. *Σπέρμα γὰρ ἀσεβῶν ἐξολοθρευθήσεται.* Αὐτὸς δὲ αὐτῷ διὰ τῶν οἰκείων πράξεων ἐξάπτει τὴν πυράν· πυρσὸς γὰρ ἡ λαμπάς, *χεῖρες* δὲ αἱ πράξεις· αἱ οὖν πράξεις αὐτοῦ ἐξάψουσιν αὐτῷ κόλασιν, δηλονότι τῷ ἀσεβεῖ, οὗ ἡ προσευχὴ λογίζεται εἰς ἁμαρτίαν. Ὅμοιον ἡ προφητεία λέγει, *Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἧ ἐξεκαύσατε.*

Vers. 11. « Ossa ejus impleta sunt juventute ejus, et cum eo super pulverem dormient. »

Impleti sunt animi ejus nervi juvenili cupiditate : morte autem omnia delente, luxus nullum lucrum ei afferet, nec quidquam, præter solam ipsius cupiditatem, injustas scilicet actiones, una cum ipso in sepulcrum descendet.

« Ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ, καὶ μετ' αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται. »

Ἐνεπλήσθησαν οἱ τόνοι τῆς ψυχῆς αὐτοῦ νεωτερικῆς ἐπιθυμίας· οὐδὲν δὲ ἀποίσεται κέρδος ἐκ τῆς τρυφῆς, τοῦ θανάτου ἀφανίζοντος ἅπαντα, ἀλλ' οὐδὲ συγκαταβήσεταί τι αὐτοῦ ἐν τῷ τάφῳ, εἰ μὴ B αὐτὴ αὐτοῦ ἡ ἐπιθυμία, τουτέστιν, αἱ ἄδικοι πράξεις.

Vers. 13, 14. « Non parcet ei, et non relinquet eam, et colliget eam in medio gutture suo, et non poterit subvenire sibi. »

« Οὐ φείσεται αὐτῆς, καὶ οὐκ ἐγκαταλείψει αὐτὴν, καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ, καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ. »

Desiderio, inquit, immoderato et inexplebili, improbitati adhærebit, illamque amplexabitur, ac tanquam dulcem aliquem cibum cum voluptate in gutture constringet ; id est : Postquam cum acerbitate damnum et perniciem aliorum machinatus fuerit, operi tunc manum admovebit. Homini autem improbo, cum supplicia sustinenda sunt, improbitas sua prodesse non poterit : dolosæ enim machinationes contra alios, tantum absunt ut eum juvent, ut e contrario supplicium procurent.

Ἀφειδῶς, φησὶ, καὶ ἀπλήστως ἀνθέξεταί τε τῆς κακίας, καὶ περιέξεται, καὶ ὥσπερ τινὰ τροφὴν ἡδεῖαν μεθ' ἡδονῆς αὐτὴν συνέξει ἐν τῇ φάρυγγι, τουτέστι, πικρῶς κατασκευάζων τὴν καθ' ἑτέρων βλάβην, οὕτως ἐγχειρεῖ τῇ πράξει. Ἐν δὲ τῷ καιρῷ καθ' ὃν ὑπομένει τὰς τιμωρίας, οὐδὲν ἐπαμῦναι τῷ κακῷ ἡ κακία δυνήσεται· ἡ γὰρ καθ' ἑτέρων συσκευὴ οὐ μόνον οὐκ ὠνίνησί τι, ἀλλ' ἐκ τῶν ἐναντίων καὶ τιμωρίας αὐτῷ πρόξενος γίνεται.

Vers. 15. « Divitiæ inique congregatæ evomentur. » C

« Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται. »

Id est, cum dolore effundentur et dissipabuntur. Omnia enim agit impius, et in eum scopum omnes ejus actiones collineant, ut rebus alterius potiatur : postquam autem rerum omnium potestatem assecutus sibi videbitur, tunc divitias ad alios transferri videbit. Licet enim adeo secure eas possideat, ac si in ventre inclusas teneret, subito tamen cum dolore jacturam earum faciet (illud enim innuit, *evomentur*) : quod iis evenire solet qui, improbis artibus ditescentes, a Deo supplicio plectuntur, et de bonorum possessione deturbantur.

Τουτέστι, μετὰ ὀδύνης ἐκχυθήσεται. Πάντα μὲν γὰρ ὁ ἀσεβὴς πράττει, ὥστε τὰ ἀλλότρια λαβεῖν, καὶ πρὸς τοῦτον βλέπει τὸν σκοπὸν τὰ παρ' αὐτοῦ γινόμενα· ἐπειδὰν δὲ ἐγκρατὴς τῶν ὅλων εἶναι δόξῃ, τότε τὸν πλοῦτον εἰς ἑτέρους μεταφερόμενον ὄψεται. Κἂν γὰρ οὕτως αὐτὸν ἐν ἀσφαλείᾳ ἔχῃ, ὥσπερ ἐν κοιλίᾳ, ταχέως αὐτὸν ἀποβαλεῖ μετὰ ὀδύνης· τοῦτο γάρ ἐστιν, *ἐξεμεθήσεται*· ὅπερ συμβαίνει τοῖς ἀδίκως πλουτοῦσι, τοῦ Θεοῦ τιμωρουμένου, καὶ τῶν κτηθέντων ἀλλοτριοῦντος.

« De domo ejus extrahet eum angelus. »

« Ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος. »

Ad litteram vero : Unus ex angelis qui ad supplicia irroganda deputantur, de bonorum omnium possessione illum (injustum scilicet), deturbabit ; *domus* enim nomine, omnia intellexit. Reliqui vero pro *domo ejus*, reddiderunt *ventre ejus* ; ac si dicerent : Animam injusti e corpore, tanquam e ventre, angelus extrahet, et violenta morte interimet. D

Κατὰ δὲ τὸ ῥητόν· Ἄγγελός τις τῶν εἰς τιμωρίαν τεταγμένων, πάντων αὐτὸν ἐξώσει τῶν ἀγαθῶν, δηλονότι τὸν ἄδικον· ἀπὸ γὰρ τῆς *οἰκίας* τὸ πᾶν ἐσήμανεν. Οἱ δὲ λοιποὶ ἀντὶ τοῦ, *ἐξ οἰκίας αὐτοῦ, ἐκ γαστρὸς*, ἐξέδωκαν· ἵνα εἴπωσιν, ὅτι Ὡς ἐκ γαστρὸς, ἐκ τοῦ σώματος τὴν ψυχὴν τοῦ ἀδίκου ὁ ἄγγελος ἐξελκύσει, καὶ βιαίως ἀνελεῖ.

Vers. 16. « Et furorem draconum sugat, et interficiat illum lingua colubri. »

« Θυμὸν δὲ δρακόντων θηλάσειεν, ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως. »

Ita, inquit, se habebit, ad interitum totalem vergens, et tanquam aliquis a serpente morsus, vel venenum draconum hauriens, sua ipsius improbitate consumetur ; per *furorem* enim, iram intellexit.

Οὕτω, φησὶν, ἔσται εἰς παντελῆ χωρῶν ἀπώλειαν, καὶ ὑπὸ τῆς ἰδίας κακίας ἀναλωθήσεται, ὥσπερ τις ὑπὸ ὄφεως δηχθεὶς, ἢ δρακόντων ἰὸν καταπιών· διὰ γὰρ τοῦ *θυμοῦ* τὸν ἰὸν ἐσήμανε. Καλῶς δὲ ἔφη,

[99] Psal. xxxvi, 28. [99'] Isa. l, 11.

Digitized by Google

θηλάσειεν, ἵνα εἴπῃ, ὅτι προαιρετικῶς καὶ καθ' ἡδονὴν, ὥσπερ τι γάλα, τῆς κακίας τὸν θανατηφόρον ἰὸν ἀμέλγων, συναύξεται μὲν αὐτῇ, καὶ ποιοῦται κατ' αὐτήν· ἀπὸ δὲ αὐτῆς ἀναιρεῖται. Γλῶσσα δὲ ὄφεώς ἐστιν ἡ τοῦ πονηροῦ λαλοῦντος τὰ ἐναντία.

A Recte autem dixit, *sugat;* ac si diceret, quod impius arbitrii sui proposito et cum delectatione, tanquam lac, letiferum improbitatis virus sugens, cum ea quidem accrescit, et secundum eam canescit; nihilominus tamen ab ea de medio tolletur. Lingua autem impii qui contraria veritati loquitur, lingua serpentis est.

« Διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά· ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται· πᾶσα δὲ ἀνάγκη ἐπ' αὐτὸν ἐπελεύσεται, εἴ πως εἰ πληρῶσαι γαστέρα αὐτοῦ. »

Vers. 21-23. « Propter hoc non florebunt ejus bona, et cum putaverit se jam repletum esse, coarctabitur: omnis autem necessitas in eum superveniet, si quo modo sit implere ventrem suum. »

Ἴσως μὲν οὖν οὐδὲ ἐξανθήσει αὐτοῦ τὰ ἀγαθὰ, ἀλλ' ὁμοῦ τῷ ἄνθει [1] μαρανθήσεται· εἰ δὲ καὶ δόξει πλήρης εἶναι, καὶ πᾶσι κομᾷν τοῖς ἀγαθοῖς, τότε πᾶσα αὐτὸν ἀνάγκη καὶ θλῖψις καταλήψεται, ὥστε πληρῶσαι τὴν ψυχὴν αὐτοῦ ὀδυνῶν. Ταῦτα προτρεπτικὰ ἡμῖν, ἵνα ἀφιστώμεθα τῶν ἀλλοτρίων· εἴγε ὁ ταῦτα κτώμενος, ὅταν ἐν ἀφθόνοις εἶναι δόξῃ, τότε τὴν ἐσχάτην ὑποστήσεται ἔνδειαν, ὥστε ζητεῖν ὅπως πληρώσαι τὴν γαστέρα αὐτοῦ κενὴν οὖσαν καὶ ἐνδεῆ.

Fortasse etiam neque bona ejus efflorescent, verum in ipso flore marcescent: quod si plenus esse, et omnibus bonis abundare videbitur, tunc omnis necessitas et afflictio illum invadet, ita ut anima B ejus doloribus repleatur. Hæc nobis, ut ab alienis abstineamus, adhortationis loco inserviunt; quandoquidem qui hæc possidet, cum prospera fortuna uti videbitur, tunc extremam inopiam sustinebit, ita ut quomodo ventrem vacuum et egenum explere possit, quæsiturus sit.

« Ἐπαποστείλαι ἐπ' αὐτὸν θυμὸν ὀργῆς, νίψαι ἐπ' αὐτὸν ὀδύνας. »

« Immittat in eum furorem iræ, lavet super eum dolores. »

Ὁ δὲ Σύμμαχος, *ἐπιβρέξει*, δηλονότι ὁ Θεός. Ταῦτα, φησὶν, ὑποστήσεται ὁ ἀσεβὴς, τοῦ Θεοῦ ὀργίλως τὴν κατ' αὐτοῦ πέμποντος πληγὴν ὀξεῖαν καὶ ἀλλεπάλληλον, δίκην ὑετοῦ φορᾶς, ὀδύνας ἐπ' αὐτὸν ἀφιεῖσαν· ἄκρως [*Ισ.* add. γὰρ] αὐτὸν τιμωρούμενος, νιφετῶν δίκην, κατακλύσει αὐτὸν ταῖς ὀδύναις.

Symmachus vero, *depluet*, scilicet, Deus. Hæc, inquit, impius patietur, Deo cum indignatione celerem ac sine intermissione continuam plagam illi inferente, quæ instar pluviæ cum impetu ruentis, dolores illi immittet: summo enim supplicio illum afficiens, doloribus, tanquam imbre nivali, eum adobruet. C

« Ἄστρα δὲ ἐν διαίταις αὐτοῦ περιπατήσαισαν. »

Vers. 25. « Sidera autem in tabernaculis ejus obambulent. »

Ἕτερα δὲ ἀντίγραφα, *μὴ περιπατήσαισαν*, ἔχει· ἵνα εἴπῃ, ὅτι Οὐδεμία αὐτῷ λαμπρότης ὑπολειφθήσεται· κατὰ δὲ τὸ, *περιπατήσαισαν*, ἀντὶ τοῦ, *φοβερὰ* αὐτὸν ἐκδειματώσει φαντάσματα· ἤτοι δὲ τὸ ἠρημῶσθαι δηλοῖ τὰς οἰκίας, ὡς καταστράπτειν ἐν αὐταῖς τοὺς ἀστέρας, τῶν ὀρόφων ὄντων ἀνακεκαλυμμένων· ἢ καὶ σκηπτοὺς λέγει· οὕτω καὶ Ἀκύλας ἐκδέδωκε, *Καὶ ἀστραπὴ ἀπὸ προσώπου αὐτοῦ πορεύσεται ἐπ' αὐτὸν*, ἀντὶ τοῦ, Ἐκ προστώπου τοῦ Θεοῦ, τουτέστιν, ἐκ προστάγματος σκηπτοὶ καὶ κεραυνοὶ κατὰ τοῦ ἀσεβοῦς ἐνεχθήσονται. Ἔστι δὲ καὶ ἄλλως νοῆσαι, ὅτι ἄστρα τοὺς δικαίους ὀνομάζει, ὡς φωστῆρας ὄντας ἐν κόσμῳ· καὶ ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν εἴρηται, ὅτι *Ἃ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται*, τὸ αὐτὸ καὶ νῦν ἑτέρως λέγει, ὅτι *Τὰ ἄστρα ἐν ταῖς τῶν ἀσεβῶν διαίταις περιπατήσουσι*, τουτέστιν, οἱ δίκαιοι τὰ ἐκείνων ἀγαθὰ παραλήψονται. D

Sed illorum bona accipient.

« Κατέδεται αὐτὸν πῦρ ἄκαυστον. »

« Comedet eum ignis qui non accenditur. »

Ἀκύλας καὶ Θεοδοτίων, καὶ Σύμμαχος, οἱ μὲν, *μὴ φυσηθὲν*, ἐξέδωκαν· ὁ δὲ, *ἄνευ φυσήματος*· κατὰ μὲν τὸ πρόχειρον, τὸ μὴ ἐκ προνοίας ἀναφθὲν, ἀλλ' αὐτομάτως κατενεχθὲν, οἷον ἐδόκει τὸ καταφαγὸν τὰ πολιμνια τοῦ Ἰὼβ καὶ τοὺς ποιμένας, περὶ οὗ καὶ αἰνίττεται. Κατὰ δὲ τὸ κρυπτόμενον, *ἄκαυστον*·

Aquila et Theodotio, *non sufflatus*, reddiderunt; Symmachus vero, *sine sufflatione:* ignis, scilicet (si verba sensu obvio et omnibus aperto sumantur), qui non de industria accenditur, sed casu demissus est, qualis ille fuit qui Jobi greges et pastores devoravit, quem etiam innuere videtur. Sensu autem ma-

VARIÆ LECTIONES.

[1] *Ισ.* ἀνθεῖν.

Digitized by Google

gis recondito, *ignis qui non accenditur*, vel conscientiæ ignis est, vel ille qui tribunalibus futuris reservatur : supplicii etenim illic futuri mysterium hinc discimus, quod ut diligenter cavcamus ne aliquando patiamur, ignem dixit qui non accenditur impium devorare. Ignis autem noster materalis, quem oculis cernimus, accenditur; qui autem peccatores corripit, et intus eos adurit, ille est qui non accenditur : cujus si imaginem quamdam habere cupis, cogita tecum hominem gravissima febre laborantem et igne ardentem, qui, nemine externum hunc et materialem ignem admovente, conflagrat; oculis nullum ignem in eo cernes, intus tamen deprehenditur, et viscera ejus adurit : non aliter qui peccatorum febre corripitur, igne exuritur.

Vers. 26. « Lædat advena domum ejus. »

Olymp. et Pol. Id est, hospes aliquis et alienigena. Hoc autem ad extremam impii imbecillitatem et tenuitatem indicandam usurpatur. Familiæ reliquias et postremum, *advenam* vocat. Non obscure vero in Græco textu sic redditum est, ac si diceret : Supplicium etiam ad unum perveniet, ita ut ne memoria quidem ejus ulla relinquatur.

Vers. 27. « Et detegat cœlum iniquitates ejus, et terra insurgat adversus eum. »

Universa, inquit, natura inimicitias cum eo geret, qui Deo invisus est; et partem quidem malorum a cœlo, Deum inimicum habens, partem vero a terra, hominibus contra ipsum insurgentibus, sustinebit : et cœlum quidem, divina justitia actiones ejus manifestante, in eo quod peccata suppliciis desuper immissis puniat, iniquitates ejus revelabit; terra vero, instructis et armatis copiis, illum debellabit. Hæc autem ideo dixit, quia Jobi greges igne cœlitus demisso, et liberi ruina domus flatu æreo conquassatæ interierunt; boum vero, asinarum et camelorum armenta, infra hic ab hostibus in terra direpta sunt. Hæc autem omnia Jobo propter ipsius peccata illata esse, Sopharus astruere conatur.

Vers. 28. « Trahat domum ejus perditio in finem. »

Id est : Exitio totali peribit, et quando Deus punire decreverit, supplicium ejus omnia pervadet, nec quidquam intactum relinquet.

Vers. 29. « Hæc est pars hominis impii a Domino, et possessio bonorum ejus a superintendente. »

Hæc, inquit, impius a Deo consequetur, et multarum possessionum finis erit supplicium : quoniam enim bona possidens, divinam beneficentiam non animadvertit, plenitudo iræ, a Deo qui omnia intuetur, tanquam possessio et portio ei datur. Episcopi autem, cum audiunt in sacra Scriptura Deum hoc nomine indigitari, saluti gregis vigili custodia prospicientes, et fide, vita inculpata, ac doctrina

A πῦρ ἐστιν, ἤτοι τὸ κατὰ συνείδησιν, ἢ καὶ τὸ ἀποκείμενον ἐν τοῖς μέλλουσι δικαιωτηρίοις· μυστήριον γάρ τι μανθάνομεν περὶ τῆς ἐκεῖσε κολάσεως, ἵνα φυλασσώμεθα αὐτὴν παθεῖν, πῦρ εἶπεν ἄκαυστον κατέδεσθαι τὸν ἀσεβῆ. Τὸ δὲ παρ' ἡμῖν τοῦτο τὸ ὑλικὸν οὐκ ἔστιν ἄκαυστον· βλέπομεν γὰρ αὐτό· ἐκεῖνο δὲ ἄκαυστόν ἐστι τὸ πῦρ, τὸ ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐρχόμενον, ὃ ἔνδον αὐτοὺς καίει. Ἐὰν θελήσῃς εἰκόνα λαβεῖν τοῦ πυρὸς ἐκείνου, νόει μοι τὸν εἰς ὑπερβολὴν πυρέσσοντα, καὶ ὑπὸ πυρὸς φλεγόμενον, ὃς καταφλέγεται, οὐδενὸς αὐτῷ τὸ ἔξωθεν τοῦτο καὶ ἔνυλον πῦρ προσαγαγόντος· οὐχ εὑρήσεις ὄψει τὸ πῦρ ἐν αὐτῷ, ὑπόκειται [a] δὲ, καὶ ἐκκαίει αὐτοῦ τὰ σπλάγχνα· οὕτως ἀπὸ τῶν ἁμαρτημάτων πυρέττων τις ἐκκαίεται.

B « Κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον. »

Ὀλυμπιοδώρου καὶ *Πολυχρονίου*. Τουτέστι, ξένος τις καὶ ἀλλογενής. Τοῦτο δὲ εἰς ἔνδειξιν τῆς ἄγαν ἀσθενείας τοῦ ἀσεβοῦς παρείληπται. Ἐπήλυτον καλεῖ τὸν ὑπολελειμμένον τοῦ οἴκου. [b] Ἀσαφῶς δὲ μετενήνεκται εἰς τὸ Ἑλληνικόν· ἵνα εἴπῃ, ὅτι καὶ μέχρι ἑνὸς χωρήσει ἡ τιμωρία, ὥστε μηδὲ μνημόσυνον αὐτοῦ περιλειφθῆναι.

« Ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς ἀνομίας, γῆ δὲ ἐπαναστήσῃ αὐτῷ. »

Πᾶσα, φησὶν, ἡ φύσις ἐχθρανεῖ τῷ θεοστυγεῖ· καὶ τὰ μὲν τῶν δεινῶν ἐξ οὐρανοῦ ὑποστήσεται, τὸν Θεὸν ἔχων πολέμιον, τὰ δὲ ἐκ γῆς, τῶν ἀνθρώπων αὐτῷ ἐπανισταμένων· καὶ οὐρανὸς μὲν ἀνακαλύψει τὰς ἀνομίας αὐτοῦ, τῆς θείας δίκης ἐκφανερούσης τὰ κατ' αὐτὸν, ἐν τῷ ἄνωθεν ἐπιπέμπειν τὴν ἐπὶ τοῖς ἁμαρτήμασι κόλασιν· αὐτὴ δὲ ἡ γῆ πολεμήσει αὐτῷ, ὁπλιτικὰς ἐκτάττουσα φάλαγγας. Ταῦτα δὲ εἶπεν, ἐπειδὴ τῷ Ἰὼβ τὰ μὲν ποίμνια, καὶ οἱ παῖδες, τὰ μὲν τῷ ἄνωθεν ἐνηνεγμένῳ πυρὶ, οἱ δὲ καὶ τῷ ἀερίῳ πνεύματι, ὑφ' οὗ ἡ οἰκία δονηθεῖσα κατέπεσε, διεφθάρησαν· αἱ δὲ βοῶν ἀγέλαι, καὶ ὄνων, καὶ τῶν καμήλων, κάτωθεν ὑπὸ τῶν πολεμίων διηρπάγησαν. Κατασκευάζει οὖν ὁ Σωφὰρ, ὅτι πάντα δι' ἁμαρτίαν ἐπ' αὐτὸν ἐπηνέχθη.

« Ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος. »

Τουτέστι, πανωλεθρίᾳ διαφθαρήσεται, καὶ πάντα ἡ παρὰ Θεοῦ κόλασις ἐπιδραμεῖται, ἡνίκα ἂν Θεὸς D καταψηφίσηται τὴν τιμωρίαν.

« Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου. »

Τούτων, φησὶ, παρὰ τοῦ Θεοῦ τεύξεται ὁ ἀσεβὴς, καὶ τὸ πέρας τῆς πολλῆς κτήσεως ἡ τιμωρία· ἐπειδὴ γὰρ κτησάμενος τὰ ἀγαθὰ, οὐκ ἤσθετο τῆς θείας εὐεργεσίας, δίδοται αὐτῷ κτῆμα καὶ μερὶς, τὸ πλήρωμα τῆς ὀργῆς παρὰ τοῦ τὰ πάντα ἐπισκοποῦντος Θεοῦ. Ἀκούοντες δὲ οἱ ἐπίσκοποι, ὡς ὁ Θεὸς ταύτῃ κέκληται τῇ προσηγορίᾳ παρὰ τῇ Γραφῇ, τηρεῖτωσαν τῆς προσηγορίας τὸ ἀξίωμα, ἐπαγρύπνως τὰ

VARIÆ LECTIONES.

[a] *Isc.* ἔγκειται. [b] *Isc.* suppl. οὐκ.

Digitized by Google

κατὰ τὴν ποίμνην ἐπισκοποῦντες, καὶ πίστει, καὶ βίῳ ἀνεπιλήπτῳ, καὶ διδασκαλίᾳ σεμνυνόμενοι· μαθέτωσαν τίς ἐπίσκοπος ἐνθάδε ὠνομάσθη, καὶ ἐκείνου εἰκόνα παντὶ τρόπῳ φιλοτιμείσθωσαν φορεῖν. Ὥσπερ γὰρ ὁ μιμησάμενος εἰκόνα βασιλικὴν, τιμᾶται ἐπὶ τῷ καλῶς αὐτὴν μιμήσασθαι, τιμᾶται δὲ καὶ ἐπὶ τῷ αὐτὴν κεκοσμηκέναι· οὕτω μακάριος ἐπίσκοπος, ὁ νοήσας τὸν ἀληθινὸν ἐπίσκοπον, καὶ ζηλῶν αὐτὸν, καὶ γινόμενος ὡς ἐν ἀνθρώποις θεὸς, καὶ ἔχων ἐπίσκοπον τὸν ποιοῦντα αὐτὸν ἀληθῶς ἐν Χριστῷ Ἰησοῦ ἐπίσκοπον.

A ornati, appellationis suæ dignitatem tueantur: discant quis hoc loco episcopus nuncupetur, illiusque imaginem referre modis omnibus studiose contendant. Quemadmodum enim qui regiam imaginem imitatur, eo quod recte eam exprimat et adornet, in pretio et honore habetur: ita beatus ille episcopus est, qui verum episcopum contemplatur, et imitandum sibi proponit, ac tanquam Deus inter homines versatur; illumque episcopum et inspectorem habet, qui ipsum nimirum in Christo Jesu episcopum creavit.

ΚΕΦΑΛ. ΚΑ'.

Προθεωρία.

Οἱ φίλοι τοῦ Ἰὼβ ἐλθόντες ἐπὶ παράκλησιν, καὶ τῶν ἀνηκέστων συμφορῶν αὐτόπται γενόμενοι, ὡς μὲν εὐσεβεῖς οὐδὲν ἄτοπον περὶ Θεοῦ ἐλογίσαντο· ἀγνοοῦντες δὲ ὡς πεῖρά τις καὶ βάσανος ἀρετῆς ἡ πληγὴ, ἄμεινον ἔκρινεν καταδικάσαι μὲν τὸν Ἰὼβ, ὡς ἐφ' ἁμαρτίαις πάσχοντα, δίκαιον δὲ τὸν Θεὸν ἀποφῆναι, ὡς οὐκ ἀδίκως αὐτὸν τιμωρησάμενον. Ὁ δὲ ἀνδρειότατος Ἰὼβ, οὐδὲ αὐτὸς μὲν ἄδικόν τι περὶ Θεοῦ ἐλογίσατο, οὐδὲ ἀπεμφαίνουσαν εἴληφε δόξαν περὶ τῆς πάντα καλῶς καὶ δικαίως διεπούσης προνοίας τοῦ Θεοῦ· οὐδὲν δὲ ἑαυτῷ συνειδὼς τῆς τηλικαύτης τιμωρίας ἐπάξιον, οὐκ ἀνέχεται τῆς ἀδίκου τῶν φίλων κατακρίσεως. Πολλῶν δὲ περὶ τούτων γενομένων αὐτοῖς διαλέξεων, καὶ νῦν τοῦ Σωφὰρ ἐπ' ἀσεβείᾳ πάλιν αὐτὸν καταδικάσαντος, φησὶ πρὸς αὐτοὺς, Ἀκούσατέ μου τῶν λόγων, ἵνα γνῶτε ὡς οὐ παρακλητικὸν προσηγάγετε λόγον, ἀλλ' ἐσφαλμένως καὶ κατ' ἄγνοιαν προφάσεις προσφέρετε[1]· διελέγχων δὲ τὴν ἄγνοιαν, προβληματικῶς φησι πρὸς αὐτοὺς, Εἰ οἴδατε τῆς Προνοίας τοὺς λόγους, ἀποκρίνασθέ μοι, διατί ἀσεβεῖς εὐθηνοῦνται; καὶ πανταχόθεν αὐτοῖς ἀφθόνως περιῤῥεῖ τὰ ἀγαθά; καὶ ἐν εὐπαθείᾳ διάγουσι, θεομάχα φθεγγόμενοι ῥήματα; πλὴν ἀλλὰ καὶ αὐτῶν ἡ εὐημερία μεταπίπτει· πῶς δὲ καὶ ὁ μέν τις ἐν πλούτῳ καὶ πάσῃ τῇ παρὰ ἀνθρώποις ὄλβῃ τελευτᾷ τὸν βίον, ὁ δὲ ἐν πικρίᾳ ψυχῆς, οὐδενὸς τῶν ἐν βίῳ μετασχὼν ἀγαθῶν; Εἶτα διὰ μέσου παρενέθηκε, *Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην;* δεικνὺς ὡς ἀνέφικτα καὶ ἀκατάληπτα τὰ τοῦ Θεοῦ κρίματα, καὶ οὐ πάντες ἡμῖν γνώριμοι τῆς πάντα καλῶς διοικούσης Προνοίας οἱ λόγοι.

CAP. XXI.

Protheoria.

Cum amici Jobi, ut solarentur eum, accessissent, et immedicabiles ejus calamitates oculis ipsi vidissent, tanquam homines pii, nihil de Deo a ratione alienum mente conceperunt: plagam vero illam ad virtutem probandam et explorandam immissam fuisse ignorantes, visum est eorum judicio, Jobum quidem, ac si propter peccata ærumnas sustineret, condemnare, Deum vero, quod non immerito eum supplicio afficeret, justum pronuntiare. Fortissimus vero athleta Jobus, neque ipse injustum aliquid de Deo cogitavit, neque de Providentia divina, quæ omnia recte et juste administrat, dissentaneam ullam et ineptam opinionem animo concepit: cum autem nullius sceleris sibi conscius esset, quod tam grave supplicium mereretur, injustam amicorum condemnationem iniquo animo fert. Cumque de hoc multos inter se sermones sevissent, et Sopharus illum nunc denuo impietatis reum pronuntiasset, sic eos alloquitur: Ut intelligatis, vos orationem consolatoriam nequaquam in medium attulisse, sed errore deceptos causas speciosas et fictitias ignoranter prætendisse, iis quæ dicturus sum attendite. Ignorantiam autem eorum redarguens, problematice sic inquit: Si Providentiæ rationes vobis perspectæ sunt, cur impii prospera fortuna utantur, et bonorum abundantia undique circumfluant? ac licet verba hostilia contra Deum proferant, vitam sine ærumnis et molestiis traducant (quin et eorum etiam felicitas labilis et caduca est), respondete mihi? et cur hic quidem in divitiis et omni beatitudine humana, alter vero in angore animi, bonorum omnium quæ hominibus in vita contingunt, expers, vitam finiat? Deinde, Dei judicia incomprehensibilia et ineffabilia esse ostendens, et quod providentiæ, quæ cuncta recte gubernat, rationes nobis omnino cognitæ non sint, hoc sermoni suo interserit, *Nunquid non Dominus est qui docet intellectum et scientiam?*

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, « Ἀκούσατε, ἀκούσατέ μου τῶν λόγων, ἵνα μὴ ᾖ μοι παρ' ὑμῶν αὕτη ἡ παράκλησις. »

Vers. 1. « Respondens autem Job, ait: [Vers. 2] « Audite, audite sermones meos, ut non sit mihi a vobis hæc consolatio. »

Ὁ δὲ Σύμμαχος, *Καὶ γενέσθω τοῦτο μετάβουλευμα ὑμῶν.* Ὁ μὲν διπλασιασμὸς τοῦ, *Ἀκούσατέ* μου, ἤτοι προσοχὴν ἐνεργάσασθαι βούλεται, ἢ καὶ τὴν τῆς ψυχῆς εὐθυμίαν ἐμφαίνει. Ὁ δὲ νοῦς τοῦ στίχου τοιοῦτος· Δέξασθε τὰ παρ'

Symmachus vero, *Et fiat hoc consilii vestri mutatio.* Verbi autem, *Audite*, ingeminatio, vel ad excitandam attentionem adhibetur, vel animi securitatem ac tranquillitatem indicat. Sensus autem versus hic est: Accipite quæ dicturus sum, ut edocti

VARIÆ LECTIONES.

[1] *Isc.* προσφέρετε. [2] *Isc.* πάντως.

Digitized by Google

quod verba ad consolandum minime idonea adhibeatis, consilium mutetis, et aliam sermonis vestri methodum ac tractationem instituatis : nam ut nunc se res habet, consolatio vestra consolatio non est, sed dolorum incrementum ; calamitates enim mihi exprobrantes, vulnera mea refricatis.

VERS. 3. « Sustinete me, ego autem loquar; deinde non irridebitis me. »

Symmachus vero, *Et post sermones meos acquiescetis.* Duplex autem verborum sensus est ; vel enim hoc dicit, Sustinete, et æquo animo ferte me dicentem ; persuasum enim habeo cessaturos vos, nec amplius ludibrio me habituros, si ea quæ a me dicentur diligentius animadverteritis. Vel, morbo me afflictum et incurvatum erigite et sublevate ; postquam vero ea dixero quæ voluero, rursus me in priore sede collocabitis.

VERS. 4. « Quid enim ? Nunquid hominis est castigatio mea ? aut quare non irascar ? »

Talia, inquit, contra me comminiscentes, bilem mihi movetis ; quis enim mortalium est qui, prout vos affirmastis, me impietatis, rapinæ et cupiditatis alienorum bonorum arguere potest ? Quandoquidem igitur nemo est qui me arguat, cur non merito contra vos ira accendar, quod in accusatione vestra, ea quorum ignari estis pro certis affirmetis ? Vel illud dicit quod postea ab Apostolo usurpatum est : *Mihi vero pro minimo est quod a vobis dijudicer : sed Dominus is est qui me dijudicat* [1], Idcirco igitur excandesco, quod rei veritatem ignorantes, judicium divinum præjudicio vestro antevertatis.

VERS. 5. « Inspicientes in me, admirabimini [*Aquila vero*, Dubii et perplexi hærete ; *et Symmachus*, obmutescite], manum ponentes super maxillam. » [*Cæteri*, super os.]

Qui cum silentio aliquid audiunt, ut plurimum cubitum femore supposito fulcientes, et vultum super manum inclinantes, iis quæ dicuntur animum advertunt. Dicit igitur : Cum silentio et attentione auscultate mihi, ut ea quæ dicuntur admiremini : atque ita nonnulli versum hunc intellexerunt. Meo vero judicio, hoc est quod dicit : Statum rerum mearum vobiscum reputantes, admiremini ; causamque cur ærumnas sustineam ignorantes, in angustias conjiciamini, ac hæsitantes, nec habentes quod dicere possitis, silentii vinculum ori injicite : sic enim ea quæ patior omnem orationem superant et excedunt, ut propter exprimendi difficultatem præstet de iis silere, quam temere pronuntiare, et condemnationis sententiam de me ferre.

VERS. 6. « Si etenim recordatus fuero, sollicitus fui, et tenentur carnes meæ doloribus. »

Atque hic etiam interpretes lapsi sunt. Con-

A ἐμοῦ λεχθησόμενα, ἵνα μαθόντες ὅτι μὴ κατὰ λόγον ποιεῖσθε τὴν παράκλησιν, μεταβουλεύσησθε, καὶ ἀμείψητε τὴν τοῦ λόγου οἰκονομίαν καὶ μεταχείρισιν· ὡς νῦν γε ἡ παράκλησις ὑμῶν οὐκ ἔστι παράκλησις, ἀλλὰ προσθήκη τῶν ὀδυνῶν· ἐπιξαίνετε γάρ μοι τὰ τραύματα, τὰς συμφορὰς ὀνειδίζοντες.

« Ἄρατέ με, ἐγὼ δὲ λαλήσω· εἶτ' οὐ καταγελάσετέ μου. »

Ὁ δὲ Σύμμαχος, *Καὶ μετὰ τοὺς λόγους μου στήσετε.* Διττὴ δὲ ἡ ἔννοια· ἤτοι γὰρ τοῦτο λέγει, Ὑπομείνατε, καὶ βαστάσατέ με λέγοντα, καὶ οἶδα ὅτι ἐὰν ἐπιστήσητε τοῖς παρ' ἐμοῦ λεγομένοις, στήσεσθε καὶ παυθήσεσθε καταγελῶντές μου. Ἢ, ὅτι Ἀναβαστάσατέ με, καὶ ἀνορθώσατε ὑπὸ τῆς νόσου συγκαπτόμενον[k]· μετὰ δὲ τὸ εἰπεῖν με ἃ βούλομαι, B πάλιν με ἐπὶ τῆς προτέρας καταστήσετε κατακρίσεως[l].

« Τί γάρ ; Μὴ ἀνθρώπου μου ἡ ἔλεγξις ; ἢ διατί οὐ θυμωθήσομαι ; »

Εἰς ὀργήν με, φησίν, ἐκκαλεῖσθε, τοιαῦτά μου καταψευδόμενοι· ἐπεὶ τίς ἀνθρώπων ἐλέγξαι με δύναται ἀσεβῆ γεγονότα, ἢ ἅρπαγα, καὶ τῶν ἀλλοτρίων ἐραστήν, ὡς ὑμεῖς ἀπεφήνασθε ; Ἐπεὶ οὖν μή ἐστί τις ὁ ἐλέγχων με, πῶς οὐ δικαίως θυμωθήσομαι καθ' ὑμῶν, ὅτι περὶ ὧν οὐκ οἴδατε, διαβεβαιοῦσθε, κατηγοροῦντές μου ; Ἢ κἀκεῖνο λέγει ὅπερ ὕστερον ὁ Ἀπόστολος ἔφη, *Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστι.* Διὰ τοῦτο οὖν εἰς ὀργὴν κινοῦμαι, ὅτι τὸ σαφὲς οὐκ εἰδότες, τὴν θείαν προλαμβάνετε C κρίσιν.

« Εἰσβλέψαντες εἰς ἐμὲ, θαυμάσετε [ὁ δὲ Ἀκύλας, ἐξαπορήθητε· ὁ δὲ Σύμμαχος, ἀφθόγγοι γίνεσθε], χεῖρα θέντες ἐπὶ σιαγόνι. » [*Οἱ λοιποὶ*, ἐπὶ στόματι.]

Οἱ μεθ' ἡσυχίας ἀκούοντες, ὡς τὰ πολλὰ τὸν ἀγκῶνα τῷ μηρῷ[m] προσερείσαντες, καὶ τῇ χειρὶ τὸ πρόσωπον ἐπανακλίναντες, τοῖς λεγομένοις τὸν νοῦν προσέχουσι. Λέγει οὖν, ὅτι Μεθ' ἡσυχίας καὶ προσοχῆς ἀκούσατέ μου, ἵνα θαυμάσητε τὰ λεγόμενα· καὶ οὕτω μέν τινες τὸν στίχον ἐνόησαν. Κατ' ἐμὲ δὲ κριτὴν ἐκεῖνό φησιν· Ἀναλογιζόμενοι τὰ κατ' ἐμὲ, D θαυμάσατε, καὶ εἰς ἀμηχανίαν περίστητε[n], μὴ εὑρίσκοντες αἰτίαν δι' ἣν πάσχω, καὶ ἐξαπορηθέντες, καὶ μὴ ἔχοντές τι εἰπεῖν, τὸν τῆς σιωπῆς δεσμὸν τῷ στόματι ἐπίθετε· οὕτω πέρα[o] παντὸς λόγου τὰ ἐμὰ πάθη καθέστηκεν, ὡς ἄμεινον εἶναι ἐπὶ τούτοις σιγᾷν δι' ἀπορίαν, ἢ προπετῶς ἀποφαίνεσθαι, καὶ καταγινώσκειν μου.

« Ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα, ἔχουσι δέ μου τὰς σάρκας ὀδύναι. »

Κἀνταῦθα οἱ ἑρμηνεύσαντες διήμαρτον. Μετὰ

[1] I Cor. IV, 34.

VARIÆ LECTIONES.

[k] *Ἴσ.* συγκαμπτόμενον. [l] *Ἴσ.* κατακλίσεως. [m] *γρ.* ἄκρῳ. *Ἴσ.* ἄκρῳ μηρῷ. [n] *γρ.* παρίστητε. [o] *γρ.* παρά.

Digitized by Google

σπουδῆς γάρ, φησὶν, ἐρῶ, καὶ συντόμως ἐπιμνησθήσομαι τῶν μελλόντων ῥηθήσεσθαι· οὐ γὰρ ἐῶσιν ἐμφιλοχωρῆσαι τῷ λόγῳ αἱ πολιορκοῦσαί μου τὰς σάρκας ὀδύναι. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, *ἐσπούδακα*, ἐκδοὺς, *θορυβοῦμαι*, τοῦτο οἶμαι δηλοῖ, ὅτι Ἐὰν καὶ μόνον μνησθῶ τῶν ἐμῶν κακῶν, ταράττομαι καὶ θορυβοῦμαι, καὶ οὐδὲ τὴν μνήμην ἀπαθῶς φέρω, ἀλλὰ καὶ ἡ ἀλγηδών με τοῦ σώματος πρὸς ἑαυτὴν ἀντιπερισπᾷ, καὶ οὐκ ἐᾷ μετὰ τῆς προσηκούσης ἁρμονίας ποιεῖσθαι τοὺς λόγους.

« Διατί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ, καὶ ἐν πλούτῳ; » κ. τ. λ.

Ἐπειδήπερ οἴεσθε σοφοί τινες εἶναι, καὶ τὰς αἰτίας εἰδέναι καθ' ἃς ταῦτα πάσχω, ἐρομένῳ μοι φράσατε· Πόθεν πολλοὶ πολλάκις ἀσεβεῖς καταγηρῶσιν ἐν πλούτῳ; καὶ ἀφθόνως μὲν αὐτοῖς ἀνίησιν ἡ γῆ τοὺς καρπούς; ἐφήδονται δὲ τῇ εὐπαιδίᾳ, καὶ πανταχόθεν αὐτοῖς συντρέχει τὰ ἀγαθά; καὶ οὐδὲ ἡ ἄλογος αὐτοῖς φύσις ποτὲ ἐδυσπράγησε; μένουσι δὲ ἐν ταῖς εὐπραγίαις [p] *ὡς πρόβατα*, ἀντὶ τοῦ, ἀφρόντιδες, οἱονεὶ θείας τινὸς καὶ ἀθανάτου μοίρας ἐπειλημμένοι, καὶ ἀνθρωπίνης τληπαθείας ἔξω τυγχάνοντες; ἐν εὐφροσύνῃ δὲ αὐτοῖς καὶ τὰ τέκνα διατελεῖ, καὶ μουσικοῖς ὀργάνοις ἐπιτέρπεται; καὶ ἐν ἀφθονίᾳ πολλῇ τῶν δεόντων παρὰ πάντα τὸν βίον ἐξετάζονται [q], καὶ συντελευτῶσι τοῖς ἀγαθοῖς; καὶ ταῦτα, ἐναργῶς θεομαχοῦντες, καὶ οὐδεμίαν τῶν θείων ἐντολῶν λαμβάνοντες ἔννοιαν; Τοιαύτη μὲν τῶν στίχων ἡ δύναμις· χρὴ δὲ ἴσως καὶ ἕκαστον στίχον καθ' ἑαυτὸν ἐξετάσαι.

« Ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς. »

Τουτέστιν, οὐδεὶς ἐν αὐτοῖς ἄγονος, ἀλλὰ πάντες γόνιμοι, σπέρμα καὶ τέκνα ἔχουσι· τοῦτο γάρ ἐστι τὸ, *κατὰ ψυχὴν*, ἀντὶ τοῦ, ὁ καθ' ἕνα πατὴρ ἐστι. Τὸ δὲ, *τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς*, ὁ Σύμμαχος, *Διαμένει ἔμπροσθεν αὐτῶν*, ἐξέδωκε. Γλυκὺ γὰρ πατράσι θέαμα παῖδες ὁρώμενοι, καὶ τοῖς παιδικοῖς αὐτοὺς [r] ψελλίσμασι τέρποντες.

« Οἱ οἶκοι αὐτῶν εὐθηνοῦσι, φόβος δὲ οὐδαμοῦ, μάστιξ δὲ παρὰ Κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς. »

Ἥδονται, φησὶ, τοῖς τέκνοις, εὐθηνοῦσιν, οὐδενὶ διευλαβοῦνται, οὐ δεδοίκασι τῆς εὐπραγίας μετάπτωσιν, οὐ δέχονται πληγὴν θεήλατον. Τινὲς δὲ τὸ, *Ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν*, οὐ περὶ τοῦ σπέρματος τῶν παίδων ἐνόησαν, ἀλλὰ περὶ τῶν ἐν τῇ γῇ καταβαλλομένων σπερμάτων· ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον· Κομῶσιν αὐτοῖς τὰ λήϊα, οὐδαμοῦ ἀφορία· *κατὰ ψυχὴν* δὲ, καὶ καθ' ἕνα ἕκαστον ταῦτ' αὐτοῖς ἡ τῶν σπερμάτων δαψίλεια. Ἀμείνων δὲ, οἶμαι, ἡ προτέρα ἐκδοχή.

stim, inquit, et summatim ea de quibus dicturus sum, commemorabo : dolores enim qui carnes meas obsident et infestant, longiori orationi indulgere non sinunt. Symmachus pro *sollicitus fui*, reddens *conturbor*, hoc innuere mihi videtur : Si meorum malorum mentionem tantum fecero, commovcor et conturbor, neque recordationem ipsam sine animi dolore sustineo ; quin et corporis cruciatus ad se trahit, nec cum debita et concinna orationis structura verba me facere patitur.

Vers. 7. « Quare impii vivunt, senuerunt autem, et in divitiis? » etc.

Quandoquidem sapientes vos esse existimatis, et causas cognoscere propter quas ego hæc patior, respondete mihi interroganti. Unde eveniat quod sæpenumero multi impii in divitiis consenescant? terra iis fructus abundanter proferat? præclara sobole delectentur, et undique bonis affluant? neque bestiæ eorum, quæ ratione carent, casum aliquem adversum patiantur? permaneant autem in prosperitate *sicut oves*, id est, absque omni cura et sollicitudine, ac si extra humanam calamitatem constituti, divinam quamdam et immortalem sortem nacti fuissent? liberi etiam eorum lætam vitam agant, et musicis instrumentis animum oblectent? rerumque omnium necessariarum abundantia toto vitæ suæ cursu affluentes, festos dies celebrent, et cum bonis commoriantur, licet bellum apertum contra Deum gerant, et divinorum mandatorum nulla cogitatio eorum animos subeat? Atque hic quidem versuum horum sensus est; operæ pretium tamen est sigillatim versum unumquemque expendere.

Vers. 8. « Semen eorum secundum animam, et filii eorum in oculis. »

Id est : Nullus inter eos sterilis est, sed fecundi omnes, semen et liberos habent ; *secundum animam* enim, id est, unusquisque eorum pater est. Illud autem : *Et filii eorum in oculis*, Symmachus reddidit : *Permanent ante eos*. Liberos enim intueri, et puerilibus ac balbis sermonibus oblectari, parentibus jucundum spectaculum est.

Vers. 2. « Domus eorum abundant ; timor autem nusquam, et flagellum a Domino non est super eos. »

Liberis, inquit, delectantur, rebus omnibus abundant, neminem verentur, ne excidant sua prosperitate non metuunt, plagam nullam a Deo immissam sentiunt. Quidam vero illud : *Semen eorum secundum animam*, non de virili semine ex quo liberi procreantur, intellexerunt, sed de seminibus quæ terræ mandantur; ut quod dicitur hoc sit : Agri eorum frugum feraces sunt, nusquam sterilitas est; *secundum animam* vero, et unicuique eorum, seminum abundantia suppeditatur. Prior vero expositio meo judicio melior est.

VARIÆ LECTIONES.

[p] γρ. εὐποΐαις. [q] Ισ. ἑορτάζονται. [r] γρ. αὐτῶν.

Digitized by Google

VERS. 10. « Bos eorum non fetum immaturum peperit. [*Symmachus* : Non fecit abortum ; *id est* : Bos arans fetum imperfectum et mortuum non edidit.] Et salva evasit eorum prægnans, et non frustrata est. »

Aquila autem, *juvenca eorum* ; ac si rursus diceret : Bos fetum utero conceptum imperfectum non ejecit, neque embryon immaturum peperit, sed salva evasit, fetum absolutum edidit, neque frustrata est. Quidam vero de muliere hæc dicta esse arbitrati sunt, quod scilicet eorum conjuges fetus abortivos non pareant.

VERS. 11. « Et permanent sicut oves æternæ.

Vel hoc dicit, quod etiam oves illis permaneant tanquam æternæ, nullo pestilenti morbo aut lue infectæ ; vel, quod ipsi vitam longævam ducentes, in multitudinem instar ovium excrescant, et liberorum propagatione immortalitatem imitentur.

VERS. 15. « Quid est Omnipotens, quia serviemus ei? et quæ utilitas, quoniam obviam ibimus ei? »

Sub impiorum persona hæc loquitur. Similis autem hic locus illi : *Dixit insipiens in corde suo, Non est Deus* [1]. *Quis* enim, inquit, *est sufficiens*, id est, qui omnipotens dicitur Deus? Quid lucri ab eo reportabimus, si ea de causa cultum ejus et obsequium elegerimus? qua in re juvabimur, si proni ad adorandum eum accesserimus? Illud enim, « *Quoniam obviam ibimus*, » dicunt metaphora sumpta ab iis qui personis illustribus assurgunt, et honoris causa in occursum eorum veniunt. Deinde causam affert cur talia loquantur, ut ostendat eos sine labore et modestia bona possedisse.

VERS. 16. « Erant enim in manibus eorum bona. »

Hæc, inquit, eo quod suppliciis minime afficiantur, sed in bonorum hujus vitæ affluentia ætatem transigant, Deo interim patienter ferente, animo secum meditantur, et dicunt : Omnia in manibus habemus, quæ jucunda sunt de nostro possidemus ; quem fructum majorem nobis afferet Deus, ut vias ejus et mandata custodientes, molestiam nobis ipsis creemus?

« Opera autem impiorum non inspicit. »

Hæc etiam verba impiorum esse quibusdam videntur, qui, ut verisimile est, dicunt : Hæccine Deus intuetur? Num in his occupatus est? Nequaquam ; hominum actiones nulli curæ ei sunt. Forte etiam et verba hæc non inepte Jobo summam Dei longanimitatem admiranti, quadrabunt, qua e vestigio impios suppliciis non afficit, sed impune eos peccare patitur, quasi ea quæ ab iis fiunt nequaquam cerneret.

VERS. 17-19. « Imo vero et impiorum lucerna

A « Ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν. [*Ὁ Σύμμαχος*, οὐκ ἐξέτρωσε, *τουτέστιν*, Ἀτελῆ καὶ νεκρὰν γονὴν ἡ γεωργικὴ βοῦς οὐκ ἤνεγκε.] Διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα, καὶ οὐκ ἔσφαλεν. »

B * Ὁ δὲ Ἀκύλας, *δάμαλιφ αὐτῶν* * ἵνα πάλιν εἴπῃ, ὅτι ἡ βοῦς οὐκ ἀπέβαλεν [*ἰσ.* ἐξέβαλεν] ἀτελὲς τὸ ἐγκυμονούμενον, οὐδὲ ἄωρον τὸ ἔμβρυον ἀπεκύησεν, ἀλλὰ διεσώθη, καὶ τέλειον ἔτεκε, καὶ οὐκ ἀπέτυχε. Τινὲς δὲ περὶ γυναικὸς εἰρῆσθαι ταῦτα ὑπέλαβον, ὅτι καὶ αἱ παρ' αὐτοῖς γυναῖκες οὐκ ἐξέτρωσαν ἀμβλωθρίδια [*γρ.* ἀμβλωθεῖσαι].

« Μένουσι δὲ ὡς πρόβατα αἰώνια. »

C * Ἤτοι τοῦτό φησιν, ὅτι μένουσιν αὐτοῖς καὶ τὰ πρόβατα ὥσπερ αἰώνια, μηδεμιᾶς λοιμώδους νόσου ἢ φθορᾶς αἰσθανόμενα * ἢ, ὅτι αὐτοὶ μένουσι μακρόβιοι, καὶ εἰς πλῆθος ἐπιδιδόντες, καθάπερ τὰ πρόβατα, καὶ ταῖς ἐπιγοναῖς τὴν ἀθανασίαν μιμούμενοι.

« Τί ἰκανὸς, ὅτι δουλεύσομεν αὐτῷ ; καὶ τίς ὠφέλεια ὅτι ἀπαντήσομεν αὐτῷ ; »

D Ὡς ἐκ προσώπου τῶν ἀσεβῶν ὁ λόγος * ἔοικε δὲ τῷ, *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός. Τίς* γὰρ φησιν, *ἐστὶν ὁ ἱκανὸς*, τουτέστιν, ὁ παντοδύναμος λεγόμενος Θεός ; Τί δὲ πλέον ἡμῖν ἔσται παρ' αὐτοῦ, ἵνα διὰ τοῦτο τὴν αὐτοῦ λατρείαν καὶ θεραπείαν ἐλώμεθα ; τί δὲ ὠφεληθησόμεθα, ἐὰν εἰς τὴν αὐτοῦ προσκύνησιν * ὑποπίπτοντες * ἔλθωμεν ; Τὸ γὰρ, *ὅτι ἀπαντήσομεν*, φασὶν ἐκ μεταφορᾶς τῶν τοῖς ἐνδόξοις προσώποις προανισταμένων, καὶ τιμῆς χάριν εἰς ἀπάντησιν αὐτοῖς ἐρχομένων. Εἶτα τίθησι τὴν αἰτίαν δι' ἣν τὰ τοιαῦτα λέγουσιν, ἵνα δείξῃ ὅτι ἄπονον εἶχον τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν.

« Ἐν χερσὶ γὰρ ἦν αὐτῶν τὰ ἀγαθά. »

* Ταῦτα διανοοῦνται, φησὶν, ἐν ὅσῳ μὴ κολάζονται, ἀλλ' ἐν ἀφθόνοις διάγουσι τοῖς βιωτικοῖς ἀγαθοῖς, τοῦ Θεοῦ τέως ἀνεξικακοῦντος, καί φασιν, Ἔχομεν πάντα ἐν χερσὶν, οἰκοθεν κτώμεθα τὰ ἡδέα * τί πλέον ἡμᾶς ὠφελήσει Θεὸς, ἵνα τὰς ὁδοὺς αὐτοῦ καὶ τὰς ἐντολὰς τηροῦντες πονήσωμεν ;

« Ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ. »

Ἔδοξέ τισιν ὡς ἀπὸ τῶν ἀσεβῶν εἶναι καὶ οὗτος ὁ λόγος, φασκόντων, ὡς εἰκὸς, Ταῦτα Θεὸς ἐφορᾷ ; περὶ ταῦτα καταγίνεται ; Οὐ μὲν οὖν * οὐδὲν αὐτῷ μέλει τῶν παρὰ ἀνθρώποις πραττομένων. Τάχα δὲ καὶ τῷ Ἰὼβ ἁρμόσει τὰ ῥήματα, θαυμάζοντι τοῦ Θεοῦ τὸ ἄγαν μακρόθυμον, * καθὸ [1] οὐ κολάζει παραπόδας τοὺς ἀσεβεῖς, ἀλλ' ἀτιμωρητὶ ἐᾷ τούτους ἁμαρτάνειν, ὡς ἂν εἰ μὴ ἑώρα τὰ παρ' αὐτῶν γινόμενα.

« Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν λύχνος σβεσθήσε-

[1] Psal. XIII, 1.

VARIÆ LECTIONES.

[a] *γρ.* ἐπιπίπτοντες. [1] *ἰσ.* καθ' ὃ.

Digitized by Google

ται, ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφή· ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς· ἔσονται δὲ ὥσπερ ἄχυρα ὑπ' ἀνέμου, ἢ ὥσπερ κονιορτὸς ὃν ὑφεῖλετο λαῖλαψ. Ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ. »

Εἰ καὶ ἀνεξικακεῖ, φησὶν, ὁ Θεὸς, ἀλλ' οὖν πάντως μετελεύσεται τοὺς ἀσεβεῖς, καὶ ἀποσβεσθήσεται μὲν αὐτοῖς ἡ τοῦ βίου λαμπρότης, ὥσπερ λύχνος ἀνέμου πνεύσαντος, ἢ τοῦ ἐλαίου ἐκλιπόντος· πικροὶ δὲ πόνοι αὐτοὺς διαμερίσονται, μιμούμενοι ὠδῖνας τικτούσης· λικμηθήσονται δὲ καὶ τὰ αὐτῶν ἅπαντα, καὶ εἰς ἑτέρους μετενεχθήσονται, ὥσπερ ἄχυρα ὑπὸ πνεύματος, ἢ κόνις ὑπὸ λαίλαπος, καὶ οὐ διαδέξονται ταῦτα οἱ παῖδες αὐτῶν. Εἰς ταὐτὸν δὲ ἄγει τό τε, *Ἐκλείποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ* κατὰ τοὺς Ἑβδομήκοντα, καὶ τὸ, *Ὁ Θεὸς κατακρύψει τοῖς υἱοῖς αὐτοῦ ἀδικίας αὐτοῦ*, κατὰ Θεοδοτίωνα. Ἐπειδὴ γὰρ τὰ τέκνα τοῦ ἀσεβοῦς κατὰ τὴν κακίαν πατρῴζουσιν, εἰκότως, φησὶν, αὐτόν τε τιμωρηθήσεται ὁ Θεὸς, καὶ τοῖς παισὶν αὐτοῦ ταμεύσεται τὰς ἀδικίας αὐτοῦ, τουτέστι, τὴν ὑπὲρ τῶν ἀδικιῶν κόλασιν, καὶ οὐκ ἐάσει εἰς αὐτοὺς διαβῆναι τὸν πατρῷον κλῆρον· ὅμοιον τὸ, *ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα*.

« Ἀνταποδώσει πρὸς αὐτὸν, καὶ γνώσεται. »

Ὅμοιον, τὸ, *Γινώσκεται Κύριος κρίματα ποιῶν*. Ὅταν γὰρ ὁ ἀσεβὴς τῆς θείας ἀνταποδόσεως πειρασθῇ, τότε αἰσθάνεται καὶ γινώσκει, ὅτι Θεὸς ἐφορᾷ τὰ πραττόμενα, καὶ ἔστι τις τοῖς ἀσεβέσιν ἀποκειμένη ποινή· ἐπειδὴ γὰρ ἐν ἀφθόνοις διάγων ἐξύβρισεν εἰς Θεὸν, καὶ οὐκ ἐφορᾷν αὐτὸν ᾤετο τοὺς ἁμαρτάνοντας, ἀλλ' ἀτιμωρήτους ἐᾷν, τούτου χάριν τῶν ἡμαρτημένων αὐτὸν εὐθύνας ἀπαιτεῖ, ὡς ἂν διὰ τῆς πληγῆς ἐπιγνῷ τήν τε τοῦ Θεοῦ δικαιοκρισίαν, καὶ τὴν ἑαυτοῦ ἀδικίαν καὶ ἀσέβειαν.

« Ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγὴν, ἀπὸ δὲ Κυρίου μὴ διασωθείη· ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν. »

Σφαγὴν λέγει τὴν ἀπώλειαν, ἢ τὴν *πτῶσιν*, κατὰ Σύμμαχον. Αὐτόπτης οὖν, φησὶ, τῆς ἰδίας ἀπωλείας καταστήσεται, οὐδεμίαν ἔχων ἐκ Θεοῦ βοήθειαν, ἐπειδὴ τὸ οἰκεῖον θέλημα τὸ πονηρὸν, ἀλλ' οὐ τὸ τοῦ Θεοῦ τὸ ἀγαθὸν προέκρινεν· ἀλλὰ καὶ πρὸ καιροῦ τελευτήσει, φησὶ, *διαιρεθήσεται* γὰρ ὁ χρόνος αὐτοῦ τῆς ζωῆς, ἢ κατὰ Θεοδοτίωνα καὶ Ἀκύλαν, *ἡμισευθήσεται*, καὶ ὀλιγοχρόνιος οἰχήσεται. Τοιοῦτον καὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο περὶ τῶν ἀσεβῶν εἰρημένον, ὅτι οὐ *μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν*.

« Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; »

Ὁ δὲ Σύμμαχος, *Μὴ τὸν Θεὸν διδάξει τις ἐπιστήμην;* Ἐπειδὴ ἀνωτέρω εἶπε, τοὺς μὲν τῶν ἀσεβῶν παρ' αὐτὰ κολάζεσθαι, τοὺς δὲ παρ' ὅλον τὸν βίον ἀτιμωρήτους μένειν, ἔστι δὲ ὅτε καὶ τοὺς μηδὲν ἡμαρτηκότας συγχωρεῖσθαι πάσχειν· ᾧτινι λόγῳ, φησὶ, Θεὸς ταῦτα ποιεῖ, οὐχ ἡμέτερον εἰδέναι, εἰ

A exstinguetur, et superveniet iis subversio : dolores autem habebunt eos ab ira : erunt autem tanquam paleæ sub vento, aut tanquam pulvis quem abstulit turbo. Deficiant filios bona ejus. »

Licet, inquit, Deus patientia utatur, impios tamen omnino ulciscetur, vitæque eorum splendor, tanquam lucerna, vento flante, vel oleo deficiente, exstinguetur; acerbi cruciatus, instar dolorum parturientis, eos diffindent; bona eorum omnia, tanquam palea a vento, aut pulvis a turbine dissipabuntur, et ad alios transibunt, nec ad liberos eorum transmittentur. Eodem vero recidunt : *Deficiant filios bona ejus*, juxta Septuaginta interpretes; et secundum Theodotionis interpretationem : *Deus recondet filiis ejus injustitias ejus.* Quandoquidem
B enim hominis impii liberi in improbitate patris sint, merito, inquit, Deus cum puniet, ac liberis ejus injustitias ejus recondet, id est, pro injustitiis supplicium, neque paternam hæreditatem ad eos transire patietur; juxta illud : *Reddens peccata patrum in liberos* [3].

« Retribuet ad eum, et cognoscet. »

Juxta illud : *Cognoscitur Dominus judicia faciens* [4]. Cum enim impius divinam retributionem expertus fuerit, tunc Deum hominum actiones intueri, et impiis supplicium repositum esse, sentit et agnoscit : quia enim in rerum omnium abundantia vitam transigens, Deum contumelia affecerat, nec peccatores intueri, sed impunitos illos dimittere arbitrabatur, idcirco delictorum ejus pœnas exigit, ut inflictione plagæ justum Dei judicium simul et suam injustitiam ac impietatem agnoscat.

Vers. 20, 21. « Videant oculi ejus necem suam, et a Domino non salvetur : quia voluntas ejus in domo ejus cum eo, et numeri mensium ejus divisi sunt. »

Necem, exitium vocat; vel, juxta Symmachum, *Ruinam*. Quandoquidem, inquit, bonæ voluntati Dei pravam suam et perversam prætulit, auxilio divino destitutus, sui ipsius interitus ac destructionis spectator erit : sed et ante diem interibit, tempus enim vitæ suæ *dividetur*, vel, secundum Theo-
D dotionem et Aquilam, *dimidiabitur*, et vita brevi functus ad patres abibit. Tale est illud quod in Psalmis de impiis dictum est, quod *non dimidiabunt dies suos* [5,6].

Vers. 22. « Nunquid non Dominus est qui docet intellectum et scientiam? »

Symmachus vero : *Nunquid Deum docebit quispiam scientiam?* Quoniam supra dixerat quosdam impios statim puniri, alios vero toto vitæ spatio impunitos manere, imo etiam interdum accidere ut, qui peccata nulla admiserint, supplicia pati permittentur, qua ratione, inquit, Deus hæc faciat,

[3] Exod. xx, 5. [4] Psal. ix, 17. [5,6] Psal. liv, 24.

Digitized by Google

nostrum non est scire, nisi Deus ipse intelligentiam alicui præbere, et harum rerum scientiam impertire voluerit? Hujus enim inæqualitatis, quæ in vita hominum apparet, quis est qui causas et rationes novit? quis in Providentiæ decreta penetravit? omnino nullus, præter omnis cognitionis Dominum, qui nullo institutore eget, et sratia sua alios sapientes reddit.

« Ipse autem sapientes dijudicat. »

Solus, inquit, Deus qui omnia sapit, harum rerum causas novit, qui sapientes inter homines dijudicat, approbans quidem eos qui divina sapientia sunt præditi, illos vero repudians qui prudentiam humanam sectantur.

Vers. 23-26. « Hic morietur in robore imprudentiæ suæ, totus autem bene affectus et prospere agens, et intestina ejus plana sunt adipe, et medulla ejus diffunditur : ille vero moritur ab amaritudine animæ suæ, cum non comederit ullum bonum : simul autem super terram dormiunt, et putredo eos operuit. »

Horum, inquit, causas et rationes quis, præter Deum, novit? cur hic quidem, stultus et impius, stultitia prædominante, *ossium medulla irrigatus* (juxta Symmachi interpretationem), moriatur, id est, in bona corporis habitudine deliciis affluens, et vitam voluptuariam degens (hoc enim per carnium et medullarum pinguedinem innuit); alius vero, forte justus, nullam dulcedinem percipiens, nec ulla bonorum humanorum participatione fruens, e vita excedat; et uterque mortem communem, eamdemque corporis putrefactionem et dissolutionem subeat? Quomodo, et in quem finem hæc fiant, ut hic quidem, *stultitia* sua prædominante, id est peccato, diem obeat, alter vero secus; similiter autem uterque putrescat? Ex eo igitur quod commune est, quod unicuique proprium ac peculiare est, intelligi non potest; quæ enim hic eveniunt, ambobus sunt communia : solius autem Dei est, horum differentiam dijudicare.

Vers. 27, 28. Itaque scio vos audacter mihi insistere [*Symmachus vero*, Novi conceptus vestros, et cogitationes vestras injustas adversus me], quia dicetis : Ubi est domus principis? et ubi est velamen in tabernaculis impiorum?

Cum hæc, inquit, considerem, et Deum solum perfecta rerum omnium cognitione præditum esse, animo mecum reputem, pro comperto habeo, vos mihi, tanquam homini impio et peccatori, non scientia ulla, sed audacia insultare, et anticipato divino judicio dicere : Ubinam domus ejus est qui prius beatus erat? ubi genus? ubi facultates? ubi divitiarum copia? ubi ædificiorum structura? Impiis hæc omnia valedixerunt, perierunt, deleta sunt; nullum vestigium, nullæ reliquiæ, nullum monu-

A μήγε αὐτὸς ὁ Κύριος θελήσοι συνετίσαι τινὰ, καὶ τὴν περὶ τούτων ἐπιστήμην χαρίσασθαι. Ταύτης γὰρ τῆς δοκούσης παρὰ ἀνθρώποις ἀνωμαλίας τίς τοὺς λόγους οἶδε; τίς τοῖς τῆς Προνοίας ἐμβατεύει κρίμασι; ἢ πάντως οὐδεὶς, εἰ μὴ ὁ τῶν γνώσεων Κύριος, ὁ μὴ δεόμενος τοῦ διδάξαντος, ἀλλὰ καὶ ἄλλους σοφίζων χάριτι.

« Αὐτὸς δὲ σοφοὺς διακρίνει. »

Μόνος, φησὶ, τὰς τούτων οἶδεν αἰτίας ὁ πάνσοφος Θεὸς, ὁ καὶ τοὺς παρὰ ἀνθρώποις σοφοὺς διακρίνων, καὶ τοὺς μὲν θεοσόφους ἐγκρίνων, τοὺς δὲ τὴν ἀνθρωπίνην μετιόντας σοφίαν ἀποδοκιμάζων.

« Οὗτος ἀποθανεῖται ἐν κράτει ἀπλοσύνης [a] αὐτοῦ, ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν, τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος, μυελὸς δὲ αὐτοῦ διαχεῖται· ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς, οὐ φαγὼν οὐδὲν ἀγαθόν· ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται; σαπρία δὲ αὐτοὺς ἐκάλυψεν. »

Τούτων, φησὶ, τοὺς λόγους τίς οἶδεν, εἰ μὴ Θεός; πῶς ὁ μέν τις ἄφρων καὶ ἀσεβὴς ὢν, ἐν τῇ ἐπικρατείᾳ τῆς ἀφροσύνης ἀποθνήσκει, *τῷ μυελῷ τῶν ὀστέων ἀδρόμενος*, κατὰ Σύμμαχον, τουτέστι, πλήρης πάσης σαρκικῆς εὐπαθείας καὶ εὐεξίας· τοῦτο γὰρ σημαίνει διὰ τῆς πιότητος τῶν σαρκῶν καὶ μυελῶν· ἕτερος δὲ, ἴσως που καὶ δίκαιος, μὴ γλυκανθεὶς, μηδὲ μετασχὼν μηδενὸς ἀγαθοῦ τῶν ἐν ἀνθρώποις, τελευτᾷ τὸν βίον, καὶ ἀμφότεροι τὸν κοινὸν ὑπομένουσι θάνατον, καὶ τὴν αὐτὴν τοῦ σώματος σῆψίν τε καὶ ἀνάλυσιν; Πῶς ταῦτα γίνεται, καὶ διὰ τί; Πῶς ὁ μέν τις τελευτᾷ ἐπικρατησάσης αὐτοῦ τῆς *ἀφροσύνης*, τουτέστι, τῆς ἁμαρτίας, ὁ δὲ τοὐναντίον, καὶ ὁμοίως ἄμφω σήπονται; Οὐχ οἷόν τε οὖν ἐκ τοῦ κοινοῦ τὸ ἴδιον συνιδεῖν· κοινὰ γὰρ ἀμφοῖν τὰ τῇδε συμβαίνοντα· Θεοῦ δὲ μόνον τὸ διακρίνειν τὴν τούτων διαφοράν.

« Ὥστε οἶδα ὑμᾶς, ὅτι τόλμῃ ἐπίκεισθέ μοι [*ὁ δὲ Σύμμαχος*, οἶδα τὰς ἐνθυμήσεις ὑμῶν, καὶ τὰς ἐννοίας ἀδίκους κατ' ἐμοῦ.] ὥστε ἐρεῖτε, Ποῦ ἐστιν οἶκος ἄρχοντος; καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν; »

Ταῦτα ἐννοῶν, φησὶ, καὶ ὅτι μόνος ὁ Θεὸς τὴν ἀκριβῆ πάντων ἔχει κατάληψιν, οἶδα ὅτι ὑμεῖς οὐ γνώσει, ἀλλὰ θράσει κατεπεμβαίνετέ μου ὡς ἀσεβοῦς καὶ ἁμαρτωλοῦ, καὶ τὴν θείαν προλαμβάνοντες κρίσιν, λέγετε, Ποῦ ἐστιν ὁ οἶκος τοῦ πρὶν εὐδαίμονος; ποῦ τὸ γένος; ποῦ τὰ ὑπάρχοντα; ποῦ ὁ πολὺς πλοῦτος; ποῦ ἡ τῶν οἰκοδομημάτων κατασκευή; Οἴχεται ταῦτα πάντα τοῖς ἀσεβέσι, διόλωλεν, ἐξηφάνισται· οὐδὲν οὐδαμοῦ περιλέλειπται, οὐκ ἴχνος, οὐ λείψανον, οὐ μνημόσυνον. Παρὰ ταῦτα καὶ τὸ σὸν

VARIÆ LECTIONES.

[a] γρ. ἀφροσύνης, atque ita in Ms. Theclæ.

Digitized by Google

ἐξέταζε, καὶ ὅρα ποῖα καὶ τὰ κατὰ σὲ μερίδος ἐστίν.

« Ἐρωτήσατε παραπορευομένους ὁδὸν, καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπάλλοτριώσετε· ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρὸς, εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται. »

Πλὴν, φησὶν, εἰ καὶ ἀνωμαλία τις ἐν τῇδε τῷ βίῳ ὁρᾶται, ἀλλ' ἐγὼ οὐ δίδωμι πλέον ἔχειν ἀρετῆς τῇ κακίᾳ· φημὶ δὲ, ὅτι ὥσπερ τοῖς ὁδοιπόροις τοῖς τὴν ὁδὸν παραπορευομένοις δῆλά ἐστι τὰ τῆς ὁδοῦ σημεῖα, καὶ τὰ καταγώγια τὰ μετὰ τὴν ὁδοιπορίαν ἕκαστον ὑποδεξόμενα· οὕτω καὶ οἱ τὴν ὁδὸν τοῦ βίου παροδεύοντες ποῦ τελευτήσουσιν, οὐκ ἀσυμφανές. Κἂν γὰρ πρὸς καιρὸν ὁ πονηρὸς ἐπαίρηται, καὶ μετεωρίζηται, ἀλλ' ἄξιον πάντως τῆς αὐτοῦ πονηρίας καὶ κατάλληλον εὑρήσει τὸ κατάλυμα· ἡμέρα γάρ τις αὐτὸν ἀπωλείας καὶ θείας ὀργῆς ἀπεκδέχεται. Τὸ δὲ, *κουφίζεται*, *συντηρεῖται* μὲν ὁ Σύμμαχος, *ὑπεξαιρεθήσεται* δὲ ὁ Ἀκύλας ἐκδέδωκε· δῆλοι δὲ, ὅτι φυλάττεται καὶ ταμιεύεται εἰς ἡμέραν κολάσεως.

« Τίς ἐπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ, καὶ αὐτὸς ἐποίησε; τίς ἀνταποδώσει αὐτῷ; καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη, καὶ αὐτὸς ἐπὶ σορῶν ἠγρύπνησεν; »

Ὥσπερ, φησὶν, ἐὰν ἐρωτήσωμεν τοὺς τῶν ὁδῶν διαγνώμονας, ποῦ μὲν αὕτη ἡ ὁδὸς ἀπάγει, ποῦ δὲ ἐκείνη, καὶ ἀκούσωμεν, φέρε εἰπεῖν, ὅτι ἡ μὲν εἰς ἀναπαύσεις καταλήγει καὶ χαριέσσας καταγωγὰς, ἡ δὲ εἰς ὄρη τελευτᾷ, καὶ ἐρημίας, καὶ βάραθρα, *οὐκ ἀλλοτριοῦμεν αὐτῶν τὰ σημεῖα*, τουτέστιν, οὐκ ἀποποιούμεθα, οὐδ' ἀποδοκιμάζομεν, ἀλλ' ὡς οἰκεῖα, καὶ σαφῆ, καὶ ὁμολογούμενα, οὕτω ταῦτα δεχόμεθα, καὶ πιστεύομεν ὅτι πάντη καὶ πάντως τοιαῦτα εὑρήσομεν, οἷα καὶ ἠκούσαμεν· οὕτως ἔδει καὶ τοῖς παρανομοῦσι γνωρίζεσθαι τὸ τέλος τῆς αὐτῶν ζωῆς τε καὶ πολιτείας. Τίς οὖν τοῦτο ποιήσει; Τίς κατὰ πρόσωπον καὶ μετὰ παῤῥησίας τῷ ἐν πονηρίᾳ ζῶντι καὶ εὐδρομοῦντι ἀπαγγελεῖ τὴν ὁδὸν αὐτοῦ, καὶ τὸ ταύτης συμπέρασμα; Τίς δὲ ἄρα, κἂν ἀτάσθαλόν τι καὶ ὑβριστικὸν εἰς αὐτὸν ἐργάσαιτο, ἀμυνεῖται αὐτὸν, καὶ τοῖς ἴσοις ἀμείψεται; Τίς δὲ, μηδὲν ὑποστειλάμενος, διδάξει αὐτὸν τῆς φύσεως τὴν εὐτέλειαν, καὶ εἰς συναίσθησιν αὐτὸν ἀγάγοι, ὅτι βραχύ τινα δρόμον ἐν βίῳ δραμὼν, εἰς τάφους ἀπενεχθήσεται, καὶ τὰς πολλὰς αὐτοῦ φροντίδας καὶ ἀγρυπνίας ἡ σορὸς ἐκδέξεται, καὶ οἱ τρεῖς πήχεις, καὶ ὀλίγοι λίθοι, καὶ κόνις βραχεῖα τὸν τοῦ σώματος πηλὸν συγκαλύπτουσα; Νοήσεις δὲ καὶ ὧδε· Τίς τῷ ἀσεβεῖ εἰς πρόσωπον εἴποι, θάνατον εἶναι τὸ τέλος τῆς αὐτοῦ πολιτείας, ὥστε κατανυγῆναί τε αὐτὸν, καὶ τὴν σορὸν λογιζόμενον ὑπὸ φροντίδος ἀγρυπνῆσαι;

« Ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάῤῥου, καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται, καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι. »

Τί βούλεται ὁ χειμάῤῥους ἐνταῦθα, τί δὲ οἱ γλυκαινόμενοι χάλικες, τίς ὁ ἐν τούτοις κρυπτόμενος νοῦς, οὐκ ἔχω πῶς ἢ τοὺς χάλικας τῷ κόλπῳ τῆς διανοίας ἀσφαλῶς ἐναποθῶμαι, ἢ τὸν χειμάῤῥουν

mentum usquam reliquum est. Ex his tua expende, et quænam rerum tuarum sors sit, contemplare.

Vers. 29, 30. « Interrogate eos qui transeunt per viam, et signa eorum non alienabitis : quoniam in diem perditionis sublimatur malignus, in diem iræ ejus abducentur. »

Licet, inquit, in hac via inæqualitas quædam videatur, ego tamen virtuti impietatem antecellere non concedo : dico autem, quod quemadmodum viatoribus iter facientibus nota sint viæ indicia, et diversoria quæ itinere absoluto eos excipiant, ita etiam qui viam vitæ emetiuntur, ubi vitæ exitum habituri sint, non est obscurum. Licet enim improbus ad tempus efferatur, et fastu turgescat, diversorium nihilominus aptum, et sua improbitate dignum omnino inveniet; dies enim destructionis et divinæ iræ illum exspectat. Illud autem, *sublimatur*, Symmachus, *conservatur*, Aquila vero, *subducetur*, interpretatus est : innuit autem, quod ad diem supplicii servetur et recondatur.

Vers. 31, 32. « Quis annuntiabit in faciem ejus viam ejus, et ipse fecit? quis retribuet ei? et ipse in sepulcra deductus est, et ipse super acervos vigilavit? »

Quemadmodum, inquit, si viarum peritos interrogaverimus, quo hæc vel illa via ducat, et audiverimus, verbi gratia, quod hujus quidem terminus sit requies et gratum diversorium, illa vero in montes, solitudines, ac barathra desinat, *signa eorum non alienamus*, id est, non rejicimus neque improbamus, sed tanquam familiaria, manifesta, et ab omnibus confessa, admittimus ea, ac firmiter credimus quod talia prorsus ac omnino inventuri simus, qualia audivimus : ita etiam homines improbos de vitæ ipsorum et conversationis exitu certiores reddi oportebat. Quis autem hoc præstabit? Quis in improbitate viventi, et prospera fortuna utenti, coram et in os eum audacia, viam ejus et terminum ad quem ducit, annuntiabit? Quis, licet proterve ac contumeliose in aliquo erga illum se gesserit, vindictam de eo capiet, et paria ei reponet? Quis illum naturæ fragilitatem, nihil veritatis subtrahens, docebit? Quis in mentem ei revocabit, quod brevi vitæ curriculo emenso, ad sepulcrum efferetur, quodque curas ejus et vigilias innumeras tumulus et tres cubiti, pauci lapides, et pulvis exiguus lutum corporis contegens, excipiet? Sic etiam intelligere potes : Quis impio coram et in os dixerit, mortem esse ejus conversationis exitum? ut simul ille compungatur, et de tumulo meditans, præ sollicitudine vigiles noctes ducat.

Vers. 33. « Dulces fuerunt ei lapides torrentis, et post eum omnis homo abibit, et ante eum innumerabiles. »

Quid torrentis nomine hoc loco intelligendum sit, quid calculi dulces facti sibi velint, quis sensus in his abditus lateat, et quemadmodum vel calculos in intellectus sinu tuto reponam, vel torrentem hunc

Digitized by Google

considerans, sine viæ duce et cooperario, aut itineris comite, inoffenso pede transeam, rationem non invenio. Tu vero, o beate, qui hæc philosophatus es, suscipito nos, et dux noster esto, neque prius recedas, quam in viam planam nos deduxeris, in qua recte ambulare, et a veritate minime aberrare possimus : nunc enim ut se res habet, tanquam in trivio deprehensi, quam sensus et intelligentiæ viam insistere debeamus, ignoramus. Num igitur, o sapiens et strenue vir, hoc dicis? quod homini impio, et qui peccandi licentia delectatur, fossa ipsa torrenti similis, quæ post mortem corpus ejus excipiet, et lapides et calculi qui supra injicientur, dulcedinem aliquam, non autem molestiam et stuporem illi afferant, dum non sibi soli moriendum, sed infinitos ante ipsum poculum illud hausisse, omnesque omnino post ipsum ex eodem bibituros esse, secum perpenderit. Vel hoc nequaquam, illud vero dicere vis? quod licet improbo tanta frugum ubertas proveniat, ut terra etiam sterilis, qualis salebrosa et petrosa esse solet, illi frugifera exsistat; nihilo secius tamen morti obnoxius sit, sicut omnes homines qui fuerunt, et qui futuri sunt. Vel horum neutrum est quod dicis, aliud vero quiddam est abstrusum, quod sententiose a te profertur? quod, scilicet, torrentis calculi, id est, asperitas et inæqualitas vitæ hujus fluxæ, momentaneæ, et quæ torrentis instar præterfluit, impio grata et jucunda sit; et quod mundi deliciis delinitus, morte tanquam re peregrina, non percellatur, quam quidam antea, alii autem postea, omnes vero omnino subituri sumus.

A ἀπροσκόπως νοῶν διαβήσομαι, δίχα τινὸς ὁδηγοῦ καὶ συγκάμνοντος. Αὐτὸς οὖν, ὦ μακάριε, ὁ ταῦτα φιλοσοφῶν, ὑπόλαβε ἡμᾶς, καὶ ξενάγησον, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἐπὶ τὴν λείαν ὁδὸν ἀπαγάγῃς, δι' ἧς εὐθυπορήσομεν, καὶ τῆς ἀληθείας οὐκ ἀποσφαλησόμεθα· ὡς νῦν γε καθάπερ ἐν τριόδῳ ἀπειλημμένοι, οὐκ οἴδαμεν ποίαν ὁδὸν ἐννοίας βαδίσομεν. Ἆρα γὰρ τοῦτο λέγεις, ὦ σοφὲ καὶ γενναῖε, ὅτι τῷ ἀσεβεῖ καὶ φιλαμαρτήμονι καὶ αὐτὸ τὸ χειμαρροειδὲς ῥυγμα, τὸ μετὰ τελευτὴν τὸ σῶμα αὐτοῦ ὑποδεξόμενον, καὶ οἱ ἐπιβληθησόμενοι ἄνωθεν λίθοι καὶ χάλικες γλυκύ τι δοκοῦσιν, ἀλλ' οὐκ ἀηδὲς οὐδὲ ξενίζον λογιζομένῳ, ὅτι οὐ μόνος αὐτὸς τεθνήξεται, ἀλλ' ἅπειροι μὲν ἤδη πρὸ αὐτοῦ τὸ ποτήριον τοῦτο ἔπιον, πάντες δὲ πάντως μετ' αὐτὸν πίονται; Ἢ τοῦτο B μὲν οὐχί, ἐκεῖνο δὲ φῂς, ὅτι κἂν τοσαύτη τις εὐφορία τῷ πονηρῷ γένηται, ὡς καὶ τὴν ἄκαρπον γῆν, ὁποία τις ἡ χαραδρωμένη [r] καὶ λιθώδης, καρποφόρον αὐτῷ γενέσθαι· ὅμως οὐδὲν ἧττον θνητός ἐστιν, ὥσπερ πάντες ἄνθρωποι, ὅσοι τε γεγόνασι, καὶ ὅσοι γενήσονται; Ἢ τούτων μὲν οὐδέτερον, ἄλλο δέ τι τυγχάνει παρὰ σοῦ μυστικῶς γνωμολογούμενον, ὅτι οἱ τοῦ χειμάρρου χάλικες, τουτέστιν, ἡ τραχύτης καὶ ἀνωμαλία τοῦ παροδικοῦ τοῦδε καὶ προσκαίρου βίου, καὶ δίκην χειμάρρου πραγματεύοντος, ἐν ἡδονῇ ἐστι τῷ ἀσεβεῖ, καὶ τοῖς ἡδέσι τοῦ κόσμου θελγόμενος, οὐδὲ ἐπὶ τῷ θανάτῳ ξενίζεται, ὃν οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, πάντες δὲ ὅμως ὑποστησόμεθα;

Vers. 34. « Quomodo autem me consolamini C inaniter? et ut ego a vobis requiescam, nihil est. »

« Πῶς δὲ παρακαλεῖτέ με κενά; τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ' ὑμῶν οὐδέν. »

Neque utiliter, inquit, neque opportune solatium mihi præbuistis; non enim tam animum meum oblectastis, quam vulnera refricastis, neque validum ullum argumentum a vobis allatum est, ut præ verecundia mihi tacendum, et a vobis abstinendum fuerit: quin potius contradictiones vestræ inscitiam redolebant, ita ut nec meum dolorem lenire, nec demonstrationis vestræ irrefragabilitate obturato ore, silentium mihi imponere potueritis.

Οὐ χρησίμως, φησίν, οὐδὲ εὐκαίρως τὴν πρὸς ἐμὲ παράκλησιν ἐποιήσατε· οὐ γὰρ ἐψυχαγωγήσατε μᾶλλον ἢ τὰ τραύματα ἀνεξάνατε, καὶ οὐδὲν ἰσχυρὸν εἰρήκατε, ὥστε δυσωπηθέντα σιγῆσαι, καὶ παύσασθαι ἀφ' ὑμῶν· ἀλλ' αἱ ἀντιρρήσεις ὑμῶν ἀνεπιστημόνως ἐλήφθησαν, καὶ διὰ τοῦτο οὐκ ἠδυνήθητε ἤτοι τὴν ἐμὴν λύπην καταπαῦσαι, ἢ ἐμὲ κατασιγάσαι τῷ ἀναντιρρήτῳ τῆς ἀποδείξεως ἐπιστομισθέντα.

CAP. XXII.

Protheoria.

Amici Jobum propter peccata ludibrio habebant, affirmantes, afflictiones delinquentium necessarias D esse comites : ille vero, contra ea quæ in medium attulerant se opponens, problematice eos interrogat. Si hæc, inquit, prorsus et omnino ut vos dicitis, eveniunt, quo pacto plerosque impiorum ad exitum usque rerum abundantia affluere, et prospera fortuna utentes, vitam cum morte commutare videmus? Quid ad hæc respondeat Eliphazus ambigit; ad alias vero contumelias se convertit, et crimina Justo objiciens quæ vix ab improbissimis hominum patrantur, inclementius illum conviciis proscindit.

ΚΕΦΑΛ. ΚΒ'.

Προθεωρία.

Ἐσκωπτον μὲν οἱ φίλοι τὸν Ἰὼβ ἐφ' ἁμαρτίαις, τὰς κακώσεις ἐξ ἀνάγκης ἕπεσθαι τοῖς πλημμελοῦσιν ἀποφαινόμενοι· ὁ δὲ τοῖς παρ' αὐτῶν ἀντικαθιστάμενος, προβληματικῶς αὐτοὺς ἠρώτησεν. Εἰ ταῦτα οὕτως, ὡς ὑμεῖς φατε, πάντη [s] καὶ πάντως γίνεται, τίνι τῷ τρόπῳ πολλοὺς ὁρῶμεν τῶν ἀσεβῶν μέχρι τέλους εὐθηνηθέντας, καὶ τὸν βίον σὺν εὐημερίᾳ καταλύσαντας; Πρὸς ταῦτα ὁ Ἐλιφὰζ ἀπορεῖ μὲν ἀνταποκρίνασθαι· εἰς ἑτέρας δὲ τρέπεται ὕβρεις, καὶ ἀπηνέστερον περιυβρίζει τὸν δίκαιον, ἐγκλήματα περιτιθεὶς αὐτῷ, ἃ τοῖς φαυλοτάτοις τῶν ἀνθρώπων μόλις ἐξείργασται. Ἱκανῶς δὲ αὐτὸν πλύνας ταῖς

VARIÆ LECTIONES.

[r] *Ita.* κεχαραδρωμένη. [s] *gr.* πάντοτε.

Digitized by Google

ὕβρεσιν, εἰς παραίνεσιν τρέπεται, καὶ συμβουλεύει πρὸς μετάνοιαν ἐπιστρέφειν, ὡς ἂν τῆς θείας εὐμενείας ἐπιτυχών, τήν τε παλαιὰν εὐδαιμονίαν ἀπολάβοι, καὶ ἵλεων τὴν παντοδύναμον τοῦ Θεοῦ κτήσαιτο δεξιάν. Πρὸς μὲν οὖν τὸν Ἰὼβ ταῦτα λεγόμενα, ἀναρμόστως ἔχει, χρήσιμα δὲ ἄλλως· οὐ γὰρ κακίας μόνον ἀποστῆναι διδάσκει, ἀλλὰ καὶ ἀγαθοεργεῖν ἐκπαιδεύει, ὡς τῆς θείας δίκης οὐ μόνον τοὺς κακίαν ἐπιτηδεύοντας, ἀλλὰ καὶ τοὺς μὴ τὰς ἀγαθὰς ἐκτελοῦντας πράξεις ταῖς τιμωρίαις καθυποβαλλούσης. Ἐπειδὴ τοίνυν χρήσιμά εἰσι τὰ τῶν φίλων ῥήματα, κἂν ἐκμελῶς πρὸς τὸν δίκαιον εἴρηνται, διὰ τοῦτο καὶ ἡ θεία χάρις γραφῇ παραδοθῆναι ταῦτα ᾠκονομήσατο· τὰ γὰρ οἰκονομούμενα ὑπὸ τοῦ ἁγίου Πνεύματος ἀναγραφῆς ἀξιωθῆναι, διὰ τοῦτο ἀναγράφεται, ὑπὲρ τοῦ τὸν ἐντυγχάνοντα ὠφελεῖσθαι ἐκ τῶν ἀναγινωσκομένων· εἰ μὴ οὖν χρήσιμοι ἦσαν οἱ λόγοι τῶν τριῶν τῶν παραγενομένων πρὸς τὸν Ἰώβ, οὐκ ἂν ἡ Πρόνοια εἰς τὴν βίβλον τοῦ Ἰὼβ ἐποίησεν ἀναγραφῆναι καὶ τοὺς λόγους τῶν τριῶν. Ἔστιν οὖν ὠφεληθῆναι ἀπὸ τῶν λόγων αὐτῶν ἐνορῶντα τοῖς δόγμασιν, ἀρξὰν δὲ τὸ ὑπαίτιον περὶ ἓν μόνον ὅτι αἰτιῶνται τὸν Ἰώβ, οἰόμενοι αὐτὸν πάσχειν διὰ τὰ ἡμαρτημένα αὐτῷ, οὐχ ὁρῶντες ὅτι καὶ ἄλλα πολλὰ αἰτιά ἐστι τοῦ συμβαίνειν ἀνθρώποις τὰ τοιαῦτα. Ἀλλ' ἴδωμεν τί φησιν ὁ Ἐλιφὰζ πρὸς τὸν δίκαιον.

A Postquam autem satis superque probris et contumeliis eum onerasset, ad adhortationem descendit; et ut, Deo placato, pristinam felicitatem recuperare, et Dei omnipotentem dextram propitiam sibi experiri possit, consulit ut pœnitentiam agat. Et hæc quidem Jobo incongrue dicuntur; sua tamen utilitate non carent; non enim solum ab improbitate abstinendum, sed etiam bene agendum esse, docent et instituunt, quia non minus ii qui bona opera non operantur, quam qui pravitatem sectantur, divino judicio suppliciis plectentur. Quoniam igitur amicorum verba, licet Justo inconcinne prolata, utilia sunt, divina gratia disponente factum est, ut illa scriptis traderentur : non alium enim in finem litteris consignantur, quæ dispensatione sua Spiritus B divinus scriptis mandari digna existimat, quam ut qui in ea inciderit, utilitatem ex eorum lectione percipiat : si igitur trium amicorum sermones, qui ad Jobum accesserant, minus utiles fuissent, providentia divina eos libro Jobi inscribi non curasset. Licet igitur eorum dogmata diligentius intuenti, ex verbis ipsis utilitatem capere; simul etiam deprehendere, in hoc uno criminationis omnis ansam versari, quod Jobum incusent, propter peccata quæ admiserat adversa eum pati arbitrantes, nec considerent multas alias etiam causas esse cur talia hominibus eveniant. Videamus autem quid Eliphazus justo dicat.

« Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, λέγει· Πότερον οὐχὶ ὁ Κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην; »

Vers. 1, 2. « Respondens autem Eliphaz Thæmanites, ait : Nonne Dominus est qui docet intellectum et scientiam? » C

Τοῦτο τοῦ Ἰὼβ εἰρηκότος, συντρέχει τῷ λόγῳ καὶ ὁ Ἐλιφὰζ, καί φησιν, Οἶδα κἀγὼ ὅτι τοὺς λόγους δι' οὓς· ὁ μέν τις ὢν ἀσεβὴς εὐθηνεῖται, ὁ δὲ κολάζεται, ὁ μόνος σοφὸς οἶδε Θεός· οἶδα δὲ καὶ τοῦτο, ὅτι Θεὸς μὲν, ὡς καὶ αὐτὸς ἔφης, τῶν ἀγαθῶν ἐστι δοτὴρ, ἡ δὲ κακία τὰς κολάσεις δίδωσιν.

Cum Jobus hoc supra dixisset, Eliphazus verbis ejus consensum præbens, dicit : Novi etiam ego Deo tantum qui solus sapiens est, cognitas esse causas, cur hic quidem impius prospera fortuna utatur, ille vero suppliciis afficiatur : quin et illud etiam novi (quod a te similiter dictum est) Deum bonorum esse largitorem, ab improbitate vero supplicia profluere.

« Τί γὰρ μέλει τῷ Κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος; ἢ ὠφέλεια, ὅτι ἁπλώσῃς τὴν ὁδόν σου; »

Vers. 3. « Quid enim curæ est Domino, si tu fuisti operibus sine crimine? aut utilitas, quod simplicem facies viam tuam? »

Ὁ δὲ Σύμμαχος, *Μὴ χρήζει ἰσχυρὸς ἵνα δικαιωθῇς; ἢ κερδανεῖ ἐὰν ἄμωμος ἡ ὁδός σου;* Ἐπειδὴ, φησὶ, μέγα ἐπὶ σαυτῷ φρονεῖς, ὡς ἄμεμπτος, δεδόσθω εἶναί σε τοιοῦτον. Τί οὖν, εἰπέ μοι, περιεποίησας Θεῷ, δίκαιος ὤν, καὶ ἐν ἁπλότητι καὶ ἀκακίᾳ ζῶν; τίς ἐντεῦθεν τῷ Θεῷ ὄνησις; μὴ γάρ τι εἰς τὴν αὐτοῦ ὠφέλειαν συντελεῖ, ἐὰν σὺ ἦσθα δίκαιος; Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν, ὅτι Ὁ Θεὸς ταῦτα ἐποίησε, καὶ διὰ τοῦτον πάσχω, θέλει δεῖξαι, ὅτι οὐ παρὰ τοῦ Θεοῦ γίνεται· οὔτε γὰρ κερδαίνει ἐντεῦθεν, οὔτε βλάπτεται, οὔτε φοβεῖταί τινα· τοῦτο γὰρ δηλοῖ τὸ ἐπαγόμενον.

Symmachus vero : *Nunquid opus habet omnipotens ut justificeris? aut lucrabitur si immaculata sit vita tua?* Quandoquidem tanquam inculpatus, multum tibi tribuis et superbis, concedatur, inquit, te talem esse, dic, amabo, quid justitia tua, et vitæ simplicitate ac innocentia, Deo lucrifeceris? quis fructus inde Deo redundarit? num ejus utilitati aliquid confert, quod tu justus fueris? Cum enim Jobus sæpius illud iterasset, Deus hæc fecit, et propter eum adversa patior; ostendere vult Eliphazus, Deum horum auctorem non esse, quia lucrum nullum vel damnum inde percipiat, nec quemquam reformidet; quod manifestum est ex eo quod subjungitur. D

« Ἢ λόγον σου ποιούμενος ἐλέγξεις γ, καὶ συνεισελεύσεταί σοι εἰς κρίσιν; »

Vers. 4. « Aut rationem tui habens arguet te, et veniet tecum in judicium? »

VARIÆ LECTIONES.

γ γρ. ἐλέγξει σε, et sic in ms. Theclæ.

Digitized by Google

Alii legentes, *Quid enim?* deinde interpungentes, reliqua per affirmationem subjungunt : *Curæ est Domino, si tu fuisti operibus sine crimine;* id est : De hominum inculpata vita sollicitus est Deus; et cum nullius sit indigus, si nos largiter et copiose boni participes fiamus, suam utilitatem arbitratur : ac propterea magnam tui curam et sollicitudinem gerens, te redarguit, et quasi judicio tecum contendens, justam sententiam tulit. Rectius autem esse arbitror, ut versus hi morato loquendi genere, et per interrogationem legantur.

A

Vers. 5. « Nonne malitia tua est multa, et innumerabilia sunt peccata? »

Ex calamitatum multitudine peccatorum multitudinem conjicit. Rerum igitur tuarum statum, inquit, considera, num minora patiaris quam injustitia tua promeruisti. Hæc autem non affirmantis, sed dubitantis sunt verba, ac si quispiam diceret : Num fortasse peccata multa admisisti quæ teipsum latent, ac proinde hæc merces tibi rependitur.

B

Multos equidem peccatores video, nemo tamen eorum in tantas calamitates, quantas tu, incidit; merito igitur affirmo, non leviter injustum te esse, quandoquidem talia pateris qualia malorum nemo, sed quia alios malitia longe superes, in ejusmodi te esse conjectum : verisimile enim est, hæc tibi propter innumera tua delicta accidisse. Non autem peccatum primo loco, deinde improbitatem nominavit, sed primo improbitatem, pravum habitum, deinde peccata quæ a pravo habitu proficiscuntur; quæ innumerabilia esse dicit, et secundum species ea proponit.

C

Vers. 6. « In pignus autem accepisti fratres tuos in vanum. »

Symmachus vero, *Minime reos.* Id est : Frustra ab iis qui nihil debebant, et quidem pauperibus, pignora rerum tibi debitarum, ac si debitores fuissent, repetebas. Hoc autem de Jobo ex eo suspicatur, quia divitem eum fuisse cognoverat, et ejusmodi aliquibus rationibus locupletem evasisse suspicabatur : idcirco inquit, *Pignus in vanum accepisti*, id est, fructum nullum inde percipiens. Improbitatem autem ejus exaggerans, aliud præterea peccatum ejus addit.

« Et amictum nudorum abstulisti. »

Qui autem fieri potuit, ut nudo vestimentum detraheretur? Nudi igitur, valde egeni intelligendi sunt, quibus nudatis, nulla alla vestis suppetit; ita ut sensus sit : Ablata unica veste quam habebant, inopiam eorum majorem reddidisti. Fit interdum ut indumentum capiatur, non autem nudi, sed divitis, qui multa vestimenta recondita habet : si vero quis tunicam unicam tantum habeat, et hanc sub prætextu repetitionis quod meum est, nulla nudi illius miseratione tactus, detraxero, nudi indumentum abstuli. Talia autem multa inter nos eveniunt. Cum fenori

D

Ἕτεροι ἀναγνόντες, *Τί γάρ;* εἶτα στίξαντες, τὰ ἑξῆς ἀποφαντικῶς ἐπάγουσι, *Μέλει τῷ Κυρίῳ ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος* · τουτέστιν, Ἐν φροντίδι τίθεται τὸ ἀμέμπτους εἶναι τοὺς ἀνθρώπους· καὶ ἀπροσδεὴς ὢν, ἰδίαν ὠφέλειαν νομίζει τὸ ἡμᾶς ἐξηπλωμένως καὶ δαψιλῶς μετιέναι τὸ ἀγαθόν [a]· διὰ τοῦτο καὶ σοῦ πολλὴν ποιούμενος πρόνοιαν, ἤλεγξέ σε, καὶ ὥσπερ εἰς κρίσιν ἀντικαθιστάμενός σοι, δικαίωσε [b] κρίνει. Ἄμεινον δὲ οἶμαι, ἐν ᾗθει τοὺς στίχους ἀναγινώσκειν, καὶ κατ' ἐρώτησιν.

« Πότερον οὐχ ἡ κακία σού ἐστι πολλὴ, ἀναρίθμητοι δέ σού εἰσιν αἱ ἁμαρτίαι; »

Ἐκ τοῦ πλήθους τῶν συμφορῶν εἰκάζει τῶν ἁμαρτημάτων τὸ πλῆθος. Σκόπει οὖν, φησὶ, τὰ κατὰ σαυτὸν, μὴ ἧττον πάσχῃς ὧν ἠδίκησας. Οὐκ ἀποφαινομένου δὲ ταῦτα, ἀλλ' ἀμφιβάλλοντος, ὡς ἂν εἴποι τις, Μήποτε λαθὼν πολλὰ ἥμαρτες, καὶ διὰ τοῦτο ἴσως οὕτως ἀπέλαβες.

Πάνυ πολλοὺς ὁρῶ ἁμαρτωλοὺς, καὶ οὐδεὶς αὐτῶν τηλικούτοις περιπέπτωκεν, ὅσοις σύ· εἰκότως οὖν φημι, οὐχ ἁπλῶς γεγονέναι σε ἄδικον, ἐπεὶ πάσχεις τοιαῦτα οἷα οὐδεὶς τῶν κακῶν, ἀλλ' ἐν τοιούτοις γεγενῆσθαι, δηλονότι τῷ πλείονα κακίαν ὑπὲρ τοὺς ἄλλους ἐσχηκέναι· εἰκὸς γὰρ διὰ τὸ ἀναρίθμητόν σου τῶν πταισμάτων ταῦτά σοι ἐπεληλυθέναι. Οὐ πρότερον δὲ ὠνόμασε τὴν ἁμαρτίαν, εἶτα τὴν κακίαν, ἀλλὰ πρῶτον τὴν κακίαν, τὴν φαύλην ἕξιν, εἶτα τὰ ἀπὸ τῆς φαύλης ἕξεως ἁμαρτανόμενα, ἃ καὶ ἀναρίθμητά φησιν εἶναι· τίθησι δὲ αὐτὰ καὶ κατ' εἴδος.

« Ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διακενῶς. »

Ὁ δὲ Σύμμαχος, *ἀναιτίους*· τουτέστι, Τοὺς μηδὲν ὀφείλοντας, ὡς ὀφείλοντας ἐνέχυρα τῶν ὄῃθεν κεχρεωστημένων σοι μάτην ἀπῄτεις, καὶ ταῦτα πένητας ὄντας. Ὑπολαμβάνει δὲ τοῦτο περὶ τοῦ Ἰὼβ ἐντεῦθεν· Ἴδει αὐτὸν πλούσιον, καὶ ὑπώπτευεν ἀπὸ τοιούτων τινῶν πόρων πλουτεῖν αὐτόν· διό φησιν, *Ἠνεχύραζες διακενῶς*, τουτέστι, μηδὲν ὀφείλοντας [c]. Προσεπιτείνων δὲ πάλιν ἄλλην αὐτοῦ ἁμαρτίαν φησίν·

« Ἀμφίασιν δὲ γυμνῶν ἀφεῖλου. »

Καὶ πῶς ἐνῆν τὸν γυμνὸν ἐκδύειν; Γυμνοὺς οὖν, τοὺς ἄγαν πένητας νοητέον, τοὺς γυμνουμένους, καὶ ἑτέρας ἐσθῆτος μὴ εὐπορουῦντας, τουτέστιν· Ἐπέτεινας αὐτοῖς τὴν πενίαν, ἀφελόμενος καὶ τὸ ἓν ὃ μόνον εἶχον ἱμάτιον. Ἔστι ποτὲ λαβεῖν ἀμφιάσματα, οὐ γυμνοῦ, ἀλλὰ πλουσίου, ἔχοντος ἀποκείμενα ἐνδύματα πολλά· ἐὰν μέντοιγε χιτῶνα ἔχῃ τις ἕνα, καὶ τοῦτον τὸν χιτῶνα προφάσει τοῦ ἀπαιτεῖν τὸ ἐμὸν, ἐκδύσω, μὴ ἐλεήσας ἐκεῖνον τὸν γυμνὸν, ἀμφίασιν τοῦ γυμνοῦ ἀφειλόμην. Πολλὰ δὲ τοιαῦτα ἐν ἡμῖν γίνεται. Ὅταν δανείζωμεν, ὅταν πρὸς ὀφειλέτας ἔχω-

VARIÆ LECTIONES.

[a] *Isc.* μετεῖναι τοῦ ἀγαθοῦ. [b] *Isc.* δικαίως ἔκρινεν. [c] *γρ.* ἐποφειλόμενος. *Isc.* ἐπωφελούμενος.

Digitized by Google

μεν [*Isc. suppl.* πράγματα], πολλάκις ὀφειλέτης ἡμῶν εἰς ὑπερβολὴν πένεται, μὴ δυνάμενος ἀποδοῦναι· καὶ ἡμεῖς τὰ σπλάγχνα ἡμῶν ἀποκλείσαντες, καὶ μὴ βλέποντες ὅτι γυναῖκα τρέφει καὶ τέκνα, καὶ μόλις τρέφεται ἀπὸ τῶν πωριζομένων αὐτῷ ὀλίγων ὀβολῶν, ἀπαιτοῦμεν πικρῶς, ἐσθότε καὶ περισσὰ ἔχοντες παρ' ἑαυτοῖς. Ταῦτα οὖν λέγει ἐγκαλῶν τῷ Ἰὼβ, ὅτι *Ἀμφίασιν γυμνῶν ἀφείλου*. Ἴσως δὲ καὶ τὸ μὴ δοῦναι τῷ γυμνῷ ἱμάτιον, ἀφαίρεσιν ὀνομάζει· ἀποστερητὴς γάρ ἐστι καὶ πλεονέκτης, καὶ ὁ μὴ ἐνδύων τὸν γυμνὸν, καὶ ὁ μὴ τρέφων τὸν ἄρτου δεόμενον.

« Οὐδὲ ὕδωρ διψῶντας ἐπότισας. »

Οὐκοῦν οὐ μόνον τὸ ἀδικεῖν, ἀλλὰ καὶ τὸ μὴ εὐεργετεῖν ὑπεύθυνον. Ἐπισήμηναι δὲ μέχρι πόσου τὰς εὐεργεσίας ἐκτείνειν ὀφείλομεν, ὁπότε ὑπεύθυνον τὸ μὴ ποτίσαι διψῶντας, ὥσπερ οὖν καὶ ποτηρίου ψυχροῦ ὕδατος μισθὸν λαμβάνομεν. Πολλὴν μέντοι ἀπανθρωπίαν τοῦ Ἰὼβ καταψηφίζεται, ὡς μηδὲ ὕδωρ, τὴν ἀδάπανον χάριν, παρέχοντος, καὶ τὸ μεῖζον κακὸν, τῷ διψῶντι. Ταῦτα δὲ πάντα κατηγορήματά εἰσι, καὶ ἀληθῶς ψεκτά· ἀλλ' οὐκ ἀληθῆ ἐπὶ τοῦ Ἰὼβ, οὐδὲ καλῶς περὶ αὐτοῦ ἐλέγετο.

« Ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν. »

Τί λέγω, φησὶν, ὅτι οὐ παρέσχες τῷ δεομένῳ, ὁπότε καὶ τὴν μικρὰν παραμυθίαν τοῦ ἄρτου παρὰ τοῦ πεινῶντος ἀφείλου; ψωμὸν γὰρ λέγει τὸ τμῆμα τοῦ ἄρτου, ὥσπερ καὶ ἐν τῇ Ῥοὺθ κεῖται, *Βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει*. Λέγει οὖν, ὅτι Καὶ τῶν ἀναγκαίων τροφῶν ἐστέρησας, ἢ ἐνεχυράζων, ἢ τῶν καμνόντων τὸν μισθὸν οὐ διδοὺς, ἢ ἄλλο τι ἁμαρτάνων. Τοιαῦτα γίνεται ἐν ταῖς πικραῖς ἀπαιτήσεσιν, ἐνίοτε αὐτὸν τὸν ψωμὸν ὃν ἔχει τις ἕνα, κἂν μὴ ἔχῃ ἄρτον ὁλόκληρον, ἀφαιροῦμεν ἀπ' αὐτοῦ, λέγοντες· Ἀλλ' ὀφείλεις.

« Ἐθαύμασας δέ τινων πρόσωπον. »

Ὀλυμπιοδώρου καὶ Ὠριγένους. Τουτέστι, Καὶ τὰς κρίσεις οὐ δικαίως, οὐδὲ ἀπαθῶς, ἀλλ' ἀνθρωπαρέσκως ἐποίησας· προσωποληπτὴς γὰρ γέγονας, καὶ δικάζων, οὓς μὲν ἐξῆρες, οὓς δὲ ἐταπείνους, τοὺς μὲν ταπεινοὺς βιαζόμενος, τοὺς δὲ ἐν δυναστείαις θαυμάζων καὶ τιμῶν. Ἄλλο καὶ τοῦτο ἁμάρτημα· ἁμάρτημα γὰρ καὶ τὸ θαυμάζειν πρόσωπον· ὁ δεῖνα ἐπὶ πλούσιός ἐστι, θαυμάζω αὐτοῦ τὸ πρόσωπον, τὸν δὲ πένητα καταπατῶ, ἐπειδήπερ ἄξίωμα οὐκ ἔχει.

« Ὤκισας δὲ [γρ. πτωχοὺς, *atque ita in ms. Theciæ*] τοὺς ἐπὶ τῆς γῆς. »

Ἀντὶ τοῦ, Τὴν πενίαν ἐπέτρεψας· τοὺς γὰρ πτωχοὺς καὶ χαμαιπετεῖς ἔτι πλέον ἐπὶ γῆς κεῖσθαι παρεσκεύασας. Τινὰ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ, Ὤκισας, *ἐκοίμισας*, ἔχει· ἵνα εἴπῃ, Καὶ αὐτὴν τῶν

A pecunias exponimus, et cum debitoribus negotia habemus, sæpenumero qui nobis debito obstringitur, in summa est egestate, ita ut solvendo omnino non sit; nos vero nequaquam considerantes quod conjugem et liberos alendos habeat, et paucis obolis qui illi exhibentur, difficulter vitam sustineat, occlusis misericordiæ visceribus, cum acerbitate debitum exigimus, idque interdum cum ipsi rerum omnium abundantia circumfluamus. Hæc igitur Jobum vituperans dicit : *Amictum nudorum abstulisti*. Fortasse etiam et vestimentum nudo non præbere, ablationem vocat; qui enim nudum non induit, et carentem pane non alit, fraudator est, et alieni avidus.

B Vers. 7. « Neque aqua sitientes potasti. »

Non solum igitur injuriam inferre, sed beneficium non præstare, crimini obnoxium est. Observa autem quousque beneficentia nostra extendi debeat, cum sitientes non potasse, crimine non vacet; sicut et pro poculo aquæ frigidæ mercede remuneremur. Summam igitur Jobi inhumanitatem condemnat, quia aquam quidem, donum sine sumptu, et quod gravius malum est, sitienti non præbuerit. Hæc quidem omnia crimina sunt, et vituperatione certe digna; de Jobo autem neque vera erant, neque recte de eo dicebantur.

« Sed esurientium subtraxisti panem. »

Quid, inquit, dico quod egenti non ministraveris, cum exiguum etiam panis solatium ab esuriente abC stuleris? panis enim frustum, buccellam vocat; prout in libro Ruth habetur : *Tinges in aceto buccellam tuam* [a]. Hoc igitur vult, quod pignus etiam accipiendo, vel operariorum mercedem denegando, aut peccatum aliud admittendo, necessario alimento egenum fraudatus sis. Nam cum de repetundis pecuniis rationem acerbam inimus, ejusmodi accidere solent; interdum enim, licet quis pane integro careat, ipsam buccellam quam habet, ab eo auferimus, dicentes : Verum in ære meo es.

« Et admiratus es quorumdam personam. »

D *Olympiodori* et *Origenis*. Id est : Neque juste, et sine affectu, sed ut hominibus placeres, judicia decrevisti; humiles enim et abjectos per vim opprimens, admirans autem et honore prosequens eos qui in potestate constituti erant, personarum acceptor factus es, et hos quidem in judicio extulisti, illos vero humiliasti. Hoc præterea aliud crimen est, hominis enim personam in admiratione habere, peccato non caret : hujus personam, quia dives est, veneror et admiror; pauperem vero, quia nulla dignitate præditus est, sub pedibus conculco.

« Habitare autem fecisti pauperes super terram. »

Id est : Paupertatem auxisti; pauperes enim et humi prostratos adhuc magis in terra jacere coegisti. Quædam autem exemplaria, pro *habitare fecisti*, habent, *cubare fecisti*; ac si diceret : Ipsum etiam

[a] Ruth. II, XIV.

Digitized by Google

lectum pauperum abstulisti, ita ut nihil ipsis substratum habentes, præ necessitate humi cubare cogantur. Idcirco, inquit, propter hæc in innumeras has calamitates incidisti, et qui bona per rapinas injuste acquisita diripiant et auferant, undique te circumsteterunt.

« Et viduas dimisisti inanes. »

Vel, Bonis quæ possidebant eas exuisti; vel potius, Accedentibus, et stipem petentibus, nihil largitus es, sed vacuas, et nihil a te accipientes amandasti. Cum contemptu igitur negligere eos qui inopia laborantes aliquid petunt, periculo non caret; viduis enim necessaria non impertiri, pro peccato imputatur. Diligenter ergo attendamus, ne, si vidua domum nostram ingressa fuerit, vacuam eam dimittamus; unusquisque juxta facultates et id quod habet, viduæ sinum repleat.

« Et pupillos afflixisti. »

Neque a damno, inquit, pupillis inferendo abstinuisti. Extremæ autem improbitatis indicium est, orphanos, et eos qui auxilio destituti sunt, affligere. Neminem quidem damno afficere oportet, præcipue vero orphanis parcendum est; pro animabus enim quæ omni ope carent, Deus bellum nos gerere præcepit; pauperes enim, viduæ, et pupilli, majore auxilio reliquis hominibus indigent. Quamobrem per Isaiam Deus loquitur: *Liberate oppressum*[7], quando, scilicet, in homines rapaces et violentos incidens, eorum violentia, tanquam torrente, abreptus fuerit. *Judicate pupillo*[8]; quandoquidem in judicium vocare injuriam ipsis inferentes, per ætatem quæ contemptibilis est, facili negotio non possunt, vos sponte vestra iis qui patronis indigent, ætatis defectum supplete. *Et justificate viduam*[9]; hæc quippe persona in multis vitæ negotiis detrimentum patitur; viduitatem enim, injuriam inferre volentibus, facile adoriri licet; cujus vos, jus debitum ei reddendo, curam omnino suscipite.

Vers. 10. « Igitur circundederunt te laquei, et sollicitavit te bellum insigne. »

Symmachus vero: *Et perturbat te pavor ingens.* Adversa quæ illi acciderunt, *laqueos* vocat, et in hunc fere modum loquitur: Hinc calamitates te circumstiparunt, hinc bonorum direptio, hinc paupertas summa, hinc prosperitatis repentina mutatione perturbaris et percelleris, quod alios injuria læseris, et immisericors erga eos exstiteris.

Vers. 11. « Lumen tibi in tenebras conversum est, et dormientem te aqua operuit. »

Alii vero: *Et multitudo aquarum operiat te.* Propterea, inquit, rerum tuarum status ex luce in tenebras, ex splendida beatitudine in tristem et tetricam infelicitatem translatus est; *et dormientem*, haud sollicitum, scilicet, improvidum, et non exspectantem, tentationum torrentes inundarunt et perturbarunt. Vel *dormientem*, dixit, ut subito et

[7] Isa. I, 17. [8] ibid. [9] ibid.

A πτωχῶν τὴν στρωμνὴν ἀφεῖλου, ὡς ἐπὶ τοῦ ἐδάφους αὐτοὺς ἐξ ἀνάγκης κοιμᾶσθαι, μηδὲν ἔχοντας ὑπεστορεσμένον. Ὥστε διὰ ταῦτα, φησὶ, ταῖς πολλαῖς ταύταις περιπέπτωκας συμφοραῖς, καὶ πανταχόθεν οἱ πορθοῦντες περιέστησαν, τὰ ἀδίκως ἁρπαγέντα λαμβάνοντες.

« Χήρας δὲ ἐξαπέστειλας κενάς. »

Ἢ, Τῶν προσόντων αὐτὰς ἐγύμνωσας· ἢ μᾶλλον, Προσελθούσαις οὐδὲν δέδωκας, ἀλλὰ ἀπεπέμψω μηδὲν λαβούσας ἀπὸ σοῦ. Ἐπικίνδυνον οὖν τὸ παροράν τοὺς κατὰ πενίαν αἰτοῦντάς τι λαβεῖν· ἰδοὺ γὰρ, τὸ μὴ μεταδοῦναι ταῖς χήραις εἰς ἁμαρτίαν λογίζεται. Προσέχωμεν, ἐὰν χήρα ἡμῶν εἰσέλθῃ εἰς τὴν οἰκίαν, μήποτε κενὴν αὐτὴν ἐξαποστείλωμεν· κατὰ δύναμιν ἕκαστος πρὸς ὃ ἔχει πληρωσάτω τὸν κόλπον τῆς B χήρας.

« Ὀρφανοὺς δὲ ἐκάκωσας. »

Οὐκ ἀπέσχου, φησὶν, οὐδὲ τῆς πρὸς τοὺς ὀρφανοὺς βλάβης. Τὸ δὲ τοὺς ὀρφανοὺς καὶ ἀβοηθήτους κακοῦν, ἐσχάτης κακίας γνώρισμα. Οὐδένα μὲν γὰρ δεῖ κακοῦν, ἐξαιρέτως δὲ χρὴ φείδεσθαι τῶν ὀρφανῶν· περὶ γὰρ τῶν ἀβοηθήτων ψυχῶν πολεμεῖν ὁ Θεὸς ἐνετείλατο· πλέον γὰρ παρὰ τοὺς ἄλλους ἀνθρώπους, πτωχοὶ, χῆραι, ὀρφανοὶ δέονται βοηθείας. Διὸ καὶ διὰ Ἡσαΐου φησὶν ὁ Θεὸς, *Ῥύσασθε ἀδικούμενον*, ὅταν δηλαδὴ ἅρπαξι καὶ βιαίοις περιπέσῃ, ὥσπερ ὑπὸ χειμάρρου τῆς βίας αὐτῶν παρασύρηται. *Κρίνατε ὀρφανῷ*. Ἐπειδὴ γὰρ διὰ τὸ εὐκατα- C φρόνητον τῆς ἡλικίας, οὐδὲ ἀγαγεῖν εἰς κρίσιν τοῖς ὀρφανοῖς τοὺς ἀδικοῦντας ῥᾴδιον, ὑμεῖς τοῖς ἐστερημένοις τῶν συνηγόρων παρ' ἑαυτῶν τὸ ἐκ τῆς ἡλικίας ἐνδέον ἀναπληρώσατε. *Καὶ δικαιώσατε χήραν*. Καὶ τοῦτο τὸ πρόσωπον ἐν πολλοῖς κατὰ τὸν βίον ἐλαττοῦται· εὐεπίβατον [*ἴσ.* εὐεπίβατος] γὰρ τοῖς βουλομένοις ἀδικεῖν ἡ χηρεία, ἧς παντοίως ἀντιλαμβάνεσθε, τὸ ὀφειλόμενον δίκαιον ἀποδιδόντες αὐτῇ.

« Τοιγαροῦν ἐκύκλωσάν σε παγίδες, καὶ ἐσπούδασέ σε πόλεμος ἐξαίσιος. »

Ὁ δὲ Σύμμαχος, *Καὶ ταράσσει σε φόβος ἐξαίσιος. Παγίδας* φησὶ τὰ συμβεβηκότα αὐτῷ, μονονουχὶ λέγων, Ἐντεῦθεν περιεκύκλωσάν σε αἱ συμφοραὶ, ἐντεῦθεν ἡ τῶν ὑπαρχόντων διαρπαγὴ, ἐν- D τεῦθεν ἡ ἄκρα πενία, καὶ τὸ θορυβεῖσθαί σε καὶ ταράττεσθαι ἐπὶ τῇ ὀξείᾳ μεταβολῇ τῆς εὐημερίας, ἀπὸ τοῦ ἀδικῆσαι ἑτέρους, ἀπὸ τοῦ ἀφιλοικτίρμονά σε εἶναι.

« Τὸ φῶς σοι σκότος ἀπέβη, καιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψεν. »

Οἱ δὲ ἄλλοι, *Καὶ πλῆθος ὑδάτων καλύψαι σε*. Διὰ τοῦτο, φησὶν, ἐκ φωτὸς εἰς σκότος μετέστη τὰ κατὰ σὲ, ἐκ τῆς λαμπρᾶς εὐδαιμονίας εἰς τὴν στυγνὴν καὶ σκυθρωπὸν δυσημερίαν· *καὶ κοιμηθέντα*, ἤγουν ἀμεριμνοῦντα, καὶ μὴ νήφοντα, ἢ μὴ προσδοκῶντα, οἱ τῶν πειρασμῶν ἐπέκλυσαν καὶ ἐξετάραξαν χείμαρροι. Ἢ τὸ, *κοιμηθέντα*, εἶπε πρὸς ἔμφασιν

Digitized by Google

τοῦ ἀθρόον αὐτῷ πάντα συμβῆναι τὰ πειρατήρια, καὶ ἐν μιᾷ ἡμέρᾳ.

« Μὴ οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ; τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσεν. »

Ἀλλὰ νομίζεις ὅτι οὐ βλέπει Θεὸς τὰ γινόμενα; Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ μὴν πάντα σκοπῶν, τοὺς ὑπὸ τῆς ὑβριστικῆς ἕξεως ἐπηρμένους τὸ φρόνημα καταφέρει καὶ ταπεινοῖ. Ἐπὶ οὖν καὶ σὺ τὰ ὑβριστικὰ ἐκεῖνα ἔπραξας, διὰ τοῦτο ταῦτα πέπονθας καὶ τεταπείνωσαι.

« Καὶ εἶπας· Τί ἔγνω ὁ ἰσχυρός; ἢ κατὰ τοῦ γνόφου κρίνει; νεφέλη ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται, καὶ γῦρον οὐρανοῦ διαπορεύεται. »

Μεγάλην ἀσέβειαν καὶ ἄνοιαν τοῦ Ἰὼβ ὁ Ἐλιφὰζ καταψηφίζεται. Εἰκὸς γάρ, φησὶν, ὅτι σὺ ἔλεγες κατὰ σαυτὸν λάθρα ἁμαρτάνων, *Τί ἔγνω ὁ ἰσχυρός;* δύναται πάντα ἐγνωκέναι ὁ Θεός; δύναται δὲ κρίνειν καὶ τὰ ἐν γνόφῳ καὶ λεληθότως πραττόμενα; ὃς ἔθετο νέφος ἀποκρυφὴν αὐτοῦ, καὶ διὰ τοῦτο, ὥσπερ οὐχ ὁρᾶται, οὕτως οὐδὲ ὁρᾷ· καὶ ταῦτα ἄνωθεν ἀπ' ὠρανοῦ, καὶ τοῦ τοσούτου διαστήματος. Ἄμεινον δὲ διελεῖν εἰς δύο τοὺς στίχους, καὶ τὰ μὲν πρῶτα τῷ Ἰὼβ ἀναθεῖναι, τὰ δὲ δεύτερα τῷ Ἐλιφὰζ ἀπονεῖμαι. Σὺ μὲν γάρ, φησὶν, ὦ Ἰὼβ, ὑπώπτευσας ὅτι λήσεις Θεὸν, τὰ ἄτοπα ἐν κρυφῇ ἐργαζόμενος, καὶ ὅτι οὐ κρινεῖ ὁ Θεὸς τὰ ἐν σκότει πραττόμενα, ἅτε μηδὲ γνοὺς αὐτά· ἐγὼ δὲ ἀποφηναίμην ἄν, ὅτι πάρεστι πανταχοῦ ὁ Θεὸς, οὐχ ὁρᾶται δὲ νέφει καλυπτόμενος. Ὅτι δὲ πάντα περιέχει, καὶ οὐδὲν αὐτὸν διαφεύγει, δῆλον ἐντεῦθεν· τὸν γὰρ κύκλον τοῦ οὐρανοῦ διαπορεύεται, καὶ ἐξ ἀπόπτου πάντα κατασκέπτεται, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται ἀπ' αὐτοῦ.

« Μὴ τρίβον αἰώνιον φυλάξεις, ἣν ἐπάτησαν ἄνδρες δίκαιοι οἳ συνελήφθησαν ἄωροι; Ποταμὸς ἐπέρρεον οἱ θεμέλιοι αὐτῶν, οἱ λέγοντες· Κύριος τί ποιήσει ἡμῖν; ἢ τί ἐπάξεται ἡμῖν ὁ παντοκράτωρ; ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν ἀγαθῶν. »

Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, *Συνελήφθησαν ἄωροι, ἁλώσονται πρὸ καιροῦ*, ἐξέδωκε· καὶ Θεοδοτίων μὲν ἀντὶ τοῦ, *ἐπάξεται, ἐργᾶται*, ἔλεγε· καὶ ἀντὶ τοῦ, *ὃς δέ, αὐτὸς δέ*. Περισκελὴς καὶ τοῦτο τὸ χωρίον, καὶ τοῖς καθ' ἡμᾶς δυσδιόδευτον. Τίνες γὰρ οἱ τὴν αἰώνιον τρίβον, καὶ ταύτην τινὰ οὖσαν, πατήσαντες δίκαιοι, ὧν ποταμὸς οἱ θεμέλιοι, καὶ ὧν ἡ ἅλωσις ἄωρος, οὐκ ἔχομεν εὐστόχως νοῆσαι καὶ ἀποφήνασθαι. Ὡς δ' οὖν εἰκάσαι, οὐκ ἀρετὴν τῷ Ἰὼβ, ἀλλ' ὑπόκρισιν ἀρετῆς μαρτυρεῖ, μονονουχὶ λέγων· Μήποτε καὶ σὺ, ὦ Ἰὼβ, οὕτως ἐφύλαξας τὴν ἀρχαίαν ὁδὸν τῆς ἀρετῆς, ὥσπερ τινὲς μόρφωσιν εὐσεβείας περικείμενοι, καὶ δοκοῦντες πατεῖν τὴν ὁδὸν τῆς δικαιοσύνης, οὐ μὴν καὶ ἀληθῶς ταύτην βαδίζοντες· οἳ καὶ διὰ τὴν σκηνὴν ταύτην,

uno die tentamenta omnia illi accidisse, majore cum emphasi ostenderet.

Vers. 12. « Nonne is qui excelsa habitat aspicit? eos autem qui contumelia afficiuntur humiliavit. »

An Deum existimas minime videre ea quæ fiunt? qui in altis habitans, et humilia respiciens[10], et universa contemplans, eos qui ex habitu contumelioso spiritu sunt elati, deprimit et humiliat. Cum igitur tu contumeliosa illa admiseris, idcirco hæc passus, et ad humilem conditionem redactus es.

Vers. 13-14. « Et dixisti : Quid novit fortis? an per caliginem dijudicat? nubes latibulum ejus, et non videbitur, et ambitum cœli perambulat. »

Magnam Jobi impietatem et amentiam Eliphazus condemnat. Verisimile, inquit, est quod tacite tecum dixeris cum in occulto peccares : *Quid novit fortis?* num Deus scire omnia potest, et dijudicare ea quæ in caligine et clanculum gesta sunt? qui nubem sibi pro latibulo posuit[11], ac proinde prout videri non potest, ita nec ipse videt; præsertim e cœlo desuper, ac tanto intervallo a nobis sejunctus. Satius autem est in duas partes versus partiri, et priorem quidem Jobo ascribere, posteriorem vero Eliphazo tribuere. Tu quidem inquit, o Jobe, absurda et rationi dissentanea in occulto committens, Deum te celaturum, nec judicaturum ea quæ in tenebris geruntur, tanquam ea nesciret, suspicabaris : ego vero, licet nube tectus non cernetur, Deum ubique præsentem esse affirmaverim. Quod autem omnia sinu suo complectatur, nihilque eum lateat, hinc manifestum est; cœli enim circulum obambulat, et ex loco oculis nostris impervio omnia contemplatur, nec quisquam est qui ab eo occultabitur.

Vers. 15-16. « Nunquid semitam sæculi observabis, quam calcaverunt viri justi, qui capti sunt immaturi? Flumen decurrens fundamentum eorum, qui dicunt : Dominus quid faciet nobis? aut quid inducet nobis omnipotens? ille vero implevit domos eorum bonis. »

Symmachus vero pro eo, *Capti sunt immaturi*, reddidit, *capientur ante tempus;* et Theodotio quidem pro *inducet*, interpretatus est *operabitur;* et pro *qui vero*, *ipse vero*. Locus hic prædurus est, et nostri ævi hominibus accessu difficilis. Qui enim illi justi sint, qui semitam æternam, eamque talem exsistentem, pedibus calcaverint, quorum fundamentum fluvius, et captivitas immatura est, apta conjectura assequi, et declarare non valemus. Quantum autem conjicere licet, Jobum non virtute, sed virtutis specie ac simulatione præditum fuisse, sic fere loquendo, testatur Eliphazus : Tune, inquit, o Jobe, ea ratione virtutis viam antiquam custodivisti, qua nonnulli, qui externa pietatis specie velati, viam justitiæ persequi videntur, cum revera in ea

[10] Psal. cxii, 5. [11] Psal. xvii, 12.

Digitized by Google

non ambulent; qui propter fictam suam simulationem et pietatis larvam, vita demessa ante tempus succisi sunt, et prosperitas quasi fluviorum impetu abrepta est, quæ iis stabilita et firmis inixa fundamentis videbatur. Hæc autem ideo eis evenerunt, quia sic fere, errore decepti, Deum supplicia illis incutere, nec bonis remunerari posse, locuti sunt; siquidem in ejus potestate erant bona, in quibus fiduciam collocabant, et quorum stabilitatem sibi promittebant. Merito igitur hæc passus es, si eamdem cum iis opinionem tuebaris. Fortasse autem Eliphazus, *semitam sæculi*, divinam dispensationem vocat, et in hunc modum loquitur: Num semitam divinæ Providentiæ, et rationes quibus sæpenumero etiam justi vitam infelicem transigunt, et immature abripiuntur, custodire potes? Deinde per modum conjecturæ subjungit, quod hoc fortasse patiantur, quia Deum bonorum suorum largitorem esse non arbitrentur.

A καὶ τὴν πεπλασμένην εὐλάβειαν, πρὸ καιροῦ ἐξετμήθησαν, καὶ τοῦ βίου ἐξεθερίσθησαν, καὶ ἡ δοκοῦσα παρ' αὐτοῖς ἀσφαλῶς πεπηγέναι, καὶ ῥίζαν τεθεμελιῶσθαι εὐπραγία, ὡς ὑπὸ ποταμῶν παρεσύρη. Ταῦτα δὲ πεπόνθασι διὰ τὸ μονονουχὶ λέγειν, ὅτι οὐ δύναται αὐτοῖς ὁ Θεὸς ἐπαγαγεῖν τιμωρίας, οὐδὲ ἀγαθοῖς ἀμείψασθαι, κακῶς εἰδότες· παρ' αὐτοῦ γὰρ ἦν αὐτοῖς [ἰσ. αὐτῶν] τὰ ἀγαθὰ, ἐφ' οἷς ἐπήλπιζον, καὶ ἃ βεβαίως ἔχειν ἐπίστευον. Εἰ οὖν καὶ σὺ κατ' ἐκείνους ἐφρόνεις, εἰκότως ταῦτα πέπονθας. Τάχα δὲ τρίβον αἰώνιον τὰς οἰκονομίας τοῦ Θεοῦ ὁ Ἐλιφὰζ ὀνομάζει, καί φησι· Μὴ δύνασαι ἐπιτηρῆσαι τὴν τρίβον τῆς θείας προνοίας, καὶ τοὺς λόγους καθ' οὓς καὶ δίκαιοι πολλάκις δυσημεροῦσι, καὶ πρὸ τῆς ὥρας ἀπαίρουσιν; Εἶτα εἰκαστικῶς ἐπάγει, ὅτι τοῦτο B ἴσως πάσχουσι διὰ τὸ μὴ νομίζειν παρὰ Θεοῦ εἶναι αὐτοῖς τὰ ἀγαθά.

Vers. 18. « Et consilium impiorum longe est ab eo. »

« Βουλὴ δὲ ἀσεβῶν πόρρω ἀπ' αὐτοῦ. »

Longe absunt a Deo consilia quæ impii capiunt; nihil enim sanum et sincerum meditantur, sed omnia quæ honestati et veritati repugnant.

Ἃ οἱ ἀσεβεῖς βουλεύονται, μακρὰν εἶα τοῦ Θεοῦ· βουλεύονται γὰρ οὐδὲν ὑγιὲς, ἀλλὰ πάντα ἐναντία τῷ καλῷ καὶ τῇ ἀληθείᾳ.

Vers. 19, 20. « Videntes justi riserunt, et insulpabilis subsannavit: si non deleta est substantia eorum, et reliquias eorum comedet ignis. »

« Ἰδόντες δίκαιοι ἐγέλασαν, ἄμεμπτος δὲ ἐμυκτήρισεν· εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν, καὶ τὰ κατάλειμμα αὐτῶν καταφάγεται πῦρ. »

Pii animadvertentes pravum impiorum consilium, ludibrio eos exposuerunt. Illi quidem fortunas suas stabiles et fixas arbitrati sunt, contrarium autem plane iis accidit; deleta enim est eorum substantia, et ipsi funditus perierunt: et si quis ex iis superstes remansit, ignis pabulum factus est.

Τὴν βουλὴν, φησὶ, τῶν ἀσεβῶν φαύλην οὖσαν ἰδόντες οἱ εὐσεβεῖς, διετώθασαν αὐτούς. Οἱ μὲν γὰρ ἀσφαλῶς C αὐτοῖς ἡδρᾶσθαι τὰ πράγματα νενομίκασι, συνέδη δὲ αὐτοῖς πᾶν τοὐναντίον· ἠφάνισται γὰρ αὐτοῖς ἡ ὑπόστασις, αὐτοὶ δὲ ἄρδην ἀπώλοντο· κἄν τις ὑπελείφθη, καὶ οὗτος πυρὸς δαπάνη γέγονεν.

Vers. 21. « Esto utique durus si sustinueris: deinde fructus tuus erit in bonis. »

« Γενοῦ δὴ σκληρὸς ἐὰν ὑπομείνῃς· εἶτα ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς. »

Cum generaliter dixisset, impios quia prava consilia sectarentur, funditus deleri; ad Jobum conversus, inquit: Si cor tuum induraveris, et contra Deum dura et refractaria consilia inieris, divinam vindictam intolerabilem esse experientia disces: neque *fructus tuus erit in bonis*, id est, liberi, qui forte *reliquiæ* intelligendi sunt. Si igitur illi, impii scilicet, Deo adversantes sustinuerunt, neque ipsi et eorum reliquiæ, liberi pempe, pericrunt; tu similiter periculum facito, et in obdurationc tua persistito, si forte sustinueris.

Εἰπὼν δὲ γενικῶς περὶ τῶν ἀσεβῶν, ὅτι κακῶς βουλευόμενοι ἐξολοθρεύονται, φησὶ καὶ πρὸς τὸν Ἰὼβ, ὅτι Εἰ καὶ σὺ σκληρυνεῖς τὴν καρδίαν, καὶ ἀντίτυπα βουλεύσῃ πρὸς Θεὸν, τῇ πείρᾳ μαθήσῃ, ὡς ἀνύποιστος ἡ θεία δίκη· καὶ οὐδὲ *ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς*, ταυτέστιν, οἱ παῖδες, οἵ τάχα εἰσὶ καὶ τὸ *κατάλειμμα*. Εἰ οὖν ἐκεῖνοι, οἱ ἀσεβεῖς D δηλονότι, ἐναντιούμενοι τῷ Θεῷ ὑπέστησαν, καὶ οὐκ ἀπώλοντο αὐτοί τε καὶ τὸ κατάλειμμα αὐτῶν, ἤγουν τὰ τέκνα, πείρασον καὶ σὺ, καὶ ἐπίμεινον τῇ σκληρότητι, ἐὰν ἄρα ὑποστήσῃς.

Vers. 22. « Excipe autem ex ore illius enuntiationem, et assume verba ejus in corde tuo. »

« Ἔκλαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν, καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου. »

Vel hoc dicit: Mores et ingenium muta, et divina mandata suscipe: vel, Confitere peccata tua, et in posterum divinos sermones custodi. Gemini hujus sensus occasio hinc mihi oblata est: Quid *enuntiatio* esset, mecum ipse quærebam; et ejus loco apud Symmachum, *confessionem*, inveni; apud Aquilam vero, *legem*. Dicit igitur juxta unius mentem, Confitere peccata tua, modum autem confessionis a Deo discito, et secundum alterius interpre-

Ἢ τοῦτο λέγει, ὅτι Μετάβαλλε τὸν τρόπον, καὶ ἀνάλαβε τοὺς θείους νόμους· ἢ, ὅτι Ἐξαγόρευσον τὰ ἡμαρτημένα σοι, καὶ τοῦ λοιποῦ τοὺς λόγους τοῦ Θεοῦ φύλαττε. Τῆς διπλῆς δὲ ταύτης ἐννοίας ἐκεῖθεν ἔσχον τὰς ἀφορμάς. Τὴν ἐξηγορίαν ἐζήτουν κατ' ἐμαυτὸν τί σημαίνῃ· καὶ εὗρον παρὰ τῷ Συμμάχῳ ἀντ' αὐτῆς, *ἐξομολόγησιν*, παρὰ δὲ τῷ Ἀκύλᾳ, *νόμον*. Φησὶν οὖν κατὰ μὲν τὸν ἕνα, Ἐξομολόγησαι περὶ τῶν ἁμαρτημάτων σου, τὸν δὲ τρόπον τῆς

Digitized by Google

ἐξηγορίας παρὰ τοῦ Θεοῦ διδάχθητι· κατὰ δὲ τὸν ἕτερον, Δέξαι παρὰ Θεοῦ νόμον, καὶ τοὺς λόγους αὐτοῦ ἐγκαρδίους ποίησαι.

tationem, legem a Deo accipe, et sermones ejus in corde reconde.

« Ἐὰν δὲ ἐπιστραφῇς, καὶ ταπεινώσῃς σεαυτὸν ἐναντι Κυρίου, πόρρω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον. »

Vers. 23. « Si autem conversus fueris, et humiliaveris teipsum coram Domino, procul fecisti iniquitatem a tabernaculo tuo. »

Σκληρυνόμενος μὲν, φησὶν, εἰκότως πάσχεις τὰ τῶν ἀσεβῶν· ἐὰν δὲ μεταβάλοις, καὶ ταπεινώσῃς σεαυτὸν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, οὐδέν σοι ἀναντήσεται ἄτοπον.

Merito, inquit, obduratus, ea quæ sunt impiorum pateris : si vero conversus fueris, et teipsum sub potenti Dei manu humiliaveris, nihil alienum tibi eveniet.

« Θήσῃ ἐπὶ χώματι ἐν πέτρᾳ, καὶ ὡς πέτρα χειμάῤῥου Σωφὶρ. »

Vers. 24. « Poneris super aggerem in petra, et tanquam petra torrentis Sophir. »

Ἀνθ' οὗ ὁ Σύμμαχος, *Καὶ ἐν τῷ ἀκροτόμῳ ὡς ὀχετοὺς χρυσίου πρωτείου.* Βούλεται δὲ εἰπεῖν, ὅτι Ἐὰν μετανοήσῃς, καὶ πόρρω ποιήσῃς ἀπὸ τῆς διαγωγῆς σου πᾶσαν ἀδικίαν, τεθήσῃ ἐπὶ τῆς γῆς ἐν πέτρᾳ, τουτέστιν, οὐ μετακινηθήσῃ ἀπὸ τῆς εὐδαιμονίας, ἀλλ' ἐν ἀσφαλείᾳ καὶ βεβαίως τὴν γῆν οἰκήσεις, καὶ ἐκ Σωφὶρ, ἔνθα γίνεται χρυσὸς κάλλιστος καὶ λίθοι τίμιοι, κατὰ χειμάῤῥουν ῥέων χρυσὸς ἐπελεύσεταί σοι. Φασὶ δέ τινες τῶν ἑρμηνευτῶν, τὴν Σωφὶρ, ἑρμηνευομένην *κάλλιστον*, τὴν Ἀφρικὴν εἶναι· κέχρηται δὲ ἡ Γραφὴ τῇ λέξει ταύτῃ, ὅταν περὶ πλούτου διαλέγηται.

Pro quo Symmachus : *Et in silice quasi rivos auri primi.* Hoc autem est quod dicere vult; si pœnitentiam egeris, et injustitiam omnem procul a conversatione tua amandaveris, supra terram in petra collocaberis, id est, de felicitate non deturbaberis, sed secure et firmiter terram incoles, et ex Sophir (ubi aurum præstantissimum et lapides pretiosi gignuntur) torrentis instar, aurum ex inopinato tibi supervéniet. Dicunt autem interpretum nonnulli, Sophir (quod si interpretaris, *optimum*, significat) Africam esse : utitur autem Scriptura hac voce cum de divitiis sermo est.

ΚΕΦΑΛ. ΚΓ'

Προθεωρία.

Ὁ μὲν Ἐλιφὰζ ἀνηκέστοις ὕβρεσι περιέβαλε τὸν δίκαιον, τὰς τῶν ἐκτόπως ἠσεβηκότων πράξεις αὐτῷ περιθείς· ὁ δὲ δίκαιος, Οἶδα, φησὶν, ὡς οὐκ ἐκ τῶν ὑμετέρων λόγων, ἀλλ' ἐκ τῶν ἐμῶν ἔργων κριθήσεται τὰ κατ' ἐμέ· εἰ γὰρ καὶ τιμωρεῖται Θεὸς, ἡδέως ἐπ' αὐτοῦ τὰ ἐμὰ παραθήσομαι δίκαια, καὶ τὴν ἐξ αὐτοῦ περιμενῶ ἀπόφασιν, σφόδρα πεποιθὼς αὐτοῦ τῇ ἀληθείᾳ. Εἶτα τοῦ Θεοῦ τὸ ἀόρατον εἰρηκὼς καὶ ἀκατάληπτον, πάλιν ἀπορεῖ πρὸς τοὺς φίλους· Ἐπειδή περ ἐπ' ἀσεβείᾳ με κρίνετε, καὶ δεῖγμα ποιεῖσθε τῶν ἡμαρτημένων τὰς ἐμὰς συμφορὰς, ἀποκρίνασθέ μοι, διὰ τί πολλὰ καὶ ἀνήκεστα πραττόντων τῶν ἀσεβῶν, οὕτω ὁ Θεὸς ἀνεξικακεῖ, ὡς μηδὲ ἐπισκοπῶν τὰ πραττόμενα; Εἶτα ἐπαρασάμενος τοὺς τοιούτους, φησὶν, ὅτι δώσουσί ποτε καὶ αὐτοὶ δίκην, εἰ καὶ ἐπιπολὺ διήρκεσαν διὰ τὴν ἀνοχὴν τοῦ Θεοῦ· θαῤῥῶν δὲ τῇ τῶν οἰκείων λόγων ἀληθείᾳ, Εἰ μὴ ταῦτα, φησὶν, ἀληθῆ, ὁ βουλόμενος ἐλεγχέτω. Τοιοῦτος μὲν ὁ νοῦς τῶν τοῦ Ἰὼβ ῥημάτων· αὐτὰ δὲ λοιπὸν ἕκαστα ἴδωμεν.

Protheoria.

Eliphazus quidem actiones hominum supra modum impiorum Justo affingens, gravissimis contumeliis eum afficerat; Justus autem respondens, inquit : Novi quod non ex vestris sermonibus, sed ex actionibus meis judicandus sim : licet enim Deus supplicio puniat, ejus tamen veritate multum fretus, causæ meæ æquitatem libenter coram eo proponam, et sententiam ejus exspectabo. Deinde Deum invisibilem et incomprehensibilem esse affirmans, rursus hæsitabundus amicos alloquitur : Quandoquidem me impietatis crimine arcessitis, et calamitates meas delictorum argumentum statuitis; respondete mihi cur impios multa et gravia patrantes Deus adeo patienter ferat, quasi ea quæ ab iis fiunt, haud animadverteret? Postea hujusmodi hominibus imprecatus, pœnas illos daturos affirmat, licet divina patientia diu perdurassent; et dictorum suorum veritate confisus : Si hæc, inquit, vera non sint, cuivis integrum sit ea redarguere. Atque hic quidem sensus est verborum Jobi; ipsa autem deinceps sigillatim videamus.

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει· Καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς ἐστι, καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ' ἐμῷ στεναγμῷ. »

Vers. 1, 2. « Respondens autem Job, ait : Et quidem scio, quia de manu mea est increpatio : et manus ejus gravis facta est super gemitum meum. »

Οἶδα, φησὶν, ὅτι ἐκ τῶν ἐν χερσὶ, τουτέστιν, ἐκ τῆς πληγῆς, καὶ οὐκ ἀφ' ὧν ἔπραξα, δοκεῖτε τοὺς ἐλέγχους ἐπάγειν· καὶ γὰρ βαρέως ἐπέθετό μοι ὁ Θεὸς, ὥστε με στενάζειν. Τινὲς δὲ οὕτως ἐξεδέξαντο τοὺς στίχους· Οὐδένα, φησὶ, τῶν κατηγοριῶν ποιοῦμαι λόγον· οὐ γὰρ ἐξ ὧν ὑμεῖς ψευδηγο-

Novi, inquit, quod vobis visum est ex iis quæ in manibus sunt, id est, ex plaga, et non ex factis meis, criminationes afferre : Deus enim graviter me insectatus est, ita ut gemitus ediderim. Quidam vero sic versus hos acceperunt, et hanc illorum mentem esse voluerunt : Vestras, inquit, accusa-

Digitized by Google

tiones floccifacio, non enim ex iis de quibus me falso criminamini, sed ex iis quæ a me gesta sunt, judicabor; Deus quidem gravem in modum de me supplicium sumpsit.

ρεῖτε, ἀλλ' ἐξ ὧν ἐγὼ ἔπραξα κριθήσομαι· βαρέως μέντοι ὁ Θεὸς ἐτιμωρήσατό με.

Vers. 9. « A læva si ipse aget, et non apprehendi; circumteget dextra, et non videbo. »

« Ἀριστερὰ ποιήσαντος αὐτοῦ, καὶ οὐ κατέσχον· περιβαλεῖ δεξιὰ, καὶ οὐκ ὄψομαι. »

Sensum autem horum verborum Symmachus dilucidius exprimens, sic reddidit: *Ecce si antecedam ipsum, videri non potest; et si subsecutus fuero, non sentiam.* Sensus vero hic est: Actionum mearum judicium divinis oculis libenter subjicio, verum quid est quod mihi accidit? Deus natura est invisibilis, quid igitur faciam? In iis quæ ante me sunt eum quæram? oculis cerni non potest; ante me est, et non animadverto: cum ad lævam se converterit, apprehendere eum nequeo, et cum a dextris fuerit, videre eum omnino non possum. Hæc autem dixit, non quod Deus corporaliter, vel de loco in locum transeundo obambulet, sed ut eum ubique præsentem esse ostenderet, et quod nostrum tamen captum fugiat, nec a nobis comprehendi queat. Illud vero, *Non ultra sum*, vel secundum priorem acceptionem intelligere potes, quod, scilicet, si ad priora cogitatione progressus fuero, et tempus elapsum in mentem revocavero, meipsum non exsistere, sed exsistentiam, quatenus illa præteriit et effluxit, amisisse deprehendo. Vel sic illud accipere potes: Si mentis scrutinium et curiosam sollicitudinem ulterius extendero, Deique primordia et initium indagavero, extra me rapior, incomprehensibilem comprehendere studens, et rationis discursus tenebricosa caligine offuscatur.

Σαφέστερον δὲ τῶν ῥητῶν τὴν ἔννοιαν ἑρμηνεύων ὁ Σύμμαχος, οὕτως ἐκδέδωκεν· *Ἰδοὺ ἐὰν προέρχωμαι αὐτὸν, ἀφανὴς ἐστι· κἂν ἀκολουθῶ, οὐκ αἰσθήσομαι.* Ὁ δὲ νοῦς οὗτος· Ἡδέως μὲν, φησὶν, ὑπὸ τοῖς θείοις ὀφθαλμοῖς ἔχω κριθῆναι τὰ κατ' ἐμὲ, ἀλλὰ τί πάθω; Ἀόρατός ἐστι τὴν φύσιν ὁ Θεός· τί οὖν δράσω; Ἐν τοῖς ἔμπροσθεν αὐτὸν ἐπιζητήσω; ἀφανής ἐστι· ἔμπροσθέν μου τυγχάνει, οὐκ αἰσθάνομαι· εἰς εὐώνυμα τραπέντος ἐπιλαβέσθαι ἀμηχάνως ἔχω, ἐκ δεξιῶν γεγενημένον παντελῶς οὐχ ὁρῶ. Ταῦτα δὲ ἔφη, οὐχ ὡς σωματικῶς; ἢ μεταβατικῶς τοὺς τόπους τοῦ Θεοῦ περινοστοῦντος, ἀλλὰ δεῖξαι θέλων ὡς πανταχοῦ μὲν ὁ Θεὸς πάρεστιν, ἡμῖν δὲ ἀνέφικτός ἐστι καὶ ἀκατάληπτος. Τὸ δὲ, *Οὐκ ἔτι εἰμὶ*, ἢ κατὰ τὴν προτέραν ἐκδοχὴν νοήσεις, ὅτι Ἐὰν εἰς τὰ πρῶτα πορεύσωμαι τῇ διανοίᾳ, καὶ ἀναλογίσωμαι τὸ παρελθὸν τοῦ χρόνου, εὑρίσκω ἐμαυτὸν οὐκ ὄντα, ἀλλ' ἀποβαλόντα τὸ εἶναι, καθ' ὃ παρῴχηκεν. Ἢ οὕτως αὐτὸ ἐκλήψῃ, ὅτι Ἐὰν ἐπικλέον ἐπεκτείνω τὴν ζήτησιν καὶ τὴν πολυπραγμοσύνην τοῦ νοὸς, καὶ τὰ πρῶτα, καὶ τὴν ἀρχὴν ζητήσω τοῦ Θεοῦ, ἔξω ἐμαυτοῦ γίνομαι, καὶ ἐν σκοτοδινίᾳ λογισμῶν καθίσταμαι, ζητῶν καταλαβεῖν τὸν ἀκατάληπτον.

Vers. 10-12. « Scit enim jam viam meam; probavit autem me sicut aurum. Egrediar autem in præceptis ejus; vias enim ejus custodivi, et non declino a præceptis ejus, et non præteream. »

« Οἶδε γὰρ ἤδη ὁδόν μου· διέκρινε δέ με ὥσπερ τὸ χρυσίον. Ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ· ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα, καὶ οὐ μὴ ἐκκλίνω ἀπὸ τῶν ἐνταλμάτων αὐτοῦ, καὶ οὐ μὴ παρέλθω. »

Idcirco, inquit, cum animi fiducia Deum judicem postulo, quia actiones meæ illi cognitæ sunt antequam verbum protulero, et quia legem ejus et mandata custodivi. Mandata autem hoc loco dicit, non quæ sub auditum caderent, vel quæ scriptis mandarentur (hic enim sanctus ante legem latam vixit) sed quæ scriptis minime consignata, quæ cum natura ipsa una sata essent, et quæ Deus in mentem insusurrasset. Illud autem: *Et non declino*, emphasin quamdam admirandam habet; licet, inquit, mala innumera passus fuero, a recto tamen tramite non deflectam, neque Dei placita transgrediar; cui par illud est: *Quis nos separabit a charitate Christi*[12]?

Διὰ τοῦτο, φησὶν, ἐπὶ Θεοῦ θαῤῥῶ κρίνεσθαι, ὅτι καὶ πρὸ τῶν ἐμῶν λόγων τὰς ἐμὰς ἐπίσταται πράξεις, καὶ ὅτι τὸν νόμον αὐτοῦ καὶ τὰς ἐντολὰς ἐφύλαξα. Ἐντολὰς δὲ νῦν λέγει, οὐ τὰς ἀκουστὰς καὶ ἐγγραμμάτους (πρὸ τοῦ νόμου γὰρ ἦν ὁ ἅγιος), ἀλλὰ τὰς ἀγράφους, τὰς τῇ φύσει συνεσπαρμένας, τὰς κατὰ διάνοιαν ὑπὸ Θεοῦ λαλουμένας. Τὸ δὲ, *Οὐ μὴ ἐκκλίνω*, θαυμασίαν ἔχει τὴν ἔμφασιν. Κἂν γὰρ μυρία, φησὶ, πάθω, οὐ παρατραπήσομαι τῆς εὐθείας ὁδοῦ, οὐδὲ ὑπερβήτομαι τὰ τῷ Θεῷ δοκοῦντα· ὅμοιον τῷ, *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;*

« In sinu autem meo abscondi verba ejus. »

« Ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ. »

Id est, In parte animi intellectiva, in intimis mentis recessibus, divina mandata recondita servavi, in sinu fovi, atque ita cum voluptate, animo sedato, ac pleno proposito, non necessitate ulla coactus, divinam voluntatem adimplens, tanquam una cum iis plasmatus, factus, et adunitus fuis-

Τουτέστιν, Ἐν τῷ διανοητικῷ, ἐν τῷ βάθει τῆς διανοίας μου τὰς θείας ἐντολὰς ἔχων ἐφύλαξα, ἐνεκολπωσάμην αὐτὰς, καὶ ὡς συναναπεπλασμένος καὶ πεποιημένος αὐταῖς, καὶ οἷον ἡνωμένος, οὕτω περιχαρῶς ἐξετέλεσα, ἐν ἀναπαύσει, ἐν προθέσει, οὐ δι' ἀνάγκην τὸ θεῖον ἐκπληρῶν βούλημα. Τοιοῦτον κἀ-

[12] Rom. VIII, 35.

Digitized by Google

κεῖνο τὸ ψαλμικὸν, *Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου·* καὶ πάλιν, *Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.* Εἶτα ὥσπερ τινὸς ἀνθυπενεγκόντος, Ὅτου οὖν ἕνεκα τοιούτοις περιπέπτωκας τοῖς δεινοῖς; ἐξέως ἐπάγει·

« Διὰ τοῦτο ἐπ' αὐτῷ ἐσπούδακα· νουθετούμενος δὲ, ἐφρόντισα αὐτοῦ. »

Τὰ κατ' ἐμαυτὸν, φησὶν, ἀνασκοπῶν, ἐσπούδακα, τουτέστιν, ἐταράχθην, οὐκ εἰδὼς τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ἀγνοῶν ἐφ' οἷς ἔπληξέ με ὁ Θεός· πλὴν καὶ διὰ τῆς παρούσης πληγῆς νουθετούμενος καὶ ἐλεγχόμενος, οὐκ ἀπεδυσπέτησα, ἀλλ' εὐχαρίστως ἤνεγκα, καὶ ἐφρόντισα τοῦ μηδέν τι παλίμφημον περὶ Θεοῦ νοῆσαι ἢ φθέγξασθαι.

« Ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ, κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ. »

Πάλιν τὸ αὐτὸ ἐπαναλαμβάνει ῥῆμα καὶ νόημα, καί φησιν, ὅτι Τοιαῦτα ἐμαυτῷ συνειδὼς, εἶτα πληγὰς, ἀμηχανῶ καὶ τεθορύβημαι, τὴν αἰτίαν τῆς κακώσεως οὐκ ἐπιστάμενος· πλὴν οὐδὲ πολυπραγμονεῖν βούλομαι, ἀλλ' ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἀπὸ μόνης τῆς αὐτοῦ ἐπιφανείας θροοῦμαι· καὶ [*Ισ. κἂν*] μόνον αὐτὸν κατανοήσω, πτοοῦμαι, καὶ ὀκνῶ ἐρευνᾷν διὰ τί μεμαστίγωμαι.

« Κύριος δὲ ἐμαλάκυνε τὴν καρδίαν μου, ὁ δὲ παντοκράτωρ ἐσπούδασέ με· οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος, πρὸ προσώπου δέ μου ἐκάλυψε γνόφος. »

Τὸ μὲν, *ἐμαλάκυνεν*, ἀντὶ τοῦ, τῆς ψυχῆς τοὺς τόνους ἐξέλυσε· τὸ δὲ, *ἐσπούδασέ με*, ἀντὶ τοῦ ἐθορύβησε· τὸ μὲν, *οὐκ ᾔδειν*, ἀντὶ τοῦ, οὐ προσεδόκων, λέγει. *Σκότος* δὲ καὶ *γνόφον πρὸ προσώπου*, καλεῖ τὰ τῶν συμφορῶν ἄδηλον ἢ ἀδιεξόδευτον. Ὡς γὰρ πρὸ ὀφθαλμῶν, φησὶν, ἀφασίας οὔσης, ὑπερβαίνειν οὐκ ἔχω τὰ δεινὰ, ἃ καὶ ποιεῖ μοι τὴν ἀγωνίαν, καὶ ἐκλύει τοὺς τόνους τῆς ψυχῆς, ἀδοκήτως ἐπενεχθέντα μοι.

ΚΕΦΑΛ. ΚΔ'.

« Διατί δὲ Κύριον ἔλαθον ὧραι; ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν, ποίμνιον σὺν ποιμένι ἁρπάσαντες; ὑποζύγιον ὀρφανῶν ἀπήγαγον, καὶ βοῦν χήρας ἐνεχύρασαν, ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας. »

Τὰ προῤῥηθέντα τοῦ Ἰὼβ λέγοντος, εἰκὸς ἦν τοὺς φίλους ἀντερεῖν, ὡς Ταῦτα πάσχεις, οὐ καθαρὸς ὤν, ὡς σὺ φῂς, ἀλλὰ τῶν πλημμελημάτων ἐκτίνων δίκας· γοργῶς οὖν ἐπιλύων τὸ ἀντιπίπτον, ἐπάγει· Πῶς οἱ μὲν ἀσεβεῖς τὰ τῶν πλησίον ἁφαιροῦνται, παροῤῥίζοντες, καὶ λυμαινόμενοι τοὺς ἀγχιτέρμονας, καὶ ὅρια ὑπερβαίνοντες, ἢ, κατὰ τὸν Ἀκύλαν, προσλαμβάνοντες, ἀνηλεῶς αὐτοῖς ποιμνίοις τὸν ποιμένα συναρπάζοντες, ὀρφανῶν καὶ χήρας τὰς τοῦ ζῆν ἀφορμὰς παραιρούμενοι, τὸν βοῦν φημι καὶ τὸ ὑποζύγιον, τοὺς ἀσθενεῖς καταδικάζοντες, καὶ τὰς τοῦ δικαίου παρατρέποντες ψήφους ἐν αὐτοῖς; *Παρέτρεψαν γὰρ πενήτων ὁδὸν*, κατὰ Σύμμα-

sem, exsecutus sum. Tale illud est in Psalmis : *In corde meo abscondi eloquia tua*[12]; et rursus : *Et legem tuam in medio ventris mei*[13]. Deinde tanquam regerente aliquo : Qui fit igitur ut in tales ærumnas incideris? statim subjungit :

Vers. 14. « Propterea super ipso trepidavi; et commonitus, sollicitus fui de eo. »

Mea, inquit, attentius considerans, trepidavi, id est, causam plagæ nesciens, et cur me Deus percusserit ignorans, perturbatus sum : nihilominus præsenti plaga commonefactus et reprehensus, non indignanter sed æquo animo tuli, et ne quidquam de Deo blasphemum cogitarem aut loquerer, curæ mihi præcipuæ fuit.

Vers. 15. « Idcirco a facie ejus turbabor, considerabo, et timebo ab eo. »

Rursus idem verbum eodemque sensu repetit, dicitque : Cum talem me conscientia arguat, plagasque nihilominus experiar, causam afflictionis ignorans, anxius animi pendeo, et perturbatus sum : verumtamen causam sollicitus indagare nolo, sed Dei vultu et solo ejus aspectu attonitus redior; imo si mente tantum et cogitatione concepero, præ formidine terreor, et cur plagis cædar, metuo inquirere.

Vers. 16. « Et Dominus mollivit cor meum, et Omnipotens sollicitavit me : non enim noveram, quod supervenient mihi tenebræ, et ante faciem meam operuit caligo. »

Mollivit, id est, animi nervos dissolvit et fregit. Illud vero, *sollicitavit me*, pro *conturbavit me*; et, *non noveram*, pro, *non exspectabam*, dixit; calamitates autem quæ incertæ et inextricabiles erant, *tenebras et caliginem ante faciem* appellavit. Ærumnas enim, inquit, quæ non opinanti mihi inflictæ sunt, quæ anxietatem mihi creant, et nervos animi frangunt, superare nequeo, non secus ac si cæcitas præ oculis esset, et visum impediret.

CAP. XXIV.

Vers. 1-4. « Quare autem Dominum latuerunt horæ? Et impii terminum trangressi sunt, gregem cum pastore rapientes? subjugale pupillorum abduxerunt, et bovem viduæ pro pignore tulerunt, divertere fecerunt impotentes a via justa. »

Jobo quæ supra allata sunt dicente, verisimile est, amicos in hunc modum regessisse; hæc justus exsistens (ut tu dicis) nequaquam pateris, sed ut delictorum pœnas luas : acriter igitur diluens quod objiciebatur, subjungit : Quomodo impii fines suos excedendo, et terminos transgrediendo (vel ut Aquila, *occupando*) ac damnum finitimis inferendo, proximorum facultates auferant, pastorem una cum gregibus immaniter rapiant, pupillis et viduis unde vita sustentatur, bovem scilicet et jumentum, adimant, impotentes condemnent, et justi et æqui, quantum in iis est, suffragia pervertant? *Viam* enim *pauperum perverterunt*, juxta Symmachum,

[12] Psal. cxviii, 11. [13] Ibid. xxxix, 9.

Digitized by Google

id est, judicio imbecillioribus, ut justam vitæ conversationem relinquant, persuadent, qui improbitatem prospere agentem, ac vitam beatam transigentem cernentes, scandalizantur, et a laudabili et optima vita, ad infamem et turpissimam traducuntur : Deus vero, quasi temporum immemor esset, supplicia differt. Et quidem si peccata supplicia omnino comitari oportet, simul cum delicto supplicium inferre, opportunum foret; nunc autem nonnulli gravia scelera perpetrant, Deus vero, tanquam temporum oblitus esset, retributiones suspendit. Illud igitur, *quare*, non ut causa redditur, sed problematice, tanquam ad amicos, dictum est.

« Et simul absconditi sunt mites terræ. »

A conspectu, scilicet, hominum injustorum fugientes, et convictum inter feras potius eligentes : vel (quod verius est) ab impiis, sedibus pulsi et interempti. Atque hoc etiam Symmachi interpretatio præ se fert : *Simul enim*, inquit, *mansuetos terræ e conspectu removerunt*, agentes, scilicet, non minus quam patientes, intelligendo. Et hoc quidem pravus malorum cœtus apud Salomonem loquitur : *Abscondamus* enim, inquit, *in terra virum justum injuste* [18].

Vers. 5. « Et evaserunt tanquam asini in agro. »

Metu omni abjecto homines pedibus proterentes, despicientes omnes, et ludibrio habentes, ac obvia quæque pro libitu deprædantes : Deus autem nondum hos visitavit.

« Super me egressi suum ipsorum ordinem. »

Aquila autem : *Exeunt in opus suum, surgentes mane ad rapinam.* Sensus autem hic est : Hi, inquit, quod iis solemne est, etiam de me fecerunt. *Super me egressi sunt*, id est, ut facultates meas caperent, et sibi vendicarent; hoc enim est quod facere consueverunt.

« Suavis factus est ei panis in adolescentes. »

Symmachus : *Dulcis unicuique eorum panis in adolescentes.* Gratum, inquit, est impiis, adolescentes quosdam alere, ut eorum opera damna inferre, et in imbelliores impetum facere possint.

Vers. 6. « Agrum ante tempus non suum demessuerunt. »

Duo simul peccata admiserunt, ante tempus fructus metentes, et hos quidem alienos. Hoc autem a latronibus fieri solet; cum enim messis tempore fruges custodiantur, vel potius agrorum domini tempore opportuno eas demetant, latrones antevertunt, et immaturam messem faciunt, ne si forte exspectantes donec plene maturescant fructus a terræ dominis prius demessos inveniant.

« Impotentes vineas impiorum sine mercede, et sine cibo operati sunt. »

Hæc etiam summa est iniquitas, ut pauperes sine

[18] Prov. I, 11.

A χον, τουτέστι, τοὺς ἀσθενεστέρους τῷ λογισμῷ τὴν δικαίαν πολιτείαν καταλιμπάνειν ἀναπείθουσιν, ὁρῶντας τὴν κακίαν εὐοδουμένην καὶ εὐτυχοῦσαν, καὶ διὰ τοῦτο σκανδαλιζομένους, καὶ ἐκτρεπομένους ἀπὸ τῆς ἀρίστης καὶ ἐπαινουμένης ζωῆς ἐπὶ τὴν αἰσχίστην καὶ διαβεβλημένην· ὁ δὲ Θεὸς, ὥσπερ τῶν καιρῶν ἐπιλαθόμενος, ὑπερτίθεται τὰς τιμωρίας. Καίτοιγε εἰ τοῖς ἁμαρτήμασι πάντως ἕπονται αἱ κολάσεις, εὔκαιρον ἦν ὁμοῦ τῷ πλημμελήματι τὴν ποινὴν ἐπάγεσθαι· νῦν δὲ οἱ μὲν ἀνήκεστα πράττουσιν, ὁ δὲ Θεὸς, ὥσπερ τῶν καιρῶν ἐκλελησμένος, ἀνέχει τὰς ἀνταποδόσεις. Τὸ, *διατί*, οὖν οὐκ αἰτιολογικῶς, ἀλλὰ προβληματικῶς, ὡς πρὸς τοὺς φίλους εἴρηται.

« Ὁμοθυμαδὸν δὲ ἐκρύβησαν πραεῖς γῆς. »

B * Ἤτοι φεύγοντες τοὺς ἀδίκους, καὶ τὴν μετὰ θηρῶν μᾶλλον αἱρούμενοι διατριβήν· ἢ, τὸ ἀληθέστερον, ἐλαυνόμενοι καὶ φονευόμενοι ὑπὸ τῶν ἀσεβῶν. Τοῦτο καὶ ἡ τοῦ Συμμάχου παρίστησιν ἔκδοσις· *Ὁμοῦ γὰρ*, φησὶν, *ἀφανεῖς ἐποίησαν πραεῖς γῆς*· τοὺς δρῶντας γὰρ λέγει ὁμοῦ καὶ τοὺς πάσχοντας. Τοῦτο καὶ παρὰ τῷ Σαλομῶντι τὸ πονηρὸν λέγει συνέδριον· *Κρύψωμεν* γὰρ, φησὶν, *εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως*.

« Ἀπέθησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ. »

* Ἀδεῶς [γρ. ἡδέως] καταπατοῦντες τοὺς ἀνθρώπους, πάντων καταφρονοῦντες, πάντων καταγελῶντες, μετ' ἐξουσίας τὰ προστυχόντα ληΐζόμενοι· ὁ δὲ C Θεὸς οὔπω ἐπισκοπὴν πεποίηται τούτων.

« Ὑπὲρ ἐμεῦ ἐξελθόντες τὴν ἑαυτῶν τάξιν. »

Ὁ δὲ Ἀκύλας, *Ἐξέρχονται ἐν κατέργῳ αὐτῶν, ὀρθρίζοντες εἰς ἅλωσιν.* Ὁ δὲ νοῦς οὗτος· Οὗτοι, φησὶ, τὸ σύνηθες αὐτοῖς καὶ ἐπ' ἐμοὶ ἔπραξαν· *Ὑπὲρ ἐμοῦ γὰρ ἐξῆλθον*, τουτέστιν, ὑπὲρ τοῦ τὰ ἐμὰ λαβεῖν καὶ ἰδιώσασθαι· τοῦτο δὴ ὃ πράττειν εἰώθασιν.

« Ἡδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους. »

* Σύμμαχος, *Ἡδὺς ἑκάστῳ αὐτῶν ἄρτος εἰς νεανίσκους.* Ἡδὺ, φησὶ, τοῖς ἀσεβέσι τὸ τρέφειν νεανίσκους τινὰς, ἐφ' ᾧ δύνασθαι δι' αὐτῶν τὰς ἐπηρείας ἐργάζεσθαι, καὶ τοῖς ἀσθενεστέροις ἐπιτίθεσθαι.

« Ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν. »

D Δύο κατ' αὐτὸ ἥμαρτον, πρὸ ὥρας τοὺς καρποὺς τέμνοντες, καὶ ταῦτα τοὺς ἀλλοτρίους. Πεφύκασι δὲ τοῦτο ποιεῖν οἱ ληστεύοντες· διὰ τὸ τῷ καιρῷ τοῦ θερισμοῦ φυλάττεσθαι τοὺς καρποὺς, μᾶλλον δὲ διὰ τὸ τοὺς δεσπότας τῶν ἀγρῶν καθ' ὥραν αὐτοὺς θερίζειν, προλαμβάνουσιν οἱ λῃσταὶ, καὶ ἄωρον ποιοῦνται τὴν τομὴν, ἵνα μὴ ἀναμένοντες πεπαγθῆναι τοὺς καρποὺς, εὕρωσιν ἤδη θερισθέντας αὐτοὺς παρὰ τῶν κυρίων τῆς γῆς.

« Ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἄσιτοι εἰργάσαντο. »

Μεγίστη καὶ αὕτη παρανομία, τὸ τοὺς πένητας

Digitized by Google

ἀμισθὶ τοῖς πλουσίοις ἐργάζεσθαι· καὶ οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ χωρὶς τροφῆς. Δύο οὖν ταύτας ἀδικίας δημοσιεύει, θερισμὸν ἄωρον ἀλλοτρίων ἀγρῶν, καὶ μισθοῦ ἀποστέρησιν πενήτων ἐργατῶν, οἳ τῇ δυναστείᾳ εἴκοντες, καὶ δίχα τροφῆς τοὺς τῶν ἀσεβῶν ἀμπελῶνας εἰργάσαντο· καίτοιγε *Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.*

A mercede divitibus operam locent; nec tantum absque mercede, sed etiam sine alimento. Geminam igitur hanc iniquitatem palam ostendit, agri alieni messem intempestivam, et pauperum operariorum mercedis fraudationem, qui dominationi cedentes, etiam sine cibo impiorum vineas coluerunt; quanquam *dignus sit operarius alimento suo* [16].

« Γυμνοὺς πολλοὺς ἐκοίμισαν ἄνευ ἱματίων, ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο. »

Vers. 7. « Nudos multos dormire fecerunt sine vestimentis, et indumentum animæ eorum abstulerunt. »

« Κατὰ μὲν τὸν ἐμὸν λόγον, γυμνούς τινας καθεύδῆσαι ἐπέτρεψαν, καὶ τὸ ἔσχατον περιβόλαιον τὸ σκέπον τὴν ἀσχημοσύνην τοῦ σώματος ἀφελόμενοι· κατὰ δὲ τὸ δοκοῦν ἑτέροις, γυμνώσαντες πολλοὺς *ἐκοίμισαν*, τουτέστιν, ἡσυχάσαι παρεσκεύασαν· οὐδὲν γὰρ τοῦ δέους οὐκ ἀντέλεγον οἱ γυμνούμενοι.

Meo quidem judicio, ultimum indumentum, quo corporis turpitudinem velabant, auferentes, nudos quosdam dormire coegerunt; juxta autem aliorum opinionem : Nudantes multos *dormire fecerunt*, B id est, quietos reddiderunt; nudati enim præ metu nihil obloculi sunt.

« Ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται, παρὰ τὸ μὴ ἔχειν ἑαυτοὺς σκέπην, πέτραν περιεβάλοντο. »

Vers. 8. « De stillicidiis montium madescunt; eo quod ipsi non habeant operimentum, petram sibi circumdederunt. »

« Ἐμοὶ δοκεῖ, ὅτι ἀπὸ τῶν δρώντων ἐπὶ τοὺς πάσχοντας ἐνταῦθα τὸν λόγον μετήγαγε, καί φησιν, ὅτι οἱ γυμνούμενοι, καὶ τῶν οἰκιῶν ἐξελαυνόμενοι, ὑπαίθροι ταλαιπωρούμενοι, τὰς ἐκ τοῦ ἀέρος ψεκάδας γυμνοῖς τοῖς σώμασιν ὑπεδέχοντο· καὶ διὰ τὸ μὴ ἔχειν σκέπην καὶ στέγην, ταῖς αὐτορόφοις πέτραις, καὶ τοῖς σπηλαίοις, ὅσα καὶ οἰκίαις ἐκέχρηντο.

Hoc loco, a perpetrantibus mala, ad eos qui patiuntur, sermonem convertisse mihi videtur, ac dicere, quod vestibus nudati et ædibus pulsi, sub dio miserum in modum afflicti, guttas roris ex aere cadentes nudis corporibus exceperint; et quia tecto et tegumento carerent, petris et speluncis, quæ natura sua tectæ sunt, pro domibus usi fuerint.

Τινὲς περὶ τῶν βιαίων εἰρῆσθαι ταῦτα νοοῦσι, καί φασιν, ὅτι οἱ τοιοῦτοι τὴν ἐρημίαν καταλαμβάνοντες, αἴθριοι μὲν τὰ πολλὰ διατρίβουσι, τὸν λῃστρικὸν ἐπανῃρημένοι βίον. Εἰ δέ ποτε καὶ σκέπεσθαι δέοι, φωλεοὶ τούτοις ἡ σκέπη, καὶ πέτραι, καὶ φάραγγες.

Quidam, de iis qui vim et violentiam aliis inferunt, hæc intelligi volunt, dicuntque, quod ejusmodi homines in solitudinem se recipientes, et vitam latronum capessentes, sub dio plerumque degant; et si contegi aliquando oporteat, cavernæ, petræ, et barathra pro tecto iis inserviant.

« Ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ. »

Vers. 9. « Rapuerunt ab ubere pupillum. »

Ἐλεεινῶς καὶ ἀνοικτιρμόνως ἔτι τὴν μητρῴαν ἕλκοντα θηλὴν τὸν ὀρφανὸν ἁφήρπασαν, ἐφ' ᾧ τοῦτον ἑτέροις ἀπεμπολῆσαι. Μεγίστης δὲ ὠμότητος, τὸ μηδὲ τῶν ὑπομαζίων φείδεσθαι.

Pupillum adhuc lactentem, et a matris uberibus pendentem, ut aliis eum divendere possent, miserabiliter et immisericorditer avulserunt. Summa autem crudelitas est, lactentibus infantibus non parcere.

« Πεινώντων δὲ τὸν ψωμὸν ἀφείλαντο. »

Vers. 10. « Et esurientium buccellam abstulerunt. »

Εἰς ἐσχάτην αὐτοὺς καταστήσαντες πενίαν τε καὶ τροφῆς ἔνδειαν· ὅπερ ἀπανθρωπίας ἐπίτασις, καὶ ἄκρα ὠμότητος καὶ ὑπερβαλλούσης ἀδικίας τεκμήριον.

Ad summam paupertatem et victus penuriam eos redegerunt; quod inhumanitatem intendit et D auget, summæque crudelitatis et injustitiæ maximæ signum est.

« Ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν. »

« In angustiis insidiati sunt inique. »

Περὶ τοὺς ἀμφικρήμνους λοχῶντες τόπους, ἵνα μὴ δύνωνται φεύγειν οἱ ἐνεδρευόμενοι· ἐν γὰρ ταῖς πλατείαις ἴσως που ἦν καὶ διαδρᾶναι τοὺς ἐπιβουλευομένους.

In præruptis locis insidias collocantes, ne evadere possint quibus insidiæ struuntur; in plateis enim et viis latioribus, qui insidiis petuntur effugere fortasse possent.

« Ὁδὸν δὲ δικαίαν οὐκ ᾔδεισαν. »

Vers. 11. « Et viam justam non noverunt. »

« Τουτέστιν, οὐκ ἠγάπησαν· τὸ γὰρ, *οὐκ ᾔδεισαν*, οὐκ ἄγνοιαν αὐτοῖς ἐστι μαρτυροῦντος, ἀλλὰ τὸ μὴ ἔχειν αὐτοὺς οἰκείως πρὸς τὴν τῶν δικαίων πολιτείαν διαβεβαιοῦντος.

Id est, non dilexerunt; illud enim, *non noverunt*, inscitiæ testimonium illis non perhibet, sed quod erga justorum conversationem benevolo animo affecti non essent, confirmat.

[16] Matth. x, 10.

Digitized by Google

« Hi de civitate et domibus propriis ejiciebantur. »

Rursus, omissis iis qui mala perpetrant, transit ad eos, qui patiuntur; illi enim ab improbis hominibus suis ædibus et urbibus ejiciebantur.

VERS. 12. « Anima vero parvulorum in gemitu valde fuit. »

Infantes justorum qui persecutiones passi sunt, parentibus orbati, ex imo corde flebiliter valde luxerunt, quia parentes non haberent a quibus alimentum ipsis subministrandum erat.

VERS. 13. « Ipse autem cur horum visitationem non fecit, cum super terram ipsi essent, et non agnoverunt. »

Rursus amicos quasi hæsitans alloquitur; si omnino propter peccata afflictiones eveniunt, cur eos qui hæc admiserunt, Deus sæpenumero in hac vita sine visitatione dimittit? qui quidem, quod supplicio affecti non fuerint, scelerum quæ committere ausi sunt, Deum visitatorem non agnoverunt.

« Et viam justitiæ non noverunt, neque semitas eorum ambulaverunt. »

Experientia, inquit, quid esset justitia non didicerunt, quoniam in ea non ambulaverunt, neque vitam ex ejus præscripto instituerunt; eam quippe viam ignoramus, in qua ne omnino quidem versati sumus, nec tempus ullum trivimus.

VERS. 14. « At qui novit eorum opera, tradidit eos in tenebras. »

Futurum judicium repræsentat, dicitque, Deum, exploratis et examinatis impiorum actionibus, tenebris eos traditurum. Solemne enim est sacræ Scripturæ, ea quæ nondum exsistunt, omnino tamen futura sunt, sæpenumero tanquam præsentia ob oculos ponere : prout hoc loco, *tradidit*, pro *tradet*, dixit. Fortasse etiam, dicendo, illos in tenebras traditum iri, non supplicium quod illic futurum est ostendit, sed mentis potius cæcitatem quam hic patiuntur, innuit. Dixit autem, *tradidit*, non quod Deus necessitate cogat et ad hoc impellat, absit; sed quia ex arbitrii voluntate, prout ipsis visum fuerit, incedere permittat : juxta illud : *Tradidit eos in reprobum mentem* [17]. Et : *Excæcavit oculos eorum* [18], *et cogitationes eorum* [19]; non quod ille hæc fecerit, sed quod permiserit.

VERS. 14-16. « Et noctu erit ut fur; et oculus adulteri observavit tenebras, dicens : Non considerabit me oculus, et operimentum faciei posuit. Suffodit in tenebris domus. »

Revertitur ad improbos rursus, dicitque, quod omnis qui prava operatur, lucem odio prosequatur, et quia tenebris digna facit, ac latere studet, noctem sceleris quod meditatur administram habeat. Fur igitur et adulter, vultum, quo quis dignoscitur, tenebris tanquam velo cooperiens, hic quidem muros, ille vero thorum alienum perfodit, *tegumentum ori*,

A « Οἱ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλοντο. »

Πάλιν τοὺς δρῶντας ἀφεὶς, ἐπὶ τοὺς πάσχοντας μεταβέβηκεν· οὗτοι γὰρ ὑπὸ τῶν παρανόμων ἐξηλαύνοντο ἐκ τῶν ἰδίων οἴκων καὶ πόλεων.

« Ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα. »

Τῶν δεδιωγμένων δικαίων τὰ βρέφη κάτωθεν ἐκ τοῦ τῆς καρδίας βάθους μεγάλως ἐστέναξεν ἐπὶ τῇ τῶν τεκόντων ἐρημίᾳ, ἢ διὰ τὸ μὴ εὐπορεῖν αὐτοῖς τοὺς γονεῖς μεταδοῦναι τροφῆς.

« Αὐτὸς δὲ διατί τούτων ἐπισκοπὴν οὐ πεποίηται, ἐπὶ γῆς ὄντων αὐτῶν, καὶ οὐκ ἐπέγνωσαν; »

B « Ὡς πρὸς τοὺς φίλους πάλιν διαπορῶν λέγει· Εἰ δι' ἁμαρτήματα πάντως αἱ κακώσεις, διατί τοὺς ταῦτα πράξαντας πολλάκις ἀνεπισκοπήτους εἶασεν ὁ Θεὸς ἐνταῦθα; διὸ μὴ παιδευθέντες, οὐδὲ ἐπέγνωσαν ὅτι ἐπισκοπὴν ποιεῖται τῶν παρ' αὐτοῖς τολμωμένων ὁ Κύριος.

« Ὁδὸν δὲ δικαιοσύνης οὐκ ἤδεισαν, οὐδὲ ἀτραποὺς αὐτῶν ἐπορεύθησαν. »

Τῇ πείρᾳ, φησὶν, οὐκ ἔμαθον τί ἐστι δικαιοσύνη, καθότι ἐν αὐτῇ οὐκ ἐβάδισαν, οὐδὲ ἐπολιτεύσαντο· ἐπεὶ καὶ ὁδὸν ἀγνοοῦμεν, ἐν ᾗ ὅλως μὴ διετρίψαμεν.

« Γνοὺς δὲ αὐτῶν τὰ ἔργα, παρέδωκεν αὐτοὺς εἰς σκότος. »

C Τὴν μέλλουσαν κρίσιν ἐμφαίνει, καί φησιν, ὅτι ἐξετάσας καὶ βασανίσας τὰς τῶν ἀσεβῶν πράξεις ὁ Θεὸς, παραδώσει αὐτοὺς τῷ σκότει. Ἔθος γὰρ τῇ θείᾳ Γραφῇ τὰ μηδέπω γενόμενα, ὀφείλοντα δὲ πάντως γενέσθαι, ὡς παρόντα πολλάκις ἐκτίθεσθαι· ὥσπερ κἀνταῦθα τὸ, *παρέδωκεν*, ἀντὶ τοῦ, παραδώσει, εἶπεν. Ἴσως δὲ οὐ τὴν ἐκεῖ κόλασιν δηλοῖ, εἰπὼν αὐτοὺς παραδοθῆναι εἰς σκότος, ἀλλὰ τὴν ἐνταῦθα τῶν φρενῶν πήρωσιν ᾐνίξατο. *Παρέδωκε* δὲ εἶπεν, οὐχ ὡς τοῦ Θεοῦ ἀναγκαστικῶς τοῦτο ποιοῦντος, μὴ γένοιτο· ἀλλὰ συγχωροῦντος αὐτοῖς διὰ τὸ αὐτεξούσιον, ὡς βούλονται, πορεύεσθαι. Τοιοῦτον καὶ τὸ, *Παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν*· καὶ τὸ, *Ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ τὰ* D *νοήματα αὐτῶν*· οὐχ ὅτι αὐτὸς ταῦτα ἔπραξεν, ἀλλ' ὅτι συνεχώρησεν.

« Καὶ νυκτὸς ἔσται ὡς κλέπτης· καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξε σκότος, λέγων· Οὐ προσνοήσει με ὀφθαλμὸς, καὶ ἀποκρυβὴν προσώπου ἔθετο. Διώρυξεν ἐν σκότει οἰκίας. »

Πάλιν ἐπὶ τοὺς φαύλους ἐπανατρέχει, καί φησιν, ὅτι πᾶς ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, τὴν δὲ νύκτα συνεργὸν ἔχει πρὸς τὸ σπουδαζόμενον, ἐπειδὴ καὶ σκότους ἄξια πράττει, καὶ σπουδάζει λαθεῖν. Καὶ κλέπτης οὖν καὶ μοιχὸς τῷ ζόφῳ, οἷόν τινι σκεπαστηρίῳ καλύψας τὸ πρόσωπον, ἀφ' οὗ ὁ γνωρισμὸς γίνεται, ὁ μὲν τοίχους, ὁ δὲ γάμους ἀλλοτρίους

[17] Rom. I, 28. [18] Joan. XII, 40. [19] II Cor. IV, 4.

Digitized by Google

διορύττει, *σκέπαστρον προσώπου*, κατὰ Σύμμαχον, *περιθέμενος*, τουτέστιν, ἐπιτηρῶν τὸ σκότος, ὡς ἐν τούτῳ σκεπασθησόμενος καὶ λησόμενος. Διατί δὲ οὐχὶ *κλέπτης*, ἀλλ', ὡς *κλέπτης*; ὅτι ἀνθρώπους μὲν ἔκλεπτε, Θεὸν δὲ οὐκ ἐλάνθανεν· ὡς οὖν πρὸς αὐτὸν, ὡς κλέπτης, ὡς δὲ πρὸς ἡμᾶς, κλέπτης. Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας, οὐ λήσεις δὲ Θεὸν, οὐδὲ λογιζόμενος.

A juxta Symmachum, *obtendens*, id est, tenebras observans, quasi iis tegendus, et in illis latendum sibi foret. Cur vero non dicit. *fur*, sed *ut fur?* quia homines quidem celavit, Deum autem non latuit; ejus enim respectu tanquam fur, nostri autem, fur revera censendus est : homines enim forte, absurdum aliquod et a ratione alienum committens, Deum vero ne cogitatione quidem concipiens, latere poteris.

« Ἡμέρας ἐσφράγισαν ἑαυτούς, οὐκ ἐπέγνωσαν φῶς, ὅτι ὁμοθυμαδὸν αὐτοῖς τὸ πρωῒ σκιὰ θανάτου, ὅτι ἐπιγνώσεται τάραχος [γρ. ταραχὰς] σκιᾶς θανάτου. »

« Per diem obsignaverunt seipsos, non cognoveverunt lucem, [Vers. 17] quia simul iis mane umbra mortis, quia cognoscet tumultus umbræ mortis. »

Ταῦτα σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος, Ὡς *ἐν σφραγῖδι κρύψουσιν ἑαυτούς*. Ἐὰν γένηται αὐτοῖς ὄρθρος, σκιὰ θανάτου· φωραθεὶς [*ἴσ.* φωραθέντες] γὰρ ἀνύπαρκτος ἔσται, σκιασθεὶς [*ἴσ.* ἀνύπαρκτοι ἔσονται, σκιασθέντες] θανάτῳ. Τοῦτο δὲ δοκεῖ λέγειν, ὅτι καὶ κλέπτης καὶ μοιχὸς ἐν νυκτὶ μὲν τολμῶσι τὰ ἄτοπα, ἡμέρας δὲ κρύπτονται, καὶ φεύγουσι τὸ φῶς· ἐὰν γὰρ φωραθῶσι, θάνατος αὐτοῖς εὐθὺς τὸ ἐπιτίμιον· καὶ ὁ ἁλοὺς τοιαύτας ἐπιγνώσεται καὶ ὑπομενεῖ ταραχὰς, καὶ οὕτω θορυβηθήσεται, ὡς καὶ πρὸ τοῦ θανάτου τῷ δέει μικροῦ ἀποθανεῖν· *σκιὰ γὰρ θανάτου* παρὰ τῇ Γραφῇ πολλάκις οἱ κίνδυνοι ὀνομάζονται, οἱ ἐγγὺς τοῦ θανάτου ἄγοντες. Οἱ τοίνυν κακοῦργοι, ἵνα μὴ ἁλόντας αὐτοὺς θάνατος καλύψῃ, κατακλείσαντες ἑαυτοὺς, ἐν ἡμέρᾳ προῖέναι δεδοίκασιν.

B Hæc Symmachus apertius interpretatus est : *Quasi in signaculo abscondent seipsos.* Si aurora iis illuxerit, umbra mortis est; deprehensi enim, morte inumbrabuntur, et ad nihilum redigentur. Hoc autem dicere videtur, quod fur et adulter noctu turpia et absurda aggredi audent, diurno autem tempore occultantur, et lucem fugiunt; si enim deprehendantur, mors illico pro supplicio illis infligitur : et qui deprehensus fuerit, tales animi perturbationes experietur et sustinebit, atque adeo conturbabitur, ut etiam ante mortem parum absit quin præ timore exstinguatur : pericula enim quæ prope mortem ducunt, sæpe numero in sacris Scripturis, *umbra mortis*, appellantur. Improbi igitur et scelesti, intus se clausos continentes, in publicum interdiu prodire metuunt, ne deprehensi morte obruantur.

« Ἐλαφρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος. »

C Vers. 18. « Levis est super faciem aquæ. »

Ὁ δὲ Σύμμαχος, *ἐπιπλέων ὕδατι*. Ὥσπερ, φησὶ, τὰ κοῦφα, τὰ ἐπιπολάζοντα καὶ ἐπιπλέοντα τῷ ὕδατι, ὑπὸ τῆς φορᾶς τῶν ὑδάτων εὐκόλως παρασύρεται· οὕτω καὶ πᾶς κακοῦργος ὑπὸ τῶν πειρασμῶν ἕλκεται, καὶ ῥᾳδίως ἐξαφανίζεται· οὐ γὰρ διασώσει κακουργία, καὶ ἀδικία, τὸ παρ' αὐτῆς. Εἶτα ὁ φιλόθεος Ἰὼβ οὐ διὰ τὴν ἀνοχὴν τοῦ Θεοῦ ἀνέχεταί τι πλέον ἔχειν ἀρετῆς κακίαν, ἀλλ' ἀραῖς βάλλει τὴν μερίδα τῶν ἀσεβῶν, καί φησι τὰ αὐτοῖς συμβησόμενα, ὡς ἐν εἴδει κατάρας, λέγων·

Symmachus vero, *supernatans aquæ*. Quemadmodum, inquit, levia corpora quæ in aquarum superficie supernatant, facile ab aquarum impetu quovis feruntur, ita improbus omnis a tentationibus huc illuc rapitur, et sine ullo negotio deletur et evanescit : improbitas enim ex seipsa et injustitia neminem servare poterit. Deinde Jobus Dei amans propter Dei patientiam et longanimitatem improbitatem virtuti præferri non patitur, sed impiorum sortem exsecratur, et sub forma exsecrationis, quæ illis eventura sunt, narrat, dicens :

« Καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς, ἀναφανείη δὲ τὰ φυτὰ αὐτῶν ἐπὶ γῆς ξηρά. »

« Maledicatur pars eorum super terram, et appareant plantæ eorum [Vers. 19] super terram D aridæ. »

Ὃ λέγει τοιοῦτόν ἐστιν· Ἐπειδὴ ἀλλοτρίους ἀγροὺς ἐθέρισαν, καὶ τοὺς αὐτῶν ἀμπελῶνας ἕτεροι ἀμισθὶ εἰργάσαντο, μὴ ὀναιντο τῶν οἰκείων, ἀλλ' ἄκαρπα καὶ ξηρὰ καὶ τὰ λῆια καὶ τὰ φυτὰ ἑαυτῶν εὕροιεν, τὴν ἐπὶ τῷ Κάϊν κατάραν δρεψάμενοι, τὴν φάσκουσαν, *Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου*, μὴ ἀμειβομένη τοὺς γεωργικοὺς ἱδρῶτας τῇ εὐφορίᾳ.

Quod dicit hujusmodi est; quandoquidem agros alienos demessuerunt, et alii sine mercede eorum vineas coluerunt, fructum nullum ex suis percipiant, sed segetes et plantas aridas et infrugiferas inveniant, exsecrationem Caini auferentes, quæ dicit : *Maledicta terra in operibus tuis* [10], frugum copia agriculturæ sudores nequaquam remunerans.

« Ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν. »

« Fasciculum enim pupillorum rapuerunt. »

Τοῖς θερίζουσιν ὀρφανοὶ πολλάκις ἑπόμενοι, καὶ τοὺς ἐκπίπτοντας συλλέγοντες στάχυας, εἰς ἀγκαλίδας δεσμεύουσι· φησὶν οὖν, ὅτι εἰς τοσοῦτόν τινες

Pupilli sæpenumero messores subsequentes, et spicas quæ decidunt corradentes, in fasciculos colligant : dicit igitur, quorumdam inhumanitatem in

[10] Gen. iv, 11, 12.

Digitized by Google

tantum excrevisse, ut etiam modicam pupillorum partem, qui egestatis causa spicilegium faciunt, violenter ab iis auferant.

A

Vers. 20. « Deinde rememoratum est peccatum ejus, et sicut nebula roris factus est non apparens. Retribuantur autem ei quæ fecit. »

Id est, impiorum peccata ad futuram memoriam scriptis mandata sunt : idcirco eorum supplicium evitari nulla ratione poterit, licet Deus impræsentiarum sua clementia supplicia differat. Quemadmodum enim, inquit, nebula quæ ex rore generatur, radiis solaribus splendentibus et aerem calefacientibus, calido humidum exhauriente, et vaporem consumente, evanescit : sic etiam divino judicio superveniente, impius acerba pravarum actionum præmia recipiens, consumitur, et in nihilum redigitur. David etiam huic simile in Psalmis de impio canit : *Quæretur* enim, inquit, *peccatum ejus, et non invenietur* [21], quia, videlicet, exterminatur.

Vers. 21. « Et conteratur sicut lignum insanabile omnis iniquus. »

Lignum insanabile vocat, quod postquam semel confractum fuerit, curam nullam admittit ut sanari possit, sed inutile in posterum manet. Qui in injustia, inquit, perseverat, instar hujus ligni confringetur ; cum enim dicit : *flectibuntur si*, et, *conteratur*, non imprecatur justus, sed id quod omnino eventurum est, dicit ; unusquisque enim secundum opera sua recipiet.

Vers. 21, 22. « Sterili enim non fecit bene, et mulierculæ misertus non est ; furore autem evertit impotentes. »

Sterilem et mulierculam nominavit, ut eas significaret quibus misericordia debetur : et *sterilem* quidem, propter liberorum orbitatem ope destitutam, *mulierculam* vero, propter naturæ imbecillitatem auxilio indigentem ; sexus enim femineus imbecillis et contemptibilis est. His etiam majus malum addidit, infirmorum in furore attritionem et afflictionem : non enim, inquit, ex rationabili aliqua causa, sed animi belluino impetu, furore incitato, impotentes et auxilio destitutos evertit, et ad summam paupertatem redegit.

« Consurgens ergo non credat contra vitam suam. »

Malam conscientiam ejus qui improbitatem operatur, hoc loco ostendit : Sic, inquit, conscientia sua eum condemnat, ut singulis diebus tanquam moriendum sibi sit, animo afficiatur : surgens enim quotidie de vita sua desperat, et perpetuo metu ac terrore percellitur ; metus enim nihil aliud est, quam auxiliorum quæ a ratione proficiscuntur defectus et frustratio.

Vers. 23, 24. « Cum infirmari cœperit, non speret sanitatem, sed cadet morbo : multis enim nocuit altitudo ejus. »

[21] Psal. IX, 35.

ἀπανθρωπίας ἐληλάκασιν, ὡς καὶ τὴν τῶν καλαμωμένων δι' ἀπορίαν ὀρφανῶν μερίδα μετρίαν ἁρπάζειν.

« Εἶτ' ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία, ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφαν�ὴς ἐγένετο. Ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν. »

Τουτέστιν, Εἰς μνήμην ἐγράφη τὰ τῶν ἀσεβῶν ἁμαρτήματα· διὸ καὶ ἀναπόδραστος αὐτοῖς ἔσται ἡ τιμωρία, εἰ καὶ ἐν τῷ τέως ὁ Θεὸς διὰ χρηστότητα τὰς κολάσεις ὑπερτίθεται. Ὥσπερ οὖν, φησι, ἡ ἐκ τῆς δρόσου συμβαίνουσα ὁμίχλη, ἡλιακῆς ἀκτῖνος ἐπιλαμφάσης, καὶ τὸν ἀέρα διαθερμανάσης, ἀφανὴς γίνεται, ἀνιμωμένου τοῦ θερμοῦ τὸ ὑγρὸν, καὶ ἀναλίσκοντος τὴν ἰκμάδα· οὕτω καὶ τῆς θείας δίκης ἐπελθούσης, ὁ ἀσεβὴς ἀναλίσκεται καὶ ἀφανίζεται, ἀπολαμβάνων πικρὰ τὰ τῶν πονηρῶν πράξεων ἐπίχειρα. Τοιοῦτόν τι περὶ τοῦ ἀσεβοῦς καὶ Δαβὶδ ψάλλει, *Ζητηθήσεται* γὰρ, φησὶν, *ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ*, ἀφανιζόμενος[d] δηλαδή.

B

« Συντριβεὶη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ. »

[d] *Ισ.* ἀφανιζομένου.

· Ἀνίατον λέγει ξύλον, ὃ μετὰ τὴν συντριβὴν θεραπείαν οὐκ ἐπιδέχεται ὥστε ὑγιασθῆναι, ἀλλ' ἄχρηστόν ἐστι λοιπόν. Τούτῳ, φησὶν, ὁμοίως καὶ ὁ τῇ ἀδικίᾳ ἐπιμένων συντριβήσεται· λέγων γὰρ, *Ἀποδοθείη αὐτῷ*, καὶ, *συντριβείη*, οὐκ ἐπαρᾶται ὁ δίκαιος, ἀλλὰ τὸ ἐσόμενον πάντως λέγει· ἕκαστος γὰρ κομιεῖται πρὸς ἃ ἔπραξεν.

C

« Στεῖραν δὲ οὐκ εὖ ἐποίησε, καὶ γύναιον οὐκ ἠλέησε· θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους. »

Στεῖραν ἔφη καὶ *γύναιον*, ἵνα εἴπῃ τὰς οἴκτου ἀξίας· *στεῖραν* δὲ, τὴν δι' ἀπαιδίαν ἀβοήθητον· *γύναιον*, τὸ διὰ τὴν φύσιν ἐπικουρίας δεόμενον· ἀσθενὲς γὰρ τὸ θῆλυ καὶ εὐκαταφρόνητον. Προσέθηκε δὲ τούτοις καὶ τὸ μεῖζον κακὸν, τὴν μετὰ ὀργῆς συντριβὴν τῶν ἀσθενῶν. Οὐ γὰρ ἔκ τινος, φησὶν, αἰτίας εὐλόγου, ἀλλὰ ψυχῆς ἀλόγῳ κινήματι, τῷ θυμῷ χρώμενος, κατέστρεψε καὶ εἰς παντελῆ περιέστησεν ἀπορίαν τοὺς ἀδυνάτους καὶ ἀνεπικουρήτους.

D

« Ἀναστὰς ταγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς. »

· Τὸ δυσσυνείδητον ἐνταῦθα τοῦ τὴν κακίαν ἐργαζομένου δηλοῖ. Οὕτω γὰρ, φησὶ, καταγινώσκει αὐτοῦ ἡ συνείδησις, ὅτι καθ' ἑκάστην ὡς τεθνηξόμενος οὕτω διάκειται· ἀεὶ γὰρ ἀνιστάμενος, οὐκ ἐλπίζει ζήσεσθαι, ἀλλὰ μένει δεδοικὼς, καὶ περίφοβος ὢν· οὐδὲν γὰρ ἔστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων.

« Μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ· πολλοὺς γὰρ ἐκάκωσε τὸ ὕφωμα αὐτοῦ. »

VARIÆ LECTIONES.

Digitized by Google

· Κἂν ἐκ νόσου, φησὶν, ἀναστῇ ὁ μοχθηρὸς, ἄ- A πιστον ἡγεῖται καὶ ξενίζον τὸ πρᾶγμα· καραδοκεῖ γὰρ διὰ τὰς πράξεις αὐτοῦ τὸν θάνατον· κἂν μαλακισθῇ, δύσελπίς ἐστι, καὶ οὐδὲν χρηστὸν προσδοκᾷ, ἀλλ' ὑπὸ τῆς ἰδίας συνειδήσεως βαλλόμενος, ἀποθανεῖσθαι οἴεται πάντως. Τὸ δὲ αἴτιον τοῦ οὕτως αὐτὸν διακεῖσθαι καὶ τοιαῦτα φαντάζεσθαι, ὅτι ὑψωθεὶς, καὶ δόξαν ἔχων καὶ δυναστείαν, εἰς κάκωσιν ἑτέρων τῇ ἰσχύϊ ἐχρήσατο.

« Ἐμαράνθη δὲ ὥσπερ μολόχη ἐν καύματι ἢ ὥσπερ στάχυς ἀπὸ καλάμης αὐτόματος [γρ. αὐτομάτως] ἀποπεσών. »

· Τὸ, *ἐμαράνθη*, ἀντὶ τοῦ, *μαρανθήσεται.* Ἕτερα δὲ τῶν ἀντιγράφων, ἀντὶ τοῦ· *ὥσπερ μολόχη, ὥσπερ χλόη*, ἔχουσι· κατὰ τὸ, *Ὡσεὶ λάχανα* B *χλόης ταχὺ ἀποπεσοῦνται.* Μαραίνεται δὲ ἄσταχυς ἐκτιναχθεὶς ἀπὸ τῆς φερούσης αὐτὸν καλάμης, καὶ μηκέτι τὴν ἐκεῖθεν ἰκμάδα καὶ πιότητα ὑφ' ἧς ἐτρέφετο, δεχόμενος· ἀπόλλυται δὲ καὶ ὁ ἀσεβὴς, τῆς ἀρδούσης αὐτὸν καὶ θάλλειν ποιούσης εὐημερίας ἐκπεπτωκώς. Κάλλιστα δὲ εἴρηται τὸ, *αὐτομάτως ἀποπεσών*, ἑκάστῳ γὰρ ἡ ἰδία ἁμαρτία τιμωρὸς γίνεται.

« Εἰ δὲ μὴ, τίς ἐστιν ὁ φάμενος ψευδῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου; »

· Ἐγὼ μὲν, φησὶ, ταῦτα δοξάζω περὶ τῆς τῶν ἀσεβῶν καὶ ἀδίκων ἀπωλείας, καὶ τῆς δικαίας τοῦ Θεοῦ ἀνταποδόσεως· εἰ δὲ ψευδῆ τὰ εἰρημένα, καὶ C παραστοχάζομαι τῆς ἀληθείας, ὁ βουλόμενος παρελθέτω, καὶ ἐλεγξάτω τὸν λόγον, καὶ ἀκυρωσάτω. Τί δὲ ἐκ τῶν εἰρημένων εἰσάγει; ὅτι περιττῶς ἐκ τῶν συμφορῶν ἀσέβειαν αὐτοῦ οἱ φίλοι καταψηφίζονται, καταλιπόντες τὴν ἐκ τῶν ἔργων ἐξέτασιν.

ΚΕΦ. ΚΕ'.

Προθεωρία.

Ὥσπερ ὁ Ἐλιφὰζ, ἀπορήσας πρὸς τὰ προβληματικῶς ὑπὸ τοῦ Ἰὼβ εἰρημένα, οὐκ εὐθυδικίαν ἠγωνίσατο, ἀλλ' ἐπὶ τὰς κατὰ τοῦ δικαίου διαβολὰς ἔτρεψε τὸν λόγον· οὕτω καὶ Βαλδὰδ οὐκ ἔχων ἐλέγχειν τοῦ Ἰὼβ τοὺς λόγους, μετοχετεύει τὴν ἀπολογίαν, καὶ ὡς ἐπαιρόμενον κατὰ Θεοῦ, καὶ μέγα D φρονοῦντα ἐπὶ τῇ οἰκείᾳ θεοσεβείᾳ διαβάλλει, θαυμαστῶς μὲν τὰ περὶ Θεοῦ φιλοσοφῶν, ἐξευτελίζων δὲ τὴν ἀνθρώπου φύσιν, καὶ μηδὲν τῶν καθαρωτάτων καθαρὸν εἶναι διοριζόμενος, συγκρίσει τῆς θείας καθαρότητος.

« Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης, λέγει, Τί γὰρ προοίμιον ἢ φόβος παρ' αὐτοῦ; »

Τάχα δὲ καὶ τοιοῦτόν τι αἰνίττεται· Ἐπειδὴ, φησὶ, μέγα φρονεῖς ἐπὶ θεοσεβείᾳ, μάνθανε ὡς ἀρχὴ

Scelestus, inquit, si ex morbo convaluerit, rem incredibilem esse et peregrinam existimat; mortem enim propter suas actiones cum angore animi præstolatur : et si morbo corripiatur, spem omnem abjicit, nec boni quidquam exspectat, sed læsa et vulnerata conscientia moriendum sibi omnino arbitratur. Cur autem animo sic afficiatur, et talia sibi fingat, causa est quia, supra alios elatus, et gloria ac potestate pollens, viribus suis ad aliorum afflictionem usus fuerit.

« Emarcuit autem sicut malva in æstu, aut sicut de stipula spica decidens sponte sua. »

Illud, *emarcuit*, pro *marcescet*, dictum est. Alia autem exemplaria pro, *sicut malva*, habent, *sicut herba;* juxta illud : *Sicut olera herbarum cito decident* [22]. Spica autem excussa e culmo qui eam sustinebat, nec humoris ac pinguedinis quibus nutriebatur, amplius particeps, marcescit : interit etiam impius, cum felicitate, quæ eum irrigabat et virere faciebat, exciderit. Appositissime autem dictum est, *sponte sua decidens;* unicuique enim peccatum proprium vindex et carnifex est.

Vers. 25. « Alioquin quis est qui loquatur mendacium me dicere, et ponet in nihilum verba mea? »

Hæc, inquit, de impiorum et injustorum hominum destructione, et de justa Dei retributione, mea est opinio : si autem falsa sunt quæ a me dicuntur, et a veritate conjectura aberro, prodeat qui voluerit in medium, sermonem meum redarguat, et irritum faciat. Quid autem est quod ex iis quæ dicta sunt infert? quod relicta operum examinatione, amici eum ex calamitatibus supervacanee impietatis condemnassent.

CAP. XXV.

Protheoria.

Quemadmodum Eliphazus, cum respondere iis non posset quæ a Jobo problematice allata erant, non recto et incorrupto judicio cum eo contenderat, sed ad convicia et criminationes contra justum orationem converterat; ita etiam Baldadus, cum Jobi sermones reprehendere non posset, mirabiliter quidem de Deo philosophando, et naturam humanam vilipendendo, nihilque eorum quæ purissima sunt, si cum divina puritate comparetur, purum esse affirmando, apologiam alio transfert, et Jobum, tanquam contra Deum insolenter se efferret, ac de sua erga Deum pietate superbe nimis gloriaretur, insectatur.

Vers. 1, 2. « Respondens autem Baldad Sauchites, ait, Quid enim exordium quam timor ab eo? »

Fortasse etiam tale quid innuit : Quandoquidem de pietate tua erga Deum gloriaris et superbis, Dei

[22] Psal. xxxvi, 2.

Digitized by Google

timorem omnis virtutis initium esse, disce; tu autem timore abjecto loqueris : qui igitur cultus divini initium et primordia non es assecutus, quomodo de aliis ejus partibus gloriari potes? Observa autem quod non dixerit *timor ejus*, sed, *timor ab eo* : ejus enim timor opus est nostrum, a libertate arbitrii nostri promanans; qui autem ab eo est, donum ejus et gratia est, quæ supplet quod in nobis deficit.

« Qui facit universitatem in altissimo. »

Id est, in abdito, neminem cooperarium habens. Ut Jobo autem terrorem inculteret, prout arbitratur, Dei potestatem enarrat, dicitque quod Deus super omnia exsistens, in altissimis cuncta fabricatus sit. Vel illud, *in Altissimo*, id est, *in Filio; omnia enim per eum facta sunt* [18].

Vers. 3. « Nemo enim putet esse moram piratis. »

Piratæ proprie loquendo sunt qui, ut aliis damnum inferant, mare navigant, et in eo prædantur. In summa autem hoc dicit : Nemo existimet Deum, licet diu patienter ferat, in perpetuum impiorum supplicia dilaturum; sed instar insidiantium potius eos invasurum, ita ut nemini ex iis vindictam divinam effugere liceat. Unde subjungit :

« In quos autem non venient insidiæ ab eo? »

Symmachus autem pro illo : *Non est mora piratis*, transtulit, *Nunquid est numerus exercituum ejus?* et pro illo, *insidiæ ab eo*, ut Dei vires et potestatem magis declararet, *mandata*, reddidit. Ac si diceret : Innumeros exercitus sibi militantes et famulantes habet, qui mandata ab eo accipiunt, et ad supplicium de impiis sumendum mittuntur.

Vers. 4. « Quomodo enim erit homo justus coram Deo? vel quisnam mundaverit se natus ex muliere? »

Symmachus autem : *Quo pacto sine sordibus erit natus ex muliere?* Licet, inquit, humano judicio multi æstimentur justi, Dei tamen oculo, qui cuncta intuetur, nemo justus est, nemo qui se purum esse affirmare potest. Impossibile enim est, cum Deum qui cuncta oculis cernit celare non possimus, quin quorumdam delictorum rei deprehendamur; siquidem cogitationum, verborum et actionum rationem reddituri sumus.

Vers. 5, 6. « Si lunæ præcipit, et non lucet, nec stellæ sunt mundæ apud eum : sine vero, homo putredo, et filius hominis vermis. »

Hæc dicit, non ut naturam nostram vilem esse ostendat, sed ut Deum extollat, et potentiam ejus demonstret. Si enim, inquit, lunæ imperare potest, quo minus lumen ejus fulgeat; et sidera, licet splen-

πάσης ἀρετῆς ὁ θεῖος τυγχάνει φόβος· σὺ δὲ ἀφόβως διαλέγῃ· ὁ τοίνυν τὸ προοίμιον τῆς θεοσεβείας μὴ κτησάμενος, πῶς τοῖς ἄλλοις αὐτῆς μέρεσι σεμνύνεσθαι δύναται [e]; Ὅρα δὲ, οὐκ εἶπε, *φόβος αὐτοῦ*, ἀλλὰ, *παρ' αὐτοῦ*· ὁ μὲν γὰρ αὐτοῦ φόβος ἔργον ἡμέτερον, ἐκ τοῦ ἐφ' ἡμῖν ἐρχόμενος· ὁ δὲ παρ' αὐτοῦ, χάρις καὶ δωρεά ἐστιν αὐτοῦ, τὸ λοιπὸν ἡμῖν ἀναπληροῦσα.

« Ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ. »

Τουτέστιν, ἐν ἀπορρήτῳ, μετ' οὐδενὸς συσκοπίσας [γρ. συγκοπήσας· ἴσ. συγκοπιάσας]. Εἰς φόβον δὲ ἐνάγων, ὡς οἴεται, τὸν Ἰώβ, τοῦ Θεοῦ τὴν δύναμιν ἐξηγεῖται, καί φησιν, ὅτι ὁ Θεὸς ὑπεράνω πάντων ὤν, καὶ ἐν τοῖς ὑψίστοις τὰ πάντα ἐδημιούργησεν. Ἢ τὸ, *ἐν Ὑψίστῳ*, ἀντὶ τοῦ, *ἐν τῷ Υἱῷ· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.*

« Μὴ γάρ τις ὑπολάβοι, ὅτι ἐστὶ παρέλκυσις πειραταῖς. »

Πειρατὰι κυρίως εἰσὶν οἱ τὴν θάλασσαν πρὸς βλάβην ἑτέρων πλέοντες, καὶ ληστεύοντες. Καθόλου οὖν φησιν, ὅτι Μηδεὶς ἐννοείτω ὡς εἰς τέλος, κἂν ἐπιπολὺ διαμένει Θεὸς, ὑπερτιθέμενος τὰς κατὰ τῶν ἀδίκων τιμωρίας· ἀλλ' ὥσπερ οἱ ἐνεδρεύοντες, οὕτως αὐτοῖς ἐπέρχεται, καὶ οὐκ ἔστι τινὰ τῶν ἀσεβῶν τὴν θείαν διαφεύγειν δίκην. Ὅθεν ἐπάγει·

« Ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἐνέδρα παρ' αὐτοῦ; »

Ὁ δὲ Σύμμαχος, ἀντὶ μὲν τοῦ, *Μή ἐστι παρέλκυσις πειραταῖς, Μή ἐστιν ἀριθμὸς τῶν στρατιῶν αὐτοῦ*, ἐξέδωκεν· ἀντὶ δὲ τοῦ, *ἐνέδρα παρ' αὐτοῦ, ἐπιτάγματα*, εἰς ἔμφασιν τῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἐξουσίας· μονονουχὶ λέγων, Ἀναριθμήτους ἔχει τὰς λειτουργούσας αὐτῷ στρατιὰς, τὰς δεχομένας παρ' αὐτοῦ ἐπιτάγματα, καὶ ἀποστελλομένας εἰς κόλασιν τῶν ἀσεβῶν.

« Πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἐναντι Κυρίου; ἢ τίς ἂν ἀποκαθαρίσαι αὐτὸν γεννητὸς γυναικός; »

Ὁ δὲ Σύμμαχος, *Διὰ τίνος ἄῤῥυπος ἔσται τεχθεὶς ὑπὸ γυναικός;* Εἰ καὶ τῇ ἀνθρωπίνῃ, φησὶ, κρίσει πολλοὶ νομίζονται δίκαιοι, ἀλλά γε τῷ παντεπισκόπῳ Θεοῦ ὀφθαλμῷ οὐδεὶς δίκαιος, οὐδεὶς δυνάμενος εἰπεῖν, ὅτι Καθαρός εἰμι. Ἀμήχανον γὰρ μὴ ἔν τισι γενέσθαι παραπτώμασιν, ὅπουγε καὶ ἐνθυμημάτων, καὶ λόγων, καὶ πράξεων εὐθύνας ἀπαιτούμεθα, τὸν πάντα ἐφορῶντα Θεὸν λαθεῖν οὐ δυνάμενοι.

« Εἰ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσκει, ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ· ἔα δὲ, ἄνθρωπος σαπρία, καὶ υἱὸς ἀνθρώπου σκώληξ. »

Ταῦτα λέγει, οὐ τὴν ἡμετέραν φαυλίζων φύσιν, ἀλλὰ τὸν Θεὸν ὑψῶν, καὶ τὴν αὐτοῦ δεικνὺς δύναμιν. Εἰ γὰρ τῇ σελήνῃ, φησὶν, ἐπιτάσσειν δύναται, ὥστε τὸ οἰκεῖον μὴ ἐκλάμπειν σέλας, καὶ τὰ ἄστρα οὐ κα-

[18] Joan. I, 3.

VARIÆ LECTIONES.

[e] Ἴσ. δύνασαι.

Digitized by Google

θαρὰ ὡς πρὸς τὴν θείαν καθαρότητα, καίπερ ὄντα λαμπρά· οὐ πολιτείας λόγῳ, ἀλλ' ὡς πρὸς τὴν ἀξίαν τοῦ πεποιηκότος, καὶ οὐδὲν τῶν ποιημάτων μέγα φρονεῖν ἐπὶ καθαρότητι δύναται[f]· πόσῳ μᾶλλον ἄνθρωπος, σαπρίας οὐδὲν διαφέρων καὶ σκωλήκων; Εἰ γὰρ τὸ τῶν ἄστρων φῶς, καθαρώτερον ὂν τοῦ ἀνθρακώδους καὶ παρ' ἡμῖν, οὐ καθαρὸν πρὸς τὴν θείαν καθαρότητα, περιττὸν λογίσασθαι περὶ ἀνθρώπου· ὅλος γάρ ἐστι σαπρία, καὶ ὡς σκώληξ περὶ τὴν σαπρίαν εἱλούμενος· ἔγκειται γὰρ ἡ διάνοια τοῦ ἀνθρώπου ἐκ νεότητος ἐπιμελῶς ἐπὶ τὰ πονηρά. Ταῦτα δὲ εἶπεν, ἐκ τοῦ περιόντος κατασκευάζων τὸν λόγον, καὶ πλήττων τὸν Ἰὼβ ὡς ἐπὶ καθαρότητι σεμνυνόμενον.

A dida existiant, respectu puritatis divinæ pura non sint; nec ulla creatura, si cum dignitate Creatoris comparetur, sed ne conversationis quidem ratione, de puritate gloriari et superbire possit; quanto minus homo, putredine et vermibus nihilo præstantior? Si enim astrorum lumen, ignis lumine qui apud nos est et carbonibus fit, multo purius, cum puritate divina collatum, purum non est, de homine cogitare plane supervacaneum: totus enim putredo est, et instar vermis in putredine volutatur; ab ineunte namque adolescentia mens hominum in ea quæ mala sunt omni studio incumbit. Hæc autem ideo dixit, ut sermonem suum copiosius astrueret, et Jobum, quod de sua puritate gloriaretur, acrius pungeret.

ΚΕΦΑΛ. ΚΣ'.

Προθεωρία.

Ἐπειδὴ περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως ὁ Βαλδὰδ διειλέχθη, οἷά τις Θεοῦ συνήγορος· πρὸς τοῦτο ὁ μακάριος Ἰὼβ ἀπαντᾷ, καί φησι, Τί συνηγορεῖν σπουδάζεις Θεῷ, ὡς δεομένῳ τῆς ἐκ λόγων κατασκευῆς, ἵνα δειχθῇ σοφὸς καὶ δυνατός; Εἶτα ἵνα δείξῃ, ὅτι κάλλιον αὐτῶν καὶ ὑψηλότερον δοξάζει τὰ περὶ Θεοῦ, περὶ τῆς αὐτοῦ σοφίας διεξοδικώτερον διαλέγεται, καὶ τὴν ἀκατάληπτον αὐτοῦ ὑμνεῖ δύναμιν, καὶ προφητεύει περὶ τοῦ Μονογενοῦς, καὶ τὴν τυραννικὴν τοῦ διαβόλου προλέγει καθαίρεσιν. Ταῦτα δὲ προοιμιασάμενος, φησὶν, ὅτι Ἀμήχανόν με, πᾶν ὅ τι ἂν πάθω, ἄνομα λαλῆσαι περὶ Θεοῦ, ἕως ἂν εἰς θάνατον φθάσω· καὶ ὅρκῳ πιστοῦται τὴν ὑπόσχεσιν. Εἶτα καὶ μετὰ καθαρᾶς συνειδήσεως παῤῥησιασάμενος, λέγει, ὅτι αὐτὸς μὲν οὐδὲν σύνοιδεν ἄτοπον ἑαυτῷ πράξαντι, διαλήψεται δὲ ἡ θεία δίκη τοὺς ἀσεβεῖς. Καὶ πάλιν ἀναλαμβάνει περὶ τῆς θείας σοφίας, τῆς ἐν τοῖς δημιουργήμασι φαινομένης, καὶ ἐν τοῖς λογικοῖς κατεσπαρμένης· καὶ τὸ σοφὸν εἶναι πάντων ἀποφαίνει τιμιώτερον. Πολλὰ δὲ περὶ τῆς Θεοδωρήτου ταύτης σοφίας διεξελθὼν, καὶ ὡς οὐδὲν αὐτῇ παραβληθήσεται διδάξας, καὶ τοῦτό φησιν, ὡς τὸ μὲν τῆς σοφίας κλέος εἰς πάντας διαδίδοται, τοὺς δὲ περὶ αὐτῆς λόγους εὑρεῖν ἀμήχανον· καὶ μάθημα παραδίδωσι κάλλιστον, ὅτι ἀρκεῖ ἀνθρώπῳ εἰς τὸ εἶναι σοφὸν, οὐ τὸ ζητεῖν τὰ ἀνεξερεύνητα, ἀλλὰ τὸ θεοσεβεῖν, καὶ παντὸς εἴδους κακίας ἀπέχεσθαι· καὶ ταύτην ἀνάληψιν σοφίας καὶ ἐπιστήμης εἶναι ὁρίζεται. Ταῦτα δὲ διεξῆλθεν, ὁμοῦ μὲν τὰ περὶ Θεοῦ δοξάζων καλῶς, ὁμοῦ δὲ καὶ τοὺς φίλους πείθων μὴ πάντως οἴεσθαι δι' ἁμαρτίας αὐτὸν πάσχειν, ἀλλὰ τοὺς περὶ τῶν τοιούτων λόγους τοῖς ἀνεξιχνιάστοις τοῦ Θεοῦ καταλιμπάνειν κρίμασιν.

B

CAP. XXVI.

Protheoria.

Quoniam Baldadus, tanquam qui Dei patrocinium suscipere vellet, de Dei sapientia et potentia disseruerat; huic beatus Jobus occurrens, dicit: Cur Deo patrocinari contendis, quasi ad manifestandam sapientiam et potentiam ejus, verborum ullo apparatu indigeret? Deinde, ut ostendat se de Deo sanius et sublimius sentire, de Dei sapientia copiosius disserit, potestatem ejus incomprehensibilem laudibus prædicat, de unigenito ejus Filio vaticinatur, et tyrannicam ac crudelem diaboli destructionem prædicit. Hæc præfatus, impossibile sibi esse asserit, quidquid demum patiatur, de Deo flagitiosum aliquid proferre, quoad vixerit; ac juramento quod pollicetur confirmat. Deinde pura ac intemerata conscientia fretus, libere loquitur, quod nullius quidem sceleris a se commissi sibi conscius esset; et quod impios divina vindicta interceptura et comprehensura sit. Ac rursus de divina sapientia quæ in operibus ejus elucet, et in ratione præditis insita est, verba facit; ac sapientia præditum esse, reliquis omnibus præstantius et honorificentius esse ostendit. Cumque de sapientia divinitus largita pluribus egisset, nihilque cum ea comparandum esse docuisset, hoc etiam addit, quod sapientiæ gloria late sparsa, ad omnes pervenerit, impossibile tamen sit rationes ejus invenire: ac documentum optimum tradit, quod homini sufficiat ut sapiens evadat, si investigabilia minime indaget, sed Deum religiose colat, et ab omni improbitatis genere abstineat; atque hanc sapientiæ et scientiæ perceptionem esse definit. Hæc autem ideo sermone prosecutus est, partim ut de Deo se recte sentire ostenderet, partim etiam ut amicis persuaderet, ne omnino propter peccata se pati adversa existimarent, sed rerum ejusmodi causas inscrutabilibus Dei judiciis relinquerent.

C

D

Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει, Τίνι προσκεισαι, ἢ τίνι μέλλεις βοηθεῖν; πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς,

Vers. 1-4. Respondens autem Job, ait: Cui ades, vel quem adjuturus es? nunquid non cui

VARIÆ LECTIONES.

[f] *Ισ.* καὶ οὐδὲν τῶν ποιημάτων, ὡς πρὸς τὴν ἀξίαν τοῦ πεποιηκότος, ἀλλ' οὐδὲ πολιτείας λόγῳ, μέγα φρονεῖν ἐπὶ καθαρότητι δύναται.

Digitized by Google

multa est fortitudo, et cui brachium potens est? Cui consilium dedisti? nonne cui omnis sapientia? Quem insequeris? nonne cui maxima est virtus? Cui annuntiasti verba? spiramen autem cujus est quod exit ex te? »

A καὶ ᾧ βραχίων κραταιός; ἐστι; Τίνι συμβεβούλευσαι; οὐχ ᾧ πᾶσα σοφία; Τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις; Τίνι ἀπήγγειλας ῥήματα; πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ; »

Cuinam, inquit, vires tuas communicas, et teipsum partibus ejus adjungis? vel cui patrocinari contendis, tanquam tuo auxilio indigeret? Apage, homo; Deum nullius indigum, omnipotentem, nec non omniscium esse, omnes novimus. Cur igitur, ac si cum eo consilia communicasses, verbis eum defendere studuisti? *Cui consilium dedisti?* Num illum rerum aliquarum imperitum et ignarum docere potes? Quem insequi properas, tanquam subsidium aliquod illi laturus? nonne eum qui potentia omni et robore præditus est? cui sapientiam tuam ostentasti, ac tam multa verba effudisti? An ignoras quod etiam loqui posse et respirare, Dei beneficio tibi concessum sit? Aer autem et spiritus, respirationis simul et vocis causa est: aerem enim ducentes respiramus, et cum loqui volumus, idem aer percussus, vox fit. Jobus igitur Baldado congruenter et apposite dixit: Ut, scilicet, a partibus ejus qui spiritum tibi largitus est, et qui te animavit, stares, et patrocinium susciperes, verba illi fenerasti.

Τίνι τὴν παρὰ σαυτοῦ, φησὶ, δύναμιν εἰσφέρεις, καὶ τῇ αὐτοῦ σαυτὸν συντάσσεις μερίδι; Ἢ τίνι συνηγορεῖν σπουδάζεις, ὡς δὴ τῆς σῆς ἐπικουρίας δεομένῳ; Ἄπαγε, ὦ ἄνθρωπε· ἅπαντες ἴσμεν, ὡς ἀνενδεής τε καὶ παντοδύναμός ἐστιν ὁ Θεὸς, καὶ μέντοι καὶ πάνσοφος. Τί οὖν, ὡς κοινωνῶν αὐτῷ τῶν βουλευμάτων, τοὺς ὑπὲρ αὐτοῦ ποιεῖσθαι λόγους ἐσπούδασας; *Τίνι συμβεβούλευσαι;* Μήτοι οἷός τε εἶ διδάσκειν αὐτὸν οὐκ εἰδότα; Τίνι δὲ ἕπεσθαι σπεύδεις, ὡς δή τινα συμμαχίαν εἰσοίσων; οὐ τῷ παντοδυνάμῳ B καὶ πανσθενεῖ; Ἐπὶ τίνος δὲ τὴν σαυτοῦ σοφίαν ἐπεδείξω, καὶ τὰ τοσαῦτα ἐξέχεας ῥήματα; οὐκ οἶσθα ὅτι καὶ αὐτὸ τὸ λαλεῖν καὶ τὸ ἀναπνεῖν ἐκ Θεοῦ λαβὼν ἔχεις; Ἀὴρ δὲ καὶ πνεῦμά ἐστι τό τε τῆς ἀναπνοῆς, καὶ τὸ τῆς φωνῆς αἴτιον· σπῶντες γὰρ τὸν ἀέρα ἀναπνέομεν, καὶ ὅταν λαλῆσαι θελήσωμεν, ὁ αὐτὸς ἀὴρ πληττόμενος φωνὴ γίνεται. Προσφυῶς οὖν εἶπεν ὁ Ἰὼβ πρὸς τὸν Βαλδάδ, ὅτι Τῷ δόντι σοι τὴν πνοὴν, τῷ ψυχώσαντί σε, τοὐτῳ ἐδάνεισας τὰ ῥήματα, αὐτῷ δῆθεν συνεπιστάμενος καὶ συνηγορῶν.

Vers. 5. « Nunquid gigantes formabuntur subter aquam, et vicinos ejus? »

« Μὴ γίγαντες μαιωθήσονται ὑποκάτωθεν ὕδατος, καὶ τῶν γειτόνων αὐτοῦ [g]; »

Cum Deus olim terram, tanquam corruptam et fœdatam, diluvio purgaret, viros illos qui bellum ei inferebant et gigantes vocabantur, aquis submersit. Dicit igitur, gigantes illos, vel illis vicinos, id est, improbitate similes, non posse semel deletos obstetricis opera rursus lucem aspicere, et suis viribus seipsos resuscitare. Num illis, inexpugnabili Dei potestati et consilio repugnasse ac restitisse, magnæ vires quidquam profuerunt? illi enim neque alios, neque seipsos morti eripere, ac vitæ restituere poterant; Deus vero mortuos potenter resuscitat.

Πάλαι καθαίρων ὁ Θεὸς τὴν γῆν τῷ κατακλυσμῷ C ὡς κατεφθαρμένην, τοὺς θεομάχους ἐκείνους ἄνδρας, τοὺς καλουμένους κατέκλυσε γίγαντας. Φησὶν οὖν, ὅτι μὴ δύνανται ἐκεῖνοι οἱ γίγαντες, ἢ οἱ γείτονες αὐτοῖς, τουτέστιν, οἱ ὅμοιοι αὐτοῖς κατὰ τὴν κακίαν, ἀφανισθέντες αὖθις μαιωθῆναι, καὶ ἰδίᾳ δυνάμει ἑαυτοὺς ἀναστῆσαι. Μή τι αὐτοὺς ὤνησεν ἡ πολλὴ δύναμις ἀντιπράξαντας τῇ ἀμάχῳ ἰσχύϊ καὶ βουλῇ τοῦ Θεοῦ; οἱ μὲν γὰρ οὔτε ἄλλους, οὔτε ἑαυτοὺς τεθνεῶτας ἐξαγαγεῖν καὶ ζωοποιῆσαι [h] δύναιντ' [i] ἂν· Θεὸς δὲ μετ' ἐξουσίας καὶ νεκροὺς ἀνίστησι.

Vers. 6. « Nudus est infernus coram eo, et non est velamen perditioni. »

« Γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ ἀπωλείᾳ. »

Deus, inquit, tantum imperat, et infernus mortuos eructat, et invicta ejus potestate cuncta in medium proferente quæ ab omni ævo corrupta sunt, nihil eorum quæ perierunt, occultum esse potest. Hæc autem prophetice de Unigeniti incarnatione dicta sunt; obscurus enim et tenebricosus infernus coram ejus facie nudus est, et perditio, inferno vicina, mors scilicet, tegumentum quo occultatur non habet: *Non* enim *est ulla res creata quæ non manifesta sit in conspectu ejus* [24]. Ille homo factus, infernum spoliavit, et qui illic erant, cum robore et virtute eduxit, *dicens iis qui in vinculis sunt: Exite, et*

Μόνον, φησὶ, προστάττει Θεὸς, καὶ τοὺς ἀποθανόντας ὁ ᾅδης ἐρεύγεται, καὶ οὐδὲν τῶν ἀπολομένων D κρυβῆναι δύναται, τῆς ἀνικήτου αὐτοῦ δυνάμεως πάντα, καὶ τὰ πώποτε διαφθαρέντα, εἰς μέσον ἀγούσης. Ταῦτα δὲ προφητικῶς εἰς τὴν διὰ σαρκὸς οἰκονομίαν τοῦ Μονογενοῦς εἴρηται· αὐτοῦ γὰρ ἐνώπιον γυμνός ἐστιν ὁ ἀφεγγὴς καὶ σκοτεινὸς ᾅδης, καὶ ἡ γείτων τοῦ ᾅδου ἀπώλεια, ἤγουν ὁ θάνατος, οὐκ ἔχει ἀποκρυβήν [*Ισ.* ἀποκρυφήν]· *Οὐκ ἔστι γὰρ κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ.* Αὐτὸς ἄνθρωπος γεγονὼς, καὶ τὸν ᾅδην ἐσκύλευσε, καὶ τοὺς ἐκεῖσε ἐν ἀνδρείᾳ ἐξήγαγεν, *εἰπὼν τοῖς ἐν δεσμοῖς, Ἐξέλθατε, καὶ*

[24] Hebr IV, 13.

VARIÆ LECTIONES.

[g] *γρ.* αὐτοῖς. [h] *γρ.* θεοποιῆσαι. [i] *Ισ.* ἠδύναντο.

Digitized by Google

τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε· καὶ οὐδὲν περιβόλαιον ἀντέπραξε τῷ θεϊκῷ κελεύσματι, ἀλλ' εὐθέως ἀπεκαλύφθησαν. Εἴρηται δὲ καὶ ἐν Παροιμίαις, Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ Κυρίῳ· οὐκ ἐκρύβη γὰρ ἀπ' αὐτοῦ οὔτε τὸ χωρίον ἐν ᾧ αἱ ψυχαὶ κατείχοντο πρὸ τῆς αὐτοῦ ἐπιδημίας, οὔτε οἱ ἀπολέσθαι δόξαντες διὰ τὴν φθορὰν καὶ τὸν θάνατον· ἀλλὰ καὶ εἰς ᾅδου κατῆλθε, καὶ τὰς ἀπ' αἰώνων ψυχὰς αἰωνίων δεσμῶν ἀπέλυσεν.

A *his qui in tenebris : Revelate vos* [35]; nec ullum integumentum divino mandato obstitit, sed e vestigio retecti sunt. Dictum est etiam in Proverbiis : *Infernus et perditio coram Deo manifesta* [36]; neque enim locus in quo animæ ante ejus adventum in carnem detinebantur, ab eo occultus fuit, neque qui propter corruptionem et mortem periisse visi sunt; verum in infernum etiam descendit, et animas omnes quæ ab omni ævo exstiterunt, sempiternis vinculis exemit.

« Ἐκτείνων βορέαν ἐπ' οὐδέν. »

Ὁ δὲ Ἀκύλας, *ἐπὶ κενώματι*. Ἐμοὶ δὲ δοκεῖ βορέαν ἐνταῦθα ἀναρτημένον[j] πνεῦμα λέγειν αὐτὸν τὸν ἀέρα· *οὐδὲν* δὲ ὀνομάζειν τὸ κενόν. Ἐξέχεεν οὖν, φησὶ, τὸν ἀέρα *ἐπ' οὐδέν*, τουτέστιν, ἐπὶ τὸ κενόν· ἀὴρ γάρ ἐστι κενοῦ πλήρωμα· κενὸν δέ ἐστι τὸ ἀπ' οὐρανοῦ μέχρι γῆς διάστημα πεπληρωμένον ἀέρος. Βορέαν δὲ εἶπε μόνον, ἀπὸ τούτου καὶ τοὺς λοιποὺς ἀνέμους δηλῶν, ὥσπερ καὶ ἕσπερος καὶ ἀρκτοῦρος ἀντὶ πάντων ἀστέρων ἀλλαχοῦ μνημονεύονται, καὶ νεοσσοὶ κοράκων ἀντὶ τῆς πτηνῆς φύσεως.

Verss. 7. « Extendens aquilonem super nihilum. »

Aquila vero, *super inane*. Mihi autem boream hoc loco, spiritum suspensum, ipsum aerem vocare videtur; *nihilum* autem, inane appellare. Effudit igitur, inquit, aerem *super nihilum*, id est, super inane; aer enim est vacui et inanis repletio; intervallum autem inter cœlum et terram aere repletum, inane est. Boreæ autem tantum meminit, ejus nomine reliquos ventos innuens, prout alibi Hesperus et Arcturus pro cæteris omnibus stellis, et corvorum pulli pro volucrum genere nominantur [37].

B

« Δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ, καὶ οὐκ ἐρράγη νέφος ὑποκάτω αὐτοῦ. »

Verss. 8. « Ligans aquam in nubibus ejus, et non est scissa nubes sub eo. »

Ἅπερ ἡμεῖς οὐκ ἐζητήσαμεν[k] ποτε, οὐδὲ ἐθαυμάσαμεν διὰ τὴν συνήθειαν, ταῦτα ὁ Ἰὼβ ἐν μεγάλῳ πεποίηται θαύματι· τίς ἡ τῶν ἀνέμων ἕδρα, ἐπὶ τίνος ἡ γῆ ἔστηκε, πῶς τὸ ὕδωρ ἐν νεφέλαις κατέχεται· εἰ μὴ γὰρ προστάξει ταύταις ὁ Θεὸς, οὐκ ἐπαφιᾶσι τῇ γῇ τὸν ὑετὸν, καὶ ὅταν δὲ ἐπαφιῶσι, καθ' ὅσον ἂν κελευθῶσι μέτρον ἐπαφιᾶσι· τὸ δὲ παράδοξον, ὅτι ὁ μανώτατος ἀὴρ, καὶ ἀνέμοις διαῤῥηγνύμενος, φέρει τῶν ὑδάτων τὸ βάρος, καὶ ἐλαυνόμενος ὑπ' ἀνέμων, οὐκ ἐχχέει τὸν ὄμβρον· εἰ δὲ καὶ ἐκχέει, οὐκ ἀθρόως, ἀλλ' ἰσομερῶς· οὐκ ἐῤῥάγη γὰρ νέφος ὑποκάτωθεν αὐτοῦ, τοῦ ὕδατος δηλαδή. Ταῦτα θαυμάζει ὁ ἅγιος, ἐπὶ τούτοις δοξάζει τὸν ποιητὴν, ὅτι περιήγαγεν οὐρανὸν, ἥπλωσεν ἀέρα, γῆν ὑπέθηκε, φύσιν ὑγρὰν ἔχχεε καὶ συνήγαγεν, ἀνέμους ἀφῆκε, καὶ οὐκ ἐπαφῆκεν, ὕδωρ ἔδησεν ἐν νεφέλαις, καὶ οὐ κατέσχεν[l], ἀλλ' ἔσπειρεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς εὐτάκτως καὶ ὁμοτίμως. Ἐν μὲν οὖν τῷ εἰπεῖν, *κρεμάζων βορέαν ἐπ' οὐδέν*, τὸν ἀέρα ἠνίξατο, τὸ μέσον τῆς γῆς καὶ τοῦ οὐρανοῦ πληροῦντα διάστημα· ἐν δὲ τῷ εἰπεῖν, *κρεμάζων γῆν ἐπὶ μηδενὸς*, τῆς τοῦ Θεοῦ μεγαλουργίας ὑμνητὴς ἀναδείκνυται, οὐκ ἔχων οὔτε γνῶναι, οὔτε φράσαι τί τὸ βάθρον ἐφ' οὗ τὸ μέγα τοῦτο στοιχεῖον ἐρήρεισται· ἐλιγγιάσας δὲ ἐν τούτοις, ἀπὸ τῆς γῆς αὖθις εἰς τὸν ἀέρα μεταβαίνει, καὶ ἀπορεῖ πῶς ὕδωρ ἐν νεφέλαις δεσμεῖται καὶ στέγεται, καὶ τὸ μὲν ἵσταται ἐπὶ τῶν νεφελῶν, ὦ τοῦ θαύματος! ὅτι λόγῳ κρατεῖται φύσις ἡ ῥέουσα, τὸ δὲ ἐκχέεται ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ σπείρεται καιρίως καὶ ὁμοτίμως.

In quæ nos non inquisivimus, neque admirati sumus, quia assuetudine familiaria nobis essent, ea Jobus in magna admiratione habet; quænam scilicet ventorum sedes sit, cui fundamento terra innitatur, quomodo aqua in nubibus contineatur (quæ sine Dei imperio pluviam in terram non demittunt, et cum demiserint, juxta præscriptam iis mensuram demittunt), et, quod incredibile est, aer cum sit rarissimus, ac ventis diffindatur, aquarum pondus sustineat, et a ventis huc illuc impulsus, imbrem non effundat; et si effuderit, non confertim, sed æquabiliter hoc faciat; nubes enim quæ est infra eam, pluviam scilicet, non frangitur. Hæc admiratur sanctus, propter hæc conditorem laudibus prædicat, quod cœlum undique circumduxerit, aerem expanderit, terram substraverit, naturam humidam fuderit et in unum congregaverit, ventos emiserit, non autem immiserit, aquam in nubibus ligaverit, et non effuderit, sed ordinate et æquabili ratione super facie universæ terræ sparserit. In eo igitur quod dicit : *extendens aquilonem super nihilum*, aerem innuit, qui intervallum inter cœlum et terram implet; in illo vero : *suspendens terram super nihilum*, divinæ magnificentiæ præconem se ostendit, qui cum basin ac fundamentum, cui ingens hoc elementum inniteretur, neque scire, neque eloqui posset, stupens hærensque rursus a terra ad aerem transit; ac dubitat quomodo aqua in nubibus vinciatur et contineatur, ac pars quidem ejus supra nubes condensata stet, (o miracu-

C

D

[35] Isa. xlix, 9. [36] Prov. xv, 11. [37] Job ix, 9; xxxviii, 41.

VARIÆ LECTIONES.

[j] Ἴσ. ἀνηρτημένον. [j'] γρ. αὐτὸ τὸ ἀέριον. [k] γρ. ἐξηγήσαμεν. [l] Ἴσ. κατέχεεν.

Digitized by Google

lum, rem natura sua fluxam verbo cohiberi!) pars ac mensura, super facie totius terræ effundatur et spargatur.

Vers. 9. « Qui tenet faciem throni, extendens super eum nubem suam. »

Cœlum passim in Scripturis, thronus Dei appellatur; aer vero coram facie cœli situs est. Dicit igitur quod Deus aerem continens, et nubes expandens, pluviam, nisi ea ratione quam ille competere et prodesse novit, stillare non patiatur. Deinde ad terram descendit et dicit :

Vers. 10. « Præceptum circumdedit super faciem aquæ. » [*Symmachus vero*, Terminum circumscripsit.]

Præcepto enim suo aquas undique ambiens, et quasi frenum iis injiciens, limites suos transgredi, et vicinam terram inundare non sinit. Divina autem providentia mandatum hoc extendit, quoad rerum hæc universitas duratura est; unde subjungit :

« Usque ad consummationem lucis cum tenebris. »

Id est, Mandatum hoc divinum obtinet, dum cursum suum dies et nox, mutuo sibi invicem succedentes, conficient.

Vers. 11. « Columnæ cœli expansæ sunt [*Aquila*, dimotæ sunt] et obstupuerunt ab increpatione ejus. » [*Symmachus vero*, pavent.]

Ipsa etiam, inquit, cœli firmamenta et statumina, et quasi bases ac fundamenta, percelluntur ac concutiuntur, cum ille præceperit, qui cœlum sicut pellim extendens [28], tendit et expandit. Fit autem hic motus et hæc mutatio in mundi consummatione, juxta id quod dictum est : *Sicut operiorium volves eos, et mutabuntur* [29].

Vers. 12. « Virtute sedavit mare, et scientia stratus est cetus. »

Symmachus vero : *Arrogantiam confrinyit*. Ad sermonem de mari transiens, quod natura humida furens propemodum, et fluctus instar montium attollens, ac sæviens, rursus comprimatur ac sedetur, luculentissimum divinæ potentiæ argumentum statuit : quinetiam maximos cetos ejus mandato substerni et subjici, rem non minore admiratione dignam censet. Idem etiam David fecit; cum enim dixisset : *Hoc mare magnum et spatiosum* [30], ceti etiam mentionem fecit, subjungens : *Draco hic quem finxisti ad illudendum ei* [31]. Sublimius vero intelligendo : Unigenitus infidelitatis et peccati salsum mare divina potentia tranquillum reddidit, et cetum, diabolum scilicet, fidelium pedibus proculcandum substravit.

Vers. 13. « Et claustra cœli metuunt eum. »

Tropice ac metaphorice aerem sic appellavit; Deus enim contrahit eum, et rursus solvit ac expandit, claudit et aperit, prout ipsi visum fuerit. Sublimius vero sic : Potestates quæ in cœlestibus portis collocantur, quibus etiam dictum est : *Tol-*

A « Ὁ κρατῶν πρόσωπον θρόνου, ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ. »

Θρόνος τοῦ Θεοῦ, ὁ οὐρανὸς πολλαχοῦ τῆς Γραφῆς ὀνομάζεται· κατὰ πρόσωπον δὲ τοῦ οὐρανοῦ κεῖται ὁ ἀήρ. Φησὶν οὖν, ὅτι διακρατῶν τὸν ἀέρα, καὶ ἐφαπλῶν τὰς νεφέλας, οὐκ ἐᾷ στάζειν τὸν ὑετὸν, εἰ μὴ καθ' οὓς οἶδεν αὐτὸς συμφέροντας λόγους. Εἶτα κάτεισιν εἰς τὴν γῆν, καί φησιν·

« Πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος. [Ὁ δὲ Σύμμαχος, Ὅρον περιέγραψεν.]

Τὸ οἰκεῖον γὰρ πρόσταγμα κυκλοτερῶς περιστήσας τοῖς ὕδασι, καὶ ταῦτα οἱονεὶ χαλινώσας, ὑπερβαίνειν καὶ ἐπικλύζειν τὴν γείτονα γῆν οὐκ ἐᾷ. Παρατείνει δὲ ἡ θεία πρόνοια ἕως τόδε τὸ πᾶν συνέστηκεν· ὅθεν ἐπάγει·

« Μέχρι συντελείας φωτὸς μετὰ σκότους. »

* Τουτέστι, Τοῦτο τὸ θεῖον πρόσταγμα κρατεῖ, ἕως τὸν οἰκεῖον δρόμον ἡμέρα καὶ νὺξ ἀνύουσιν, ἀλλήλαις ἀντιπαραχωροῦσαι.

« Στῦλοι οὐρανοῦ ἐπετάσθησαν [Ἀπύλας, διεκινήθησαν], καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ. » [Ὁ δὲ Σύμμαχος, θαμβοῦνται.]

* Καὶ αὐτὰ, φησὶ, τοῦ οὐρανοῦ τὰ στηρίγματα, καὶ οἱονεὶ ὑποβάθραι καὶ οἱ θεμέλιοι, ἐξίστανται καὶ σαλεύονται, ὅταν αὐτὸς ἐπιτάξῃ, ὁ τανύσας τὸν οὐρανὸν, ὁ ἐκπετάσας, ὁ ἐκτείνας ὡσεὶ δέρριν. Γίνεται δὲ ὁ σεισμὸς οὗτος καὶ ἡ μεταβολὴ ἐν τῇ συντελείᾳ· Ὡσεὶ περιβόλαιον γὰρ, φησὶν, ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται.

« Ἰσχύϊ κατέπαυσε τὴν θάλασσαν, ἐπιστήμῃ δὲ ἔστρωται τὸ κῆτος. »

Ὁ δὲ Σύμμαχος, Συγκλᾷ ἀλαζονείαν, εἶπεν. Εἰς τὸν περὶ τῆς θαλάσσης ἐκβεβηκὼς λόγον, ἐναργέστατον γνώρισμα τῆς τοῦ Θεοῦ ποιεῖται δυνάμεως, τὸ τὴν ὑγρὰν φύσιν οἷον μαινομένην, καὶ ἴσα βρεσιν ἐγείρουσαν κύματα, καὶ ὠρυομένην, συστέλλεσθαι αὖθις καὶ καταπαύεσθαι. Τοῦ αὐτοῦ δὲ θαύματος τίθεται, καὶ τὸ τὰ μέγιστα κήτη ὑπεστορέσθαι, καὶ ὑποτετάχθαι αὐτοῦ τῷ προστάγματι. Οὕτω καὶ Δαβὶδ ἐποίησεν· εἰρηκὼς γὰρ, Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, καὶ τοῦ κήτους ἐμνήσθη, ἐπαγαγὼν, Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Ὑψηλότερον δὲ, τὴν τε ἀλμυρὰν τῆς ἀπιστίας καὶ ἁμαρτίας θάλασσαν ὁ Μονογενὴς τῇ θείᾳ δυνάμει κατέπαυσε, καὶ τὸ κῆτος, τὸν διάβολον, τοῖς ποσὶ τῶν πιστῶν εἰς τὸ πατεῖσθαι ὑπέστρωσεν.

« Κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν. »

* Τροπικώτερον καὶ μεταφορικώτερον τὸν ἀέρα οὕτως ὠνόμασε· συνάγει γὰρ τοῦτον, καὶ πάλιν διαλύει, καὶ κλείει, καὶ ἀνοίγει, ὡς ἂν ἐθέλῃ Θεός. Ὑψηλότερον δὲ, αἱ ἐν ταῖς οὐρανίαις πύλαις ἐφεστῶσαι δυνάμεις, πρὸς ἃς καὶ εἴρηται, Ἄρατε πύλας

[28] Psal. civ, 2. [29] Psal. ci, 29. [30] Psal. civ, 25. [31] ibid. 26.

Digitized by Google

ὡς Θεὸν τὸν μετὰ σαρκὸς ἀναβραμόντα πεφρίκασιν.

« Προστάγματι δὲ ἐθανάτωσε δράκοντα ἀποστάτην. »

· Ὁ Σύμμαχος, *τὸν ὄφιν τὸν συγκλείοντα*. Καὶ τὸν Ἀντίχριστον ὁ Κύριος ἀνελεῖ *τῷ ῥήματι τοῦ στόματος αὐτοῦ*, κατὰ τὸν Ἀπόστολον· καὶ τὸν ἀρχέκακον ὄφιν, τὸ θεομάχον θηρίον, ὃς αὐτός τε ἀπέστη ἀπὸ Θεοῦ, καὶ τοὺς πειθομένους αὐτῷ εἰς ἀπώλειαν συγκλείει, τῷ ἡτοιμασμένῳ παραπέμψει πυρί.

« Ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ· σθένος δὲ βροντῆς αὐτοῦ, τίς οἶδεν ὁπότε ποιήσει; »

Ἀνθ' ὧν ὁ Σύμμαχος, *Τί δὲ ψιθύρισμα τῶν λόγων αὐτοῦ ἀκούσομεν, ὅταν βροντὴν δυναστείας αὐτοῦ οὐδεὶς ἐννοήσει;* Ὁ δὲ νοῦς οὗτος· Ἐξεπλάγημεν, φησὶν, ἐπὶ τοῖς εἰρημένοις, πῶς κατὰ τοῦ κενοῦ οἱ ἄνεμοι φέρονται, πῶς ἐπ' οὐδενὸς ἡ γῆ πέπηγε, πῶς τὸ ὕδωρ ἐν νεφέλαις κατέχεται, πῶς τὰ νέφη ἐν τῷ ἀέρι τέταται, πῶς ἡ θάλασσα μαινομένη τὴν ψάμμον οὐχ ὑπερβαίνει, καὶ τὰ ἄλλα ὅσα εἴπομεν· ἀλλὰ ταῦτα μοῖρά τίς ἐστι μετρία τῶν τοῦ Θεοῦ ἐνεργειῶν, καὶ μικράν τινα ἰκμάδα τοῦ περὶ τούτων λόγου ἀκηκόαμεν, καὶ μέρος τι μικρὸν τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως ἐξηγησάμεθα, καθ' ἣν ἐφοδεύων καὶ περιπολῶν τὸν κόσμον διέπει, καὶ οἷον ἰκμάς τις βραχεῖα τὰ ἀπηριθμημένα. Ὅλον γὰρ τὸ χύμα τῆς αὐτοῦ σοφίας γενητὴν φύσιν παραδέξασθαι ἀμήχανον· ἐπεὶ, ἵνα τ' ἄλλα παρῶ, τίς τὸν δι' ἀέρος καὶ νεφῶν τῆς βροντῆς φερόμενον ψόφον ἱκανὸς ἑρμηνεῦσαι, κατὰ τίνας γίνεται λόγους;

Κατὰ δὲ τὴν τοῦ Συμμάχου ἔκδοσιν τοῦτο νοῶ, ἤτοι, ὅτι εἰ τὸν τῆς βροντῆς ἦχον ἀδοκήτως ἐμπίπτοντα ταῖς ἀκοαῖς οὐχ ὑπομένομεν, ἀλλ' ἐξιστάμεθα, πῶς οἴσομεν ἐὰν Θεὸς φθέγξηται, καὶ ταῦτα, μὴ μέγα τι φθέγμα, ἀλλ' οἷον ψιθύρισμα; ἢ, ὅτι ἐὰν τὴν βροντὴν, ὅπως γίνεται οὐκ ἂν δυναίμεθα κατανοῆσαι, τί ἂν εἴποιμεν περὶ τῶν ὁδῶν αὐτοῦ καὶ τῶν οἰκονομιῶν; τὰ γὰρ νῦν τέως εἰρημένα, βραχεῖά τί; ἐστιν ἰκμὰς καὶ ῥανὶς, ἣν ἀπὸ τῆς μεγάλης ἐκείνης καὶ ἀκενώτου πηγῆς ἠρυσάμεθα.

ΚΕΦΑΛ. ΚΖ'.

« Ἔτι δὲ προσθεὶς Ἰὼβ, εἶπε τῷ προοιμίῳ [m]. »

Τούτων γὰρ τετελεσμένων, καὶ αὐτοῦ μὲν ὀλίγα ἀποκρινομένου [n], διὰ τὸ καὶ τὸν Βαλδὰδ ὀλίγα εἰπεῖν, μηδενὸς δὲ τῶν φίλων ἀντειπόντος, ἀλλὰ τῶν τριῶν ἡσυχίαν ἀγόντων, αὖθις τῷ λόγῳ προστίθησι, καὶ τοῖς προτέροις ἐπισυνάπτει τὰ ἑφεξῆς· τὰ πρότερον δὲ εἰρημένα ὡς προοίμιον πρὸς τὰ ἑξῆς. Ὁ δὲ Ἀκύλας οὕτως ἐκδέδωκε· *Καὶ προσέθηκεν Ἰὼβ ἄραι*

A *lite portas* [32], tanquam Deum in carne redeuntem exhorruerunt.

« Præcepto ... peremit draconem desertorem. »

Symmachus : *serpentem qui concludit.* Et Antichristum quidem, ut est apud Apostolum, *verbo oris sui conficiet* [33]; et serpentem, mali auctorem, belluam illam cum Deo bellum gerentem, qui a Deo ipse defecit, sibique obtemperantes interitu una cum ipso involvit, in ignem præparatum conjiciet.

« Ecce hæ partes viæ ejus, et super stillam verbi audiemus in eo : virtutem autem tonitrui ejus quis scivit quando faciet? »

Pro quibus Symmachus : *Quomodo autem susurrum verborum ejus audiemus, quando tonitrum potentiæ ejus nemo percipiet?* Sensus autem hic est : Stupore, inquit, attoniti sumus super iis quæ dicta sunt, qua ratione per inane venti ferantur, quomodo terra, nullo fundamento nixa, stabilis et fixa sit, quomodo aqua in nubibus contineatur, quomodo nubes in aere expansæ sint, quomodo mare æstuans et furens arenam non transgrediatur, et alia quæ diximus : verum hæc partem modicam operationum Dei constituunt, et guttam tantum verborum de iis exiguam audivimus, ac divinæ sapientiæ et potentiæ, qua mundum obiens et lustrans gubernat, partem quamdam pusillam exposuimus; quæ enim enumeravimus, tanquam exigua stilla sunt : impossibile enim est ut procreata natura totum flumen ejus sapientiæ comprehendat; quandoquidem, ut alia omittam, quis idoneus ad docendum est, qua ratione tonitrus sonus fiat, qui per aerem et nubes fertur?

Juxta Symmachi autem interpretationem hunc sensum colligo, quod scilicet, si tonitrus sonitum, ex improviso auribus nostris incidentem, ferre non possumus, sed animo perturbamur et percellimur, quo pacto Deum, si vocem ediderit, non quidem elatam, sed quasi susurrum, ferre poterimus? vel, si tonitrum, qua ratione fiat, intelligere non valemus, quid de viis ejus et Providentiæ rationibus dicemus? quæ supra enim diximus, stilla quædam et exigua gutta sunt, quam ex largo illo et inexhausto fonte hausimus.

CAP. XXVII.

VERS. 1. « Adhuc autem ' adjiciens Job, dixit proœmio. »

Absolutis enim hisce, cum ipse quidem, eo quod Baldadus longiore oratione usus non fuisset, paucis respondisset, nec quisquam amicorum contradiceret, sed omnes tres silentium agerent, rursus sermoni suo quædam addit, et quæ sequuntur iis quæ prius dicta sunt annectit : quæ prius autem dicta sunt, ad ea quæ infra afferuntur, proœmii vicem

[32] Psal. XXIII, 7. [33] II Thess. II, 8.

VARIÆ LECTIONES.

[m] Isc. τῷ προοιμίῳ, εἶπε, ut in Ms. Theclæ. [n] γρ. λεγομένου.

Digitized by Google

obtinent. Aquila autem sic reddidit : *Et addidit Jobus assumere parabolam suam.* Parabola autem in Scriptura dicitur non solum oratio quæ similitudinem in se continet, verum etiam omnis sermo sapiens. Sic enim Balaam, *Assumens parabolam dixit* [34]; et David : *Aperiam in parabolis os meum* [35]; non similitudines aliquas, sed prudentes sermones percurrendo explanantes. Videamus autem quid, absoluto proœmio, Jobus dicat, et verbis animum adjiciamus.

A τὴν παραβολὴν αὐτοῦ. Παραβολὴ δὲ εἴρηται παρὰ τῇ Γραφῇ, οὐ μόνον ὁ καθ' ὁμοίωσιν λόγος, ἀλλὰ καὶ ἅπας λόγος σοφός. Οὕτω γοῦν καὶ ὁ Βαλαὰμ, Ἀναλαβὼν τὴν παραβολὴν, ἔλεγε· καὶ ὁ Δαβὶδ, Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, οὐχ ὁμοιώματα διεξιόντες, ἀλλὰ λόγους σοφούς. Ἀλλ' ἴδωμεν τί Ἰὼβ ἀποκρίνεται μετὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ προοίμιον, πρόσχωμεν τῇ λέξει.

Vers. 2. « Vivit Dominus qui sic me judicavit [*Symmachus*, qui despexit judicium meum], et Omnipotens, qui affecit amaritudine animam meam. Siquidem adhuc halitu meo immanente, et spiritus divinus qui circa me est in naribus, labia mea non loquentur iniqua, neque anima mea meditabitur injusta. »

« Ζῇ ὁ Θεὸς ὃς οὕτω με κέκρικε [Σύμμαχος, ὃς παρεῖδε τὴν κρίσιν μου], καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν. Εἰ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης, πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισὶν, μὴ λαλήσειν[o] τὰ χείλη μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα. »

Novi, inquit, quid vos ad stomachum mihi movendum impulerit : juro autem per ipsum Deum vivum (qui juxta rationes suas, quæ captum humanum superant, dignum me qui talia paterer judicavit, qui in has ærumnas et calamitates me conjecit, et qui ejusmodi quæstionibus ac tormentis vitam mihi acerbam reddere decrevit), quod quandiu respirandi ulla facultas in me erit, quoad vixero, et Dei beneficio spiritum duxero, licet cruciatus diuturniores mihi tolerandi sint, licet his multo graviora pati oporteat, nihil absurdum me vel blasphemum de Deo locuturum, aut mente conceptum, sed peccato usque ad mortem repugnaturum : illud enim : *Neque anima mea meditabitur injusta*, id est, In eadem sententia permanebo, nemo me pervertere, nemo dimovere, neque a proposito abducere poterit. Quidam autem hoc loco Jobum Trinitatis meminisse volunt. Vivit enim *Dominus*, inquit, et *Omnipotens*, et *Spiritus divinus*. Septuaginta enim senioribus illud : *Insufflavit Deus in faciem hominis flatum vitæ* [36], de Spiritu sancto interpretantibus, reliqui interpretes reddiderunt, *Insufflavit in nares ejus flatum vitæ;* ita ut hoc loco illud quidem, *adhuc halitu meo immanente*, pro respiratione sumendum sit, illud vero, *Spiritus divinus qui circa me est in naribus*, de Spiritu sancto intelligendum veniat. Methodius autem, *Spiritum divinum* (qui omnibus a Deo concessus est, et de quo Salomon dixit : *Incorruptus tuus Spiritus est in omnibus* [37]) pro conscientia accipit, quæ animam peccatricem condemnat.

Οἶδα, φησὶ, πόθεν κεκίνησθε εἰς τὸ ἐρεθίσαι με· ὄμνυμι δὲ κατὰ τοῦ ζῶντος Θεοῦ, αὐτοῦ τοῦ κρίναντός με ταῦτα παθεῖν κατὰ τοὺς ἀνεφίκτους αὐτοῦ λόγους, αὐτοῦ τοῦ παραδόντος με ταύταις ταῖς περιστάσεσι, τοῦ οἰκονομήσαντος τοιούτοις με ἐξετασμοῖς πικραίνεσθαι, ὅτι μέχρις οὗ ἡ ἀναπνοή μου ἐν ἐμοὶ, καὶ ἕως ἂν ζῶ καὶ ἐμπνέω, παρὰ Θεοῦ τοῦτο λαβὼν, κἂν ἐπὶ πλείονα βασανίζωμαι χρόνον, κἂν τούτων πάθω δεινότερα, οὐκ ἂν ἀπηχές τι ἢ παλίμφημον φθεγξαίμην ἢ διανοησαίμην κατὰ Θεοῦ, ἀντικαθιστάμενος μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν· τὸ γὰρ, *Οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα*, ἀντὶ τοῦ, Ἐπὶ τῆς αὐτῆς στήσομαι ψήφου, οὐδείς με παρατρέψαι δυνήσεται, οὐδεὶς ἐκκροῦσαι[p], οὐδεὶς ἀπαγαγεῖν τοῦ προκειμένου. Τινὲς δὲ ἔφασαν ὡς ἐνταῦθα τῆς Τριάδος μέμνηται· Ζῇ γὰρ *Κύριος*, φησὶ, καὶ *ὁ Παντοκράτωρ*, καὶ τὸ *Πνεῦμα τὸ θεῖον*. Καὶ γὰρ τῶν Ἑβδομήκοντα, τὸ, *Ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ ἀνθρώπου πνοὴν ζωῆς*, ἐκδεδωκότων περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, οἱ λοιποὶ τῶν ἑρμηνευσάντων, *Ἐνεφύσησεν εἰς τοὺς μυκτῆρας αὐτοῦ πνοὴν ζωῆς*, ἐκδεδώκασιν· ὥστε κἀνταῦθα, τὸ μὲν, *ἔτι τῆς πνοῆς μοι ἐνούσης*, εἰς τὴν ἀναπνοὴν ἐκληπτέον· τὸ δὲ, *Πνεῦμα θεῖον τὸ περιὸν μοι ἐν ῥισὶν*, εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Μεθόδιος δὲ, *Πνεῦμα θεῖον*, πᾶσιν ἀνθρώποις ὑπὸ Θεοῦ δοθὲν, περὶ οὗ καὶ Σαλομὼν ἔφασκε, *Τὸ γὰρ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσι*, τὸ συνειδὸς ἐκλαμβάνει, ὃ καὶ καταγινώσκει τῆς ψυχῆς ἁμαρτανούσης.

Vers. 5. « Absit a me justos vos pronuntiare donec moriar. »

« Μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω. »

Id est, Meipsum non condemnabo, neque mutabo aut deseram sententiam et propositum meum, licet millia afferatis. Absit enim ut, præ pudore aspectum vestrum fugiens, veritatem adulterem, et dicam me a vobis jure condemnatum esse : si enim

Τουτέστιν, Οὐ κατηγορήσω ἐμαυτοῦ, οὐδὲ μεταθήσομαι, κἂν μυρία λέγητε, οὐ προήσομαι τῆς ψήφου[q-r]. Μὴ γὰρ δὴ γένοιτό μοι δυσωπούμενον[s] ὑμᾶς, παραχαράττειν τὸ ἀληθὲς, καὶ φάσκειν, ὡς δικαίως μου καταψηφίζεσθε· ἐὰν γὰρ συγκατάθωμαι οἷς λέ-

[34] Num. XXIII, 7. [35] Psal. LXXVII, 2. [36] Gen. II, 7. [37] Sap. XII, 1.

VARIÆ LECTIONES.

[o] *Ισ.* λαλήσει, ut in ms. Theclæ. [p] *Ισ.* ἐκκροῦσαι. [q-r] *Ισ.* τὴν ψῆφον. [s] *Ισ.* δυσωπουμένῳ.

Digitized by Google

γετε [1], ὅτι νενοήκατε διὰ τί ταῦτα πέπονθα, δικαίους ὑμᾶς ἀπέφηνα.

« Οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν μου. »

• Ὁ δὲ Σύμμαχος, *Οὐκ ἐκστήσομαι τῆς ἁπλότητός μου* · ἐκσταίην δ' ἂν καὶ πρόδώσω ταύτην, ἐὰν ἕτερα μὲν νοῶ, ἕτερα δὲ λέγω.

« Δικαιοσύνῃ δὲ προσέχων οὐ μὴν προῶμαι. »

• Ὃ λέγει τοιοῦτόν ἐστιν · Ὁ ἀδικῶν, φησὶν, οὐκ ἔχει παῤῥησίαν, οὐδὲ φθέγξασθαι οὐδὲ εἰπεῖν ἅπερ ἐγὼ νῦν, ἀλλ' ἀφῄρηται καὶ ἐπεστόμισται · ἐγὼ δὲ τοῦτο οὐκ ἔπαθον, ἀλλὰ λέγω, καὶ ἀντιλέγω.

« Οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας. »

• Τοῦτο καὶ Παῦλος ὕστερον ἐφθέγξατο, καὶ προσέθηκεν, *Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι*. Πολλὴ ἡ παῤῥησία τοῦ δικαίου, καὶ ἐπὶ τῷ προτέρῳ βίῳ, καὶ ἐπὶ τοῖς κατὰ τὸν καιρὸν τῆς περιστάσεως, ὥστε αὐτὸν εἰπεῖν, Οὐδὲν ἐμαυτῷ σύνοιδα.

« Οὐ μὴν δὲ ἀλλὰ εἶησαν οἱ ἐχθροί μου ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν, καὶ οἱ ἐπ' ἐμὲ ἐπανιστάμενοι, ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων. »

Ἀπώλοιντο, φησὶν, οἱ ἐχθροί μου, συκοφαντοῦσι γάρ με. Ἢ καὶ οὕτως, Ἐγὼ μὲν οὐκ οἶδα ὅτι ἔπραξα ἄτοπα, ἃ δὲ ἀσεβῶς μου καταψηφίζεσθε, εἰς ἐχθρῶν τρέποιτο κεφαλάς · οἱ γὰρ τοιούτῳ γε ὄντι μεμφόμενοι καὶ ἐπεμβαίνοντες, ἀσεβεῖς ἂν εἶεν, καὶ τοῖς ἀσεβέσιν συγκαταχριθείησαν.

« Καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει ; [*Οἱ λοιποὶ*, ὅτι πλεονεκτεῖ.] Πεποιθὼς ἐπὶ Κύριον ἆρα σωθήσεται ; ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται ὁ Θεός ; ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης, μὴ ἔχει τινὰ παῤῥησίαν ἔναντι αὐτοῦ ; ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ, εἰσακούσεται αὐτοῦ ; »

• Ποίαν, φησὶν, ἐλπίδα ἔχει ὁ ἀσεβὴς, κἂν τέως ἀντέχῃ ; μετὰ ποίας πεποιθήσεως τὴν ἐκ Θεοῦ σωτηρίαν προσδοκᾷ, καθάπερ ἐγὼ προσδοκῶ σώζεσθαι ; πῶς δὲ, ἀνάγκῃ περιπεσὼν, σὺν παῤῥησίᾳ τὸν Θεὸν ἐπικαλέσεται, ὡς μελλούσης αὐτοῦ τῆς εὐχῆς εἰσακούεσθαι ; Ταῦτα οὖν, φησὶ, πλέον ὑμῶν οἶδα.

« Ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ Κυρίου, ἃ ἐστι παρὰ παντοκράτορι οὐ ψεύσομαι. »

• Ἐγὼ, φησὶν, ὑμῖν οἷαν ἔχω περὶ Θεοῦ δόξαν ἐρῶ, καὶ τὰ ἐκ χειρὸς Κυρίου τοῖς ἀσεβέσιν ἐπιφερόμενα, σὺν ἀληθείᾳ ἀναγγελῶ.

« Ἰδοὺ πάντες οἴδατε, ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. Αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ Κυρίου, κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ' αὐτούς. »

Ὁ Θεοδοτίων δὲ καὶ Σύμμαχος, *Καὶ κληρονομία*

iis quæ a vobis dicta sunt, cum causas cur hæc paterer animo versaretis, assensum præbuero, justos vos pronuntiarem.

Vers. 5. « Non enim separabo a me innocentiam meam. »

Symmachus vero: *Non recedam a simplicitate mea;* desererem autem et proderem eam, si alia loquerer quam quæ cogitarem.

Vers. 6. « Justitiæ autem inhærens non descram. »

Quod dicit hujusmodi est: Qui injuria alios afficit, loqui libere non potest, neque ea dicere quæ ego impræsentiarum dico, sed prærepta omni loquendi libertate, os ei obturatum est: hoc autem mihi non accidit, sed dico, et contradico.

« Nec enim conscius sum mihi commisisse absurda. »

Hoc etiam Paulus postea locutus est, et addidit: *Sed non per hoc justificatus sum* [36]. Magna fuit viri justi fiducia propter vitæ anteactæ innocentiam, et ea quæ calamitatis tempore gesserat, ita ut dixerit, Nullius mihi conscius sum.

Vers. 7. « Verumtamen sint inimici mei sicut subversio impiorum, et qui super me insurgunt, sicut perditio improborum. »

Pereant, inquit, inimici mei, quoniam me calumniantur. Vel sic, Ego quidem, quod absurda et a ratione aliena admiserim, non sum mihi conscius; propter quæ autem me impie condemnatis, ea in capita inimicorum cadant: qui enim ejusmodi hominem vituperant, illique insultant, impii ipsi, et impiis accensendi sunt.

Vers. 8-10. « Etenim quæ spes est impio quia exspectat? [*Cæteri*, quia aliena rapit?] Confidensne super Dominum salvabitur? aut deprecationem illius exaudiet Deus? aut si evenerit ei necessitas, habetne fiduciam coram eo? aut tanquam si invocaverit eum, exaudiet eum? »

Quam, inquit, spem impius nunc habet, licet hucusque duraverit? qua fiducia ipse, prout ego salvari confido, salutem a Deo exspectat? quomodo, si in necessitates inciderit, fidenter, tanquam preces ejus exaudiendæ essent, Deum invocabit? Hæc, inquit, melius mihi quam vobis nota sunt.

Vers. 11. « Quapropter annuntiabo vobis quid sit in manu Domini, quæ sint apud Omnipotentem non mentiar. »

Dicam, inquit, vobis quam opinionem de Deo tuear, et vere vobis annuntiabo quæ impiis manu Domini infliguntur.

Vers. 12, 13. « Ecce omnes nostis quia vana vanis adjicitis. Hæc est pars hominis impii a Domino, possessio vero potentium veniet ab Omnipotente super eos. »

Theodotio autem et Symmachus: *Et hæreditas*

[36] II Cor. IV, 4.

VARIÆ LECTIONES.

[1] *Isg.* ἐλέγετε, ὅτε.

Digitized by Google

quam inflexibiles ab Omnipotente accipient. Vos quidem, dum impietatis crimine me arcessitis, quod futilibus verba futilia cumuletis, non ignari estis: ego vero vicissim quænam impii portio sit, quæ possessio et hæreditas eorum qui improbitate valent, et quid iis ab omnipotente Deo eventurum sit, ostendo. Deinde pœnam impiorum subjungit.

A ἢν οἱ ἀκαμπεῖς παρὰ τοῦ ἱκανοῦ κομίσονται. Ὑμεῖς μὲν οἴδατε, ὅτι ματαίους ματαίοις ἐπισυνείρητε λόγους, ἀσεβείας με γραφόμενοι· φημὶ δὲ ἔγωγε ποία τίς ἐστιν ἡ τοῦ ἀσεβοῦς μερὶς, καὶ ποῖον κτῆμα, καὶ τίς ὁ κλῆρος τῶν ἐπὶ κακίᾳ μέγα δυναμένων, καὶ τί αὐτοῖς ἐπελεύσεται παρὰ τοῦ πάντα δυναμένου Θεοῦ. Εἶτα ἐπάγει τὰ τῶν ἀσεβῶν ἐπιχείρια [a].

VERS. 14, 15. « Quod si multi fuerint filii eorum, in occisionem erunt; si autem et viri facti fuerint, mendicabunt; et qui circa eum sunt, in morte morientur, et viduis eorum nemo miserebitur. »

« Ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται· ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προσαιτήσουσιν· οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χῆρας δὲ αὐτῶν οὐδεὶς ἐλεήσει. »

Enumerat ea quæ verisimile est impiis eventura; interdum enim (ut in iis quæ supra per dubitationem amicos docuit) felicitatem usque ad vitæ exitum protrahunt: nunc vero *occisionem* dicit eam quæ ab hostibus fit, *mortem* vero quæ subita et immatura accidit; ac si diceret: Liberi hominis impii bonum vitæ exitum non habebunt, sed stipem mendicabunt, et mortem violentam ac immaturam subibunt; neque viduitas hic, quæ res miseranda est, misericordiam consequetur.

B * Τὰ ὡς εἰκὸς συμβησόμενα τοῖς ἀσεβέσιν ἀπαριθμεῖται· παρέλκουσι γὰρ ἔσθοτε τὴν εὐδαιμονίαν καὶ μέχρι τελευτῆς, ὡς ἐν τοῖς ἀνωτέρω πρὸς τοὺς φίλους ἀπορῶν αὐτὸς ἐδίδαξε· νῦν δὲ *σφαγὴν* μὲν τὴν διὰ πολεμίων φησὶ, *θάνατον* δὲ, τὸν αἰφνίδιον καὶ ἄωρον· ἵνα εἴπῃ, ὅτι Οἱ τοῦ ἀσεβοῦς παῖδες οὐ καλῶν ἀπαλλάξουσιν, ἀλλὰ μετὰ τοῦ ἐπαιτεῖν, βίαιον καὶ πρόωρον ὑποστήσονται θάνατον· καὶ οὐδὲ τὸ ἐλεεινὸν χρῆμα, ἡ χηρεία ἐνταῦθα ἐλέους τεύξεται.

VERS. 16, 17. « Si collegerit ut terram argentum, et æque ac lutum paraverit aurum, hæc omnia justi vindicabunt, et pecunias ejus veraces obtinebunt. »

« Ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον, ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον, ταῦτα πάντα δίκαιοι περιποιήσονται, τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσι. »

Hoc etiam in Proverbiis dictum est[39], quod impiorum divitiæ justis thesaurizentur; quemadmodum olim populus Hebræus facultates nationum Palæstinæ, propter earum peccata, in hæreditatem C acceperunt. Et hoc loco asserit quod, licet impius instar pulveris et luti divitias congerat, ad innocuos, inculpatos, et eos qui recte ac salutariter iis usuri sunt, dilabentur. Illud enim, *Vindicabunt*, non tam possessionem quam decentem et moderatum earum usum significat.

* Τοῦτο καὶ ἐν Παροιμίαις εἴρηται, ὅτι θησαυρίζεται δικαίοις πλοῦτος ἀσεβῶν· καθά που καὶ Ἑβραῖοι τὰ τῶν ἐν Παλαιστίνῃ ἐθνῶν ἐκληρονόμησαν διὰ τὰς ἐκείνων ἁμαρτίας. Κἀνταῦθά φησιν, ὅτι κἂν ὡς χοῦν, κἂν ὡς πηλὸν θησαυρίζῃ χρήματα ὁ ἀσεβὴς, εἰς τοὺς ἀθώους, καὶ ἀναιτίους, καὶ καλῶς αὐτοῖς χρησομένους καὶ σωτηρίως, μεταπεσοῦνται. Ἴσως γὰρ τὸ, *περιποιήσονται*, οὐ τὸ, κτήσονται, ἀλλὰ τὸ, εἰς δέον χρήσονται, δηλοῖ.

VERS. 18. « Evadet autem domus ejus sicut tineæ, et sicut aranea. »

« Ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες, καὶ ὥσπερ ἀράχνη. »

Id est, A seipsis consumentur; impietas enim, instar rubiginis, eos qui ea præditi sunt exedit, non secus ac tineæ lanas. Et quemadmodum aranearum telæ, ut deleantur, nullo labore et molestia egent, sed facili negotio evanescunt et pereunt; ita ea etiam quæ ab impio asservantur, tanquam a tinea et rubigine consumpta essent, putrem et fluxam aranearum telæ naturam imitantur.

Τουτέστιν ὑφ' ἑαυτῶν δαπανηθήσονται· ἡ γὰρ ἀσέβεια, δίκην ἰοῦ, δαπανᾷ τοὺς ἔχοντας, ὥσπερ οἱ σῆτες ἔρια. Καὶ ὥσπερ τὰ ἀράχνεια νήματα οὐδεμιᾶς ἐργωδίας δεῖται πρὸς τὸ ἀφανισθῆναι, ἀλλὰ ῥᾳδίως οἴχεται καὶ ἀπόλλυται· οὕτω καὶ τὰ ὑπὸ τοῦ ἀσεβοῦς συντηρούμενα τὸ τῆς ἀράχνης μιμεῖται πάθος καὶ εὐδιάλυτον, ὡς ὑπὸ ἰοῦ καὶ σητὸς δαπανώμενα.

VERS. 19. « Dives dormiet, et non adjiciet. »

« Πλούσιος κοιμηθήσεται, καὶ οὐ προστεθήσει. »

Dives, inquit, qui impiam vitam transegit, dormiens, surrexit egenus; ac si diceret, Qui injuste locuples factus est, ad breve tempus prosperitate fruetur, non secus ac is qui in somnis divitias possederat, cum primo autem diluculo nihil habere reperitur.

* Κοιμηθεὶς, φησὶ, πλούσιος ὁ ἐν ἀσεβείᾳ ζῶν, ἀνέστη πένης· ἵνα εἴπῃ, ὅτι Ὁ ἀδίκως πλουτῶν πρὸς βραχὺ εὐπραγήσει, καθάπερ ἐν ὀνείροις τὸν πλοῦτον κτησάμενος, ἅμα δὲ τῇ ἕῳ ἔχων οὐδέν.

« Oculos suos aperiet, et non est. »

« Ὀφθαλμοὺς αὐτοῦ διήνοιξε [*lc.* διανοίξει], καὶ οὐκ ἔστι. »

[39] Prov. XIII, 22.

VARIÆ LECTIONES.

[a] *γρ.* τὸ ἐπιχείρημα.

Digitized by Google

A * Ὄναρ ἐστὶ, φησὶν, ὁ πλοῦτος τῶν ἀσεβῶν. Ὥσπερ γάρ τινες πένητες καθευδήσαντες εἶδον ἑαυτοὺς τραπέζης βασιλικῆς ἀπολαβόντας [Ἴσ. ἀπολαύοντας], ἀλλ' ἦν ὕπνος καὶ ὀνείρων ἀπάτη τὰ φαινόμενα, διαγρηγορήσαντες δὲ, καὶ τοὺς ὀφθαλμοὺς ἀνοίξαντες, εὗρον οὐδέν· οὕτω καὶ ὁ ἀσεβὴς πάσχει· ὡς γὰρ ἐν ὀνείροις εὐτυχῶν, δείλαιός ἐστι· διανοίξας γὰρ τοὺς ὀφθαλμοὺς, ὥστε ἰδεῖν ἃ συνήγαγεν οὐχ ὁρᾷ· οὐκ ἔστι γὰρ ἐκεῖνα, ἀλλ' ᾤχετο καὶ διόλωλεν· οὕτως εὐπάροιστος αὐτῷ καὶ ὀξύῤῥοπος ἡ τοῦ πλούτου ἀπόλαυσις.

« Συνήντησαν αὐτῷ, ὥσπερ ὕδωρ, αἱ ὀδύναι. »

Πάντοθεν αὐτὸν δηλαδὴ συνέχουσαι καὶ ἀποπνίγουσαι, καὶ μέχρι τῶν ἐγκάτων ἱκνούμεναι. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, *ὀδύναι*, *ἀνυπαρξίαν* εἶπε, τὴν τῶν B ὑπαρχόντων στέρησιν οὕτω καλῶν, ἐξ ἧς καὶ τὸ ὀδυνᾶσθαι.

« Νυκτὶ δὲ ὑφείλετο αὐτὸν γνόφος. »

* Ὥσπερ, φησὶ, τὸ τῆς νυκτὸς σκότος ἀφανῆ πάντα ποιεῖ· οὕτω καὶ ὁ ἀσεβὴς, καθάπερ νυκτὶ, τῇ περιστάσει κρυβεὶς, οὐχ ὁρᾶται, οὐδὲ εἶναι δοκεῖ.

« Ἀναλήψεται δὲ αὐτὸν καύσων, καὶ ἀπελεύσεται, καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ. »

* Διαφόροις εἰκόσι τὴν τοῦ ἀσεβοῦς διαγράφει ἀπώλειαν καὶ τὸν ἀφανισμόν. Διόλλυται γὰρ, φησὶν, ὡς ἔριον ὑπὸ σητὸς, ὡς ἀράχνη διαλύεται, ὡς τὰ ἐν ὕπνοις φαντάσματα οὐχ ὑφίσταται, γνόφος αὐτὸν ὑπολαμβάνει, οἴχεται ὥσπερ ὑπ' ἀνέμου καύσωνος C ἀναῤῥιπιζόμενος [Ἴσ. ἀποῤῥιπιζόμενος], διαλικμᾶται ὥσπερ χόνις ὑπὸ λαίλαπος, ὡς ἄχυρα ταῖς ἐλαφραῖς τοῦ πνεύματος αὔραις, κολαστικῆς τινος αὐτὸν δυνάμεως ἀπιούσης [Ἴσ. ἐπιούσης], καὶ ἁρπαζούσης, καὶ μετατιθείσης αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ· ὡς ἀληθεύεσθαι κἀνταῦθα τὸ, *Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ*.

« Καὶ ἐπιῤῥίψει ἐπ' αὐτὸν, καὶ οὐ φείσεται. »

* Ἄφνω, φησὶν, ἐπελεύσεται ἐπὶ τὸν ἀσεβῆ καὶ ἐπιπεσεῖται αὐτῷ, καθάπερ λῃστὴς, ὁ κολάζων καὶ τιμωρούμενος, καὶ οὐ φείσεται ἐπάγων αὐτῷ τὰ ἐξ ὀργῆς.

« Ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται· κροτήσει ἐπ' αὐτοὺς χεῖρας αὐτῶν, καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου D αὐτοῦ. »

Εἴωθεν ἡ Γραφὴ ὡς πολέμιον σχηματίζειν τὸν Θεὸν, ὅταν βούληται τὴν κατὰ τῶν ἀσεβῶν θείαν ἐνδείξασθαι κίνησιν [v]· αὐτίκα γοῦν ὁ Δαβὶδ καὶ ὅπλον αὐτῷ περιτίθησι, καὶ ἀκόντιον δίδωσιν, ἐν οἷς ψάλλων φησὶν, *Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ*· καὶ πάλιν, *Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον*· καὶ ἀλλαχοῦ, *Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ τὰ βέλη ἡτοίμασε*. Τοῦτο κἀνταῦθα ποιεῖ, τὸν μὲν Θεὸν, δι-

Divitiæ impiorum somnium sunt. Quemadmodum enim pauperes nonnulli mensa regia in somnis frui sibi visi sunt, verum quæ iis apparuerant, præter somnum et somnii errorem, nihil erant; experrecti enim et oculos aperientes, nihil invenerunt; eadem impii sors est et conditio: haud secus enim quam in somnis beatus, miser et infortunatus est: simul enim ut oculos ad videndum ea quæ congesserat aperuerit, non videt; illa enim non sunt, sed evanuerunt et perierunt; ita impio fluxa est divitiarum fruitio, et facile ab eo transfertur.

VERS. 20. « Occurrerunt ei, sicut aqua, dolores. »

Undique scilicet coarctantes, suffocantes, et ad intima viscera usque pertingentes. Symmachus autem pro *doloribus*, reddidit *inexsistentiam*, bonorum privationem, unde dolor creatur, sic appellans.

VERS. 20. « Nocte autem sustulit eum caligo. »

Quemadmodum, inquit, noctis tenebræ reddunt omnia obscura, ut cerni non possint; sic etiam impius, calamitate tanquam nocte tectus, non cernitur, neque in rerum natura exsistere videtur.

VERS. 21. « Tollet autem eum æstus, et abibit, et ventilabit eum de loco suo. »

Variis similitudinibus destructionem impii et interitum describit. Perit enim, inquit, tanquam lana a tinea comesta, tanquam araneæ tela dissipatur, tanquam phantasmata quæ in somnis apparent non subsistit, tenebræ eum e conspectu subducunt, tanquam venti æstu ac flatu discussus abit et evanescit, et ultrice quadam potestate illum invadente, abripiente, et de loco suo transferente, tanquam pulvis a turbine ventilatur, et instar palearum quæ lenibus ventorum flabris jactantur: ut verum sit hoc loco illud: *Quæres locum ejus, et non invenietur* [40].

VERS. 22. « Et projiciet super eum, et non parcet. »

Vindex, inquit, et ultor subito, instar furis, irruet et incidet in impium, et ira inflammatus, supplicia illi infligere nequaquam parcet.

VERS. 22, 23. « De manu ejus fuga fugiet: plaudet super eos manibus suis, et exsibilabit eum de loco suo. »

Solet Scriptura Deum, tanquam hostem, introducere, cum in impios divinum impetum ostendere vult: et, ne longe abeam, David in Psalmis armis eum induit, et jaculo instruit: *Apprehende arma et scutum* [41]. Et rursus: *Effunde frameam, et conclude* [42]. Et alibi: *Arcum suum tetendit, et paravit sagittas* [43]. Idem hic facit, Deum inducendo tanquam hostem persequentem, impium vero fuga sibi con-

[40] Psal. XXXVI, 10. [41] Psal. XXXIV, 2. [42] ibid. 3. [43] Psal. VII, 13.

VARIÆ LECTIONES.

[v] γρ. νίκησιν.

Digitized by Google

sulentem, et Deum quidem tanquam devincentem, propter victoriam gestientem, manus complodentem, et impium e loco suo extrahentem, id est, de pristina felicitate ac commorandi loco et habitatione deturbantem. Considera autem quod justus, qua par est sanctimonia, ad Deum clamet : *Quo ibo a spiritu tuo, et a facie tua quo fugiam*[44] ? impius autem, tanquam a Deo fugere posset, et manum quæ ad omnia pertingit evitaturus esset, aufugiat ; nihilominus apprehendatur, capiatur, et superetur ; quodque facere solent qui clamore sublato victoriam testantur, super eo fiat, manuum scilicet complosio, exsibilatio, et a veteri domicilio profligatio.

A

CAP. XXVIII.

Vers. 1-3. « Est enim argento locus unde fit, locus autem auro unde percolatur. [*Cæteri autem*, unde conflatur.] Etenim ferrum quidem de terra fit, æs autem similiter ut lapis cæditur. [*Hebræus autem*, e lapidibus funditur.] Ordinem posuit tenebris, et omnem finem ipse perscrutatur. »

Pro quo, Aquila, *finem*, Theodotio, *terminum*, Symmachus, *præscriptionem*, interpretati sunt. Hoc autem dicere vult, quod qui vilibus quibuscunque rebus ordinem præscripsit, multo magis in rebus humanis hoc faciat ; et quod provideat, et rerum omnium curam gerat, nihilque temere aut fortuito eveniat. Vel potius hoc dicit, cætera quidem manifesta esse, divinam autem dispensationem, omnem conjecturam et cognitionem longe superare ; simul etiam Verbi opificis sapientiam docet, et harmoniam quam mirifica et prudenti sua operatione, et ordine singulis tributo, rebus omnibus indidit ; nec non, quemadmodum nos discursu et intelligentia cum ratione conjuncta ornatos honoraverit, nihilque indiscretum et confusum fecerit, sed singulis locum suum tribuerit ; auri enim fodina argentum non profert, neque argenti vicissim aurum gignit ; ex una terra ferrum effoditur, ex alia æs a latomis eruitur. Hoc autem dixit, non quod montes ænei sint, sed quod arte metallica, quam Deus hominibus largitus est, excisi, æs et ferrum proferunt ; sub terra enim prædictæ materiæ reperiuntur. Et noctis quidem tenebræ luci appropinquanti cedunt, ac dies nocti ordinatione divina vicissim succedit, fitque harum assumptio et subtractio mutua, et (ut paradoxum loquar) inæquabilitatis æqualitas quædam.

B

C

D

« Lapis, tenebræ, et umbra mortis, [Vers. 4] decisio torrentis a pulvere. »

Lapides quidem, inquit, qui a lapicidis effodiuntur, in profundo, et sub ipsa mortis umbra jacent, quasi diceret, in imis terræ partibus, et alta obscuritate : pulvis autem terræ ex qua per defæcationem ferrum, vel alia metallica materia fit, sub torrente

[44] Psal. CXXXVIII, 7.

ΚΕΦ. ΚΗ'.

« Ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται, τόπος δὲ χρυσίῳ ὅθεν διηθεῖται. [*Οἱ δὲ λοιποὶ*, ὅθεν χωνευθῇ.] Σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται, χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. [*Ὁ δὲ Ἑβραῖος*, Ἀπὸ λίθων χωνεύεται, *ἔφη*.] Τάξιν ἔθετο σκότει, καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται. »

Ἀνθ' οὗ Ἀκύλας, Θεοδοτίων, καὶ Σύμμαχος, ὁ μὲν, *τέλος*, ὁ δὲ, *πέρας*, ὁ δὲ, *προθεσμίαν*, ἐξέδωκε. Τοῦτο βούλεται εἰπεῖν, ὅτι ὁ ἐν τοῖς τυχοῦσι τάξιν ὁρίσας, πολλῷ μᾶλλον ἐν τοῖς ἀνθρωπίνοις, καὶ ὅτι προνοεῖ, καὶ μέλει τῶν πραγμάτων αὐτῷ, καὶ οὐδὲν ἁπλῶς οὐδὲ εἰκῇ γίνεται. Ἢ μᾶλλον ἐκεῖνό φησιν, ὅτι τὰ μὲν ἄλλα δῆλά ἐστιν, ἡ δὲ τοῦ Θεοῦ οἰκονομία ἀτέκμαρτος καὶ ἄγνωστος· καὶ ὁμοῦ μὲν διδάσκει τὴν τοῦ δημιουργοῦ Λόγου σοφίαν, καὶ τὴν ἁρμονίαν ἣν τοῖς πᾶσιν ἐπέθηκεν, ὑπερφυῶς καὶ σοφῶς αὐτὰ ἐξεργασάμενος, καὶ τάξιν ἑκάστῳ δεδωκώς· ὁμοῦ δὲ καὶ ὅπως ἡμᾶς ἐτίμησε, λογισμῷ κοσμήσας καὶ γνώσει λογικῇ, καὶ ὅτι οὐδὲν ἄκριτον παρ' αὐτοῦ πεποίηται, ἀλλὰ τόπον ἑκάστοις ἀφώρισεν· οὔτε γὰρ ἡ χρυσῖτις γῆ ἄργυρον φέρει, οὔτε ἡ ἀργυρῖτις χρυσόν· καὶ ἐξ ἄλλης μὲν σίδηρος μεταλλεύεται, χαλκὸς δὲ ἐξ ἑτέρας λατομεῖται. Τοῦτο δὲ εἶπεν, οὐχ ὅτι χαλκᾶ ὄρη τυγχάνουσιν, ἀλλ' ὅτι λατομούμενα κατὰ τὴν δοθεῖσαν ἀνθρώποις ὑπὸ Θεοῦ μεταλλικὴν [γ] τέχνην, χαλκὸν καὶ σίδηρον φέρουσι, τῶν προειρημένων ὑλῶν ὑπὸ γῆς εὑρισκομένων. Καὶ τὸ μὲν τῆς νυκτὸς σκότος παραχωρεῖ τῷ φωτὶ πλησιάζοντι, ἡ δὲ ἡμέρα τῇ νυκτὶ ὑπεξίσταται, κατὰ τὴν θείαν διάταξιν, καὶ γίνεταί τις τούτων πρόσληψίς τε καὶ ἀνθυφαίρεσις, καὶ τῆς ἀνισότητος ἰσότης, ἵν' εἰπω τι καὶ παράδοξον.

« Λίθος, σκοτία, καὶ σκιὰ θανάτου, διακοπὴ χειμάρρου ἀπὸ κονίας. »

Λίθοι μὲν, φησὶν οἱ μεταλλευόμενοι ἐν βάθει που κεῖνται, καὶ ὑπ' αὐτὴν τοῦ θανάτου τὴν σκιὰν, ἵνα εἴπῃ, ἐν τοῖς κατωτάτω, καὶ ἐν σκοτίᾳ βαθείᾳ· ἡ δὲ τῆς γῆς τοιάδε κόνις, ἀφ' ἧς διυλιζομένης, σίδηρος ἢ ἄλλη τις ὕλη μεταλλικὴ γίνεται, ὑπὸ χειμάρρουν καὶ

VARIÆ LECTIONES.

[γ] *Ισ.* ἀλαλαζόντων. [γ] *Ισ.* μεταλλευτικήν.

Digitized by Google

κονίαν κρύπτεται. Ἢ σαφέστερον εἰπεῖν, ἡ εἰς γένεσιν τυχὸν σιδήρου χρήσιμος ὕλη, πολλάκις ἐν ὕδασιν εὑρίσκεται, καὶ διακοπτομένη κονία τις ὑπὸ χειμάρρου τὸν σίδηρον ἔθρεψεν. Ἴσως δὲ ἄλλην ὠδίνει διάνοιαν τὰ προκείμενα, ὅτι καὶ λίθους τοὺς ἐν βάθει κειμένους, καὶ οἷον ἐῤῥιζωμένους, φορὰ χειμάρρου εἰς τοὐμφανὲς ἤγαγε, τὴν ὑποκειμένην γῆν διακόψασα, καὶ τὴν ἀστήρικτον κονίαν κατασύρασα.

A et glarea latet. Vel, ut apertius dicam, materia quæ ad gignendum ferrum, exempli gratia, utilis est, sæpenumero in aquis reperitur, et glarea a torrente proscissa ferrum nutrit. Forte etiam alium sensum hæc verba parturiunt, quod scilicet torrentis impetus terram substratam proscindens, et instabilem glaream secum abripiens, lapides qui in profundo jacent, et quasi radicibus nixi sunt, in apertum proferat.

« Οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν, ἐκ βροτῶν ἐσαλεύθησαν. »

« Et qui obliviscuntur viam justam, infirmati sunt: ex hominibus commoti sunt. »

Ἰδ quod in fluviorum salebris accidere solet, imaginem et exemplar exitii impiorum facit. Quemadmodum, inquit, arena a torrente discinditur et abripitur; ita qui in eo quod bonum et honestum est

B minime stabiliuntur, neque memores sunt viæ quæ ad virtutem ducit, ut in ea ambulent, infirmi sunt, et e félicitatis statu in quo erant decidunt, et ex hominum conspectu abripiuntur.

« Τὸ συμβαῖνον περὶ τὰς τῶν ποταμῶν χαράδρας, εἰκόνα καὶ παράδειγμα τοῦ ὀλέθρου τῶν ἀσεβῶν πεποίηται. Ὥσπερ γὰρ, φησὶν, ἡ κονία ὑπὸ τοῦ χειμάῤῥου διακόπτεται καὶ παρασύρεται· οὕτω καὶ οἱ μὴ ἡδρασμένοι ἐν τῷ καλῷ, μηδὲ μεμνημένοι τῆς εἰς ἀρετὴν φερούσης ὁδοῦ, ὥστε ἐν αὐτῇ περιπατεῖν, ἀσθενοῦσί τε καὶ τῆς ἐν ᾗ ἐστήκασιν εὐδαιμονίας ἀποπίπτουσι, καὶ ἐξ ἀνθρώπων ἁρπάζονται.

Vers. 5. « Terra, ex ea egredietur panis, de subtus ea versatum est sicut ignis. »

« Γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος, ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ πῦρ. »

Cum dixisset quod quædam terra aurum, alia argentum, alia æs, alia ferrum producat, addit nunc quod alia sit terra quæ seminetur, et semina in suis sulcis suscipiat, ac deinde nativo suo calore, tanquam igne, injectum semen dissolvat, et per insitæ facultatis seminalis multiplicationem, spicam emittat, unde panis confici possit. Potest etiam et versus in geminum sensum divisus sic intelligi, quod alia quidem terra ad seminum receptionem

C idonea, alia vero sulphurea sit. Illud enim : *Sicut ignis subtus ea versatum est*, id est, Ita sulphur intus alit, ut ignis videatur ei substratus esse.

Εἰπὼν ὅτι γῆ ἡ μέν τις χρυσὸν, ἡ δὲ ἄργυρον, ἡ δὲ χαλκὸν, ἡ δὲ σίδηρον φέρει· προστίθησι νῦν ὅτι ἑτέρα πάλιν γῆ κατασπειρομένη, καὶ ἐν ταῖς ἰδίαις λαγόσιν ὑποδεχομένη τὰ σπέρματα, εἶτα ὥσπερ πυρὶ τῇ οἰκείᾳ θέρμῃ διαλύσασα τὸ καταβληθὲν, καὶ τοῦτο τῇ ἐνούσῃ αὐτῇ σπερματικῇ δυνάμει πολυπλασιάσασα, ἀναδίδωσι τὸν ἄσταχυν εἰς ἄρτου ποίησιν. Ἔστι δὲ καὶ εἰς δύο ἐννοίας τὸν στίχον μερίσαντας οὕτω νοῆσαι, ὅτι γῆ ἡ μὲν εἰς σπερμάτων ὑποδοχὴν ἐπιτηδεία, ἡ δὲ θειώδης ἐστί. Τὸ γὰρ, *Ὡσεὶ πῦρ ἐστράφη ὑποκάτω αὐτῆς*, ἀντὶ τοῦ, Οὕτω τρέφει τὸ θεῖον, ὡς δοκεῖν ὅτι πῦρ κάτωθεν αὐτῆς ὑπεστόρεσται.

Vers. 6. « Locus sapphiri lapides ejus, et ager aurum ei. »

« Τόπος σαπφείρου οἱ λίθοι αὐτῆς, καὶ χῶμα χρυσίον αὐτῷ. »

Hæc quidem, inquit, terra lapides pretiosos producit, alterius autem pars egesta, et in fornace cocta, auro progignendo conducit.

Vers. 7, 8. « Semita quam non cognovit avis, nec vidit eam oculus vulturis, et non calcaverunt eam filii superborum, non transiit super eam leo. »

« Τρίβος ἣν οὐκ ἔγνω αὐτὴν πετεινὸν, καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπὸς, καὶ οὐκ ἐπάτησαν αὐτὸν υἱοὶ ἀλαζόνων, οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων. »

Ταύτην, φησὶ, τὴν ὁδὸν τῆς μεταλλικῆς [z] τέχνης, οὐ γυψὶ τοῖς ὀξυωπεστάτοις, καὶ ἄνωθεν ἐξ ὕψους τὰ

D ἐν βάθει κείμενα καθορῶσιν, οὐδὲ τοῖς λοιποῖς πετεινοῖς ὁ Θεὸς ἐδωρήσατο· οὐδὲ λέοντες, ἢ τὰ ἕτερα μεγάλα θηρία (ταῦτα γὰρ *υἱοὺς ἀλαζόνων* καλεῖ) ταύτην εἰλήφασιν παρὰ Θεοῦ σοφίαν, ἀλλ' ἢ μόνος ἄνθρωπος.

Deus, inquit, hanc artis metallicæ viam non vulturibus, qui acerrimi sunt visus, et ex alto cernunt ea quæ in profundo posita sunt, neque reliquis volucribus, largitus est; neque leones, et aliæ feræ magnæ (quas *superborum filios* vocat) hanc sapientiam, quæ homini soli data est, a Deo acceperunt.

« Ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ, κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη, θῖνας δὲ ποταμῶν διέῤῥηξε. »

Vers. 9. « In durissimo lapide extendit manum suam, et evertit a radicibus montes, et ripas fluminum dirupit. »

Pro, *ripis*, Theodotio quidem, *munimenta*, Symmachus autem, *fluenta*, interpretatus est. Verborum autem sensus juxta nonnullos hic est, quod

[a] Τὸ ἀντὶ τοῦ, *θῖνας*, Θεοδοτίων μὲν, *ὀχυρώματα*, Σύμμαχος δὲ, *ῥεῖθρα*, ἐξέδωκεν. Ἡ γε μὴν τῶν ῥητῶν διάνοια κατὰ μέν τινας αὕτη, ὅτι ὁ ὑπὸ Θεοῦ

VARIÆ LECTIONES.

[z] *Isc.* μεταλλευτικῆς.

Digitized by Google

homo a Deo edoctus, ne montium quidem vertices intactos reliquerit; sed patefaciens et perrumpens petras præduras, fontes aquarum inde cum impetu fluentes evocaverit, et editos quosdam montes cum reliqua terra complanaverit. Verum, mea opinione, non ut fontes investiget homo, ferreum instrumentum silicibus et petris præduris immittit, montes evertit, et fluminum ripas perfringit; sed venas quasdam auri et argenti, vel materiam aliam metallicam sollicite indagans, lapides curiosius scrutatur, montes perfodit, et quod in fluviorum fundo est, rimatur.

Vers. 10. « Omne vero pretiosum vidit oculus meus. »

Dixit supra, solum hominem harum rerum scientia imbutum esse; quare, cum homo sit qui hæc loquatur, quod generi humano commune est, sibi appropriat, dicitque: Nihil quod præclarum et pretiosum hominum judicio habetur meam inventionem et intellectum fugit, sed cuncta indagans, singulorum naturam perspexi et assecutus sum.

Vers. 11. « Et altitudines fluminum revelavit. »

Theodotio autem, *scrutatus est*, ac si diceret: Nihil non investigatum reliquit, sed propter magnam ejus et sedulam diligentiam, vel potius sapientiam a Deo ipsi concessam, etiam ea quæ sub aquis mersa latent, cognita illi erant.

« Et ostendit virtutem suam in lumine. »

Id est, In apertum protulit, et facultatem et gratiam sibi a Deo tributam palam omnibus ostendit.

Vers. 12, 13. « Sapientia autem unde inventa est? [*Cæteri autem*, ubi invenietur?] Et qualis locus est scientiæ? Non novit homo viam ejus, neque inventa est in hominibus. »

Aquila vero, *ordinem*, Theodotio, *intelligentiam*, et Symmachus, *pretium*, interpretatus est. Sapientiam hoc loco, ut volunt nonnulli, opifices rerum causas et rationes appellat, quibus condita sunt universa, et gubernantur. Hæc enim, inquit, sapientia, quam homines e terra oriundi capere non possunt, in nullo loco, prout materiæ supradictæ, inveniri potest; sed peculiariter, ut sine errore et recto cursu saltem ad partem ejus aliquam perveniamus, Deo præceptore egemus: perfectio enim in hac vita non est, sed in ænigmate videmus[65]; idcirco, inquit, viam ejus mortalis non novit, prout scire eam oportet.

Vers. 15, 16. « Non dabit conclusuram pro ea, et non pendetur argentum commutatio ejus, et non conferetur auro Sophir. »

Symmachus *non rejicietur* dixit, pro *non conferetur;* et Aquila pro *Sophir* transtulit, *primo*. Sophir autem, prout supra dictum est, regio Indiæ est, circa quam lapides pretiosi et aurum præstantissimum gignitur. Sapientiam autem cum omnibus

[65] I Cor. XIII, 12.

A συνετισθεὶς; ἄνθρωπος, οὐδὲ τὰς τῶν ὀρῶν κορυφὰς ἀνεπάφους εἴασεν, ἀλλὰ τὰς ἀκροτόμους ἀναστομώσας καὶ ἀναῤῥήξας, ῥοιζηδὸν ἐκεῖθεν πηγὰς ὑδάτων ἐξεκαλέσατο, καὶ ὄρη δέ τινα ἀνεστηκότα πρὸς τὴν λοιπὴν γῆν ἐξωμάλισε. Κατ' ἐμὲ δὲ καὶ τὴν ἐμὴν δόξαν, οὐχὶ πηγὰς ὑδάτων μαστεύων ὁ ἄνθρωπος, ταῖς ἀκροτόμοις πέτραις ἐπιβάλλει τὸ ἐγχειρίδιον, καὶ ὄρη καταστρέφει, καὶ ποταμῶν ὄχθας ῥήγνυσιν· ἀλλὰ φλέβας τινὰς χρυσίτιδας, ἢ ἀργυρίτιδας, ἢ ἑτέραν ὕλην μεταλλικὴν πολυπραγμονῶν, καὶ λίθους περιεργάζεται, καὶ ὄρη διορύττει, καὶ βάθη ποταμῶν ἐρευνᾷ.

« Πᾶν δὲ ἔντιμον εἶδέ μου ὁ ὀφθαλμός. »

Εἶπεν ὅτι τὰ τοιαῦτα μόνος ὁ ἄνθρωπος ἐσοφίσθη· B ἐπεὶ δὲ καὶ ὁ αὐτὸς ὁ ταῦτα λέγων ἄνθρωπος ἦν, τὸ κοινὸν εἰς ἑαυτὸν ἀναδεχόμενος, φησὶν, ὅτι Οὐδὲν τῶν παρὰ ἀνθρώποις καλῶν καὶ τιμίων τὴν ἐμὴν εὕρεσιν καὶ κατάληψιν διαπέφευγεν, ἀλλὰ πάντα ζητήσας εἶδον καὶ κατέλαβον.

« Βάθη δὲ ποταμῶν ἀνεκάλυψεν. »

* Ὁ δὲ Θεοδοτίων, *ἐξηρεύνησεν*· ἵνα εἴπῃ, Οὐδὲν ἀφῆκεν ἀζήτητον, ἀλλὰ καὶ αὐτὰ τὰ ὑπὸ τὸ ὕδωρ λανθάνοντα εἰς γνῶσιν αὐτῷ ἦκεν, ἐκ πολλῆς ἄγων πολυπραγμοσύνης, ἢ καὶ θεοδότου σοφίας.

« Ἔδειξε δὲ αὐτοῦ δύναμιν εἰς φῶς. »

* Τουτέστιν εἰς τὸ φανερὸν ἐξήγαγε, καὶ δῆλην ἔθηκε τὴν δοθεῖσαν αὐτῷ παρὰ Θεοῦ δύναμιν καὶ C χάριν.

« Ἡ δὲ σοφία πόθεν εὑρέθη; [*Οἱ δὲ λοιποὶ*, εὑρεθήσεται;] Ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης; οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς, οὐδὲ μὴν εὑρέθη ἐν ἀνθρώποις. »

* Ἀκύλας δὲ, καὶ Θεοδοτίων, καὶ Σύμμαχος, ὁ μὲν, *τάξιν*, ὁ δὲ, *σύνεσιν*, ὁ δὲ, *τίμημα*, ἐξέδωκε. Σοφίαν ἐνταῦθα, καθά τισιν ἔδοξε, τοὺς δημιουργικοὺς λόγους καλεῖ, καθ' οὓς τὰ ὄντα πεποίηται, καὶ διεξάγεται. Ταύτην γὰρ, φησὶ, τὴν σοφίαν, ἀχώρητον οὖσαν τοῖς ἀπὸ γῆς, οὐκ ἐν τόπῳ τινὶ δυνατὸν εὑρεῖν, ὡς τὰς προῤῥηθείσας ὕλας τυχὸν, ἀλλ' ἰδικῶς Θεοῦ διδασκάλου δεόμεθα, ἐφ' ᾧ μέρει γοῦν αὐτῆς ἐπιλαβεῖν ἁπλανῶς· οὐ γὰρ ἐν τῷ νῦν βίῳ τὸ τέλειον, D ἀλλὰ βλέπομεν ἐν αἰνίγματι· διὰ τοῦτο, ὡς δεῖ εἰδέναι, φησὶν, οὐκ οἶδε βροτὸς τὴν ὁδὸν αὐτῆς.

« Οὐ δώσει συγκλεισμὸν ἀντ' αὐτῆς, καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς, καὶ οὐ συμβασταχθήσεται χρυσῷ Σωφίρ. »

Ἀκύλας δὲ καὶ Σύμμαχος, ὁ μὲν ἀντὶ τοῦ, *οὐ συμβασταχθήσεται, οὐκ ἀναβληθήσεται*, εἶπεν· ὁ δὲ ἀντὶ τοῦ, *Σωφείρ, πρωτείῳ*, ἐξέδωκε. Σωφεὶρ δὲ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται, χώρα τίς ἐστιν ἐν Ἰνδοῖς, περὶ ἣν οἱ πολύτιμοι τῶν λίθων πεφύκασι

Digitized by Google

γίνεσθαι, καὶ χρυσίον κάλλιστον· συγκρίνει δὲ τὴν σοφίαν πᾶσι τοῖς ὑπὸ τοῦ λογισμοῦ εὑρεθεῖσι, καὶ δείκνυσι ταύτην κατὰ πολλὴν περιουσίαν ὑπερφέρουσαν, καὶ οὔτε ὠνιον οὖσαν, ὡς τὰ ἄλλα, οὔτε ταῖς τιμιωτάταις τῶν ὅλων ὅλως ἐρχομένην εἰς σύγκρισιν· οὐ δώσει γάρ τις ἀγτ' αὐτῆς ὅλους θησαυροὺς, ὥστε αὐτὴν ὠνήσασθαι· *συγκλεισμὸν* γὰρ ὀνομάζει τὰ χρήματα, διὰ τὸ ταῦτα ἀσφαλῶς ἡμᾶς συγκλείειν· οὐδὲ ἀντισταθμηθήσεταί τι αὐτῇ· τοῦτο γὰρ τὸ, *οὐ συμβασταχθήσεται*, ὡς ἐπὶ πλαστίγγων· οὐδὲ ἀντισωθήσεται αὐτῇ χρυσίον πρωτεῖον, οὐκ ἀργυρίου πλῆθος ἀντιταλαντευθήσεται· οὐδὲν γὰρ τούτου τοῦ κτήματος ἴσον, οὐδὲν ἀντάξιον τῆς σοφίας λέγει.

« Ἐν ὀνυχι τιμίῳ καὶ σαπφείρῳ· οὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος. »

Οὐδὲ τῷ λεγομένῳ ὀνυχι λίθῳ, εἴτουν σαρδόνυχι, ἡ σοφία παραβληθήσεται, ἢ σαπφείρῳ, ἢ χρυσίῳ, ἢ τῷ διαυγεῖ κρυστάλλῳ, τοῦτον γὰρ ἐκάλεσεν *ὕαλον*· διὰ γὰρ τὸ σπάνιον εἶναι τὸ τῆς σοφίας χρῆμα καὶ θεόσδοτον, διὰ τοῦτο καὶ πάσης τιμίας ὕλης ἐπέκεινα.

« Καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ. »

Ἀνθ' οὗ ὁ Σύμμαχος, *Οὐδὲ ἀντικαταλλαγήσεται σκεύεσι χρυσοῖς*. Οὐδὲ γὰρ δύναται ταῦτα τῆς σοφίας εἶναι ἀντάλλαγμα,

« Μετέωρα καὶ γαβὶς οὐ μνησθήσεται. »

Τὸ, *γαβεὶς*, τὰ ἐπηρμένα ἔοικε σημαίνειν· οὕτω γοῦν λέγεται καὶ τὸ ὑπερέχον τοῦ χείλους τοῦ μεδίμνου· ὁ γὰρ Σύμμαχος οὕτως ἐκδέδωκεν, *Ὑψηλὰ καὶ ὑπερηρμένα οὐ μνησθήσεται*· ἵνα εἴπῃ, ὅτι πρὸς σύγκρισιν τῆς σοφίας οὐδὲ μνήμης εἰσὶν ἄξια πάντα τὰ παρὰ ἀνθρώποις δοκοῦντα ὑψηλά τε εἶναι καὶ τίμια.

« Καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα. »

Ἐσώτατα δὲ τὰ ἐν τοῖς ταμείοις ἔνδον ἀποκείμενα χρήματά φησιν· ὅθεν Ἀκύλας οὕτως ἐκδέδωκε, *Γλυκὺ δὲ σοφία παρὰ τὰ περίβλεπτα*, παραδηλῶν ὅτι κειμήλια ἐνόησε τὰ *ἐσώτατα*· τὰ γὰρ μάλιστα τιμιώτατα, οὐκ ἐν τῷ προχείρῳ, ἀλλ' ἐν τοῖς ἔνδον καὶ ἀποκρύφοις ἀποτιθέμεθα. Ὑπὲρ ταῦτα οὖν, φησὶ, τὴν σοφίαν σπάσον καὶ κάτασχε.

« Οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας, χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται. »

Λίθος διαυγέστατος τὸ τοπάζιον. Τὸ δὲ, *οὐ συμβασταχθήσεται*, ἀντὶ τοῦ, οὐκ ἀντισταθμηθήσεται· τὰ γὰρ ἀντισταθμώμενα, εἰς ἑκατέρας τὰς πλάστιγγας κείμενα, συμβαστάζεται· ἢ, ὅτι ὁ ταύτην κτησάμενος, οὐκ ἂν ἀνάσχοιτο σὺν χρυσίῳ καὶ αὐτὴν ἐπιφέρεσθαι, ἀλλὰ ταύτην μόνην.

Ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως; λέληθε πάντα ἄνθρωπον, καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη. Ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν, Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος. »

Αἱ μὲν μεταλλικαὶ, φησὶν, ὕλαι, καὶ πάντα τὰ ἀπηριθμημένα, ἐν τόποις τισὶν εὑρίσκονται, τὸ δὲ τῆς σοφίας κλέος ἔφθασε μὲν καὶ μέχρι τῶν κατα-

A quæ humano discursu et intellecta inveniuntur, comparat, illamque longe præstantiorem esse ostendit, quæ nec pretio ullo, ut alia, acquiri, aut cum rebus pretiosissimis in comparationem omnino venire possit : non enim, si omnes suos thesauros erogaverit, emere eam quispiam potest (pecunias enim *conclusuram* vocat, quia illas diligenter et in tuto nos concludamus), neque quidquam cum ea tanquam in eadem statera trutinabitur, idem enim valet illud, *conferetur* ; aurum optimæ notæ ei non adæquabitur, nec argenti summa copiosa contra appendetur : nihil enim huic possessioni par et æquale, nihil sapientiæ æquiparandum esse dicit.

« In onyche pretioso et sapphiro ; [Vers. 17] non æquabitur ei aurum et vitrum. »

B Sapientia neque cum lapide pretioso qui onyx sive sardonyx dicitur, neque cum sapphiro, vel auro, aut pellucido crystallo, quod *vitrum* nominavit, comparabitur : sapientia enim cum res rara sit, et a Deo concedatur, omnem pretiosam materiam exsuperat.

« Et commutatio ejus vasa aurea. »

Pro quo Symmachus, *Neque commutabitur vasis aureis* ; hæc enim cum sapientia compensari ne queunt.

Vers. 18. « Sublimia et Gabis non erunt in memoria. »

C *Gabis* ea quæ in altum elevantur, videtur significare ; sic enim pars labri quæ in medimno eminet appellatur ; et Symmachus sic interpretatus est : *Excelsa et elevata non commemorabuntur* ; ac si diceret : Quæcunque hominum æstimatione sublimia et pretiosa esse videntur, si cum sapientia conferantur, ne memoria quidem digna sunt.

« Et attrahe sapientiam super intima. »

Intima dixit bona quæ in promptuariis intus recondita servantur ; unde Aquila sic reddidit : *Sapientia superat dulcedine ea quæ conspicua et illustria sunt*, ostendens, se per *intima* pretiosam supellectilem intellexisse ; quæ enim præ cæteris pretiosa sunt, non in aperto aditu, sed in interioribus et abditis recessibus recondimus. Super hæc, inquit, sapientiam attrahe et retine.

Vers. 19. « Non æquabitur ei topazium Æthio- D piæ ; auro puro non conferetur. »

Topazium lapis est maxime pellucidus. Illud autem, *Non conferetur*, id est, in statera non contra appendetur ; quæ enim invicem librantur, utrique lanci imposita simul portantur : vel, quia qui hanc possidet, nollet eam una cum auro, sed solam tantum gestare.

Vers. 20-22. « Sapientia autem unde inventa est ? et qualis locus est intelligentiæ ? latuit omnem hominem, et a volucribus cœli abscondita est. Perditio et mors dixerunt, Audivimus vero ejus gloriam. »

Materiæ, inquit, metallicæ, et quæcunque alia enumerata sunt, in locis quibusdam reperiuntur, sapientiæ autem laus etiam ad inferos penetravit ·

Digitized by Google

ipsa vero sapientia, quæ res divina et invisibilis est, ac solo Dei munere hominibus tribuitur, neque ab hominibus, multo minus a creatura irrationali (quam per *volucres* significavit) in ullo loco comprehendi potest. Dicunt vero nonnulli, non de una eademque sapientia eum disserere, sed supra quidem de entium cognitione verba fecisse, hic vero de vitæ conversatione ex Dei præscripto, quam etiam merito *intelligentiam* vocat, utpote quæ circa illud quod optabile est, versetur. Hanc, inquit, homines simul, et angeli qui de cœlo lapsi sunt, oblivioni tradiderunt, unde morte et perditione quæ illorum naturis conveniat, detenti sunt.

A χθονίων· αὐτὴν δὲ τὴν σοφίαν, πρᾶγμα θεῖον καὶ ἀόρατον, καὶ ἐκ μόνης θείας δωρεᾶς ἀνθρώποις χορηγούμενον, οὐκ ἔστιν ἔν τινι τόπῳ καταλαβεῖν, θὔτε ἀνθρώπους, οὔτε πολλῷ μᾶλλον τὴν ἄλογον φύσιν, διὰ τῶν *πετεινῶν* δηλουμένην. Τινὲς δέ φασιν, ὅτι οὐ περὶ τῆς αὐτῆς διαλέγεται σοφίας· ἀλλ' ἀνωτέρω μὲν περὶ τῆς τῶν ὄντων γνώσεως ἔλεγεν, ἐνταῦθα δὲ περὶ τῆς κατὰ Θεὸν πολιτείας, ἣν καὶ *σύνεσιν* εἰκότως καλεῖ, ἅτε περὶ τὸ αἱρετὸν ἢ μὴ [a] στρεφομένην. Ταύτης οἵ τε ἄνθρωποι, φησὶν, ἐπελάθοντο, καὶ οἱ τῶν οὐρανῶν ἐκπεσόντες ἄγγελοι, ὅθεν θανάτῳ καὶ ἀπωλείᾳ κεκράτηνται καταλλήλως ταῖς φύσεσιν.

Vers. 23. « Dominus bene cognovit viam ejus *Symmachus vero*, intellexit, *interpretatus est*], et ipse novit locum ejus. »

« Ὁ Θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδὸν [ὁ δὲ *Σύμμαχος*, συνῆκεν, *ἐκδέδωκεν*], αὐτὸς δὲ οἶδε τὸν B τόπον αὐτῆς. »

Id est, radicem ejus, et quomodo, et unde scaturiat, et instar fontis emanet.

[a] Τουτέστι, τὴν ῥίζαν αὐτῆς, καὶ ὅπως, καὶ ὅθεν ἀναβλύζει τε καὶ πηγάζει.

Vers. 24, 25. « Ipse enim omne quod est sub cœlo perspicit, nota habens omnia quæ in terra, omnia quæ fecit.

« Αὐτὸς γὰρ τὴν ὑπ' οὐρανὸν πᾶσαν ἐφορᾷ, εἰδὼς τὰ ἐν τῇ γῇ, πάντα ἃ ἐποίησεν. »

Qui cuncta, inquit, novit, utpote qui ea creaverit, ille viam etiam sapientiæ cognoscit.

[a] Ὁ πάντα, φησὶν, εἰδὼς, ἅτε καὶ ποιήσας αὐτὰ, οὗτος καὶ τῆς σοφίας τὴν ὁδὸν ἐπίσταται.

« Ventorum libramentum, aquarum mensuras [Vers. 26] quando fecit. [*Pro quo Symmachus*, Aquam vero exæquavit mensura. *Aquila autem*, Aquam libravit in commensuratione.] Sic videns numeravit, et viam in concussione voces. » [*Symmachus autem*, ad strepitum vocum.]

« Ἀνέμων σταθμὸν, ὕδατος μέτρα ὅτε ἐποίησεν. [*Ἀνθ' οὗ ὁ μὲν Σύμμαχος*, Ὕδωρ δὲ ἐξίσωσε μέτρῳ· *ὁ δὲ Ἀκύλας*, Καὶ ὕδωρ ἐσταθμήσατο ἐν καταμετρήσει.] Οὕτως ἰδὼν ἠρίθμησε, καὶ ὁδὸν ἐν τινάγματι φωνάς. » [*Ὁ δὲ Σύμμαχος*, εἰς κτύπον φωνῶν.]

Quod dicit vero ejusmodi est : Hic tonitrua, quæ aere concusso fiunt, præparavit; illa enim, *voces in concussione*, appellat. Verborum autem simul junctorum hic sensus est : Hic videns voces in concussione, viam etiam earum numeravit, id est, rationes, causas, progressum, et motum sonorum qui a tonitru excitantur, novit.

[a] Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὗτος ἡτοίμασε καὶ C τὰς βροντὰς, ἃς τινασσόμενος ἀὴρ ἀποτελεῖ· ταύτας γὰρ καλεῖ *φωνὰς ἐν* τινάγματι. Ἡ δὲ σύνταξις αὕτη· Οὗτος ἰδὼν τὰς ἐν τινάγματι φωνὰς, ἠρίθμησε καὶ τὴν ὁδὸν αὐτῶν, τουτέστι, γινώσκει καὶ τοὺς λόγους, καὶ τὰς αἰτίας, καὶ τὴν πορείαν καὶ κίνησιν τῶν κατὰ τὰς βροντὰς ψόφων.

Vers. 17. « Tunc vidit eam, et exposuit eam; cum parasset, investigavit. »

« Τότε εἶδεν αὐτὴν, καὶ ἐξηγήσατο αὐτήν· ἑτοιμάσας ἐξιχνίασεν. »

Pro quo Theodotio, *Ordinavit eam et scrutatus est eam*. Qui omnia, inquit, opera sua debita mensura et proportione fecit, ita ut neque venti immodica violentia terræ incolis damnum inferant, neque nimius aquarum impetus terram destruat, vel inundet; qui postquam tonitrua non sine utilitate fabricatus esset, et, ut verbo absolvam, cum D prudenter omnia præparasset, ac diligenter investigasset, sive cognovisset, ac deinde in medium produxisset, et quod valde bona essent, contemplatus esset ac vidisset; tunc nobis etiam sapientiam suam, in operibus tanquam in tabella propositam, explicavit; et ex horum pulchritudine, et magnitudine, sapientiæ ejus invisibilia comprehendere possemus, Illud autem, *Cum parasset, investigavit*, non ideo dicit quia de operibus suis antea deliberarit; Deus enim prævia consultatione ad opus producendum non indiget, simul enim vult et in

Ἀνθ' οὗ Θεοδοτίων, *Διέταξεν αὐτὴν, καὶ ἐξηρεύνησεν αὐτήν*. Ὁ πάντα, φησὶ, τὰ ποιήματα συμμέτρως καὶ ἀναλόγως δημιουργήσας, ὡς μήτε ἀνέμους τῇ ἀμετρίᾳ τοὺς ἐπὶ γῆς λυμαίνεσθαι, μήτε τῶν ὑδάτων τὴν φορὰν ἐξ ὑπερβολῆς διαλύειν, ἢ καὶ ἐπικλύζειν τὴν γῆν, καὶ τὰς βροντὰς δὲ χρησίμως κατασκευάσας, καὶ ἁπλῶς πάντα σοφῶς ἑτοιμάσας, καὶ ἀκριβῶς ἐξιχνιάσας, εἴτουν εἰδὼς, εἶτα καὶ εἰς φανερὸν ἀγαγὼν, καὶ θεωρήσας, καὶ ἰδὼν ὅτι καλὰ λίαν· τότε καὶ ἡμῖν ἐξηγήσατο τὴν σοφίαν, πίνακί τινα προθεὶς αὐτῆς τὰ δημιουργήματα, ἵν' ἐκ τῆς τούτων καλλονῆς καὶ τοῦ μεγέθους τὰ τῆς σοφίας αὐτοῦ ἀόρατα καταλάβωμεν. Τὸ δὲ, *Ἑτοιμάσας ἐξιχνίασεν*, οὐ λέγει ὅτι προεβουλεύσατο περὶ τῶν ποιημάτων· οὐ γὰρ δεῖται προβουλιῶν ὁ Θεὸς εἰς τὸ δημιουργεῖν, ὁμοῦ δὲ θέλει, καὶ παράγει· ἀλλ' ἤδει μὲν ἃ πράττειν ἔμελλεν, ἑτοῖμα δὲ πάντα καὶ ἑδραῖα καὶ μετὰ πάσης ἀναλογίας ἐξιχνιασθέντα, ἐκ τοῦ

VARIÆ LECTIONES.

[a] *Ισ.* del. ἢ μή.

Digitized by Google

μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν. Οἱ δὲ νοοῦντες σοφίαν τὴν θεοσέβειαν, φασὶν ὅτι αὐτὸς ἀπεξεσμένως ἐδίδαξεν, ὅπως μὲν περὶ Θεοῦ δοξαστέον, ὅπως δὲ τοῖς ὁμογενέσι προσιτέον.

A actum producit; sed quæ facturus erat, prius cognita illi erant, et cuncta parata, stabilia, et exacta proportione ad amussim delineata, ex nihilo in lucem produxit. Qui autem sapientiæ nomine, religiosum Dei cultum intelligunt, quomodo de Deo nobis sentiendum, et cum iis qui congeneres et cognati nobis sunt versandum sit, polite et eleganter docuisse eum asserunt.

ΚΕΦ. ΚΘ'.

Προθεωρία.

Θαυμασίως τοῦ Ἰὼβ τὰ περὶ δυνάμεως Θεοῦ καὶ σοφίας ἐξηγησαμένου, καὶ διδάξαντος ὡς πάντων τιμίων ἡ σοφία τιμιωτέρα, καὶ σοφὸς ἐκεῖνος, ὁ θεοσεβὴς καὶ ἄκακος· πάλιν οἱ φίλοι ἡσύχασαν, οὐδὲν ἀντιλέγειν ἔχοντες. Διὸ πάλιν ὁ Ἰὼβ ἐξ ἑτέρας ἀρχῆς ποιεῖται τὸν λόγον, ἐρῶν μὲν γενέσθαι ἐν τῇ πρώτῃ εὐδαιμονίᾳ, καὶ ὑπὸ τὴν ἐπισκοπὴν τοῦ Θεοῦ· πολλὰ δὲ τῶν φίλων αὐτὸν ἐπ' ἀσεβείᾳ καὶ ἀδικίᾳ διαβεβληκότων, τῶν ἰδίων ἀνδραγαθημάτων ποιεῖται κατάλογον, μονονουχὶ λέγων ὅπερ ὕστερον ὁ Ἀπόστολος ἔφη, *Ἐγενόμην ἄφρων καυχώμενος, ὑμεῖς με ἠναγκάσατε.* Εἰ γὰρ καὶ γέγραπται, *Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὰ σὰ χείλη·* ἀλλὰ μάλιστα μὲν τοὺς τελείους πρὸς τοὺς τοιούτους ἐξάγει λόγους ἡ ἀνάγκη πολλάκις, ἀπαθῶς καὶ ἀτύφως τὰ καθ' ἑαυτοὺς ἐξηγουμένους. Οἰκονομεῖ δὲ καὶ Θεὸς ταῦτα γίνεσθαι πρὸς οἰκοδομὴν ἡμετέραν, ἵνα τῶν ἁγίων ἀνδρῶν τοὺς βίους ἀπεξεσμένας εἰκόνας ἀρετῆς ἔχοντες, καὶ πρὸς αὐτὰς ἐνατενίζοντες, τὸν ἡμέτερον ῥυθμίζωμεν βίον. Ἐκτραγῳδεῖ δὲ καὶ τὰ καθ' ἑαυτὸν, ἵνα ἡμεῖς ἐν ταῖς περιστάσεσι πρὸς τὰ αὐτοῦ παθήματα βλέποντες, παραμυθώμεθα. Διδάσκει δὲ καὶ δόγμα κάλλιστον, τὸ μὴ δεῖν ἑαυτὸν ἐξάγειν τοῦ σώματος διὰ τὸν συνδήσαντα. Πάλιν δὲ, οὐχ ὅτι δίκαιος ὢν πάσχει, προστίθεται τῇ μερίδι τῶν ἀσεβῶν, ἀλλὰ καὶ ταλανίζει τούτους, καὶ ἐφεξῆς κατάλογον ποιεῖται τῶν οἰκείων κατορθωμάτων, εἰς ἡμετέραν διδασκαλίαν τε καὶ ὠφέλειαν. Ταῦτα εἰρηκὼς ὁ Ἰὼβ, τὸν λόγον κατέλυσεν· ἡσύχασαν δὲ καὶ οἱ φίλοι δι' ἀπορίαν ἀντιῤῥήσεως· συνεπίσταντο γὰρ καὶ αὐτοὶ τῷ δικαίῳ κατορθώματα, *Ἦν γὰρ*, φησὶν, *Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.*

Protheoria.

Postquam Jobus de Dei potentia et sapientia admirabiliter disseruisset, ac rebus omnibus pretiosis pretiosiorem esse sapientiam, illumque qui Deum pie coleret, et vitam innocuam degeret, sapientem esse docuisset; amici, nihil quod opponerent habentes, rursus conticuerunt : unde Jobus, cum B pristina felicitate ac Dei præsidio frui cuperet, et amici ipsum impietatis ergo et injustitiæ, multum calumniarentur, sermonem aliunde exorsus, egregiorum suorum facinorum catalogum recenset, eisdem fere verbis quibus Apostolus postea usus est : *Fui insipiens in gloriando; vos me coegistis* [47]. Licet enim scriptum sit : *Laudet te vicinus, et non tua labia* [48]; necessitas tamen sæpenumero viros etiam perfectos, cum de seipsis verba faciunt, hoc sermonis genere, sine ullo fastu aut animi perturbatione, uti cogit. Deus vero providentia sua ad nostram ædificationem hæc fieri disponit, ut vitas sanctorum, tanquam virtutum imagines affabre politas, præ oculis habentes, et intuitu diligenti eas contemplantes, vitam nostram dirigere possimus. Statum autem rerum suarum lugubriter enarrat, ut in C angustiis constituti oculos nostros in ejus ærumnas conjicientes, solatium inveniamus. Dogma etiam excellentissimum tradit, non oportere scilicet quemquam violenta morte seipsum e corpore extrudere, propter eum qui corpus animæ conjunxit. Nec idcirco impiorum sorti se adjungit, quia, cum justus esset, adversa pateretur; sed contra miseriam eorum deflet, et ad nostram utilitatem et instructionem, egregiorum suorum facinorum catalogum deinceps pertexit. His dictis, Jobus orationi finem imposuit; et amici, cum nihil haberent quod regererent, silentium egerant : conscii quippe sibi erant, Justum egregia et præclara operatum fuisse, *Erat enim*, inquit, *Job justus coram eis* [49].

« Ἔτι δὲ προσθεὶς Ἰὼβ τῷ προοιμίῳ εἶπε, Τίς ἂν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ Θεὸς ἐφύλαξεν; »

VERS. 1, 2. « Adhuc autem adjiciens Job prooemio dixit : Quis utique me ponat juxta mensem priorum D dierum, quibus me Deus custodiebat? »

Θείαν φυλακὴν λέγει καὶ ἀντίληψιν, οὐ μόνον τὴν εὐπαιδίαν, καὶ τοῦ πλούτου τὴν περιουσίαν, ἀλλ' ὅτι καὶ ἐν τοσαύτῃ περιφανείᾳ τὸ δίκαιον ἄκρως ἐφύλαξεν, ὑπὸ τῆς ἐπισκοπῆς τοῦ Θεοῦ φρουρούμενος· διὸ καὶ ἐν ἐκείνοις εὔχεται γενέσθαι, οἷα φιλόθεος ὑπὸ τὴν τοῦ Θεοῦ σκέπην εἶναι ποθῶν.

Divinum præsidium et auxilium, non tantum sobolem præclaram, et divitiarum affluentiam, vocat; sed quod visitatione et ope divina munitus, justitiam in tanto splendore exactissime servaverit : idcirco tanquam Dei amans, ejusque tutela et præsidio tegi desiderans, ut pristinum statum recuperet, precatur.

« Ὡς ὅτε ἠύγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου, ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει. »

VERS. 3. « Sicut cum lucebat lucerna ejus super caput meum, cum lumine ejus ambulabam in tenebris. »

« Ὁ θεῖος νόμος καὶ λόγος ἐν τῇ διανοίᾳ τοῦ Ἰὼβ ὑπὸ Θεοῦ λαλούμενος, παρεσκεύασεν αὐτὸν ἐν τῇ

Lex, et sermo Dei in animo Jobi a Deo prolatus, tanquam *lucerna* quædam *super caput*, id est, desu-

[47] II Cor. XII, 11. [48] Prov. XXVII, 2. [49] Job XXXII, 2.

Digitized by Google

per lucem effundens, fecit ut in tenebris hujus vitæ, tanquam in luce, ambularet, et virtutis actiones perpetraret. Dicit igitur quod, divino lumine illustratus, bonis omnibus humanis abundaverit, et secure pietatis semitas calcaverit. Qui enim mandata divina, tanquam sidera semper lucentia, intuentur, ab iis irradiantur, ductumque eorum sequuntur, revera vias lucis in tenebris procellosæ hujus vitæ ambulant.

A σκοτομήνῃ τοῦδε τοῦ βίου, ὡς ἐν φωτὶ, πορεύεσθαι, καὶ τὰς κατ' ἀρετὴν ἐκτελεῖν πράξεις, οἷά τις λύχνος ὑπὲρ κεφαλῆς, τουτέστιν, ἄνωθεν λάμπων. Φησὶν οὖν, ὅτι Καὶ πᾶσι τοῖς ἀνθρωπίνοις ἐκόμων ἀγαθοῖς, καὶ ἀσφαλῶς τὰς κατ' εὐσέβειαν ὥδευον τρίβους, τῷ θείῳ φωτὶ καταλαμπόμενος. Φωτὸς γὰρ ὡς ἀληθῶς τρίβους ὁδεύουσιν ἐν τῷ σκότει τοῦ βιωτικοῦ κλύδωνος, οἱ, καθάπερ πρὸς ἀεὶφανεῖς ἀστέρας, τὰς θείας ἐντολὰς ὁρῶντες, κἀκεῖθεν αὐγαζόμενοι καὶ ὁδηγούμενοι.

Vers. 4. « Cum eram graveseens viis. »

Symmachus vero, *Sicut eram in diebus juventutis meæ*. Id est, Quando undique instar fructuosarum arborum, bonis, divitiarum, scilicet, affluentia, et actionibus juxta pietatis normam, per omnem viam onustus essem; cum non levis, et instar Euripi B instabilis, sed moribus gravis, constans et solidus, quod pulchrum et honestum erat, animo imperturbato sectarer.

« Ὅτε ἤμην ἐπιβρίθων ὁδούς. »

Ὁ δὲ Σύμμαχος, *Ὥσπερ ἤμην ἐν ἡμέραις νεότητός μου*. Τουτέστιν, ὅτε πανταχόθεν, ὥσπερ τὰ εὔκαρπα τῶν δένδρων, κατεβαρούμην τοῖς ἀγαθοῖς διὰ πάσης ὁδοῦ, τῇ τε περιουσίᾳ τοῦ πλούτου, καὶ ταῖς κατ' εὐσέβειαν πράξεσιν, οὐ κοῦφός τις ὢν καὶ εὐρίπιστος, ἀλλ' ἐμβριθὴς, καὶ στερεὸς τὸ ἦθος, καὶ ἀκλονήτως τὸ καλὸν μετερχόμενος.

Vers. 5. « Cum Deus visitationem faciebat domus meæ. »

Symmachus vero, *Quando circumsepiebat Deus tabernaculum meum*. Vides desiderium ejus esse ut visitationem et providentiam Dei manifestam faciat.

« Ὅτε ὁ Θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου. »

Ὁ δὲ Σύμμαχος, *Ὁπότε περιέφραττεν ὁ Θεὸς τὴν σκηνήν μου*. Ὁρᾷς ὅτι τοῦτο ἐπεθύμει, τὴν ἐπισκοπὴν καὶ τὴν πρόνοιαν δεῖξαι τοῦ Θεοῦ.

Vers. 5. « Cum eram materiatus nimis, et in circuitu meo pueri. »

Id est, Cum Deus visitatione sua me dignaretur, copiosam abundantiæ materiam habebam, et divitias ac sobolem præclaram virtutis materiam faciebam; divitias quidem pauperibus impertiendo, et C cum iis communicando, liberos autem juxta voluntatem divinam enutriendo, qui ductum meum sequebantur, et in me, tanquam in centrum, intuebantur ac respiciebant.

« Ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δέ μου οἱ παῖδες. »

Τουτέστιν, ὅτε τοῦ Θεοῦ ἐπισκοπῆς ἀξιοῦντος τὰ κατ' ἐμὲ, πολλὴν εἶχον τὴν ὕλην τῆς περιουσίας, καὶ τὸν πλοῦτον ὕλην ἀρετῆς ἐποιούμην, καὶ τὴν εὐπαιδίαν, κοινωνῶν μὲν τοῦ πλούτου τοῖς πένησι, τοὺς δὲ παῖδας κατὰ θεῖον ἐκτρέφων βούλημα, ἀγομένους ὑπ' ἐμοῦ, καὶ πρὸς ἐμὲ καθάπερ εἰς κέντρον ὁρῶντάς τε καὶ συννεύοντας.

Vers. 6. « Cum fluebant viæ meæ butyro, et montes mei fluebant lacte. »

Ex his pecorum multitudinem significat, quæ passim cum in montibus, tum in campis pascebantur : per butyrum enim et lac, armentorum multitudinem, et pecudum greges indicavit. Sensus autem est : *Viæ* Jobi in quibus ambulaverat, virtutes erant, quibus lactentes etiam alebat; *montes* autem, excelsæ et sublimes cogitationes.

« Ὅτε ἐχέοντο αἱ ὁδοί μου βουτύρῳ, τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι. »

Διὰ τούτων τὸ πλῆθος σημαίνει τῶν βοσκημάτων, ὡς πανταχοῦ νεμομένων ἔν τε ὄρεσι καὶ ἐν τοῖς πεδίοις· ἀπὸ γὰρ βουτύρου καὶ γάλακτος τῶν βουκολίων τὸ πλῆθος, καὶ ὧν θρεμμάτων τὰς ἀγέλας ἐμήνυσε. Πρὸς δὲ διάνοιαν· Ὁδοὶ τοῦ Ἰὼβ ἃς ὥδευσεν, ἀρεταὶ ἦσαν, δι' ὧν καὶ τοὺς νηπιάζοντας ἔτρεφεν, ὄρη δὲ, τὰ ὑψηλὰ νοήματα.

Vers. 7. « Cum exibam matutinus in civitate, et in plateis ponebatur mihi sella. »

Abundantiam suam priorem ac dignitatem, et deinde gloriam narrat, et quod aliorum institutioni et utilitati operam impenderit, non tanquam is qui sui amore ducitur, sed qui charitate, quæ publicum commodum quærit, præditus est. Instar enim principis alicujus et virtutis magistri, non somno et ebrietatibus vacabat, sed civibus lex et exemplar factus, summo mane charitate accensus, in plateis sedebat.

« Ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος. »

Τὴν παῤῥησίαν [b] λέγει, καὶ τὴν ἀξίαν τὴν πρότερον, εἶτα τὴν δόξαν, καὶ ὅτι διδασκαλίᾳ καὶ ὠφελείᾳ ἑτέρων ἐσχόλαζεν, οὐχ ὡς φίλαυτος, ἀλλ' ὡς ἀγάπην ἔχων ζητοῦσαν τὸ κοινῇ συμφέρον. Οἷα γάρ τις ἄρχων καὶ διδάσκαλος ἀρετῆς, οὐχ ὕπνῳ καὶ μέθαις ἐσχόλαζεν, ἀλλ' ἐξ ἀγάπης ἐωθινὸς ἐν ταῖς πλατείαις καθῆστο, νόμος καὶ τύπος τοῖς ἐν τῇ πόλει γινόμενος.

Vers 8. « Videntes me adolescentes absondebantur, senes autem omnes steterunt. »

« Ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται δὲ πάντες ἔστησαν. »

VARIÆ LECTIONES.

[b] *Isc.* περιουσίαν.

Digitized by Google

Οἱ μὲν νέοι τὴν ἡλικίαν, ἢ καὶ νεωτερικὸν ἦθος ἔχοντες, αἰδούμενοι τοῦ δικαίου τὴν ἀρετὴν, ὑπέστελλον ἑαυτοὺς, καὶ ἀπεκρύπτοντο· οἱ δὲ πρεσβύται καθ' ἡλικίαν, ἢ καὶ φρόνησιν ἔχοντες πρεσβυτικὴν, ἵσταντο, καὶ παρίσταντο, τιμῶντες τὸν δίκαιον, καὶ τῶν αὐτοῦ λόγων ἐπακροώμενοι· οὕτω πᾶσιν αἰδέσιμος ἦν τοῖς συνιέναι δυναμένοις, νεανίσκοις, φημὶ, καὶ γέρουσιν. Ἐμοὶ δὲ δοκεῖ καὶ τοὺς φίλους πλήττειν αὐτῷ ἐπεμβαίνοντας, δεικνὺς ὅτι πρὸ τούτου φοβερὸς ἦν αὐτοῖς καὶ ἐπίδοξος. A

« Ἅδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στόματι. »

Ἅδροὶ οἱ πλούσιοι· ἢ κατὰ τὴν τῶν λοιπῶν ἔκδοσιν, οἱ ἄρχοντες· οὗτοι παραχωροῦντες τῷ δικαίῳ τοῦ λόγου αὐτοὶ παρόντες [a] ἐσίγων. B

« Οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με, καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη. »

Ἐν τούτοις σιωπὴν ἅμα, καὶ φόβον, καὶ θάμβος παρίστησι. Ἐμακάριζον μὲν γὰρ αὐτὸν ἐπὶ τοῖς λόγοις τῆς χάριτος οἱ ἀκούοντες, καὶ οἱ ἔχοντες ἀκοὴν εἰς νοῦν τετρημένην, πρὸς οὐδὲν δὲ ἀντέλεγον· ὥσπερ ἂν εἰ ἐκεκόλλητο αὐτοῖς ἡ γλῶσσα, καὶ μὴ ἠδύνατο στρέφεσθαι, ὥστε λόγους τυποῦν καὶ μαιεύεσθαι, οὕτως ἐθαύμαζον τίνα τρόπον τὰ τοιαῦτα νοεῖ, καὶ καταλαμβάνει, καὶ λέγει τὰ σφόδρα παράδοξα, καὶ δυνάμενα ὠφελεῖν τοὺς ἀκούοντας.

« Ὅτι οὖς ἤκουσε καὶ ἐμακάρισέ με, ὀφθαλμὸς δὲ ἰδών με ἐξέκλινεν. » C

* Οὐκ ἰσχύων δηλαδὴ ἀντειπεῖν. Ἀκύλας δὲ καὶ Σύμμαχος, *Ἐμαρτύρησε περὶ ἐμοῦ*, ἐκδεδώκασι. Τί δὲ ἐμαρτύρησεν; Ὅτι ὑπερβολὴ ἦν προκοπῆς τῆς ἐν σοφίᾳ τοῦ Ἰὼβ, ὥστε τοὺς ἀκούοντας αὐτοῦ μὴ δυναμένους ἐνορᾶν τῇ μαρμαρυγῇ τῶν νοημάτων αὐτοῦ, ἐκκλίνειν τοὺς ὀφθαλμοὺς αὐτῶν, μὴ παρακολουθοῦντας τῇ βαθύτητι τῆς διανοίας αὐτοῦ. Εἶτα δεικνὺς τίνος ἕνεκεν ἐμακάριζον αὐτὸν, ἐπιφέρει·

« Εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ ἔλθοι [ὁ δὲ *Σύμμαχος*, κατῆντα], στόμα δὲ χήρας με εὐλόγησεν.

Ἀνθ' οὗ Θεοδοτίων, *Καὶ καρδίαν χήρας εὔφρανα*. D Ὁ δὲ νοῦς τῶν στίχων οὗτος· Ὁ κινδυνεύων, φησὶν, ἀπολέσθαι, μὴ ἀπολόμενος δὲ διὰ τὸ τῆς ἐμῆς τυχεῖν ἐπικουρίας, καὶ ἡ χήρα ἡ ἀπροστάτευτος προστάτην με εὑραμένη, ταῖς εὐλογίαις καὶ τοῖς ἐπαίνοις ἠμείβετο· οὐκ ἐπειδὴ ταύτῃ τῇ ἐλπίδι ἐποίουν, ἀλλ' ὅτι προσεδόκων ἐκ τοῦ βοηθεῖν τοῖς τοιούτοις γῆρας μακρὸν, ἀπὸ συνειδότος καλοῦ καὶ χρηστῶν ἐλπίδων.

« Δικαιοσύνην δὲ ἐνεδεδύκειν, ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι. »

Ἀντὶ πάσης τιμίας ἐσθῆτος, δικαιοσυνῃ καὶ δικαιοκρισίᾳ ἐκαλλωπίζετο· καὶ ταῦτα μὲν τὰ

Qui ætate juvenes, vel qui juvenilibus moribus præditi erant, virtutem Justi venerantes, subducebant se, et occultabantur; ætate autem grandiores, vel qui senili prudentia imbuti erant, justum honore colentes, et sermonibus ejus aurem præbentes, erecti juxta eum astabant : adeo omnibus quibus intelligendi facultas inerat, adolescentibus, inquam, et senibus, venerandus erat. Mihi vero, amicos etiam qui ipsi insultabant, his dictis pungere et ferire videtur, ostendens se prius formidabilem illis exstitisse, et in honore ab illis habitum fuisse.

Vers. 9. « Et potentes cessaverunt loqui, digitum imponentes super os. »

Divites, crassi, et opulenti, *potentes* hoc loco vocantur; vel, secundum aliorum interpretationem, *principes :* hi potestatem loquendi justo concedentes, præsente ipso, silentium agebant.

Vers. 10. « Qui autem audiverunt, beatificabant me; et lingua eorum gutturi eorum adhæsit. »

Iis verbis silentium simul eorum, et timorem, ac attonitum stuporem ob oculos proponit. Qui enim audiebant, auresque perforatas, quæ dicta ad animum transmitterent, habebant, pro sermonibus suis gratia plenis beatum illum prædicabant, nec in aliquo illi contradicebant; sed, lingua quasi palato adhærescente, ut ad formandas et obstetricandas voces movere illam non possent, cum stupore adeo, qua ratione talia quæ admirabilia valde et auditoribus utilia erant, intelligeret, comprehenderet, et loqueretur, attoniti admirabantur.

Vers. 11. « Quia auris audivit, et beatificavit me; et oculus videns me declinavit. »

Cum contradicere, scilicet, non posset. Aquila autem et Symmachus, *Testimonium de me perhibuit*, interpretati sunt. Quale autem testimonium perhibuit? Quod Jobus in sapientia profectus supra modum magnos fecisset, ita ut auditores radiantem splendorem sensorum intueri non sustinentes, nec mentis profunditatem assequentes, oculos eorum averterint. Deinde, causam cur ipsum beatum prædicarent, ostendens, subjungit :

Vers. 13. « Benedictio pereuntis super me veniat, [*Symmachus*, descendebat], et os viduæ benedixit me. »

Pro quo Theodotio, *Et cor viduæ lætificavi*. Sensus autem versuum hic est : Qui, inquit, de salute periclitabatur, non tamen periit, eo quod meum auxilium expertus sit, et vidua patrocinio destituta, me sibi patronum inveniens, benedictionibus et laudibus me compensavit : non quod ea spe hæc facerem, sed quia opem talibus ferendo, senectutem longam cum conscientia proba et spe bona conjunctam exspectabam.

Vers. 14. « Justitiam vero indutus sum, et vestitus sum judicio sicut diploide. »

Justitia, et judicii æquitate, pro omni pretiosa veste, ornabatur; et hæc quidem Jobi admiranda

VARIÆ LECTIONES.

[a] *Isc.* αὐτοῦ παρόντος.

Digitized by Google

vestimenta erant : impiorum autem indumenta longe alia : *Induunt* enim *maledictionem sicut vestimentum, et confusione sua, sicut diploide, operiuntur* [50].

A θαυμαστὰ τοῦ Ἰὼβ ἄμφια· ἐξ ἐναντίας δὲ τὰ τῶν ἀσεβῶν, *Ἐνδύονται* γὰρ *κατάραν ὡς ἱμάτιον, καὶ περιβάλλονται, ὡσεὶ διπλοΐδα, αἰσχύνην αὐτῶν.*

Vers. 16. « Et judicium quod non noveram, exquisivi. »

« Δίκην δὲ ἣν οὐκ ἤδειν, ἐξιχνίασα. »

Docet nos hoc loco quemadmodum judicare oporteat, ut si quando ad arbitrium vocemur, et arbitri inter fratres constituamur, lites eorum recte dirimere possimus ; inter judicandum enim, inquit, non aurem alterutri parti prius commodando, aut donis corrumpendo, sed cum accurata diligentia indagando et investigando, quod justum erat percepi. Hoc Jobi dictum, *Judicium quod non noveram, exquisivi*, contra eos usurpandum est qui temere pronuntiant, et condemnationis sententiam ferunt. Vidisti animum vigilem et sollicitum ; fortitudinem nunc et industriam intuere.

Ἐνταῦθα διδάσκει ἡμᾶς πῶς δεῖ δικάζειν, ἐάν ποτε κληθῶμεν ἐπὶ δίαιταν ἀδελφῶν, ὥστε διαιτῆσαι τὰ κατ' αὐτούς· ἐν γὰρ τῷ δικάζειν, φησὶν, οὐδὲν προμεμαθηκὼς ἐκ τινος τῶν μερῶν, οὐδὲ προδιαφθαρεὶς τὴν ἀκοὴν, ἀλλ' ἐπιμελῶς ἀναζητήσας καὶ ἐξιχνιάσας, κατείληφα τὸ δίκαιον. Τοῦτο λεκτέον πρὸς τὰς ἀπερισκέπτως ἀποφαινομένους καὶ κατακρίνοντας, ὅ τι Ἰὼβ φησι, *Δίκην ἣν οὐκ ἤδειν ἐξιχνίασα.* Εἶδες τὴν ἄγρυπνον ψυχὴν, ὅρα καὶ τὴν ἀνδρείαν καὶ τὴν σπουδήν. B

Vers. 17. « Confregi autem molas iniquorum. »

« Συνέτριψα δὲ μύλας ἀδίκων. »

Potentiam, inquit, eorum, quæ mordendi vim habet, elisi et dissipavi, ita ut ad novam deinceps injuriam inferendam inepti redderentur. Ambobus igitur proderat : hos quidem, ne paterentur, illos vero, ne mala inferrent, arcens et submovens, moderatioresque reddens, ac apostolicum illud adimplens : *Qui præest, cum diligentia* [51]. Deinde contentionem ejus validam et fortitudinem animadverte.

ᾗ [d] Τὸ δηκτικὸν αὐτὸ [d] τὴν δυναστείαν κατέλυσα, φησὶν, ὥστε λοιπὸν καὶ εἰς ἑτέραν ἀδικίαν ἀχρήστους γενέσθαι. Ἀμφοτέρους τοίνυν ὠφέλει, τοὺς μὲν τοῦ παθεῖν κακῶς, τοὺς δὲ τοῦ ποιεῖν κακῶς ἀπαλλάττων, καὶ σωφρονεστέρους ποιῶν, τὸ ἀποστολικὸν ἐκεῖνο πληρῶν, *Ὁ προϊστάμενος, ἐν σπουδῇ.* Εἶτα βλέπε τὴν εὐτονίαν καὶ τὴν καρτερίαν.

Vers. 18. « Dixi autem : Ætas mea senescet sicut truncus palmæ ; multo vivam tempore. » C

« Εἶπα δὲ, Ἡ ἡλικία μου γηράσει ὥσπερ στέλεχος φοίνικος· πολὺν χρόνον βιώσω. »

Pro quibus Symmachus, *Dicebam autem fore ut cum nido meo senescerem : gloria mea innovabitur præsens mihi.* Hæc, inquit, animo mecum versabam, eamque spem fovebam, quod justitiam exercens perpetuo florerem, et vitam longævam ducerem ; hoc enim per *pálmam* significat. Ac si diceret : Talia præstans, ad extremum vitæ spiritum me bonis fruiturum divini auxilii beneficio speravi.

Ἀνθ' ὧν ὁ Σύμμαχος, *Ἔλεγον δὲ, μετὰ τῆς νοσσιᾶς μου γηράσειν, ἡ δόξα μου ἀνανεάσει παροῦσά μοι.* Ταῦτα, φησὶ, κατ' ἐμαυτὸν ἐλογιζόμην, καὶ ἤλπιζον, ὅτι δικαιοσύνῃ συζῶν ἀειθαλὴς ἔσομαι καὶ πολυχρόνιος· τοιοῦτον γὰρ ὁ *φοῖνιξ*· ἵνα εἴπῃ, Τοιαῦτα ποιῶν, ἤλπισα μέχρι τέλους ἔχειν τὰ ἀγαθὰ, τῆς θείας ἀπολαύων ἐπικουρίας.

Vers. 19. « Radix aperta est super aquam, et ros morabitur in messe mea. »

« Ἡ ῥίζα διήνοικται ἐπὶ ὕδατος, καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου. »

Metaphorico sermone usus est, a planta metaphoram ducens, quæ radicibus humorem bibit, nutritur, fructum uberem ex irrigatione, et maturum ad messem producit. Instar arborum, inquit, quæ juxta aquas radices defixas habent, et propter carum decursus plantatæ sunt, florere et fructu abundare sperabam : et quemadmodum fructus rore et imbribus irrigati, ac plenitudinem adepti, tempore idoneo demetuntur et colliguntur ; ita ego consenescentem me in bonis, vitam cum morte commutaturum exspectabam. D

Μεταφορικῶς τῷ λόγῳ ἐχρήσατο, ὡς ἐπὶ φυτοῦ, ταῖς ῥίζαις ποτιζομένου, καὶ τρεφομένου, καὶ καρπὸν πολὺν ἐκ τῆς ἀρδείας φέροντος, καὶ πεπαινομένου [e] πρὸς θερισμόν. Ὥσπερ γὰρ, φησὶ, τὰ δένδρα, τὰ ἐπὶ ὑδάτων τὰς ῥίζας ἔχοντα, καὶ παρὰ τὰς διεξόδους τούτων πεφυτευμένα, οὕτως ἤλπιζον ἀνθηρὸς εἶναι καὶ κατάκαρπος· καὶ ὡς καρποὶ δρόσου καὶ ὑετῶν ἀπολαύσαντες, καὶ πλήρεις γενόμενοι, καθ' ὥραν θερίζονται· οὕτω προσεδόκων καταγηράσας τοῖς ἀγαθοῖς μεταλλάξειν τὸν βίον.

Vers. 20. « Gloria mea vana mecum. »

« Ἡ δόξα μου κενὴ μετ' ἐμοῦ. »

[50] Psal. cviii, 18, 29. [51] Rom. xii, 8.

VARIÆ LECTIONES.

[d] Ἰσ. αὐτῶν. [e] Ἰσ. πεπαινόμενον.

Digitized by Google

* Ἀλλὰ ματαία μοι, φησὶ, γέγονεν ἡ ἐλπὶς, εἰς τὸ ἐναντίον μοι τῶν πραγμάτων περιτραπέντων. A

« Καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται. »

Τοῦτο διχῶς νοητέον· ἢ, ὅτι τὸ κατ' ἐμοῦ τεταμένον τόξον οἱονεὶ παρὰ τῆς χειρὸς τοῦ Θεοῦ κατέχεται, καὶ δι' αὐτοῦ ἐπ' ἐμὲ οἱ τῶν πειρασμῶν ἄτρακτοι καὶ τὰ βέλη ἐπαφίενται· ἢ, ὅτι ὑπὸ τῆς θείας χειρὸς ὑπενόουν εὐθύνεσθαι τὰ κατ' ἐμὲ, καὶ οὕτω μοι πάντα κατὰ σκοπὸν ἐκβαίνειν καὶ εὐοδοῦσθαι, ὡς τὸ βέλος ὑπὸ εὐφυοῦς τοξότου πεμπόμενον, εὐθὺ τοῦ σκοποῦ φέρεται· ἀλλὰ διήμαρτον τῆς ἐλπίδος. Ταῦτα μεταξὺ εἰπὼν, πάλιν ἐπαναλαμβάνει τὸν ἀνωτέρω λόγον, καὶ δεικνὺς ὡς ἅπασιν ὑπῆρχε δημηγορῶν, αἰδέσιμός τε καὶ προσηνὴς, φησί· B

« Ἐμοῦ ἀκούσαντες προσέσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ· ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο. »

Προσεῖχον μὲν οἷς ἔλεγον, ἐμφαίνοντες ὅτι ἡδέως ἤκουον· ἐσιώπων δὲ, μηδὲν ἀντιθεῖναι, ἢ ἀντειπεῖν ἔχοντες. Θὺ προσετίθεσαν δὲ, νόμον ἡγούμενοι, καὶ κανόνα, καὶ στάθμην τὰ ἐμὰ ῥήματα· καὶ διὰ τοῦτο οὔτε προσθεῖναί τι τούτοις, οὔτε ἀφελέσθαι δυνάμενοι, οὕτω πάντες ἡττῶντο τῆς ἐμῆς διανοίας· κατείχετο γάρ μου ἡ καρδία καθάπερ τόξον ὑπὸ τῆς θείας χειρὸς, καὶ διὰ τοῦτο τοῦ ὀρθοῦ σκοποῦ τῶν νοημάτων οὐκ ἀπετύγχανον.

« Περιχαρεῖς δὲ ἐγίνοντο ὁπόταν αὐτοῖς ἐλάλουν· ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετὸν, οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν. » C

Ἔγκαρπα γὰρ ἦν αὐτοῦ τὰ ῥήματα, καὶ δραστήριον εἶχον δύναμιν ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς· πρῶτον γὰρ ἐποίει, εἶτα ἐδίδασκεν. Ἔπαινος δὲ καὶ τοῦ λέγοντος, ὅταν ἐμπράκτους ἔχῃ τοὺς λόγους· καὶ τοῦ ἀκούοντος, ὅταν μετὰ δίψης ἀκούῃ καὶ πόθου.

« Ἐὰν γελάσω πρὸς αὐτοὺς, οὐ μὴ πιστεύσωσι. »

* Ὁ δὲ Σύμμαχος, *Προσεγέλων αὐτοῖς, οἱ δὲ οὐκ ἐπίστευον*. Διατί δὲ οὐκ ἐπίστευον; διὰ τὸ ἐμβριθὲς τοῦ ἤθους, πεῖραν εἶναι τὸ πρᾶγμα νομίζοντες. Ἐν τούτοις δὲ ἦθος ὑπέγραψε διδασκαλικόν· οὕτω γὰρ ἐμβριθῆ προσήκει τὸν θεῖον εἶναι διδάσκαλον, ὡς καὶ προσγελῶντα καὶ χαριεντιζόμενον μὴ πιστεύεσθαι. D

« Καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν. »

* Ἀλλὰ καὶ θεία χάρις, φησὶ, τοῦ προσώπου μου ἀπέλαμπε, τῆς κατὰ ψυχὴν εἰρήνης προφαίνουσα τὸ κάλλος διὰ τῶν παρειῶν. Ἢ καὶ τοῦτο λέγει, ὅτι Τῶν ἐμῶν λόγων οὐδεὶς ἦν σκοτεινὸς καὶ ἀφεγγὴς, ἀλλὰ πάντες φωτὸς πεπληρωμένοι, καὶ τῷ σαφεῖ λευκαινόμενοι· πρόσωπον γὰρ τῶν διδασκάλων, ἡ αὐτῶν διδαχή· εἰκόνες γὰρ τῶν ψυχῶν οἱ λόγοι, καὶ διὰ τοῦ χαρακτῆρος τὸν πατέρα τοῦ λόγου γνωρίζομεν, οὐχ ἧττον ἢ ἀπὸ τῆς μορφῆς τῶν παίδων τοὺς τεκόντας. Τάχα δὲ, ἐπειδὴ ἔδειξε τὸ ἐμβριθὲς ἑαυτοῦ, καὶ τὸ πρὸς τοὺς φαύλους ἐπιτιμητικόν· οἱ δὲ τοιοῦτοι στυγνοὶ καὶ ἀμειδεῖς· διὰ τοῦτο ἐπήγαγεν

Verum rerum statu in contrarium mutato, spes mea inanis et irrita est facta.

« Et arcus meus in manu ejus graditur. »

Dupliciter hoc intelligendum est : vel quia arcus in me intentus, quasi Dei manibus teneatur, et ab eo tentationum sagittæ et tela in me vibrentur ; vel quia res meas manu divina dirigi, omniaque ex animi sententia evenire et prospere succedere, non secus ac sagitta a perito sagittario emissa, recta ad scopum fertur, suspicarer ; verum spe mea frustratus sum. His interjectis, rursus ad priorem sermonem redit ; et, ostendens se in orationibus suis venerandum ab omnibus, et placidum ac benignum fuisse, dicit :

Vers. 21, 22. « Qui me audierunt, attenderunt, et siluerunt super consilio meo ; et in sermone meo non adjecerunt. »

Attendebant iis quæ dicebantur, palam testantes quod libenter audirent ; silentium autem agebant, quia nihil quod opponerent et contradicerent, haberent. Verbis meis non adjecerunt, arbitrantes ea legem, canonem, ac amussim sibi est ; ac proinde, cum neque addere illis quidpiam, neque detrahere possent, victi sententiæ meæ acquieverunt : cor enim meum tanquam arcus in manu divina continebatur, unde factum est ut animi sensa a recto scopo non aberraverint.

Vers. 22, 23. « Sed gavisi sunt cum loquerer iis ; sicut terra sitiens suscipiens pluviam, sic isti meum sermonem. »

Verba enim ejus fructu non carebant, sed ad persuadendum auditorum animos, vim et efficaciam obtinebant ; prius namque faciebat, deinde docebat. Dicentis vero laus est, si sermones efficaces habuerit ; et auditoris, si cum siti et desiderio audierit.

Vers. 24. « Si riderem ad eos, non crederent. »

Symmachus autem : *Arridebam iis, illi vero non credebant*. Cur autem non credebant? Propter morum ejus gravitatem, tentamentum illud existimantes. His autem verbis doctoris mores delineavit : divinum enim magistrum moribus adeo gravem esse oportet, ut arridenti, et cum venustate ac lepore quodam loquenti, fides non adhibeatur.

« Et lumen faciei meæ non decidebat. »

Verum divina, inquit, gratia, pulchritudinem pacis quæ in anima erat, per genas palam ostendens, in vultu elucebat. Vel hoc etiam dicit : Sermonum meorum nullus obscurus et tenebricosus erat, sed omnes luce pleni, et perspicuitate candidi : vultus enim doctorum, doctrina eorum est ; animorum quippe imagines et simulacra sermones sunt, et ex charactere sermonis ac stylo auctorem non minus quam parentes ex liberorum forma dignoscimus. Fortasse autem, eo quod morum gravitatem cum vitiorum objurgatione conjunctam ostenderit (tales vero subtristes esse, et a risu abstinere solent), sub-

Digitized by Google

junxit : Vultus mei hilaritas non concidit, sed splendor cum gravitate quasi uniebatur.

VERS. 25. « Elegi viam eorum, et sedi princeps ; et habitabam sicut rex in accinctis. »

Symmachus vero, pro illo, *Elegi viam eorum*, transtulit, *Si statueram ire ad eos* ; et pro eo, *In accinctis*, interpretatus est, *In exercitu*. Sensus autem hic est : Ego, inquit, unus ex eorum numero videri volebam, et tanquam unus ex plebe ad eos proficiscebar ; illi vero principem me elegerunt. Non enim violenter, neque tyrannice principatum invasi, sed quia, delectu facto, quæ utilia erant illis explicassem, et viam virtutis commonstrassem, principem me renuntiaverunt, mihique tanquam milites imperatori, obsequium præstiterunt ; ac si diceret : Peregrini etiam et hospites me regio honore affecerunt. *Accincti* autem vocantur milites qui alios honore antecellunt, et qui diversam ab aliis zonam gestant : vel qui ordine nullo continentur, et quasi latrones sunt.

VERS. 25. « Quasi consolans tristes. »

Sed et eos, inquit, qui animi vel corporis perturbationibus laborabant, verbis et operibus solabar et refocillabam. Symmachus autem, aliud fortasse innuens, reddidit : *Sicut abducit eos qui itineris dux est*. Adhortabar, scilicet, eos, et leniter ac placide ad ea quæ agenda erant, monitis instigabam, humeris quasi eos gestans, illorumque imbecillitati favens, tanquam is qui hominibus ærumnosis et valetudinariis viam monstrat. Qui enim animo non bene affecti, sed corrupti sunt, et vitii odioso morbo laborant, non minus provida cura et commoda contrectatione indigent, quam qui corpore ægrotant.

CAP. XXX.

VERS. 1. « Nunc autem deriserunt me minimi. »

Theodotio vero et Aquila, hic quidem, *Juniores me diebus*, ille autem, *Breves præ me diebus*, transtulit. Grave autem et acerbum est, senem, qui multos prius officii commonefecerat, ab ætate minoribus commonefieri.

« Nunc monent me in parte, quorum spernebam parentes eorum ; quos non putavi dignos canibus meorum gregum. »

Cæteri autem, *Cum canibus ovium mearum*. Quod autem verbis innuitur, hoc est : Res, inquit, meæ prius recte procedebant, dicenti mihi omnes assurgebant, et tanquam regi subjiciebantur : nunc vero tanta rerum mearum facta est mutatio, ut qui propter inopiam, generis ignobilitatem, et juvenilem ætatem minimi et viles, propterque improbitatem omnino inutiles, et nullius æstimationis erant, in quibusdam me moneant : neque enim me, ex illorum opinione, semper alios instituere, sed et ipsum in quibusdam erudiri oportebat, ut hac ratione quasi mercedem institutionis aliorum reportarem.

A ὅτι Ἡ ἱλαρότης τῆς ἐμῆς ὄψεως οὐκ ἀπέπιπτεν, ἀλλ' οἷον ἤνωτο τὸ φαιδρὸν καὶ ἡ ἐμβρίθεια.

« Ἐξελεξάμην ὁδὸν αὐτῶν, καὶ ἐκάθισα ἄρχων· καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις. »

Ὁ δὲ Σύμμαχος ἀντὶ μὲν τοῦ, *Ἐξελεξάμην ὁδὸν αὐτῶν, Εἰ προειλόμην ὁδεῦσαι πρὸς αὐτούς*, ἐξέδωκεν· ἀντὶ δὲ τοῦ, *ἐν μονοζώνοις, ἐν στρατοπέδῳ*. Ὁ δὲ νοῦς οὗτος· Ἐγὼ μέν, φησὶν, εἷς ἐξ αὐτῶν ἤθελον δοκεῖν, καὶ οὕτω πρὸς αὐτοὺς ἐβάδιζον, ὡς εἷς τῶν πολλῶν· οἱ δὲ ἄρχοντά με ᾑροῦντο. Οὐ γὰρ βίᾳ τὴν αὐτῶν ἀρχὴν ἥρπασα, οὐδὲ τυραννικῶς· ἀλλ' ἐπειδὴ τὰ συμφέροντα ἐκλεγόμενος αὐτοῖς εἰσηγούμην, καὶ τὴν κατ' ἀρετὴν ὁδὸν ὑπεδείκνυον, ἄρχοντά με ἑαυτῶν ἀνέδειξαν, καὶ οὕτως ὑπετάγησάν μοι, ὥσπερ στρατιῶται βασιλεῖ· B ἵνα εἴπῃ, Καὶ παρὰ ξένοις βασιλικῆς ἀπέλαβον[f] τιμῆς. *Μορόζωροι* δέ εἰσιν οἱ τίμιοι τῶν στρατιωτῶν, οἱ μὴ τὸν αὐτὸν τοῖς ἄλλοις ζωστῆρα φοροῦντες· ἢ οἱ ἀσύντακτοι, καὶ ὡσανεὶ λῃσταί.

« Ὃν τρόπον ταπεινοὺς[g] παρακαλῶν. »

Ἀλλὰ καὶ ἐν πάθεσι, φησὶν, ὄντας τοῖς κατὰ ψυχὴν, ἢ τοῖς ἔξωθεν, λόγοις τε καὶ ἔργοις παρεμυθούμην καὶ ἀνεκτώμην. Ὁ δὲ Σύμμαχος, *Καθὼς ἀπάγει αὐτοὺς ὁδηγῶν*, ἐξέδωκεν, ἕτερόν τι τάχα αἰνιττόμενος, ὅτι Παρεκάλουν αὐτοὺς, καὶ προετρεπόμην ἐπὶ τὰ πρακτέα ἡμέρως καὶ προσηνῶς, καὶ οἷον διαβαστάζων σφᾶς, καὶ τῆς αὐτῶν ἀνεχόμενος ἀσθενείας, ὥσπερ τις ὁδηγῶν ἀνθρώπους πάσχοντας καὶ ἀῤῥωστοῦντας. Δέονται γὰρ, ὥσπερ οἱ νοσοῦντες C κατὰ τὸ σῶμα, οἰκονομίας τινος καὶ δεξιᾶς μεταχειρίσεως, οὕτω καὶ οἱ κατὰ ψυχὴν οὐ καλῶς διακείμενοι, ἀλλὰ διεφθαρμένοι, καὶ τὴν μιστὴν νόσον κακίαν ἔχοντες.

ΚΕΦΑΛ. Λ'.

« Νυνὶ, δὲ κατεγέλασάν μου ἐλάχιστοι. »

Θεοδοτίων δὲ καὶ Ἀκύλας, ὁ μὲν, *Νεώτεροί μου ἡμέραις*, ὁ δὲ, *Βραχεῖς παρ' ἐμὲ ταῖς ἡμέραις*, ἐξέδωκε. Λυπηρὸν δὲ, τὸ παρὰ νεωτέρων νουθετεῖσθαι γέροντα, τὸν πολλοὺς πρότερον νουθετήσαντα.

« Νῦν νουθετοῦσί με ἐν μέρει, ὧν ἐξουδένουν τοὺς πατέρας αὐτῶν· οὓς οὐχ ἡγησάμην ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων. »

D Οἱ δὲ λοιποὶ, *Μετὰ τῶν κυνῶν τῶν προβάτων μου*. Τὸ δὲ δηλούμενον τοῦτο· Εἶχε μὲν ἐμοὶ, φησὶ, καλῶς τὰ πράγματα πρότερον, καὶ λέγοντι πάντες ὑπεξίσταντο, καὶ ὡς βασιλεῖ ὑπετάσσοντο· νῦν δὲ εἰς τοσαύτην περιετράπη τὰ κατ' ἐμὲ μεταβολὴν, ὡς τοὺς ἐλαχίστους καὶ εὐτελεῖς δι' ἀπορίαν, καὶ δυσγένειαν, καὶ τὸ τῆς ἡλικίας νεώτερον, καὶ τὸ παντάπασιν ἀχρείους εἶναι, καὶ οὐδενὸς ἀξίους διὰ τὸ πονηροὺς εἶναι, νουθετεῖν με ἐν μέρει· οὐ γὰρ ἔδει με, ὡς ἔοικεν, ἀεί τινας νουθετεῖν, ἀλλὰ καὶ αὐτὸν ἐν μέρει νουθετεῖσθαι, οἷον ἀμοιβὰς τῆς πρὸς ἑτέρους νουθεσίας κομιζόμενον. Τὸ μέντοι μηδὲ κυ-

VARIÆ LECTIONES.

[f] *Isc.* ἀπέλαυον. [g] *γρ.* παθεινούς. *Isc.* συμπαθεῖς, ut in ms. Theclæ.

Digitized by Google

σὲν αὐτοὺς παραβάλλειν, οὐκ ἀλαζονείας ῥῆμα, ἀλλὰ δεῖγμα τῆς ἐκείνων παντελοῦς ἀχρειότητος· ἵνα εἴπῃ, ὅτι Εἴπερ τὴν ἐμαυτοῦ τιμὴν καὶ ἀξίαν ἐλογιζόμην, οὐδὲ προσβλέπειν ἂν ἠξίωσα τοὺς πατέρας τῶν νῦν ἐπιγελώντων μοι, οἵτινες οὐδὲ ὅσην οἱ τῆς ἐμῆς ποίμνης κύνες ἀφθονίαν εἶχον.

A Quod autem ne canibus quidem comparare eos dignetur, fastus et arrogantiæ vox non est, rerum illos homines plane ineptos et inutiles fuisse arguit; ac si diceret : Si meam, inquit, æstimationem et dignitatem animo reputarem, patres eorum, qui me nunc ludibrio habent, quique non ea abundantia qua canes gregum meorum affluebant, ne aspectu quidem dignarer.

« Καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνατί μοι; »

Τουτέστιν, οὐδὲ τῆς αὐτῶν ἐπικουρίας ἐδεήθην ποτὲ, ἵνα διὰ τοῦτο τοιούτοις πρὸς ἐμὲ χρήσωνται ῥήμασιν.

Vers. 2. « Et quidem virtus manuum eorum ut quid mihi? »

Id est, Neque opem eorum unquam imploravi, ut propterea ejusmodi verbis me alloquerentur.

« Ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια. »

* Ἢ τοῦτό φησιν, ὅτι πάλαι δίκην ἐχρεώστουν πονηροὶ ὄντες, καὶ τρόπον τινὰ ἀπέπτη b·i ἀπ' αὐτῶν ἡ τιμωρία· ἢ, ὅτι θανάτου διὰ τὴν ἄκραν πενίαν ἐπιθυμοῦντες, οὐδὲ τούτου ἐτύγχανον· ἢ, ὅτι οὐδέποτέ τι χρηστὸν συνετέλεσαν. Αὐτὸς δὲ τῇ τοῦ Συμμάχου προσχὼν ἑρμηνείᾳ, ἐκδόντος, *Ἀπώλετο αὐτοῖς πᾶν τὸ πρὸς ζωὴν, συντέλειαν* νοῶ πάντα τὰ πρὸς τὸ ζῆν συντελοῦντα, ὧν ἐνδεεῖς ἦσαν οἱ τῷ Ἰὼβ ἐπιτιθέμενοι· *Ἐπ' αὐτοὺς γὰρ ἀπώλετο ἡ συντέλεια*, τουτέστιν, ἡ τῶν συντελούντων πρὸς τὴν ζωὴν εὐπορία· δηλοῖ δὲ τοῦτο καὶ τὰ ἑξῆς, ἐπάγει γάρ·

B Vel hoc vult, quod olim pœnas improbitatis suæ meriti fuerint, supplicium autem quodammodo ab iis avolaverit; vel, quod propter summam inopiam mortem expetiverint, neque hoc tamen assecuti fuerint; vel, quia nihil unquam boni perfecerint et absolverint. Ego vero interpretationi Symmachi accedens, qui reddidit : *Perierat illis quidquid ad vitam facit*; per *consummationem*, omnia quæ ad vitam conducunt, intelligo; quorum penuria laborabant qui impetum hostilem in Jobum faciebant : *Super eos enim peribat consummatio*, id est, abundantia eorum quæ ad vitam conferunt; hoc autem ex iis quæ sequuntur manifestum est, subjungit enim :

« Ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος. »

* Ὃ δὲ λέγει, τοιαῦτόν ἐστιν· Ἕκαστος αὐτῶν οὕτως ἦν *ἄγονος*, τουτέστιν, ἄπορος, καὶ οὐδεμίαν ἔχων γονὴν καρπῶν, ὥστε καὶ σφόδρα ἐνδεεῖς ἦσαν, καὶ ἐλίμωττον. Ἢ τὸ, *ἄγονος*, ἀντὶ τοῦ, οὐδὲ ἐφευρεῖν καὶ γεννῆσαι τρόπον ποριστικὸν ἠδύνατο.

C Vers. 13. « In egestate et fame sterilis. »

Quod dicit ejusmodi est : Unusquisque eorum adeo *sterilis* fuit, id est, inops, et nullam fructuum feturam habens, ita ut valde egenus esset, et fame enecaretur. Vel, *sterilis*, id est, rationem aliquam quæstus adinvenire et comminisci non poterat.

« Οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν. »

Οἱ χθές, φησὶ, καὶ πρώην ἐν συνοχῇ καὶ ταλαιπωρίᾳ ὄντες, καὶ τὴν ἐνεγκαμένην ἀπολιπόντες, ὡς λυπρὰν, καὶ χέρσον, καὶ ἔρημον. Ἔοικε δὲ ὡς ἀγενεῖς αὐτοὺς διαβάλλειν, ἐξ ἀδόξων ὄντας χωρίων, καὶ πατέρων πενήτων. Ταῦτα δὲ ὁ μακάριος διηγεῖται, ἵνα ἐὰν καὶ ἡμεῖς ὑπὸ εὐτελῶν τινων καὶ ἀτίμων ὑβριζώμεθα, μὴ ὡς μόνοι τοῦτο παθόντες δυσχεράνωμεν, ὅπουγε ὁ τοσοῦτος τὴν ἀρετὴν, τοιοῦτος δὲ τὴν περιουσίαν καὶ περιφάνειαν, τὰ αὐτὰ ἡμῖν, ἢ καὶ χείρονα πεπονθὼς ἀναγράφεται.

D Qui non ita pridem, inquit, in angustiis et ærumnis versabantur, et patriam suam, tanquam terram jejunam, incultam et desertam, dereliquerant. Videtur autem iis, tanquam hominibus obscuris, ex locis ignobilibus, et egenis parentibus oriundis, infamiæ notam inurere. Hæc autem ideo beatus Jobus persequitur, ut si quando a vilibus quibusdam, et qui in nullo honore sunt, contumelia afficiamur, non tanquam soli id pateremur, indignanter feramus; quandoquidem eum qui tanta virtute, tanta rerum affluentia et dignitate clarus exstiterat, eadem nobiscum, vel pejora etiam passum esse, litteris mandatum sit.

« Οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι. »

* Ὁ δὲ Σύμμαχος, *Ἀποκνίζοντες φλοιοὺς φυτῶν. Ἅλιμα* βοτάνη τίς ἐστιν, ὥς φασι, ταχὺ πληροῦσα τὸν ἐσθίοντα, καὶ κόρον ἐμποιοῦσα. *Ἐπὶ ἠχοῦντι* δὲ, τουτέστιν, ἐπὶ φάραγξι καὶ πετρώδεσιν· εὔηχοι γὰρ οἱ τοιοῦτοι τόποι, καὶ ἀντηχοῦσι τοῖς φθεγγομένοις. Ἢ καὶ ἠχοῦντα λέγει τὸν ἀλσώδη τόπον, ἐν ᾧπερ ἡ πνοὴ τῶν ἀνέμων κινοῦσα τὴν ὕλην, *ἦχον* ἀποτελεῖ. Φησὶν οὖν, ὅτι περιενό-

Vers. 4. « Qui circuibant alima in resonante. »

Symmachus autem, *Qui vellicabant plantarum cortices. Alima*, herba quædam est, ut aiunt, quæ cito explet eum qui ea vescitur, et satietatem affert. *In resonante* vero, id est, in convallibus et locis petrosis; sonora enim et vocalia sunt ejusmodi loca, et sonantibus resonant ac respondent. Vel locum nemorosum, in quo ventorum spiraculum silvam quatiens, sonum efficit, *resonantem* vocat. Dicit igi-

VARIÆ LECTIONES.

b·i γρ. ἀπίστην.

Digitized by Google

tur, eos necessitate extrema coactos, ut herbis adinventis, et radicibus arborum arrosis famem solarentur, nemora et convalles, ac loca in quibus aquæ fluentes sonum et strepitum edunt, lustrasse et obambulasse.

« Quorum quidem alima erat eorum cibaria : inhonorati autem et abjecti, egentes omni bono, qui et radices lignorum manducabant propter magnam famem. » [*Symmachus autem*, Et radix arborum agrestium alimentum eorum.]

Utrumque vero de iis testatur, summam egestatem, scilicet, et improbitatem maximam ; illam quidem, in eo quod dicit : Arborum corticibus et radicibus vescebantur ; hanc vero, in eo quod omnis boni indigos vocaverit : nisi quis hoc loco alimenta etiam sub *boni* appellatione intelligere velit ; quod enim ejusmodi homines paupertatem experirentur, alia molestia et ærumna erat.

Vers. 5-8. « Insurrexerunt super me fures, quorum domus erant cavernæ petrarum ; inter medium bene sonántium clamabunt [*Symmachus vero*, Inter plantas agrestes sonantes famelicum quiddam] ; qui sub sarmentis agrestibus manebant, stultorum filiis et ignobilium : nomen et gloria exstincta est de terra. »

Hi etiam, inquit, pro domibus cavernas petrarum habentes, in solitudinibus versantes, et, ne a prætereuntibus videantur, sub aridis virgultis latentes, ex insipientibus insipientes, ex inhonoratis inhonorati, in terra obscuri et inglorii, ad latrocinia se converterunt.

Vers. 9. « Nunc autem eithara eorum ego sum, et me fabulam habent. »

Ode, inquit, et carmen joculare iis factus sum, et calamitates meas pro familiari aliquo sermone in ore habent. Vides quænam sint quæ maximam illi molestiam creent, quod a talibus, scilicet, cum suo ipsorum damno, ludibrio haberetur.

Vers. 10. « Et abominati sunt me discedentes procul ; nec in faciem meam perpercerunt spuere. »

Postquam, inquit, appropinquaverint, et sputo os fœdaverint, rem abominandam et fastidiendam me reputantes, longe recedunt.

Vers. 11. « Aperiens enim pharetram suam, afflixit me ; et frenum faciei meæ emisit. »

« In hoc etiam justus diabolum ferit, et vulnerat, cum dicat nihil eum contra se posse, Deum autem esse qui plagas illi inferat. Dicit autem : Frenum emisit, quo facies mea quodammodo vinciretur ; ac si diceret : Cunctis mihi calamitates ad impietatis meæ argumentum exprobrantibus, os mihi obturavit, et loquendi libertatem ademit.

Vers. 12. « Super dextra germinis insurrexerunt. »

στουν οὗτοι τὰς ὕλας, καὶ πὰς φάραγγας, καὶ τοὺς τόπους παρ' οὓς ὕδατα ῥέοντα ἠχεῖ τε καὶ κελαρύζει, ὑπὸ τῆς ἄγαν ἐνδείας τὰς βοτάνας ἀνερευνώμενοι, καὶ τὰς ῥίζας τῶν ξύλων περιξέοντες εἰς τροφῆς παραμυθίαν.

« Οἵτινες ἄλιμα ἦν αὐτῶν τὰ σῖτα· ἄτιμοι δὲ, καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οἳ καὶ ῥίζας ξύλων ἐμασσῶντο ὑπὸ λιμοῦ μεγάλου. » [*Ὁ δὲ Σύμμαχος*, Καὶ ῥίζα ξύλων ἀγρίων ἡ σίτησις αὐτῶν.]

Μαρτυρεῖ δὲ αὐτοῖς ἀμφότερα, ἄκραν τε πενίαν, καὶ κακίαν ὑπερβάλλουσαν· τὴν μὲν ἐν τῷ εἰπεῖν, Φλοιοὺς δένδρων καὶ ῥίζας ἐσιτοῦντο· τὴν δὲ ἐν τῷ ἐνδεεῖς ὀνομάσαι παντὸς ἀγαθοῦ· εἰ μή τις ἐνταῦθα καὶ τὴν τοῦ *ἀγαθοῦ* προσηγορίαν ἐπὶ τῶν τροφίμων νοήσῃ· ἑτέρα δὲ πονηρία, τὸ καὶ ἐν πενίᾳ τοιούτους εἶναι.

« Ἐπανέστησάν μοι κλέπται, ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν· ἀναμέσον εὐήχων βοήσονται [*ὁ δὲ Σύμμαχος*, Μεταξὺ φυτῶν ἀγρίων ἠχοῦντες λιμῶδες]· οἱ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο, ἀφρόνων υἱοὶ καὶ ἀτίμων· ὄνομα καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς. »

« Οὗτοι, φησὶ, καὶ εἰς λῃστείαν ἐτρέποντο, οἴκους ἔχοντες τῶν πετρῶν τὰ κοῖλα, ἐν ἐρήμοις διαιτούμενοι, καὶ ὑπὸ φρυγάνων σκεπόμενοι, ἵνα λάθωσι τοὺς παροδεύοντας, ἐξ ἀφρόνων ἄφρονες, ἐξ ἀτίμων ἄτιμοι, ἀνώνυμοι, καὶ ἄδοξοι ἐπὶ τῆς γῆς.

« Νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν, καὶ ἐμὲ θρύλλημα ἔχουσιν. »

ὨΙδὴ, φησὶν, αὐτοῖς ἐγενόμην, καὶ παρῳδημα, καὶ τὰς ἐμὰς συμφορὰς, ἀντ' ἄλλης τινὸς ὁμιλίας, ἀνὰ στόμα ἔχουσιν. Ὁρᾷς τίνα ἐστὶ τὰ μάλιστα αὐτὸν λυποῦντα, τὸ παρὰ τοιούτων σκώπτεσθαι, ἐπὶ βλάβῃ τῇ ἐκείνων.

« Ἐβδελύξαντο δέ με ἀποστάντες μακράν· ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφείσαντο πτύελον. »

Ἐπὰν δέ μοι πλησιάσωσι, φησὶν, ἐμπτύοντές μοι, μακρὰν ἀφίστανται, βδέλυγμά με καὶ ἀηδίαν ἡγούμενοι.

« Ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ, ἐκάκωσέ με· καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλαν 1. »

Πλήττει μὲν κἂν τούτῳ τὸν διάβολον ὁ δίκαιος, μὴ φάσκων αὐτὸν δύνασθαι τι κατ' αὐτοῦ, τὸν δὲ Θεὸν ἐπενηνοχέναι αὐτῷ τὰς πληγάς. Λέγει δὲ, ὅτι Καὶ χαλινόν μοι ἐξαπέστειλεν, οἱονεὶ δεσμοῦντα τὸ πρόσωπόν μου· ἵνα εἴπῃ, ὅτι Ἐπεστόμισέ με, ἀφεῖλετό μου τὴν παῤῥησίαν, πάντων τὰς συμφορὰς εἰς ἀπόδειξιν ἀσεβείας μοι προφερόντων.

« Ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν. »

VARIÆ LECTIONES.

1 γρ. ἐξαπέστειλεν, et sic in Ms. Theclæ.

Digitized by Google

Ἢ τοῦτό φησιν ὅτι Ἐμοὶ, τῷ ποτὲ τοῖς δεξιοῖς εὐ- A θαλοῦντι ἐπέθεντο· ἢ ὅτι Τοῖς ἔργοις μου τοῖς ἀγαθοῖς καὶ τοῖς δικαιώμασιν ἐπεμβαίνουσι, λέγοντες, ὡς οὐ καθαρῶς τὴν εὐσέβειαν μετήειν.

« Πόδα αὐτῶν ἐξέτειναν, καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπωλείας αὐτῶν. »

Κινήσαντος ἑαυτὸν τοῦ Θεοῦ κατ' ἐμοῦ, φησὶν, ἔσχον καὶ αὐτοὶ ὁδὸν ἐφόδου, αὐτοῦ παραχωρήσαντος, καὶ οἷον τρίβον αὐτοῖς τεμόντος τῆς κατ' ἐμοῦ ἐπιθέσεως. Ἀκύλας δὲ ἀντὶ τοῦ, *ἀπωλείας*, *ἐπιβλυσμοῦ*[k], ἐξέδωκεν· ἵνα εἴπῃ, ὅτι ὥσπερ ὕδατι ἀσχέτως φερομένῳ, ταῖς κατ' ἐμοῦ γλωσσαλγίαις, καὶ ἐπιθέσεσιν, τὴν τῶν πολλῶν ὁρμὴν ὁ Θεὸς ἐξωμάλισεν.

« Ἐξετρίβησαν τρίβοι μου, ἐξέδυσαν γάρ μου τὴν B στολήν. »

Πᾶσαι αἱ ὁδοί μου αἱ τῆς εὐπραγίας ἐξηφανίσθησαν, τοῦ Θεοῦ περιδύσαντός με τῆς εὐπρεπείας τὴν στολὴν, ἤγουν περιελόντος τὴν οἰκείαν βοήθειαν.

« Βέλεσιν αὐτοῦ κατηκόντισέ με· κέχρηται δέ μοι ὡς βούλεται. »

Τὸ σφοδρὸν τοῦ ἐτασμοῦ διὰ τούτων δηλοῖ. Τὸ δὲ, *ὡς βούλεται*, ἵνα εἴπῃ, Ἐγὼ τὴν αἰτίαν οὐκ οἶδα.

« Ἐν ὀδύναις πέφυρμαι, ἐπιστρέφονταί μου αἱ ὀδύναι· ᾤχετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα, καὶ ὥσπερ νέφος ἡ σωτηρία μου. »

Περιεστοίχισμαι, φησὶ, τοῖς δεινοῖς, καὶ συμφύρομαι τοῖς ἀλγεινοῖς, καὶ αἱ ὀδύναι μου ἀνακαινίζονται· εἴτουν ἐπιστρεφῶς ὀδυνῶμαι, τουτέστι, μετ' ἐπιτάσεως, καὶ κατ' αὔξησιν· ἀπέπτη[l] δέ μου πᾶσά τις ἐλπὶς χρηστοτέρα, ἢ κατὰ Σύμμαχον, *τὰ καταθύμιά μου*, δίκην ἀνέμου παρελήλυθότος, καὶ νέφους διαλυθέντος. C

« Καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου, ἔχουσι δέ με ἡμέραι ὀδυνῶν· νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέχυται, τὰ δὲ νεῦρά μου διαλέλυται. »

Τὸ, *Ἐκχυθήσεται ἡ ψυχή μου*, ἀντὶ τοῦ, συγχεῖται· ἵνα εἴπῃ, ὅτι Διαποροῦμαι τοῖς λογισμοῖς, οὔτε τὸν Θεὸν ἄδικον ἀποφήνασθαι ἔχων, οὔτε ἐμαυτῷ τι συνειδὼς ἄτοπον, ἐν ἡμέρᾳ δὲ καὶ νυκτὶ ὀδυνῶμαι, ὡς καὶ τὰ ὀστᾶ μου φρυγῆναι, καὶ τὰ νεῦρα, καὶ τοὺς τόνους τῆς ψυχῆς διαλυθῆναι ὑπὸ D τῆς ἄγαν κακοπαθείας, καὶ τῶν πιεζόντων με καὶ συγκαιόντων παθῶν.

« Ἐν πολλῇ ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς, ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχε με. »

Μεταφορικὸς ὁ λόγος· οἱ γὰρ τὸ περιστόμιον τοῦ ἱματίου περὶ τὸν τράχηλόν τινος περισφίγγοντες, ἄγχουσιν αὐτὸν καὶ ἀποπνίγουσιν. Φησὶν οὖν ὅτι Ἰσχυρῶς μου περιδραξάμενος, πιέζει καὶ πνίγει με, καθάπερ στενὴ χιτῶνος ὦα τὸν τράχηλον σφίγγουσά τε καὶ θλίβουσα.

« Ἤγησαι δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ σποδῷ μου

Vel hoc dicit : Impetu facto, me, qui olim rebus secundis et prosperis florebam, adoriebantur ; vel : Negantes me pura mente pietatem exercuisse, bona mea opera et justas actiones insectati sunt.

« Pedem suum extenderunt, et straverunt super me semitas perditionis ipsorum. »

Deo, inquit, se contra me commovente, illoque permittente, et hostilis in me impetus quasi semitam muniente, aditus illorum incursioni ad me patefactus est. Aquila autem pro, *perditionis*, reddidit *inundationis* ; ac si diceret : Ad vulgi impetum et ferociam, quæ linguæ petulantia contra me, et insultibus, instar aquæ quæ æstu violento fertur, et coerceri non potest, Deus jam quasi complanando munivit.

VERS. 13. « Contritæ sunt semitæ meæ ; exuerunt enim me stola. »

Deo venustatis et decoris vestem mihi detrahente, id est, auxilium suum denegante, omnes prosperitatis meæ viæ disparuerunt.

« Jaculis suis vulneravit me ; [VERS. 14] judicavit autem mihi sicut vult. »

His verbis, explorationis et cruciatus vehementiam ostendit. Illud vero, *sicut vult*, idem est ac si diceret : Ego causam ignoro.

VERS. 15. « In doloribus maceratus sum, convertuntur in me dolores ; discessit spes mea sicut spiritus, et sicut nubes salus mea. »

Ærumnis, inquit, circumvallatus, et cruciatibus confusus sum, ac dolores mei redintegrantur ; sive cum recursu dolores sentio, id est, cum intensione et incremento : instar venti autem qui præteriit, et nubis resolutæ, avolavit a me omnis spes bona, vel, juxta Symmachum, *desideria mea*.

VERS. 16, 17. « Et nunc super me effundetur anima mea, habent autem me dies dolorum ; nocte vero ossa mea confusa sunt, et nervi mei dissoluti sunt. »

Effundetur anima mea, id est, confunditur ; ac si diceret : Dubius sum et animi pendeo, cum neque Deum injustum pronuntiare possim, neque cujusquam absurdi mihi conscius sim, diu vero et noctu cum doloribus conflictor, ut præ nimio cruciatu, et dolorum qui me premunt et adurunt vehementia, ossa mea tanquam in sartagine torreantur, et animi vires ac nervi dissolvantur.

VERS. 18. « In multa virtute apprehendit stolam meam, et quasi ora vestimenti mei circumdedit me. »

Metaphorica locutionis forma : qui enim vestis suprema ora cervicem cujuspiam constringunt, suffocant illam et strangulant. Dicit igitur : Apprehendens me fortiter stringit et strangulat, instar oræ vestimenti angustæ quæ collum premit et coarctat.

VERS. 19, 20. « Reputasti autem me sicut lutum,

VARIÆ LECTIONES.

[k] *Isc.* ἐπικλυσμοῦ. [l] *gr.* ἀπέστη.

Digitized by Google

in terra et cinere pars mea : clamavi autem ad te, et non audis me. »

Sortem suam coram Deo, tanquam filius coram parente, lugubriter deflet, et naturæ vilitatem pro supplicatione in medium affert. Considera, inquit, Domine, quod terra, et in terram resolvendus sim, ac supplicationem meam noli aversari. Illud autem, *Non audis me*, eximium et singularem erga Deum amorem ostendit; tanquam enim qui exaudiri credat, ita loquitur. Meo vero judicio, illud, *Reputasti me sicut lutum*, et quæ sequuntur, Jobus, non naturæ vilitatem in medium proponens, sed quasi animo vehementer commotus, dicit quod luti instar contemptibilis esset, quod in nulla æstimatione haberetur, et quod portio ejus apud Deum, non in pretiosis, sed in rebus vilissimis, in cinere, scilicet, et pulvere, quæ pedibus conculcantur, numeraretur, ac propterea non exaudiretur.

« Steterunt autem, et consideraverunt me. »

Vel subsannantes me, vel calamitatis meæ magnitudinem admirantes.

VERS. 21, 22. « Insultarunt autem mihi immisericorditer : manu potenti me flagellasti, statuisti autem me in doloribus, et projecisti me a salute. »

Magna Dei et ineffabilis misericordia sanctis cognita est, sicut et David misericordiam sibi exhiberi postulat; et Jobus etiam cum huc respiceret, Deo inquit : *Immisericorditer insultasti mihi;* non enim cum præsentibus calamitatibus conflictarer, si magna tua misericordia fruerer. Verba igitur hæc non pertinaci superbia resistentis, neque impatienter ferentis, sed suppliciter obsecrantis, et misericordiam implorantis sunt.

VERS. 23, 24. « Novi enim quod mors me conteret; domus enim est omni mortali terra. Atque utinam possem mihi ipse manus afferre, aut rogarem alium, et faceret mihi hoc! »

Novi, inquit, quod, mortalis cum exsistam, omnino mihi moriendum sit; terra enim ad sepulturam præparata et effossa domus omni homini est. Quare libenter, nulla interposita mora, vel ipse manum mihi injiciens, si illud sine peccato liceret, vel alium ad eædem meam precibus sollicitans, calamitatibus me eriperem. Atque utinam hoc mihi liceret! utique sane fecissem; nunc autem non possum, vetitum enim est ne quis sibi mortem consciscat. Vides illud, *possem*, non propter imbecillitatem, sed propter prohibitionem, ab eo dici; nefas enim et scelestum est vitam sibi eripere. Ex his igitur plagæ simul gravitas ostendebatur, et cauta ac provida circumspectio, ne sibi insidias strueret, observabatur : qui enim mortem violentam sibi inferunt, tanquam homicidii rei censendi sunt.

VERS. 25, 26. « Ego autem super omni impotente flevi; gemui videns virum in necessitatibus. Ego autem inhærens bonis, ecce occurrerunt mihi magis dies malorum.

A ἡ μερίς· κέκραγα δὲ πρὸς σὲ, καὶ οὐκ ἀκούεις μου. »

* Ὡς υἱὸς πρὸς πατέρα, πρὸς τὸν Θεὸν ἀποδύρεται, καὶ τὸ εὐτελὲς τῆς φύσεως εἰς δέησιν προτείνει· Λόγισαι γάρ, φησὶν, ὦ Δέσποτα, ὅτι γῆ τέ εἰμι, καὶ εἰς γῆν ἀναλύομαι, καὶ μὴ ἀποστρέψῃς τὴν ἱκετηρίαν μου. Τὸ δὲ, *οὐκ ἀκούεις μου*, πολλὴν ἐμφασιν τῆς εἰς Θεὸν ἀγάπης ἔχει· ὡς γὰρ ἀκούεσθαι πιστεύων, οὕτως ἔφη. Κατά γε μὴν τὴν ἐμὴν δόξαν, τὸ, *Ἤγησαί με ἴσα πηλῷ*, καὶ τὰ ἑξῆς, φησὶν ὁ Ἰὼβ, οὐ τὴν τῆς φύσεως προϊσχόμενος εὐτέλειαν, ἀλλ' οἷον πεθαινόμενος, ὅτι εὐκαταφρόνητός ἐστιν ὡς πηλὸς, ὅτι οὐδενὸς ἀξιοῦται λόγου, ὅτι ἡ μερὶς αὐτοῦ παρὰ Θεῷ, οὐκ ἐν τοῖς τιμίοις, ἀλλ' ἐν τοῖς εὐτελεστάτοις λελόγισται, ἐν τέφρᾳ, καὶ κόνει, τοῖς πατουμένοις·
B καὶ διὰ τοῦτο οὐκ εἰσακούεται.

« Ἔστησαν[m] δὲ, καὶ κατενόησάν με. »

* Ἢ χλευάζοντες, ἢ καὶ τὸ τῆς συμφορᾶς θαυμάζοντες μέγεθος.

« Ἐπέβησαν[n] δέ μοι ἀνελεημόνως· χειρὶ κραταιᾷ με ἐμαστίγωσας· ἔταξας δέ με ἐν ὀδύναις, καὶ ἀπέῤῥιψάς με ἀπὸ σωτηρίας. »

Ἴσασιν οἱ ἅγιοι τὸ μέγα τοῦ Θεοῦ καὶ ἄφατον ἔλεος, καθὸ καὶ Δαβὶδ αἰτεῖ ἐλεηθῆναι· πρὸς τοῦτο οὖν καὶ Ἰὼβ ἀποβλέπων, φησὶ πρὸς Θεὸν, *Ἐπέβης μοι ἀνελεημόνως*. Εἰ γὰρ ἐτύγχανον τοῦ μεγάλου σου ἐλέους, οὐκ ἂν ἐν ταῖς παρούσαις συμφοραῖς
C ἐξεταζόμην. Ποτνιωμένου τοίνυν εἰσὶ, καὶ ἀξιοῦντος τυχεῖν ἐλέους τὰ ῥήματα, οὐ μὴν αὐθαδιζομένου, οὐδὲ ἀποδυσπετοῦντος.

« Οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει· οἰκία γὰρ παντὶ θνητῷ γῆ. Εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο. »

* Οἶδα, φησὶ, θνητὸς γεγονὼς, καὶ πάντως τελευτήσειν μέλλων· παντὶ γὰρ ἀνθρώπῳ οἶκός ἐστιν ἡ εἰς ταφὴν ἑτοιμασθησομένη γῆ. Ὥστε ἡδέως ἂν συντομώτερον τῶν συμφορῶν ἀπηλλαττόμην, ἢ αὐτόχειρ ἐμαυτοῦ γενόμενος, εἰ τοῦτο ἐξῆν δίχα ἁμαρτίας, ἢ ἕτερον ἱκετεύσας ἐπὶ τὴν ἐμὴν ἐλθεῖν σφαγήν. Εἴθε γὰρ ἐξῆν μοι τοῦτο, καὶ ἐποίησα ἄν· νῦν δὲ οὐ δύ-
D ναμαι, ἀπηγορευμένον γὰρ τὸ ἑαυτόν τινα ἀνελεῖν. Ὁρᾷς ὅτι τὸ, *δυναίμην*, οὐ δι' ἀσθένειαν λέγει, ἀλλὰ διὰ τὸ κεκωλύσθαι· ἀθέμιτον γὰρ καὶ ἐξάγιστον, τὸ ἑαυτὸν ὑπεξάγειν τοῦ βίου. Ἐκ τῶν τοιούτων οὖν καὶ τὸ τῆς πληγῆς δύσφορον ἐνεδείκνυτο, καὶ τὸ περὶ τὴν ἑαυτοῦ ἐπιβουλὴν εὐλαβὲς διεσώζετο· τοῖς γὰρ βιαίως ἑαυτοὺς ὑπεξάγουσι κατάκρισις ἀνδροφονίας ἐπίκειται.

« Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα· ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. Ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς, ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν. »

VARIÆ LECTIONES.

[m] Ἴσ. ἔστησα, et κατενόησας, ut in Hebr. [n] Ἴσ. ἐπέβης, ut in Hebr.

Digitized by Google

Μεθ' τὰ πολλὰ τῶν ἑαυτοῦ κατορθωμάτων κατ- A
έλεξεν, ὅπως τε τῇ ποικιλίᾳ τῶν ἐν ἀσθενείᾳ ἡρμό-
ζετο, τοὺς μὲν ἐν ἐνδείᾳ τῇ τῶν δεόντων χορηγίᾳ
παραμυθούμενος, τοῖς δὲ ἀδικουμένοις ἐπικουρῶν,
καὶ τοὺς ἐν ἀῤῥωστίαις ἰατρεύων τὸ κατὰ δύναμιν·
ἐπείπερ ὥρα λοιπὸν καί τινας ἀνίατα νοσοῦντας,
ἔνθα καὶ πᾶσα ἡ παρὰ ἀνθρώπων ἠττᾶτο ἐπικουρία,
τὸ συμπαθὲς ἑαυτοῦ δεικνὺς κάν° τοῖς τοιούτοις ἐπ-
εκτεινόμενον, φησὶν, ὅτι Ἐν οἷς οὐκ εἶχον ἐπικου-
ρεῖν, μόνης δὲ ἦν τῆς θείας χειρὸς τὸ κατόρθωμα,
συνήλγουν, ἔκλαιον, ἐπεστέναζον, καὶ τὰ τοιαῦτα
τοῖς κάμνουσι συνεισέφερον, καίτοιγε αὐτὸς *ἐπέχων*
ἀγαθοῖς, τουτέστιν, ἐν εὐδαιμονίᾳ ὤν· ὡσανεὶ ἔλε-
γεν, Οὐ τρυφαῖς σχολάζων, οὐδὲ ἀπατώμενος τῷ
πλούτῳ, τοὺς ἐν συμφοραῖς παρέτρεχον, ἀλλὰ τὰ
τούτων ὠκειούμην δεινὰ, τῶν ἐν χερσὶ ταῦτα προτι- B
θεὶς ἀγαθῶν· νῦν δὲ αὐτὸς κακῶς πάσχων, οὐχ εὑ-
ρίσκω τὴν ὁμοίαν συμπάθειαν· οὐ γὰρ ἔχω τὸν συν-
αλγοῦντα ἐν ἀνάγκαις ὤν.

Postquam multas res præclare a se gestas enumerasset, quemadmodum varietati eorum qui infirmitate laborabant se accommodaverit, necessariorum, scilicet, subministratione eos qui inopia premebantur solando, injuria oppressis opem ferendo, et valetudinarios pro viribus curando; quoniam præterea quosdam morbis immedicabilibus, et qui omnem opem humanam excederent, laborantes viderat, ut doloris sui affectum et commiserationem etiam ad hos extendi ostenderet, ait: In quibus auxiliari non poteram, a Dei autem solius manu sperandus erat effectus et felix successus, condolebam, lugebam, ingemiscebam, et similia afflictis contribuebam, ipse licet *inhærens bonis*, id est, prospera fortuna interea fruens; ac si diceret: Non deliciis ac voluptatibus indulgens, nec divitiis fascinatus et deceptus, qui in calamitatibus erant cum neglectu præteribam; verum illorum ærumnas bonis quæ in manibus habebam præferens, meas esse existimavi: nunc autem ipse malis affectus, parem commiserationem non invenio; in angustiis enim constitutus, neminem condolentem habeo.

« Ἡ κοιλία μου ἐξέζεσε, καὶ οὐ σιωπήσεται. »

VERS. 27. « Venter meus efferbuit, et non tacebit. »

Τουτέστι, φλέγομαι τὰ ἐντὸς, καὶ ἡσυχίαν ἄγειν
οὐ δύναμαι· ἡ γὰρ ὑπερβολὴ τῶν ὀδυνῶν βοᾷν με
ἀναγκάζει, καὶ ἀποδύρεσθαι, καὶ οὐδὲ βουλόμενον
ἡσυχάσαι συγχωρεῖ. Αἰτίαν δὲ παρατίθεται τοῦ τὰς
συμφορὰς ἐκτραγῳδεῖν, καὶ τὰ οἰκεῖα καταλέγειν
ἀνδραγαθήματα, τὸ πεπληρῶσθαι τὴν ψυχὴν αὐτοῦ
κακῶν· ταύτην γὰρ *κοιλίαν* καλεῖ. *Ἐκζέσαι* δέ ἐστι C
τὸ ὑπὸ πυρὸς ἐκβράζειν καὶ ἀνακαχλάζειν τὸ θερμαι-
νόμενον ὕδωρ· οὕτω μοι, φησὶν, ἡ καρδία τεθέρμα-
ται, καὶ φλεγμαίνει, καὶ σιωπᾷν οὐ δύναμαι. Ὁ μέντοι
Σύμμαχος ἀντὶ τοῦ, *οὐ σιωπήσεται*, εἰπὼν, *οὐκ*
ἐπαύσατο, ἑτέραν ἐκδοχὴν τοῦ ῥητοῦ ἡμᾶς ἀπαιτεῖ,
ὅτι ἀδιάλειπτος ἡ ὀδύνη καὶ συνεχής· ἐπεὶ γὰρ εἰ-
κὸς ἦν ἐκζέσασαν τὴν ψυχὴν πάλιν καταστῆναι, πα-
ραδηλῶν ὅτι ἐπιμένει ἡ φλεγμονὴ τῆς καρδίας, ἐπ-
ήγαγεν ὅτι οὐκ ἐπαύσατο.

Id est, Flamma viscera adurit, et silentium agere nequeo; dolorum enim excessus vociferare et ejulare me cogit, et tacere volentem haud patitur. Causam autem adjicit cur lugubriter calamitates defleat, et actiones præclare a se gestas enumeret, quia anima, scilicet, quam *ventrem* vocat, malis impleretur. *Effervescere* autem, est aquam igne calefactam ebullire, et strepitum edere; ita mihi, inquit, cor intus fervet et exæstuat, et silentium cohibere nequeo. Symmachus quidem pro illo, *non tacebit*, reddens, *non cessavit*, aliam vocis acceptionem et interpretationem a nobis requirit, quod perpetuus, scilicet, et interruptus esset dolor: cum enim verisimile esset animum effervescentem rursus sedari posse, ut ostenderet cordis æstum et fervorem perdurasse, subjunxit quod non cessaverit.

« Προέφθασάν με ἡμέραι πτωχείας· στένων πε-
πόρευμαι ἄνευ φιμοῦ, ἔστηκα δὲ ἐν ἐκκλησίᾳ κεκρα-
γώς. »

« Prævenerunt me dies mendicitatis; [VERS. 28] gemens ivi sine freno, et steti in cœtu clamans. »

Τίθησι τὰς αἰτίας τοῦ μὴ λήγειν φλεγμαίνουσαν
τὴν ἑαυτοῦ καρδίαν. Κατέλαβέ γάρ με, φησὶν, ἡ D
ἰσχάτη πτωχεία, διὰ τοῦτο καὶ *ἄνευ φιμοῦ* στενάζω,
τουτέστι, Οὐ δύναμαι ἐπέχειν τῇ ὑπομονῇ, οἷόν τινι
χαλινῷ, τὴν τοῦ στεναγμοῦ ἐπίτασιν καὶ συνέχειαν,
ἀλλ' ἀκρατῶς, καὶ ἀσχέτως, καὶ τὸ ὅλον ἀχαλίνως
στενάζω, οὐδὲ πλῆθος συνόδου αἰσχυνόμενος, ἀλλὰ
καὶ πολλῶν περιεστηκότων ἀνακράζων.

Causam assignat cur cordis ejus æstus non cesaverit. Paupertas, inquit, summa me invasit, ita ut *sine freno* ingemiscam, id est: Patientia, tanquam freno, vehementiam et crebritatem suspiriorum coercere nequeo, sed circumstantibus etiam multis, sine ulla cœtus et multitudinis verecundia ejulans, impotenter, immoderate et effrenate gemitus edo.

« Ἀδελφὸς γέγονα σειρήνων, ἑταῖρος δὲ στρουθῶν. »

VERS. 29. « Frater factus sum sirenum, et socius struthionum. »

Σειρῆνας λέγει ᾠδικούς τινας ὄρνιθας, ἀλκυόνας,
ἢ γλαῦκας· ἄμφω γὰρ θρηνητικά· *στρουθοὺς* δὲ, τοὺς
στρουθοκαμήλους, ὡς καὶ Σύμμαχος ἐξέδωκε· φιλ-

Sirenas vocat, volucres quasdam cantatrices, halcyonas, vel noctuas, utræque enim sunt querulæ: *struthiones* vero, struthiocamelos, sicut etiam Sym-

VARIÆ LECTIONES.

° *Iω.* καί.

Digitized by Google

machus interpretatus est; sunt autem animalia solitudinis amica. Hoc igitur est quod dicit: Extra urbem sub dio jacens, naturam propriam non cognovi, et avibus in nullo melior, in querulum earum gemitum erupi.

VERS. 30. « Et cutis mea obtenebrata est valde. »

Reliqui, *denigrata est in profundum*: illud autem illi non tam ex æstu solis, quam ex morbo et plaga acciderat; caro enim putrefacta nigra evadit.

« Et ossa mea ab æstu. »

In sterquilinio enim sub dio sedens, æstu diei, ac multo magis innaturali calore et fervore plagæ, adurebatur.

VERS. 31. « Versa est autem in luctum cithara mea, et psalmus meus in fletum mihi. »

Quæ lætitiam mihi afferebant, in luctum versa sunt. Hæc autem dicit ut Deum ad misericordiam provocet et pelliciat. Deinde, actiones a se præclare gestas, rursus enumerat et recenset.

CAP. XXXI.

VERS. 2. « Et quid partitus est Deus desuper, et hæreditas omnipotentis ex altissimis? »

Quare, inquit, talem mihi sortem et hæreditatem, potens et altissimus Deus, post tam accuratam et exquisitam vitæ meæ conversationem, tribuerit, causam et rationem ignoro. Nemo enim affirmare potest quod, mutato rerum statu, supplicium hoc patiar (Deo pharmacum idoneum et aptum mihi adhibente), quia divitiis et bonis quibus prius fruebar, ad socordiam, luxum et mollitiem, abusus fuerim; jure enim merito, in contraria sorte constitutus, vitæ acerbæ et luctuosæ tradendus est, qui risui, lusibus et luxui vacaverit: qua autem ratione, qui comessationes in anteacto vitæ suæ cursu devitavit, et joculares, eosque qui risum aliis movent, a se amolitus est, in tristem ac mœstum vitæ statum incidere debet?

VERS. 3. « Væ, perditio injusto, et abalienatio facientibus iniquitatem. »

Existimabat Jobus se haud propter peccata adversa passum esse; et vera quidem ejus opinio erat; virtutis enim et fortitudinis exploratio, non malorum retributio fuerat: non tamen ideo impiorum sorti se adjungit, verum perditionem eorum et alienationem a Deo concludens, miseros eos pronuntiat. Forte etiam et hanc connexionem cum superiore hic versus habet: dixerat enim, *Quid partitus est Deus?* innuens se contra quam merebatur pati, et quod dolores, ærumnæ, gemitus, et paupertas, merces virtuti debita non essent; unde subjungit quod væ et perditio, alienatio et rejectio, hominibus improbis conveniat.

VERS. 4. « Nonne ipse videbit viam meam, et omnes gressus meos enumerabit? »

Nec sane ullæ meæ actiones, imo ne nudi quidem

A ἔρημα δὲ τὰ ζῶα. Φησὶν οὖν ταῦτα, ὡς ἔξω πόλεως καὶ αὔθριος κείμενος, εἰς τὴν τῶν ὀρνίθων θρηνῳδίαν ἐξέπεσον, ἠγνόησα τὴν φύσιν τὴν οἰκείαν, οὐδὲν ἄμεινον ἐκείνων διάκειμαι.

« Τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως. »

Οἱ λοιποὶ, *ἐμελάνθη εἰς βάθος*· τοῦτο δὲ πέπονθεν, οὐ τοσοῦτον ὑπὸ τοῦ ἡλίου, ὅσον ὑπὸ τῆς νόσου καὶ τῆς πληγῆς· σεσηπυῖα γὰρ ἡ σὰρξ μελαίνεται.

« Τὰ δὲ ὀστᾶ μου ἀπὸ καύματος. »

Ἐν κοπρίᾳ γὰρ καθήμενος αὔθριος, τῷ τῆς ἡμέρας καύσωνι συνεκαίετο, πλέον δὲ τῇ ἐκ τῆς πληγῆς παρὰ φύσιν θερμασίᾳ καὶ ζέσει.

B « Ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα, ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί. »

Ἐστράφη μοι τὰ τῆς εὐφροσύνης εἰς πένθος. Ταῦτα δέ φησιν, εἰς οἶκτον τὸν Θεὸν ἐκκαλούμενος. Εἶτα πάλιν τῶν οἰκείων κατορθωμάτων ποιεῖται κατάλογον.

ΚΕΦΑΛ. ΛΑ'.

« Καὶ τί ἐμέρισεν ὁ Θεὸς ἄνωθεν, καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων; »

Διὰ τί οὖν, φησὶ, μετὰ τοσαύτην ἀκρίβειαν, τοιαύτην μοι μερίδα καὶ τοιοῦτον κλῆρον, ὁ δυνατὸς καὶ ὕψιστος Θεὸς ἄνωθεν ἐπεμέρισεν, ἀγνοῶ τοὺς λόγους. Οὐ γὰρ ἔχει τις εἰπεῖν, φησὶν, ὅτι τῷ πλούτῳ καὶ τοῖς ἀγαθοῖς τοῖς ἔμπροσθεν εἰς ῥαθυμίαν καὶ διάχυσιν ἀποχρησάμενος, ταύτην τίνω τὴν δίκην, καὶ
C μεταβέβλημαι, τοῦ Θεοῦ κατάλληλόν μοι φάρμακον ἐπιθέντος· τὸν μὲν γὰρ φιλόγελον[a], καὶ φιλοπαίγμονα, καὶ τρυφῇ προσεσχηκότα, εἰκότως ἂν τις εἰς τὴν ἐναντίαν καταστήσειε τάξιν, γοερῷ τινι καὶ πολυθρήνῳ παραδοὺς αὐτὸν βίῳ· τὸν δὲ καὶ πρὸ τούτου φεύγοντα μὲν κώμους, ἀπωθούμενον δὲ ἀνθρώπους παίζοντας καὶ γελωτοποιοῦντας, ποῖον ἂν ἔχει λόγον ἐμπεσεῖν εἰς σκυθρωπὸν καὶ κατηφῆ βίον;

« Οὐαὶ, ἀπώλεια τῷ ἀδίκῳ, καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν. »

Ἔφετο μὲν οὐ δι' ἁμαρτίας πάσχειν ὁ Ἰώβ· καὶ ἀληθὴς ἡ ὑπόνοια, πεῖρα γὰρ ἦν ἀρετῆς, οὐ κακῶν ἀνταπόδοσις· πλὴν οὐ διὰ τοῦτο προστίθεται τῇ μερίδι τῶν ἀσεβῶν, ἀλλὰ καὶ ταλανίζει τούτους, τὸ οὐαὶ αὐτοῖς ἐπιλέγων, καὶ τὴν ἐκ Θεοῦ ἀλλοτρίωσιν. Ἴσως δὲ ἀκολουθίαν ἔχει ὁ στίχος ὡς πρὸς τὸν προηγούμενον· εἶπε γὰρ, *Τί ἐμέρισεν ὁ Θεός;* αἰνιττόμενος, ὅτι παρὰ τὴν ἀξίαν πάσχει, καὶ οὐχ αὕτη ὀφειλομένη τῇ ἀρετῇ μερὶς, ὀδύναι, καὶ πόνοι, καὶ στεναγμοὶ, καὶ πενία· ὅθεν ἐπάγει, ὅτι τοῖς ἀνόμοις καὶ τὸ οὐαὶ, καὶ ἡ ἀπώλεια, καὶ τὸ ἀπηλλοτριῶσθαι, καὶ οἷον ἀπερρίφθαι προσήκει.

« Οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται; »

Καίτοιγε οὐδὲν τῶν κατ' ἐμὲ Θεὸς ἠγνόησεν,

[a] Ἴσως φιλογέλωτα.

Digitized by Google

οὐδὲ μέχρι τῶν ψιλῶν κινημάτων· πῶς οὖν ἔπληξέ με, φησίν, οὐκ οἶδα. Οὐ γὰρ ἔχει τις εἰπεῖν, ὅτι ῥᾳθυμίαν μὲν, καὶ διάχυσιν, καὶ τὸν ὑγρὸν τοῦτον ἔφευγον βίον, ἐπειδὴ κατεσκληκὼς ἦμην καὶ κατεστυμμένος ἐπὶ τὰς διαφερούσας ἐκείνῳ τῷ βίῳ κακίας, πονηρίαν, λέγω, καὶ δόλον ἐξέκλινα· ἀλλ' ἑκατέρας ὁμοίως τῆς πονηρίας ἀπέστην μακράν.

« Εἰ δὲ ἦμην πεπορευμένος μετὰ γελοιαστῶν. »

Ὁ δὲ Σύμμαχος, *μετὰ ματαιότητος*. Τουτέστιν, οὐδὲ τὰς συνουσίας ταύτας ἐδίωκον, τὰς τῶν γελωτοποιῶν.

Καὶ σημείωσαι, ὡς ἁμαρτίαν λέγει τὸ συνεῖναι γελοιασταῖς· διὸ καὶ τὴν εὐτραπελίαν αἱρεσθαι ἀφ' ἡμῶν ὁ θεῖος Ἀπόστολος παραινεῖ, ὥστε οὐδὲ τὰ ἀστεῖα δεκτέον.

« Εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον. »

Ὁ πούς, ὁ τῆς ψυχῆς. Λέγει δὲ, ὅτι Οὐκ ἐκινήθην ποτὲ εἰς τὸ δόλῳ χρήσασθαι κατά τινος.

« Ἑστάμαι γὰρ ἐν ζυγῷ δικαίῳ. »

Καὶ ὁ Ἀκύλας, *Σταθμίσει με ἐν ζυγῷ δικαίῳ*· ἵνα εἴπῃ, Ἐν τῷ καλῷ καὶ τῇ μεσότητι τῆς ἀρετῆς ἕστηκα, φεύγων τὰς ἑφ' ἑκάτερα ἐκτροπὰς, καὶ μήτε εἰς ὑπερβολὴν ἐκκλίνων, μήτε εἰς ἔλλειψιν, ἀλλὰ τιμῶν τὴν ἰσότητα. Κατὰ δὲ τὸν Ἀκύλαν, *Σταθμίσει με*, ὁ Θεὸς δηλονότι· ἔοικε γὰρ ὁ δίκαιος τὴν οἰκείαν ἀρετὴν τῷ Θεῷ ἀνατιθέναι.

« Οἶδε δὲ ὁ Κύριος τὴν ἀκακίαν μου. »

Τούτων οὐκ ἄνθρωπον καλῶ, φησὶ, μάρτυρα, τὸν καὶ χαρίσασθαι δυνάμενον, τὸν καὶ ἀγνοοῦντα πολλά· ἀλλὰ καὶ τὸν τὰ ἀπόῤῥητα μετὰ ἀκριβείας ἐπιστάμενον, ὃς καὶ τὴν ἐμὴν δικαιοσύνην ἐστάθμισε, καὶ τὴν ἀκακίαν μου οἶδε. Ταῦτα καὶ ἡ Γραφὴ τῷ Ἰὼβ προσεμαρτύρησεν, ὅτι *ἦν ἄκακος, δίκαιος, θεοσεβής*.

« Εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ. »

Τῆς κατ' εὐσέβειαν καὶ ἀρετὴν δηλονότι· ὅπερ εἶπεν, *Ἕστηκα ἐν ζυγῷ δικαίῳ*, καὶ τῆς εὐθείας οὐκ ἐξετράπην. Ἔτι τοῦτο μικρὸν, καὶ μέγα μὲν οὖν ὡς ἐν ἐκείνοις τοῖς χρόνοις, τάχα δὲ καὶ ὡς ἐν τοῖς παροῦσι· τὸ μὲν γὰρ μηδὲ ἐπιθυμῆσαι, μέγα· καὶ τοῦτο δὲ οὐκ ἔλαττον, τὸ δεξάμενον τὴν ἐπιθυμίαν μὴ προσθεῖναι τὴν πρᾶξιν· προϊὼν δὲ, καὶ τὸ τούτου μεῖζόν φησιν, ὅτι οὐδὲ οἱ ὀφθαλμοὶ ἔπαθόν τι τοιοῦτον, ἐπάγει γάρ·

« Εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου. »

Τουτέστιν, Οὐκ ἐπεθύμουν ὧν ἔβλεπον, οὐδ' ἐμπαθῶς περὶ αὐτὰ διεκείμην. Οὐκ εἶπεν, Ὁ ὀφθαλμός μου, ἀλλ', οὐδὲ ἡ καρδία μου. Οὐδὲ τὴν διάνοιάν μου, φησὶν, εἴασα διαφθαρῆναί ποτε, μήτοιγε τὸ σῶμα. Φησὶν ὁ θεῖος Ἰωάννης, ὅτι *πᾶν τὸ ἐν κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου*. Λέγει οὖν ὁ Ἰὼβ,

animi motus et cogitationes, Deo incogniti sunt; quomodo igitur me percusserit, plane ignoro. Neque enim dicere quis potest : Ego socordem, dissolutam, et mollem hanc et effeminatam vitam devitavi, quoniam ad vitia quæ vitam illam promovent, induratus callum obduxi, et improbitatem, inquam, et fraudem declinavi; verum pariter ab hac et illa improbitate longe recessi.

Vers. 5. « Si vero incessi cum irrisoribus. »

Symmachus vero, *cum vanitate*. Id est, mimorum consuetudinem, et hominum jocularium congressus minime consectabar.

Ubi nota, quod cum irrisoribus et ludionibus congredi, peccatum esse dicat : quamobrem scurrilitatem e medio nostrum tolli divinus Apostolus suadet [83], ita ut faceti et urbani sales minime admittendi sint.

« Vel si festinavit ad dolum pes meus. »

Pes, inquam, animæ meæ. Dicit autem quod pedem nunquam moverit, ut fraude contra quempiam uteretur.

Vers. 6. « Steti enim in statera justa. »

Et Aquila : *Appendit me in statera justa*. Ac si diceret : Deflectiones in alterutram partem devitans, nec ad excessum, nec ad defectum declinans, sed æqualitatem in pretio habens, in eo quod honestum est, et virtutis medio constiti. Juxta Aquilam vero, *Appendit me*, Deus, scilicet : videtur enim justus animi sui virtutem Deo acceptam ferre.

« Novit autem Dominus innocentiam meam. »

Horum, inquit, testem, non hominem advoco, qui gratificari potest, et qui multa etiam ignorat; verum eum qui abdita etiam accurate intelligit, et qui meam justitiam trutinavit, et innocentiam novit. Hæc etiam de Jobo Scriptura sacra testata est, quod esset *innocens, justus, et Deum timens* [84].

Vers. 7. « Si declinavit pes meus de via. »

Pietatis et virtutis, scilicet : quod supra dixit : *Steti in statera justa*, et de via recta non declinavi. Adhuc exiguum est quod dicit (licet magnum illis temporibus, forte etiam et nostris fuerit); non enim concupiscere, magnum; et concepta cupiditate, ab actione abstinere, minus non est : pergens autem in sermone suo, isto etiam majus affert, quod oculi, scilicet, nihil simile passi fuerint; subjungit enim :

« Vel si oculo obsecutum est cor meum. »

Id est, Quæ vidi non concupiscebam, neque affectu vehementiore ad ea commovebar. Non dixit : Oculus meus, sed ne cor quidem meum : Neque animum meum, inquit, nedum corpus, corrumpi aliquando passus sum. Divus Joannes ait : *Quidquid est in mundo, cupiditas carnis, et libido oculorum, et fastus vitæ* [85]. Dicit igitur Jobus quod, nun-

[83] Ephes. v, 4. [84] Job I, 1. [85] 1 Joan. II, 16.

Digitized by Google

quam animum ad rem aliquam adjiciens, eamque laudans, concupiverit : laudare autem ea quæ in mundo laude digna sunt (corporum, scilicet, symmetriam, colorum proportiones et temperaturas, lapidum splendorem, et gratiam ac venustatem), cupiditate autem eorum minime capi, animi a perturbationibus liberi indicium est.

A ὅτι οὐδέποτε προσχὼν, καὶ ἐπαινέσας, ἐπεθυμήσας [p]. Ἀπαθείας δὲ τοῦτο, ἐπαινεῖν μὲν τὰ ἐν κόσμῳ ἐπαίνου ἄξια, οἷον συμμετρίαν σωμάτων, καὶ ἀναλογίας καὶ μίξεις χρωμάτων, καὶ λίθων αὐγὰς καὶ χάριτας, μὴ πίπτειν δὲ αὐτῶν εἰς ἐπιθυμίαν.

« Vel si manibus meis tetigi dona ; [Vers. 8] seram igitur, et alii edant, et sine radice sim super terram. »

« Εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων· σπείρακμι ἄρα, καὶ ἄλλοι φάγοισαν, ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς. »

Symmachus autem apertius : *Et posteri mei eradicentur*. Hæc Jobus, pauper nunc factus, et liberis orbatus, dicere non potest. Quid igitur dicendum est? quod ante calamitatem scilicet hæc dixerit? vel quod tanquam justus, prospera quodammodo fortuna rursus uti speraverit? ac divina dispensatione ad nostram instructionem sic locutus fuerit, ut nos legentes, nobis ipsis in hæc verba imprecemur : Si dona accepimus, si hoc admisimus, talia patiamur.

Ὁ δὲ Σύμμαχος σαφέστερον, *Καὶ τὰ ἔκγονά μου ἐκριζωθείη*. Ταῦτα νῦν ὁ Ἰὼβ λέγειν οὐ δύναται, πένης ὢν, καὶ τὰ τέκνα ἀποβεβληκώς. Τί οὖν ἔστιν εἰπεῖν; ὅτι πρὸ τῆς συμφορᾶς ταῦτα ἔλεγεν; ἢ καὶ ὡς δίκαιος πάλιν ἠλπιζέ πως τὴν εὐθυμίαν [q]; πρὸς B δὲ διδασκαλίαν ἡμετέραν οὕτως εἰπεῖν ᾠκονομήθη παρὰ Θεοῦ, ἵνα ἡμεῖς ἀναγινώσκοντες, ἑαυτοῖς ἐπαρώμεθα, λέγοντες· Εἰ δῶρα ἐλάβομεν, εἰ τάδε ἐποιήσαμεν, τάδε πάθοιμεν ;

Vers. 9, 10. « Si secutum est cor meum mulierem viri alterius, aut si obsedi januas ejus ; placeat quoque uxor mea alteri, et filii mei humilientur. »

« Εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου, εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς· ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ, τὰ δὲ νήπιά μου ταπεινωθείη. »

Pro, *obsedi*, reliqui, *insidiatus sum*, dixerunt. Quoniam *concupiscentia postquam conceperit, peccatum parit* [55], ipsam, inquit, concupiscentiam, ne peccato via pateret, radicitus e corde evellebam. Illud autem : *Placeat quoque uxor mea alteri*, æqualitatis causa, et lege talionis dixerat : Mihi enim C ipsi, inquit, ante calamitatem suadebam quod, si malo animo erga alterum affectus essem, in eadem quæ illi cuperem inciderem, et paria iis quæ commisissem, reciperem. Quod autem hæc ad tempora ante ejus ægritudinem referantur, manifestum est ex iis quæ dicit : *Et filii mei humilientur ;* jam enim liberi ejus morte exstincti erant. Quo autem pacto humiliantur liberi? manifestum est scilicet, eum adulteræ matris spurii vocantur, et propterea se abdunt et occultant : filium autem subjugat, animumque ejus frangit, cum in matris turpitudinem et scelus oculos conjecerit.

Ὁ λοιποὶ ἀντὶ τοῦ, *ἐγκάθετος*, *ἐνήδρευσα*, εἶπον. Ἐπειδὴ *ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν*, καὶ αὐτὴν, φησὶν, ἐκ τῆς καρδίας τὴν ἐπιθυμίαν ἐξέκοπτον, ἐφ' ᾧ μὴ λαβεῖν ὁδὸν τὴν ἁμαρτίαν. Τὸ δὲ, *Ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ*, ἰσότητος ἕνεκεν λέγει· Ἐμαυτῷ γὰρ, φησὶν, παρῄνουν πρὸ τῆς συμφορᾶς, ὅτι εἰ ἕτερον κακὰ [r] διαθείμην, τοῖς αὐτοῖς καὶ αὐτὸς ὑποπέσοιμι, καὶ ἀπολάβοιμι πρὸς ἃ ἔπραξα. Ὅτι δὲ περὶ τῶν πρὸ τῆς νόσου λέγει, δῆλον ἐξ ὧν φησι, *Τὰ δὲ νήπιά μου ταπεινωθείη*· καὶ γὰρ ἦσαν ἤδη τεθνηκότες οἱ παῖδες αὐτῷ. Πῶς δὲ ταπεινοῦται τὰ νήπια; ἢ [s] δῆλον ὅτι μοιχαλίδος μητρὸς ὀνομαζόμενα, καὶ διὰ τοῦτο ἐγκαλυπτόμενα· δουλοῖ γὰρ τὸν παῖδα, ὅταν εἰς τὰ μητρὸς ἴδοι κακά.

Vers. 11. « Furor enim iræ indomitus commaculare viri uxorem. »

« Θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος τὸ μιᾶναι ἀνδρὸς γυναῖκα. »

Adulterium enim Dei iram accendit, et committenti inevitabile supplicium conciliat. Verum hoc loco, non tam illud supplicium quod postea futurum est intelligit, quam mariti zelotypiam, quæ in hoc sæculo accidere solet, et quam Salomon in Proverbiis innuit, dicens [56], quod neque muneribus inimicitias dissolvere sustinet vir qui in uxore injuria affectus fuerit, cujus torum alius maculaverit. Hoc etiam quæ mox subjunguntur manifestum faciunt.

D Ἡ γὰρ μοιχεία, φησὶ, τὸν Θεὸν παροργίζει, καὶ ἄφυκτον ἐπάγει τιμωρίαν τῷ δεδρακότι. Μᾶλλον δὲ οὐ τὴν ἐκεῖ φησιν ἐνταῦθα κόλασιν, ἀλλὰ τὴν τοῦ ἀνδρὸς ἐνταῦθα ζηλοτυπίαν, ἣν καὶ Σαλομὼν ἐν Παροιμίαις αἰνίττεται λέγων, ὅτι οὐδὲ ἐν δώροις τὴν ἔχθραν ἀνέχεται λῦσαι, ὁ περὶ τὴν γυναῖκα ἀδικηθεὶς ἀνὴρ, οὗ τὴν εὐνὴν ἄλλος ἐμίανε. Τοῦτο καὶ νῦν τὰ ἐπαγόμενα δηλοῖ.

Vers. 12. « Ignis enim est ardens super omnes partes »

« Πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν. »

[55] Jac. I, 15. [56] Prov. VI, 35.

VARIÆ LECTIONES.

[p] Ισ. ἐπεθύμησα. [q] Ισ. εὐθηνίαν. [r] Ισ. περὶ ἕτερον κακῶς. [s] Ισ. del. ἢ.

Digitized by Google

* Τοῦτο μῦσος, τοῦτο ὑπερβάλλουσα ἀδικία. Ὁ γὰρ ἀλλότριον διορύττων γάμον, φλόγα μεγάλην ἐξάπτει κακῶν, ἄνδρα ἀδικεῖ, μιαίνει γυναῖκα, ὑπόπτους ποιεῖ τοὺς παῖδας καὶ ἀμφιβόλους, μάχεται τῇ Προνοίᾳ, διαιρεῖ τὴν σχέσιν, ἐπιβουλὰς ἀρτύει κατὰ τοῦ ἀνδρός. Τοσοῦτος ἐσμὸς κακῶν ἐκ τῆς ἀκολάστου ῥύεται μοιχείας.

« Οὗ δ' ἂν ἐπέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσε. »

* Ἤδειν, φησὶ, τῆς ἀδικίας τὸ μέγεθος· ἐκριζοῖ γὰρ τὴν οἰκίαν οὗ ἂν εἰσέλθῃ τὸ πάθος. Εἶδες σωφροσύνην, ὁρᾷς καὶ ταπεινοφροσύνην, καὶ ἐννόησον ἡλίκη καὶ αὕτη.

« Εἰ δὲ καὶ ἐφαύλισα κρῖμα θεράποντός μου, ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρὸς μέ. Τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ποιῆται ὁ Κύριος; Ἐὰν δὲ καὶ ἐπισκοπήν τινα, ἀπόκρισιν ποιήσομαι; Πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρὶ, καὶ ἐκεῖνοι γεγόνασι; γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. »

Εἶδες συντετριμμένην διάνοιαν, καὶ τῶν ἀνθρώπων τὴν φύσιν ἐπισκεπτομένην μετὰ ἀκριβείας, καὶ εἰδυῖαν τί δοῦλος, τί ἐλεύθερος, τοῦτο τὸ ὑπὸ πολλῶν περιφερόμενον. Ταύτην οὖν ἐκβαλὼν τὴν ἀνωμαλίαν, ἀπὸ τῆς ὁμοτιμίας τῆς κατὰ τὴν γέννησιν, τὸν περὶ τῆς φιλοσοφίας εἰσάγει λόγον. Καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ, ὅτι ταῦτα ποιῶν, οὐδὲ ταπεινοφρονεῖν ἐνόμιζεν, ἀλλ' ὀφειλὴν πληροῦν. Διὸ καὶ λογισμὸν ἔθηκε, τὸν ἅπαντας ἀνθρώπους πείθοντα, μηδὲν πλέον φρονεῖν τῶν οἰκετῶν, κἂν μυριάκις ὦσι δεσπόται· τὰ γὰρ ὀνόματα ταῦτα, ὁ δοῦλος, καὶ ὁ ἐλεύθερος, ὀνόματά ἐστι μόνον ψιλὰ, πραγμάτων ἔρημα· ἡ δὲ δουλεία ἐν ἁμαρτίᾳ, καὶ ἡ ἐλευθερία ἐν δικαιοσύνῃ ὁρίζεται. Ὅρα δὲ, πῶς ὑποτέμνεται αὐτοῦ τὰ ἐγκώμια. πανταχοῦ, καὶ καθαιρεῖ τὰ κατορθώματα. Οὐδὲν μέγα ἐποίησα, φησί· τοῦτο αὐτὴ ἡ φύσις βούλεται, κοινωνοῦμεν ἀλλήλοις, ἁπάντων ἡ αὐτὴ γέννησις, ἡ αὐτὴ εἰς τὸν βίον εἴσοδος, πάντα κοινά, οὐ σεμνότερος ἐγὼ τῆς ἐκείνων φύσεως. *Ἐν τῇ αὐτῇ κοιλίᾳ γεγόναμεν*, τουτέστιν, *ἐν ὁμοίῳ τρόπῳ*, κατὰ Σύμμαχον· διὰ τοῦτο οὔτε δοῦλος, οὔτε ἐλεύθερος παρ' ἐμοῦ ἠδίκηται. Ἀλλὰ καὶ τοῖς οἰκέταις τοῖς ἐμοῖς παῤῥησίαν ἐδίδουν δικαιολογεῖσθαι πρός με, εἴ τι ὑπώπτευον μὴ δίκαιον πάσχειν ὑπ' ἐμοῦ· καὶ οὐκ *ἐφαύλισα*, ἢ κατὰ τὸν Ἀκύλαν, *ἀπέῤῥιψα*, ἢ ὑπερεφρόνησα τὸ *κρῖμα* αὐτῶν, τουτέστι, τὴν δικαίωσιν. Ἐνηγόμην δὲ εἰς τὸ οὕτω ποιεῖν ὑπὸ τῆς φύσεως, κατ' ἐμαυτὸν λογιζόμενος, ὡς πάντες ἄνθρωποι, εἴτε δοῦλοι, εἴτε δεσπόται, μίαν ἔχομεν γενέσεως ἀρχὴν, καὶ ἵνα πάντες κύριον ἐν οὐρανοῖς, ὃς γε ἀπροσωπολήπτης ὤν, ἕκαστον ἀπαιτεῖ τὴν πρὸς τὸν πέλας ἰσότητα. *Ἐὰν* οὖν *ἔτασιν ποιήσηται*, ἤ, κατὰ Σύμμαχον, *ἐὰν ἐπιζητῇ, τί ἀποκρινοῦμαι αὐτῷ; ἔτασιν* γὰρ τὴν ἐξέτασιν, *ἐπισκοπὴν δὲ θείαν* τοὺς ἐλέγχους καλεῖ. Ἐκ ταύτης τῆς ἰσότητος ὁρμώμενος, ἐπὶ Θεοῦ κρίνεσθαι ἐπόθει, τῇ αὐτοῦ πεποιθὼς δικαιοκρισίᾳ. Εἶδες αὐτοῦ ἑτέραν ἰσότητα, καὶ θαυμασίαν δικαιοσύνην· ὅρα καὶ τὴν συμπάθειαν καὶ φιλοπτωχείαν.

A Hoc scelus detestandum, hoc summa iniquitas est. Qui enim torum alienum violat, malorum flammam ingentem accendit, maritum injuria lædit, uxorem polluit, liberos suspectos et spurios reddit, contra Providentiam bellum gerit, affectionem conjugalem dissecat, et marito insidias struit. Tantum malorum examen ex libidinoso adulterio pullulat.

« Quocunque supervenerit, a radicibus perdidit. »

Noveram, inquit, sceleris et iniquitatis magnitudinem; domum enim, in quam malum hoc ingreditur, radicitus exstirpat. Temperantiam Jobi vidisti; vide etiam humilitatem, et quanta fuerit, diligenter considera.

B Vers. 13. « Quod si et despexi judicium famuli mei, aut ancillæ, cum ipsi litigarent mecum. Quid enim faciam, si inquisitionem mei faciat Dominus? Quod si et visitationem aliquam, responsum dabo? Nonne sicut ego factus sum in utero, et illi facti sunt? facti autem sumus in eodem ventre. »

Animum contritum vidisti, qui hominum naturam accurate perspexit, et quid servus, quid liber sit, de quibus inter multos frequens sermo est, perfecte cognovit. Hanc igitur inæqualitatem rejecturus, a pari dignitate omnium quæ in partu conspicitur, sermonem de philosophia et animi æquitate introducit. Atque hoc in eo admirandum erat, quod, cum hæc faceret, non humilitatem se exercuisse, sed debitum adimplevisse existimaret. Idcirco ra-C tionem attulit, qua cunctis hominibus persuaderet, ne plus de se quam de servis sentirent, licet millies domini forent; nomina enim servi et domini nuda tantum sine re nomina sunt; servitus enim in peccato, libertas autem in justitia censetur esse. Considera autem quemadmodum ubique laudes suas succidat, et egregia sua facinora imminuat. Nihil magnum, inquit, præstiti; natura ipsa hoc a me requirit; communionis vinculo aliis nexi sumus, omnium eadem est generatio, et idem in vitam introitus, omnia sunt communia; ego eorum natura præstantior et veneratione dignior non sum. *In eodem utero facti sumus*, id est, juxta Symmachi versionem, *eodem modo*: ac proinde nec servus, nec liber a me injuria læsus est. Imo vero, famulis D meis, si injuriam ullam a me illis illatam suspicarentur, judicio mecum contendendi liberam potestatem concessi, neque *despexi*, vel, secundum Aquilam, *abjeci*, vel contempsi eorum *judicium*, id est causæ suæ defensionem. Hoc autem, cum animo mecum reputarem quod omnes homines, sive servi, sive domini simus, unum generationis principium, et unum in cœlis dominum habeamus, qui, cum personarum acceptor non sit, id ab unoquoque postulat, ut vicino suo æqualem se præbeat, natura ipsa, ut facerem, me impellebat. *Si* igitur *inquisitionem faciat* (vel, juxta Symmachi interpretationem, *si inquirat*), *quid respondebo ei? Inquisitionem* enim, explorationem, et *visitationem divinam*, redargutionem et castigationem vocat. Ab hac æqua-

Digitized by Google

litate sermonis initium faciens, justo Dei judicio fretus, ab eo judicari desiderat. Aliam ejus æqualitatem, et justitiam admirandam vidisti; vide etiam commiserationem ejus, et amorem erga pauperes.

VERS. 16. « Et viduæ oculum non tabefeci. »

Meminit Dei Psalmista in Psalmis *Patris pupillorum et judicis viduarum* [87]. Et alibi : *Orphano tu fuisti adjutor* [88]. Jobus igitur, tanquam qui imaginem intactam et illibatam servat, archetypum imitatus est. Illud autem, *non tabefeci*, egestate scilicet, vel lacrymis, vel assiduo oculorum intuitu sine fructu ullo et cum contemptu, tabescere non sum passus.

VERS. 17. « Quod si et buccellam meam comedi solus, et pupillo non communicavi : quoniam a juventute mea enutriebam ut pater, et de ventre matris meæ dux iis fui. »

Misericordiæ abundantiam observa, qua frustum etiam panis indigentibus distribuit. Illud autem, *De ventre dux fui*, idem est ac si diceret : Infantes parentibus orbatos, admodum teneros suscipiens, quoad adolevissent nutriebam, educabam, artium disciplinis erudiebam, et donec ope mea non multum egerent, quasi manu ducebam. Intelligere autem potes quod juvenibus, antequam vitio adhærerent, viam virtutis monstrarit; sic enim illud verum erit, *Ab utero matris dux fui*. Quod autem supra diximus, attendendum est : Injuriam facere, et beneficio non afficere, apud Jobum eodem loco esse; et quod non tantum a vitio abstinere, sed virtutem etiam sectari oporteat. Non enim solum dixit : Orphanis injuriam non intuli, quod a mulo est abstinere; sed, patris instar, curam illorum suscepi, quod est bonum capessere.

VERS. 19, 20. « Aut si despexi nudum pereuntem, et non operui eum; et si non benedixerunt me impotentes. »

Non solum, inquit, egenos alebam, sed nudos etiam, qui frigore fere enecabantur, vestimentis operiebam; et impotentum, quorum curam idoneam gerebam, fausta acclamatione et benedictione fruebar.

VERS. 20. « Et de tonsura agnorum meorum calefacti sunt humeri eorum. »

Per *humeros* corpus universum designavit; ex illis enim tota vestis dependet : videntur etiam humeri frigore quodammodo facilius affici, atque idcirco illorum meminit. Cum autem studium suum singulare et laborem in collocandis beneficiis, et quod non obiter nec perfunctorie illam exerceret, ostenderet, e gregum suorum lanis, ut totum corpus calefieret, vestimenta iis præparasse se asserit.

VERS. 21, 22. « Si levavi super pupillum manum, [*Symmachus autem*, contra pupillos], confidens quia mihi est adjutorium multum, discedat humerus meus a clavicula, et brachium meum a cubito confringatur. »

A « Χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. »

Ἔφη περὶ Θεοῦ ψάλλων ὁ Μελῳδὸς, *Τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν* · καὶ πάλιν, *Ὀρφανῷ σὺ ἦσθα βοηθός*. Οἷα τοίνυν τὴν εἰκόνα σώζων ἀκέραιον, ὁ Ἰὼβ ἀπεμιμεῖτο τὸ ἀρχέτυπον. Τὸ δὲ, *οὐκ ἐξέτηξα*, ἤτοι οὐκ εἶασα ὑπὸ πενίας ἐκτήκεσθαι, ἢ ὑπὸ τῶν δακρύων, ἢ ὑπὸ τοῦ συνεχῶς ἀτενίζειν, καὶ μὴ ἐπιτυγχάνειν, ἀλλ' ὑπερορᾶσθαι.

« Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ ὀρφανῷ μετέδωκα · ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατὴρ, καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα. »

B · Ὅρα τῆς ἐλεημοσύνης τὸ δαψιλὲς, ὅτι καὶ τὸν ψωμὸν ἐπεμέριζε τοῖς δεομένοις. Τὸ δὲ, *Ἐκ γαστρὸς ὡδήγησα*, ἵνα εἴπῃ, ὅτι Κομιδῇ νήπια τὰ ἀπορφανισθέντα παρελαμβάνων, μέχρις ἡλικίας ἐξέτρεφον, καὶ ἀνῆγον, καὶ τέχνας ἐπαίδευον, ἕως ὅτε τῆς ἐμῆς ἐπικουρίας μὴ σφόδρα δέοιντο, μέχρις ἐκείνου χειραγωγῶν. Νοήσεις δὲ, ὅτι καὶ πρὶν ἐφάψασθαι τῆς κακίας, ἐπὶ τὴν ἀρετὴν ὡδήγει τοὺς νέους · οὕτω γὰρ ἀληθὲς ἔσται τὸ, *Ἀπὸ γαστρὸς ὡδήγησα*. Ὃ δὲ καὶ ἀνωτέρω ἐλέγομεν ἐπισημαίνεσθαι χρεὼν, ὅτι τὸ μὴ εὐεργετεῖν μετὰ τοῦ ἀδικεῖν τάττει · καὶ δεῖ μὴ μόνον κακίας ἀπέχεσθαι, ἀλλὰ καὶ ἀρετῆς ἀντέχεσθαι · οὐ γὰρ μόνον εἶπεν, ὅτι Οὐκ ἠδίκουν τοὺς ὀρφανοὺς, ὅπερ ἔστιν ἀποχὴ κακοῦ · ἀλλ' ὅτι καὶ δίκην πατρὸς τὴν αὐτῶν κηδεμονίαν ἀνελάμβανον, ὅπερ ἐστὶν ἀνάληψις τοῦ ἀγαθοῦ.

C « Εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίασα αὐτόν · ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με. »

· Οὐ μόνον, φησὶ, ἔτρεφον τοὺς ἐνδεεῖς, ἀλλὰ καὶ περιέστελλον τοὺς γυμνοὺς, καὶ ἀπολέσθαι τῷ ψύχει κινδυνεύοντας · καὶ τῆς παρὰ τῶν ἀδυνάτων δὲ εὐφημίας ἀπήλαυον [1], τὴν δέουσαν αὐτῶν προμήθειαν ποιούμενος.

« Ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν. »

Ἀπὸ τῶν *ὤμων* τὸ πᾶν ἐσήμανε σῶμα · ἐξ αὐτῶν γὰρ τὸ ὅλον ἱμάτιον ἤρτηται · ἐοίκασι δέ πως καὶ εὐπαθέστεροι πρὸς τὸ κρύος τυγχάνειν οἱ ὦμοι, διὰ τοῦτο αὐτῶν ἐμνημόνευσε. Δεικνὺς δὲ τὸ περὶ τὴν D εὐποιΐαν περισπούδαστον ἅμα καὶ ἐπίπονον, καὶ ὅτι οὐ παρέργως οὐδὲ ἀμελῶς ταύτην ἐποιεῖτο, ἐκ τῶν ἐρίων τῶν αὐτοῦ θρεμμάτων ἔφη τὰς τῶν γυμνῶν ἀμφιάσεις κατασκευάζεσθαι, ὥστε πᾶν αὐτῶν τὸ σῶμα θερμαίνεσθαι.

« Εἰ ἐπῆρα ὀρφανῷ χεῖρα [ὁ δὲ *Σύμμαχος*, κατὰ ὀρφανῶν], πεποιθὼς ὅτι πολλή μοι βοήθεια περίεστιν · ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδὸς, ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβείη. »

[87] Psal. LXVII, 6. [88] Psal. IX, 34.

VARIÆ LECTIONES.

[1] *Isc.* ἀπήλαυον.

Digitized by Google

' *Κλεῖδά* φησι τὸν σύνδεσμον τοῦ ὤμου πρὸς τὸν τράχηλον. Θεοδοτίων δὲ καὶ Σύμμαχος, ἀντὶ τῆς *κλειδός*, ὁ μὲν, *τοῦ αὐχένος*, ὁ δὲ, *τοῦ ἀπρωμίου*, ἐξέδωκεν. Εἰ οὖν κατ' ὀργὴν, φησὶ, χεῖρας ἐπέβαλον ὀρφανῷ, πεποιθὼς τῇ προσούσῃ μοι δυναστείᾳ, ἐκπέσοι τοῦ συνδέσμου, τοῦ περὶ τὸν αὐχένα, ἡ τοῦτο τολμήσασα χείρ.

A Juncturam humeri cum collo, *claviculam* vocat, Theodotio autem, et Symmachus, hic quidem pro *clavicula*, *cervicem*, ille vero, *scapularum extremitatem*, interpretatus est. Si igitur, inquit, fretus mea potentia, violentas manus orphano iratus injeci, manus quæ scelus illud ausa est, de junctura colli decidat.

« Φόβος γὰρ Κυρίου συνέσχε με, ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω. »

VERS. 23. « Timor enim Domini continuit me, a prehensione ejus non sustinebo. »

« Ταῦτα δὲ ἔπραττον, φησὶ, τῷ θείῳ συνεχόμενος φόβῳ, ἐννοῶν ὡς εἰ ἐπιλάβοιτό μου Θεὸς ἢ ἀδικήσαντος, ἢ μὴ εὐεργετήσαντος, ἀνύποιστον ὑφέξω τὴν τιμωρίαν. Ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ *λήμματος*, τὸ *βάρος*, ἐξέδωκεν.

Hæc, inquit, divino timore coercitus faciebam, supplicium grave et intolerabile mihi subeundum esse reputans, si aut inique agentem, aut non bene facientem me Deus apprehenderet. Symmachus autem pro *prehensione*, reddidit, *pondus*.

« Εἰ ἔταξα χρυσίον εἰς χοῦν μου [*ὁ δὲ Σύμμαχος, ἀφοβίαν μου.*], εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα, εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου. »

B VERS. 24, 25. « Si posui aurum in congium meum [*Symmachus autem*, Fiduciam meam.], quod si et in lapide pretioso fidebam, si et lætatus sum cum esset mihi sensus multus. »

« Διὰ δὴ τοῦτο, καὶ ἀφαιρεθέντων, μετὰ πολλῆς ἔφερε τῆς εὐκολίας, καὶ παρόντων, δαψιλῆ τὴν ἐλεημοσύνην εἰργάζετο· πᾶσαν γὰρ ἀρετὴν ἐπῆλθε [u] · καὶ τῶν οὐδὲν ἐχόντων ἀκριβέστερον διέκειτο, τοσαῦτα περιβεβλημένος · οὐ γὰρ οὕτως ὁ μηδὲν ἔχων ἀπήλλακτο χρημάτων, ὡς ἐκεῖνος, ὁ τοσαῦτα ἔχων · πανταχοῦ γὰρ ἡ γνώμη ἐστὶν ἡ στεφανουμένη. »

Idcirco cum ablatæ fuissent divitiæ, æquanimiter valde tulit; et cum adessent, copiosam misericordiam exercebat (omnem quippe virtutem sectatus est); quique tanta rerum copia circumfluebat justius et emendatius iis affectus erat, qui nihil in bonis haberent : non enim tantopere a divitiis animo alieno erat qui nihil habebát, ac is qui tam multa possidebat : animus enim est qui ubique et in omnibus corona insignitur.

« Ἢ οὐχ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα, ἐκλείποντα, σελήνην δὲ φθίνουσαν; Οὐ γὰρ ἐπ' αὐτοῖς ἐστιν. »

VERS. 26. « Annon videmus solem qui lucebat, deficientem, lunam autem decrescentem? Non enim in C iis est. »

Ταῦτα δὲ ὁ Ἰὼβ ἐνενόει· Διελογιζόμην γὰρ, φησὶ, κατ' ἐμαυτὸν, ὅτι εἰ μεγάλα ταῦτα καὶ λαμπρὰ στοιχεῖα ἐκλείπει κατὰ θείαν πρόσταξιν, ποῖα ὠφέλεια κἂν πάνυ πλουτήσω; Δεῖ γὰρ πάντως τὸν πλοῦτον ἐξ ἡμῶν ἀπελθεῖν, ἢ τῶν χρημάτων καὶ ζῶντας ἡμᾶς καταλιμπανόντων, ἢ ἡμῶν τὸν βίον μεταλλαττόντων. Ὡς γὰρ ἥλιος ἐκλείπει, καὶ νὺξ ἡμέραν διαδέχεται, καὶ σελήνη λήγει κατὰ θείαν πρόσταξιν, καὶ ἁπλῶς; οἱ μεγάλοι οὗτοι φωστῆρες φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπόκεινται, καὶ πρὸς τὸ νεῦμα ἄγονται τοῦ Δημιουργοῦ· οὐ γὰρ ἐπ' αὐτοῖς ἐστιν, ἀλλ' ἐπὶ τῷ τάξαντι · οὕτως ἐνενόουν καὶ περὶ πλούτου, ὡς περὶ ἀστάτου πράγματος, καὶ ἐπαιδεύθην μὴ προσέχειν ἐπὶ τῇ τούτου ἀδηλότητι, ἀλλὰ δεόντως αὐτὸν δαπανᾷν.

Hæc Jobus secum cogitabat : Mecum, inquit, animo reputabam : Si magna hæc et splendida luminaria mandato divino deficiunt, quid mihi proderit, si locuples valde evasero? Divitias enim, vel vivos nos ipsis deserentibus, vel nobis vitam cum morte commutantibus, e medio omnino auferri oportet. Ut enim sol eclipsin patitur, nox diem excipit, ac luna divino præcepto lucere desinit, magnaque hæc luminaria, ut verbo absolvam, corruptionibus ac mutationibus obnoxia sunt, et ad nutum Creatoris reguntur (non enim sui arbitrii sunt, sed ordinantis imperio parent); ita etiam de divitiis, tanquam de instabili cogitavi, earumque incertitudini et inconstantiæ animum minime adjicere, sed commode et D decenter illas impendere didici.

« Καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου. »

VERS. 27. « Et si deceptum est clam cor meum. »

' Ὁ δὲ Σύμμαχος, *ἐπλατύνθη*. Ὁ δὲ νοῦς οὗτος · Οὐδὲ ἡ καρδία μου, φησὶν, ἀνετυπώσατο πλατυσμὸν καὶ πλῆθος περιουσίας, καὶ τὴν ἐντεῦθεν ἡδονὴν, οὐδὲ ἡ ψυχή μου εὐρυχωρίαν παρέσχε τῇ τοιαύτῃ ἐπιθυμίᾳ [v]. Διὰ δὲ τοῦ, *λάθρα*, ἔοικε σημαίνειν, ὅτι οὐδὲ κατὰ συναρπαγὴν τοιοῦτόν τι πέπονθεν. Ἢ, ἐπειδὴ πολλοὶ ἐν μὲν τῷ φανερῷ προσποιοῦνται τὴν τῶν χρημάτων καταφρόνησιν, ἐν δὲ τῇ διανοίᾳ λάθρα τὴν ἐρασιχρηματίαν τρέφουσι καὶ κρύπτουσι,

Symmachus autem, *dilatatum est*. Sensus autem hic est : Neque cor meum, inquit, latitudinem, et opum abundantiam, cum voluptate quæ inde profluit, sibi finxit; neque anima mea ejusmodi cupiditati, ut laxe vagaretur, frenos remisit. Per illud autem *clam*, significare videtur quod ne subito quidem animi motu correpto, hoc illi acciderit. Vel, quoniam multi palam divitiarum contemptum simulant, clam vero in animo amorem illarum alunt et

VARIÆ LECTIONES

[u] *Isc.* μετῆλθε. [v] *gr.* περιουσίᾳ.

Digitized by Google

celant; idcirco dixit : Ne clam quidem absurdum hunc et vitiosum amorem parturivi.

VERS. 27, 28. « Quod et si osculatus sum manum meam, ponens ad os meum. [*Symmachus vero*, Et adoravit manus mea circa os meum.] Et hoc igitur mihi iniquitas maxima computetur, quod mentitus sum coram Domino altissimo. »

Nonnulli sæpenumero suas actiones extollentes, manum propriam deosculantur. Dicit igitur : Si in mea dominatione, et actionibus meis, non autem in Deo fiduciam collocavi, veritatem mentitus sum (nostrum enim auxilium non a nobis-ipsis, sed a divina gratia promanat); si igitur errore deceptus, tale quid[1] passus sum, pro scelere gravissimo mihi imputetur. Alii vero sic verba acceperunt : Si solem, inquit, et lunam, illorum splendore deceptus, adoravi, nec deficere illa et Domini mandatis parere, animo mecum reputavi, sed illorum admiratione manum meam exosculatus sum, pro scelere maximo mihi ascribatur. Atque ita de idololatria dictum esse putant; verum ego non adducor ut hoc credam, non enim inter præcipuas et eminentissimas suas actiones collocasset. Mihi autem tale quidpiam videtur esse, quod obviam venientibus iis quos diligunt, pati solent qui amoris affectu tanguntur, qui quidem vel propter divitias, vel res præclare gestas eorum quos in admiratione habent, manus eorum exosculantur.

VERS. 29, 30. « Quod si et gavisus sum super ruina inimicorum meorum, et dixit cor meum, *Euge;* audiat auris mea maledictionem meam, et diffamer a populo meo male affectus. »

Hoc etiam alibi docemur : *Si enim*, inquit, *ceciderit inimicus tuus, ne gaudeas super eo, et in supplantatione ejus ne extollaris*[59]. Symmachus quidem pro, *euge*, reddidit, *Insurrexi quando afflictio eum apprehendit. Euge* vero, insultantis et irridentis acclamatio est, juxta illud : *Euge, euge, oculi nostri viderunt*[60]. Verum ego, iuquit, si quando ruinæ inimicorum insultavi, alios etiam mihi imprecantes audiam, et ærumnis afflictus, tanquam eorum quæ gessi pœnas meritas luens, sermone omnium celebrer.

VERS. 31, 32. « Quod si et sæpe dixerunt ancillæ meæ : Quis utique det nobis ut carnibus ejus satiemur? cum valde bonus essem. »

Cæteri autem sic reddiderunt : *Si non sæpe dixerunt viri tabernaculi mei, Quis det de carnibus ejus, et saturabimur?* ut alterum inhumanæ crudelitatis, alterum vero impotentis cujusdam et insatiabilis amoris indicium sit. Supra etiam famulorum meminit, cum diceret : *Non despexi judicium famuli mei, aut ancillæ;* causamque adjecit : Quia *quemadmodum illi facti sunt, ita et ego factus sum*, et summam suam humilitatem manifestavit.

διὰ τοῦτο εἶπεν, ὅτι Οὐδὲ λάθρα τὸν ἄτοπον τοῦτον ὠδίνησα ἔρωτα.

« Εἰ δὲ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου, ἐφίλησα. [Ὁ δὲ Σύμμαχος, Καὶ προσεκύνησεν ἡ χείρ μου περὶ τὸ στόμα μου.] Καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη, ὅτι ἐψευσάμην ἐναντίον Κυρίου τοῦ ὑψίστου. »

Πολλάκις τινὲς τὰς ἰδίας ἐπαινοῦντες πράξεις, τὴν ἰδίαν καταφιλοῦσι χεῖρα. Φησὶν οὖν, ὅτι Εἰ ἐπὶ τῇ ἐμῇ δυναστείᾳ καὶ ταῖς ἐμαῖς πράξεσιν ἐθάρρησα, καὶ μὴ ἐπὶ τῷ Θεῷ, ἐψευσάμην τὸ ἀληθές· οὐ γὰρ ἐξ ἑαυτῶν ἡ ἡμετέρα βοήθεια, ἀλλ' ἐκ τῆς θείας χάριτος· εἰ οὖν ἀπατηθεὶς πέπονθά τι τοιοῦτον, λογιζέσθω μοι τοῦτο εἰς ἀνομίαν μεγίστην. Ἄλλοι δὲ οὕτως ἐξεδέξαντο τὸ ῥητόν· Εἰ προσεκύνησα, φησὶν, ἡλίῳ καὶ σελήνῃ, τοῖς αὐτῶν ἀπατηθεὶς φέγγεσι, καὶ μὴ ἐλογισάμην, ὅτι καὶ ἐκλείπουσι, καὶ δεσποτικοῖς ὑπηρετοῦνται προστάγμασιν, ἀλλ' ἐπὶ τῷ τούτων θαύματι τὴν ἐμὴν κατεφίλησα χεῖρα, ἀνομία μοι ἡ μεγίστη λογισθείη. Οὕτω μέν τινες περὶ εἰδωλολατρείας φασὶ τοῦτο εἰρῆσθαι· ἀλλ' οὐ πείθομαι· οὐ γὰρ ἐν τοῖς μεγίστοις κατορθώμασι τοῦτο τέθεικεν. Ἀλλ' ἐμοὶ δοκεῖ, ὅπερ πάσχουσιν οἱ ἐρωτικῶς διακείμενοι, ἀπόντων [x] τῶν ἐρωμένων, τὰς χεῖρας αὐτῶν καταφιλοῦσι τῷ στόματι, ἢ περὶ πλούτου, ἢ περὶ πραγμάτων ὧν ἂν θαυμάζωσιν.

« Εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου, καὶ εἶπεν ἡ καρδία μου, Εὖγε· ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου, θρυλληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος. »

Τοῦτο καὶ ἀλλαχοῦ διδασκόμεθα· *Ἐὰν γὰρ*, φησὶ, *πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου.* Ὁ μέντοι Σύμμαχος ἀντὶ τοῦ, *Εὖγε, Καὶ ἐπανέστην ὅτε κατέλαβεν αὐτὸν κάκωσις*, ἐξέδωκε. Τὸ δὲ, *Εὖγε*, ἐπιχαρτικὸν καὶ γελαστικόν ἐστιν ἐπίφθεγμα· κατὰ τὸ, *Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.* Ἀλλ' ἐγὼ, φησὶν, εἴποτε ἐπεχάρην πτώματι ἐχθρῶν, ἀκούσαιμι καὶ αὐτὸς ἑτέρων καταρωμένων με, καὶ κακούμενος θρυλληθείην, ὡς πρὸς ἃ ἔπραξα ἀπειλημμένος.

« Εἰ δὲ καὶ πολλάκις; εἶπον αἱ θεράπαιναί μου· Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι; λίαν μου χρηστοῦ ὄντος. »

Οἱ δὲ λοιποὶ οὕτως ἐξέδωκαν· *Εἰ μὴ πολλάκις εἶπον οἱ ἄνδρες τῆς σκηνῆς μου, Τίς δῴη τῶν σαρκῶν αὐτοῦ, καὶ ἐμπλησθησόμεθα;* ὥστε τὸ μὲν ἀπανθρώπου ὠμότητος, τὸ δὲ ἀκρατοῦς τινος καὶ ἀκορέστου ἔρωτος τεκμήριον εἶναι. Καὶ ἀνωτέρω τῶν θεραπόντων ἐμνήσθη, ὅτε ἔλεγεν, *Οὐκ ἐξαύλισα κρῖμα θεράποντός μου, ἢ θεραπαίνης·* καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι *Ὡς οὗτοι ἐγένοντο, καὶ ἐγὼ ἐγενόμην·* καὶ ἔδειξε τὴν ἀνυπέρβλητον ἑαυτοῦ ταπεινοφροσύνην.

[59] Prov. xxiv. 17. [60] Psal. xxxiv, 21.

VARIÆ LECTIONES.

[x] ἀπαντώντων.

Digitized by Google

Ἕτεροι δὲ οὕτως ἡρμήνευσαν· Οὐδὲ ἐπαχθής, A φησὶ, ταῖς θεραπαίναις γέγονα, ὡς διὰ τὴν ἐμὴν ὠμότητα καὶ αὐτὰς ἐξαγριωθείσας τῶν ἐμῶν ἐπιθυμεῖν ἀπογεύσασθαι σαρκῶν· τὸ δὲ ἐναντίον ἅπαν, καὶ λίαν αὐταῖς χρηστὸς ἐγενόμην. Ἐμοὶ δὲ ἀρέσκει, κατὰ μὲν τοὺς Ἑβδομήκοντα ἐκδόντας, *Εἰ εἶπον αἱ θεράπαιναί μου*, ἡ δευτέρα ἑρμηνεία. Κατὰ δὲ τὴν τῶν λοιπῶν ἔκδοσιν ἔχουσαν, *Εἰ μὴ εἶπον*, ἡ προτέρα ἐξήγησις. Πάθοιμι γὰρ, φησὶ, τάδε, εἰ εἶπον αἱ θεράπαιναί μου κατ' ἐμοῦ θυμούμεναι· Διαμεριεῖμεθα αὐτὸν, καὶ ὡμὰς τὰς σάρκας αὐτοῦ δαπανήσωμεν· ἀλλὰ μὴν τοῦτο οὐκ εἶπον, λίαν μου χρηστοῦ ὄντος. Πάλιν δὲ εὔχεται κρατῆσαι καὶ βεβαιωθῆναι τὰς καθ' ἑαυτοῦ ἀρὰς, εἰ μὴ εἶπον ἀπὸ θερμῆς ἐρωτικῆς διαθέσεως αἱ θεράπαιναι, Καταφάγωμεν αὐτόν. B

« Εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου· οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους, τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν. »

Ἑκούσιον μὲν οὐδὲν ἑαυτῷ συνῄδει πλημμέλημα, οὕτως ἄκρως τὸν κατ' ἀρετὴν ἐξήσκει βίον. Ἐπεὶ δὲ ἄνθρωπον ὄντα οὐκ ἦν μὴ καὶ ἄκοντα περιπίπτειν παραπτώματι, μετανοίᾳ καὶ ἐξομολογήσει ἐξιᾶτο γνωσθὲν τὸ ἁμάρτημα, οὐκ ἐπαισχυνόμενος τὸ μὴ κατὰ τὸν ὀρθὸν λόγον πεπραγμένον ἐξαγορεύειν.

« Εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ· τίς δώῃ ἀκούοντά μου; »

Τάχα δὲ ἀκροατὰς ἔοικεν ἐπιζητεῖν συνετοὺς, δυναμένους χωρῆσαι τὰ παρ' αὐτοῦ λεγόμενα, δι' ὧν ἡ τῆς πολιτείας ἀκρότης παρεδείκνυτο· οὐ γὰρ εἶπε ταῦτα σοβαρευόμενος ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασιν, ἀλλ' ἡμῖν καταλιμπάνων ὑπογραμμὸν, ὅπως βιῶναι χρὴ, οὕτω τοῦ ἁγίου Πνεύματος γραφῆναι οἰκονομήσαντος εἰς νουθεσίαν ἡμετέραν.

« Χεῖρα δὲ Κυρίου εἰ μὴ ἐδεδοίκειν. »

Τουτέστι, καὶ τὰ πρὸς τὸν Θεὸν εὐλαβῶς διεκείμην· καὶ οὐχ ἁπλῶς ταῦτα ἐποίουν, ἀλλὰ πρὸς τὸν Θεὸν ὁρῶν, καὶ κατεπτηχὼς εἴ τι μὴ δέον πράξαιμι.

« Συγγραφὴν δὲ ἣν εἶχον κατά τινος, ἐπ' ὤμοις ἂν περιθέμενος στέφανον ἀνεγινώσκον, καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα, οὐθὲν λαβὼν παρὰ χρεωφειλέτου. »

Ἅπασαν, φησὶ, συγγραφὴν ἄδικον διέσπασα, καὶ οὐκ ἐκαλλωπιζόμην; ἀλλὰ διέῤῥησσον. Τὸ δὲ, *περιθέμενος ἐπ' ὤμοις*, αἰνίττεταί τινας ταῖς ἀλλοτρίαις ἐγκαλλωπιζομένους συμφοραῖς. Καὶ οὐχ ἁπλῶς ἀπεδίδουν, ἀλλὰ πρότερον ποιῶν ἐξησθενημένην τῷ διαῤῥήξαι· διασπάσας γὰρ οὕτως ἀπεδίδουν. Οὐ γάρ οἱά τις, ἐγκαυχώμενος ἐπὶ τοῖς δανείοις, ἀνελίττων ἀμφοτέραις χερσὶ τὰς συγγραφὰς δημοσίᾳ ὑπανεγίνωσκον, ἀλλὰ διαῤῥηγνὺς αὐτὰς, καὶ συγχωρῶν τὰ ὀφλήματα, ἀπεδίδουν τοῖς χρεωφειλέταις.

Alii vero sic interpretati sunt : Neque gravis adeo, inquit, et molestus ancillis fui, ut mea crudelitate exacerbatæ, carnes meas gustare cupierint : imo plane e contrario, benignum valde me iis præbui. Mihi vero secunda explicatio, juxta Septuaginta interpretum versionem arridet, qui transtulerunt : *Si dixerunt ancillæ meæ*. Juxta vero aliorum editionem, quæ sic habet, *Si non dixerunt*, prior explicatio hæc est : Talia, inquit, mihi eveniant, si dixerint ancillæ meæ, contra me ira accensæ : Partiamur eum intra nos, et crudas ejus carnes absumamus : sed cum clemens valde et benignus iis exstitissem, hoc nequaquam dixerunt; contra vero, si non ferventis amoris desiderio flagrantes, Devoremus eum, dixerunt, imprecationes contra ipsum obtinere, et certum suum effectum sortiri, precibus exoptat.

Vers. 33, 34. « Quod si et cum non sponte peccassem, abscondi peccatum meum; non enim expavi turbam multitudinis, ut non enarrarem coram iis. »

Nullius voluntarii delicti conscius sibi erat, accurate adeo viam virtutis insistebat. Quoniam vero homini exsistenti, etiam invito, in offensam non incurrere impossibile erat; quod contra rectam rationem admissum esset, confiteri non erubescens, pœnitentia et confessione agnito peccato medebatur.

« Aut si dimisi infirmum sinu vacuo exire januam meam; [Vers. 35] quis mihi tribuat auditorem? » C

Forte vero prudentes auditores quærere videtur, qui dicta ejus capere possent : ex quibus vitæ suæ et conversationis summa perfectio ostenditur; non enim propter res præclare a se gestas hæc dixit, sed, Spiritu sancto ita ad nostram institutionem scriptis consignari disponente, ut nobis, quomodo vivendum esset exemplar relinqueret.

« Et manum Domini si non timui. »

Id est, Deum religioso cultu prosequebar; neque leviter quidem et negligenter hoc præstabam, sed Deum intuitus, et ne quid contra quam oporteret admitterem, timore perculsus.

Vers. 36, 37. « Syngraphum vero quam habui contra quempiam, in humeris utique circumponens coronam legebam, et si non scindens eam reddidi, nihil accipiens a debitore. » D

Omnem, inquit, injustam syngraphum discerpsi, neque de eo gloriabar, sed disruptam in frusta divulsi (illud autem, *Humeris circumponens*, quosdam innuit qui in alienis calamitatibus gloriose se efferunt). Neque simpliciter tantum reddidi, sed prius comminutione infirmam et invalidam effeci; sic enim postquam discerpsissem, et in frusta comminuissem, reddidi. Non enim tanquam aliquis qui fenore et usura superbe se jactitat, syngraphas ambabus manibus tenens publice legebam, sed discindens eas, et debita condonans, debitoribus tradebam.

Digitized by Google

VERS. 38. « Si super me unquam terra gemuit, aut si sulci ejus ploraverunt simul. »

Imperfecta est oratio, et suspensa; sensum vero in iis quæ sequuntur redditum invenies; dicit autem : Si mea causa dominus cum gemitu terram suam deflevit, vel aratores, et qui terram vomere scindunt, sulcos cum luctu et lamentis deploraverunt, talia patiar, et talia mihi eveniant : neque enim aliquorum possessiones per vim eripui, ut gemere cogerentur, neque sulcos meis addidi et adjeci, ut iis a quibus ablati essent, luctus causam præberem; sed neque meum agrum, et meos sulcos, quisquam sine mercede coluit et proscidit, ne laboris pretio fraudatus, gemitus et luctus causam haberet.

VERS. 39. « Aut si et virtutem ejus comedi solus sine pretio. »

Virtus terræ, est fructuum procreatio, et tempestatum anni proventus. Ostendit autem quod, nisi numerata prius pecunia, terræ fructus nunquam decerpserit : fructum enim alienæ terræ sine argento comedere non sustinuit. Duo vero fortasse hic innuit, quod juxta fructuum pretium pecuniam persolverit; et quod non solus comederit, sed indigentibus alimentum communicaverit.

« Aut si animam domini terræ recipiens contristavi. »

Symmachus vero, *spe privavi;* tanquam per vim et potestatem terræ domino et possessori aliquid eripiens.

VERS. 40. « Pro tritico germinet mihi urtica, et pro hordeo spina. »

Theodotio vero, et Symmachus, hic quidem pro, *urtica*, reddidit, *spinam;* ille vero pro *spina, germina imperfecta et inutilia.* Urtica autem et spina, plantæ sunt spinosæ; dicit igitur : Si dictis veritas non inest, et vel terram auferens, dominum ejus contristavi, vel sulcos abscissos meo agello addidi, illique cui erepti erant, gemitum et luctum commovi, vel fructus gratis prædatus sum, aut numerato etiam pretio, solus eos abligurivi; terra mihi pro sativis et altilibus fructibus inutiles spinas producente, lætum et uberem proventum nunquam videam. Symmachus quidem sic reddidit : *Pro frumento germinet spina :* in libris autem Regum nomen herbæ legi quæ *acanus* vocatur [61]. Si quidquam igitur, inquit, eorum quæ a me enumerata et pernegata sunt, patravi, vel terram, scilicet, alienam adimens, vel sine argento fructus decerpens, vel simile aliquod contra jus et fas committens; neque terra mihi pro solito, et unde sustenter, fructus producat, sed agrestes, et quibus vesci nemo possit.

« Et cessavit Job a verbis. »

A « Εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν, εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν. »

Ἀτελὴς ὁ λόγος, καὶ ἤρτηται· τὴν δὲ ἀπόδοσιν τῆς ἐννοίας ἐν τοῖς ἑξῆς εὑρήσεις κειμένην. Φησὶ δέ, Τάδε γένοιτό μοι, καὶ τάδε πάθοιμι, εἰ δι' ἐμὲ γῆ ἐστενάχθη παρὰ τοῦ δεσπότου αὐτῆς, ἢ αὔλακες ἐκλαύθησαν παρὰ τῶν ἀνατεμόντων ταύτας καὶ ἀροσάντων· οὔτε γὰρ κτήσεις τινῶν ἥρπασα, ὥστε αὐτοὺς στενάζειν, οὔτε αὔλακας ταῖς ἐμαῖς συνῆψα καὶ προσεθέμην αὔλαξιν, ὡς τοὺς ἀφαιρεθέντας θρηνεῖν· ἀλλ' οὐδὲ τὴν ἐμὴν γῆν, καὶ τὰς ἐμὰς αὔλακας, ἀμισθί τις εἰργάσατο καὶ ἀνέτεμεν, ἵνα διὰ τοῦτο στένῃ καὶ δακρύῃ, ὡς τὸν μισθὸν τῆς ἐργασίας ἀποστερηθείς.

B « Εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς. »

Ἰσχὺς τῆς γῆς, ἡ καρπογονία [y], καὶ ἡ φορὰ τῶν ὡρίων [z]. Δείκνυσι δὲ, ὅτι οὐδέποτε τὰ τῆς γῆς ἐκφόρια ἐδρέψατο, μὴ καταθέμενος ὑπὲρ αὐτῶν ἀργύριον· ἄνευ γὰρ ἀργυρίου ἀλλοτρίας γῆς καρπὸν φαγεῖν οὐκ ἠνέσχετο. Τάχα δὲ δύο ἐνταῦθα σημαίνει, ὅτι καὶ τὰ τιμήματα τῶν καρπῶν κατεβάλλετο, καὶ ὅτι οὐδὲ μόνος ἤσθιεν, ἀλλ' ἐκοινοποιεῖτο τοῖς δεομένοις τὰς τροφάς.

« Εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκλαβὼν ἐλύπησα. »

Ὁ δὲ Σύμμαχος, *ἐλπίδος ἐστέρησα*, ὡς κατὰ δυναστείαν ἁρπάσαντι [a] τοῦ κτήτορος τῆς γῆς.

C « Ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος. »

Θεοδοτίων δὲ καὶ Σύμμαχος, ὁ μὲν ἀντὶ τοῦ, *κνίδη, ἄκανθα* [b], ἐξέδωκεν· ὁ δὲ ἀντὶ τοῦ, *βάτος, ἀτελεσφόρητα.* Ἡ κνίδη δὲ καὶ ἡ βάτος, ἀκανθώδη φυτά· λέγει οὖν, Εἰ μὴ πρόσεστι τοῖς εἰρημένοις τὸ ἀληθὲς, ἀλλ' ἢ γῆν ἀφελόμενος [c] τὸν ταύτης ἐλύπησα κύριον, ἢ αὔλακας ἀποτεμνόμενος, τῷ ἐμῷ γηδίῳ προσέθηκα, καὶ στενάζειν τὸν ἀφαιρεθέντα καὶ οἰμώζειν ἐποίησα, ἢ καρποὺς προῖκα συλήσας, ἀλλὰ ἢ καταθεὶς τιμὴν, μόνος αὐτοὺς ἐδαπάνησα, μηκέτι ἴδοιμι τὴν εὐετηρίαν, καὶ αὐτῆς μοι τῆς γῆς ἀκάνθας τὰς ἀχρήστους ἀντὶ τῶν ἡμέρων καὶ τροφίμων ἐκφερούσης καρπῶν. Ὁ μέντοι Σύμμαχος οὕτως ἐκδέδωκεν, *Ἀντὶ σίτου βλαστησάτω ἄκανος·* D ἀνέγνων δὲ ἐν ταῖς Βασιλείαις φυτὸν *ἄκανον* οὕτω λεγόμενον. Εἴ τι οὖν, φησὶ, τῶν ἀπηριθμημένων καὶ ἀπηρνημένων ἔπραξα, ἢ ἀλλοτρίαν γῆν παραιρούμενος, ἢ ἄνευ ἀργυρίου τοὺς καρποὺς δρεπόμενος, ἢ τι τοιοῦτον παρανομῶν, μηδὲ ἡ γῆ μοι τὰ συνήθη καρποφορείτω καὶ τρόφιμα, ἀλλὰ τὰ ἄγρια καὶ ἄβρωτα.

« Καὶ ἐπαύσατο Ἰὼβ ῥήμασιν. »

[61] IV Reg. XIV, 9.

VARIÆ LECTIONES.

[y] γρ. καρποφορία. [z] Ισ. ὡρῶν. [a] Ισ. ἁρπάσας τι. [b] Ισ. ἄκανον. [c] γρ. ἀφελκόμενος.

Digitized by Google

Οὐχ ἁπλῶς ἐπαύσατο, ἀλλὰ ῥήμασιν, ἡ καρδία δὲ αὐτοῦ νοοῦσα τὰ θεῖα οὐκ ἐπαύσατο. Ἤδει γὰρ ὅτι καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν, καιρὸς τοῦ σιγᾷν, καὶ καιρὸς τοῦ λαλεῖν. Ὅτε καιρὸς ἦν τοῦ ἀποκρίνασθαι, πρὸς τοὺς τρεῖς ἔλεγεν· ὅτε καιρὸς ἦν σιωπῆς, μετὰ τὸ ἐπιστομίσαι αὐτοὺς ἐσίγησε. Καὶ οἶμαι ἐν ἐπαίνῳ εἰρῆσθαι τὸ, *ἐπαύσατο Ἰώβ.*

A Non omnino cessavit, sed a verbis tantum; cor enim divina meditari non cessaverat. Non ignorabat quippe quod tempus esset rei omni quæ sub cœlo est, quod tempus esset tacendi, et tempus loquendi [61]. Cum tempus respondendi erat, amicos tres allocutus est; cum vero silentii tempus erat, ore illorum prius obturato, silentium egerat. Hoc autem, *cessavit Jobus*, laudis loco dictum esse arbitror.

ΚΕΦ. ΛΒ'.

Προθεωρία.

Τῶν φίλων τοῦ Ἰὼβ ἐπὶ παρακλήσιν ἀφικομένων, ἔξω δὲ τοῦ σκοποῦ γεγενημένων τῆς ἀφίξεως, καὶ τῇ βαρύτητι τῶν λόγων ἐπιτριβόντων τῷ δικαίῳ τὰ τραύματα· ἔφασκον γὰρ, δι' ἁμαρτίας αὐτὸν πεπονθέναι, καὶ μὴ ἄλλως τὸν Θεὸν ἐπάγειν τὰς κολάσεις, εἰ μὴ κατὰ ἀνταπόδοσιν· τοὺς αὐτῶν λόγους ὁ Ἰὼβ ἀμυνόμενος, ἐπηπόρησε, Πῶς πολλοὺς ὁρῶμεν ἀδίκους τιμωρίαν οὐ δεδωκότας; μέχρι τέλους, δικαίους δὲ πάσχοντας; Εἶτα, ὡς ἐσφαλμένας τῶν φίλων ἀποφεύγων τὰς κρίσεις, ἐπὶ Θεοῦ βούλεται τὴν δίκην εἰπεῖν, ἵνα ἐπιδείξῃ ὡς οὐδὲν τῆς τηλικαύτης μάστιγος εἰργάσατο ἄξιον. Ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ Θεοῦ καταψηφιζόμενος ὡς ἄδικα πράττοντος, ἀλλὰ σφόδρα θαῤῥῶν τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ, τοὺς δὲ φίλους διελέγξαι θέλων, ὡς οὐ δικαίας κατ' αὐτοῦ ποιοῦντας τὰς κρίσεις. Ὁ μὲν οὖν σκοπὸς τοῦ Ἰὼβ ὡς πρὸς τοὺς φίλους ὅλος ἀποτείνεται [d], βουλόμενος δεῖξαι, ὅτι ἐπὶ Θεοῦ δικάζοντος δίκαιος ἀναφανεῖται, τοῦ ἀληθινοῦ καὶ ἀπροσωπολήπτου· οἱ δὲ μάτην αὐτοῦ κατηγοροῦντες, οὐκ ἀληθεῖς ἔχουσι τοῦ δικαίου τὰς κρίσεις. Τούτων ἐπακροώμενος ὁ Ἐλιοὺς, καὶ οὐ νενοηκὼς τοῦ δικαίου τὴν διάνοιαν, ᾠήθη λέγειν αὐτὸν, ὡς Ἄδικα πάσχω παρὰ Θεοῦ, δίκαιος ὤν· διὰ τοῦτο ζηλῶν ἐζήλωκε τῷ Κυρίῳ, καὶ ὠργίσθη κατὰ τοῦ Ἰώβ· οὐδὲν δὲ ἔχων ἀδίκημα κατὰ τοῦ δικαίου κατηγορεῖν, ὠργίσθη κατὰ τῶν τριῶν φίλων ἐνδίκως, ὅτι τὸν δίκαιον ἀσεβείας κατεδίκασαν, ὡς δι' ἁμαρτίας τὰς τιμωρίας ὑπομένοντα. Ἐντεῦθεν ἀνακύπτει ζήτημά τι τοιόνδε· Εἰ ὀργίζεται κατὰ τῶν φίλων ὁ Ἐλιοὺς, ὅτι ἀσεβῆ τὸν Ἰὼβ ἔκριναν, δίκαιος ἄρα ὁ Ἰώβ· πῶς οὖν καὶ κατὰ τούτου ποεῖται τὴν ἐπιτίμησιν; Ἀλλ' ἐρεῖ πρὸς τοῦτο ὁ Ἐλιοὺς, Εὐσεβὴς μὲν ὁ Ἰὼβ καὶ δίκαιος, καὶ οὐδεὶς ἀντερεῖ· αἰτίαν δὲ δέδωκε καθ' ἑαυτοῦ, τὸ θέλειν πρὸς Θεὸν δικάζεσθαι. Ὁ μὲν οὖν σκοπὸς τοῦ Ἐλιοὺς οὐ ψεκτός· οὐδὲ γὰρ σφοδρῶς ἔπληξε τὸν Ἰὼβ, ὥσπερ ἐκεῖνοι, ἀσέβειαν αὐτοῦ καταψηφισάμενοι· πλὴν οὐκ ἐνόησε τοῦ δικαίου τὴν διάνοιαν καὶ ἐξ οἵας ἀγάπης καὶ πεποιθήσεως τῆς πρὸς Θεὸν, ἐπ' αὐτοῦ τὴν δίκην λέγειν ἐπόθει. Ὅθεν λογιζόμεθα καὶ τὸν Θεὸν μήτε ἐπαινέσαι τὸν Ἐλιοὺς, ἐπειδὴ μὴ νενόηκε τοῦ Ἰὼβ τοὺς λόγους, μήτε μὴν καταδικάσαι, ἐπειδὴ μὴ ἀσεβείας αὐτὸν κατέκρινε, μηδὲ ἀπεφήνατο δι' ἁμαρτίας αὐτὸν πάσχειν, ὥσπερ

CAP. XXXII.

Protheoria.

Cum Jobi amici, qui ut eum solarentur accesserant, scopum adventus sui minime assecuti essent, et sermonum asperitate justi vulnera exacerbassent (dicebant enim, propter peccata eum adversa B pati, nec aliam ob causam Deum suppliciis punire quam ut peccatoribus meritas pœnas retribuat), sermones eorum Jobus repellens, quæstionem proposuit: Cur multos injustos ad mortem usque impunitos, justos autem ærumnas pati videamus? Deinde, falsa amicorum judicia declinans, ut nihil se tam gravi plaga dignum admisisse ostenderet, coram Deo causam suam agere cupit. Hæc autem, non ut Deum facti alicujus injusti condemnaret, cujus potius justo judicio multum confideret; sed ut amicos argueret, qui injustam contra eum sententiam protulerant, ab eo dicta sunt. Scopus itaque omnis et propositum Jobi eo tendit, ut amicis ostendat se, Deo judice, qui verus est arbiter, nec personarum acceptor, justum appariturum, et quod C frustra eum accusantes, æquitatis iniqui æstimatores essent. Quæ cum Elius audiret, nec justi mentem intelligeret quod, cum justus exsisteret, injusta a Deo pateretur, dixisse eum arbitratus est: unde zelo accensus, pro Domino æmulatus est, et contra Jobum ira excanduit: cum autem nullius injustitiæ justum accusare posset, jure et merito tribus amicis infensum se ostendit, quod justum, tanquam ob peccata suppliciis affectum, impietatis condemnassent. Hinc autem talis quæstio emergit: Si Elius amicis irascebatur quod Jobum impium judicassent, pius ergo fuit Jobus; qui fit igitur ut illum etiam vituperet? Verum ad hoc Elius respon- D debit: Pius quidem et justus exstitit Jobus, nec quisquam contradicere potest; illud autem, quod cum Deo judicio contendere voluerit, ansam seipsum accusandi præbuit. Scopus quidem Elii vituperandus non est: non enim, prout illi qui impietatis reum condemnaverant, gravi aliqua plaga illum vulneraverat; verum justi animum non intellexerat, nec qua charitate erga Deum et confidentia, coram eo causam dicere desideraret. Unde Deum arbitramur nec Elium laudasse, quoniam Jobi sermones non comprehenderat; nec accusasse, quia impietatis eum minime condemnaverat, aut, prout

[61] Eccle. III, 1.

VARIÆ LECTIONES.

[d] *Isc.* συντείνεται.

Digitized by Google

amici, propter peccata adversa eum pati affirmaverat; quæ quidem causa fuit cur a Deo objurgarentur.

Vers. 1. « Cessaverunt autem et tres amici ejus ultra contradicere Job; erat enim Job justus coram eis. »

Symmachus autem : *Eo quod justus præ illis appareret.* Siluit quidem Jobus, venia loquendi illis concessa : postquam vero Deum testem advocasset, sibique dira imprecatus fuisset, ora amicorum obturata sunt : non enim sponte et arbitrii sui voluntate siluerunt, sed quoniam causæ suæ patrocinium omne præreptum fuisset, et ad ea quæ dicebantur respondere non possent; rerum enim a justo præclare gestarum conscii et testes erant, et quod animi sui proposito malum odio prosequeretur, ac sincero affectu quod bonum erat sectaretur. Jobus enim, quod æquitatem erga homines, et cultum erga Deum religiosum, cum summa humilitate (quam, præter innumera alia, peccatorum confessio liquido ostendit) absolutissime observaverit, palam testatus est.

Vers. 2. « Iratus est autem Elius, filius Barachiel, Buzites, de cognatione Ram, Ausitidis regionis. »

Buzites quidem dictus est Elius, vel a cognatione Buzi, unde etiam Ram originem traxit [63]; vel ab urbe aliqua Ausitidis regionis. Nachorem autem, Abrahami fratrem, Buz filium natu secundum ex Melcha progenuisse, in Scripturis reperimus [64]; inde igitur forte Elius genus suum duxit, ac propterea Buzites appellatus est.

« Iratus est autem in Job valde, eo quod pronuntiaverat seipsum justum coram Domino. »

Elius quidem opinione sua justa de causa commovebatur : non enim quod justum se Jobus affirmasset, irascebatur, ejus quippe conscius sibi erat; sed quia coram Domino hoc faceret, et testem illum invocaret; vel quia in judicium cum Deo descendens, causæ suæ æquitatem tueretur : seipsum enim justificare, magnum non est; tanquam vero cum Deo litigando hoc facere, absurdum et impium est. *Ne justifices*, inquit, *teipsum coram Domino* [65]. Et amici quidem hac ipsa de causa irascebantur, et dixerunt : *Nunquid erit mortalis justus coram Domino* [66]? Qua in re igitur Elius superior illis exstitit, siquidem et illi etiam, quod seipsum Deo justiorem existimaret, Jobum vituperaverant? Verum Jobus non eo animo fuit ut se Deo justiorem esse affirmaret; sed talia ab eo gesta fuisse, et Dei judicium subire se cupere dicebat : non autem injustitiæ illum arguebat; illud vero Elius, pii hominis animo nequaquam perspecto, suspicabatur; amicos autem, tanquam eos qui Dei partes prodidissent et abnegassent, jure merito accusaverat.

Vers. 3. « Et vero adversus tres amicos iratus est valde, eo quod non potuerant respondere opposita ipsi Job, et posuerant ipsum esse impium. »

A οἱ φίλοι· διὰ γὰρ τοῦτο τὴν κατ' ἐκείνων ἐπιτίμησιν ὁ Θεὸς εἰργάσατο.

« Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἕτι ἀντειπεῖν Ἰώβ· ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν. »

* Ὁ δὲ Σύμμαχος, *διὰ τὸ αὐτὸν δίκαιον φαίνεσθαι ἐπ' αὐτῶν.* Ἡσύχασε μὲν ὁ Ἰὼβ, διδοὺς αὐτοῖς λόγον εἰπεῖν· ἐπειδὴ δὲ καὶ τὸν Θεὸν ἐκάλεσε μάρτυρα, καὶ ἑαυτῷ ἐπηράσατο, ἐπεστομίσθησαν οἱ φίλοι· καὶ ἡσύχασαν, οὐ προαιρετικῶς, ἀλλ' ἐπειδὴ πᾶσαν αὐτοῖς δικαιολογίαν ἀπέκλεισε, καὶ οὐκ εἶχον ἀντειπεῖν πρὸς τὰ εἰρημένα· συνηπίσταντο γὰρ τῷ δικαίῳ τὰ κατορθώματα, καὶ ὡς ἐκ διαθέσεως μὲν ἐμίσει τὸ κακὸν, εἱλικρινεῖ δὲ ἀγάπῃ μετῄει τὸ καλόν. Ἔδειξε γὰρ ὁ Ἰὼβ, ὅτι καὶ τὰ πρὸς ἀνθρώπους δίκαια, καὶ τὸ πρὸς τὸν Θεὸν σέβας, ἄκρως ἐφύλαξε μετὰ τῆς θαυμαστῆς ταπεινοφροσύνης, ἣν παρίστησιν, ἄλλα τε πολλὰ, καὶ τὸ ἐξαγορεύειν τὰ ἁμαρτήματα.

« Ὠργίσθη δὲ Ἐλιοὺς, ὁ τοῦ Βαραχιὴλ, ὁ Βουζίτης, ἐκ τῆς συγγενείας Ῥὰμ, τῆς Αὐσίτιδος χώρας. »

* Βουζίτης μέντοι εἴρηται ὁ Ἐλιοὺς, ἢ ἀπὸ συγγενείας τῆς τοῦ Βουζι, ὅθεν ἦν καὶ Ῥάμ· ἢ ἀπό τινος πόλεως τῆς Αὐσίτιδος χώρας. Εὑρίσκομεν δὲ ὅτι καὶ Ναχὼρ, ὁ ἀδελφὸς Ἀβραὰμ, γεννᾷ υἱὸν δεύτερον ἐκ τῆς Μελχᾶς τὸν Βούζ· ἴσως οὖν ἐκεῖθεν κατάγει τὸ γένος ὁ Ἐλιοὺς, διὸ καὶ Βουζίτης ὠνόμασται.

« Ὠργίσθη δὲ τῷ Ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον Κυρίου. »

Κατὰ τὸ εὔλογον μὲν ἐκινεῖτο, ὡς ἐνόμιζεν, Ἐλιούς· ὠργίσθη γὰρ, οὐχ ὅτι δίκαιον ἑαυτὸν ἀπέφηνεν ὁ Ἰὼβ, συνηπίστατο γὰρ, ἀλλ' ὅτι ἐναντίον Κυρίου, ἐπειδὴ αὐτὸν ἐκάλει μάρτυρα· ἢ ὅτι πρὸς τὸν Θεὸν δικαζόμενος ἐδικαιολογεῖτο· τὸ μὲν γὰρ δικαιῶσαι ἑαυτὸν, οὐδὲν μέγα· τὸ δὲ ὡς πρὸς τὸν Θεὸν δικαζόμενον τοῦτο ποιῆσαι, ἄτοπον. *Μὴ δικαιοῦ γὰρ*, φησὶν, *ἑαυτὸν ἐναντίον Κυρίου.* Καὶ μὴν καὶ οἱ φίλοι διὰ τοῦτο ὠργίζοντο, καὶ ἔλεγον, *Μὴ γὰρ ἔσται βροτὸς δίκαιος ἐναντι Κυρίου;* Τί οὖν οὗτος πλέον ἔσχε; καὶ γὰρ κἀκεῖνοι τὸ αὐτὸ ἐνεκάλουν, ὅτι τοῦ Θεοῦ δικαιότερον ἑαυτὸν ἐνόμισεν εἶναι. Ἀλλ' οὐχὶ τοιαύτῃ γνώμῃ ὁ Ἰὼβ εἶπεν, ὅτι αὐτὸς δικαιότερός ἐστι τοῦ Θεοῦ, ἀλλ' ὅτι ταῦτα αὐτῷ πέπρακται, καὶ ὅτι βούλεται ἐπ' αὐτοῦ κρίνεσθαι, οὐ μὴν ἀδικίαν ἐνεκάλει τῷ Θεῷ· ὁ δὲ Ἐλιοὺς τοῦτο ὑπέλαβεν, ἀγνοήσας τὴν εὐσεβῆ τοῦ δικαίου διάνοιαν· τοῖς δὲ φίλοις δικαίως ἐνεκάλει προδεδωκόσι τοῦ Θεοῦ τὸ μέρος καὶ ἠρνημένοις.

« Καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα Ἰὼβ, καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ. »

[63] Paral. II, 9. [64] Gen. XXII, 21. [65] Eccli. VII, 5. [66] Job XV, 14; XXV, 4.

Digitized by Google

Διπλῆ κατὰ τῶν φίλων ὠργίσθη Ἐλιοὺς, ὅτι τε ἀσεβείας τὸν δίκαιον ἔκριναν, καὶ ὅτι τὴν ὑπὲρ Θεοῦ συνηγορίαν ἀνειληφότες, ἡττήθησαν, καὶ ἐσιώπησαν, τὸν ὑπ' αὐτῶν συνηγορούμενον ὥσπερ προδεδωκότες Θεὸν, καὶ τῇ σιωπῇ δεδωκότες τῷ Ἰὼβ κατὰ τοῦ Θεοῦ τὰ νικητήρια. Εἴποι δ' ἄν τις, διὰ τοῦτο μᾶλλον ὠργίσθαι τοῖς φίλοις τὸν Ἐλιοὺς, ὅτι οὐκ ἠδυνήθησαν ἀντιθεῖναι τὰ εἰκότα τοῖς τοῦ Ἰὼβ λόγοις, ὥστε καὶ ἀποφῆναι αὐτὸν ἀσεβῆ κατὰ Θεοῦ φρυαττόμενον.

A Gemina de causa Elius amicis infensus erat, quod impietatis justum condemnassent, et quod patrocinium Dei suscipientes, victi essent; et silentium agentes, Deum, quem defendendum susceperant, prodidissent, ac silentio suo contra Deum Jobo victoriæ palmam concessissent. Dixerit autem quispiam, propterea Elium contra amicos ira accensum fuisse, quod Jobi sermonibus, quæ verisimilia essent respondere, ac impium illum, et contra Deum insolenter sese efferentem, convincere non possent.

« Ἐλιοὺς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν Ἰὼβ, ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις. Καὶ εἶδεν Ἐλιοὺς, ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ. »

Vers. 4, 5. « Elius autem sustinuerat dare responsionem Job, quoniam seniores eo erant diebus. Et vidit Elius quod non est responsio in ore trium virorum, et indignatus est ira sua. »

B Ἐπαινετὸν τὸ ἦθος τοῦ Ἐλιοὺς, ἐν καιρῷ μὲν σιωπήσαντος· ἔδει γὰρ πρώτους τοὺς πρεσβυτέρους λαλεῖν· ἐν καιρῷ δὲ ἀποκριναμένου, τῶν παλαιοτέρων ἀπορίᾳ συσχεθέντων. Τὸ οὖν, *ὑπέμεινεν*, ἀντὶ τοῦ, *ἀνέμεινε*· τὸ δὲ, *ἐθυμώθη*, ἀντὶ τοῦ, *ἐζήλωσε*. Καὶ καλῶς εἶπεν, *ὑπέμεινε*, δεικνὺς ὅτι ὠργίζετο μὲν, οὐκ ἀπετόλμα δὲ οὐδὲν εἰπεῖν, ἕως ἂν πάντα κενώσῃ ὁ Ἰώβ. Καίτοι θέα αὐτοῦ τὴν σύνεσιν, πῶς ἐκ προοιμίων εὐθέως ἐπέβαλε [e], πῶς τὴν προσήκουσαν φυλάττει [f] τάξιν.

Laudandum est Elii ingenium, qui opportune siluit, seniores enim primo verba facere oportebat; et qui, ætate grandioribus dubitatione correptis, tempore etiam opportuno responsum dedit. Illud igitur, *sustinuerat*, idem est quod, *expectaverat*; et, *indignatus est*, quod, *zelo commotus est*. Recte autem dixit, *sustinuerat*, ut ostenderet, iratum quidem eum fuisse, nihil tamen ausum esse loqui, donec Jobus seipsum evacuans, omnia deprompsisset. Et prudentiam quidem ejus observa, quomodo statim ab exordio aliorum sermones excoeperit, quomodo ordinem decorum observaverit.

« Ὑπολαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ, ὁ Βουζίτης, εἶπε· Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι· διὸ ἡσύχασα, φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην. »

Vers. 6. « Suscipiens autem Elius, filius Barachiel, Buzites, dixit: Junior quidem sum tempore, C vos autem estis seniores; quare silui, timens in vobis annuntiare meam ipsius scientiam. »

Καλῶς προσέθηκεν, ὅτι *Νεώτερός εἰμι τῷ χρόνῳ*· ἔστι γάρ τις νεώτερος μὲν τὴν ἡλικίαν, πολιὰν δὲ ἔχων φρόνησιν· καὶ ἕτερος τῷ μὲν χρόνῳ προβεβηκὼς, νεώτερος δὲ τὴν διάνοιαν. Ὅρα δὲ, ὅπως οὐ μόνον αἰδοῖ, ἀλλὰ καὶ φόβῳ καὶ εὐλαβείᾳ τῶν πρεσβυτέρων τὴν διάλεξιν περιέμεινε, καὶ εἰ μὴ πρότερον ἐπαύσαντο, οὐκ εἶπεν αὐτὸς ἃ καλῶς ἔχειν ἐλογίζετο.

Recte addidit: *Junior sum tempore*; est enim quidam ætate junior, qui prudentia cana præditus est; et alius ætate grandis, qui intelligentia junior est. Vide autem quemadmodum non tantum præ verecundia, sed metu etiam et religione quadam, quoad seniores sermonem absolvissent, expectaverit; et quidem si prius finem dicendi non fecissent, nequaquam illa in medium attulisset, quæ recte se habere et utilia esse existimaverat.

« Εἶπα δὲ, ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν, ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασι σοφίαν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς. [Ὁ δὲ Σύμμαχος, Ὄντως δὲ Πνεῦμα Θεοῦ ἐστιν ἐν ἀνθρώποις.] Πνοὴ δὲ Παντοκράτορός ἐστιν ἡ διδάσκουσα· Οὐχ οἱ πολυχρόνιοί εἰσι σοφοὶ, D οὐδ' οἱ γέροντες οἴδασι κρῖμα. »

Vers. 7-9. « Dixi autem, Quod non est tempus quod loquitur, et in multis annis noverunt sapientiam: sed spiritus est in hominibus. [*Symmachus autem*, Vere autem Spiritus Dei est in hominibus.] Spiratio autem Omnipotentis est quæ docet: Non longævi sunt sapientes, neque senes noverunt judicium. »

Πάλαι, φησὶ, καθήμενος, καὶ τῶν λεγομένων ἐπακροώμενος, καὶ οὐκ ἀξίους συνορῶν τῆς ἡλικίας τοὺς λόγους, κατ' ἐμαυτὸν ἔλεγον, Οὐχ ἁπλῶς οἱ χρόνῳ προβεβηκότες εἰσὶ σοφοὶ, ἀλλὰ χρεία τῆς τοῦ ἁγίου Πνεύματος χάριτος, τῆς οὐκ ἀναμενούσης χρόνον, ἀλλ' ἀθρόως σοφιζούσης τὸν ἄνθρωπον· δῆλον δὲ ὅτι οὐκ ἀκρίτως διδάσκει ἡ χάρις, ἀλλ' ἐὰν ψυχὴν εὕρῃ καθαράν. Οὐκ ἀνάγκη, φησὶ, τοὺς πρεσβυτέρους εἶναι σοφοὺς μόνους, ἀλλ' ἔστι καὶ ἀπὸ νεότητος

Olim, inquit, cum sedens quæ dicerentur audirem, nec prolatos sermones ætate dignos esse animadverterem, tacitus mecum dicebam: Qui ætate provecti sunt, non continuo sapientes sunt, sed gratia divini Spiritus opus est, quæ tempus non præstolatur, sed subito hominem sapientem reddit: quod autem non promiscue et indiscriminatim gratia erudiat, sed cum mentem puram offenderit, manifestum est. Non necesse, inquit, ut soli ætate

VARIÆ LECTIONES.

[e] *Isc.* ἐπέλαβε. [f] *Isc.* ἐφύλαξε.

Digitized by Google

majores sapientes sint, cum a juventute etiam præclarum aliquid audire liceat : si enim tempus sapientes reddit, multo magis Deus ; tempus autem ex se sine gratia, sapientiam conferre non potest : quare ne partem quidem divinorum judiciorum comprehendere quis potest, qui tempore sapiens evasit, nisi gratia divina accesserit.

A ἀκοῦσαί τε γενναῖον· εἰ γὰρ χρόνος ποιεῖ σοφοὺς, πολλῷ μᾶλλον ὁ Θεός· καθ' ἑαυτόν γε μὴν ὁ χρόνος, δίχα τῆς χάριτος, σοφίαν παρασχεῖν ἀδύνατος. Ὅθεν οὐδὲ μέρος τῶν κριμάτων τοῦ Θεοῦ δύναταί τις καταλαβεῖν ὑπὸ τοῦ χρόνου σοφιζόμενος, εἰ μὴ ἡ θεία προσγένηται χάρις.

Vers. 10-12. « Quare dixi : Audite me, et annuntiabo vobis quæ novi ; auribus percipite mea verba. Dicam enim vobis audientibus, quoadusque exquiratis sermones, et usque ad vos intelligam. »

« Διὸ εἶπα, Ἀκούσατέ μου, καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα· ἐνωτίζεσθέ μου τὰ ῥήματα. Ἕως γὰρ ὑμῶν ἀκουόντων, ἄχρις οὗ ἐτάσητε λόγους, καὶ μέχρι ὑμῶν συνήσω. »

Alia exemplaria, post illud : *Dicam vobis audientibus*, hos versus habent : *Ecce audivi sermones vestros, auscultavi usque ad intelligentiam vestram.* Cæteri vero interpretes sic reddiderunt : *Ecce excepi sermones vestros, auscultavi donec exquireretis sermones, et quoadusque vos pervenireris, considerabam.* Juxta hanc igitur versionem et reliqua exemplaria : Quemadmodum ego, inquit, omnia quæ dixistis audivi, et ad finem usque vestrorum sermonum, ac quoad omnem vestram sapientiam exhauriretis, tacite exspectavi ; vos etiam similiter meis sermonibus aurem præbete. Juxta autem exemplaria quibus nos utimur, sensus hic est : Auscultate mihi, inquit ; nihil enim tumidum et elatum, sed quæ vos ipsi explorare poteritis, in medium proferam. *Et usque ad vos intelligam*, id est, Nulla vaniloquentia utar, sed quæ assequi valetis loquar. Vel hoc dicit : Non prius loquendi finem faciam, quam vos etiam sermones meos examinaveritis, si et ego *ad vos usque* intelligere possum, id est, donec vos etiam intellexeritis, vel vestram etiam intelligentiam excedam.

B Ἕτερα ἀντίγραφα μετὰ τὸ, *Ἕως γὰρ ὑμῶν ἀκουόντων*, ἔχει καὶ τούτους τοὺς στίχους, *Ἰδοὺ ἤκουσα τοὺς λόγους ὑμῶν, ἠνωτισάμην ἄχρι συνέσεως ὑμῶν.* Οἱ δὲ ἕτεροι ἑρμηνευταὶ οὕτως ἐκδεδώκασιν· *Ἰδοὺ ἐξεδεξάμην τοὺς λόγους ὑμῶν, ἠκροασάμην ἕως ἐφ' ὅσον ἐξητάσητε λόγους, καὶ μέχρι τοῦ ἐφικέσθαι ὑμῶν ἐνενόουν.* Κατὰ μὲν οὖν ταύτην τὴν ἔκδοσιν καὶ τὰ ἕτερα τῶν ἀντιγράφων, Ὥσπερ, φησὶν, ἐγὼ μεθ' ἡσυχίας ἤκουσα πάντων ὧν εἴπατε, καὶ ἀνέμεινα μέχρι συμπεράσματος τῶν ὑμετέρων λόγων, καὶ ἕως ὅτε πᾶσαν ἑαυτῶν τὴν φρόνησιν κενώσητε· καὶ ὑμεῖς τῶν ἐμῶν ἀκούσατε λόγων. Κατὰ δὲ τὰ παρ' ἡμῖν ἀντίγραφα ὁ νοῦς οὗτος· Ἀκούσατέ μου, φησὶν, ἐρῶ γὰρ οὐδὲν ὑπέρογκον, ἀλλ' ἃ δύνασθε δοκιμάσαι. *Καὶ μέχρις ὑμῶν συνήσω*, ἀντὶ τοῦ, Οὐ κενοφωνίαις χρήσομαι, ἀλλ' ὡς δύνασθε συνιέναι λαλήσω. Ἢ ἐκεῖνό φησιν,

C ὅτι Οὐ πρότερον παύσομαι λαλῶν, πρὶν ἢ καὶ ὑμεῖς τοὺς ἐμοὺς δοκιμάσητε λόγους, εἰ ἄρα κἀγὼ συνιέναι δύναμαι *μέχρις ὑμῶν*, τουτέστι, μέχρις οὗ καὶ ὑμεῖς ἐννοήσητε, ἢ καὶ ὑπερβαλῶ τὴν ὑμετέραν νόησιν.

Vers. 12-14. « Et ecce non erat ipsi Job qui argueret, qui vicissim responderet verbis ejus ex vobis : ut ne dicatis : Invenimus sapientiam Domino adjecti ; homini autem permisistis loqui talia verba. »

« Καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων, ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν· ἵνα μὴ εἴπητε, Εὕρομεν σοφίαν Κυρίῳ προσθέμενοι· ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. »

Cum nemo, inquit, vestrum Jobi sermones vituperare posset, ideo ego in verba prorupi : siquidem sermonis vestri pars major in eo versabatur, ut pro Deo apologiam institueretis, et patrocinium ejus susciperetis : Jobo autem contradicere non valentes, silentio vestro quodammodo illi concessistis ut homo exsistens talia fastuose jactitaret, et contra Deum hæc loqueretur.

Διὰ τοῦτο, φησὶν, εἰς τὸ λέγειν προήχθην, ἐπειδὴ μηδεὶς ὑμῶν ἐλέγχειν τοὺς λόγους τοῦ Ἰὼβ δεδύνηται· καίτοιγε τὸν μείζονα λόγον ἐγυμνάζετε, ὑπὲρ τοῦ Θεοῦ ἀπολογούμενοι, καὶ αὐτῷ συνηγοροῦντες· μὴ ἰσχύσαντες δὲ ἀντειπεῖν τῷ Ἰὼβ, τρόπον τινὰ

D καὶ ἐπετρέψατε διὰ τῆς σιωπῆς ἀνθρώπῳ γε ὄντι τοιαῦτα ἀλαζονεύεσθαι, καὶ ταῦτα λαλῆσαι κατὰ Θεοῦ.

Protheoria.

Cum Elius causam quæ ipsum ad loquendum impulerat, exposuisset, alto silentio facto, sermonem suum persequitur et absolvit, verbaque Jobi, tanquam seipsum justificantis, et cum Deo judicio contendere volentis, vituperat ; ipse quo animo justus, et quod ut iis quæ ab amicis allata essent responderet, hæc ab illo dicerentur, non intelligens ;

Προθεωρία.

Εἰρηκὼς ὁ Ἐλιοὺς τὴν αἰτίαν ἐξ ἧς εἰς τὸ λέγειν προήχθη, βαθείας αὐτῷ γενομένης σιγῆς, αὐτὸς τοὺς ἑαυτοῦ λόγους ἀναπληροῖ, καὶ τὰ τοῦ Ἰὼβ καταμέμφεται ῥήματα, ὡς δικαιοῦντος ἑαυτὸν, καὶ πρὸς Θεὸν ἐθέλοντος κρίνεσθαι· οὐ νενοηκὼς οὐδὲ αὐτὸς ἐξ οἵας διανοίας, καὶ ὡς πρὸς τὰ παρὰ τῶν φίλων τὰ τοιαῦτα ἐλάλει ὁ δίκαιος· οἰηθεὶς δὲ λέγειν

VARIÆ LECTIONES.

[a] γρ. ἐνωτισάμην.

Digitized by Google

αὐτὸν, ὅτι Ἀδίκως ταῦτα παρὰ Θεοῦ πάσχω, καὶ ὅτι ὡς ἔτυχε φέρεται τὰ ἀνθρώπινα, πολλὰ περὶ τῆς ποικίλης τοῦ Θεοῦ περὶ ἡμᾶς προνοίας διαλέγεται. Πλὴν οὐδὲ ὁ Ἐλιοὺς τῆς κατὰ τὸν Ἰὼβ ὑποθέσεως ἥψατο, ἀλλ' ἠγνόησε τῆς ἐπενεχθείσης αὐτῷ πληγῆς τὴν αἰτίαν· ἄρχεται δὲ ὧδε·

« Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει· Πάλιν λαλήσω, πλήρης γάρ εἰμι ῥημάτων. »

Πλήρης, φησὶν, *εἰμὶ ῥημάτων*, τῶν τε ὑπὲρ Θεοῦ δηλονότι, καὶ τῶν πρὸς τὸν Ἰὼβ, εἰς τὴν ὁμοίαν ἐξέτασιν Θεῷ καταστῆναι θελήσαντα, καὶ εἰς τοσοῦτον ἐπαιρόμενον, ὡς θέλειν πρὸς Θεὸν κριθῆναι, καὶ ἐλπίζειν λήψεσθαι τὰ νικητήρια.

« Ὠλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός. »

Ὁ δὲ Σύμμαχος, *συγκαίει*. Οὐ φέρω, φησὶ, τὴν σιωπὴν, οὐδὲ ἐχεμυθεῖν ἔτι δύναμαι, διαθερμαινόμενος τὴν ψυχὴν, καὶ οἷον ἀποπνιγόμενος εἰ μὴ λαλήσω. *Πνεῦμα* δὲ *γαστρὸς* ἢ περιφραστικῶς τὴν ψυχὴν λέγει, ἢ τὸ θυμικὸν αὐτῆς μέρος, εὐλόγως ὡς ὑπὲρ Θεοῦ κινούμενον. Ἐμοὶ δὲ τροπικώτερον εἰρῆσθαι δοκεῖ τὸ, *Ὠλέκει γάρ με τὸ πνεῦμα γαστρός*. Ὥσπερ γὰρ πνεῦμα τοῖς ἐγκάτοις ἀποληφθὲν, καὶ μὴ εὑρίσκον διέξοδον, λυπεῖ καὶ ὀδυνᾷ τὸν ἄνθρωπον· οὕτω, φησὶν, καὶ *ἐμὲ ὠλέκει τὸ πνεῦμα τῆς γαστρὸς*, τουτέστιν, οἱ λόγοι οὓς ἐν τῇ διανοίᾳ φέρω, ἀδιεξόδευτοι κατεχόμενοι.

« Ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος [*ὁ δὲ Σύμμαχος*, ὥσπερ οἶνος νέος ἀδιάπνευστος], ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς. »

Μικροῦ, φησὶ, διαῤῥήγνυμαι, ὑπὸ τοῦ πλήθους τῶν ἐπελθουσῶν μοι πρὸς τὴν ἀντιλογίαν ἐννοιῶν στενοχωρούμενος, ὥσπερ τις ἀσκὸς οἴνου νέου καὶ θερμοῦ πεπληρωμένος, ὑπὸ τοῦ ἀναβρασμοῦ καὶ τῆς ζέσεως ἐκραγῆναι μέλλον. Ἐντεῦθεν δοκεῖ μοι καὶ ἐν τῷ Εὐαγγελίῳ εἰρῆσθαι, « Οὐδεὶς οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς βάλλει. » *Φυσητὴρ* δὲ εἶπε, καὶ προσέθηκεν, *ἐῤῥηγὼς*, ἐπειδὴ λαλεῖν ἤρξατο, καὶ ὥσπερ ἀφιέναι τοῦ ἔνδον πνεύματος· ὁ γὰρ διαῤῥαγεὶς φυσητὴρ τοῦ χαλκέως ἀφίησι τὸ πνεῦμα.

« Ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπα· εἰ δὲ μὴ, καὶ ἐμὲ σῆτες ἔδονται. »

Λαλήσω, φησὶν, ἀνεπαισχύντως, καὶ δίχα πάσης ἀνθρωπαρεσκείας· εἰ δέ τι παρὰ τὸ δίκαιον φθέγξομαι, καὶ μὴ πάσης ἀνθρωπίνης αἰδοῦς τοῦτο προτιμήσω, κἀμὲ ὥσπερ τὸν Ἰὼβ σῆτες ἔδονται, ἢ ὥσπερ τοὺς προσωπολήπτας· καὶ μάλιστα ὅταν ᾖ Θεὸς ἐν τῷ μέσῳ, καὶ ἀνθρώπους μᾶλλον τιμῶμεν. Ἐγὼ μέντοι, φησὶν, *οὐκ ἐπίσταμαι θαυμάσαι πρόσωπον*, τουτέστιν, Οὐκ ἔχω ταύτην τὴν ἐπιστήμην, ἵνα αἰδεσθῶ ἢ χαρίσωμαί τινι, ἀλλὰ καταφρονῶ ἀνθρώπων, καὶ τῆς παρ' αὐτοῖς αἰσχύνης. Ταῦτα δὲ λέγων, ἐκείνους αἰνίττεται, ὅτι διὰ τοῦτο ἐσίγησαν, αἰσχυνθέντες τὸν Ἰώβ.

[67] Marc. II, 22.

A sed quod injuste hæc a Deo pateretur, et quod res humanæ fortuito procederent, dixisse illum existimans, de varia Dei erga nos providentia pluribus disserit. Verum neque Elius argumentum a Jobo propositum attigit, sed causam plagæ quæ illi inflicta fuit, ignoravit : sic autem orationis initium facit :

Vers. 17, 18. « Suscipiens autem Elius, ait : Rursus loquar, plenus enim sum verborum. »

Plenus, inquit, *sum verborum*, quæ pro Deo, scilicet, et contra Jobum mihi dicenda sunt, qui Deo comparatione æquari cupit, eoque arrogantiæ elatus est, ut in judicium cum eo descendere velit, et victoriæ palmam reportare speret.

« Perdit enim me spiritus ventris. »

Symmachus autem : *Comburit*. Animo, inquit, B exæstuans, et quasi suffocatus nisi eloquar, silere nequeo, et obmutescere amplius non possum. Animam vero, vel irascibilem ejus partem, pro Dei causa rationabiliter commotam, *spiritum ventris* periphrastice appellat. Illud vero : *Perdit enim me spiritus ventris*, magis tropice mihi dictum esse videtur. Quemadmodum enim, inquit, flatus in visceribus conceptus, nec exitum inveniens, hominem torquet, et doloribus cruciat : ita etiam *me perdit spiritus ventris*, id est, sermones quos sine exitu constrictos, animo inclusos gero.

Vers. 19. « Venter autem meus, sicut uter musto fervens ligatus [*Symmachus vero*, Sicut vinum novum quod respirare nequit], aut veluti follis ærarii disruptus. »

C Parum abest, inquit, quin præ multitudine cogitationum quæ animo meo ad contradicendum obversantur, in angustiis constitutus, tanquam uter aliquis vino novo et fervido plenus, qui fervore et ebullitione rupturam minatur, medius disrumpar. Hinc illud Evangelii dictum mihi videtur : *Nemo injicit vinum novum in utres veteres* [67]. Dixit autem, *follis*, et addidit, *disruptus*, quoniam loqui, et spiritus intus inclusi aliquid emittere cœperat; ruptus enim fabri ærarii follis, spiritum efflat.

Vers. 21, 22. « Hominem enim non verebor, sed neque erga mortalem confundar : non enim novi admirari facies ; alioquin me tineæ edent. »

D Loquar, inquit, omni pudore deposito, et sine ullo hominibus placendi studio : si quid autem contra jus et æquum dixero, et non illud omni verecundiæ ac modestiæ humanæ prætulero, me etiam, tanquam Jobum, tineæ depascant, vel tanquam personarum acceptores ; et præcipue quidem cum de Deo agitur, et homines præ illo honore afficimus. Ego quidem, inquit, *facies admirari non novi*, id est, Disciplinam hanc, ut quemquam revereat, aut gratiæ alicujus tribuam, non didici ; sed homines, et pudorem quem illi incutere possunt, contemno. Hæc autem dicens, illos innuit, quia Jobum reveriti silentium egerant.

Digitized by Google

CAP. XXXIII.

VERS. 1-3. « Verumtamen audi, Job, verba mea, et auribus percipe locutionem meam. Ecce enim aperui os meum, et locuta est lingua mea. Mundum est cor meum verbis, et intellectus labiorum meorum munda cogitabit. »

Audi igitur, Jobe; deinceps enim alloqui te aggredior, puram animam, et ab omni perturbatione vacuam afferens (vel, juxta alios, rectam, simplicem, nihil ex præjudicata opinione loquentem), ac prudenti cognitione, quæ erroris expers, et ab omni labe purgata est, præditus: puram autem cognitionem vocat, quæ pro Deo est, et adversus hominem, quæ pari jure cum Deo in judicium descendere cupit.

VERS. 4. « Spiritus divinus est qui me fecit; spiratio autem Omnipotentis est quæ docet me. »

Sermonis sui initio Elius, Deum creationis, intelligentiæ et cognitionis suæ qua fretus ad dicendum impulsus fuerat, causam et auctorem prædicans, gratiarum actionis hymno celebrat. Novi, inquit, quod prudentiam hanc non a meipso, sed a divina gratia possideam; qui enim ut essem concessit, idem eorum quæ fieri oportet, cognitionem est largitus.

VERS. 5. « Si poteris, da mihi responsionem; ad hæc sustine. »

Exspecta, inquit, et cum audieris quæ ego attulero, si quid habes quod opponas, contradicito.

« Sta juxta me, et ego juxta te. [VERS. 6.] De luto formatus es tu, sicut ego; ex eodem formati sumus. »

Noli, inquit, vereri responsum dare, certamen enim æquale est; ejusdem quippe naturæ ambo sumus, quæ e luto et terra est, nec quidquam magnificum et eximium habet. Hæc autem, ut pudorem illi incutiat, quod cum Deo in judicium descendere voluerit, ad hunc fere modum loquitur: Cur cum Deo judicio contendere vis, in cujus conspectu nemo justificatur? mecum contendito, qui in nullo a te differo.

VERS. 7. « Non timor meus te turbabit, neque manus mea gravis erit super te. »

Quoniam Jobus dixerat: *Et timor ejus non me transversum agat*[68]; ecce, inquit, nihil in me, sicut in Deo, formidabile est, ut præ metu animo perturberis et percellaris, ac proinde verba quæ mihi forte dicenda habes, eloqui non audeas: neque si contradixeris quidem, gravi me manu plagam tibi inflicturum suspicaris; memini enim dicentem te audivisse quod, si hæc non metueres, cum Deo te certamen initurum. Hæc autem, qua mente Jobus verba protulisset minime assecutus, Elius enarrat.

VERS. 8-11. « Verumtamen dixisti in auribus meis, Vocem verborum tuorum audivi; quandoquidem dicis: Mundus sum, non peccans, sine crimine

[68] Job IX, 34.

ΚΕΦ. ΛΓ'.

A « Οὐ μὴν δὲ, ἀλλὰ ἄκουσον, Ἰὼβ, τὰ ῥήματά μου, καὶ λαλιὰν ἐνωτίζου μου. Ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου. Καθαρά μου ἡ καρδία ῥήμασι, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει. »

Ἄκουσον τοιγαροῦν, ὦ Ἰώβ. Ἄρχομαι γὰρ λοιπὸν τῶν πρὸς σὲ λόγων, καθαρὰν μὲν καὶ παντὸς πάθους ἀνενόχλητον φέρων τὴν ψυχήν· ἢ κατὰ τοὺς λοιποὺς, εὐθεῖαν, ἁπλῆν, μηδὲν κατὰ πρόκριμα λέγουσαν· συνετὴν δὲ ἔχων γνῶσιν, καὶ ἁπλανῆ, καὶ κεκαθαρμένην· καθαρὰν δὲ λέγει γνῶσιν τὴν ὑπὲρ Θεοῦ, καὶ πρὸς ἄνθρωπον ἐξ ἰσοτιμίας θέλοντα πρὸς Θεὸν δικάτασθαι.

B « Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με. »

Ἀρχόμενος ὁ Ἐλιοὺς, εὐχαριστήριον ὕμνον ἀναπέμπει Θεῷ, αὐτὸν εἶναι λέγων αἴτιον ἑαυτοῦ καὶ τῆς ποιήσεως, καὶ τῆς συνέσεως καὶ γνώσεως, ἥτινι πεποιθὼς ἐπὶ τὸ λέγειν προήχθη. Οἶδα γὰρ, φησὶν, ὡς ταύτην τὴν σύνεσιν οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἀπὸ τῆς θείας χάριτος κέκτημαι· ὁ γὰρ τὸ εἶναι δεδωκὼς, καὶ τῶν δεόντων τὴν γνῶσιν παρέσχετο.

« Ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν· πρὸς ταῦτα ὑπόμεινον. »

Ἀνάμεινον, φησὶ, καὶ ἀκούσας τὰ παρ' ἐμοῦ, εἰ ἔστι σοι λόγος ἀντιλογίας, ἀντίφθεγξαι.

C « Στῆθι κατ' ἐμὲ, καὶ ἐγὼ κατὰ σέ. Ἐκ πηλοῦ διήρτισαι σὺ, ὡς καὶ ἐγώ· ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα. »

Μηδὲν, φησὶν, εὐλαβηθῇς πρὸς τὸ ἀποκρίνεσθαι, ἰσοπαλὴς γὰρ ὁ ἀγὼν, τῆς γὰρ αὐτῆς ἄμφω τυγχάνομεν φύσεως, τῆς ἐκ πηλοῦ καὶ γῆς, καὶ οὐδὲν ἐχούσης ὑπέρογκον. Ταῦτα δὲ λέγει, ἐντρέπων αὐτὸν, ὡς πρὸς Θεὸν θελήσαντα δικάζεσθαι· μονονουχὶ φάτκων· Τί πρὸς Θεὸν κρίνεσθαι θέλεις, οὗ ἐνώπιον οὐδεὶς δικαιοῦται; πρὸς μὲ δίκασαι, τὸν κατ' οὐδέν σου διαφέροντα.

« Οὐχ ὁ φόβος μού σε στροβήσει, οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί. »

D Ἐπειδὴ ἔλεγεν ὁ Ἰώβ, *Καὶ ὁ φόβος αὐτοῦ μή με στροβείτω*· Ἰδοὺ, φησὶν, οὐδὲν φοβερὸν παρ' ἐμοὶ, ὥσπερ παρὰ Θεῷ, ὥστε ὑπὸ τοῦ φόβου θροεῖσθαί σε, καὶ περιτρέπεσθαι τὴν διάνοιαν, καὶ διὰ τοῦτο μὴ θαῤῥεῖν τοὺς πρὸς ἐμὲ λόγους, οὓς ἴσως ἔχεις, εἰπεῖν· οὐδὲ ἐὰν ἀντείπῃς, ὑποπτεύεις ὅτι πληγὴν ἐπαγάγω σοι, βαρύνων κατὰ σοῦ τὴν ἐμὴν χεῖρα· ἔφασκες γὰρ, ὡς ἀκούσας μέμνημαι, ὡς εἰ μὴ ταῦτα ἐδεδοίκεις, διηγωνίζου ἂν πρὸς Θεόν. Ταῦτα δὲ διέξεισιν Ἐλιοὺς, οὐ καθηκόμενος τῆς ἐννοίας ἐξ ἧς ὁ Ἰὼβ τοὺς λόγους προέφερεν.

« Πλὴν εἶπας ἐν ὠσί μου, Φωνὴν ῥημάτων σου ἀκήκοα· διότι λέγεις, Καθαρός εἰμι, οὐχ ἁμαρτὼν, ἄμεμπτός εἰμι, οὐ γὰρ ἠνόμησα· μέμψιν δὲ κατ'

Digitized by Google

ἐμοῦ εὗρεν, ἡγήται δέ με ὥσπερ ὑπεναντίον· ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξε δέ μου πάσας τὰς ὁδούς. »

sum, non enim inique egi; accusationem autem contra me invenit, putavit autem me sicut adversarium; posuit autem in ligno pedem meum, et observavit omnes vias meas. »

Αὐτὸς, φησὶ, τοῖς ἐμοῖς ὠσὶν ἤκουσά σου λέγοντος, ὅτι Καθαρός εἰμι καὶ ἄμεμπτος· ὁ δὲ Θεὸς, ὥσπερ τις ἐχθρὸς, ἀκριβῶς ἀναζητήσας τὰ κατ' ἐμὲ, εἴ τι ἄκων ἢ ἀγνοῶν παρέβην, εὗρε κατ' ἐμοῦ μέμψιν, ὅπως με τιμωρήσηται, καὶ πάσας μου τὰς πορείας συνέκλεισεν, ὥσπερ οἱ ἐν τετρυπημένῳ ξύλῳ τοὺς πόδας δεσμοῦντες [h]· τὸ δὲ ἀδιεξόδευτον τῆς τιμωρίας ἐν τούτοις αἰνίττεται.

Ego, inquit, auribus meis dicentem te audivi, Mundus sum, et irreprehensibilis; Deus autem, tanquam hostis, actiones meas diligenter investigans, si qua in re invitus forte et per ignorantiam offendissem, ut supplicio afficeret, querimoniæ et condemnationis causam contra me invenit, et gressus meos omnes, instar eorum qui in ligno perforato pedes constrictos habent, conclusit. Iis autem verbis supplicium inevitabile fuisse innuit.

« Πῶς γὰρ λέγεις, Δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ μου; »

Τοῦτό ἐστιν ὃ ἐγκαλεῖς, φησὶν, ὅτι οὐκ εἰσήκουσέ σου τῆς δίκης· πόθεν δῆλον, εἰπέ μοι, ὅτι οὐκ εἰσήκουσεν; ὅτι κολάζει καὶ τιμωρεῖται; Τοῦτο ἔργον αὐτῷ, ὥστε βελτίους ποιεῖν τοὺς ἀνθρώπους. Πῶς οὖν ἀπετόλμησας τοῦτο εἰπεῖν, ὅτι Δίκαιός εἰμι, ὁ δὲ Θεὸς οὐκ ἀκούει μου;

VERS. 12. « Quomodo enim dicis, Justus sum, et non exaudivit me? »

Hoc, inquit, est quod in Deo accusas, quod causæ tuæ æquitatem non audierit: dic mihi, unde constet quod non audierit? An quia puniat, et supplicils afficiat? verum hoc opus ejus est, ut homines meliores reddat. Quomodo igitur ausus es illud dicere, Justus sum, Deus autem me non exaudit?

« Αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.

Τουτέστιν, οὐκ ἐπὶ σοὶ πρῶτον δοκιμασθήσεται ὁ ἐπὶ πάντων Θεός.

« Æternus enim est, qui est super homines. »

Id est, Deus, qui omnibus præest, non in te primum probabitur.

« Λέγεις δὲ, Διατί τῆς δίκης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα; ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ Κύριος. »

VERS. 13, 14. « Dicis autem: Cur judicium meum non exaudivit, meum omne verbum? semel enim loquatur Dominus. »

Ἀνθ' ὧν Ἀκύλας καὶ Σύμμαχος, ὁ μὲν, *Τί οὖν πρὸς αὐτὸν ἐδικάσω; ὅτι πάντα τὰ ῥήματα αὐτοῦ οὐκ ἀποκριτεῖται·* ὁ δὲ, *Τί οὖν αὐτῷ διαδικάζῃ; πάντες γὰρ οἱ λόγοι αὐτοῦ ἀντίῤῥητοι.* Τουτέστιν, οὐχὶ καθέκαστον ἀκούει καὶ παιδεύει; Ἀλλὰ τοῦτό ἐστι τοῦ Θεοῦ, εἰς ἅπαξ τι ποιῆσαι, καὶ μὴ καταμικρόν· πολλάκις δι' ὀνειράτων παρῆνεσε, ἰ δι' ἐνυπνίων· σὺ δὲ αὐτὸν εἰς δικαστήριον καταστάσαι προῄρησαι. Καίτοιγε ἐχρῆν σε ἐννοεῖν, ὅτι ἃ ὥρισεν, οὐχ ὡς ἄνθρωπος μεταμελόμενος [j], ἢ ἐπιλογιζόμενός [k] τι κρεῖττον, ἐνομοθέτησεν· ἀλλὰ πάντα ἃ διωρίσατο, ἀμεμπτα. Ἀνθρώπων μὲν γὰρ τὸ, ἐφ' οἷς λέγουσιν ἢ πράττουσι, μεταμέλεσθαι. Θεὸς δὲ τοῦτο οὐχ ὑπομένει, ἀλλ' ἅπαξ ἀρκεῖ ἀποφήνασθαι.

Pro quibus Aquila et Symmachus, hic quidem: *Quid igitur contra eum judicio contendisti? ad omnia enim ejus verba responderi non poterit;* ille vero: *Quid igitur ipsum vocas in judicium? nulli enim ejus sermones contradictionem admittunt.* Id est, non sigillatim Deus audit, et erudit? Verum simul et semel aliquid facere, nec paulatim et per partes, Deo peculiare est; sæpenumero per insomnia, et ea quæ in somnis videntur, admonuit: tu autem ad judicis tribunal trahere eum statuisti. Et sane cogitare tecum te oportebat, quod non instar hominis, pœnitentia postea ducendus, aut sanius aliquid calculis subductis reperturus, decreta sua sanciverit; sed quod cuncta quæ fieri decrevit, reprehensione careant. Hominum enim est, eorum quæ dicunt aut faciunt, pœnitentiam agere; Deus autem hoc non patitur, cui semel edixisse satis est.

« Ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν· ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας, τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐῤῥύσατο, ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου, καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ. »

VERS. 16-18. « In speciebus timoris talibus eos exterruit; avertat hominem ab injustitia, et corpus ejus a ruina liberavit, et pepercit animæ ejus a morte, et non cadat ille in bello. »

Ἅπαξ μὲν, φησὶ, λαλεῖ, καὶ νόμον τίθησι Θεός· μετὰ δὲ τὸ νομοθετῆσαι, εἴ τινα εὕρῃ καταφρονοῦντα, διὰ νυκτερινῶν αὐτὸν δειμάτων ἐπιστρέφει καὶ νουθετεῖ. Οὕτω δὲ χρήσιμος ὁ παιδευτικὸς οὗτος φόβος, ὁ διὰ τῶν φασμάτων καὶ ἐνδαλμάτων, ὅτι καὶ μέλλου-

Semel quidem, inquit, loquitur Deus, et legem sancit; si quem autem, postquam legem tulerit, legis contemptorem invenerit, nocturnis terroribus illum convertit, et commonefacit. Metus autem hic commonitorius, qui per visa et simulacra fit, adeo

VARIÆ LECTIONES.

[h] *Ιση.* δεσμούμενοι. [i] *Ιση.* add. καὶ. [j] *Ιση.* μεταμεληθήμενος. [k] *Ιση.* ἐπιλογισάμενος.

Digitized by Google

utilis est, ut futurum judicium cohibeat et impediat; et qui terrore hoc melior evasit, corpore simul ac anima ex hostium manibus ereptus, indemnis exsistat: forte enim, si ante supplicium non convertisset, vel plaga divinitus immissa, aut hostium incursu, peccatorum pœnas luisset; sed qui in inferendis suppliciis cunctatur, per terrores ad pœnitentiam revocat, et supplicium quod exspectatur, minis cohibet.

VERS. 19-22. « Iterum autem arguit eum in languore super cubile, et multitudo ossium ejus obtorpuit; et omnem escam frumenti non poterit sumere, et anima ejus cibum desiderabit, quoadusque putruerint ejus carnes, et ostenderit ossa sua inania. Appropinquavit autem ad mortem anima ejus, et vita ejus in Inferno. »

Si peccator, inquit, nocturnis terroribus ad meliorem frugem non redierit, neque pœnitentiam agere voluerit, morbo correptum lecto affigit, tremorem ac torporem ossibus immittit, ac miserandum adeo in modum afficit, ut cibum quidem appetere cupiat, appetitus autem eum deficiat, nec alimentum admittere possit; ita ut eam ob causam carnes ejus tabe consumantur, robur ossium, medulla propemodum exsucta et exarefacta, deficiat, ac deinde anima morti vicina sit, eaque quæ apud inferos sunt, videre imaginetur.

VERS. 23. « Si fuerint mille angeli mortiferi, unus eorum non vulnerabit eum, si cogitaverit corde reverti ad Dominum; annuntiaverit autem homini suum ipsius crimen, et suam stultitiam ostenderit. »

Si, inquit, qui extrema patitur, peccatum morbi causam perpendens, et delicta sua quæ reprehensionem merentur, ac peccata per confessionem aperiens, ad Deum conversus fuerit; licet infinita sint quæ interitum provocent, mortem imminentem sistit. Pœnitentia enim peccatum oblitterat, Deum flectit, ita ut sententiam revocet.

VERS. 24, 25. « Retinebit ne in mortem incidat, et renovabit corpus ejus, sicut tectorium in pariete, et ossa ejus implebit medulla, et molliet carnes ejus sicut parvuli, et restituet eum virum factum inter homines. »

Fructus pœnitentiæ considera, quæ non tantum mortem inhibet, sed firmam etiam valetudinem largitur. Deus enim pœnitenti succurrit, neque in mortem eum incidere sinit: sed quemadmodum qui disruptum parietem, et ruinam minantem, calce illinentes renovant; ita corpus ejus corruptum reparat, decorum reddit, et tanquam de novo fingens, ossa medulla replet, carnes recenter factas ei tribuit, tandemque *virum factum*, id est, firmatum, ac robore virili præditum, ut inter homines rursus degat, eum restituit; vel, juxta aliorum interpretationem: *Ad diem juventutis suæ reducit.*

A σαν τιμωρίαν ἐπέχει· ὡς τὸν ἐκ τοῦ φόβου βελτίω γενόμενον ἀβλαβὲς ἔχειν καὶ σῶμα καὶ ψυχήν, ἀναρπασθῆναί τε ἐκ πολεμίων χειρός· ἴσως γάρ, εἰ μὴ ἐπέστρεψε πρὸ τῆς τιμωρίας, ἢ θεηλάτῳ πληγῇ, ἢ πολεμίων ἐφόδῳ, ὧν ἐξήμαρτε τὴν δίκην ἐδίδου· ἀλλ' ὁ μελλητὴς εἰς τιμωρίαν, διὰ τῶν φόβων ἀνακαλεῖται πρὸς μετάνοιαν, καὶ διὰ τῆς ἀπειλῆς τιμωρίαν ἐπέχει προσδοκωμένην.

« Πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης, καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε· πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι, καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει, ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες, καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά. Ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ ζωὴ αὐτοῦ ἐν
B ᾅδῃ. »

« Ἐὰν μέντοι, φησίν, ὁ ἁμαρτάνων μηδὲ τοῖς νυκτερινοῖς σωφρονίζοιτο φόβοις, μηδὲ μετανοεῖν βούλοιτο, κλινοπετῇ αὐτὸν νοσοῦντα ποιεῖ, καὶ φρίκην καὶ νάρκην τοῖς αὐτοῦ ὀστέοις ἐνίησι, καὶ οὕτως ἀθλίως διατίθησιν, ὡς ἐθέλειν μὲν αὐτὸν τροφῆς ὀρέγεσθαι, ἐπιλελοιπέναι δὲ τὴν ὄρεξιν, καὶ μὴ δύνασθαι τοῦτον τροφὴν προσίεσθαι· ὡς ἐντεῦθεν τὰς μὲν σάρκας αὐτοῦ δαπανᾶσθαι, τῶν δὲ ὀστῶν τὴν ἰσχὺν ἐκλείπειν, σχεδὸν καὶ τοῦ μυελοῦ ἐκμυζηθέντος ἢ ξηρανθέντος, ἐγγὺς δὲ εἶναι λοιπὸν τοῦ θανάτου τὴν ψυχήν, καὶ τὰ ἐν ᾅδου φαντάζεσθαι.

« Ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτὸν, ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον· ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν
C ἑαυτοῦ μέμψιν, τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ. »

« Οὗτος, φησὶν, ὁ ἐν τοῖς ἐσχάτοις ἐξεταζόμενος, ἐὰν τὸ αἴτιον τῆς νόσου νοήσας τὴν ἁμαρτίαν, ἐπιστραφῇ πρὸς Θεὸν, δι' ἐξομολογήσεως τὰς ἰδίας μέμψεις καὶ ἁμαρτίας ἐξαγορεύων, ἵστησιν ἐπηρτημένον τὸν θάνατον, κἂν μυρία ὦσι τὴν τελευτὴν προκαλούμενα. Ἡ γὰρ μετάνοια ἀπαλείφει μὲν τὴν ἁμαρτίαν, δυσωπεῖ δὲ τὸν Θεὸν, ἐφ' ᾧ τὴν ἀπόφασιν ἀνακαλέσασθαι.

« Ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον, ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα, ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ, ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου, ἀποκαταστήσει δὲ αὐτὸν
D ἀνορωθέντα ἐν ἀνθρώποις.

Ὅρα τοὺς καρποὺς τῆς μετανοίας, καὶ ὅτι οὐ μόνον θάνατον κωλύει αὕτη, ἀλλὰ καὶ εὐεξίαν χαρίζεται. Ὁ γὰρ Θεὸς, φησὶν, ἀντιλαμβάνεται τοῦ μετανοοῦντος, καὶ οὐκ ἐᾷ αὐτὸν πεσεῖν εἰς θάνατον· ἀλλὰ καθάπερ οἰ τοῖχον κατερρωγότα καὶ ἐκρεύσαντα διὰ τῆς ἐπαλείψεως τῆς κονίας ἀνανεούμενοι· οὕτως ἀνακαινίζει τὸ διεφθορὸς αὐτοῦ σῶμα, καὶ εὐπρεπὲς ἀποδείκνυσι· καὶ ὥσπερ ἐξ ἀρχῆς ἀναπλάττων, τὰ μὲν ὀστᾶ πληροῖ μυελοῦ, νεοπαγεῖς δὲ αὐτῷ χαρίζεται σάρκας, καὶ τὸ δὴ τέλος *ἀνδρώσας*, τουτέστιν, ἐπιῤῥώσας, καὶ ἰσχὺν ἀνδρικὴν παρασχόμενος, τῇ μετὰ ἀνθρώπων διατριβῇ πάλιν αὐτὸν ἀποκαθίστησιν· ἢ, κατὰ τοὺς λοιποὺς, *Ἐπιστρέφει εἰς ἡμέραν νεότητος αὐτοῦ.*

Digitized by Google

« Εὐξάμενος δὲ πρὸς Κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται. »

Vers. 26. « Deprecatus autem ad Dominum, et accepta ei erunt. »

Ὁ δὲ Θεοδοτίων, *Δεηθήσεται τοῦ Θεοῦ, καὶ εὐλογήσει αὐτόν.* Ἡ δὲ διάνοια, Ἤτοι ὅτι αἱ πρὸς Θεὸν αὐτοῦ εὐχαὶ καὶ ὑποσχέσεις οὐκ ἀποπεμφθήσονται, ἀλλὰ δεκταὶ ἔσονται· ἢ ὅτι αἱ προσευχαὶ αὐτοῦ δεχθήσονται, καὶ τὴν ἄνωθεν εὐλογίαν αὐτῷ κομιοῦσιν.

Theodotio autem : *Orabit Dominum, et benedicet eum.* Sensus vero est : Vel quod vota ejus, et preces ad Deum fusæ, non repudiabuntur, sed acceptæ erunt ; vel quod preces ejus locum apud Deum invenient, et supernam benedictionem illi conferent.

« Εἰσελεύσεται προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ. »

« Intrabit facie pura cum professione. »

Οἱ δὲ λοιποὶ, *Ἱλαρῷ.* Ἀντὶ δὲ, τοῦ, *σὺν ἐξηγορίᾳ,* Ἀκύλας μὲν καὶ Θεοδοτίων, *ἐν ἀλαλαγμῷ,* Σύμμαχος δὲ, *ἐν ὑμνολογίᾳ*, ἐξέδωκε. Τότε, φησὶν, ὁ ἀπὸ τῆς νόσου καὶ τοῦ προσδοκωμένου θανάτου διασωθεὶς, εὐχαριστήριον εὐχὴν καὶ ἐξομολόγησιν εὐπρόσδεκτον ἀνοίσει Θεῷ, καὶ μετὰ παῤῥησίας αὐτῷ προσελεύσεται· ταύτην γὰρ δηλοῖ τὸ καθαρὸν, εἴτουν *Ἱλαρὸν πρόσωπον*· καὶ ὑμνήσει Θεὸν, καθαρθεὶς διὰ τῆς παιδεύσεως.

Cæteri autem, *hilari.* Pro illo autem, *cum professione,* Aquila et Theodotio, *in jubilatione,* et Symmachus, *in hymnorum decantatione,* reddiderunt. Tunc, inquit, a morbo et exspectata morte servatus, precibus cum gratiarum actione, et grata confessione, Deum celebrabit, cum fiducia ad eum accedet (vultus enim purus, seu hilaris, hoc significat), et correptione purgatus, laudes Deo canet.

« Ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην. »

« Reddet autem hominibus justitiam. »

Ἤτοι αὐτὸς ὁ παρὰ Θεοῦ εὐεργετηθεὶς ἄνθρωπος ἑκάστῳ τῶν ὁμογενῶν τὰ κατ' ἀξίαν ἀποδώσει, τιμῶν λοιπὸν τὸ δίκαιον, καὶ καλλίων γεγονὼς διὰ τῆς παιδεύσεως. Ἢ ὁ Θεὸς δικαιώσει τοὺς οὕτω διατεθέντας [1], καὶ ἀποδώσει αὐτοῖς τὴν ἐφ' οἷς πρότερον ἐπλημμέλησαν ἄφεσιν.

Vel, Homo qui beneficio a Deo affectus est, æquitatem postea colendo, et correctione melior factus, unicuique eorum qui congeneres et ejusdem naturæ sunt, pro merito jus suum tribuet. Vel, Deus homines ita affectos justificabit, et priorum delictorum veniam iis concedet.

« Εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων· Οἷα συνετέλουν ; καὶ οὐκ ἄξια ἠτασέ με ὧν ἥμαρτον. »

Vers. 27. « Deinde tunc accusabit homo seipsum, dicens : Qualia consummabam ? et non digne in me inquisivit pro iis quæ peccavi. »

Γνοὺς δὲ ὁ σωθεὶς τῆς σοφῆς τοῦ Θεοῦ σοφίας τὸ κέρδος, καταγνώσεται μὲν ἑαυτοῦ, εὐχαριστῶν δὲ ἐρεῖ, ὡς Ἐλάττονα ὧν ἐπλημμέλησα πεπαίδευμαι, καὶ οὐκ ἄξια πέπονθα ὧν δέδρακα.

Cum autem servatus prudentis divinæ sapientiæ emolumentum intellexerit, seipsum quidem condemnabit, Deo autem gratias aget, dicens : Correctio delictis meis minor est, neque paria iis quæ admisi passus sum.

« Ζῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν, καὶ ἡ ζωή μου φῶς ὄψεται. »

Vers. 28. « Salva animam meam, ne veniat in corruptionem, et vita mea lucem videbit. »

Καὶ ταῦτα τῆς εὐχῆς καὶ τοῦ ὕμνου τὰ ῥήματα· ἐρεῖ γὰρ, Εὐχαριστῶ ὅτι ἐῤῥύσω με ἀπὸ τοῦ θανάτου, καὶ τῆς ἐντεῦθεν διαφθορᾶς καὶ διαλύσεως, ζῆν δέ με καὶ τὸ φῶς τοῦτο βλέπειν συνεχώρησας· τοῦτο δέ μοι καὶ εἰς τὸ ἔξῆς γενέσθαι παρακαλῶ. Τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι εὔξεται, μὴ τῆς τῶν ἀδίκων μερίδος μετὰ τόνδε τὸν βίον, τῆς ἐν τῇ διαφθορᾷ, γενέσθαι, ἀλλὰ τῆς τῶν δικαίων ἐν τῷ φωτί.

Et hæc precationis et hymni verba sunt ; sic enim dicet : Gratias tibi ago quod a morte, et corruptione ac dissolutione quæ inde profluit, me liberaveris, et ut viverem, ac lucem hanc aspicerem, permiseris ; quod ut mihi etiam in posterum contingat, enixe peto. Quidam vero sic intellexerunt, quod Deum oraturus sit, ne post exactam hanc vitam, sors impiorum, quæ in corruptione est, illi obveniat, sed justorum, quæ in luce est.

« Ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ ἀνδρός· καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ θανάτου, ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν. »

Vers. 28. « Ecce hæc omnia operatur fortis vias tres cum viro ; et eruit animam meam de morte, ut vita mea in lumine collaudet eum. »

Ὁ δὲ Σύμμαχος, *δὶς τρὶς πρὸς ἕκαστον, ὥστε μετακαλέσαι τὴν ψυχήν μου ἐκ θανάτου.* Ὁ δὲ νοῦς τῶν ῥημάτων τοιοῦτος· Ταῦτα τοῦ σοφοῦ καὶ ἰσχυροῦ Θεοῦ τὰ ἔργα, διὰ τριῶν τούτων τρόπων τοὺς ἁμαρτάνοντας, ἐπιστρέφοντος διὰ τοῦ λαλεῖν, διὰ τοῦ φοβεῖν ἐνυπνίοις, διὰ νοσημάτων. Ταύτας τὰς τρεῖς ὁδοὺς καὶ οἰκονομίας μετ' ἀνδρὸς ἑκάστου ὁ παντοδύναμος ἐργάζεται· ἵνα μιᾷ γοῦν τῶν τοιούτων ὁδῶν σωφρονισθεὶς ὁ πλημμελῶν, φύγῃ μὲν τὸν

Symmachus vero, *Bis ter ad unumquemque ut revocet animam meam de morte.* Sensus autem verborum talis est : Hoc sapientis et fortis Dei, tribus hisce modis peccatores convertentis, opus est ; loquendo, scilicet, terrendo per insomnia, et morbos inferendo. Has tres dispensationis suæ vias omnipoteus cum unoquoque homine exercet ; ut qui deliquerat, una harum trium emendatus, mortem devitet, et vivus Deum laudibus celebret, qui

VARIÆ LECTIONES.

[1] γρ. διασωθέντας.

Digitized by Google

arguendo, increpando, adhortando, sermone docendo, terroribus nocturnis minitando, et infirmitatibus explorando ac torquendo, sic res humanas moderatur, exsistentiam iis præbet, quæ fieri oporteat docet, et vel mercedem recte factorum largitur, vel peccatorum et transgressionum supplicium sumit.

VERS. 31-33. « Auribus percipe, Job, et audi me; obmutesce, et ego quidem loquar; si sunt tibi sermones, responde mihi: loquere, volo enim justificari te: sin minus, tu audi me, obmutesce, et docebo te. »

Cur, inquit, Deum invisibilem tecum in judicium vocas? Ecce ego qui homo sum, et juxta ac tu oculis cernor, adsum: si silentium egeris, te alloquar; et si habueris quod regeras, audire non gravabor: si autem nihil respondere poteris, rursus sile, et iis quæ a me dicentur aurem præbeto.

CAP. XXXIV.

Protheoria.

Cum Elius sollicitum et accuratum divinæ institutionis modum explicasset, quod, scilicet, insomniis terrendo, et morbis castigando, ad meliorem frugem nos reducat; aliud sermonis sui initium facit, et statim in exordio, ut ea quæ dicenda sunt intelligant, auditores hortatur. De supplicio autem quo injusti exstirpantur, disserturum se proponit; petitque ab auditoribus, ut an recte a Jobo dictum sit quod justus esset, et a Deo injusta pateretur, judicare velint. Deinde Deum, unicuique pro meritis retribuentem, injustos suppliciis punire asserit; hujusque rei rationes in medium affert: rerum enim opifex, inquit, opera manuum suarum injuria lædere, sustinere non poterit. Recte quidem Elius de justo Dei judicio locutus est; animum vero ad ea quæ proferebantur adjiciens, non autem intelligens, quod justus non ut Deum accusaret, sed ut amicos reprehenderet, cum Deo in judicium descendere desideraverit, Jobum pari jure cum Deo judicio contendere voluisse vituperat.

VERS. 1-6. « Respondens autem Elius, dixit: Audite me, sapientes; qui habetis scientiam auribus percipite: quia auris sermones probat, et guttur gustat escam. Judicium eligamus nobis, noscamus inter nos quid bonum: quia dixit Job: Justus sum; Dominus removit judicium meum, et mentitus est in judicio meo; violentum jaculum meum sine injustitia. »

Juliani et *Olympiodori*. Propter priores accusationes quas contra auditores attulerat, mollioribus verbis eos Elius demulcet, et sapientes eos, et recti ac honesti scientes appellans: Auris, inquit, amici, verum a falso distinguendo, et bonum a malo discernendo, de sermonibus judicium fert, quemadmodum in cibis guttur vel palatum qualitates eorum probat, et dulcedinem ac acerbitatem judicare amat. In medium igitur veri indagatio proponatur, an recte a Jobo dictum sit, *Justus quidem*

= *Isc. τί*, ut in ms. Theclæ.

A θάνατον, ζῶν δὲ ὑμνῇ τὸν Θεὸν, ὃς οὕτω τὰ κατὰ τοὺς ἀνθρώπους διοικεῖ, παρέχει τὸ εἶναι, ὑφηγεῖται τὰ δέοντα, καὶ ἢ μισθὸν δίδωσι τῶν κατορθωμάτων, ἢ δίκην εἰσπράττεται τῶν παραβαθέντων, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, διδάσκων ἐν τῷ λαλεῖν, ἀπειλῶν ἐν φόβοις νυκτερινοῖς, βασανίζων ἐν ἀσθενείαις.

« Ἐνωτίζου, Ἰὼβ, καὶ ἄκουέ μου· κώφευσον, καὶ ἐγὼ εἰμι λαλήσω. Εἰ εἰσί σοι λόγοι, ἀποκρίθητί μοι· λάλησον, θέλω γὰρ δικαιωθῆναί σε· εἰ μή, σὺ ἄκουσόν μου, κώφευσον, καὶ διδάξω σε. »

B Τί, φησὶ, τὸν Θεὸν καλεῖς τὸν ἀόρατον εἰς τὴν μετὰ σοῦ κρίσιν; Ἰδοὺ ἐγὼ ἄνθρωπος ὢν, καὶ ὁρώμενος κατὰ σὲ, πάρειμι· κἂν ἡσυχάσῃς, διαλέξομαι πρὸς σὲ, κἂν ἔχῃς τι ἀντιθεῖναι, φθόνος οὐδείς· εἰ δὲ μηδὲν δύναιο ἀποκρίνασθαι, πάλιν ἡσύχασον, καὶ δέχου τὰ παρ' ἐμοῦ ῥηθησόμενα.

ΚΕΦ. ΛΔ'.

Προθεωρία.

Εἰρηκὼς ὁ Ἐλιοὺς τρόπον κηδεμονικῆς παιδεύσεως Θεοῦ, καὶ ὅτι δι' ἐνυπνίων φοβῶν, καὶ διὰ νόσων παιδεύων, ἐπὶ τὸ κάλλιον ἡμᾶς ἐπανάγει· πάλιν ἐξ ἑτέρας ἀρχῆς ποιεῖται τὸν λόγον, καὶ προοιμιαζόμενος παρακαλεῖ τοὺς ἀκροατὰς εἰς τὴν τῶν λεγομένων κατανόησιν. Προτίθεται δὲ διδάσκειν περὶ κολάσεως ὀλοθρευούσης ἀδίκους· καὶ ἀξιοῖ τοὺς ἀκροατὰς διακρῖναι εἰ καλῶς εἴρηται τῷ Ἰὼβ, ὡς αὐτὸς μὲν δίκαιός ἐστιν, οὐ δίκαια δὲ πάσχει παρὰ Θεοῦ. Εἶτά C φησιν, ὅτι ἑκάστῳ τὰ κατ' ἀξίαν ὁ Θεὸς ἀπονέμων, κολάζει τοὺς ἀδίκους· καὶ λογισμοὺς τούτου τίθησιν· Ὁ γὰρ Δημιουργὸς οὐκ ἂν ἀνάσχοιτο, φησὶν, ἀδικῆσαι τὰ ἴδια ποιήματα. Περὶ μὲν οὖν δικαίας κρίσεως τοῦ Θεοῦ ὀρθῶς εἴρηται τῷ Ἐλιούς· μέμφεται δὲ τῷ Ἰὼβ, ὅτι πρὸς Θεὸν ὁμοτίμως ἤθελε κρίνεσθαι, τῇ μὲν προφορᾷ τῶν ῥημάτων προσέχων, μὴ συνεὶς δὲ, ὡς οὐ Θεοῦ κατηγορῶν ὁ δίκαιος, ἀλλὰ τοὺς φίλους διελέγξαι θέλων, τὴν πρὸς Θεὸν ἐπόθει διαδικασίαν.

« Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει· Ἀκούσατέ μου, σοφοὶ, ἐπιστάμενοι ἐνωτίζεσθε· ὅτι οὖς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν. Κρίσιν ἑλώμεθα ἑαυτοῖς, γνῶμεν ἀναμέσον ἑαυτῶν ὅτι καλόν· ὅτι D εἴρηκεν Ἰὼβ, Δίκαιός εἰμι· ὁ Κύριος ἀπῆλλαξέ μου τὸ κρῖμα, ἐψεύσατο δὲ τῷ κρίματί μου· βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας. »

Ἰουλιανοῦ καὶ *Ὀλυμπιοδώρου*. Ἐκμειλίσσεται τοὺς ἀκροατὰς ὁ Ἐλιοὺς διὰ τὰς προλαβούσας κατ' αὐτῶν μέμψεις, καὶ σοφοὺς αὐτοὺς καλέσας, καὶ τοῦ καλοῦ ἐπιστήμονας, φησὶν, Λόγων, ὦ φίλοι, ἀκοὴ κριτικὴ, τὸ ψεῦδος καὶ τὸ ἀληθὲς διαστέλλουσα, καὶ τὸ καλὸν καὶ τὸ φαῦλον διαιροῦσα, καθὰ καὶ βρωμάτων ὁ λάρυγξ, τὰς τούτων δοκιμάζων ποιότητας, καὶ τὸ ἡδὺ καὶ τὸ πικρὸν φιλοκρινῶν. Εἰς κοινὴν τοίνυν προκείσθω σκέψιν ἡ τοῦ ἀληθοῦς ἔρευνα, εἰ καλῶς ὁ Ἰὼβ ἐλάλησε, λέγων, *Δίκαιος μέν εἰμι, ὁ δὲ Θεός*

Digitized by Google

μοι τὸ κριτικὸν οὐκ ἐφύλαξεν· ἀλλὰ κατὰ Σύμμαχον καὶ Ἀκύλαν, *Παρέτρεψε, καὶ ἀπέστησεν ἀπ' ἐμοῦ τὸ κρῖμα, καὶ περὶ τὴν κρίσιν μου ψεῦσμα·* οὐ γὰρ πρὸς ἀξίαν ἔκρινε τὰ κατ' ἐμὲ, ἀλλ' ἀπήγαγεν ἀπ' ἐμοῦ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ὡς δυνατὸς μᾶλλον ἢ δίκαιος, ἀναιτίως τὴν πληγὴν ἐπήγαγε κατὰ τοῦ μηδὲν ἀδικήσαντος. Ὁ μὲν οὖν Ἐλιοὺς οὕτω παρεδέξατο τὰ εἰρημένα· ὁ δὲ Ἰὼβ τοῦτο ἔλεγεν, ὅτι Ὑπερέθετο ὁ Θεὸς κρῖναι τὰ κατ' ἐμέ· εἰ δὲ ἐβούλετό μου ἀκοῦσαι, δίκαιος ὤν, ἐῤῥύετο ἄν με τῶν ἀναγκῶν. Τοῦτο γὰρ ἐδήλου τὸ, *Κεκράξομαι, καὶ οὐδαμοῦ κρῖμα.* Περιξέει δὲ ὁ Ἐλιοὺς, καὶ παρατρέπει τοῦ Ἰὼβ τὰ ῥήματα, ἀγνοήσας ἐξ οἵας ἀγάπης τοὺς λόγους προέφερε.

A *sum, Deus autem exactum judicium mihi non custodivit;* juxta autem Symmachum et Aquilam : *Pervertit, et amovit a me judicium, et circa judicium meum mendacium;* non enim pro merito actiones meas judicavit, sed justitiam suam mihi subtraxit, et, potentem magis quam justum se ostendens, sine causa plagam ei qui nihil injuste fecerat, inflixit. Elius quidem sic ea quæ dicta erant, acceperat : Jobus autem hoc locutus est : Deus actiones meas judicare distulit; si enim justus exsistens audire me voluisset, ex necessitatibus me eripuisset. Illud enim significat : *Clamabo, et nusquam judicium* [69]. Elius autem, ignorans quo amoris affectu Jobus sermones protulisset, verba ejus arrodit, et pervertit.

B

« Τίς ἀνὴρ ὥσπερ Ἰὼβ, πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ; οὐχ ἁμαρτὼν, οὐδὲ ἀσεβήσας, ἢ οὐδ' οὐ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα, τοῦ πορευθῆναι μετὰ ἀσεβῶν. »

Κἀγὼ, φησὶν, ἐπίσταμαι τοῦ Ἰὼβ τὴν ἀρετὴν, ὡς τὰς μὲν ὕβρεις ἐκ προαιρέσεως ὑποδέχεται, ὥσπερ οἱ τὸ ὕδωρ ἐκπίνοντες, καὶ ταῦτα μηδὲν μήτε πρὸς ἀνθρώπους ἁμαρτὼν, μήτε πρὸς Θεὸν ἀσεβήσας, μήτε τὴν μετὰ ἀνόμων ἢ ἀσεβῶν κοινωνίαν καὶ διατριβὴν ἀσπασάμενος. Τοῦτο δὲ δεῖγμα μεγίστης ἀρετῆς, τὸ φέρειν ὕβριν ἀλύπως.

« Μὴ γὰρ εἴπῃς, ὅτι Οὐκ ἔσται ἐπισκοπὴ ἀνδρὸς, καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίου. »

Πρὸς τοὺς φίλους εἰρηκὼς τὰ περὶ τοῦ Ἰὼβ, νῦν πρὸς αὐτὸν τρέπει τὸν λόγον, καί φησι, Μέμφομαί σοι, οὐχ ὡς ἀδίκῳ, ἀλλ' ὡς ἀνεπισκόπητα καὶ ἀπρονόητα νομίζοντι τὰ καθ' ἡμᾶς. Πεπλάνηται δὲ πάλιν Ἐλιοὺς ἀπὸ τοῦ λέγειν τὸν δίκαιον, *Διατί ἀσεβεῖς ζῶσι;* καὶ, *Διατί Κύριον ἔλαθον ὧραι;* ἃ προβληματικῶς πρὸς τοὺς φίλους προέφερε. Θεοδοτίων δὲ καὶ Σύμμαχος, ὁ μὲν ἐξέδωκεν, *Ὅτι εἶπεν, Οὐ κινδυνεύσει ἀνὴρ ἐν τῷ εὐδοκιμῆσαι αὐτὸν μετὰ Θεοῦ·* ὁ δὲ, *Οὐχὶ σωθήσεται ἀνήρ;* Ἀναγνωστέον δὲ τὸ μὲν τοῦ Θεοδοτίωνος κατὰ ἀπόφασιν, τὸ δὲ τοῦ Συμμάχου ἐν ἤθει, καὶ κατ' ἐρώτησιν.

VERS. 7, 8. « Quis vir ut Job, bibens subsannationem sicut aquam? qui neque peccavit, neque impie egit, aut neque communicavit cum facientibus iniqua, ut ambularet cum impiis. »

Et ego, inquit, Jobi virtutem perspectam habeo, quod, neque homines offendens, neque impie erga Deum se gerens, neque communionem et convictum cum sceleratis et impiis amplectens, sponte sua calumnias, instar eorum qui aquam bibunt, suscipiat. Contumeliam autem ferre sine animi mœrore et ægritudine, virtutis summæ argumentum est.

VERS. 9. « Ne enim dixeris : Quia non erit visitatio viri, et visitatio ei a Domino. »

C Cum amicis, quæ de Jobo dicenda erant, significasset, nunc ad ipsum sermonem convertens, dicit : Non quod injustus sis, te vitupero, sed quod quæ nobis eveniunt, sine ulla inspectione aut providentia accidere existimaveris. Rursus in errorem lapsus est Elius, ex eo quod justus dixerat : *Quare impii vivunt* [70]? et : *Quare Dominum latuerunt horæ* [71]? quæ amicis problematice ab eo prolata sunt. Theodotio autem et Symmachus, hic quidem reddidit : *Quoniam dixit, Non periclitabitur vir, cum ipse bene Deo complacuerit;* ille vero : *Non salvabitur vir?* Theodotionis autem versio, per enuntiationem legenda est : Symmachi vero, morato loquendi genere, et per interrogationem.

« Διὸ, συνετοὶ καρδίας, ἀκούσατέ μου. Μὴ μοι εἴη ἐναντι Κυρίου ἀσεβῆσαι, καὶ ἐναντι Παντοκράτορος ταράξαι τὸ δίκαιον· ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν· καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν. »

D

VERS. 10, 11. « Quare intelligentes corde, audite me. Absit a me coram Domino impie agere, et coram Omnipotente turbare justitiam! sed reddat homini sicut facit unusquisque eorum; et in semita viri inveniet eum. »

Ἐπεὶ οὖν, φησὶν, οὐ περὶ τῶν τυχόντων ἡ σκέψις, μὴ παρέργως ἀκούσητε, ὦ φίλοι, ὅτι καὶ συνιέναι δύνασθε τὰ λεγόμενα· μὴ δὴ γένοιτό με εἰς ἀσεβεῖς ἐκπεσεῖν [n] λόγους, μηδὲ ἐπὶ παντοκράτορος Θεοῦ λαλοῦντα, φθέγξασθαί τι παρὰ τὸ δίκαιον· οἶδα γὰρ ὡς Θεὸς ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμων, ὡς εὑρίσκει τὸν καθένα πορευόμενον, οὕτως αὐτὸν κρι-

Quandoquidem, inquit, amici, non de rebus frivolis et nullius momenti tractaturi sumus, nolite perfunctorie audire; ea enim quæ dicuntur, intelligere potestis : absitque ut ego in impios sermones incidam, aut de Omnipotente verba faciens, aliquid injustum proferam! Deum enim, pro merito unicuique tribuentem, prout quemque ambulare de-

[69] Job XIX, 7. [70] Job XXI, 7. [71] Job XXIV, 1.

VARIÆ LECTIONES.

[n] Ισ. ἐμπεσεῖν.

Digitized by Google

prehenderit, ita illum judicaturum novi. Symmachus vero interpretatus : *Absit a Deo iniquitas, et a sufficiente injustitia;* hoc innuere vult : Absit ego dicam, quidquam a Deo sine deliberato judicio fieri! unicuique enim juxta viam suam eveniet, et in ipsa sceleris perpetratione eum coarguet.

A νεῖ. Σύμμαχος δὲ ἐκδοὺς, Ἄπειη τοῦ Θεοῦ ἀνομία, καὶ τοῦ ἱκανοῦ ἀδικία, τοῦτό φησι· Μὴ εἴποιμι, τὸν Θεὸν ἀκρίτως τι ποιεῖν, κατὰ γὰρ τὴν ὁδὸν αὐτοῦ ἑκάστῳ συμβήσεται, καὶ ἐπ' αὐτοφώρῳ ἐλέγξει αὐτόν.

Vers. 12, 13. « Putas autem Dominum absurda facturum? aut Omnipotens turbabit judicium, qui fecit terram? Quis autem est qui facit eam quæ sub cœlo, et quæ insunt omnia? »

« Οἴει δὲ τὸν Κύριον ἄτοπα ποιήσειν; ἢ ὁ Παντοκράτωρ ταράξει κρίσιν, ὃς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν, καὶ τὰ ἐνόντα πάντα; »

Dominus est Deus, et omnipotens, et rerum omnium opifex; ille enim cœlum, terram, et quæ intermedia sunt, condidit : non igitur grave aliquid, aut rationi minime consentaneum Dominus imperio suo subditis fecerit; neque qui imperium in omnes obtinet, juris confusionem admiserit; neque qui bonitate sua fabricam universi construxit, ne necessitate quidem coactus, opificium suum injuria aliqua affecerit : non enim aliena illi sunt ejus opera, ut injuriam nobis inferat, quia potius creaturis suis parcit.

Κύριός ἐστιν ὁ Θεὸς, καὶ παντοκράτωρ, καὶ πάντων τῶν ὄντων δημιουργός· αὐτὸς γὰρ ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ μεταξύ. Οὐκ ἂν οὖν, φησὶν, ὁ Δεσπότης ἄτοπόν τι πράξῃ περὶ τὸ ὑπήκοον· οὐδὲ ὁ κατὰ πάντων τὸ κράτος ἔχων, τοῦ δικαίου σύγχυσιν ἐργάσαιτο· οὐδὲ ὁ δι' ἀγαθότητα τὸ πᾶν συστησάμενος, ἀλλ' οὐχ ὑπό τινος ἀναγκασθεὶς, τὸ οἰκεῖον ἀδικήσοι δημιούργημα· μὴ γὰρ ἀλλότρια αὐτοῦ ἐστι τὰ ἔργα, ἵνα ἡμᾶς ἀδικήσῃ, φείδεται δὲ τῶν ἑαυτοῦ ᵒ.

Vers. 14, 15. « Nam si velit cohibere, et spiritum apud se detinere, peribit omnis caro simul, et omnis mortalis in terram abibit, unde et formatus est. »

« Εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδὸν, πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη. »

Si enim Deus, inquit, cohibere tantum voluerit spiritum, et vitam quam viventibus largitus est, omnes homines ad unum funditus delerentur, et in terram, e qua deprompti erant, resolverentur.

* Εἰ γὰρ μόνον, φησὶ, θέλοι ὁ Θεὸς ἀνασχεῖν τὴν πνοὴν, καὶ ζωὴν ἣν τοῖς ζῶσιν ἐχαρίσατο, πανωλεθρίᾳ πάντες ἄνθρωποι διαφθαρήσονται, καὶ εἰς γῆν, ἐξ ἧς ἐλήφθησαν, ἀναλυθήσονται.

Vers. 17, 18. « Sin autem non sis monitus, audi hæc, auribus percipe vocem verborum. Vide tu cum qui odit iniqua, et perdit malignos, esse æternum justum. »

« Εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα, ἐνωτίζου φωνὴν ῥημάτων. Ἴδε σὺ τὸν μισοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς, ὄντα αἰώνιον δίκαιον. »

Cæteri : *Si non intelligis, audi. Nunquid qui odit judicium, obligabit ad sanitatem?* Sensus autem hic est : Si hæc, inquit, animum tuum inflexerint, et ad saniorem mentem redieris, bene se habet : sin minus, ea quæ sequuntur audi; et quod Deus, justus semper exsistens, iniqua odio prosequatur, et improbos supplicio afficiat, animo tecum perpende. Tali autem syllogismo utitur : Si improbitatem odio habens supplicia infert, justus est, nec quidquam præter id quod justum est faciet · non enim judicium (sive justitiam) odio prosequens, vinculis aliquem, ut improbitas ejus sanari posset, constrinxisset, et coercuisset; sed improbos, liberos et sui juris reliquisset, neque morbis, terroribus, aut rebus similibus, impetum eorum ad majora scelera et progressum inhibuisset : nunc vero vitium præcidens, et vitii morbo laborantem sanans, judicium se non odisse, sed diligere ostendit.

* Οἱ λοιποὶ, *Εἰ μὴ συνιεῖς, ἄκουε. Ἆρα ὁ μισῶν κρίσιν, ἐπιδήσει εἰς ἴασιν;* Ὁ δὲ νοῦς οὗτος· Εἰ μὲν πείθει ᵖ σε ταῦτα, φησὶ, καὶ σωφρονέστερος γίνῃ, εὖ ἂν ἔχοι· εἰ δὲ μὴ, καὶ τῶν ἑφεξῆς ἄκουε· κατανόησον γὰρ, ὡς ἀεὶ δίκαιος ὢν ὁ Θεὸς, μισεῖ μὲν τὰ ἄνομα, τιμωρεῖται δὲ τοὺς πονηρούς. Συλλογισμῷ δὲ κέχρηται τοιῷδε· Εἰ κολάζει μισῶν πονηρίαν, δίκαιος ἄρα, καὶ οὐκ ἂν τι πράξῃ παρὰ τὸ δίκαιον· οὐ γὰρ ἂν μισῶν κρίσιν, εἴτουν δικαιοσύνην, ἐπεδέσμει τινὰ καὶ ἐπεῖχεν, ὥστε θεραπευθῆναι τὴν ἐκείνου κακίαν· ἀλλ' ἀνέτους ἂν τοὺς πονηροὺς κατελίμπανε, μὴ κωλύων αὐτῶν τὴν ἐπὶ τὸ πρόσω φοράν, νόσοις, ἢ φόβοις, ἢ τοιούτοις τισί· νῦν δὲ ἐπισκόπτων φαυλότητα, καὶ ἰώμενος τὸν κατὰ ταύτην νοσοῦντα, δείκνυσιν, ὅτι οὐ μισεῖ τὴν κρίσιν, ἀλλ' ἀγαπᾷ.

Vers. 18. « Impius est qui dicit regi : Injuste agis; impiissime, principibus. »

« Ἀσεβὴς ὁ λέγων βασιλεῖ, Παρανομεῖς, ἀσεβέστατε, τοῖς ἄρχουσιν. »

Si humana, inquit, ratiocinatione, qui regi dicit : Inique agis, tanquam impiissimus a principibus judicatur, eo quod dominationis jugum excutere, et rebellionis malum meditetur; qui Deo dicere au-

* Εἰ κατὰ ἀνθρωπίνην, φησὶν, ἀκολουθίαν, ὁ λέγων βασιλεῖ, Παρανομεῖς, ὡς ἀσεβέστατος κρίνεται παρὰ τῶν ἀρχόντων ᑫ, ἅτε τὰ ἐξ ἀναρχίας κακὰ μηχανώμενος· τί ἂν πάθοιεν οἱ πρὸς Θεὸν τολμῶντες εἰ-

VARIÆ LECTIONES.

ᵒ *Ισ.* add. μᾶλλον. ᵖ *Ισ.* πείθῃ. ᑫ *Ισ.* τοῖς ἄρχουσιν.

Digitized by Google

πεῖν, Παρανομεῖς. Εἰ γὰρ καὶ μὴ οἶδας, ἀλλ' ὀφείλεις πολλὰ παραχωρεῖν αὐτῷ, καὶ τῇ δόξῃ αὐτοῦ, ὥστε μὴ πάντα ζητεῖν μανθάνειν. Καλῶς δὲ εἶπεν, ὅτι παρὰ τοῖς ἄρχουσιν ἀσεβὴς κρίνεται, ὁ παρανομίαν ἐνειδίσας τῷ ἐπὶ γῆς βασιλεῖ· οὐ γὰρ πάντως καὶ παρὰ [a] τῷ Θεῷ;

A

« Ὃς οὐκ ἐπαισχυνθῇ πρόσωπον ἐντίμου [*οἱ δὲ λοιποὶ* ἀρχόντων], οὐδὲ οἶδε τιμὴν θέσθαι ἀδροῖς, θαυμασθῆναι πρόσωπα αὐτῶν. Κενὰ δὲ αὐτοῖς ἀποβήσεται τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός. »

Ἀσεβὴς δὲ, φησὶ, κρίνεται καὶ ὁ μὴ τιμήσας τὸν πλούσιον, μηδὲ καταπλαγεὶς τὴν προσοῦσαν αὐτῷ δυναστείαν· καίτοιγε οἱ ἐπικαλούμενοι τὴν ἐξ ἀνθρώπων βοήθειαν, καὶ πεποιθότες ἐπ' ἄρχουσι, μάταιοι, καὶ οὐδὲν ἐκεῖθεν ἐκέρδησαν.

B

« Ἐχρήσαντο γὰρ παρανόμως, ἐγκλειομένων ἀδυνάτων. »

Κακῶς, φησὶν, οὗτοι τῇ δυναστείᾳ ἐχρήσαντο, ὅτι πρὸς χάριν ἀνθρώπων παρεῖδον τὸ δίκαιον, καὶ τοὺς ἀδυνάτους καὶ πενιχροὺς ἐγκλεισθῆναι ἐποίησαν, τοῦ προσόντος αὐτοῖς δικαίου.

« Αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων· λέληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν, οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα. »

Οὐ δύνανται, φησὶ, κρυβῆναι ἀπὸ Θεοῦ, καὶ λαθεῖν αὐτὸν, ἢ μὴ ὀφθῆναι παρ' αὐτοῦ, οἱ δρῶντες τὰ ἄνομα. Σὺ δέ μοι παρατήρει, πῶς οὐδαμοῦ καθικνεῖται, καθάπερ ἐκεῖνοι, τοῦ Ἰὼβ, πῶς ἐπιτιμητικός ἐστιν, οὐχὶ κατηγορικός· καὶ οὐ λέγει αὐτῷ, ὅτι Ἥρπασας ὀρφανοὺς καὶ χήρας· ἀλλ', ὅτι Ὁ Θεὸς δίκαιός ἐστιν.

C

« Ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι. »

Ἔοικε τοῦτο λέγειν, ὅτι Νῦν μὲν ἐν ἡμῖν κεῖται τὸ καλὸν καὶ τὸ φαῦλον, ἐν δὲ τῷ μέλλοντι αἰῶνι οὐκ ἔτι· οὐ γάρ ἐστι τότε ἐργασίας καιρὸς, οὐδὲ θήσει ἔτι ὁ Θεὸς ἐπὶ ἄνθρωπον τὴν ἐκλογὴν τῶν πρακτέων. Οἱ δὲ οὕτω νοοῦσιν, ὅτι οὐκ ἐκ τοῦ καθένα ὄψεται τὸ δίκαιον. Κατὰ δὲ Σύμμαχον· *Οὐ γὰρ ἐπάνω* [b] *κεῖται ἔτι.* Ἐπειδὴ οὖν εἶπεν, ὅτι Οὐδὲν λανθάνει τὸ πανδερκὲς τοῦ Θεοῦ ὄμμα, ἐπήγαγεν εἰκότως, ὅτι οὐδὲν ἐπίκειται κάλυμμα ὥστε διατειχίζειν τὴν ὄψιν.

D

« Ὁ γὰρ Κύριος πάντας ἐφορᾷ, ὁ καταλαμβάνων ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ὁ γνωρίζων αὐτῶν τὰ ἔργα, καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσονται. »

Πανεπίσκοπος ὢν, φησὶν, ὁ Θεὸς, καταλαμβάνει μὲν τὰ πᾶσιν ἀκατάληπτα· ἐργάζεται δὲ τὰ παράδοξα, πάντα εἰδὼς τὰ παρὰ ἀνθρώποις πραττόμενα· διὰ τοῦτο καὶ τὸ φῶς τῶν ἀσεβῶν, εἴτουν

dent : Inique agis, quo supplicio digni sunt? Si enim tu ignores, illi, ejusque sententiæ ac judicio multa permittere debes, neque ut omnia intelligas, satagere te oportet. Recte autem dixit, quod qui terreno regi injustitiam exprobrat, impius a principibus judicetur; an non igitur omnino, qui Deo hoc facit?

Vers. 19, 20. « Qui non est veritus faciem honorati [*cæteri vero*, principum], neque novit honorem ponere potentibus, admirari facies eorum. Vana autem eis evadent clamasse et orare virum. »

Impius etiam, inquit, judicatur, qui diviti honorem non exhibuerit, et qui ejus dominationem non stupet; quanquam qui humanum auxilium imploraverunt, et in principibus fiduciam collocarunt, vani exstiterint, nec quidquam lucri inde reportaverint.

« Abusi sunt enim inique, inclusis infirmis. »

Hi, inquit, potestate sua abusi sunt, quia hominum gratiam aucupantes, justitiam despexerunt, et infirmos ac pauperes, cum æquitas causæ illis faveret, carcere includi fecerint.

Vers. 21, 22. « Ipse enim inspector est operum hominum : latuit autem eum nihil eorum quæ agunt, neque erit locus ut latitent qui faciunt iniqua. »

Non possunt, inquit, Deum latere, vel ab eo occultari et minime videri, qui scelera perpetrant. Tu autem observa, quemadmodum Elius nequaquam, ut illi, Jobum conviciis petat, et quemadmodum eum vituperet, non autem accuset : non enim ei dicit : Pupillorum et viduarum bona diripuisti; sed, Justus est Deus.

Vers. 23. « Quoniam non super virum ponet ultra. »

Hoc est quod videtur dicere : Nunc quidem bene vel male agere, in nostra potestate situm est; in futuro autem sæculo, non amplius. Tunc enim operandi tempus non est, neque rerum agendarum optionem Deus ultra super virum ponet. Quidam vero sic intelligunt, quod in singulis hominibus justitiam non sit visurus. Juxta Symmachum vero : *Non enim in homine situm est amplius.* Quoniam igitur dixerat : Nihil Dei oculum omnia videntem latet; merito subjunxit, quod velum nullum obductum sit, quo luminibus ejus obstruatur.

Vers. 24, 25. « Dominus enim omnes inspicit, qui comprehendit non vestigabilia, et gloriosa, et magnifica, quorum non est numerus : qui cognoscit eorum opera, et evertet noctem, et humiliabuntur. »

Cum Deus, inquit, cuncta cernat, comprehendit quidem quæ ab omnibus comprehendi nequeunt : omnia vero quæ ab hominibus geruntur certo cognoscens, admirabilia operatur; ac propterea lucem

VARIÆ LECTIONES.

[a] *Ισ.* del. παρά. [b] *Ισ.* ἐπ' ἀνθρώπῳ.

Digitized by Google

impiorum, sive splendorem illorum et prosperam fortunam, in noctem et mœrorem commutat, illosque humiliat.

VERS. 20. « Et exstinxit impios; conspicui autem coram eo. »

Iniquitatis, inquit, operarii, conspicui ei sunt: quare postquam exiguo tempore rebus prosperis claruerint, exstinguuntur. Contemplatur etenim Deus impios, non secundum visitationem ejus opitulatricem, sed ut supplicio eos afficiat; juxta illud quod in Psalmis est: *Vultus autem Domini super facientes mala, ut perdat* [72].

VERS. 27, 28. « Quoniam declinaverunt de lege Dei, et justificationes ejus non cognoverunt, ut perferatur ad eum clamor pauperum; et clamorem mendicorum exaudiet. »

Causas exponit, propter quas impii suppliciis afficiuntur, quod scilicet Dei mandata non cognoverint, neque exsecuti fuerint, sed a divina lege declinaverint. Clamorem autem pauperum ad Deum perferri dicit, quia injuriam passi clamorem edunt, et supernum auxilium sibi conciliant: ita ut ipsi qui injuriam inferunt, clamorem pauperis injuria affecti ad Deum perferant.

VERS. 29. « Et ipse quietem dabit, et quis condemnabit? »

Symmachus vero: *Ipso autem quietem dante, quis condemnabit?* Vel igitur hoc dicit: Si Deus causam eorum qui injuriam patiuntur, vindicare neglexerit, quis alius potentes et injustos condemnare poterit? vel, Si Deus de homine injusto supplicium sumere neglexerit, quis condemnare eum, aut tanquam injustum accusare audebit?

« Et abscondet faciem, et quis videbit eum? et contra gentem, et contra hominem simul. »

Hoc dicit, quia Deus invisibilis exsistens, judicia invisibilia exerceat. Rationibus autem et modis qui ipsi cogniti sunt, non tantum viritim, sed gentibus etiam universis supplicia irrogat.

VERS. 30. « Qui regnare facit hominem hypocritam propter perversitatem populi. »

Et hoc divinæ dispositionis et providentiæ est, ut propter populi improbitatem, quæ castigatione indiget, regem sæpenumero renuntiari sinat, qui externa specie bonus appareat; quemadmodum dixit: *Et dedi tibi regem in ira furoris mei* [73].

VERS. 31, 32. « Quoniam erga fortem qui dicit: Suscepi, non auferam loco pignoris, absque me videbo; tu ostende mihi. »

Quidam sic interpretati sunt: Quod non audeat quispiam fortiori dicere: Injuste mea abstulisti, non pignoris loco tanquam debita, et invito mihi eripuisti; jure et secundum rationem hoc a te factum ostende. Si autem potentiori nemo hæc dicere audeat, qua audacia, inquit, contra Deum tu

A τὴν λαμπρότητα καὶ εὐημερίαν, εἰς νύκτα καὶ κατήφειαν μεταβάλλει, καὶ ταπεινοῖ αὐτούς.

« Ἔσβεσε δὲ ἀσεβεῖς· ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ. »

Φανεροὶ, φησὶν, εἰσὶ παρ' αὐτῷ οἱ τῆς ἀνομίας ἐργάται· διὸ καὶ πρὸς μικρὸν ἐν εὐπραγίᾳ λάμψαντες, ἀποσβέννυνται. Ὁρᾷ μέντοι τοὺς ἀσεβεῖς ὁ Θεὸς, οὐ κατὰ τὴν ἀντιληπτικὴν ἐπισκοπὴν, ἀλλ' ὥστε αὐτοὺς τιμωρήσασθαι, κατὰ τὸ ψαλμικόν· *Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι.*

« Ὅτι ἐξέκλιναν ἐκ νόμου Θεοῦ, δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν, τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων· καὶ κραυγὴν πτωχῶν εἰσακούσεται. »

B Αἰτίας λέγει δι' ἃς οἱ ἀσεβεῖς κολάζονται, ὅτι διὰ τὸ μὴ ἐπιγνῶναι πρακτικῶς τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλ' ἐκκλῖναι ἀπὸ τοῦ θείου νόμου. Ἐπάγεσθαι δέ φησι τὴν τῶν πενήτων κραυγὴν εἰς Θεὸν, ὅτι περ ἀδικούμενοι βοῶσι, καὶ τὴν ἄνωθεν ἐπισπῶνται βοήθειαν· ὥστε αὐτοὶ οἱ ἀδικοῦντες ἐπάγουσιν εἰς Θεὸν τὴν τοῦ ἀδικουμένου πένητος κραυγήν.

« Καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται; »

Ὁ δὲ Σύμμαχος· *Αὐτοῦ δὲ ἠρεμίαν διδόντος, τίς κατακρινεῖ;* Ἤτοι δὲ τοῦτό φησιν, ὅτι Ἐὰν παρίδῃ Θεὸς τὴν τῶν ἀδικουμένων ἐκδίκησιν, τίς C ἄλλος δύναται κατακρῖναι τοὺς δυνατοὺς καὶ ἀδίκους; ἢ, ὅτι Ἐὰν ἀμελήσῃ Θεὸς περὶ τὴν τῶν ἀδίκων [t] τιμωρίαν, τίς τολμήσει καταψηφίσασθαι αὐτοῦ, ἢ κατηγορῆσαι ὡς ἀδίκου;

« Καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν; καὶ κατὰ ἔθνους, καὶ κατὰ ἀνθρώπου ὁμοῦ. »

Τοῦτο λέγει, ὅτι ἀόρατος ὢν ὁ Θεὸς, ἀοράτου; τὰς κρίσεις ἐκφέρει. Τιμωρεῖται δὲ οὐ μόνον κατὰ ἄνδρα, ἀλλὰ καὶ κατὰ ἔθνη, καθ' οὓς οἶδεν αὐτὸς λόγους.

« Βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ. »

Καὶ τοῦτο τῆς θείας οἰκονομίας, τὸ πολλάκις φαινόμενόν τινα τῷ σχήματι ἀγαθὸν συγχωρῆσαι βασιλέα ἀναγορευθῆναι, διὰ τὴν τοῦ λαοῦ μοχθηD ρίαν δεομένην παιδεύσεως, καθὼς εἶπε· *Καὶ ἔδωκα αὐτοῖς βασιλέα ἐν ὀργῇ τοῦ θυμοῦ μου.*

« Ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων· Εἴληφα, οὐκ ἐνεχυράσω, ἄνευ ἐμαυτοῦ ὄψομαι· σὺ δεῖξόν μοι. »

Τινὲς οὕτως ἡρμήνευσαν· Ὅτι μὴ τολμᾷ τις εἰπεῖν τῷ ἰσχυροτέρῳ, ὅτι Ἀδίκως εἵληφας τὰ ἐμὰ, οὐκ ἐνεχύρου χάριν, ὡς ἐποφειλόμενα, καὶ παρὰ γνώμην ἐμὴν εἵληφας· ἐπεὶ δεῖξον [u] ὅτι εὐλόγως τοῦτο διέδρακας. Εἰ δὲ τῷ δυνατῷ ταῦτα οὐδεὶς εἰπεῖν τολμᾷ, πῶς σὺ, φησὶ, τοιαῦτα θρασύνῃ κατὰ Θεοῦ;

[72] Psal. xxxiii, 17. [73] Osee xiii, 11.

VARIÆ LECTIONES.

[t] *Ισ.* τοῦ ἀδίκου. [u] *Ισ.* ἐπίδειξον.

Digitized by Google

Ὁ δὲ Σύμμαχος οὕτως ἐκδέδωκεν, *Ὅτι πρὸς Θεὸν ῥῆσιν ἀνέλαβον, οὐκ ἔξω ἀκωλύτως· σὺ διασάφησόν μοι.* Ὃ δὲ ἐνόησεν οὗτος, ἴσως τοῦτό ἐστιν· Ἐπειδὴ τὴν ὑπὲρ Θεοῦ ῥῆσιν ἀνέλαβον, φησὶν ὁ Ἐλιούς, οὐκ ἐπέχω, ἀλλ' ἀκωλύτως ἐπεξέρχομαι τῷ λόγῳ· εἰ δὲ μὴ καλῶς λέγω, σὺ δεῖξον τοῦτο, καὶ τὸν λόγον ἔλεγξον. Οἶμαι δὲ μᾶλλον οὕτω νοεῖσθαι τὸ κείμενον, ὅτι Οὐκ ἐπειδὴ τὸ ὑπὲρ Θεοῦ λέγειν εἰλόμην, παρὰ τοῦτο δεῖ σε καὶ συνομολογεῖν ἁπλῶς, οἷα δὴ χρέος ἀπαιτῶ [v], ἀλλὰ καὶ χωρὶς τοῦ ἐμοῦ λόγου ἰδεῖν ἐθέλω [x], εἴ τι καὶ ἀντειπεῖν ἔχοις· ἐγὼ μὲν οὖν ἡσυχίαν παρέξομαι, σὺ δὲ ἐπιλαμβάνου τῶν λόγων, εἰ δύνασαι, καὶ εἴ τι ἐσφάλην, δίδαξον.

A hæc dicere præsumis? Symmachus vero sic reddidit: *Quoniam erga Deum locutionem assumpsi, non habebo sine impedimento; tu mihi manifesta.* Mens autem ejus talis fortasse est: Quandoquidem, inquit Elius, pro Deo verba facere cœpi, non me reprimo, sed sermonem pertexere sine impedimento pergo: si autem minus recte dixero, tu hoc ostende, et sermonem meum vitupera. Sic autem potius verba contextus intelligenda puto, Quod non propterea, quia Dei causam verbis defendere susceperim, te simpliciter iis, tanquam debitum exigenti, assentiri oporteat, sed tanquam scire desideranti, si quid sit, præter ea quæ a me dicta sunt, quod contra opponas: ego quidem igitur silentium agam, tu vero sermonem aggredere, si potes; et si quid a me erratum sit, doce.

B

« Εἰ ἀδικίαν εἰργασάμην, οὐ μὴ προσθήσω. »

Ὅ δεῖξον, φησὶν, ὦ Ἰώβ, ὅτι ἀδίκως λαλῶ ταῦτα, καὶ παύομαι [y].

« Μὴ ἀπὸ σοῦ ἀποτίσει αὐτὴν, ὅτι σὺ ἀπώσῃ, ὅτι σὺ ἐκλέξῃ, καὶ οὐκ ἐγώ; καὶ τί ἔγνως, λάλησον. »

Ὅ Μὴ τῶν ἐμῶν, φησὶ, λόγων τὰς δίκας σὺ μέλλεις ἀποτίσαι; Οὐκοῦν μὴ ἀπώσῃ, ἀλλὰ διέλεγξον τὰ εἰρημένα· σὸν γάρ ἐστιν ἐκλέξασθαι, καὶ διακρῖναι πότερον καλῶς ἢ κακῶς ἐλάλησα, οὐκ ἐμοῦ τοῦ εἰρηκότος· εἰ πλέον οὖν τι γινώσκεις, ἀπόκριναι.

« I injustitiam operatus sum, non adjiciam. »

Ostende, inquit, me contra fas et æquum hæc loqui, et finem faciam.

VERS. 32. « Nunquid a te reddet eam, quia tu expelles, quoniam tu eliges, et non ego? et quid nosti, loquere. »

Nunquid, inquit, pœnæ quæ meis sermonibus debentur, tibi persolvendæ sunt? Ne igitur repellas, sed quæ dicta sunt redargue; tuum enim est eligere, et dijudicare, utrum bene an secus dixerim, non autem meum, qui dixi: si quid amplius igitur nosti, responde.

« Διὸ συνετοὶ καρδίας ἐροῦσι ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα. »

Ὡς τοῦ Ἰὼβ σιωπήσαντος, κυροῖ τοὺς ἑαυτοῦ λόγους ὁ Ἐλιούς, καὶ φησιν, ὅτι Ταῦτα ἅπερ εἶπον πρὸς σὲ, καὶ ἄλλοι συνετοὶ λέξουσί σοι· καὶ εἴ τις ἀνὴρ συνετὸς τῶν ἐμῶν ἀκούει λόγων, καὶ τούτοις συντίθεται.

C

VERS. 34. « Quare intelligentes corde dicent hæc, et vir sapiens audivit verbum meum. »

Elius sermones suos confirmat, tanquam Jobo silentium agente, dicitque: Hæc quæ ego tibi dixi, alii prudentes viri dicturi sunt; et si quis vir sapientia præditus verba mea audierit, assensum iis præbebit.

« Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησε, τὰ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ. »

VERS. 35. « Job autem non in intellectu locutus est, verba ejus non in scientia. »

Ὅ Ἐγὼ μὲν οὖν, φησὶν, ἐμφρόνως ἐλάλησα· σὺ δὲ, ὦ Ἰὼβ, ὁ διαβόητος ἐν φρονήσει, οὐκ ἐπιστημόνως λελάληκας, πρὸς Θεὸν κρίνεσθαι βουληθείς. Τοῦτο δὲ ῥῆμα καὶ συγγνώμης ἐστίν· αἰτιᾶται γὰρ αὐτὸν οὐ δι' ἔργα, ἀλλὰ διὰ λόγους, ὥσπερ οὖν κἀκεῖνοι· *Μέχρι πότε πνεῦμα πολυρρήμον τοῦ στόματός σου;*

D

Ego quidem, inquit, prudenter sum locutus; tu autem, o Jobe, qui propter prudentiam celebris es, cum Deo judicio contendere volens, haud perite et scienter locutus es. Hoc autem tacite veniam implicat; non enim propter facta, sed propter sermones eum culpat et accusat; quemadmodum et illi, dicentes: *Quousque spiritus multiloquus oris tui*[74]?

VERS. 36, 37. « Verumtamen disce, Job, ne dederis ultra responsionem, sicut insipientes, ut ne adjiciamus super peccata nostra. »

Cum hæc autem, inquit, ita se habeant, consilium meum amplectere, neque amplius, tanquam insipiens aliquis, eisdem verbis utere, ne delicta priora posterioribus augeamus; ego enim in his vereri soleo, ne nudorum etiam verborum justo judici reddenda nobis sit ratio. Gratam autem et acceptam

[74] Job VIII, 2

VARIÆ LECTIONES.

[v] *Isc.* ἀπαιτοῦντι. [x] *Isc.* ἐθέλοντι. [y] *Isc.* παύσομαι. [z] *gr.* ψυχικῶν.

Digitized by Google

adhortationem introducens, plurali voce utitur, et utrumque communiter sermone complectitur.

« Et iniquitas super nos computabitur, multa loquentibus verba contra Dominum. »

Non dixit, *scelerata*, neque *impia*, sed absolute, *multa*; ostendens, quod ne multis quidem Deo respondere oporteat : si enim coram rege multa loqui nemo audeat, multo magis coram Deo hoc observandum est : quandoquidem multa loqui peccatum apud Deum reputatur, juxta illud quod scriptum est : *In multiloquio non fugies peccatum* [75].

CAP. XXXV.

Protheoria.

Cum Elius supra de disciplina Dei disseruisset, sermonem nunc de patientia et longanimitate movet, Jobum vituperans in eo quod dixerit : *Si ego peccavi, quid tibi facere possum* [76] ? et quod cum Deo in judicium descendere voluerit.

Vers. 1, 2. « Respondens autem Elius, ait : Quare hoc existimasti in judicio ? »

Vel hoc dicit : Quid est quod de Dei judiciis mente concepisti ? an scilicet, quod comprehendere ea valeas ? vel, Quid tibi in mentem venit, ut in judicium cum Deo descendere volueris ?

« Tu quis es quia dixisti : Justus sum ante conspectum Domini ? »

Quomodo, inquit, comparatione cum Deo facta, teipsum justum pronuntiare ausus es ? Quod enim justus Jobus fuerit, verum est ; quod vero cum additione, respectu Dei, justus fuerit, falsum est : omnem enim humanam justitiam, si cum Deo comparetur, justitiam non esse, didicimus : *Non enim justificabitur in conspectu tuo omnis vivens* [77]. Arrogantiæ igitur majoris et superbiæ argumentum est, si quis se coram Deo justum arbitretur.

« Aut dices : Quid faciam cum peccavero ? »

Sed neque illud dicere te oportet : *Quid faciam cum peccavero ?* Quid enim faciendum sit, nosti ; quod a peccato scilicet abstinendum, et Deus invocandus sit. Elius quidem suo sensu recte consulebat ; Jobus vero animo meliore, et magis pie dicebat : *Si autem peccavi, quid tibi facere possum ?* id est, Nihil ejusmodi præstare possum, quod peccatum delere valeat, nisi tua benignitate me dignatus fueris. Alii vero hæc verba sic intellexerunt : Si justitiam exercens punior, quid, si peccassem, pati me oportuit ? Symmachus quidem pro illo : *Aut dices : Quid faciam cum peccavero ?* reddidit : *Dixisti enim, Quia nihil proderit tibi.*

Vers. 4. « Ego tibi dabo responsionem, et istis tribus amicis tuis. »

Tanquam Jobus imprudenter locutus fuisset, nec amici tres responsum adhuc invenissent, ipse omnibus eorum rationibus meliores se allaturum pollicetur. Merito autem eum amicis associat, quia succumbendo et assensum præbendo pares essent, illique unione quadam conjungerentur.

[75] Prov. x, 20. [76] Job vii, 20. [77] Psal. cxlii, 2.

A τῆς φωνῆς κοινοποιεῖ τὸν λόγον, εὐπαράδεκτον εἰσάγων τὴν παραίνεσιν.

« Ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα ἐναντίον τοῦ Κυρίου. »

* Οὐκ εἶπε, *παράνομα*, οὐδὲ, *ἀσεβῆ*, ἀλλ' ἁπλούστως, *πολλά* · δεικνὺς, ὅτι οὐδὲ πολλὰ ἀντιφθέγγεσθαι χρὴ τῷ Θεῷ· εἰ γὰρ ἐπὶ βασιλέως οὐκ ἄν τις τολμήσειε πολλὰ φθέγγεσθαι, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ· καὶ αὐτὸ μέντοι τὸ πολλὰ λαλεῖν ἁμαρτία παρὰ τῷ Θεῷ λελόγισται, κατὰ τὸ γεγραμμένον· *Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν.*

ΚΕΦΑΛ. ΛΕ'.

Προθεωρία.

Προδιεξελθὼν ὁ Ἐλιοὺς περὶ παιδείας Θεοῦ, νῦν τὸν περὶ μακροθυμίας κινεῖ λόγον, μεμφόμενος τῷ Ἰὼβ ἐφ' οἷς ἔλεγεν· *Εἰ ἐγὼ ἥμαρτον, τί σοι δύναμαι ποιῆσαι ;* καὶ ἐφ' οἷς ἠθέλησε κριθῆναι πρὸς Θεόν.

« Ὑπολαβὼν δὲ Ἐλιοὺς, λέγει· Τί τοῦτο ἡγήσω ἐν κρίσει ; »

Ἢ τοῦτο λέγει· Τί ἐλογίσω περὶ τῶν κριμάτων τοῦ Θεοῦ ; ἆρα ὅτι δύνασαι ταῦτα καταλαβεῖν ; ἢ, ὅτι Τί ἐλογίσω, πρὸς Θεὸν θέλων κριθῆναι ;

« Σὺ τίς εἶ ὅτι εἶπας, Δίκαιός εἰμι ἐναντι Κυρίου ; »

* Πῶς, φησὶν, ἐτόλμησας ἑαυτὸν δίκαιον ἀποφῆναι ὡς πρὸς Θεόν ; Τὸ μὲν γὰρ, δίκαιον εἶναι τὸν Ἰὼβ, ἀληθές· τὸ δὲ μετὰ προσθήκης, δίκαιον εἶναι ἐναντι Κυρίου, ψεῦδος. Ἐμάθομεν γὰρ ὅτι ὡς πρὸς Θεὸν πᾶσα δικαιοσύνη ἀνθρώπων οὐκ ἔστι δικαιοσύνη· *Οὐ δικαιωθήσεται γὰρ κατενώπιόν σου πᾶς ζῶν.* Πλείονα οὖν ὑπερηφάνειαν ἐμφαίνει, τὸ, ἐναντι Κυρίου οἴεσθαι εἶναι δίκαιον.

« Ἢ ἐρεῖς· Τί ποιήσω ἁμαρτών ; »

* Ἀλλ' οὐδὲ ὤφειλες, φησὶν, εἰπεῖν· *Τί ποιήσω ἁμαρτών ;* οἶδας γὰρ ὃ ποιεῖν ἔδει, ἀπέχεσθαι τῆς ἁμαρτίας, καὶ ἱκετεύειν Θεόν. Ὁ μὲν οὖν Ἐλιοὺς πρὸς τὴν ἑαυτοῦ διάνοιαν καλῶς συνεβούλευε· ὁ δὲ Ἰὼβ κρείττονι διανοίᾳ καὶ εὐλαβέστερον ἔλεγεν· *Εἰ δὲ καὶ ἥμαρτον, τί σοι δύναμαι ποιῆσαι ;* ἀντὶ τοῦ, Οὐδὲν τοσοῦτον δύναμαι ποιῆσαι ὥστε ἐξαλεῖψαι τὴν ἁμαρτίαν, εἰ μὴ τῆς σῆς τύχω φιλανθρωπίας. Ἄλλοι δὲ οὕτως ἐνόησαν τὸ ῥητόν· Εἰ δικαιοπραγήσας κολάζομαι, τί ἂν ἔπαθον ἁμαρτών ; Ὁ μέντοι Σύμμαχος ἀντὶ τοῦ, *Ἢ ἐρεῖς, Τί ποιήσω ἁμαρτών ;* ἐξέδωκεν· *Εἶπας γὰρ, ὅτι οὐδὲν συμβαλεῖταί σοι.*

« Ἐγώ σοι δώσω ἀπόκρισιν, καὶ τοῖς τρισὶ φίλοις σου. »

Ὡς καὶ τοῦ Ἰὼβ οὐκ ἐν συνέσει λαλήσαντος, καὶ τῶν τριῶν φίλων μὴ εὑρόντων ἔτι ἀπόκρισιν, αὐτὸς ὑπισχνεῖται κρείττονας ἁπάντων προφέρειν λόγους. Δικαίως δὲ αὐτὸν τοῖς φίλοις συνάπτει, ὡς ἐνωθεῖσιν αὐτῷ διὰ τοῦ ἡττηθῆναι καὶ συνθέσθαι.

Digitized by Google

« Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἴδε· κατάμαθε δὲ νέφη, ὡς ὑψηλὰ ἀπὸ σοῦ. » A

Τουτέστιν, εἰ καὶ μὴ ἀπὸ λογισμῶν, ἀλλὰ ἀπὸ τῶν ὁρωμένων μάθε πόσον σου ἀπέχει Θεὸς, καὶ πόσον σού ἐστιν ὑψηλότερος· ἐννόησον πρὸς τίνα διαλογήσασθαι ἐπεχείρησας, πόσον ὄντα ὑπὲρ σέ. Ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν, οὐχ ὁ τοὺς σωματικοὺς ὀφθαλμοὺς ἐπάρας, καὶ ἰδὼν τὸν οὐρανόν· τοῦτο γὰρ τὸ ἀναβλέπειν ἔχουσι καὶ οἱ κύνες, καὶ οἱ ὄνοι· οὐδεὶς φιλόκοσμος ἀναβλέπει εἰς τὸν οὐρανὸν, ἀλλ' ὁ μὴ ἀγαπῶν τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ. Πάλιν δὲ, οὐχ οὕτω ταῦτα τὰ νέφη ὑψηλὰ ἀφ' ἡμῶν ἐστιν, ὡς ἐὰν ἴδω τὸν Μωϋσέως βίον, καὶ τὴν ἐκείνου πρὸς Θεὸν ἀρέσκειαν, καὶ τὴν ἐμαυτοῦ σμικρότητα καὶ ταπεινότητα, οὕτω βλέπω τοῦτο τὸ νέφος ὑψηλὸν ἀπ' ἐμοῦ· ἐὰν ἔλθω ἐπὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ, ἐπὶ τοὺς βίους τῶν προφητῶν, ἐὰν ἐξετάζω αὐτῶν τὰς πράξεις, τότε ποιῶ τὸ γεγραμμένον, καὶ καταμανθάνω πόσον ἐπὶ τὰ νέφη ὑψηλὰ ἀπ' ἐμοῦ. B

« Εἰ ἥμαρτες, τί πράξεις; εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι; Ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ, ἢ τί ἐκ χειρός σου λήψεται; Ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου. »

Ὀλυμπιοδώρου καὶ Ὠριγένους. Τουτέστιν, Οὐδὲν αὐτὸν ἀδικήσεις ἁμαρτάνων, ἀλλ' οὐδὲ ὠφελήσεις δίκαιος ὤν· ποῖον ἐντεῦθεν αὐτῷ βλάβος ἢ κέρδος, κἂν ἥμαρτές που, κἂν δίκαιος ᾖς; Ἄνθρωπον μὲν γάρ τις τὸν ὁμοφυῆ καὶ ἀδικῆσαι, καὶ εὐεργετῆσαι δύναται, τούτων δὲ οὐδέτερον περὶ Θεὸν οἷόν τε γενέσθαι· μὴ τοίνυν ἐπαίρου ἐπὶ τῇ σαυτοῦ δικαιοσύνῃ. Ἐπειδὴ γὰρ ἔλεγεν, *Εἰ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι;* Διατί, φησὶ, τοῦτο εἶπας; Μὴ γὰρ ὡς ἀδικούμενος φροντίζει σου ἁμαρτόντος, μὴ γὰρ ὡς βλάβην ὑπομένων; Ἆρα οὖν, φησὶν, οἴδας, εἰ ἥμαρτες, τί πράξεις ἐπὶ τῷ λύσαι τὸ ἡμαρτημένον; Εἰ ἥμαρτες λόγοις, λόγοις κρείττοσιν ἴασαι· εἰ ἥμαρτες ἐν ἔργοις, ἐν ἔργοις διαφέρουσιν αὐτὸς ἑαυτὸν ἰώμενος· εἰ δὲ πολλαὶ καὶ ἀνίατοι αἱ ἀνομίαι, διὰ τοῦτο ἐπὶ τοῖς ἀνιάτοις, οἷς ἑαυτοὺς ἰάσασθαι οὐ δυνάμεθα, ἦλθεν Ἰησοῦς Χριστὸς ἐξ οὐρανῶν, ἵνα τὰ ἀνίατα ἰάσηται, καὶ γένηται τό· *Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.* C

« Ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος πολλῶν. Καὶ οὐκ εἶπε· Ποῦ ἐστιν ὁ Θεὸς, ὁ ποιήσας με, ὁ κατατάσσων φυλακὰς νυκτερινάς; »

Συκοφαντούμενοι μὲν, φησὶν, οἱ ἄνθρωποι, ἀπὸ τοῦ πλήθους τῶν συκοφαντιῶν ὧν πάσχουσι, βοῶσι πρὸς Θεὸν, διὰ τὴν βίαν τὴν ἀπὸ τοῦ βραχίονος καὶ τῆς δυναστείας τῶν ἀδίκων, τῶν μὴ λογιζομένων, ὅτι ὁ Θεὸς καὶ αὐτῶν ἐστι ποιητὴς, ὃς ἔταξε καὶ νυκτὶ μέτρα· διήρηται γὰρ εἰς τέσσαρας φυλακάς. D

« Κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αὐτὸν αἰνέσαι, ὡς ἔστι καὶ νῦν. »

VERS. 5. « Aspice in cœlum, et vide; respice autem in nubes, quam altæ sint a te. »

Id est, Quanto intervallo Deus a te disjungatur, quantoque te sublimior sit, si non ex argumentis et rationibus, saltem ex iis quæ oculis cernuntur, disce, et cum quonam et quam excelso in judicium descendere conatus fueris, perpende. In cœlum autem suspicit, non qui oculos corporeos attollit, et cœlum intuetur; hac enim ratione canes et asini suspiciunt : nemo qui mundum diligit, in cœlum suspicit, sed qui nec mundum, nec ea quæ in mundo sunt, amat. Rursus, nubes non adeo sublimes sunt et a nobis remotæ, quin si Moysis vitam et conversationem qua Deo placuit, meamque tenuitatem et humilitatem contemplatus fuero, nubem hanc sublimiorem et remotiorem a me visurus sim : si ad Jesum filium Nave, et ad prophetarum vitas devenero, illorumque res gestas diligenter examinavero, quod scriptum est tunc adimplebo, et nubes quanto me sublimiores sint, addiscam.

VERS. 6-8. « Si peccasti, quid ages? Quod si et multa inique egisti, quid potes facere? Quoniam igitur justus es, quid dabis ei, aut quid de manu tua accipiet? Viro simili tui impietas tua, et filio hominis justitia tua. »

Olympiodori et *Origenis.* Id est, Neque peccando injuria eum afficeris, neque justitiam exercendo ipsi proderis : sive enim peccator, sive justus exstiteris, quod damnum vel lucrum inde reportabit? Hominem enim, ejusdem naturæ participem, injuria lædere, vel beneficio afficere quis potest, horum autem neutrum in Deum cadit : ne igitur justitia tua te inflet. Quoniam enim Jobus dixerat : *Si peccavi, quid tibi possum facere* [18]? Cur tibi hoc excidit? inquit Elius. Num tanquam injuriam passus, aut damno affectus, Deus peccantem te respicit? An nosti, inquit, si peccaveris, quid tibi faciendum sit ut peccatum diluatur? si verbis deliquisti, verbis sanioribus, et si operibus offendisti, factis egregiis teipsum curans, tibi medere : si vero iniquitates multæ et incurabiles fuerint, propter delicta immedicabilia, quæ ipsi curare non possumus, de cœlis descendit Jesus Christus ut insanabilia sanarentur, illudque effectum sortiretur : *Beati quorum remissæ sunt iniquitates* [19].

VERS. 9, 10. « A multitudine calumniis appetiti vociferabuntur, clamabunt a brachio multorum. Et non dixit : Ubi est Deus qui fecit me, qui distribuit custodias nocturnas? »

Homines, inquit, qui calumniis onerantur, propter violentiam quæ a brachio et injustorum potentia proficiscitur, qui Deum ipsorum creatorem non censent, calumniarum multitudine oppressi, ad Deum clamorem tollunt, qui nocti terminos et mensuras constituit; in quatuor enim vigilias distributa est.

VERS. 14. « Judicare autem coram eo, si potes collaudare eum, sicuti est et nunc. »

[18] Job VII, 20. [19] Psal. XXXI, 1.

Digitized by Google

Olymp. et *Chrysost.* Dei, inquit, excellentiam animo tecum reputa, an laudum ejus præconium intellectus tuus capere possit. Quid igitur est quod cum tanto ac tali in judicium descendere volueris, cum pro dignitate laudes ejus celebrare non possis? neque hoc quidem pro suppliciis quæ nunc pateris. Si enim, judicibus constitutis, pro tribunali ageret, et causæ suæ firmamenta in medium proponeret, non laudibus eum efferre, non meritis honoribus, pro iis quæ nunc tibi evenerunt, cum injuria et supplicio te affectum esse existimas, prosequi valeres; Deum enim pro dignitate non posse laudare, magnum non est : in iis autem quæ nobis contingunt, non posse illum qui cum eo judicio contendere voluerit, dignis laudibus eum celebrare, magnum est.

A

Vers. 15. « Quia non est visitans iram suam, neque cognovit delictum aliquod vehementer. »

B

Vel hoc inquit : Quod idcirco Deus judicio nobiscum contendens, pro meritis laudari non possit, quia iram suam non perpendit, ut peccatis nostris eam emetiatur, neque singulas iniquitates nostras accurate observat. Vel de Jobo dicit, quod neque divinæ iræ magnitudinem, neque delictorum nostrorum multitudinem animo secum reputaret : si enim hæc intelligeret, Deum pariter cognosceret non omnem suam iram in nos peccatores effundere.

Vers. 16. « Et Job vane aperit os suum, in ignorantia verba aggravat. »

Symmachus vero : *Sicut stultus, sermones graves facit.* Jobus, inquit, Dei majestatem, et longanimitatem, ac judicia incomprehensibilia nequaquam animadvertens, nec quod pro merito Deum laudibus celebrare homo non possit, nedum in judicium cum eo descendere, acerba et indecora verba profert.

C

CAP. XXXVI.

Protheoria.

De justitia Dei, quæ unicuique pro merito suo rependit, et de potestate eximia, ac prudentia incomprehensibili, Elius hoc loco disserit. Ex iis autem quæ in aere generantur, procellis et tonitruis, ex feris etiam animalibus et jumentis, orationi suæ fidem conciliat, quemadmodum scilicet quædam ex iis diurno tempore operibus vacent, noctu vero quietem capiant; alia vero, ne homines infestent, diem in quo quiescant sortita sint, noctu autem victum quæritantia, huc illuc palabunda oberrent : quod aquis etiam interdum ad hominum disciplinam et correctionem, interdum beneficii loco utatur Deus; quod ex tenebris lucem, rursusque ex lucis recessu noctem efficiat; et quod sapientia ejus incomprehensibilis sit. De qua cum magnifice verba fecisset, ne Justus quidquam amplius regereret, sed silentio incomprehensibilibus Dei judiciis cederet; Deum timendum esse, orationis suæ clausulam facit. Cum igitur Elius de divina sapientia et magnificentia admirabiliter, et præcipue sub finem, disseruisset, Jobus quidem nihil contra locutus est,

D

Ὀλυμπιοδώρου καὶ Χρυσοστόμου. Ἀναλόγισαι, φησὶ, τοῦ Θεοῦ τὴν ἀξίαν, εἰ χωρήσοι τὸν ὕμνον ὁ λογισμός. Τί οὖν πρὸς τοσοῦτον καὶ τηλικοῦτον ἐθέλεις κριθῆναι, ὅπουγε μηδὲ πρὸς ἀξίαν αὐτὸν ὑμνολογῆσαι οἷός τε εἶ; καὶ ταῦτα, ἐφ' οἷς νῦν σε τιμωρεῖται. Εἰ γὰρ δικαστήριον, φησὶν, ἐκάθισε, καὶ τὰ δικαιώματα προέθηκεν, οὐκ ἂν αὐτὸν ἐπῆνεσας, οὐκ ἂν αὐτὸν ἐδόξασας κατ' ἀξίαν ἐπὶ τοῖς εἰς σὲ γεγενημένοις νῦν, ὅτε νομίζεις ἀδικεῖσθαι καὶ κολάζεσθαι· τὸ μὲν γὰρ μὴ δύνασθαι κατ' ἀξίαν τὸν Θεὸν ὑμνεῖν, οὐδὲν μέγα· τὸ δὲ μέλλοντα κρίνεσθαι πρὸς αὐτὸν, ἐν τοῖς πρὸς ἡμᾶς, μὴ δύνασθαι κατ' ἀξίαν αὐτὸν ὑμνεῖν, τοῦτο μέγα.

« Ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ, καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα. »

Ἤτοι τοῦτό φησιν· Ὅτι διὰ τοῦτο καὶ κρινόμενος πρὸς ἡμᾶς ὁ Θεὸς οὐ δύναται κατ' ἀξίαν ὑμνηθῆναι, ὅτι οὐκ ἐπισκέπτεται τὴν ἑαυτοῦ ὀργὴν, ὥστε μετρῆσαι ταύτην πρὸς τὰ ἡμέτερα πλημμελήματα, οὐδὲ σφόδρα παρατηρεῖται τὰς ἀνομίας ἡμῶν. Ἢ περὶ τοῦ Ἰὼβ λέγει, ὅτι οὐκ ἔστιν ἐπιλογιζόμενος τὸ μέγεθος τῆς θείας ὀργῆς, οὐδὲ τὸ πλῆθος τῶν ἡμετέρων παραπτωμάτων· εἰ γὰρ ἔγνω ταῦτα, ἔγνω ἂν ὅτι οὐ πᾶσαν ἑαυτοῦ τὴν ὀργὴν ἐχχέει Θεὸς εἰς ἡμᾶς ἁμαρτάνοντας.

« Καὶ Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει. »

Ὁ δὲ Σύμμαχος· *Ὡς ἀνόητος, λόγους βαρεῖς ἐποιήσατο.* Μὴ κατανοῶν, φησὶν, ὁ Ἰὼβ τὴν τοῦ Θεοῦ μεγαλειότητα, καὶ τὴν μακροθυμίαν, καὶ τὰ ἀκατάληπτα αὐτοῦ κρίματα, καὶ ὅτι ἄνθρωπος οὐδὲ πρὸς ἀξίαν αἰνέσαι τὸν Θεὸν δύναται, μήτοιγε γὰρ κριθῆναι πρὸς αὐτὸν, βαρέα καὶ ἀπρεπῆ φθέγγεται ῥήματα.

ΚΕΦΑΛ. ΛϚ'.

Προθεωρία.

Ἐνταῦθα περὶ δικαιοσύνης Θεοῦ διδάσκει ὁ Ἐλιοὺς, τὸ κατ' ἀξίαν ἑκάστῳ ἀπονεμούσης, καὶ περὶ δυνάμεως μεγαλοπρεποῦς, καὶ σοφίας ἀκαταλήπτου. Συνίστησι δὲ τὸν λόγον ἐκ τῶν περὶ τὸν ἀέρα γινομένων χειμώνων τε καὶ βροντῶν, καὶ τῶν θηρίων καὶ κτηνῶν· πῶς τὰ μὲν μεθ' ἡμέραν ἐργάζεται, τὴν δὲ νύκτα εἰς ἀνάπαυσιν ἔχει, τὰ δὲ τὴν μὲν ἡμέραν εἰς τὸ ἡσυχάζειν ἀπεκληρώσαντο, ἵνα μὴ τοῖς ἀνθρώποις ἐπιτρέχωσι, τὴν δὲ νύκτα περινοστοῦντα ζητοῦσι τροφήν· καὶ ὅτι τοῖς ὕδασιν ὁ Θεὸς ποτὲ μὲν εἰς ἀνθρώπων παιδείαν, ποτὲ δὲ εἰς εὐεργεσίαν χρῆται· καὶ ὅτι ἐκ μὲν σκότους φῶς, ἐκ δὲ τῆς τοῦ φωτὸς ἀναχωρήσεως νύκτα ἐργάζεται· καὶ ὅτι ἀκατάληπτός ἐστιν ἡ τοῦ Θεοῦ σοφία. Μεγαλοπρεπῶς δὲ περὶ ταύτης διεξελθών, συμπεραίνει τὸν λόγον εἰς τὸ δεῖν φοβεῖσθαι τὸν Θεὸν, ἵνα μηκέτι μηδὲν ἀντείπῃ ὁ δίκαιος, ἀλλὰ τῇ σιωπῇ παραχωρήσῃ τοῖς ἀκαταλήπτοις τοῦ Θεοῦ κρίμασι. Θαυμασίως οὖν τοῦ Ἐλιοὺς, μάλιστα πρὸς τῷ τέλει, περὶ τῆς τοῦ Θεοῦ σοφίας τε καὶ μεγαλοπρεπείας ἐξηγησαμένου, ὁ μὲν Ἰὼβ οὐδὲν ἀντεῖπε· σύμψηφος δὲ ὁ Θεὸς τοῖς τοιούτοις αὐτοῦ γέγονε λό-

Digitized by Google

γοις, ὡς ἐφεξῆς ἐστιν ἐκ τῆς θείας ῥήσεως κατσμαθεῖν.

« Προσθεὶς δὲ ἔτι Ἐλιοὺς, λέγει· Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε, ἔτι γὰρ ἐν ἐμοί ἐστι λέξις, ἀναλαβὼν τὴν ἐπιστήμην μου μακράν. »

Ἐπειδήπερ ἔτι περὶ Θεοῦ λέγειν ἔχω, καὶ βούλομαι, μακρότερον ἀναλαβὼν τὸν λόγον, μετ' ἐπιστήμης καὶ γνώσεως διεξελθεῖν, ἔκδεξαι μαθεῖν καὶ τὰ νῦν ὑπ' ἐμοῦ ῥηθησόμενα.

« Ἔργοις δέ μου δίκαια ἐρῶ ἐπ' ἀληθείας, καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς. »

* Τὴν δικαιολογίαν μου, φησὶν, ἣν νῦν ἐρῶ, τοῖς τοῦ Θεοῦ ἔργοις πιστοῦμαι, δεικνὺς ὡς ἃ γινώσκω, μετὰ ἀληθείας συνίημι, καὶ οὐκ ἄδικόν τι νοήσας, ἄδικον φθέγγομαι. Τουτέστι, Τὰ ἐπὶ τῶν ἔργων αὐτῶν ἐκβαίνοντα, δίκαια λέγω· οὐχὶ ῥήματα ταῦτά ἐστι, οὐδὲ λόγοι. Ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄδικα, ἔπτωσαν δὲ ἄμωμοι γνώσεις μετὰ σοῦ· ὡς νῦν ἀδίκως νοεῖς. Οὐκ εἶπεν, ὅτι Ἔπραξας ἀδίκως· ἀλλ', ὅτι Ἐνόεις ἀδίκως. Πλὴν ἄκουέ μου, ὅτι ὄντως ἀψευδεῖς καὶ οὐκ ἄδικοι οἱ λόγοι μου.

« Γίνωσκε δὲ ὅτι ὁ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον· δυνατὸς ἰσχύϊ καρδίας ἀσεβῆ οὐ μὴ ζωοποιήσῃ, καὶ κρίμα πτωχῶν δώσῃ. »

Ἴσθι τοιγαροῦν, ὡς οὐδέποτε Θεὸς ἔξω τῆς οἰκείας ἐπισκοπῆς τὸν ἀκακίᾳ συζῶντα καταλιμπάνει, οὐδ' ἀπαλλοτριοῦται, κἂν ἐν συμφοραῖς δόξῃ ποτὲ καταλιμπάνειν αὐτὸν πρὸς τὸ λυσιτελοῦν· κολάζων δὲ ὁ δυνατὸς τοὺς ἀσεβεῖς κατὰ τὰ δίκαια ἑαυτοῦ κρίματα, τοῖς πένησιν ἀδικουμένοις ἐπαμύνει.

« Οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ· [Ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους] καὶ μετὰ βασιλέων εἰς θρόνον, καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος, καὶ ὑψωθήσονται. »

* Τοὺς δικαίους, φησὶν, ἔσθοτε τοσαύτης ἀξιοῖ καὶ παρὰ ἀνθρώποις τιμῆς ὁ Θεὸς, ὡς καὶ συγκαθίζειν αὐτοὺς βασιλεῦσι, καὶ εἰς τέλος ὑψοῦν τροπαιοφοροῦντας.

« Καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις, συσχεθήσονται ἐν σχοινίοις πενίας· καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν, καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν. »

* Ὁ δὲ Σύμμαχος· *ὅτι κατεδυνάστευον*. Κηδόμενος, φησὶ, καὶ τῶν ἀδίκων ὁ Θεὸς, δεσμοῖς αὐτοὺς καὶ πενίᾳ πιέζει, ὡς ἂν εἰς συναίσθησιν ἐλθόντες τῶν ἡμαρτημένων, ἀποστρέψωσιν ἐκ τῆς ἀδικίας καὶ τῆς καταδυναστείας.

« Ἀλλὰ τοῦ δικαίου εἰσακούσεται. »

Τοῦτο τῷ ἀνωτέρω εἰρημένῳ συνῆπται, ἵνα ᾖ οὕτως· *Οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ*, τὴν ἐποπτικὴν καὶ προνοητικὴν αὐτοῦ δύναμιν, *ἀλλ' εἰσακούσεται αὐτοῦ*.

[80] Psal. XXXIII, 16.

A Deus vero calculo suo sermones ejus approbavit; quod ex divinis ejus verbis quæ postea sequuntur, intelligere licet.

Vers. 1-3. « Adjiciens autem adhuc Elius, ait : Sustine me pusillum adhuc, ut te doceam (adhuc enim est in me sermo), suscipiens scientiam meam de longe. »

Quandoquidem de Deo quædam adhuc dicenda habeo, altiusque repetito sermone, cum scientia et intelligentia disserere mihi propositum est; quæ a me nunc dicentur, animo benigno accipe.

Vers. 4. « Operibus autem meis quæ justa sunt loquar in veritate, et non injusta verba injuste intelliges. »

B Ostendens, inquit, quod ea quæ cognosco, vere intelligam, nec quidquam injustum vel mente concipiam, vel voce exprimam; causæ meæ defensionem, quam nunc in medium allaturus sum, Dei operibus stabilio. Id est, Justa ea esse assero, quæ effectu comprobantur; nuda verba et sermones inanes hæc non sunt. Verum cave ne iniqua operaris, et quæ nosti culpa careant; ut enim nunc se res habet, injuste cogitas. Non dixit : Iniqua operatus es, sed, Injusta cogitasti. Verum aurem mihi accommoda, quia revera sermones mei neque falsi, neque injusti sunt.

Vers. 5, 6. « Cognosce autem quia Dominus non abjiciet innocentem; fortis robore cordis non vivificabit impium, et judicium pauperum dabit. »

C Scito igitur Deum nunquam præsidio suo et providentia destitutum relinquere, neque repudiare hominem qui innocentem vitam agit, licet propter ejus emolumentum in calamitatibus eum deserere interdum videatur; pauperum vero vindicem esse eum qui potestate pollet, eum secundum justa sua judicia de impiis supplicium sumit.

Vers. 7. « Non auferet a justo oculos suos : [Oculi enim Domini super justos [80]] et cum regibus in solio, et sedere eos faciet in victoria, et exaltabuntur. »

Justos, inquit, interdum tanto honore inter homines dignatur Deus, ut cum regibus in solio eos collocet, et tandem tropæis decoratos exaltet.

D Vers. 8, 9. « Et qui compediti sunt in compedibus, capientur in funibus paupertatis : et annuntiabit eis opera eorum, et delicta eorum, quoniam valebunt. »

Symmachus autem : *Quoniam tyrannidem exercebant*. Deus, inquit, qui injustorum etiam curam gerit, vinculis eos et paupertate constringit, ut agnitis suis peccatis, ab injustitia et tyrannide animos avertant.

Vers. 10. « Sed justum exaudiet. »

Hoc cum eo quod supra dictum est conjungitur, ut sensus sit : *Non auferet a justo oculos suos*, potentiam, scilicet, inspectricem et gubernatricem, *sed illum exaudiet*.

Digitized by Google

« Et dixit, Quia convertentur ab iniquitate. [Vers. 11.] Si audierint et servierint, complebunt dies suos in bonis, et annos suos in decoribus. »

Divinam disciplinam, quæ ex operibus vim convertendi in se habet, instar admonitionis cujusdam auribus perceptæ, eos qui erudiuntur, sensu quodam afficere, auctor est. Si igitur, inquit, postquam audierint, Deo inservierint, in felicitate et bonorum affluentia vitam transigent, et cum gloria ad senectutem pervenient.

Vers. 12. « Impios vero non facit salvos, eo quod noluerunt scire Dominum, et quod cum monerentur, inobedientes erant. »

Deus autem impiis salutem non præbet, non quod ille exitii illorum causa sit, sed quod ipsi sibi ipsis auctores exsistant, qui neque ingenita et naturali ratione Deum cognoscere, neque disciplinæ ejus, quæ convertendi vi prædita est, et commonefactioni obtemperare voluerunt.

Vers. 13. « Et hypocritæ corde ordinabunt furorem. »

Qui corde, inquit, hypocritæ sunt, et sola pietatis specie amiciuntur, ipsi sibi ipsis iram divinam recondunt et thesaurizant.

« Non clamabunt, quia ligavit eos. »

Non vultum ad Deum attollunt, tanquam qui possit calamitati mederi, neque clamore eum invocant, quia vinculis eos constrinxit, cum nihilominus solus ille ab iis liberare valeat.

Vers. 14, 15. « Moriatur ergo in juventute anima eorum, et vita eorum vulnerata ab angelis, eo quod tribulaverunt infirmum et invalidum. »

Propterea, inquit, vulnerati ab angelis lethalibus, mortem immaturam oppetunt : afflictiones autem et iniquitates quas contra imbecilliores operati sunt, causam et occasionem præbent.

« Judicium vero mansuetorum exponet. »

Mansuetorum autem judicium et vindictam definiet Deus; hoc enim valet illud, *exponet*. *Mansuetos* autem intelligere potes, vel eos qui arbitrii sui libertate justi sunt, vel qui injuria sunt læsi, et propter imbecillitatem silentium agunt.

Vers. 16. « Et superdecepit te ore inimici. »

Cum illud interjecisset : *Judicium vero mansuetorum exponet*, tanquam hypocritis in os diceret, subjungit, quod hypocrita non solum ob causas prædictas pœnas luat, sed *insuper*, id est, præter hæc, quandoquidem inimico suo ore mansuetum deceperat.

« Abyssus, effusio sub ea, et descendit mensa tua plena pinguedine. »

Posthæc, inquit, hypocritæ abyssus reservatur, et sub ea *effusio*, id est, tenebræ exteriores; tibi vero mensa plena pinguedine concedetur. Fortasse vero abysso et aquarum effusioni hypocrita compa-

A « Καὶ εἶπεν, ὅτι Ἐπιστραφήσονται ἐξ ἀδικίας. Ἐὰν ἀκούσωσι, καὶ δουλεύσωσι, συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς, καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις. »

* Τὴν διὰ τῶν ἔργων ἐπιστρεπτικὴν παιδείαν τοῦ Θεοῦ λέγει, ὥσπερ τινὰ νουθεσίαν ἀκουστὴν, εἰς συναίσθησιν ἄγειν τοὺς παιδευομένους. Ἐὰν οὖν, φησὶν, ἀκούσαντες δουλεύσωσι Θεῷ, ἐν εὐπραγίᾳ καὶ ἀγαθῶν ἀφθονίᾳ βιωτεύσουσι, καὶ μετ' εὐδοξίας τὸν βίον παλαιώσουσιν.

« Ἀσεβεῖς δὲ οὐ διασώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν Κύριον, καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν. »

B * Τοὺς δὲ ἀσεβεῖς, φησὶν, οὐ διασώζει Θεὸς, οὐκ αὐτὸς αὐτοῖς τῆς ἀπωλείας γινόμενος αἴτιος, ἀλλ' αὐτοὶ ἑαυτοῖς, μήτε τῷ ἐμφύτῳ καὶ φυσικῷ λόγῳ τὸν Θεὸν ἐπιγνῶναι θελήσαντες, μήτε τῇ ἐπιστρεπτικῇ παιδείᾳ καὶ νουθεσίᾳ κατήκοοι Θεοῦ γενέσθαι βουληθέντες.

« Καὶ ὑποκριταὶ καρδίᾳ τάξουσι θυμόν. »

Οἱ δὲ τῇ καρδίᾳ ὑποκριταὶ, φησὶν, οἱ σχῆμα μόνον εὐσεβείας περικείμενοι, αὐτοὶ ἑαυτοῖς κατατάσσουσι καὶ καθορίζουσι[a] τὴν θείαν ὀργήν.

« Οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς. »

C * Οὐκ ἀναβλέπουσι, φησὶ, πρὸς Θεὸν, οὐδὲ βοῶσι πρὸς αὐτὸν ὡς δυνάμενον λύειν τὴν συμφορὰν, ὅτι αὐτὸς αὐτοὺς ἔδησε, καὶ αὐτὸς δύναται λύειν δηλαδή.

« Ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν, ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων, ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον. »

* Διὰ τοῦτο, φησὶ, καὶ ἄωροι ἀποθνήσκουσιν, ὑπὸ τῶν θανατηφόρων ἀγγέλων τιτρωσκόμενοι· ἡ δὲ αἰτία, δι' ἃς εἰργάσαντο θλίψεις καὶ ἀδικίας κατὰ τῶν ὑποδεεστέρων.

« Κρίμα δὲ πραέων ἐκθήσει. »

D Τῶν δὲ πραέων τὸ κρίμα καὶ τὴν ἐκδίκησιν ὁρίσει ὁ Θεός· τοῦτο γὰρ τὸ *ἐκθήσει*. *Πραεῖς* δὲ, ἢ τοὺς κατὰ προαίρεσιν δικαίους νοήσεις, ἢ καὶ τοὺς ἀδικουμένους, καὶ δι' ἀσθένειαν ἡσυχίαν ἄγοντας.

« Καὶ προσεπιπάτησέν σε ἐκ στόματος ἐχθροῦ. »

Διαμέσου τεθεικὼς τὸ, *Κρίμα δὲ πραέων ἐκθήσει*, ὡς πρὸς τὸ τῶν ὑποκριτῶν πρόσωπον ἐπήγαγεν, ὅτι τιμωρεῖται ὁ ὑποκριτὴς, οὐ μόνον δι' ἃς προεῖπον αἰτίας, ἀλλὰ *πρὸς*, τουτέστι, πρὸς τούτοις, ἐπειδὴ καὶ ἐπάτησε τὸν πρᾶον διὰ τοῦ ἐχθροῦ αὐτοῦ στόματος.

« Ἄβυσσος, κατάχυσις ὑποκάτω αὐτῆς, καὶ κατέβη τράπεζά σου πλήρης πιότητος. »

Ἐντεῦθεν, φησὶ, τῷ μὲν ὑποκριτῇ ἄβυσσος τεταμίευται, καὶ ὑποκάτω αὐτῆς *κατάχυσις*, τουτέστι, τὸ σκότος τὸ ἐξώτερον· σοὶ δὲ πλήρης πιότητος ἐπιδοθήσεται τράπεζα. Τάχα δὲ, διὰ τὸ ὑφάλως καὶ βα-

VARIÆ LECTIONES.

[a] Ισ. θησαυρίζουσι.

Digitized by Google

θέως βουλεύεσθαι ὁ ὑποκριτὴς, καὶ τῷ σχήματι τῆς ὑποκρίσεως ἐπισκιάζειν τὴν ἐπιβουλὴν, κἀκ τούτου ναυαγεῖν ποιεῖν τοὺς αὐτῷ πιστεύοντας, ἀβύσσῳ παραβάλλεται, καὶ τῇ χύσει τῶν ὑδάτων, ὑφ' ἧς αἱ ὕφαλοι πέτραι κρυπτόμεναι καὶ λανθάνουσαι, τοῖς πλέουσι φέρουσι κίνδυνον. Εἰ δὲ περὶ τῆς θαυματουργίας τοῦ Θεοῦ διαμέσου παρεντέθειται τὸ ῥητὸν, Ὑποκάτω τῆς ἀβύσσου, φησὶν, οὐδέν ἐστιν ἡ κατάχυσις· θαυμαστὸν δὲ ὄντως τὸ ἐπὶ χύματος ἑδράσθαι [a].

A ratur, sub qua scopuli latentes et absconditi navigantibus periculum afferre solent, quia clandestina et alte jacta consilia meditetur, ac simulationis specie insidias tegat et obumbret, ita ut qui fidem ei adhibent, naufragium faciant. Sin autem quod dicitur propter divini operis admirationem interseritur, Sub abysso, inquit, præter aquarum effusionem nihil est : super aquarum vero effusione terram stabiliri, admiratione non caret.

« Οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα, θυμὸς δὲ ἐπ' ἀσεβεῖς ἔσται, δι' ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ' ἀδικίαις. »

Vers. 17, 18. « Non deficiet autem a justis judicium, et ira super impios erit, propter impietatem munerum quæ accipiebant super iniquitatibus. »

Justorum, inquit, vindicta et ultio tardo pede non advenit; qui enim fieri potest hoc eveniat,

B quibus mensa dapsilis paratur? Impii autem supplicium divinum effugere non possunt, quia justitiam divitiis corruperunt, et impie ac injuste vivere delegerunt : injustum quippe judicium ferentes, justo judicio condemnabuntur.

« Τῶν δικαίων, φησὶν, ἡ ἐκδίκησις οὐχ ὑστερεῖ· πῶς γὰρ οἷς καὶ λιπαρὰ ἐφαπλοῦται τράπεζα; Τοὺς δὲ ἀσεβεῖς οὐκ ἔστι τὴν θείαν διαδρᾶναι δίκην, ὅτι δὴ καὶ τὸ δίκαιον παρέφθειρον χρήμασι, καὶ ἀσεβεῖν εἵλοντο καὶ ἀδικεῖν. Κρίναντες γοῦν ἀδίκως, δικαίως κριθήσονται.

« Μή σε ἐκκλινάτω ἐκὼν ὁ νοῦς δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων, καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν. »

Vers. 19. « Non te avertat voluntaria mens a prece infirmorum, cum in necessitate fuerint, et omnes qui viribus valent. »

Cum impotentes in augustiis constituti tuam opem implorant, neque te, neque illorum aliquem qui robore præstant, id est, qui defendere et ulcisci possunt, mens et deliberatio voluntaria a recto abducat, sed pro virili illis succurrito.

« Μὴ ἐξελκύσῃς τὴν νύκτα τοῦ ἀναβῆναι λαοὺς ἀντ' αὐτῶν, ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα· ἐπὶ τούτων γὰρ ἐξείλω [c] ἀπὸ πτωχείας. »

Vers. 20, 21. « Noli extrahere per noctem ut ascendant populi pro eis, sed cura ne facias indecentia; super his enim liberasti ab inopia. »

C

Ὁ δὲ Σύμμαχος· *Μὴ προθυμηθῇς νυκτὸς ἐπιβαθῆναι λαοὺς ἐπὶ τοῦ τόπου αὐτῶν.* Ὁ δὲ νοῦς οὗτος· Μήτε τοὺς κρατοῦντας [d] ἰσχὺν ἀδικήσῃς, ὥστε νυκτὸς καὶ κατὰ τὸ λελῃθὸς τούτους μὲν τῶν οἰκείων ἐκβαλεῖν, ἀντ' αὐτῶν δὲ ἑτέρους εἰς τὸν τόπον αὐτῶν ἐγκαταστῆσαι. Διδάσκει δὲ, ὅτι τὴν ἰσότητα καὶ τὸ δίκαιον πρὸς πάντας προσήκει φυλάττειν, καὶ ἀπέχεσθαι ἀπὸ τῶν ἀτόπων, μὴ δὲ ἐξαιρεῖσθαι καὶ προκρίνειν ταῦτα πτωχείας. Ἢ τὸ, *Ἐπὶ τούτων γὰρ ἐξείλου ἀπὸ πτωχείας*, ἀντὶ τοῦ, ἀπὸ τούτου τρόπου, τουτέστιν, ἀπὸ τοῦ μὴ πράττειν τὰ ἄτοπα, *ἐξαιρεθήσῃ ἀπὸ πτωχείας*, τουτέστιν, ἀπαλλαγήσῃ τῆς ἐν πενίᾳ ταλαιπωρίας.

Symmachus vero : *Ne desideres noctu superascendere populos in locum eorum.* Sensus autem hic est : Neque eos qui viribus prædíti sunt injuria afficito, ita ut noctu et clam insurrectionem faciens, hos quidem propriis sedibus ejicias, alios vero in illorum locum substituas. Æquitatem autem et justitiam erga omnes servandam, a pravis et absurdis factis abstinendum, et paupertatem illis præferendam esse decet. Vel illud : *Super his enim liberasti ab inopia*, ab his moribus scilicet et hoc ingenio; id est, Si absurda et scelesta patrare desieris, *ex inopia eripieris*, hoc est, ab ærumna ac tribulatione quæ paupertatis comes est, liberaberis.

D

« Ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύϊ αὐτοῦ· τίς γάρ ἐστι κατ' αὐτὸν δυνάστης; »

Vers. 22. « Ecce fortis roborabit in fortitudine sua : quis enim est, sicut ille, potens? »

Postquam de hominum justitia verba fecisset, ad Dei fortitudinem et justitiam orationem convertit; ac, Vide, inquit, quemadmodum Deus fortis omnia fortiter et cum potentia divina operetur, neque cum ejus potentia quispiam comparandus sit.

« Τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα; ἢ τίς ὁ εἰπών· Ἔπραξεν ἄδικα. »

Vers. 23. « Et quis est qui discutiat opera ejus? aut quis est qui dicat : Fecit injusta? »

Ὀυδεὶς, φησὶ, τολμᾷ ἐξετάζειν τὰς τοῦ Θεοῦ

Nemo, inquit, in divinam providentiam inquirere

VARIÆ LECTIONES.

[a] *Isc.* τὴν γῆν. [c] *Isc.* ἐξείλου. [d] *Isc.* κραταιοῦντας.

Digitized by Google

audet, neque potest quispiam, aliquod injustum ab eo factum esse, asserere.

VERS. 24. « Memento quia magna sunt opera ejus, quorum dominati sunt viri. »

Animum, inquit, advertens, considera et tecum perpende, quod admirabilia sint creationis opera, licet consuetudine contemptibilia appareant; opera, inquam, Dei, quibus homines ab initio præfecti sunt : *Dominentur* enim, inquit, *piscibus maris, et volatilibus cœli* [81]. Et Psalmista : *Omnia subjecisti sub pedibus ejus* [82].

VERS. 25. « Omnis homo vidit in ipso [*id est*, Omnis homo cognitionem habet de Deo], quicunque vulnerati sunt mortales. »

Illud, *quicunque*, pro, *omnes*, ponitur; quia omnium est vulnerari, perpessioni scilicet et corruptioni obnoxios esse. Symmachus autem cum interpretetur : *Unusquisque aspiciens a longe*, per vulnerationem hoc loco sobrietatem et mentis excitationem ac vigilantiam innuit, eo quod magis excitentur et attentiores reddantur, qui fodicantur et stimulantur.

VERS 26. « Ecce fortis multus, et nesciemus. »

Vox, *multum*, in Scriptura pro numero indefinito, et qui comprehendi non possit, usurpatur. Quoniam igitur divina magnitudo et fortitudo quantitati subjici nequit, ideo dixit : Multus est fortis, nostroque intellectu et cognitione major.

« Numerus annorum ejus et infinitus. »

Id est æternus. Quædam autem exemplaria habent, *numerus viarum :* ac si diceret : Viæ ejus, et progressus judiciorum quæ in nobis facit et exercet, investigari nequeunt.

VERS. 27. « Numerabiles autem ei stillæ pluviæ. »

Dei notitiam nihil fugit, quin et pluviatilium stillarum numerum accurate novit.

« Et effundentur ad pluviam in nube. »

Hoc loco Dei scientiam simul et providentiam prædicat, quod pluviam non immoderate, sed modo quodam certo ac mensura e nubibus effundat.

VERS. 28. « Fluent antiquitates. »

Stillæ, inquit, ex illis profluent : quas quidem *antiquitates* ideo vocavit, quia ita olim et ab antiquo evenerit; pro quo Symmachus : *Quæ quidem fluent ex æthere.*

« Obumbraverunt autem nubes super innumerabili homine. »

Merito, inquit, mirabitur quispiam, si diligenter secum perpenderit, quomodo aer, qui natura sua rarus est, in nubes ita condensetur, ut cœlum hominibus opacum reddat.

« Horam constituit jumentis, et sciunt cubilis ordinem. »

Horam pro mensuris aut terminis posuit; ita ut

Λ οἰκονομίας, οὐδὲ δύναται εἰπεῖν, ὅτι ἄδικόν τι παρ' αὐτοῦ πέπρακται.

« Μνήσθητι ὅτι μεγάλα ἐστὶ αὐτοῦ τὰ ἔργα, ὧν ἦρξαν ἄνδρες. »

Εἰς νοῦν, φησὶ, βαλλόμενος [e], σκόπησον καὶ ἀναλόγισαι τὰ περὶ τὴν κτίσιν τοῦ Θεοῦ ἔργα, ὅτι θαυμαστὰ, κἂν ὑπὸ τῆς συνηθείας ἴσως εὐκαταφρόνητα δοκῇ· ἔργα δέ φημι Θεοῦ, ὧν ἄρχειν ἄνθρωποι καταρχὰς ἐτάγησαν· Ἀρχέτωσαν γὰρ, φησὶ, *τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ*. Καὶ ὁ ψαλμῳδός· *Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.*

« Πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ [*τουτέστι*, Πᾶς ἄνθρωπος τὴν περὶ Θεοῦ γνῶσιν ἔχει], ὅσοι τιτρωσκόμενοί εἰσι βροτοί. »

Β Τὸ, *ὅσοι*, ἀντὶ τοῦ, *πάντες*· ὅτι καὶ πάντων τὸ τιτρώσκεσθαι, ἤγουν, τὸ παθητὸν καὶ φθαρτόν. Ὁ δὲ Σύμμαχος ἐκδοὺς, *Ἕκαστος ἀποβλέπων μακρόθεν*, ἠνίξατο ὅτι τρῶσις ἐνταῦθα ἡ νῆψις ἐλέχθη, καὶ ἡ τοῦ νοῦ διέγερσις, ἀπὸ τοῦ τοὺς νυττομένους μᾶλλον διεγείρεσθαι, καὶ προσεκτικωτέρους γίνεσθαι.

« Ἰδοὺ ὁ ἰσχυρὸς πολὺς, καὶ οὐ γνωσόμεθα. »

Τὸ *πολὺ*, ἐπὶ τοῦ ἀορίστου, καὶ ἀριθμῷ μὴ περιλήπτου, ἡ Γραφὴ τίθησιν. Ἐπεὶ οὖν καὶ τὸ θεῖον μέγεθος καὶ ἡ ἰσχὺς πόσῳ ὑποβληθῆναι οὐ δύναται, διὰ τοῦτο ἔφη, ὅτι Πολὺς ὁ ἰσχυρὸς, καὶ ὑπὲρ τὴν γνῶσιν ἡμῶν.

C « Ἀριθμὸς ἐτῶν αὐτοῦ καὶ ἀπέραντος. »

Τουτέστιν ἀΐδιος. Τινὰ δὲ τῶν ἀντιγράφων, *ἀριθμὸς ὁδῶν*, ἔχει, ἵνα εἴπῃ· Ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, καὶ αἱ πορεῖαι τῶν χριμάτων ἃ ἐν ἡμῖν ποιεῖται.

« Ἀριθμηταὶ δὲ αὐτῷ σταγόνες ὑετοῦ. »

Τὴν τοῦ Θεοῦ γνῶσιν οὐδὲν ἐκφεύγει, ἀλλὰ καὶ τὸν ἀριθμὸν ὑετίων σταγόνων ἐπίσταται.

« Καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην. »

Ἐνταῦθα τὴν γνῶσίν φησι καὶ τὴν πρόνοιαν, καὶ ὅτι οὐκ ἀμέτρως, ἀλλ' ἐναριθμίως διὰ τῶν νεφελῶν χέει τὸν ὑετόν.

« Ῥυήσονται παλαιώματα. »

D Ἐκρέουσι [f], φησὶν, ἐξ αὐτῶν οἱ σταλαγμοί· ταῦτα [g] γὰρ δὴ *παλαιώματα* εἶπε, διὰ τοῦ ἄνωθεν καὶ ἐκ παλαιοῦ τοῦθ' οὕτως γίνεσθαι· ἀνθ' οὗ ὁ Σύμμαχος· *Ἄτινα ῥυήσονται ἐκ τοῦ αἰθέρος.*

« Ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ. »

Ἀγασθείη τις, φησὶν, εἰκότως, σκοπῶν ἀκριβῶς, ὅπως ὁ χαῦνος ἀὴρ οὕτω πυκνοῦται εἰς νεφέλας, ὥστε καὶ σκιάζειν τοῖς ἀνθρώποις τὸν οὐρανόν.

« Ὥραν ἔθετο κτήνεσιν, οἴδασι δὲ κοίτης τάξιν. »

Ὥραν, ἀντὶ τοῦ, μέτρα, ἢ ὅρους, ὥστε τὰ μὲν

[81] Gen. I, 28. [82] Psal. VIII, 8.

VARIÆ LECTIONES.

[e] *γρ.* λαβόμενος. [f] *Ἰσ.* Ἐκρεύσουσι. [g] *Ἰσ.* τούτους.

Digitized by Google

ὑπουργεῖν ἀνθρώποις, τὰ δὲ μὴ ὑποτάττεσθαι· καὶ τὰ μὲν νυκτὸς, τὰ δὲ ἡμέρας ἡσυχάζειν οἰκονομικῶς, ἵνα τῆς κατ' ἀνθρώπων ἐφόδου παύοιντο.

« Ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος; »

Ἆρα οὖν, φησὶν, οὐχ ἱκανὰ ταῦτα ἐκστῆσαι διάνοιαν, καὶ τρόπον τινὰ διαχωρίσαι ψυχὴν ἀπὸ σώματος; πῶς καίτοι λόγου ἀπεστερημένα ἀπὸ τῆς φύσεως ἔγνωσαν τὰ κτήνη τάξιν κοίτης, καὶ τάξιν ἐξόδου αὐτῶν. Ὅρα δὲ, οὐκ εἶπεν· Οὐ θαυμάζει ἡ διάνοιά σου; ἀλλ', *Οὐκ ἐξίσταται;* Ὄντως γὰρ ἔκστασις καὶ φρίκη, πῶς τὰ ἄλογα τοσαύτην εὐταξίαν φυλάττει· ἵνα μάθῃς ὅτι καὶ σὺ, οὐκ ἀπὸ τοῦ λόγου, ἀλλ' ἀπὸ τοῦ τὸν λόγον δεδωκότος κυβερνᾷ.

« Καὶ ἐὰν συνῇ ἀπέκτασις νεφέλης ἰσότητα σκηνῆς αὐτοῦ. »

Θαυμάσοι δ' ἄν τις, φησὶ, καὶ ἐὰν συνῇ καὶ γνῷ, πῶς μικρᾶς φανείσης νεφέλης, περὶ ὅλον τὸν οὐρανὸν ἡ πύκνωσις ἐκτείνεται τῶν νεφῶν· *σκηνὴν* γὰρ τὸν οὐρανὸν ἐκάλεσεν.

« Ἰδοὺ ἐκτενεῖ ἐπ' αὐτὸν Ἠδώ. »

Ὁ δὲ Σύμμαχος· *Ἐκπετάζει ἐπ' αὐτὸν τὸ φῶς αὐτοῦ.* Ἕτερα δὲ ἀντίγραφα ἀντὶ τοῦ, *Ἠδὼ, τόξον*, ἔχουσιν. Ἐὰν οὖν νοήσῃ ἄνθρωπος, πῶς, συναφείας οὔσης, αἱ ἡλιακαὶ ἀκτῖνες εἰς τὴν τῶν νεφῶν ἀραίωσιν προσβάλλουσαι, ποιοῦσι τὸ τόξον, ὃ παρὰ τοῖς πολλοῖς Ἶρις καλεῖται, θαυμάσεται τοῦ Δημιουργοῦ τὴν σοφίαν· πῶς ἐν μὲν τῇ τῶν νεφῶν πυκνότητι τὴν ὠφέλιμον τοῦ ὑετοῦ τοῖς ἀνθρώποις χρείαν ἐργάζεται, ἐν δὲ τῇ μανότητι καὶ ἀραιότητι τῶν νεφῶν προσφαίνεσθαι τὸ τόξον παρασκευάζει, παραμυθούμενος τοὺς ἐπὶ τῆς γῆς, ὅτι οὐκέτι αὐτοὺς κατακλύσει, ἀλλὰ τῶν ὑδάτων ἀνέχει τὴν ἄμετρον φοράν, κατὰ τὴν οἰκείαν ἐπαγγελίαν.

« Καὶ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν· ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς. »

Ἢ τοῦτο λέγει, ὅτι τὸ τόξον καὶ μέχρι θαλάσσης διήκει· ἢ, ὅτι ὁ Θεὸς τὰς ῥίζας τῆς θαλάσσης ἐκάλυψεν· οὐδεὶς γὰρ οἶδεν ὑπὸ τίνος βαστάζεται ἡ θάλασσα. Διὰ δὲ τούτων τιμωρεῖται τοὺς ἀνθρώπους ὁ Θεὸς, δι' ἐπαγωγῆς θαλάσσης τυχὸν, ἢ χαλάζης, καὶ τῶν τοιούτων.

« Δώσει τροφὴν τῷ ἰσχύοντι. »

Ὁ δὲ Σύμμαχος, *Παρέξει τροφὴν παμπόλλην*, ἐκδέδωκε, τουτέστι, Καρπῶν ἀφθονίαν ἡ τῶν ὑετῶν ἐργάζεται χρεία.

« Ἐπὶ χειρῶν ἐκάλυψε φῶς. »

Ἐν τῇ ἑαυτοῦ δυνάμει, φησὶ, καὶ ἐνεργείᾳ κρύπτει τοῦ φωτὸς τὴν αὐγήν· οὐ γὰρ ἔχει τόπον ποῦ κρυβῆναι τὸ φῶς· οὐδὲ δύναταί τις παντελῶς αὐτοῦ [b] κρύψαι.

« Καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι. »

Ὁ δὲ Σύμμαχος· *Καὶ ἐπιτάξει αὐτῷ ὥστε*

A quædam animalia hominibus inserviant, alia vero minime obtemperent; et illa quidem noctu, hæc vero interdiu divina dispensatione quietem capiant, et ab hominum infestatione cessent.

« In his omnibus non obstupescit animus tuus, nec mutatur cor tuum a corpore? »

An non hæc igitur, inquit, mentem percellere, et animum a corpore ratione quadam divellere sufficiunt? quomodo scilicet animalia ratione carentia, ordinem cubilis, et egressionis tempus, natura magistra, intelligant. Observa autem quod non dixerit: An non animus tuus admiratur? sed: *An non obstupescit?* Animalia enim rationis expertia, tantum et tam decorum ordinem servare, stuporem revera et horrorem parit, ut tu, non ratione, sed ab eo qui

B rationem largitus est, gubernari te intelligas.

Vers. 29. « Et si constiterit extensio nubis æqualitatem tabernaculi ejus. »

Mirari etiam, inquit, quis potest, si intellectu et cognitione præditus fuerit, quomodo parva nubecula exorta, nubium condensatio extendatur, et totam cœli faciem operiat; cœlum enim *tabernaculum* vocavit.

Vers. 30. « Ecce extendet super eum Edo. »

Symmachus vero: *Expandit super eum lumen suum.* Alia autem exemplaria, pro *Edo, arcum* habent. Si igitur homo consideraverit, quemadmodum, nubium collectione facta, tenuiores inter eas feriendo, radii solares arcum efficiant (qui vulgo Iris

C appellatur), Opificis sapientiam admirabitur, qui in nubium condensatione commodum et fructuosum pluviæ usum hominibus operatur, in laxitate autem et raritate earum, ad solatium incolarum terræ, facit ut arcus appareat, quia non amplius diluvio eos inundaturus est, sed juxta promissum suum, immoderatum aquarum impetum et vim cohibet.

« Et radices maris contexit: [Vers. 31] in eis enim judicabit populos. »

Vel hoc dicit, quod arcus ad mare pertingat; vel, quod Deus radices et fundamenta maris occultaverit; nemo enim est qui novit quo fulcimento mare sustineatur. His autem rebus Deus hominibus supplicia irrogat, cum mare forte, aut grandinem,

D aut simile quidpiam terris immittat.

« Dabit escam valido. »

Symmachus autem reddidit: *Præbebit escam copiosam;* id est, Imbrium beneficium et utilitas frugum abundantiam parit.

Vers. 32. « In manibus contexit lumen. »

Sua, inquit, potestate, et efficacia, lucis splendorem abscondit; lux enim in nullo loco occultatur, neque prorsus eam abscondere quispiam potest.

« Et mandavit de ea in occurrenti. »

Symmachus: *Et præcipiet ei ut occurrat.* Lucem,

VARIÆ LECTIONES.

[b] Ἴσ. αὐτό.

Digitized by Google

inquit, occultans, et noctem efficiens, præcipit ei ut obviam occurrat; ac si diceret, Nox et dies illius nutu ac voluntate sibi invicem succedunt. Illud igitur, *de ea*, de die, et *in occurrenti*, de sole intellexit.

A ἀπαντῆσαι, ἡρμήνευσε. Καλύπτων γὰρ, φησὶ, τὸ φῶς, καὶ νύκτα ἐργαζόμενος, ἐντέλλεται αὐτῷ ὥστε ἀπαντῆσαι· ἵνα εἴπῃ, ὅτι καὶ νὺξ καὶ ἡμέρα τῷ αὐτοῦ βουλήματι ἀλλήλας διαδέχονται. Τὸ οὖν, *περὶ αὐτῆς*, τῆς ἡμέρας φησίν· *ἐν ἀπαντῶντι* δὲ, τῷ ἡλίῳ.

Vers. 33. « Annuntiabit de eo amicum suum. »

Symmachus : *Annuntiabit de hoc sodali suo?* id est, Num de ejus creatione cum aliquo consilium init aut communicat? ut verba per interrogationem legantur. Possunt vero etiam aliter intelligi, quod Deus scilicet harum rerum cognitionem amicis impertiatur.

« Ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ. »

Ὁ δὲ Σύμμαχος, *Ἀπαγγελεῖ περὶ τούτου ἑταίρῳ αὐτοῦ;* ἀντὶ τοῦ, Μὴ περὶ τῆς τούτου δημιουργίας μετά τινος βουλεύεται, ἢ ἀνακοινοῦται; ἵνα ᾖ κατ' ἐρώτησιν ἡ ἀνάγνωσις. Δυνατὸν δὲ καὶ οὕτω νοῆσαι, ὅτι τὴν περὶ τούτων γνῶσιν τοῖς φίλοις ὁ Θεὸς χαρίζεται.

« Dominus, possessio, et de injustitia. »

« Κύριος, κτῆσις, καὶ περὶ ἀδικίας. »

Alia exemplaria habent : *Domini possessio ;* Symmachus autem transtulit, *zelum pro injustitia.* Sensus autem hic est : Num Deus de possessione sua, et quemadmodum ad zelum ac indignationem commotus, injustos puniat, cum sodali aliquo consilia communicat? Vel sic : Deus amicis suis annuntiabit, ut ejus sapientiam, non autem quæ injusta sunt, possideant.

B Ἕτερα ἀντίγραφα, *Κυρίου κτῆσις* [1], ἔχουσι· Σύμμαχος δὲ, *ζῆλον περὶ ἀδικίας*, ἐκδέδωκεν. Ὁ δὲ νοῦς οὗτος· Μὴ ἀνακοινοῦται Θεὸς ἑτέρῳ [j] τινὶ περὶ τῆς ἑαυτοῦ κτήσεως [k], πῶς τε εἰς ζῆλον κινεῖται, καὶ κολάζει τοὺς ἀδίκους; Ἢ καὶ οὕτως· Ἀναγγελεῖ ὁ Θεὸς τοῖς ἑαυτοῦ φίλοις, ὥστε κτήσασθαι αὐτοῦ τὴν σοφίαν, καὶ μὴ τὰ ἄδικα.

CAP. XXXVII.

ΚΕΦ. ΛΞ'.

Vers. 1. « Et ab hac turbatum est cor meum. »

« Καὶ ἀπὸ ταύτης ἐταράχθη ἡ καρδία μου. »

Ex hac, inquit, contemplatione, cum mens mea in Dei incomprehensibilem sapientiam aciem intendere non posset, turbata est, et præ admiratione propemodum gestiens et exsiliens, de statione sua decidit. Divinus Paulus cum huic simile pateretur, vocem admiratione plenam emisit : *O profundas divitias tum sapientiæ, tum cognitionis Dei* [83] ! Symmachus vero : *Et de his expavescit cor meum.*

Ἀπὸ ταύτης, φησὶ, τῆς θεωρίας οὐ δυναμένη μου ἡ ψυχὴ εἰς τὸ ἀκατάληπτον τῆς τοῦ Θεοῦ σοφίας ἐνατενίσαι, κλόνον ὑπέστη, καὶ τῆς οἰκείας στάσεως παρερρύη, μονονουχὶ καὶ ἐκπηδῶσα ἀπὸ τοῦ θαύματος. Τοιοῦτόν τι καὶ ὁ θεσπέσιος Παῦλος πεπονθὼς, θαυμαστικὴν [l] ἀφῆκε φωνήν· *Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ !* Ὁ δὲ Σύμμαχος· *Καὶ περὶ τούτων πτήσσει ἡ καρδία μου.*

C

« Et effluxit de loco suo. »

« Καὶ ἀπερρύη ἐκ τοῦ τόπου αὐτῆς. »

Id est, Parum abfuit quin propriam sedem desereret.

Τουτέστι, Μικροῦ καὶ τὴν οἰκείαν ἕδραν καταλέλοιπεν.

Vers. 2. « Audi auditionem in ira furoris Domini ; et meditatio de ore ejus egredietur. »

« Ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ Κυρίου· καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται. »

Aquila vero, *et sonus.* Facultatem, inquit, quæ sonos discernit aperi, et ea quæ ira Dei hominibus infert, cladem scilicet quæ ex grandine provenit, pluviarum inundationes, squalores, et frugum exitium addiscito : Deus enim per similia vocem propemodum emittens, de potestate sua et prudentia nos instruit, et metum incutit. Pro meditatione igitur et doctrina hæc nobis inserviunt, ut Deum qui ea operatur, timeamus.

D

Ἀκύλας δὲ, *καὶ φθογγή.* Διάνοιξόν σου, φησὶ, τὴν ἀκουστικὴν τῆς φωνῆς [m] δύναμιν, καὶ κατάμαθε τὰ ἐξ ὀργῆς τοῦ Θεοῦ τοῖς ἀνθρώποις ἐπιφερόμενα, οἷον τὰς ἀπὸ τῆς χαλάζης βλάβας, τὰς ἐπομβρίας, τοὺς αὐχμοὺς, τῶν καρπῶν τὴν φθοράν· διὰ γὰρ τῶν τοιούτων Θεὸς μονονουχὶ φωνὴν ἀφιεὶς, ἐκδιδάσκει ἡμᾶς τὴν ἑαυτοῦ δύναμιν καὶ σοφίαν, καὶ πρὸς φόβον ἐνάγει. Μελέτη οὖν ταῦτα ἡμῖν καὶ διδαχὴ, φοβεῖσθαι παρασκευάσουσα τὸν ταῦτα κατεργαζόμενον.

Vers. 3. « Subter universum cœlum imperium ejus. »

« Ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ. »

Dei, inquit, imperium etiam ad eos qui apud inferos degunt, pertingit ; neque res nostræ ejus gubernatione et providentia destituuntur.

Διήκει, φησὶν, ἡ τοῦ Θεοῦ ἀρχὴ μέχρι καὶ τῶν καταχθονίων· καὶ οὐκ ἄναρχα, οὐδ' ἀνεπισκόπητα τὰ καθ' ἡμᾶς.

« Et lumen ejus subter alas terræ. »

« Καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς. »

[83] Rom. xi, 33.

VARIÆ LECTIONES.

[1] γρ. κτίσις. [j] ἴσ. ἑταίρῳ. [k] γρ. κτίσεως. [l] ἴσ. θαυμαστήν. [m] γρ. ψυχῆς.

Digitized by Google

Τουτέστιν, ἡ πρόνοια αὐτοῦ ἄχρι καὶ τῶν ἐσχάτων τῆς γῆς. Ἢ, Ὅτι ἅμα ἡμέρα διαυγάσει, τὰ πέρατα τῆς γῆς ὑπ' αὐτῆς φωτίζεται. A

« Ὀπίσω αὐτοῦ βοήσεται φωνή, βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ. »

Ἀντὶ τοῦ, *ὕβρεως αὐτοῦ*, ὁ Ἀκύλας, *ὑπερφερείας αὐτοῦ*, ἐκδέδωκέ, τουτέστιν, ὑπεροχῆς, ἢ ἀπειλῆς. Τὸ μεγαλεῖον δὲ τοῦ Θεοῦ παραστῆσαι θέλων, ὥσπερ τινὶ στρατηγῷ, ἢ καὶ βασιλεῖ, μεγάλους τινὰς καὶ φοβεροὺς ἑπομένους ἔταξε τῆς βροντῆς τοὺς ἤχους. Ὅταν οὖν, φησὶν, ἐθέλῃ Κύριος κελεῦσαι τοῖς ἑπομένοις αὐτῷ, εὐθὺς διὰ τῆς βροντῆς καταῤῥήγνυνται φωναὶ, παραδηλοῦσαι τὴν ἀπειλὴν, ἢ τὴν ὑπερφέρειαν αὐτοῦ. Τὸ δὲ, *ὀπίσω αὐτοῦ*, ἀντὶ τοῦ, θελήσαντος αὐτοῦ· ἅμα τε γὰρ ἐθέλει, ἕπεται τῷ θέλειν τὸ ἔργον, καὶ πειθαρχεῖ πάντα αὐτῷ. B

« Καὶ οὐκ ἀνταλλάξει αὐτοὺς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ. »

Ὁ δὲ Σύμμαχος, *Καὶ οὐκ ἐξιχνιασθήσεται ἀκουσθέντος τοῦ ψόφου αὐτῆς*, ἀντὶ τοῦ, Οὐδεὶς δύναται ἐξιχνιάσαι καὶ καταλαβεῖν πῶς, ἢ διὰ τί γέγονε τῆς βροντῆς ὁ ἦχος. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα, Κελεύσαντος τοῦ Θεοῦ, οὐκ ἔστι μεταλλάξαι τοὺς τῆς βροντῆς ψόφους, διότι ὑπακούουσιν αὐτῷ, καὶ οὐ δύνανται ἀπειθεῖν.

« Βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια. »

Τουτέστιν, Ὥσπερ τινὰ φωνὴν ἐκπέμπων, τὴν βροντὴν γίνεσθαι παρασκευάζει Θεὸς εἰς τὴν τῶν ἀκουόντων κατάπληξιν. Φωνὴν δὲ Θεοῦ τὴν βροντὴν εἶπε, διὰ τὸ ἐκ προστάγματος αὐτοῦ γίνεσθαι. C

« Ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν. »

Ἀντὶ τοῦ, Μεγάλα μέν εἰσι τὰ ἔργα τοῦ Θεοῦ, τοὺς δὲ λόγους αὐτῶν γνῶναι οὐ δυνάμεθα.

« Συντάσσων χιόνι, Γίνου ἐπὶ γῆς καὶ χειμὼν ὑετὸς, καὶ χειμὼν ὑετῶν δυναστείας αὐτοῦ. »

Τὸ, *συντάσσων*, ἀντὶ τοῦ, *κελεύων*, εἴρηται. Ἐρεῖ γὰρ τῇ χιόνι, Κατάβηθι ἐπὶ τὴν γῆν· καὶ καταβήσεται. Καὶ ὁ χειμὼν δὲ, καὶ τῶν ὑετῶν ἡ ἐπίχυσις, ἔργον ἐστὶ τῆς αὐτοῦ δυνάμεως, ὥσπερ οὖν καὶ τῆς χιόνος ἡ ἀποστολή. Τοῦτο σαφέστερον ἡρμήνευσε Σύμμαχος, εἰπὼν, *Καὶ χειμὼν ὑετοῖς χειμάσει ὄμβρους ἰσχύος αὐτοῦ*. D

« Ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν. »

Ὁ χειμὼν, φησὶ, κατασφραγίζει, καὶ οἱονεὶ καταδεσμεῖ τῶν ἀνθρώπων τὰς χεῖρας, καὶ τῶν ἔργων ἀποκωλύει. Διὰ τοῦτο, φησὶ, μεγάλα τοῦ Θεοῦ τὰ δημιουργήματα, διὰ τοῦτο ψύχος καὶ καῦμα, διὰ τοῦτο ἀέρων ἀνωμαλία. [n] Μὴ γὰρ οὐκ ἐνῆν γενέσθαι κλῆσιν [o] ἀρίστην; [p] Ἀλλ' ἵνα πάντοθεν κωλύῃ τοῦ φρονήματος τὸ ὑπερέχον καὶ διανιστάμενον, ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν, πάντα

Id est, Ad ultimos terræ terminos providentia ejus manat. Vel, Simulatque dies illuxit, extremi terræ anguli luce ejus collustrantur.

Vers. 4. « Post eum clamabit voce, tonabit in voce superbiæ suæ. »

Pro, *superbiæ suæ*, Aquila, *celsitudinis suæ*, reddidit, id est, excellentiæ vel comminationis. Cum autem divinam majestatem ob oculos proponere in animo haberet, tanquam magnos quosdam et tremendos imperatoris vel regis alicujus satellites, tonitrui sonos addidit. Cum igitur, inquit, stipatoribus suis imperare voluerit, tonitrus fragore voces eduntur, quæ minas ejus vel excellentiam indicant. Illud autem, *post eum*, id est, illo volente; simulatque enim voluerit, factum voluntatis comes est, omniaque illi obtemperant.

« Et non commutabit eos, quoniam audiet vocem ejus. »

Symmachus vero : *Et audito sono ejus non investigabitur*, id est, Quomodo, et quamobrem sonus tonitrus fiat, nemo investigare et comprehendere poterit. Juxta vero Septuaginta seniorum interpretationem, Imperante Deo, non licet sonos tonitrus immutare, quia voci ejus morem gerunt, et imperium detrectare nequeunt.

Vers. 5. « Tonabit fortis in voce sua mirabiliter. »

Id est, Ad terrorem auditoribus incutiendum, tanquam vocem quamdam ederet, facit Deus ut tonet. Tonitru autem ideo Dei vocem vocavit, quia ejus imperio et nutu fiat.

« Fecit enim magna quæ nesciebamus. »

Id est, Magna sunt Dei opera, et rationes eorum scire non possumus.

Vers. 6. « Præcipiens nivi : Esto super terram; et tempestas pluvia, et tempestas pluviarum potestatis ejus. »

Præcipiens, pro, *imperans*, dictum est. Nivi enim dicturus est : Descendo in terram, et descendet. Tempestas autem, et pluviarum effusio, non secus ac nivis immissio, divinæ potestatis opus est. Symmachus dicendo : *Et hiems pluviis roboris ejus imbres hiemabit*, dilucidius hoc interpretatus est.

Vers. 7. « In manu omnis hominis signat, ut sciat omnis homo infirmitatem suam. »

Tempestas, inquit, seu hiems, hominum manus obsignat, et quasi vinculis constringit, nec operari sinit. Propterea, inquit, Dei opera eximia, propterea varia et inæquabilis aeris constitutio Rerum autem creatarum fabrica an non quam optima fieri potuit? Omnino. Deus vero, ut modis omnibus turgidum mentis fastum et elationem reprimeret, omnique homini infirmitas sua nota esset, cuncta

VARIÆ LECTIONES.

[n] γρ. καὶ. [o] Ισ. κτίσιν. [p] Ισ. suppl. πάντως.

Digitized by Google

in contrarium, corporis compagem et structuram, ac vitæ rationem fabricatus est; ut imbecillitatem propriam agnoscentes, de nobis ipsis sobrie et modeste sentire disceremus.

A πρὸς τὸ ἐναντίον κατεσκεύασεν ὁ Θεὸς, καὶ τὴν κτίσιν, καὶ τὴν κατασκευὴν τοῦ σώματος, καὶ τὴν τοῦ βίου διαγωγήν· ἵνα μάθωμεν μετριάζειν, τὴν ἑαυτῶν ἐπιγνόντες ἀσθένειαν.

Vers. 8. « Introierunt autem bestiæ sub tegmen, et quieverunt super cubile. »

« Εἰσῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην, ἡσύχασαν δὲ ἐπὶ κοίτης.

Propter aeris asperitatem in silvis et speluncis feræ occultantur; hiemis enim rigiditas progredi eas non sinit, sed intus se continere cogit.

· Ἀπὸ τῆς τοῦ ἀέρος ψυχρότητος, ὑπὸ λόχμας καὶ ἄντροις τὰ θηρία κατακρύπτονται· ὁ γὰρ ἀκρος χειμὼν οὐκ ἐᾷ προϊέναι, ἀλλὰ συστέλλεσθαι ἀναγκάζει.

Vers. 9. 10. « De promptuariis superveniunt dolores, et a summitatibus frigus, et a spiratione fortis dabit gelu. »

« Ἐκ ταμιείων ἐπέρχονται ὀδύναι, ἀπὸ δὲ ἀκρωτηρίων ψύχος, καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος. »

Symmachus vero : *Ab insufflatione Dei dabitur glacies.* Sensus verborum dubius est. Vel enim hoc dicit, quod dolores qui ex frigore oriuntur, ex occulto, tanquam ex thesauro aliquo, superveniant; a finibus autem et extremitatibus, secundum alios, *turbo* et *procella*, invadat. Vel potius : quod ex intimis recessibus, ex visceribus scilicet, dolores iis contingant qui frigore obriguerunt : summitates autem, extrema scilicet corporis membra, plus reliquis a frigore infestantur. Glacies vero venti flatu densatur; ventum enim *spirationem fortis* vocavit, quia Dei imperio producitur.

· Ὁ δὲ Σύμμαχος· Ἀπὸ *ἐμφυσήματος Θεοῦ δοθήσεται πάγος.* Ἀμφίβολος ἡ ἔννοια. Ἤτοι γὰρ B τοῦτο λέγει, ὅτι αἱ ἀπὸ τοῦ ψύχους ὀδύναι, ὡς ἐκ θησαυρῶν τινων, ἐξ ἀποκρύφων ἐπέρχονται· ἀπὸ δὲ τῶν περάτων καὶ τῶν ἄκρων ὁ *συγκλεισμὸς*, καὶ ἡ *καταιγὶς*, κατὰ τοὺς λοιποὺς, ἔπεισιν. Ἢ μᾶλλον, ὅτι ἐκ μὲν τῶν ἐνδοτάτων, ἤγουν ἀπὸ τῶν σπλάγχνων, ὀδύναι τοῖς κρυμωθεῖσιν ἐπιγίνονται· τὰ δὲ ἀκρωτήρια, ἤγουν τὰ ἄκρα τοῦ σώματος, πλέον τῶν ἄλλων μελῶν ὑπὸ τοῦ ψύχους ἐνοχλοῦνται. Τὸ δὲ πάγος διὰ πνεύματος ἀνεμιαίου συνίσταται· *πνοὴν* γὰρ *ἰσχυροῦ* τὸ πνεῦμα ἐκάλεσεν, ἐπειδὴ προστάξει Θεοῦ γίνεται.

« Gubernat autem aquam qualiter illi placuerit. »

« Διακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται. »

Deus, instar periti gubernatoris ad clavum sedentis, prout prudentiæ suæ visum est, aqua utitur.

· Χρῆται δὲ τῷ ὕδατι ὡς ἂν ἐθέλῃ Θεὸς κατὰ τὴν ἰδίαν σοφίαν, ὥσπερ τις κυβερνητικῆς ἐπιστήμης C ἔμπειρος, ἐπὶ τῶν οἰάκων καθήμενος.

Vers. 11. « Et electum format nubes. »

« Καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη. »

Pro, *format*, alia exemplaria habent, *obstupefacit*. Dicit igitur, quod aeris convolutio et densatio, nubiumque compago, hominem *electum*, id est, prudentem, mentis caligine laborare faciat, ac talium miraculorum metu percellat. Symmachus vero sic reddidit : *Sed et nubes fructui incumbet;* ita ut illud, *format*, pro, *obumbrat*, dictum sit; sub nomine autem *electi*, fructus significatur. Nubes igitur fructui *incumbet*, vel *ingruet*, id est, superveniet, superfundetur.

· Ἕτερα δὲ ἀντίγραφα ἀντὶ τοῦ, *καταπλάσσει*, *καταπλήσσει*, ἔχουσι. Φησὶν οὖν, ὅτι σκοτοδινιᾷν, καὶ ἐκπλήττεσθαι ἐπὶ τοῖς τοιούτοις θαύμασι τὸν *ἐκλεκτὸν*, τουτέστι, τὸν συνετὸν, παρασκευάζει ἡ τοῦ ἀέρος συστροφὴ καὶ πύκνωσις, καὶ τῶν νεφῶν ἡ σύστασις. Ὁ δὲ Σύμμαχος οὕτως ἐκδέδωκεν, *Ἀλλὰ καὶ καρπῷ ἐπιβρίσει νεφέλη*· ὥστε τὸ, *καταπλάσσει*, ἀντὶ τοῦ, *ἐπισκιάζει*, εἴρηται· τῷ δὲ ὀνόματι τοῦ *ἐκλεκτοῦ*, ὁ καρπὸς δηλοῦται. *Ἐπιβρίσει* οὖν ἡ νεφέλη τῷ καρπῷ, τουτέστιν, ἐπελεύσεται, ἐπιχυθήσεται.

« Disperget nubilum lucem ejus. »

« Διασκορπιεῖ νέφος φῶς αὐτοῦ. »

Vel hoc dicit, aerem nubibus plenum, lumen D dissipare et occultare; vel, solem jubare suo nebulosi aeris tristitiam dispellere; vel, nubes inter se collisas lumen emittere; ac si diceret, nubes fulgurum causas exsistere.

* Ἢ τοῦτο λέγει, ὅτι νεφῶν πληρούμενος ὁ ἀὴρ, διασκορπίζει καὶ κρύπτει τὸ φῶς· ἢ, ὅτι φῶς τὸ ἡλιακὸν ἐπιλάμψαν, διασκεδάζει τὴν ἐκ τῶν νεφῶν τοῦ ἀέρος κατήφειαν· ἢ, ὅτι ἀλλήλαις αἱ νεφέλαι συρρηγνύμεναι, φῶς ἀφιᾶσιν· ἵνα εἴπῃ, ὅτι καὶ τῶν ἀστραπῶν αἴτια τὰ νέφη γίνονται.

Vers. 12. « Et ipse circuitus transvertet. »

« Καὶ αὐτὸς κυκλώματα διαστρέψει. »

Ipse, inquit, Deus, statuto tempore ut fiant imperans, nubes in circulo undique circumagit et circumvolvit : vel, secundum Symmachum : *Ipse per circuitum vertitur;* id est, Ubique præsens, obit omnia et lustrat.

Αὐτὸς δὲ, φησὶν, ὁ Θεὸς ἐν κύκλῳ πανταχῇ τὰ νέφη περιάγει καὶ περιστρέφει, κατὰ καιρὸν γίνεσθαι προστάττων· ἢ κατὰ Σύμμαχον· *Αὐτὸς κυκληδὸν ἀναστρέφεται*, τουτέστι, Πάντα ἐφοδεύει, πανταχοῦ παρών.

« In Thebulatholh, in opera eorum, omnia quæ mandaverit eis. »

« Ἐν θεεβουλαθὼθ, εἰς ἔργα αὐτῶν, πάντα ὅσα ἂν ἐντείληται αὐτοῖς. »

Symmachus autem : *in gubernatione sua ut ea*

· Ὁ δὲ Σύμμαχος· *Ἐν τῇ κυβερνήσει αὐτοῦ εἰς*

Digitized by Google

τὸ ἐργάζεσθαι αὐτά· ἵνα εἴπῃ, Διακίζει τὸ ὕδωρ ὡς βούλεται, ἐν τῇ κυβερνήσει αὐτοῦ· καὶ ταῦτα πάντα ἐργάζεται εἰς τὴν ἡμετέραν διοίκησιν. Ἕτερα δὲ ἀντίγραφα οὕτως ἔχει· *Ἐν τοῖς κατωτάτω θεὶς ἔργα αὐτοῦ*, τουτέστι, δι' ἡμᾶς τοὺς ἐπὶ γῆς ταῦτα ποιῶν.

A *operentur ;* ac si diceret : Aquam gubernatione sua, ut ipsi visum est, regit ; et hæc omnia administrationis nostræ et regiminis causa operatur. Alia vero exemplaria sic habent : *In infimis ponens opera sua*, id est, propter nos qui in terra sumus, hæc faciens.

« Ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς, ἐάν τε εἰς παιδείαν, ἐάν τε εἰς τὴν γῆν αὐτοῦ, ἐάν εἰς ἔλεος εὑρήσει αὐτόν. »

Vers. 13. « Hæc constituta sunt ab eo super terram, sive in disciplinam, sive in terram suam, si in misericordia inveniet eum. »

Θεοῦ γίνονται, φησὶ, τὰ ἐκ τοῦ ἀέρος ἐπὶ τῆς γῆς κατὰ ἐντολὰς καὶ πρόσταγμα Θεοῦ· καὶ γίνεται ταῦτα ἤτοι διὰ παιδείαν ἁμαρτανόντων, ἢ διὰ καρποφορίαν τῆς γῆς, ἢ καὶ δι' ἄλλας αἰτίας ἀγνώστους μὲν ἡμῖν· πάντως δὲ δήπου δι' ἀνθρώπων ἔλεον, εὑρήσει οὖν τις αὐτὸν διὰ ταύτας τὰς αἰτίας ταῦτα ποιοῦντα. Ἐπιβαλεῖς δὲ καὶ ὧδε, ὅτι τὰ τοιαῦτα γίνεται, ἢ διὰ παιδείαν καὶ ἐπιστροφήν, ἢ διὰ καρποὺς τῆς γῆς καὶ βλαστήματα, ἐάν περ ἡ γῆ εὕροι τὸν Θεὸν εἰς ἔλεον νεύοντα.

Dei, inquit, mandato et præcepto in terra eveniunt quæ ex aere descendunt ; fiuntque hæc vel propter peccantium castigationem, vel propter terræ fertilitatem, et fructuum ubertatem, vel alias ob causas nobis quidem incognitas ; omnino autem propter misericordiam erga genus humanum, hæc ab eo fieri his de causis quis inveniet. Addere autem hoc loco etiam poteris, quod propter correctionem et conversionem, vel propter terræ germina et fructus, talia fiant, si modo terra ad misericordiam Deum proclivem invenerit.

« Ἐνωτίζου ταῦτα, Ἰώβ, στῆθι νουθετούμενος [r] δύναμιν Κυρίου. »

Vers. 14. « Auribus percipe hæc, Job, sta commonitus virtutem Domini. »

Τουτέστι, Ἐγκατάθου τῇ διανοίᾳ τὰ εἰρημένα, καὶ ἀναλόγισαι τοῦ Θεοῦ τὴν ἰσχὺν ὅση τίς ἐστιν. Οὕτως Ἀκύλας, Θεοδοτίων, Σύμμαχος· *κατανόησον, σύνες, ἐνθυμήθητι.*

Id est, Quæ dicta sunt, in mente recondito, et quanta sit Dei potentia, tecum reputa. Aquila, Theodotio, Symmachus sic reddiderunt : *Considera, intellige, cogita.*

« Οἴδαμεν ὅτι ὁ Θεὸς ἔθετο ἔργα αὐτοῦ, [*Ὁ Σύμμαχος*, Ἆρα γνώσῃ πότε ἔταξεν ὁ Θεὸς περὶ αὐτῶν ;] φῶς ποιήσας ἐκ σκότους· ἐπίσταται δὲ διάκρισιν νεφῶν. »

Vers. 15, 16. « Scimus quia posuit Deus opera sua, [*Symmachus*, Nunquid intelliges quando Deus de iis constituit ?] cum faceret lumen de tenebris ; scit autem differentiam nubium. »

Οἴδαμεν, φησὶν, ὅτι ὁ Θεός ἐστιν ὁ ταῦτα ἐργαζόμενος, οὗ καὶ πρώτη φωνή· *Γενηθήτω φῶς*, τὸ πρὶν οὐκ ὂν δηλαδή· τοῦτο γάρ ἐστι τὸ, *ἐκ σκότους*· καὶ ὁ τὰ νέφη διακρίνων καὶ διορίζων, ὥστε τὰ μὲν ὗειν, τὰ δὲ ψεκάζειν, τὰ δὲ νίφειν. Κατὰ δὲ τὸν Σύμμαχον· Μὴ συμπαρῆς δημιουργοῦντι τῷ Θεῷ τὸν κόσμον ; ὅτε σκότος ἦν ἐπὶ τῶν ὑδάτων ; ὅτε πάντα τὰ ἔργα αὐτοῦ, ὡς ἠθέλησε, διετάξατο ; Οὐκοῦν παραχώρει τῇ τοῦ Θεοῦ δυνάμει, καὶ τοῖς ἀνεφίκτοις αὐτοῦ κρίμασι. Ταῦτα δὲ λέγει, πρὸς φόβον, ὡς οἴεται, τὸν Ἰὼβ ἐνάγων, τὸν μηδέποτε τὸν ἀγνοποιὸν τοῦ Θεοῦ καταλείψαντα φόβον, τὸν λέγοντα, *Χεῖρα δὲ Κυρίου εἰ μὴ ἐδεδοίκειν*.

Novimus, inquit, Deum harum rerum auctorem et opificem esse, cujus prima vox erat : *Fiat lux* [84] ; cum prius scilicet non exsisteret, (illud enim est, *de tenebris*) et qui nubes distinguat et discriminet, ita ut quædam ex iis largum et copiosum imbrem effundant, quædam guttatim depluant, aliæ vero in nivem convertantur. Secundum autem Symmachum : Nunquid præsens aderas cum Deus mundum fabricaret ? cum tenebræ faciem aquarum operirent ? cum opera sua omnia pro arbitratu disponeret ? Divinæ igitur potentiæ cedito, et incomprehensibilibus ejus judiciis fasces submittito. Hæc autem ideo ab eo dicta sunt, ut Jobo (qui Dei timorem qui castum reddit, nunquam deseruerat, et qui illud protulerat : *Manum autem Domini si non formidavi* [85]) metum, prout arbitrabatur, inculeret.

« Ἐξαίσια δὲ πτώματα πονηρῶν· σοῦ δὲ ἡ στολὴ θερμή. »

« Et ingentes lapsus malorum : tua vero stola est calida. »

Τοῦτό φησιν, ὅτι Ἐν ὀδύναις εἶ νῦν, ἀλλ' ὕστερον ἀναπαύσῃ. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας, τὸ λύσιν τινὰ καὶ πέρας ἐπινοῆσαι τοῖς ἀνθρώποις [t] κακοῖς, τὸν θάνατον. Σοῦ τοίνυν ἡ στολὴ, φησὶν, ἔτι ὑπὸ τοῦ σώματος ὀδυνῶν τεθέρμαται, πλὴν εἰκὸς προσδ'χεσθαι καὶ ἀνάψυξιν.

Hoc est quod dicit : Doloribus et ærumnis nunc premeris, postea vero requiem consequeris. Et hoc quidem divina prudentia fit, quæ humanorum malorum laxamentum quoddam et exitum, mortem adinvenit. Stola igitur, inquit, tua a doloribus corporis adhuc calescit, verisimile autem est ut refrigeretur.

« Ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς ἀπὸ νότου. »

« Quiescit vero super terram ab Austro. »

[84] Gen. I, 3. [85] Job XXXI, 23.

VARIÆ LECTIONES.

[q] Ισ. del. οὖν. [r] γρ. νουθετοῦ, et sic in Ms. Theclæ. [t] Ισ. ἀνθρωπίνοις.

Digitized by Google

Quiescit, inquit, et sedatur hiems in terra *ab Austro*, id est, vento australi flante : cum enim natura calidus sit, glaciem et frigus dissolvit.

VERS. 18. « Firmationes cum eo in antiquitates, validæ ut visio effusionis. »

Pro quibus Aquila transtulit : *Ipse firmavit cælum in conversiones, validæ velut aspectus suffusionis ;* ut sensus hujusmodi sit : Ipse ab antiquo ex fluxa et fusili aquarum natura firmamentum validum et stabile effecit. Vel si volueris : Ipse calore noti glaciem resolvit : rursusque aquarum firmationes, et congelationes, et quasi in crystallum concretiones, apud eum sunt ; interdum enim hoc, interdum illud facit. Licet autem aqua congelata in crystallum conglaciaverit, aspectus tamen ejus est sicut aspectus *suffusionis*, id est, aqueæ et fusilis substantiæ.

VERS. 19. « Quare, doce me quid dicemus ei ; et requiescamus multa dicentes. »

Id est, Cur hæc, inquit, facta sint, illum interrogare non possumus : hæc solum si in potestate nostra esset addiscere, amplius non adderem.

VERS. 20. « Nunquid liber et scriba adstitit mihi, ut stans faciam hominem tacere ? »

Num ex libro, inquit, sic eum alloquimur ? An homo est, ut quis dicat, Silentium illi imponam ? Nonne vides creaturam omnem characterum vices ubique supplentem, et clamantem ?

VERS. 21, 22. « Nonne omnibus autem visibile est lumen ? Splendidum est in antiquitatibus, sicut quod ab eo super nubes. Ab Aquilone nubes coloris aurei. »

Nonne lux, inquit, omnium oculis objecta est ? nonne ab annis innumerabilibus splendorem suum spargit ? quemadmodum nimirum ex eo quod in nubibus a Deo fit, perspicuum est : nubes enim puras ac coloris aurei, flatu Boreæ, imperio suo in sublime evehit.

VERS. 23. « In his magna est gloria, [*Theodotio vero*, In Deo magna est gloria] et honor Omnipotentis ; et non invenimus alium similem virtuti ejus. »

Ex hisce similibus, inquit, magnam a nobis laudem et gloriam Deo deferendam esse, colligere licet, pro eis quibus genus nostrum honore affecit, qui sapientia et potentia incomparabili præditus est.

« Qui justa judicat, non putas exaudire eum ? »

Cum Jobus supra dixisset : *Clamabo, et nusquam judicium*[86] ; Elius hoc loco, quasi ex dicto ejus arrepta occasione, Noli putare, inquit, justum judicem, et rerum omnium curatorem, nostra negli-

A ' Ἱσυχάζεται, φησὶ, καὶ ἠρεμεῖ ἐπὶ τῆς γῆς ὁ χειμὼν *ἀπὸ νότου*, τουτέστιν, ὅτε νότος ἄνεμος πνέει · θερμὸς γὰρ ὢν οὗτος, διαλύει τὸν κρυμὸν καὶ τὸ ψύχος.

« Στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώματα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως. »

' Ἀνθ' ὧν Ἀκύλας ἐκδέδωκεν, *Αὐτὸς ἐστερέωσε τὸν οὐρανὸν εἰς τροπὰς, ἐνισχύουσαι ὡς ὅρασις συγχύσεως* [1] · ὡς εἶναι τὸν νοῦν τοιοῦτον · Αὐτὸς ἐκ παλαιοῦ τὸ στερέωμα κατειργάσατο ἰσχυρὸν καὶ στερεὸν ἐκ τῆς ῥευστῆς καὶ κεχυμένης φύσεως τῶν ὑδάτων. Εἰ δὲ βούλει· Αὐτὸς καὶ τῇ θέρμῃ τοῦ νότου λύει τὸν παγετόν · καὶ πάλιν, αἱ στερεώσεις τῶν ὑδάτων, καὶ πήξεις, καὶ οἷον κρυσταλλώσεις, μετ' αὐτοῦ εἰσι · ποτὲ μὲν γὰρ τοῦτο ποιεῖ, ποτὲ δὲ B ἐκεῖνο. Ἰλὴν ἀλλὰ κἂν κρυσταλλωθῇ παγὲν τὸ ὕδωρ, ἀλλ' ὅμως ἡ ὅρασις αὐτοῦ ὡς ὅρασίς ἐστιν *ἐπιχύσεως*, τουτέστιν, ὑδατικῆς καὶ κεχυμένης οὐσίας.

« Διατί, δίδαξόν με τί ἐροῦμεν αὐτῷ · καὶ παυσώμεθα πολλὰ λέγοντες. »

Τουτέστι, Διὰ τί ταῦτα γέγονε, μὴ δυνάμεθα αὐτὸν ἐρωτῆσαι· οὐδὲν λέγω [a], φησὶν, ἂν ταῦτα μόνον δυνηθῶμεν μαθεῖν.

« Μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν, ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω ; »

' Μὴ γὰρ ἀπὸ βίβλου, φησὶ, ταῦτα λέγομεν πρὸς αὐτόν; Μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα τις εἴπῃ, Κατασιγάσω μὲν αὐτόν ; Οὐχ ὁρᾷς, ἀντὶ γραμμάτων τὴν δημιουργίαν πᾶσαν πανταχοῦ βοῶσαν;

C « Πᾶσι δὲ οὐχ ὁρατὸν τὸ φῶς ; τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν, ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν. Ἀπὸ Βορρᾶ νέφη χρυσαυγοῦντα. »

' Οὐχὶ τὸ φῶς, φησὶν, ἅπασιν εἰς θεωρίαν πρόκειται ; οὐ τηλαυγές ἐστιν ἐξ ἀναριθμήτων χρόνων; ὥσπερ, ἀμέλει, καὶ ἐπὶ τῶν νεφῶν τὸ παρὰ τοῦ Θεοῦ γινόμενον, δῆλόν ἐστι · διὰ γὰρ τοῦ Βορρᾶ νεφέλας ἀνάγει προστάγματι χρυσαυγεῖς τε καὶ καθαράς.

« Ἐπὶ τούτοις μεγάλη ἡ δόξα [*ὁ δὲ Θεοδοτίων*, Ἐπὶ τῷ Θεῷ μεγάλη ἡ δόξα], καὶ τιμὴ παντοκράτορος · καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύϊ αὐτοῦ. »

D ' Ἐκ τῶν τοιούτων, φησὶν, ἔστιν ἀναλογίσασθαι ὡς μεγάλην ὀφείλομεν ἀναπέμπειν τῷ Θεῷ τὴν δοξολογίαν, ἐφ' οἷς ἡμῶν τὸ γένος ἐτίμησεν ὁ ἀσύγκριτον ἔχων σοφίαν καὶ δύναμιν.

« Ὁ τὰ δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν; »

' Τοῦ Ἰὼβ πρότερον εἰρηκότος, *Κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα* · νῦν ὁ Ἐλιοὺς, ὡς τῆς λέξεως ἐπιλαμβανόμενος, φησὶ, Μὴ οἷον τὸν δίκαιον κριτὴν καὶ κηδεμόνα, τῶν ἡμετέρων παραμελεῖν · πάντα

[86] Job XIX, 7.

VARIÆ LECTIONES.

[1] *Ισ.* ἐπιχύσεως. [a] γρ. λέγει.

Digitized by Google

γὰρ ἐφορᾷ, καὶ πάντων ἀκούει, καὶ τὸ κατ' ἀξίαν ἑκάστῳ προσνέμει κατὰ τὴν οἰκείαν δικαιοκρισίαν.

« Διὸ φοβηθήσονται αὐτὸν οἱ ἄνθρωποι, φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ. »

Ἐπειδὴ, φησὶ, καὶ μέγας, καὶ σοφὸς, καὶ δυνατὸς, διὰ ταῦτα πάντα καὶ ὁ πολὺς καὶ [ὁ] ἀγελαῖος ἄνθρωπος δεδοικέναι αὐτὸν ὀφείλει· καὶ ὁ σοφὸς δὲ μᾶλλον, ὅσῳ καὶ πλείονος ἀξιοῦται τῆς γνώσεως.

ΚΕΦΑΛ. ΛΗ'.

Προθεωρία.

Πλοῦτος καὶ πενία, ὑγεία καὶ νόσος, τιμὴ καὶ ἀτιμία, καὶ ἁπλῶς εἰπεῖν, τῶν ἀνθρώπων ὅλος ὁ βίος, πειρατήριόν ἐστιν· ὡς αὐτὸς ἡμᾶς ὁ μέγας Ἰὼβ ἐπαίδευσε, διὰ πάντων τῶν ἀγωνισμάτων ἐγγεγυμνασμένος, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. Καὶ πλούσιος μὲν ὢν, κοινὸς ὑπῆρχε τῶν δεομένων θησαυρός· ἔνδοξος δὲ καὶ δύναμιν περιβεβλημένος, τῶν ἀδυνάτων ἐπίκουρος· οὐχ ὁ πλοῦτος αὐτὸν εἰς ἐξιτηλίαν ἐκίνησεν, οὐχ ἡ περιφάνεια τὴν ἀλαζονείαν ἔτεκεν. Οὕτως ἀνδρείως τὰ πρῶτα πηδήσας σκάμματα, ἐπὶ τοὺς δευτέρους καὶ χαλεπωτέρους ἀγῶνας ἐπαπεδύσατο συγχωρήσει Θεοῦ, πρὸς ὅλην ἀθρόως τοῦ διαβόλου τὴν κακουργίαν γενικῶς ἀντιταξάμενος. Καὶ ὁ βασιλεὺς, ὁ πολύπαις, καὶ ἔνδοξος, καὶ τῷ πλούτῳ πανταχόθεν περιῤῥεόμενος, ἐπὶ τῆς κοπρίας παρέῤῥιπτο, πένης, ἄδοξος, καταγελώμενος, ἑλκώμενος, ἰχῶρας ῥέων, πάντας ὑπερβάλλων τῇ ταλαιπωρίᾳ, τούς τε πρότερον γεγενημένους, καὶ ὅσους ὕστερον εἶδεν ὁ βίος ἐν συμφοραῖς ἐξεταζομένους· προσθήκη δὲ αὐτῷ γέγονε τῶν κακῶν καὶ ἡ τῶν φίλων διάλεξις, ἀντὶ λόγων παρακλητικῶν ἀθυμίας αὐτῷ καὶ ὀδύνης ἀπεργαζομένη ἐπίτασιν. Ἐπειδὴ δὲ ὁ μέγας ἀθλητὴς ἅπαντα νομίμως διεξῆλθε τὰ παλαίσματα, τότε δὴ τῆς θείας ἠκροᾶτο φωνῆς, ἀναγορευούσης μὲν αὐτοῦ τοὺς καλοὺς ἀγῶνας· Ἐπὶ τούτου γὰρ, φησὶ, συνεχώρουν σε τῷ θηρίῳ πυκτεύειν, ἵνα ἀναφανῇς δίκαιος· ἀνδριάντα δὲ αὐτὸν ὑπομονῆς καὶ παρακλήσεως τῷ παντὶ τῶν ἀνθρώπων ἀνιστώσης γένει. Εἴτε γάρ τις ἐκ πλουσίου γένηται πένης, τὸν Ἰὼβ ἔχει παράκλησιν· εἴτε ἀφανὴς ἐκ περιφανείας [1], πρὸς αὐτὸν βλέπων ἐπικουφίζει τὰ λυπηρά· εἰ δὲ καὶ ἅπαις ἐκ πολύπαιδος ὁμοῦ καὶ καλλίπαιδος, διδάσκεται λέγειν, *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο*· κἂν γυνὴ ἐρεθίζοι, ἐπιτιμηθήσεται. Ἔστιν οὖν παρακλήσεως φάρμακον πρὸς παντοδαπὴν ἀθυμίαν ἡ κατὰ τὸν Ἰὼβ ὑπόθεσις· καὶ οὐ ξενίζεταί τις ἀνηκέστῳ περιπίπτων συμφορᾷ, οὐδ' ἂν οἱ ἄκρως αὐτῷ πρὸς φιλίαν συνηρμοσμένοι ἐπεμβαίνωσι κειμένῳ καὶ ὀνειδίζωσιν. Ἀλλ' ἤδη λοιπὸν τῆς θείας φωνῆς ἐπακούσωμεν, διὰ βραχέων ἐπισκεψάμενοι, δι' ἣν αἰτίαν τοιούτοις ὁ Θεὸς πρὸς τὸν Ἰὼβ κέχρηται ῥήμασι. Τῶν φίλων τοιγαροῦν ἄριστα μὲν τὰ περὶ Θεοῦ δοξαζόντων, καὶ τῆς αὐτοῦ σοφίας, καὶ δυνάμεως, καὶ μεγαλοπρε-

A gere : omnia enim intuetur, auditque omnia, ac secundum justum suum judicium unicuique pro merito tribuit.

Vers. 24. « Propterea timebunt eum homines, timebunt quoque eum et sapientes corde. »

Cum igitur magnus, sapiens, et potens sit Deus, propter hæc omnia, homo sive nobilis sive gregarius formidare eum debet; imo et sapiens magis, quanto majore prudentia dignus est habitus.

CAP. XXXVIII.

Protheoria.

Divitiæ et paupertas, sanitas et morbus, honor et ignominia, et (ut verbo dicam) universa hominis vita, tentatio est; ut ipse magnus Jobus, armis justitiæ a dextris et a sinistris munitus, et in omni B certaminum genere probe exercitatus, nos instituit. Divitiis enim abundans, publicus indigentium thesaurus exstitit; honore autem et potestate pollens, impotentibus auxilium et suppetias tulit : non illum divitiæ ad contemptum et fastidium aliorum impulerunt, neque ampla dignitas superbiam peperit. Sic enim simul contra omnem in genere vafram diaboli astutiam dimicans, prioribus certaminibus viriliter defunctus, ad alia, et magis ardua, Dei permissu se accinxit. Qui rex erat, et numerosæ prolis pater, qui honore et divitiis undique affluebat; pauper, inglorius, ludibrio habitus, ulcerosus, tabe diffluens, omnesque homines, et ante se natos, et quotquot cum calamitatibus con- C flictantes postera vidit ætas, miseria longe exsuperans, in sterquilinio abjectus jacuit : quinetiam amicorum colloquium, pro verbis consolatoriis ægritudinem ac dolorem adaugens, malorum additamentum ei factum est. Postquam autem magnus athleta omne certaminis genus rite exantlasset, tunc demum divinam vocem, quæ præclara ejus certamina prædicaverat (Idcirco, inquit, cum fera bestia luctari te passus sum, ut justus appareres), ipsum autem pro patientiæ et solatii simulacro universo hominum generi posuerat, audire meruit. Si enim ex divite quispiam pauper evaserit, Jobum consolatorem habet; si ex illustri obscurus devenerit, in illum oculos conjiciens, molestias suas levat; si vero numerosa simul et præclara sobole stipatus, ad orbitatem redactus fuerit, dicere illud docetur : *Dominus dedit, Dominus abstulit* [67]; si conjux ad iram stimularit, objurgabitur. Contra omnigenam igitur animi ægritudinem Jobi historia solatii pharmacum est; adeo ut qui in calamitatem gravem et immedicabilem inciderit, rei novitate minime turbetur, etiamsi amici ejus intimi prostrato insultent, et jacentem conviciis onerent. Reliquum autem jam est, ut divinæ voci aurem præbeamus, breviter considerantes, quæ ratio Deum impulerit ut Jobum hujusmodi verbis alie-

[67] Job I, 21.

VARIÆ LECTIONES.

[1] *Isc.* περιφανοῦς.

Digitized by Google

queretur. Cum amici quidem de Deo ejusque sapientia, potentia, et majestate optime sensissent, homines autem (causa ac ratione ob quam tentationibus exercerentur, non intellecta) propter peccata solum adversa pati affirmassent, et sermones importunos, ac ejusmodi personæ incongruos usurpassent; ipse vir justus Dei sapientiam optime ac perfectissime deprædicavit: cumque nullius sceleris, quod tantas plagas mereretur, sibi conscius esset, amicis peccatorum pœnas eum luere affirmantibus, minime assentiebatur: nihilominus nec ipsi certaminis sui causa explorata erat. Unde Elius in medium prodiens, justum quidem non condemnat, neque propter peccata malis eum afflictum fuisse asseverat: atque in hoc amicos superasse videtur: eum autem mentem Jobi, ex qua verba contra Deum accusatoria protulisse videbatur, non assequeretur, tanquam insipienter eum locutum vituperat; de Dei autem sapientia et potestate præclare et mirifice disseruit. Cunctis igitur providentiam divinam sano et orthodoxo sensu admirantibus, causam vero et rationem eorum quæ Jobo acciderant ignorantibus, et quod plaga illi inflicta non peccatorum retributio, sed virtutis exercitatio esset; Deus quidem de omnibus quæ in medium allata erant judicium statuens, quæ recte de ejus providentia dicta fuerunt, calculo suo probat; ipseque etiam ea de causa Jobum blanda oratione compellans, et de judiciis suis incomprehensibilibus nos instituens, fusius ea persequitur. Amicos autem, quod de rebus quarum ignari essent, sententiam pronuntiassent, reprehendit: Elium vero neque laudat (quo animo enim Jobus verba protulisset, nescius erat, et certaminis causam ignorabat), neque vituperat, quoniam virum sanctum non condemnasset: justum autem corona insignit, victorem pronuntiat, sermonibus refocillat, quod latebat explicat, et tentationis causam palam proponit. Non enim, inquit, tanquam injustus passus est justus, sed ut justitia ejus appareret. Dum autem verbis eum excitat et corroborat, incarnationis mysterium docet, et communis humani generis hostis (quem *cetum* appellat) vires et impudentiam sub verborum involucro palam facit. Post varia autem certamina exantlata, et divinæ vocis consolationem, valetudo confestim advolavit, et qui sanie totus diffluebat ac vermibus scatebat, pristino statui subito restitutus est; noti et familiares undique confluxerunt, ac muneribus eum exceperunt; omniaque fortunæ bona duplo auctiora subsecuta sunt, liberi vero prioribus numero pares: non enim ad nihilum redacti sunt qui e corpore emigrarant. Quoniam vero Jobus mente quidem amorem Dei spirante, obscuriori autem verborum phrasi usus esset (recte enim de Deo sensisse eum manifestum est, licet iis quibus mens ejus nequaquam perspecta erat, verba contemptus protulisse

πείας, ἀποφαινομένων δὲ ὡς πάντως δι' ἁμαρτίας πάσχουσιν ἄνθρωποι, καὶ ἀγνοούντων τὸν τρόπον τῆς γυμναστικῆς τῶν πειρασμῶν ἐπαγωγῆς, οὐκ ἐν καιρῷ δὲ, οὐδὲ ἐπὶ τοιούτου προσώπου τοῖς λόγοις χρωμένων· ὁ δίκαιος ἄριστα μὲν καὶ αὐτὸς καὶ τελεώτατα περὶ Θεοῦ σοφίας ἐξαγγέλλει· οὐδὲν δὲ ἑαυτῷ συνειδὼς τῶν τοσούτων πληγῶν ἄξιον, οὐ συνέθετο τοῖς φίλοις λέγουσιν, ὅτι δι' ἁμαρτίας κολάζεται· πλὴν ἀλλὰ καὶ αὐτὸς ἠγνόει τοῦ καθ' ἑαυτὸν ἀγῶνος τὴν ὑπόθεσιν. Ὅθεν ὁ Ἐλιοὺς εἰς μέσον παρελθὼν, οὐ καταδικάζει μὲν τὸν δίκαιον, οὐδὲ ἀποφαίνεται δι' ἁμαρτίας αὐτῷ τὰς κακώσεις ἐπενηνέχθαι· καὶ κατὰ τοῦτο καλλίων τῶν φίλων φαίνεται· μὴ νοήσας δὲ τοῦ Ἰὼβ τὴν ἔννοιαν, ἐξ ἧς τοὺς δοκοῦντας εἶναι κατὰ Θεοῦ κατηγορικοὺς προέφερε λόγους, αἰτιᾶται τὸν Ἰὼβ ὡς ἀσύνετα λαλοῦντα· καλῶς δὲ καὶ ὁ Ἐλιοὺς καὶ θαυμασίως τὰ περὶ Θεοῦ σοφίας καὶ δυνάμεως ἀπήγγειλε. Πάντων οὖν ὀρθοδοξαστικῶς τὴν θείαν ἀποθαυμαζόντων πρόνοιαν, ἀγνοούντων δὲ τὴν κατὰ τὸν Ἰὼβ ὑπόθεσιν, καὶ ὅτι γυμνάσιον ἀρετῆς ἦν ἡ πληγὴ, καὶ οὐχ ἁμαρτημάτων ἀντίδοσις· τῶν εἰρημένων πάντων ὁ Κύριος ποιούμενος τὴν ἐπίκρισιν, τὰ μὲν περὶ τῆς θείας προνοίας καλῶς λεχθέντα ἀποδέχεται· διὸ καὶ αὐτὸς περὶ τούτων ἐπεξέρχεται πλατύτερον, πρὸς μὲν τὸν Ἰὼβ ἡμέρως διαλεγόμενος, διδάσκων δὲ ἡμᾶς ὡς ἀκατάληπτα τὰ κρίματα αὐτοῦ. Τοῖς δὲ φίλοις ἐπιτιμᾷ, ὡς ἀποφηναμένοις περὶ ὧν οὐκ ἤδεισαν· τὸν δὲ Ἐλιοὺν οὔτε ἐπαινεῖ· οὐ γὰρ ἔγνω τοῦ Ἰὼβ τὴν διάνοιαν ἐξ ἧς τοὺς λόγους προέφερεν, ἀλλ' οὐδὲ τοῦ ἀγῶνος τὴν ὑπόθεσιν· οὔτε ψέγει, ἐπεὶ μὴ κατεδίκασε τὸν ἅγιον· τὸν δὲ δίκαιον στεφανοῖ, καὶ ἀναγορεύει, καὶ ἀνακαλεῖται τοῖς λόγοις, καὶ τὸ ἀπόῤῥητον ἀναπτύσσει, καὶ δημοσιεύει τοῦ πειρασμοῦ τὴν αἰτίαν. Οὐ γὰρ ὡς ἄδικος πέπονθε, φησὶν, ὁ δίκαιος, ἀλλ' ἵνα δίκαιος ἀναφανῇ. Ἐπαλείφων [a] δὲ αὐτὸν τοῖς λόγοις καὶ ἀναῤῥωννὺς, διδάσκει καὶ τὸ περὶ τῆς ἐνανθρωπήσεως μυστήριον, καὶ δημοσιεύει διὰ λόγων ἐπικεκαλυμμένων τοῦ κοινοῦ τῆς ἀνθρωπότητος ἐχθροῦ, ὃν καὶ κῆτος καλεῖ, τήν τε ἰσχὺν καὶ ἰταμότητα. Μετὰ δὲ τοὺς πολλοὺς ἀγῶνας, καὶ τὴν ἐκ τῆς θείας φωνῆς παράκλησιν, ὑγεία μὲν εὐθὺς συνέτρεχε, καὶ ἀθρόως ἦν ἐν τοῖς συνήθεσιν, ὁ τοὺς ἰχῶρας ἀναβλύζων καὶ τοὺς σκώληκας ἐξομβρῶν· συνέτρεχον δὲ πανταχόθεν οἱ γνώριμοι, καὶ ξενίοις ἐδεξιοῦντο· καὶ τὰ μὲν τῆς περιουσίας διπλᾶ ἠκολούθει πάντα, οἱ δὲ παῖδες ἰσάριθμοι· οὐ γὰρ εἰς ἀνυπαρξίαν ἐχώρησαν οἱ τοῦ σώματος ἐκδεδημηκότες. Ἐπειδὴ δὲ ὁ Ἰὼβ φιλοθέῳ μὲν διανοίᾳ, σκοτεινοτέρᾳ δὲ τῇ ἐπαγγελίᾳ τῶν λόγων ἐχρήσατο· καὶ δῆλος μέν ἐστιν ἄριστα τὰ περὶ Θεοῦ δοξάζων, ἀσαφὴς δὲ ἐν οἷς ἔδοξε τοῖς οὐκ εἰδόσιν αὐτοῦ τὴν διάνοιαν, ὀλιγωρίας φθέγγεσθαι ῥήματα· καὶ ἐπειδήπερ συνετίθετο μὲν τοῖς τοῦ Ἐλιοὺς καλῶς δοξάζοντος τὰ περὶ Θεοῦ, ἐσιώπα δὲ, καὶ οὐκ ἀπεκρίνετο· ἐντεῦθεν ὁ Κύριος τῶν πρὸς αὐτὸν ἄρχεται λόγων, οἷα σιωπῶντος, καὶ τὴν οἰκείαν βουλὴν ἐπικρύπτοντος.

VARIÆ LECTIONES.

[a] γρ. ἐπαλλόμενος.

Digitized by Google

visus sit), et quoniam Elio, recte de Deo opinanti, assensum præbuisset, silentium vero egisset, nec responsum dedisset; Dominus idcirco, tanquam ad tacentem et animum suum occultantem, verba deinceps facere orditur.

« Μετὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως, εἶπεν ὁ Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν. »

Vers. 1. « Et postquam quievit Elius loqui, dixit Dominus ad Job per turbinem et nubes. »

Ἔρχεται δὲ διὰ τοῦ ἀέρος ἡ θεία φωνὴ πρὸς τὴν ἡμετέραν ἀκρόασιν κατὰ θείαν δημιουργίαν· οὐ γὰρ δὴ Θεὸς ἀνθρωπίνως φθέγγεται, ἀλλ' ὁμοῦ τε θέλει, καὶ ὁ λόγος εἰς ἔργον χωρεῖ, καὶ θείων ἡμεῖς ῥημάτων ἀκούομεν. Φθέγγεται δὲ διὰ λαίλαπος καὶ νεφῶν· λαίλαψ δέ ἐστιν ἡ τῶν ἀνέμων συστροφή· διὰ μὲν τῆς λαίλαπος, οἶμαι, καταπλήττων τοὺς περιεστηκότας, καὶ εἰς φόβον ἐνάγων· διὰ δὲ τοῦ νέφους πρὸς τὸν δίκαιον διαλεγόμενος, ὥσπερ καὶ Μωσεῖ καὶ Ἀαρών· *Ἐν στύλῳ γὰρ νεφέλης ἐλάλει πρὸς αὐτούς*, φησὶν ὁ Μελῳδός.

Dei autem operatione vox divina per aerem ad aures nostras perfertur; Deus enim more humano vocem non emittit, sed simul ac vult, sermo in actum producitur, et divinæ voces a nobis audiuntur. Per turbinem etiam et nubes loquitur (turbo autem est ventorum in se contortus vortex), circumstantes, ut arbitror, per turbinem stupore et metu percellens; per nubem vero cum justo, prout cum Moyse et Aarone, sermones serens: *In columna enim nubis loquebatur ad eos* [88], ut inquit Psalmista.

« Τίς οὗτος ὁ κρύπτων με βουλήν; [*Σύμμαχος*, σκοτεινὸς γνώμῃ;] συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; »

Vers. 2. « Quis est hic qui celat me consilium? [*Symmachus*, sententia et mente tenebricosus?] continens autem sermones in corde, et me putat celare? »

Οὐδείς, φησὶν, ἀποκρύψαι με δύναται· ἀλλὰ καὶ τὰ τῶν καρδιῶν οἶδα κινήματα, κἂν διὰ λόγων μὴ ἐξαγγέλωνται.

Nemo, inquit, celare me potest; verum cordis etiam interni motus, licet vocibus non enuntientur, noti mihi sunt.

« Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. »

Vers. 3. « Accingere tanquam vir lumbum tuum: interrogabo autem te, tu autem responde mihi. »

Ἐπιῤῥωννὺς τοιγαροῦν αὐτὸν, φησὶ, *ζῶσαι*, τουτέστιν, *ἀνδρισαι*, *ἀπόῤῥιψον* τὴν ἀθυμίαν· ἐπειδὴ γὰρ ἐπεθύμεις εἰς ὁμιλίαν ἐλθεῖν ἐμὴν, ἰδοὺ, σοὶ διαλέγομαι, ἰδοὺ πληρῶ σου τὴν αἴτησιν· σὺ δὲ δὸς ἀπόκρισιν ἀνδρικήν.

Corroborans itaque et confirmans eum, ait, *accingere*, id est, viriliter age, animi mœrorem abjice; quandoquidem colloquio meo frui desiderabas, ecce nunc te alloquor, ecce desiderium tuum expleo; tu autem, prout virum strenuum decet, responde.

« Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; »

Vers. 4. « Ubi eras cum fundarem terram? »

Ἰστέον δὲ, ὡς νῦν πρῶτον ἐκ θείας φωνῆς ὁ περὶ τῆς δημιουργίας τῆς κτίσεως εἰσάγεται λόγος, καὶ ὅτι ποιητὴς τῶν ὅλων ἐστὶν ὁ Θεὸς, καὶ ὅτι ἀνέφικτα τὰ βάθη τῆς αὐτοῦ σοφίας, καὶ ὅτι οὐ μόνον τὴν τοῦ καθ' αὐτὸν ἀγῶνος ὑπόθεσιν ἀγνοεῖ ὁ Ἰὼβ, ἀλλ' ἔστι καὶ ἄλλα μυρία ὧν οἱ λόγοι ἀπόῤῥητοι, διό φησιν·

Sciendum autem est, quod nunc primum divina vox, de creationis opificio verba faciens, introducatur, quod Deus rerum omnium conditor exsistat, quod sapientiæ ejus altitudo incomprehensibilis sit, et quod Jobus non solum certaminis sui causam ignoraverit, sed quod infinita alia sint, quorum rationes et causæ in abdito latent; idcirco ait:

« Ἀπάγγειλον δέ μοι, εἰ ἐπίστῃ σύνεσιν. »

« Indica autem mihi, si nosti scientiam. »

Τουτέστιν, Εἰ ἔχεις σύνεσιν τῆς ποιήσεως τῶν κτισμάτων, ἀποκρίθητί μοι.

Id est, Si rationem opificii rerum creatarum intelligis, responde mihi.

« Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; »

Vers. 5. « Quis posuit mensuras ejus, si nosti? aut quis est qui induxit super eam funiculum? »

Ἀκύλας δὲ καὶ Σύμμαχος, ὁ μὲν, *κανόνα*, ὁ δὲ *σχοινίον μέτρου*, ἐξέδωκεν. Ἐξ ὁμοιώματος δὲ τῶν παρ' ἡμῖν οἰκοδόμων, *μέτρα* ἔφη, καὶ *σπαρτίον*, ἐπ' ἰσότητι τῶν οἰκοδομημάτων ἀποτεινόμενον, καὶ *λίθον γωνιαῖον*, ἑκατέρους τοὺς τοίχους συνδέοντα. Εἰπὲ, φησὶν, εἰ οἶσθα τῆς γῆς τὰ μέτρα, τίς αὐτῇ ὑποβάθρα; ἐπὶ τίνος ὀχεῖται τὸ βαρὺ τοῦτο καὶ μέγα στοιχεῖον;

Aquila autem et Symmachus, hic quidem, *canonem*, ille vero, *funiculum mensuræ*, interpretatus est. Similitudine autem ducta a domorum nostrarum exstructoribus, *mensuras*, *et funiculum*, propter ædificii æquabilitatem extensum, et, *lapidem angularem*, dixit, qui utrumque parietem in unum copulat. Dic mihi, inquit, si terræ mensuras nosti, quo fulcro ipsa nitatur, quo vehiculo grave hoc et ingens elementum feratur?

« Ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι; »

Vers. 6. « Super quo circuli ejus fixi sunt? »

Οἱ δὲ ἄλλοι, *αἱ βάσεις*, *οἱ κατάπηγες*· *κρίκους* λέγει τοὺς ἀναβαστακτῆρας. Πρῶτον μὲν ἐκκρεμῆς

Alii vero, *bases*, et, *pali*, reddiderunt; libramenta autem *circulos* appellat. Primum quidem,

[88] Psal. xcviii, 7.

Digitized by Google

cum pensilis sit, inquit, quinam annuli illam, terram scilicet, sustentant? non quod revera ejusmodi sint, sed quod firmiter et solide stabiliatur, ac si annulis suppositis gestaretur et fixa esset : quoniam autem annulus corpus in sublime elevat, et quod sublime est, stabile non est, ideo, inquit, *fixi sunt.*

« Quis est autem qui misit lapidem angularem super eam? »

Quoniam, prout in ædium structura fit, firmo fundamento innixa, voluntate divina stabiliter consistat : *In manu* enim *ejus fines terræ* [89]. Potest etiam angularis lapis de unigenito Dei Filio intelligi, qui duos populos sibi copulavit, quemadmodum nimirum lapis angularis parietem utrumque conjungit.

Vers. 7. « Quando facta sunt sidera, laudaverunt me voce magna omnes angeli mei. »

Alii vero, *simul filii Dei.* Angelos in creatione mundi primo conditos fuisse, ex hoc loco manifestum est. *Voce*, inquit, *magna laudarunt*, id est : Rerum creatarum multitudinem, pulchritudinem, situm, usum, varietatem, ornatum, splendorem, concentum, et reliqua omnia videntes, quæ nobis multo accuratius intelligunt, ipso aspectu attoniti obstupuerunt.

Vers. 8. « Conclusi autem portis mare, [*id est*, Certis finibus imperio meo circumscripsi], cum fremeret, ex utero matris suæ egrediens. »

Fremeret, id est, fureret, violento impetu ferretur, ad obruendam terram universam fluctibus paratum, tanquam infans ex abysso in lucem edi festinaret, si divinis mandatis, quæ portarum nomine appellavit, prohibitum non fuisset : abyssum vero *matrem* ejus vocat, vel potentiam suam, quæ mari causam exsistentiæ præbuit. Quædam autem exemplaria pro illo, *cum fremeret*, habent, *cum obstetricis opera in lucem prodiret*, id est, cum primum exsistere inciperet, tunc illud mœnibus inclusi. Cur autem dicit : *Cum obstetricis opera in lucem prodiret?* Ut non simul universum, sed paulatim, tanquam obstetrice curante, ea forma productum, ac primo quidem diffusum, deinde formatum, et in unum collectum fuisse ostenderet.

Vers. 9. « Posui autem ei nubem operimentum, et nebula quasi fascia obvolvi illud. »

Symmachus autem : *Tanquam nube circumvolvi illud;* nubes enim et nebula ex eo oriuntur. Quia vero uteri materni mentionem fecerat, tanquam de infante sermo esset, metaphoræ insistens, dicit, *posui*, et, *fascia obvolvi*, quod est, *circumvolvi* illud; nebula etiam et nubibus, tanquam infantem pannis, involvi, id est, undique texi. Noli autem existimare, vapores qui ex aquis generantur, naturæ opus esse, cum hoc etiam meo imperio fiat. Cur autem dicit, *fascia obvolvi?* An quia nubes et nebulæ mari non minus necessariæ quam infanti fasciæ exsi-

[89] Psal. XCIV, 4.

A ἐστι, φησι, ποῖοι κρίκοι αὐτὴν φέρουσι, τὴν γῆν δηλονότι; οὐχ ὡς τούτων ὄντων, ἀλλ' ὡς ἀσφαλῶς οὕτω βεβηκυίας αὐτῆς, ὥσπερ ἂν εἰ κρίκοι ἦσαν ἄνωθεν βαστάζοντες καὶ πεπηγότες. Ἐπειδὴ γὰρ ὁ κρίκος μετέωρον φέρει τὸ σῶμα, τὸ δὲ μετέωρον οὐχ ἕστηκε, διὰ τοῦτό φησι, *πεπήγασιν.*

« Τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς; »

Ὅτι οὕτως ἕστηκεν ἑδραία, ὥσπερ ἐπ' οἰκοδομῆς, ἐπ' ἀσφαλείᾳ βεβηκυῖα θεμελιώσεως τῇ βουλήσει τοῦ Θεοῦ· Ἐν γὰρ τῇ *χειρὶ αὐτοῦ τὰ πέρατα* τῆς γῆς. Δύναται δὲ ὁ γωνιαῖος λίθος καὶ εἰς τὸν Μονογενῆ νοεῖσθαι, τοὺς δύω λαοὺς ἑαυτῷ συνάψαντα, B ὥσπερ ἀμέλει καὶ ὁ γωνιαῖος λίθος ἀμφοτέρους συνδεῖ τοὺς τοίχους.

« Ὅτε ἐγενήθησαν ἄστρα, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. »

Οἱ δὲ ἄλλοι, *ἅμα υἱοὶ Θεοῦ.* Ἀπὸ τούτου δῆλον, ὅτι πρῶτοι οἱ ἄγγελοι τοῦ κόσμου γεγένηνται. Καὶ *φωνῇ*, φησὶ, *μεγάλῃ ἤνεσαν*, τουτέστιν, Ἀπὸ τῆς ὄψεως αὐτῆς ἐξεπλάγησαν, ὁρῶντες τὸ πλῆθος, τὸ κάλλος, τὴν θέσιν, τὴν χρείαν, τὴν ποικιλίαν, τὴν φαιδρότητα, τὴν λαμπηδόνα, τὴν ἁρμονίαν, τὰ ἄλλα πάντα, ἅπερ ἀκριβέστερον ἡμῶν συνορῶσιν ἐκεῖνοι.

« Ἔφραξα δὲ θάλασσαν πύλαις [Ἀντὶ τοῦ, Ὅροις τισὶ περιέκλεισα τῷ προστάγματι], ὅτε ἐμαίμασεν, ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη. »

C Τὸ *ἐμαίμασσεν*, ἀντὶ τοῦ, οἴστρα, ὁρμητικῶς εἶχε, καθάπερ τι βρέφος ἀποκυηθῆναι τῆς ἀβύσσου ἠπείγετο, πᾶσαν ἐπικλύσαι τὴν γῆν προθυμουμένη τοῖς ὕδασιν, εἰ μὴ ταῖς θείαις διεκωλύθη προστάξεσιν, ἃς πύλας ἐκάλεσε. *Μητέρα* δὲ αὐτῆς τὴν ἄβυσσον λέγει, ἢ καὶ τὴν ἑαυτοῦ δύναμιν, ὡς αἰτίαν αὐτῇ τῆς ὑπάρξεως γενομένην. Τινὰ μέντοι τῶν ἀντιγράφων ἀντὶ τοῦ, *ὅτε ἐμαίμασσεν*, *ὅτε ἐμαιοῦτο*, ἔχει· τουτέστιν, ὅτε ἐγένετο, τότε αὐτὴν ἐτείχισα. Τίνος δὲ ἕνεκέν φησιν, *ὅτε ἐμαιοῦτο;* Ἵνα δείξῃ ὅτι κατὰ μικρὸν γέγονε, καὶ οὐχ ὁμοῦ οὕτω παρῆχθη, ἀλλὰ καθάπερ μαιουμένη, πρῶτον μὲν διεχύθη, εἶτα διεπλάσθη καὶ σύνῃχθη.

D « Ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα. »

Ὁ δὲ Σύμμαχος· Ὡς *νεφέλῃ περιείλησα αὐτήν*· ἐξ αὐτῆς γὰρ νέφη καὶ ὁμίχλαι. Ὡς ἐπὶ βρέφους δὲ τὸ, *ἐθέμην*, καὶ, *ἐσπαργάνωσα*, λέγει, ὅ ἐστι, *περιείλησα*· ἐπειδὴ γὰρ κοιλίας μητρὸς ἐμνήσθη, ἐπέμεινε τῇ τροπῇ· οἱονεὶ γὰρ ἔμβρυον, ὁμίχλῃ καὶ νέφεσιν αὐτὴν ἐσπαργάνωσα, τουτέστι, περισκέπασα. Μὴ δὴ τοῦτο τῆς φύσεως εἶναι νομίζῃς, τοὺς ἀπὸ τῶν ὑδάτων ἀτμούς· καὶ τοῦτο ἀπὸ τοῦ ἐμοῦ προστάγματος, φησί. Τίνος δὲ ἕνεκέν φησιν, *ἐσπαργάνωσα;* ἆρα ὡς τῷ βρέφει χρήσιμα τὰ σπάργανα, οὕτω καὶ τῇ θαλάσσῃ; ἢ ὅτι ἐξ ἀρχῆς

Digitized by Google

τοῦτο γέγονεν; ἢ ὅτι τοῦτο αὐτὴν κατέχει; ἢ τὸ θαυμαστὸν δείκνυσιν, ὅτι τὸ ῥευστὸν περιέβαλον [y] ἀέρι; καὶ ὅτι οὐχ ὑπὸ γῆς μόνον, ἀλλὰ καὶ ὑπὸ ἀέρος κατέχεται, οὔτε πρὸς ὕψος, οὔτε πρὸς πλάγιαν [z] ἐξενεχθῆναι παρὰ τὸ μέτρον δυναμένη;

« Ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας. »

Ὅμοιον τῷ ἀνωτέρω, *Ἔσφραξα δὲ θάλασσαν πύλαις*· καὶ νῦν γὰρ *κλεῖθρα* καὶ *πύλας*, τὴν διὰ τοῦ ἰδίου προστάγματος ὁροθεσίαν καλεῖ καὶ ἀσφάλειαν. Περιώρισα, φησὶ, τῆς θαλάσσης τὰ κύματα, ἵνα μὴ τοὺς ὅρους ἐκβαίνοντα, τὴν γείτονα χέρσον λυμαίνωνται.

« Εἶπα δὲ αὐτῇ· Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. »

Ὁ δὲ Σύμμαχος· *Ἕως ὧδε τεταχθω τὸ ἔπαρμα τῶν κυμάτων σου.* Οὕτω μὲν γὰρ ἀσφαλῶς κατέχει αὐτὴν, ὡσανεὶ κλείθροις· οὕτω δὲ εὐκόλως, ὡσανεὶ ἐπιτάξας. *Εἶπε* [a] γὰρ, φησὶ, καὶ οὐκ ἔστιν ἀντειπεῖν. Καὶ τοῦτο γίνεται, οὐ μόνον μηδεμιᾶς ἀνάγκης αὐτὴν ὠθούσης, ἀλλὰ καίτοι πολλῆς τῆς βίας καὶ τῆς ῥύμης αὐτὴν μαστιζούσης. Διὰ γὰρ τοῦτο οὐκ ἀφῆκεν αὐτὴν εἶναι γαληνιαίαν οὐδὲ ἥμερον, ἵνα κηρύττῃ τοῦ Θεοῦ τὴν ἰσχὺν, τῆς φύσεως τῷ προστάγματι μαχομένης, καὶ τοῦ προστάγματος πανταχοῦ νικῶντος· εἰ γὰρ ἥμερον ἦν τὸ ὕδωρ, τῇ φύσει τοῦ ὕδατος τὴν εὐταξίαν ἂν ἐλογίσαντο πολλοί· νῦν δὲ ταραττομένη, μαστιζομένη, ὠθουμένη ἔνδον, καὶ τὰ ὅρια ὑπερβαίνειν μὴ δυναμένη, διὰ τῆς ταραχῆς κηρύττει τοῦ Θεοῦ τὴν ἰσχύν.

stant? an quia ab initio ita fuerit? an quia his contineatur? an vero, ut miraculum ostendat, quod elementum scilicet natura fluxum aere cinxerit? et quod non tantum terra, sed aere etiam, ita ut neque in sublime, neque in latus, præter mensuram efferi queat, intra terminos suos contineatur?

Vers. 10. « Et posui illi terminos, circumponens claustra et portas. »

Simile hoc est illi quod supra habetur : *Conclusi autem mare portis* ; nunc enim pariter terminorum designationem et stabilitatem quæ ejus imperio fiunt, *claustra* et *portas* vocat. Fluctus, inquit, maris finibus conclusi, ne limites transgrediendo vicinæ terræ damnum inferrent.

Vers. 11. « Et dixi ei : Hucusque venies, et non transibis, sed in teipso comminuentur fluctus tui. »

Symmachus : *Hucusque statuatur elatio fluctuum tuorum.* Adeo enim secure illud continet, ac si claustris et repagulis cohiberet ; et negotio tam facili, ac si nutu tantum imperaret. *Dixi* enim, inquit, et verbo meo contradicere non licet. Fit autem hoc, non solum cum nulla necessitas illud impellit, verum etiam cum vis magna et fluctuum impetus flagellat. Idcirco enim tranquillum et pacatum mare noluit esse, ut, natura ejus cum mandato pugnante, et mandato ubique prævalente, Dei robur et potentiam prædicaret : si enim aqua marina pacata fuisset, naturæ hunc ordinis decorem vulgus ascripsisset ; nunc vero cum turbata, fluctuum verberibus cæsa, et intus impulsa, limites suos transgredi non valeat, per conturbationem Dei vires annuntiat.

Vers. 12. « Aut nunquid tecum lucem constituti matutinam? »

Habito prius sermone de rebus inferioribus, ab hoc loco deinceps ad cœlum orationem traducit. Aderasne, inquit, cum dicerem, *Fiat lux* [99] ? et simul ac verbum prolatum esset, factum est.

« Et cognovit Lucifer ordinem suum, [*reliqui vero*, Notum fecisti diluculo locum suum?] [Vers. 13] apprehendere pennas terræ. »

Lucifer inter stellas prima est. Ordinis decorem in aquis observasti, in cœlo eumdem intuere ; illicque etiam non natura, sed Dei providentia res gubernari discito : si enim naturæ fluxæ et inordinatæ tantam ordinis concinnitatem tantumque concentum inesse, et in cœlo simillter rem se habere videris, recordatio auctoris veniat tibi in mentem. *Apprehendere* autem, id est, lustrare et circumire, ita ut ubicunque sit, lumen in universam terram diffundat, etiam in ultimos fines : adeo ut in sole mirandum illud non sit, cum in stellis virtus hæc reperiatur, et Lucifer ultimas terræ oras luce sua collustret : dicitur autem spatio unius noctis extremos terræ cardines complecti.

« Ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωΐνον; »

Πάλιν ἐντεῦθεν ἐπὶ τὸν οὐρανὸν τὸν λόγον εἵλκυσε, πρότερον ἀπὸ τῶν κάτω διαλεχθείς. Καὶ παρῆς, φησὶν, ὅτε εἶπον· *Γενηθήτω φῶς*; καὶ τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθησεν.

« Ἐωσφόρος δὲ εἶδε τὴν ἑαυτοῦ τάξιν, [*οἱ δὲ λοιποὶ*, Ἐγνώρισας τῷ ὄρθρῳ τόπον αὐτοῦ] ἐπιλαβέσθαι πτερύγων γῆς. »

Ἑωσφόρος ἐστὶ τῶν ἀστέρων ὁ πρῶτος. Ἔμαθες ἀπὸ τῶν ὑδάτων τὴν εὐταξίαν, ὅρα ταύτην καὶ ἐν οὐρανῷ, καὶ ὅτι κἀκεῖ οὐ φύσει τὰ πράγματα οἰκονομεῖται, ἀλλὰ προνοίᾳ Θεοῦ· εἰ γὰρ ἐν ῥευστῇ φύσει καὶ ἀτάκτῳ τοσαύτη εὐταξία, τοιοῦτος ῥυθμὸς, ὅταν ἴδῃς τοῦτο καὶ ἐν οὐρανῷ, ἀναμνήσθητι τοῦ αἰτίου τούτων γινομένου. Ἐπιλαβέσθαι δὲ, τουτέστι, περιπολεῖν, ὅτι ὅπου ἂν ᾖ, τὸ φῶς πανταχόθεν τῆς οἰκουμένης ἐκπέμπει, καὶ τοῖς [b] εἰς τὰ πέρατα· ὥστε οὐδὲν θαυμαστὸν περὶ τοῦ ἡλίου τοῦτο, ὅπουγε καὶ ἐν τοῖς ἀστράσι τοῦτό ἐστι, καὶ ὁ ἑωσφόρος τὰ ἄκρα τῆς γῆς καταφωτίζει· λέγεται δὲ καὶ ἐν μιᾷ νυκτὶ τὸ ἄκρον τῆς γῆς καταλαμβάνειν.

[99] Gen. 1, 3.

VARIÆ LECTIONES.

[y] Ισ. περιέβαλεν. [z] Ισ. πλάγιον. [a] Ισ. εἶπα. [b] Ισ. καίτοι.

Digitized by Google

Vers. 14. « Aut tu sumens terram lutum, plasmasti animal, et idoneum ad loquendum eum posuisti super terram? »

Olympiodori, Severi et *Chrysostomi.* Num tu, inquit, o Jobe, accepto pulvere aqua madefacto, hominem e terra finxisti? num ratione, prout ego, eum ornasti, et mundi ornamentum ostendisti? Unde apparet cætera animantia ratione destituta fuisse, quam quidem Deus homini, tanquam ipsi peculiarem, attribuit; *animal* enim *idoneum ad loquendum*, rationale vocat. Illud autem : *Poni super terram*, est, omnium quæ in terra sunt dominum constitui. Adeo ut propter utrumque hoc Deum ego admirer, quod corpus humanum corruptioni obnoxium condiderit; et quod potentiam ac sapientiam suam in corruptione manifestaverit (substantiæ enim vilitas, artificii penuriam et difficultatem præcipue declarat), quod luto scilicet et cineri tantam harmoniam, ac tales sensus, tam varios et omnigenos, quique tam largam philosophandi materiam præbeant, indiderit : e terra etenim, quæ materiam tantum tegulæ et lateri ministrat, oculum tam pulchrum fabricare, tantisque viribus instruere valuit, ut exiguæ pupillæ perceptione tot numero corpora videre et complecti possit.

Vers. 15. « Et abstulisti ab impiis lucem, et brachium superborum comminuisti. »

Impios punire, et vires eorum atterere, dextræ divinæ et efficaciæ opus est.

Vers. 16. « Aut venisti ad fontem maris, aut in vestigiis abyssi ambulasti? »

Ad mare rursus sermonem transfert, ac dicit : Nostine unde initium traxerit mare? vel *vestigia*, id est, ultimos abyssi fines, cognitione comprehendisti? Fontis autem meminit, non quod mare a fonte profluat, sed quasi e fonte scaturiret, nequaquam deficiat.

Vers. 18. « Aut cognovisti latitudinem ejus quæ sub cœlo? »

Id est, Intellexisti, advertisti, aut accurate latitudinem terræ dimensus es?

« Narra ergo mihi, quantanam sit? »

Dic quisnam sit ejus diameter. Non hoc, inquit, dico, quod nihil eorum facere possis quæ a me facta sunt; sed, quod ne viam quidem et rationem qua facta sint intelligas, nec eorum naturam comprehendere, et singula accurate contemplari valeas. His verbis Deus Jobum de intervallo et discrimine quod inter ipsos positum est, instruit.

Vers. 19-21. « Aut in qua terra habitet lux [*alii*, degit, quiescit]? Aut quis tenebrarum locus? si duces me in fines earum, quod si et nosti semitas earum? [*Symmachus*, habitationis calles] Nosti igitur quia tunc natus es, et numerus annorum tuorum multus? »

A « Ἢ σὺ λαβὼν γῆν πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς; »

Ὀλυμπιοδώρου, Σεβήρου καὶ *Χρυσοστόμου.* Ἀλλὰ [c-d] σὺ, φησὶν, ὦ Ἰὼβ, λαβὼν χοῦν ὕδατι βεβρεγμένον, ἀπὸ γῆς ἔπλασας ἄνθρωπον; καὶ λόγῳ τοῦτον ἐκόσμησας, ὥσπερ ἐγὼ, καὶ τοῦ κόσμου κόσμον ἀνέδειξας; Ὅθεν δῆλον ὅτι τὰ ἄλλα οὐκ εἶχε τὸ λογικὸν, οὐ γὰρ ἂν ὡς ἐξαίρετον αὐτῷ τῷ ἀνθρώπῳ προσῆψε· *λαλητὸν* γὰρ τὸ λογικὸν φησι *ζῶον*. Τὸ δὲ, *Τεθῆναι ἐπὶ τῆς γῆς*, τὸ ταχθῆναι κυριεύειν πάντων τῶν ἐπὶ τῆς γῆς. Ὡς ἔγωγε δι' ἀμφότερα ταῦτα θαυμάζω τὸν Θεὸν, ὅτι τε φθαρτὸν τὸ ἀνθρώπινον σῶμα ἐποίησε, καὶ ὅτι ἐν τῇ φθορᾷ τὴν οἰκείαν ἰσχὺν ἐπέδειξε καὶ σοφίαν· τὸ γὰρ εὐτελὲς B τῆς οὐσίας, τοῦτο δείκνυσι μάλιστα τῆς τέχνης τὸ εὔπορον [e] καὶ εὐμήχανον· ὅτι ἐν πηλῷ καὶ τέφρᾳ τοσαύτην ἐνέθηκεν ἁρμονίαν, καὶ τοιαύτας αἰσθήσεις, οὕτω ποικίλας καὶ παντοδαπὰς, καὶ τοιαῦτα δυναμένας φιλοσοφεῖν· καὶ γὰρ ἀπὸ γῆς, τῆς ὕλης ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ἴσχυσεν ὀφθαλμὸν οὕτω ποιῆσαι καλὸν, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα ὁρᾷν καὶ περιλαμβάνειν σώματα.

« Ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας. »

Τὸ κολάζειν ἀσεβεῖς, καὶ τὴν δύναμιν αὐτῶν συντρίβειν, τῆς θείας ἐστὶ δεξιᾶς καὶ ἐνεργείας.

C « Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; »

Πάλιν ἐπὶ τὴν θάλασσαν τὸν λόγον μετήγαγε, καὶ φησιν, Ἔγνως πόθεν ἡ θάλασσα ἔσχε τὴν ἀρχήν; ἢ *τὰ ἴχνη*, τουτέστι, τὰ ἔσχατα τῆς ἀβύσσου κατέλαβες; Πηγὴν δέ φησιν, οὐχ ὡς πηγὴν τῆς θαλάσσης ἐχούσης, ἀλλ' ὡς μὴ ἐκλειπούσης, καθάπερ πηγὴν ἐχούσης.

« Νενοήθητσαι δὲ τὸ εὖρος τῆς ὑπ' οὐρανόν; »

Τουτέστι, Συνῆκας, ἐνενόησας, ἠκριβώθης τῆς γῆς τὸ πλάτος;

« Ἀνάγγειλον δή μοι, πόση τίς ἐστιν; »

Φράσον αὐτῆς τὴν διάμετρον. Οὐ λέγω, φησὶν, D ὅτι οὐδὲν δύνασαι ποιῆσαι ὧν ἐποίησα· ἀλλ', ὅτι οὐδὲ οἶδας πῶς γέγονεν, οὐδὲ εἰδέναι αὐτὰ δύνασαι, οὐδὲ θεωρῆσαι πάντα μετὰ ἀκριβείας. Διὰ τούτων διδάσκει αὐτὸν τὸ μέσον [f] αὐτοῦ καὶ ἐκείνου.

« Ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς [*οἱ ἄλλοι*, σκηνοῖ, ἡρεμεῖ]; Σκότους δὲ ποῖος ὁ τόπος; εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν, εἰ δὲ καὶ ἐπίστασαι τρίβους [*ὁ δὲ Σύμμαχος*, ἀτραποὺς οἰκήσεως] αὐτῶν; Οἶδας ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν σου πολύς; »

VARIÆ LECTIONES.

[c-d] Ἰσ. Ἄρα. [e] Ἰσ. ἄπορον καὶ ἀμήχανον. [f] γρ. μεσότοιχον.

Digitized by Google

« Εἰπὲ δέ μοι, φησὶ, περὶ φωτὸς καὶ σκότους, ποῦ ἀποκλείονται, καὶ πόθεν ἐκπορεύονται; Ἀνάγγειλόν μοι, ποῦ τὸ φῶς, καὶ ποῦ τὸ σκότος ἀπέρχεται; Εἰ τούτων τὰς ὁδοὺς εἰδέναι φαίης, λέγε ὅτι καὶ τότε ἐγεννήθης· ὅτε ταῦτα ὡροθετήθησαν· καὶ εἰ ταῦτα ἐπίστασαι, ἴσθι καὶ πολυετής τις ὑπάρχων, ὡς ἔκτοτε γεγονώς. Διδάσκει δὲ ἐνταῦθα, ὅτι [τὸ τοῦ ἀνθρώπου ὀλιγόβιον οὐδὲ γνῶναι αὐτῷ τὰ πολλὰ ἐπιτρέπει. Τί δὲ, φησὶ, λέγω τὰ στοιχεῖα; Τὰ κατὰ σαυτὸν εἰπέ· πότε ἐγεννήθης; καὶ μὴν ἤδεις [g], ἀλλὰ παρ' ἑτέρων μαθών. Ἀλλὰ πόσος ὁ χρόνος [h]; Τὰ κατὰ σαυτὸν οὐκ οἶδας· πῶς οὖν αὐχήσεις εἰδέναι τὰ ἐξ ἀρχῆς; Ὅρια δὲ φωτὸς καὶ σκότους, τὸ πρόσταγμα τοῦ Θεοῦ, ἀντὶ μεθορίου αὐτοῖς ὄν.

A Dic autem mihi, inquit, de luce et tenebris, ubi inclusæ custodiantur, et unde prorumpant? Narra mihi, quo lux et tenebræ pergant? Si harum vias scire te dixeris, dic pariter te natum tunc fuisse, cum limitibus illæ circumscriberentur: et si hæc nosti, scito etiam te grandævum esse, qui ab eo tempore exstiteris. Docet autem hoc loco, quod vitæ brevitas hominem multa scire non patiatur. Sed cur ego, inquit, elementorum mentionem facio? Dic ea quæ ad teipsum spectant; quando natus fueris? quod quidem non scivisses, nisi ab aliis didicisses. Quantum autem vitæ spatium restat? Quæ teipsum attingunt ignoras; quomodo igitur eorum quæ ab initio fuerunt, notitiam tibi arrogaveris? Terminus autem lucis et tenebrarum Dei mandatum est, quod illis pro confinio inservit.

B

« Ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος; θησαυροὺς δὲ χαλάζης ἑώρακας; ἀπόκεινται δέ σοι εἰς ὥραν ἐχθρῶν εἰς ἡμέραν πολέμων καὶ μάχης. »

Vers. 22, 23. « Aut venisti in thesauros nivis? aut thesauros grandinis vidisti? et reposita sunt tibi in tempus inimicorum, in diem bellorum et pugnæ. »

Χρυσοστόμου καὶ *Ὀλυμπιοδώρου*. Θησαυροὺς λέγει, οὐχ ὅτι ἀποθῆκαί εἰσιν, ἀλλ' ὅτι ἑτοίμως οὕτως, ὥσπερ καὶ ἐκ θησαυρῶν ἐκβάλλων, δείκνυσιν αὐτὰ ὅταν βούληται. Οἶσθα οὖν, φησὶ, πῶς τὴν μὴ φαινομένην χιόνα καὶ χάλαζαν ἐκφαίνεσθαι παρασκευάζω; ἢ δυνατὸς εἶ τούτοις κατὰ πολεμίων χρήσασθαι, ὅπερ ἐγὼ ποιεῖν ἱκανός; Ὁρᾷς ὅτι τοῦτο βούλεται τὸ εὔκαιρον δηλῶσαι, ὡς ἄρα κατὰ καιρὸν τοῦτο γίνεται, καὶ οὐχ ἁπλῶς· κέχρηται γὰρ τῇ χιόνι καὶ τῇ χαλάζῃ κατὰ πολεμίων, καὶ ὅταν τινὰς βούληται τιμωρήσασθαι. Εἶτα καὶ περὶ τῶν ἄλλων ἁπάντων διέξεισεν, ὑετῶν, λέγω, καὶ πάχνης, καὶ ἀνέμων.

Chrysostomi et *Olympiodori*. Thesauros dicit, non quia apothecæ sint, sed quia prompte cum ipsi visum fuerit, ea tanquam ex thesauris excutiens ostendat. Nosti igitur, inquit, qua ratione nivem et grandinem quæ non videntur, apparere faciam? vel an contra hostes uti his poteris, prout ego possum? Vides quod opportunitatem earum rerum his verbis ostendat, quod scilicet non temere, sed tempore opportuno eveniant; nive enim et grandine contra hostes utitur, et cum supplicio aliquos punire vult. Deinceps de aliis omnibus, de pluviis, inquam pruina, et ventis disserit.

C

« Πόθεν δὲ ἐκπορεύεται πάχνη, ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ' οὐρανόν; Τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν; » [*Οἱ ἄλλοι*, Τίς δὲ κατέστειλε τῷ κατακλυσμῷ ὑδραγωγόν;]

Vers. 24, 25. « Unde autem procedit pruina, aut dispergitur auster in eam quæ sub cœlo? Quis autem præparavit fluxum validæ pluviæ? » [*Alii vero*, Quis inundationi aquæductum præparavit?]

Πόθεν δὲ ἡ πάχνη; ἢ πῶς ὁ νότος καθ' ὅλης πνεῖ τῆς ὑπ' οὐρανόν; Πῶς λαύρως ὁ ὑετὸς καταῤῥεῖ; Πόθεν αἱ βρονταί; *κυδοιμὸν* γὰρ τὴν βροντὴν καλεῖ· καὶ πῶς τοῦ νότου τῇ θέρμῃ χιὼν στερεμνία οὖσα διαλύεται; κατὰ τὸ, *Ὡς ὁ χειμάῤῥους ἐν τῷ νότῳ*· μὴ ταῦτα, φησὶν, ἀνθρωπείας ἔργα τέχνης; Οὐκ ἀποῤῥήτου σοφίας δημιουργήματα; Ἄνεμος δέ ἐστι ῥεῦμα ἀέρος, ταῖς τῶν τόπων ἐξαλλαγαῖς ὅθεν ῥεῖ, τὰς ἐπωνυμίας ἀμείβων.

Unde autem pruina? vel quomodo auster per totam quæ sub cœlo est terram spiret? Quomodo pluvia largiter defluat? Unde tonitrua (tonitru enim *tempestatem* vocat)? Et quomodo nix solida et dura, calore austri liquefiat? juxta illud: *Sicut torrens in austro* [91]. Num hæc, inquit, ab humana arte proficiscuntur? An non arcanæ sapientiæ opera sunt? Ventus autem est aeris fluxus, pro locorum mutationibus unde fluit, appellationes alias induens.

D

« Ὁδὸν δὲ κυδοιμῶν, τοῦ ὑετίσαι ἐπὶ γῆν οὗ οὐκ ἀνὴρ, ἔρημον οὗ οὐκ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ, τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον, καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης. »

Vers. 26, 27. « Et viam tempestatum, ut pluat super terram ubi non est vir, desertum ubi non est homo in eo, ut satiet inviam et inhabitabilem, et ut germinet exitus herbæ virentis. »

· Ὁρᾷς ὅτι οὐκ ἐν ἑνὶ μέρει ἰσχυρὸς ὁ Θεὸς, ἀλλ' ἐν ἅπασι· χεῖται γὰρ, φησὶν, ὁ ὑετὸς καὶ εἰς τὴν ἀοίκητον, δηλονότι καὶ τῶν θηρίων προνοοῦντος τοῦ Θεοῦ, καὶ ἡ ἔρημος χλοάζει [i] καὶ χλοηφορεῖ δίχα τινὸς ἀνθρωπίνης ἐπιμελείας.

Vides Deum non ex una aliqua, sed omni ex parte fortem et potentem esse: pluvia enim, inquit, in terram incultam et minime habitatam (Deo scilicet etiam belluis prospiciente) effunditur, et solitudo sine ulla humana industria herbam et gramen profert.

[91] Psal. cxxv, 4.

VARIÆ LECTIONES.

[g] *Ισ.* οὐκ ἤδεις. [h] *Ισ.* suppl. ὑπολελειμμένος τοῦ βίου. [i] *γρ.* ποάζει.

Digitized by Google

VERS. 28-30. « Quis est pluviæ pater? et quis est qui peperit glebas roris? et de cujus utero procedit glacies? aut pruinam in cœlo quis peperit, quæ descendit sicut aqua fluens? »

Potesne, inquit, dicere, quis sit pluviæ pater? vel quis roris glebas pepererit, id est, coagmentationes glaciei vel pruinæ, quæ in firmamento condensata (aerem enim qui in sublimi est, hoc loco *cælum* appellat), tanquam aqua defluit, et descendens, fluvios instar succi ficulnei quo lac coagmentatur, conglaciat? Nonne hæc divinæ sapientiæ opera sunt? *De utero*, dixit, non quod ex ejus utero pruina et glacies exeat; absit! Quid igitur partus et uteri nomine hic intelligendum est? Quemadmodum cum de mari illud dicit, *quando mater illud peperit*, matrem maris non dicit, sed formationem ejus et causam indicat; sic etiam hoc loco de glacie loquitur, non quod ex utero revera prodierit. Qua de causa igitur nomen partus frequenter hic usurpavit? Mihi videtur, non tantum ut primum et solum rerum omnium creatorem, sed res etiam creatas prius formatas, quam perfectas, ac numeris omnibus absolutas fuisse, innueret: ita ut licet de Filio hæc dicantur, supervacanee quidam ea proferunt: illic enim, *Filius*, et *genui*, et *Unigenitus*, et alia ejusmodi reperire licet; hic vero nihil simile.

« Faciem impii quis exterruit? »

Ad litteram quidem, hoc de quovis impio, ad sensum vero, de diabolo intelligendum est, quem unigenitus Dei Filius, qui etiam creaturæ opifex est, penitus delevit.

VERS. 3. « Aut intellexisti nexum Pleiadis? »

Symmachus autem: *An conjunges partes Pleiadis?* Id est, Quæ necessitas, quod vinculum illam constringit, et sidera in unum coire facit? Num tuæ prudentiæ opus est, quod ita vinciantur, et in hunc modum simul sitæ sint stellæ quæ Pleiadem conficiunt? vel, An causam nosti ob quam ita inter se invicem copulentur?

« Et septum Orionis aperuisti? »

Cum Orion certo tempore appareat, An tu, inquit, causa es quod quasi sepimento interposito occultetur, et rursus appareat?

VERS. 32. An operies Masuroth in tempore suo? »

Cœtum et collectionem siderum *Mazuroth* vocat, quæ communi loquendi usu, signa Zodiaci appellantur. Quomodo igitur, inquit, hæc claustris includuntur, ac stato tempore apparent? Alii vero dicunt *Mazuroth* vocem esse Hebraicam, et significare sidereum canem. Tune, inquit, sidera quæ abscondita sunt reserabis, et unumquodque suo tempore revelabis?

« Et vesperum super comam ejus duces ea? »

Eximiam fulgoris præstantiam et venustatem, *comam*, vocat. Tune igitur, inquit, Hespero, stellæ

A « Τίς ἐστιν ὑετοῦ πατήρ; τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου; ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος; πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν, ἢ καταβαίνει ὥσπερ ὕδωρ ῥέον; »

· Ἔχεις εἰπεῖν ὑετοῦ πατέρα, ἢ βώλους δρόσου, τουτέστι, συστάσεις ἢ κρυστάλλου ἢ πάχνης, ἥτις συνισταμένη περὶ τὸ στερέωμα, *οὐρανὸν* γὰρ ἐνταῦθα τὸν εἰς ὕψος ἀέρα λέγει, ὥσπερ ὕδωρ καταῤῥεῖ· καὶ μέντοι κατιοῦσα κρυσταλλοῖ τοὺς ποταμοὺς[k] ὡς ὀπὸς γάλα; οὐ Θεοῦ ταῦτα σοφίας ἔργα; *Ἐκ γαστρός*, εἶπεν, οὐχ ὅτι ἐκ γαστρὸς αὐτοῦ ἔξεισι πάγος καὶ κρύσταλλος· μὴ γένοιτο. Ἀλλὰ τί βούλεται ὁ τόκος ἐνταῦθα καὶ ἡ γαστήρ; Ὥσπερ ὅταν λέγῃ περὶ τῆς θαλάσσης, ὅτι *Ὅτε ἡ μήτηρ αὐτὴν*

B *ὤδινεν*, οὐχὶ μητέρα λέγει θαλάσσης· οὕτω καὶ ἐνταῦθα, οὐχ ὅτι ἀπὸ γαστρὸς ἐξῆλθεν ὁ κρύσταλλος, ἀλλὰ τὴν διάπλασιν καὶ τὴν αἰτίαν. Τίνος οὖν ἕνεκεν τὸ ὄνομα τοῦ τόκου τέθεικεν ἐνταῦθα συνεχῶς; Ἐμοὶ δοκεῖ, καὶ τὸν αἴτιον αἰνίττεσθαι βουλόμενος τὸν πρῶτον καὶ μόνον, καὶ τὸ διαπλάττεσθαι τὰ δημιουργήματα πρὶν ἢ αὐτὰ ἀπαρτισθῆναι· ὥστε κἂν ἐπὶ τοῦ Υἱοῦ ταῦτα λέγηται, περιττῶς αὐτὰ προφέρουσιν[l]· ἐκεῖ γὰρ, *ὁ Υἱός*, καὶ τὸ, *ἐγέννησα*, καὶ τὸ, *ὁ Μονογενής*, καὶ ὅσα τοιαῦτα· ἐντεῦθα δὲ οὐδὲν τοιοῦτον.

« Πρόσωπον ἀσεβοῦς τίς ἔπτηξεν, »

Κατὰ μὲν τὸ ῥητὸν, ἐπὶ παντὸς ἀσεβοῦς τοῦτο νοητέον, πρὸς δὲ διάνοιαν, ἐπὶ τοῦ διαβόλου, ὃν C ἠφάνισεν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ὁ καὶ τῆς κτίσεως δημιουργός.

« Συνῆκας δὲ δεσμὸν πλειάδος; »

· Ὁ δὲ Σύμμαχος· *Ἢ συνάψεις μόρια πλειάδος*; Τουτέστι, Ποία ἀνάγκη, ποῖος σύνδεσμος ἐκεῖνα συνεχῶς[m], καὶ τὰ ἄστρα συναγελάζεσθαι ποιεῖ; Μήτι ἄρα τῆς σῆς συνέσεως ἔργον τὸ ὥσπερ δεδέσθαι, καὶ τοιῶσδε συγκεῖσθαι τοὺς συμπληροῦντας τὴν πλειάδα ἀστέρας; ἢ, Τὴν αἰτίαν οἶσθα διατί οὕτως ἀλλήλοις συνηρμόσθησαν;

« Καὶ φραγμὸν Ὡρίωνος ἤνοιξας; »

· Ἐπειδὴ κατὰ καιρὸν ὁ Ὡρίων φαίνεται, ἢ σὺ, φησὶ, παρασκευάζεις αὐτὸν ὥσπερ τινὶ διαφράγματι ἀποκρύπτεσθαι, καὶ πάλιν φαίνεσθαι;

D « Ἢ διανοίξεις Μαζουρὼθ ἐν καιρῷ αὐτοῦ; »

· *Μαζουρὼθ* τὰ συστήματα λέγει τῶν ἀστέρων, ὃ ἐν τῇ συνηθείᾳ, ζώδια καλοῦνται. Πῶς οὖν, φησὶν, ἀποκεκλεισμένα εἰσὶ ταῦτα, καὶ κατὰ καιρὸν φαίνονται; Ἄλλοι δέ φασι, *Μαζουρὼθ* ἑβραϊκὴν μὲν εἶναι τὴν λέξιν, σημαίνειν δὲ τὸν ἀστρῷον κύνα. Σὺ οὖν, φησὶ, τὰ ἀποκεκρυμμένα διανοίξεις, καὶ ἀποκαλύψεις κατὰ καιρὸν αὐτοῦ ἕκαστον;

« Καὶ Ἔσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτά; »

Κόμην τὴν ὑπερβολὴν τῆς λάμψεως λέγει καὶ τὴν εὐπρέπειαν. Σὺ οὖν, φησὶ, τὸν Ἔσπερον, ἀστέρα

VARIÆ LECTIONES.

[l] *Ισ.* τίς ἔτεκε. [k] *γρ.* οὐνοὺς. *Ισ* κρουνούς. [l] *γρ.* περιφέρουσιν.— In Græco aliquid desiderari videtur. [m] *Ισ.* ἐκείνην συνέχει.

Digitized by Google

τὴν φαεινότατον καὶ λαμπρότατον, καθοδηγήσεις; καὶ παράξεις οὕτω διαφανῶς[a] ἐκλάμποντα;

« Ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ, ἢ τὰ ὑπ' οὐρανὸν ὁμοθυμαδὸν γινόμενα; Καλέσεις δὲ νέφος φωνῇ; Καὶ τρόμῳ ὕδατος λάβρου ὑπακούσεταί σοι; »

Τὰς δὲ τοῦ ἀέρος, φησὶν, ἐπίστασαι τροπὰς, ἢ ἁπλῶς, πάντα τὰ ὑπ' οὐρανὸν γινόμενα, ὅπως γίνεται; Ἀλλὰ δύνασαι ἐπιτάξαι νέφεσι, καὶ οἰονεὶ τρέμοντα ὑπακούσεται τῷ σῷ προστάγματι, βριθόμενα τῷ ὕδατι; καὶ ἡ ὁρμὴ τῶν ὑδάτων, καὶ ὁ ὑετὸς, ὥσπερ ἔμψυχος ὑπακούσεται;

« Ἀποστελεῖς δὲ κεραυνοὺς, καὶ πορεύσονται; ἐροῦσί σοι, Τί ἐστιν; »

Ὥσπερ δέ τινες οἰκέται οἱ κεραυνοὶ ἐπιτάττονται· παρὰ σοῦ πορεύεσθαι καθ' ὧν καὶ ἐκπέμπονται; καὶ ἕτοιμοι ὄντες πρὸς τὸ ἐπίταγμα, μονονουχὶ φωνὴν ἀφιέντες ἐροῦσιν, Ἰδοὺ ἡμεῖς πάρεσμεν· τί ἐστιν ὃ ποιεῖν ἡμᾶς προστάττεις;

« Τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ, οὐρανὸν δὲ εἰς γῆν ἔκλινεν; »

Ὁ δὲ Σύμμαχος· *Ἢ τίς ἔδωκε μεμωραμένῳ ἔννοιαν;* Τίς, φησὶν, ὁ ὑπὸ ἀριθμὸν, καὶ οὐκ ἀμέτρως, ἀλλὰ πρὸς τὴν χρείαν τὰ νέφη συνίστασθαι παρασκευάζων; Τίς δὲ ὁ τὸν οὐρανὸν κυκλοφορικὸν ἀπεργασάμενος, ὡς δοκεῖν τοῖς πόρρωθεν ἀτενίζουσιν, ὅτι τῶν ἄκρων τῆς γῆς ἐφάπτεται; τοῦτο γάρ ἐστι τὸ, *ἔκλινεν*.

« Κίχυται δὲ ὥσπερ γῆ κονία. »

Τὸ λεπτὸν αὐτοῦ αἰνίττεται, ὃ καὶ ὁ Ἡσαΐας φησὶν, ὅτι *Ὥσπερ καπνός ἐστι*· περικέχυται δὲ τῇ γῇ μελαίνῃ οὔσῃ ὁ οὐρανὸς ὥσπερ κονία, διὰ τὸ διαυγές.

« Κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον. »

Τὸ πεπηγὸς, καὶ βέβαιον, καὶ τὸ σχῆμα δι' αὐτοῦ παρέστησεν, εἰπὼν, *ὥσπερ κύβον*. Τὴν οὖν λεπτοτάτην, φησὶ, τοῦ οὐρανοῦ φύσιν οὕτω στερέμνιον ἀπειργασάμην, καθάπερ ἂν εἴ τις λίθῳ κύβον ἁρμόσοι. Κύβος δέ ἐστιν ὁ ἐκ τετραγώνου κατὰ τὴν βάσιν, ἢ κυκλοτεροῦς, εἰς ὀξὺ λήγων. Ἔνιοι δὲ τὸ σχῆμα σκυφοειδὲς φασιν.

« Θηρεύσεις δὲ λέουσι βορὰν, ψυχὰς δὲ δρακόντων ἐμπλήσεις; Δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν, κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες. »

Τίς δὲ τῷ λέοντι τὴν θηρατικὴν ἐχαρίσατο φύσιν; Τίς τοὺς δράκοντας τροφῆς ἐμπίπλησι; Τίς ἐδίδαξε τὰ θηρία ἐνεδρεύειν, καὶ ἐπιτίθεσθαί τισι πρὸς τροφῆς εὐπορίαν;

« Τίς δὲ ἡτοίμασε κόρακι βορὰν; νεοσσοὶ γὰρ αὐτοῦ πρὸς Κύριον κεκράγασι, πλανώμενοι, τὰ σῖτα ζητοῦντες. »

Ἀλλὰ καὶ τῶν πτηνῶν, φησὶν, ὁ Θεὸς προνοεῖ· ἀπὸ γὰρ τοῦ μέρους τὸ πᾶν ἐσήμανε. Λέγεται γὰρ ὁ κόραξ μὴ ἐκτρέφειν τὰ ἔκγονα ὑπὸ λαιμαργίας, ἀλλ' ἀτημελήτους ἐᾷν τοὺς νεοσσούς· τοὺς δὲ ὑπὸ τῆς

lucidissimæ et fulgidissimæ, itineris dux eris? tantoque splendore coruscantem deduces? A

Vers. 33, 34. « Scis autem commutationes cœli, aut quæ sub cœlo simul facta? Vocabis autem nubem voce? Et tremore aquæ validæ obediet tibi? »

Num aeris, inquit, mutationes, vel, ut uno verbo absolvam, an rationem qua fiunt omnia quæ sub cœlo sunt, nosti? Potesne nubibus imperare, ita ut aqua gravatæ, quasi tremore perculsæ, tuo imperio pareant? et aquarum impetus, et pluvia tanquam animata obediat?

Vers. 36. « Mittes autem fulmina, et ibunt? aut dicent tibi, Quid est? »

An fulmina, instar famulorum, contra quos emittuntur, a te ire jubebuntur? et parata ad exsequendum mandata, in hunc fere modum vocem emittent, ac dicent: Ecce præsto sumus; quid est quod nos facere jubes? B

Vers. 37. « Aut quis est qui numeret nubes sapientia, et cœlum et terram inclinavit? »

Symmachus vero: *Aut quis dedit insipienti intelligentiam?* Quis, inquit, est qui facit ut nubes in numerum cogantur, non quidem sine modo et mensura, sed ut utilitati inserviant? Quis cœlo motum circularem dedit, ut iis qui e longiquo intuentur, terræ extrema attingere videatur? illud enim est, *inclinavit*.

Vers. 38. « Diffusus est autem sicut terra cinis. »

Tenuitatem ejus innuit de qua Isaias etiam dicit: *Instar fumi est*[93]; cœlum autem terræ quæ nigra est, instar cineris propter ejus splendorem circumfunditur. C

« Et agglutinavi eum sicut lapidi cubum. »

Dicendo, *sicut cubum*, stabilitatem, firmitudinem, simul etiam et figuram ejus ob oculos posuit. Tenuissimam autem ejus naturam, inquit, solidam adeo effeci, ac si quis lapidi cubum aptasset, et cubicum reddidisset. Cubus autem figura est quæ quadratam aut circularem basin habens, in acutum desinit. Quidam vero figuram scypho similem esse dicunt.

Vers. 39, 40. « Aut venaberis leonibus escam, aut animas draconum replebis? Timuerunt enim in cubilibus eorum, et sedent in silvis insidiantes. »

Quis leoni naturam venatoriam largitus est? Quis dracones cibo saturat? Quis feras cibi causa insidiari, et impetum in quædam facere docuit? D

Vers. 41. « Quis autem præparavit corvo escam? pulli enim ejus ad Dominum clamaverunt, errantes, cibaria quærentes. »

Sed et volucribus etiam Deus providet; totum enim per partem significavit. Dicitur autem corvus præ ingluvie fetum suum non alere, sed pullos neglectos descrere; illos vero fame oppressos clamore

[93] Isa. LI, 6.

VARIÆ LECTIONES

[a] γρ. ἀριδήλως ἐκλάμψαι. [b] Ισ. ἐπιτάξονται.

Digitized by Google

quodam naturali ad Deum uti, et parvis quibusdam bestiolis, quæ in nidis enascuntur, nutriri. Quis igitur eos nutrit? Nonne Dei verbum? Pulli enim corvorum post longum et vagabundum errorem clamarunt, quærentes cibum ab eo sumere, qui non solum pullis corvorum, verum etiam iis qui non tantum verbo, sed necessitate, et motu naturali illum invocant, ministrat. »

A ἐνδείας πιεζομένους, φυσικῇ τινι κεχρῆσθαι πρὸς Θεὸν τῇ βοῇ, καὶ ὑπὸ μικρῶν τινων ζωῦφίων γινομένων ἐν ταῖς νεοσσιαῖς ἐκτρέφεσθαι. Τίς οὖν ὁ τρέφων αὐτούς; Οὐχ ὁ τοῦ Θεοῦ λόγος; Νεοσσοὶ γὰρ κοράκων πρὸς αὐτὸν κεκράγασι μετὰ τὸ πλανηθῆναι πολλὰ, ζητοῦντες ἀπ' αὐτοῦ λαβεῖν τροφὴν, τοῦ διδόντος οὐχ ἁπλῶς τοῖς νεοσσοῖς τῶν κοράκων, ἀλλὰ τοῖς ἐπικαλουμένοις αὐτὸν, οὐ λόγῳ, ἀλλὰ τῇ χρείᾳ καὶ τῇ φυσικῇ κινήσει.

CAP. XXXIX.

Vers. 3. « Si cognovisti tempus pariendi tragelaphorum petræ, aut partus cervarum custodisti, et numerasti menses earum plenos partus earum, et dolores earum solvisti, et nutristi hinnulos earum sine metu, et partus earum emittes? »

Sed ne minutissima quidem, inquit, nosti, quomodo cerva suo tempore et tragelaphus (capra, scilicet, silvestris) in petris ac speluncis quæ natura tecta et laqueata sunt, pariant? et quis numerus mensium ad ventrem perferendum eis datus sit? quomodo, finitis partus doloribus, fetus in lucem edant? quomodo recenter natis lac indant, et illi sine metu et formidine alantur?

Vers. 4. « Abrumpent filios suos, multiplicabuntur in genimine, exibunt, et non revertentur eis. »

Et quomodo, inquit, matres, naturalis affectus oblitæ, fetus adultos derelinquunt? illi vero a matribus digredientes, et terræ genimina depascentes, multiplicantur, neque amplius ad eas revertuntur?

Vers. 5-7. Quis autem est qui dimisit onagrum liberum, et vincula ejus quis resolvit? Posui enim habitationem ejus desertum, et tabernacula ejus salsuginem; irridens multas turbas civitatis, et querelam exactoris non audiens. »

Ad litteram quidem: Unde, inquit, onagro juris sui libertas concessa est? Unde est quod hominum mandatis non obtemperet, sed desertum pro habitaculo et loco commorandi habeat, et in locis salsis ac solitariis tabernaculum ponat? Ad sensum vero, vita solitaria, tanquam a rebus sæcularibus et iis quæ sensus movent ac deliniunt, seposita, his verbis describitur. Hinc autem apparet sermonem hunc allegorice a nobis intelligendum esse; neque enim hic asinus querelam exactoris audit, sed homo spiritualis, qui non patitur neque audire sustinet exactorem illum qui intellectu concipitur, qui, tanquam tributum aliquod exigeret, eos qui sub ejus imperio sunt, onera ferre, improbarum perturbationum jugum subire, et voluptatibus inservire cogit.

Vers. 8. « Considerabit montes pascuum suum, et post omne viride quærit. »

Ad historiæ quidem et rei veritatem, asinus silvestris montes peragrans, herbas investigat ut iis vescatur; ad theoriam vero, homo spiritualis con-

ΚΕΦΑΛ. ΛΘ'.

« Εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας, ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων, ἠρίθμησας δὲ μῆνας αὐτῶν πλήρεις τοκετοῦ αὐτῶν, ὠδῖνας δὲ αὐτῶν ἔλυσας, ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβου, ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς; »

B Ἀλλ' οὐδὲ τὰ εὐτελέστατα, φησὶν, οἶσθα, πῶς κατὰ καιρὸν ἔλαφος καὶ τραγέλαφος, ἤτοι αἰγαστρος*, ὑπὸ αὐτορόφοις σπηλαίοις ἐν πέτραις ἀποκυΐσκουσι; καὶ τίς αὐτοῖς ἀριθμὸς μηνῶν εἰς τὴν κύησιν δέδοται; πῶς δὲ ἀποτίκτουσι, λυθεισῶν τῶν ὠδίνων; πῶς τὸ γάλα τοῖς νεογνοῖς ἐνδιδόασι. τὰ δὲ τρέφεται ἄνευ φόβου;

« Ἀποῤῥήξουσι τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γεννήματι, ἐξελεύσονται, καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς. »

Καὶ πῶς, φησὶν, αἱ μητέρες ἀδρυνθέντα τὰ τέκνα καταλιμπάνουσιν, εἰς λήθην ἐλθοῦσαι τῆς φυσικῆς στοργῆς; τὰ δὲ ἐξελθόντα, καὶ νεμόμενα ἐν τοῖς C γεννήμασιP τῆς γῆς, πληθύνεται, καὶ οὐκέτι πρὸς αὐτὰς ὑποστρέφει;

« Τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν; Ἔθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον, καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα· καταγελῶν πολυοχλίας πόλεως, μέμψιν δὲ φορολόγου οὐκ ἀκούων. »

Κατὰ μὲν οὖν τὸ ῥητόν· Πόθεν, φησὶ, τῷ ὀνάγρῳ ἡ αὐτονομία; Πόθεν ἀνθρώπων ἐπιτάγμασιν οὐ πείθεται, ἀλλ' οἰκησιν καὶ διατριβὴν ἔχει τὴν ἔρημον, κατασκηνοῖ δὲ ἐν ἁλμυροῖς τόποις καὶ ἐρήμοις; Πρὸς δὲ διάνοιαν, ὁ μοναδικὸς διαγράφεται βίος, ὡς ἔξω τῶν κοσμικῶν καὶ σαινόντων τὴν αἴσθησιν. Δῆλον δὲ ἐντεῦθεν ὡς εἰς ἀλληγορίαν ἡμᾶς ὁ λόγος παραπέμπει· οὐδὲ γὰρ ὁ ὄνος οὑτοσὶ μέμψιν ἀκούει D φορολόγου, ἀλλ' ὁ πνευματικὸς ἄνθρωπος, ὁ μὴ ἀνεχόμενος τοῦ νοητοῦ πράκτορος, ὃς, ὥσπερ τινὰ φόρον ἀπαιτῶν, τοὺς ὑφ' ἑαυτὸν ἀναγκάζει ἀχθοφορεῖν, καὶ κακίας ὑποζεύγνυσθαι πάθεσι, καὶ δουλεύειν ἡδοναῖς.

« Κατασκέψεται ὄρη νομὴν αὐτοῦ, καὶ ὀπίσω παντὸς χλωροῦ ζητεῖ. »

* Κατὰ μὲν τὴν ἱστορίαν, ὁ ἄγριος ὄνος τὰ ὄρη περινοστῶν, τὰς βοτάνας ἀνιχνεύει πρὸς διατροφήν· κατὰ δὲ τὴν θεωρίαν, ὁ πνευματικὸς ἄνθρωπος τῶν

VARIÆ LECTIONES.

* *Isc.* αἴξ ἄγριος. P *γρ.* ἄγροις.

Digitized by Google

οὐρανίων τὰς πολιτείας κατασκέπτεται, καὶ ἐπιζητεῖ, οὐ τὰ παρόντα, ἀλλὰ τὰ ἐν τῷ ἐαρινῷ αἰῶνι, τῷ μέλλοντι, τῷ ἐλπιδηφόρῳ, καὶ ἐν τοῖς τεθηλόσι λογίοις, καὶ ἐν νομῇ ἀγαθῇ ἀναπαύεται, καὶ εἰς ἀνεπίληπτον βίον ἐντεῦθεν ὁδηγεῖται, τροφὴν ὁμοῦ καὶ τέρψιν καρπούμενος πολλήν.

« Βουλήσεταί δέ σοι μονόκερως δουλεῦσαι, ἢ κοιμηθῇ παρὰ τὴν φάτνης σου; δήσεις δὲ ἐν ἰμᾶσι ζυγὸν αὐτοῦ, ἢ ἑλκύσει σου αὔλακας ἐν πεδίῳ; Πέποιθας δὲ ἐπ' αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ, ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου; πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον, εἰσοίσει δέ σου τὴν ἅλωνα; »

Καθ' ἱστορίαν μὲν οὖν, ὁ μονόκερως, ὃν δὴ Ἀκύλας *ῥινοκέρωτα* ἔφη, διὰ τὸ κατὰ μέσου τῆς κεφαλῆς τὸ κέρας ἔχειν, ἀλκιμώτατος ὢν, ἀνυπότακτός ἐστι, τῇ ἰσχύϊ καὶ τῇ ὀξύτητι τοῦ κέρατος πεποιθώς. Οὐ γὰρ ἀνέχεται, φησὶν, ἐν φάτνῃ κατακεῖσθαι [q], καὶ αὔλακα τέμνειν, καὶ ἀροῦν, καὶ γηπονεῖν, καὶ εἰς ἅλωνα συνάγειν τὰ γεννήματα. Πρὸς δὲ διάνοιαν, μονόκερώς ἐστιν ὁ ἅγιος, ὅτι πρὸς Θεὸν μόνον ὁρᾷ, καὶ ἐπ' αὐτῷ πέποιθε, τῶν γηΐνων ἁπάντων καταφρονῶν.

« Πτέρυξ τερπομένων νεέλασσα [*ὁ δὲ Σύμμαχος*, Πτερὸν ἀγλαΐσμοῦ περιφύεται], ἐὰν συλλάβῃ ἀσίδα καὶ νέσσα, ὅτι ἀφήσει εἰς γῆν τὰ ὠὰ αὐτῆς, καὶ ἐπὶ χοῦν θάλψει· καὶ ἐπελάθετο ὅτι ποὺς σκορπιεῖ, καὶ θηρία ἀγροῦ καταπατήσει. »

Βούλεται εἰπεῖν διαφοράν τινων ὀρνέων, καὶ ὅτι τινὰ μὲν ὑπὸ Θεοῦ συνετίζονται, τινὰ δὲ εἰσιν ἀσυνετώτερα, καί φησιν, ὅτι τερπνὸν μέν ἐστι τῇ θέᾳ ἡ νεέλασσα, ἡ δὲ ἀσίδα καὶ ἡ νέσσα ἀσύνετα πεποίηνται· ἐπὰν γὰρ συλλαβόντα τέκωσιν, ὑπὸ τὴν γῆν θάλπουσι τὰ ὠά, ὥσπερ ἐπιλαθόμενα ὅτι καὶ ποσὶν ἀνθρώπων σκορπισθήσονται ταῦτα, καὶ θηρίοις καταπατηθήσονται. Ἡ ἀσίδα δὲ ὁ ἐρωδιός ἐστι, κατὰ Ἀκύλαν, ἢ ὁ πελαργὸς, ὡς τινες ἔφασαν οὐ καλῶς νοήσαντες· οὐ γὰρ εἰς γῆν τίκτει ὁ πελαργὸς, ἀλλ' εἰς τὰ ὑψηλὰ τῶν δένδρων· καὶ οἱ τὰ ὀρνιθιακὰ γράψαντες, ἕτερον γένος ἔφασαν εἶναι παρὰ τὴν ἀσίδα τὸν πελαργόν. Λόγος δὲ, τὴν ἀσίδα οἰκονομικῶς ἀνόητον ὑπὸ Θεοῦ γενέσθαι· καὶ γὰρ ὑπεραίρει μεγέθει καὶ ἰσχύϊ, ὡς δύνασθαι καταφρονεῖν καὶ ἱππέως, ἀλλὰ πρὸς τὴν ἰσχὺν οὐκ ἔσχε σύνεσιν, ὥστε μὴ πάντως [r] σώζεσθαι τοὺς νεοττοὺς, καὶ ἐκ τούτου πληθύνεσθαι τὸ εἶδος. Ἔστι δὲ καὶ οὕτως νοῆσαι τὸν στίχον· Τῶν τερπομένων τοῖς ὄρνισιν ὡραῖον θέαμα ἡ νεέλασσα.

versationes eorum qui in cœlis sunt, speculatur, præsentia non rimatur, sed ea quæ in vernante sæculo futuro et spei pleno habentur, ac in floridis divini verbi oraculis, et bono pascuo requiescit, indeque cibo simul et voluptate multa satiatus, in vitam quæ fine caret, deducitur.

Vers. 9-12. « Volet autem monoceros servire tibi, aut dormire super præsepe tuum? et alligabis in loris jugum ejus, aut ducet sulcos tuos in campo? Confidis autem in eo quia multa est virtus ejus, et dimittes ei opera tua? et credes quia reddet tibi sementem, et in aream tuam inferet?

Ad historiam quidem et rei veritatem, monoceros (quem Aquila, quia in media fronte cornu gerit, *rhinocerota* vocavit), cum animal robustissimum sit, et cornu sui viribus et acuto mucroni fidat, imperio non subjacet. Non enim sustinet, inquit, in præsepi jacere, neque sulcos ducere, aut arare, aut agrum colere, aut fructus terræ in aream comportare. Ad sensum vero : Vir sanctus est monoceros, quia Deum solum intuetur, et, contemptis rebus omnibus terrestribus, in eo fiduciam collocat.

Vers. 13-15. « Penna lætantium neelassa, [*Symmachus*, Penna exsultationis circumnascitur.] si conceperit asida et nessa, quod relinquet in terra ova sua, et in pulvere calefaciet : et oblita est quia pes disperdet, et bestiæ agri conculcabunt. »

Volucrum quarumdam differentiam, et quod aliæ ex iis prudentia a Deo ornentur, aliæ vero imprudentiores sint, narrare instituit, dicitque, quod neelassa aspectu jucunda sit, asida autem et nessa imprudentes creatæ fuerint, quoniam, postquam conceperint, et ova excluserint, tanquam immemores hominum pedibus comminuenda ac dispergenda, et a bestiis proculcanda fore, sub pulvere ea foveant. Asida autem, juxta Aquilam, erodius est, vel ciconia, ut quidam in errore versantes dixerunt; ciconia enim non humi in terra, sed in elatis et proceris arboribus, ova deponit : et qui de avium natura scripserunt, asidam diversum esse genus a ciconia, auctores sunt. Quod vero asida divina dispensatione absque prudentia creata fuerit, ratione non caret : tanta enim corporis mole et robore prædita est, ut equitem spernat; prudentiam autem cum viribus conjunctam non habet; quæ causa est ut pulli ejus omnes ab interitu incolumes non serventur, neque propterea genus ejus multiplicetur. Potest vero sic etiam versus intelligi : Jucundum est spectaculum neelassa iis qui avibus delectantur.

« Ἀπεσκλήρυνε τὰ τέκνα ἑαυτῆς, ὥστε μὴ ἑαυτήν. »

Αὕτη, φησὶν, ἡ ὄρνις, ἡ τὸ ᾠὸν μεθεῖσα, εἵνεκα καταπονεῖσθαι τοὺς νεοττοὺς, ἀποσκληρύνασα τὴν περὶ τὰ τέκνα φυσικὴν στοργὴν, ἵνα μὴ ἑαυτὴν κατακοπώσῃ νεοττοτροφοῦσα.

Vers. 16. « Obduravit filios suos, ut non seipsam. »

Hæc, inquit, volucris, ne pullis alendis molestia et labore seipsam conficeret, contra naturalem erga sobolem affectum obdurescendo percalluit, et repudiatis ovis, pullos labore et inedia fatiscere permisit.

VARIÆ LECTIONES.

[q] *γρ.* καταδεῖσθαι. [r] *Ισ.* πάντας.

Digitized by Google

« Frustra laboravit sine timore. »

Cum igitur pullorum interitum non metuerit, sed desertos illos neglexerit, pullis omnibus nequaquam salvis et incolumibus, incassum labores suscepit.

VERS. 17. « Quia tacere fecit ei Deus sapientiam, et non partitus est ei in intellectu. »

Symmachus vero : *Et non distribuit ei intelligentiam.* Hoc autem ideo avis illa sustinet, inquit, quoniam *tacere fecit*, id est, cohibuit, et ab ea abstulit, neque emensus est aut indidit ei intelligentiam.

VERS. 18. « Cum fuerit tempus, in altum exaltabit, irridebit equum et ascensorem ejus. »

Asida, inquit, fiduciam suam in volatu collocans, inter volandum, ut aiunt, equum et ascensorem ejus propter robur et magnitudinem contemnit.

VERS. 19. « An tu circumdedisti equo virtutem [*Symmachus*, hinnitum, *Theodotio vero*, clamorem, *reddidit*], et induisti collum ejus timore? »

An tu, inquit, equum robore præstantem, et elata cervice finxisti, ut colli extensione, vel hinnitu qui ex collo exit, terribilis videatur?

VERS. 20. « Et circumposuisti ei armaturam, et gloriam pectorum ejus audaciæ? »

An cor fiducia plenum in pectore gerens, tanquam tua opera armis munitus esset, audaciam et animos sumit?

VERS. 21, 22. « Fodiens in campo luxuriat, [Qui pede, inquit, terram prosubigens, exsultat et fremit], et procedit in campum in virtute : occurrens telo, deridet, nec se avertet a ferro. »

Per campum ad bellum egreditur ; vel secundum reliquos, in armorum et cataphractorum occursum, neque telum, neque ferri aciem reformidans : juxta alia exemplaria, *regi occurrens*, *irridet* ; nescit enim dignitatem discernere.

VERS. 23, 24. « Super ipsum gaudet arcus et gladius, et iracundia evertet terram. »

Symmachus vero : *In commotione et ira tanquam devorans.* Sic, inquit, affectus est, tanquam sessoris ope qui arcum et gladium gestat, et cum furore hostium regionem depopulatur, terram ipsam eversurus esset. Deinde quam morigerum et disciplinæ obediens sit, subjungit.

« Nec credet donec significaverit tuba : [VERS. 25] cum autem tuba significaverit, dicit : Euge ; et procul odoratur pugnam cum saltu et clamore. »

Quandiu belli signum datum non fuerit, ad motum quidem propensum est hoc animal, saltu tamen et cursu in hostem se non proripit (hoc enim significat illud, *non credet*, metaphora ab iis ducta qui propter nimium desiderium increduli sunt); tuba vero sonitum terribilem edente, instare prælium

A « Εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου. »

Οὐ φοβηθεῖσα τοίνυν τὴν τῶν νεοττῶν ἀπώλειαν, ἀλλ' ἀμελήσασα, εἰς κενὸν ἐκοπίασεν, οὐ πάντως[a] περισωζομένων τῶν νεοττῶν.

« Ὅτι κατεσιώπησεν αὐτῇ ὁ Θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέρισεν αὐτῇ ἐν τῇ συνέσει. »

Ὁ δὲ Σύμμαχος· *Καὶ οὐκ ἔνειμεν αὐτῇ σύνεσιν.* Τοῦτο δὲ ἡ ὄρνις ὑφίσταται, ἐπειδή, φησὶν, *ἐσιώπησεν*, ἀντὶ τοῦ, ἀνέσχεν καὶ παρεῖλεν ἀπ' αὐτῆς ὁ Θεὸς σοφίαν, καὶ οὐκ ἐπεμέτρησεν αὐτῇ οὐδὲ ἐνέβαλε σύνεσιν.

« Κατὰ καιρὸν ἐν ὕψει ὑψώσει, καταγελάσεται ἵππου καὶ τοῦ ἐπιβάτου αὐτοῦ. »

Ἡ ἀσίδα, φησὶν, ἐν τῇ πτήσει τὸ θαρρεῖν ἔχουσα, ἵπταται καταφρονοῦσα ἵππου σὺν τῷ ἀναβάτῃ, διὰ B τὴν ἰσχὺν, ὡς φασι, καὶ τὸ μέγεθος.

« Ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν [ὁ *Θεοδοτίων δὲ καὶ Σύμμαχος, ὁ μὲν*, χρεμετισμὸν, *ὁ δὲ*, κραυγὴν, ἐξέδωκεν], ἐνέδυσας δὲ τραχήλῳ αὐτοῦ φόβον; »

Σὺ, φησὶ, τὸν ἵππον δυνατὸν εἰργάσω καὶ ὑφαύχενα, ὥστε φοβερὸν τῇ τοῦ αὐχένος ἀνατάσει φαίνεσθαι, ἢ καὶ τῷ χρεμετισμῷ, τῷ διὰ τοῦ αὐχένος ἐξερχομένῳ;

« Περιέθηκας δὲ αὐτῷ πανοπλίαν, δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ; »

Παρὰ σοῦ δὲ ὥσπερ καθοπλισθεὶς θαρρεῖ καὶ τολμᾷ, εὐθαρσῆ καρδίαν ἔχων ἐν τοῖς στήθεσιν;

« Ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ [ὃς γε, φησὶ, τῷ C ποδὶ κατακροαίνων τὴν γῆν, γαυριᾷ καὶ φρυάττεται], ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ· συναντῶν βέλει, καταγελᾷ, καὶ οὐ μὴν ἀποστραφῇ ἀπὸ σιδήρου. »

Ἐκπορεύεται δὲ διὰ τοῦ πεδίου εἰς πόλεμον· ἢ κατὰ τοὺς λοιποὺς, εἰς ἀπάντησιν ὅπλου, καὶ εἰς ἀπάντησιν καταφράκτων, μὴ βέλος δεδοικὼς, μὴ σιδήρου ἀκμήν· καθ' ἕτερα δὲ τῶν ἀντιγράφων, *συναντῶν βασιλεῖ, καταγελᾷ*· οὐ γὰρ οἶδε διακρίνειν ἀξίαν.

« Ἐπ' αὐτοῦ γαυριᾷ τόξον καὶ μάχαιρα, καὶ ὀργὴ ἀφανιεῖ τὴν γῆν. »

Ὁ δὲ Σύμμαχος· *ἐν σάλῳ καὶ ὀργῇ ὡς καταπίνων.* Οὕτω, φησὶ, διάκειται, ὡς καταστρεφόμενος τὴν γῆν, διὰ τοῦ ἐπιβάτου δηλονότι, τόξον μὲν D ἔχοντος καὶ μάχαιραν, ὀργῇ δὲ τὴν τῶν πολεμίων γῆν ἐξαφανίζοντος. Εἶτα καὶ τὸ εὔτακτον.

« Οὐ μὴ πιστεύσῃ ἕως ἂν σημάνῃ σάλπιγξ· σάλπιγγος δὲ σημαινούσης, λέγει· Εὖγε, πόρρωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ. »

Ἕως μὲν οὖπω τὸ σύνθημα τοῦ πολέμου, ὁρμητικῶς ἐν ἔχει τὸ ζῶον· οὕτω μέντοι καὶ ἀναπηδᾷ καὶ ἐξάλλεται· τοῦτο γὰρ σημαίνει τὸ, *οὐ μὴ πιστεύσῃ*, ἐκ μεταφορᾶς τῶν διὰ πολλὴν ἐπιθυμίαν μὴ πιστευόντων· φοβερὸν δὲ ἠχησάσης τῆς σάλπιγγος, αἰσθάνεται ὅτι πολέμου καιρὸς, καὶ χαίρει

VARIÆ LECTIONES.

[a] *Ισ.* πάντων.

Digitized by Google

τῷ συνθήματι· τοῦτο γὰρ σημαίνει τὸ, *Λέγει, Εὖγε*· καὶ ὁμοῦ τῇ κραυγῇ τοῦ στρατοπέδου ἐξάλλεται, καὶ τοῖς πολεμίοις ἐπιτρέχει. Εἰ δὲ λέγοι τις, μὴ ταῦτα τῆς φύσεως εἶναι τοῦ ἵππου, ἀλλὰ τῆς διδαχῆς, ἔστω μὴ ἄλλως τοὺς ἀνθρώπους δύνασθαι διδάσκειν, εἰ μὴ τὸ ζῶον ἐπιτήδειον εἰς τοῦτο κατεσκεύαστο, ἐπεὶ μηδὲ οἱ ἄνθρωποι διδασκόμεθά τι, μὴ ἐπιτηδείως ἔχοντες πρὸς τὰ μαθήματα. Ἐνδείκνυται οὖν ὁ Θεὸς διὰ τῶν σμικρῶν τούτων τὴν ἄφατον αὐτοῦ σοφίαν, ὡς ἂν διδαχθῶμεν τὰ μεγάλα καὶ ἀπόκρυφα μὴ πολυπραγμονεῖν.

A sentit, et dato signo gaudet (hoc enim vult illud, *dicit*, *Euge*), et cum clamore e castris erumpit, ac incursionem in hostes facit. Si vero quis dicat equum non a natura, sed a disciplina hæc haurire, sciat is, si minus animal disciplinæ capax esset, hominem illud erudire non posse, quandoquidem neque nos homines in scientiis instituimur, nisi ad eas apti fuerimus. Deus igitur ex exiguis hisce rebus inenarrabilem suam sapientiam ostendit, ut magna et arcana curiosius indaganda non esse discamus.

« Ἐκ δὲ τῆς σῆς ἐπιστήμης ἕστηκεν ἱέραξ, ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος; καθορῶν τὰ πρὸς νότον; »

Vers. 26. « Ex tua vero scientia stetit accipiter, expansis pennis immobilis, respiciens quæ ad Austrum? »

Ἡ δὲ σύνεσις, φησὶ, καὶ ἐπιστήμη ἡ σὴ τὸν ἱέρακα ἐξεπαίδευσεν ἁπλώσαντα τὸ πτερὸν ἀκίνητον τῷ ἀέρι φέρεσθαι; Λέγεται δὲ ὁ ἱέραξ περὶ τὰ νότια μέρη ἐξαπλοῦν τὸ πτερὸν, καὶ ὥσπερ ὀρθιος ἱστασθαι ἐν τῷ ἀέρι, καὶ ἀποσκοπεῖν τὸ θήραμα, καὶ οὕτως αὐτοῦ καθίπτασθαι. Πῶς οὖν ἔστησε μετέωρον αὐτὸν ἐπὶ τοῦ ἀέρος; Πῶς αὐτῷ τὴν τροφὴν ἔδωκεν;

B An tua, inquit, intelligentia et scientia accipitrem expansis alis per aerem immotum ferri docuit? Dicitur autem accipiter versus cœli plagam australem alas expandere, et quasi erectus in aere consistens, prædam e longinquo intueri, atque ita in eam involare. Quomodo igitur, inquit, seipsum in aere suspendit? Quomodo sibiipsi escam ministravit?

« Ἐπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετός; [Τὴν δὲ ὑψιπετῆ πτῆσιν σὺ τῷ ἀετῷ προσέταξας ἔχειν;] Γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται, ἐπ' ἐσχῇ πέτρας, καὶ ἀποκρύφῳ; ἐκεῖσε ὢν, ζητεῖ τὰ σῖτα, πόρρωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι, νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι, οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται. »

Vers. 27-30. « Atque tuo præcepto exaltatur aquila? [Tunc aquilæ imperasti, ut in sublime volaret?] Aut vultur super nidum suum sedens moratur, in summitate petræ, et abscondito? cum ibi fuerit, quærit escas; longe oculi ejus speculantur, et pulli ejus consperguntur in sanguine, ubicunque autem fuerint cadavera, confestim reperiuntur. »

Κατὰ [a] κοινοῦ, τὸ, *Ἐπὶ δὲ τῷ σῷ προστάγματι*, εἰς ἀκρότομον ὁ γὺψ καθεζόμενος, ἀκραιφνεῖς ἔχων τὰς αἰσθήσεις, αἰσθάνεται ποῦ τεθνηκότα σώματα, ἵνα τροφὴν ἑαυτῷ πορίσηται; Σὺ δὲ τοὺς τῶν γυπῶν νεοσσοὺς ἐδίδαξας, ἔτι μικροὺς ὄντας σαρκοβορεῖν, καὶ αἱμάτων ἅπτεσθαι; Κατὰ μὲν οὖν τὸ ῥητὸν, ταῦτα· κατὰ δὲ θεωρίαν, γὺψ ὁ ἀκάθαρτος καὶ φιλόσαρκος ἄνθρωπος, ὀκνηρὸς μὲν εἰς ἀρετὴν, ὀξὺς δὲ εἰς λαιμαργίαν, ὃς τὰ προκείμενα ἐῶν, τὰ πόρρω σκοπεῖ, λέγων· Νῦν ἀπολαύσω, καὶ ὕστερον μετανοήσω, οὗ καὶ οἱ λογισμοὶ τοῖς νεκροῖς ἀεὶ ἐφιζάνουσιν ἔργοις καὶ πράγμασιν.

C Illud, *tuo præcepto*, ἐκ τοῦ κοινοῦ repetendum est: An vultur in ardua et prærupta rupe sedens, pernicitate et sagacitate sensuum præditus, ut alimentum sibi ipse suppeditet, ubi cadavera sint, sentit et odoratur? An tu vulturum pullos, adhuc parvulos, ut carnibus vescerentur, et sanguinem adamarent, docuisti? Ad litteram quidem, verbosum sensus hic est; ad theoriam vero: Homo impurus, et carnis amori deditus, ad virtutem tardus, et ad ingluviem satiandam promptus, vultur est; qui, relictis iis quæ præsentia et ante pedes posita sunt, longe dissita intuetur, ac dicit: Nunc deliciis et voluptatibus fruar, ac postea pœnitentiam agam; cujus cogitationes etiam rebus et operibus mortuis semper insident, et circa ea versantur.

« Καὶ ἀπεκρίθη Κύριος ὁ Θεὸς τῷ Ἰὼβ, καὶ εἶπε· Μὴ κρίσιν μετὰ ἱκανοῦ ἐκκλίνει [u]; ἐλέγχων δὲ Θεὸν, ἀποκριθήσεται αὐτήν; »

Vers. 31, 32. « Et respondit Dominus Deus ad Job, et dixit: Nunquid judicium cum omnipotente declinabit? et arguens Deum, respondebit?

D

Ὁ δὲ Σύμμαχος, *Ἆρα ὁ δικαζόμενος πρὸς τὸν ἱκανὸν, περιγενήσεται; Διελεγχόμενος Θεῷ ἀντιφθέγξεταί τι;* Οἱ μὲν πρῶτοι λόγοι σοφίαν Θεοῦ καὶ δύναμιν παρίστων τῷ Ἰώβ· νῦν δὲ πρὸς αὐτὸν στρέφει τὸν λόγον. Δοὺς γὰρ καιρὸν εἰς ἀπόκρισιν, εἶτα μὴ λαβὼν, πάλιν αὐτὸς ἀποκρίνεται, καὶ φησι, Μὴ μετ' ἐμοῦ ταῦτα διακρινεῖς; μὴ οἶσθα πῶς; γίνονται; μὴ τούτων ἔχεις τοὺς λόγους; Εἰ νομίζεις δύνασθαί με ἐλέγχειν ὡς οὐκ εὖ εἰρηκότα, ἀποκρίθητι τὴν κρίσιν ἣν προέτεινά σοι, τουτέστι, τὴν διά-

Symmachus autem: *Nunquid judicio contendens cum omnipotente, superior evadet? Num disceptans cum Deo, aliquid contra respondebit?* Priore quidem sermonis parte Deus sapientiam suam et potentiam Jobo ante oculos posuerat; nunc vero orationem ad ipsum convertit. Cum enim spatium respondendi ei concessisset, nullum autem responsum retulisset, rursus ipse respondit, ac dicit: Num de his, inquit, mecum disceptabis? nostine qua ratione hæc fiant? et causas eorum perspectas

VARIÆ LECTIONES.

[a] *Ισ.* Ἀπό. [u] *Ισ.* ἐκκλινεῖ.

Digitized by Google

habes? Si me tanquam inepta locutum reprehendere te posse arbitraris, sententiæ (id est, judicio et redditioni causæ) quam in medium tibi proposui, respondeto. Hæc autem dicit, non quod pius et religiosus Jobi animus ipsum lateret, sed ut ex iis quæ respondet, qualiter Jobus erga Deum affectus esset, amicis palam faceret.

A κρισιν καὶ τὴν αἰτιολογίαν. Λέγει δὲ ταῦτα, οὐχ ὡς ἀγνοῶν τοῦ Ἰὼβ τὴν εὐσεβῆ γνώμην, ἀλλὰ τοῖς φίλοις δεῖξαι βουλόμενος οἷος ἦν τὰ πρὸς Θεὸν, δι' ὧν ἀποκρίνεται.

Protheoria.

Cum Jobus Dei amans, modique ac mensuræ suæ conscius, divinam vocem, ad mutuum colloquium et redargutionem eorum quæ dicta essent, provocantem se præter exspectationem audiret, ut consentaneum erat, gavisus est: statim autem in initio imbecillitatem suam fatetur, et Deo victoriæ palmam defert. Nihil enim aliud divina sapientia requirit, quam ut taciturnitate admirandam eam esse testemur, et arcano silentio incomprehensibilem B esse admiremur.

Προθεωρία.

Ὁ φιλόθεος, καὶ τῶν οἰκείων μέτρων ἐπιγνώμων Ἰὼβ, θείας ἀδοκήτως φωνῆς ἀκροασάμενος, προκαλουμένης[y] εἰς ὁμιλίαν καὶ τῶν λεγομένων ἔλεγχον, περιχαρ�ὴς μὲν γέγονεν, ὡς εἰκός· ὁμολογεῖ δὲ ἐκ προοιμίων τὴν οἰκείαν ἀσθένειαν, καὶ δίδωσι Θεῷ τὰ νικητήρια. Πρὸς γὰρ Θεοῦ, φησὶ, σοφίαν οὐδὲν ἕτερον δεῖ ποιεῖν, ἢ τῇ σιωπῇ δεικνύναι τὸ θαῦμα, καὶ τῷ ἀῤῥήτῳ θαυμάζειν τὸ ἀκατάληπτον.

Vers. 33, 34. « Respondens autem Job, dicit Domino: Quid adhuc ego judicor, commonitus, et arguens Dominum, audiens talia, cum nihil sim? »

In initio congressus primas Deo detulit: A te, inquit, victus sum; quid ulterius litem protrahis? quid enim responderi potest? aut qua ratione talem dominum contra intueri oportet? Causam plagæ quæ mihi inflicta est, inquirere non desinebam, Dei autem opificium nullo pacto criminatus sum. Cur igitur, Domine, judicor? Cur ista audio, et qui nullius pretii ac plane nullus sum, quasi Deum vituperare mihi in animo esset, increpor?

« Ego vero quod responsum dabo ad hæc? manum ponam ad os meum: [Vers. 35] semel locutus sum, at iterum non adjiciam. »

Quid, inquit, contra ea quæ dicta sunt, proferam? Incomprehensibilem tuam sapientiam silentio admirari consultius esse duco. Loquebar enim quando cum hominibus sermo esset, et cum, tanquam peccati pœnas luerem, condemnarer: ad reliqua vero, id est, ad ea quæ Dei sapientiam et potentiam tangunt, nihil addere licet, nec mutire aut contradicere iis fas est. Hæc etiam nostræ institutioni inserviunt, ne curiosius in ea quæ a Deo prolata sunt, inquiramus.

« Ὑπολαβὼν δὲ Ἰὼβ, λέγει τῷ Κυρίῳ· Τί ἔτι ἐγὼ κρίνομαι, νουθετούμενος, καὶ ἐλέγχων Κύριον, ἀκούων τοιαῦτα, οὐδὲν ὤν; »

Ἐξ ἀρχῆς παρεχώρησε τῷ Θεῷ τῶν πρωτείων· Ἥττημαι, φησὶ, παρὰ σοί· τί περαιτέρω τὴν δίκην ἐπεξάγεις; τί γὰρ δυνατὸν ἀποκρίνασθαι; πῶς δὲ χρὴ πρὸς τοιοῦτον ἀντοφθαλμεῖν δεσπότην; Ἐγὼ τὴν αἰτίαν τῆς γενομένης ἐπ' ἐμὲ πληγῆς ζητῶν διετέλουν, εἰς δὲ δημιουργίαν οὐδὲν ἐνεκάλεσα. Εἰς τί οὖν κρίνομαι, Δέσποτα; Εἰς τί ταῦτα ἀκούω, καὶ νουθετοῦμαι ὡς μέλλων ἐλέγχειν Θεὸν, ὁ μηδεὶς ὤν, μηδὲ λόγου τινὸς ἄξιος;

« Ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα; χεῖρα C θήσω ἐπὶ στόματί μου· ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ[x] οὐ προσθήσω. »

Τί, φησὶ, πρὸς τὰ εἰρημένα φθέγξομαι; ἄμεινον κρίνω τῇ σιωπῇ τὴν ἀκατάληπτόν σου θαυμάζειν σοφίαν. Ἐλάλουν μὲν γὰρ ὅτε πρὸς ἀνθρώπους ἦν ἡ διάλεξις, ὅτε κατεδικαζόμην ὡς ἁμαρτίας ἐκτίνων δίκας· πρὸς δὲ τὰ δεύτερα, τουτέστι, τὰ περὶ Θεοῦ σοφίας τε καὶ δυνάμεως, οὐδὲν ἔστι προσθεῖναι, οὐ φθέγξασθαι, οὐκ ἀντειπεῖν. Ταῦτα καὶ ἡμῖν εἰς διδασκαλίαν χρήσιμα, πρὸς τὸ μὴ χρῆναι πολυπραγμονεῖν τὰ ὑπὸ Θεοῦ λεγόμενα.

CAP. XL.

Protheoria.

Hic etiam summa Dei benignitas erga genus humanum apparet. Cum enim Jobus ea reverentia quæ sanctum decuit, dissertationem cum Deo detrectasset, ac seipsum nihil esse confessus fuisset, Deus, qui benignus est et æquitatis amans, clementer simul et amice his verbis eum alloquitur: Noli silentium agere, sed loquere, esto animo præsenti; non aliam enim ob causam responsum tibi dedi, quam ut justitiam tuam manifestam facerem. Deus præterea ex colloquio et sermone suo cum justo, de potentia sua et excellentia nos instituit; et de

ΚΕΦΑΛ. Μ'.

Προθεωρία.

D Ὑπερβολὴ φιλανθρωπίας ἐνταῦθα τοῦ Θεοῦ δείκνυται. Ἁγιοπρεπῶς γὰρ τοῦ Ἰὼβ τὴν πρὸς Θεὸν ἀναδυομένου διάλεξιν, καὶ τὸ μηδὲν εἶναι ὁμολογοῦντος, ὁ φιλάνθρωπος Θεὸς καὶ φιλοδίκαιος πράως ὁμοῦ καὶ φιλικῶς φησι πρὸς αὐτὸν, Μὴ σιωπήσῃς, ἀλλὰ λάλει, ἀνάλαβε σαυτόν· οὐ γὰρ δι' ἄλλό τί σοι κεχρημάτικα, ἀλλ' ἵνα τὴν σὴν δημοσιεύσω δικαιοσύνην. Πάλιν δὲ ἐκ τῆς πρὸς τὸν δίκαιον διαλέξεως ἡμᾶς τὴν ἑαυτοῦ δύναμιν καὶ ὑπεροχὴν ὁ Θεὸς ἐκδιδάσκει· καὶ περὶ θηρίων διαλεγόμενος, εἰσάγει καὶ τὸν περὶ τοῦ δράκοντος λόγον· ὃν δή τινες μὲν

VARIÆ LECTIONES.

[y] *γρ.* προσκαλουμένης. [x] *Ισ.* ἐκ δευτέρου δέ.

Digitized by Google

ζῶον εἶναι καθ' ἱστορίαν ὑπειλήφασιν, ὑπερφερὲς ἰσχύι καὶ μεγέθει· ἕτεροι δὲ τοῦτον ἔφησαν εἶναι τὸν Λευϊαθάν, τὸν τῷ διαβόλῳ τὴν ἀρχὴν ὑπηρετησάμενον, καὶ τὴν Εὔαν ἐξαπατήσαντα. Λευϊαθὰν δὲ Ἑβραῖοι τὰ μεγάλα κήτη προσαγορεύουσιν. Οἱ δὲ πλείονες τῶν ἐν Ἐκκλησίᾳ διαλαμψάντων ἐν οἰκείαις ἐξηγήσεσι καὶ λογογραφίαις εἰς τὸν διάβολον αἰνιγματικῶς ἀνήνεγκαν τὰ γεγραμμένα. Ἐγὼ δέ, εἰ μὲν ζῷόν ἐστι τοιοῦτον, οὐκ ἔχω λέγειν· οὔτε γὰρ αὐτὸς εἶδον, οὔτε ἑτέρων ἱστορησάντων ἤκουσα· ὅτι δὲ εἰς τὸν ἀποστάτην δράκοντα, τὸν νοῦν[y] τὸν μέγαν τῶν Ἀσσυρίων, τουτέστι, τὸν Σατανᾶν, καλῶς ἀναφέρεται τὰ γεγραμμένα, καὶ τῇ θείᾳ ῥήσει πρέπουσα ἡ τοιαύτη θεωρία, σφόδρα συντίθεμαι. Τίνι γὰρ ἔπρεπεν, ἢ μόνῳ Θεῷ, τοῦ ἀρχεκάκου δαίμονος διαγράψαι, ὡς ἐν σωματοποιΐᾳ, τήν τε κακίαν καὶ ἰταμότητα, ἵνα τῷ δέει τοῦ θηρίου βαλλόμενοι, πρὸς τὸν αὐτὸν χειρωσάμενον καταφύγωμεν Κύριον; Ὅτι δὲ πολλάκις ἡ Γραφὴ, ὡς περὶ σωματικῶν διαλεγομένη, ἐπὶ νοητὰ ἡμᾶς παραπέμπει πράγματα, διὰ τὸ μὴ προδήλως, ἀλλὰ μετ' ἐπικρύψεως τὰ μυστηριώδη διαλέγεσθαι, παντί που δῆλον τῷ καὶ κατὰ βραχὺ τῇ διανοίᾳ τῆς θεοπνεύστου Γραφῆς ἐπιστήσαντι· ὅπου γε τὸ Ἄσμα τῶν ᾀσμάτων σωματικὰ μὲν διαλέγεται πάντα, μυστικὴ δέ ἐστι βίβλος, καὶ ὅλη πρὸς ἀλληγορίαν βλέπει. Εἰ μὲν οὖν ἐστί τι καὶ καθ' ἱστορίαν τοιοῦτον θηρίον, οὕπω μὲν πείθομαι· πλὴν οὐ φιλονεικῶ. Ὅτι δὲ τὸν διάβολον αἰνίττεται ἡ Γραφὴ, πολλοῖς ἁγίοις ἀνδράσι καὶ ἐν Ἐκκλησίᾳ διαπρέψασιν ἔδοξε· διὸ κατὰ ταύτην τὴν ἔννοιαν τὴν περὶ τούτου λέξιν ἑρμηνεῦσαι πειρασόμεθα.

animalibus disserens, de dracone verba facit: quem nonnulli, juxta historiæ veritatem, animal esse volunt, robore et mole corporis eximium; alii vero Leviathan esse dixerunt, qui in initio diabolo inserviit, et Evam decepit. Hebræi nomine Leviathan, immanes cetos appellant. Plerique autem eorum qui in Ecclesia claruerunt in commentariis suis et scriptis allegorice quæ de Leviathan scripta sunt, ad diabolum referunt. Quod ad me attinet, an tale animal in rerum natura exsistat, dicere non possum: neque enim ipse vidi, neque ab aliis qui viderunt, didici: quod vero ad draconem apostatam, magnum spiritualem Ægyptiorum Pharaonem, id est, Satanam, quæ scripta sunt recte referantur, et talis contemplatio divinis oraculis consentanea sit, plurimum assentior. Cui enim, præterquam soli Deo, malitiam et impudentiam dæmonis, mali omnis auctoris, tanquam corpore velatam, depingere conveniebat, ut formidine ejus perculsi, ad Dominum qui eum constringit, confugeremus? Quod autem sæpenumero Scriptura, cum de rebus corporeis disserit, ad eas quæ intellectu percipiuntur nos ableget (quia arcana non aperte, sed sub involucris efferantur), omnibus manifestum est, qui vel tantillum Scripturarum divinitus inspiratarum sensum animadverterunt; quandoquidem Cantici canticorum liber de rebus corporeis ubique loquitur, totus autem mysticus est, et allegoriam respicit. An igitur tale aliquod animal sit, nondum persuasum habeo; contensiosus autem esse nolo. Quod vero diabolum Scriptura sacra innuat, multis sanctis et in Ecclesia illustribus viris ita visum est: quare secundum hanc acceptionem, vocem illam interpretari conabimur.

« Ἔτι δὲ ὑπολαβὼν ὁ Κύριος, εἶπε τῷ Ἰὼβ ἐκ τοῦ νέφους, Μὴ, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀπόκριναι. »

Μὴ σωπήσῃς, ἀλλὰ *ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου*, τουτέστιν, ἀνάλαβε σαυτὸν, ἀνδρισαι, ἀπόσεισαι τὴν ἀθυμίαν, καὶ ἐννοήσας τίς ὁ τὴν ἐρώτησιν ποιούμενος, δὸς ἀνδρικὴν τὴν ἀπόκρισιν. Πρὸς δὲ διάνοιαν, Ζώννυται τὴν ὀσφὺν ὁ σώφρων, διὰ τὸ τὰ σπέρματα ἐν τῇ ὀσφύϊ εἶναι λέγεσθαι· διὸ καὶ ὁ Λευὶ ἐλέγετο ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς εἶναι, ὅτε τὰς δεκάτας προσήνεγκε τῷ Μελχισεδὲκ ὁ Ἀβραάμ. Ζώννυται δὲ τὴν ὀσφὺν ὥσπερ ἀνὴρ, ὁ ἀληθείᾳ δογμάτων τὴν ὀσφὺν περιεζωσμένος, ὁ μετὰ σωφροσύνης καὶ ὀρθοδόξοις πλούτων δόγμασιν, ὁ καταργήσας τὰ τοῦ νηπίου, καὶ γενόμενος ἀνὴρ, τὴν ἐν τῇ γνώσει δεξάμενος αὔξησιν.

Ver. 1, 2. « Adhuc autem respondens Dominus, dixit ad Job de nube: Nequaquam, sed accinge sicut vir lumbum tuum; interrogabo autem te, et tu mihi responde. »

Ne sileas, sed *accinge sicut vir lumbum tuum*, id est, animo esto præsenti, virum te præsta, animi anxietatem pelle, ac tecum reputans quis sit qui te interroget, responsum viro non alienum redde. Ad sensum autem: Vir castus lumbos præcinctos habet, quia in lumbis semen latere dicitur: unde et Levi in lumbis patris fuisse affirmabatur, cum Abrahamus Melchisedeco decimas offerret[93]. Lumbos autem tanquam vir accingit, qui dogmatum veritate lumbos præcinctos habet, qui vitæ castimonia et dogmatibus orthodoxis dives est, qui posthabitis puerilibus, in virum evadens, intelligentiæ incrementum capit.

« Μὴ ἀποποιοῦ μου τὸ κρῖμα. »

Ἐπειδὴ ὁ Ἰὼβ ἐπόθει λέγειν ἐπὶ Θεοῦ τὰ προσόντα, θαῤῥῶν τῇ αὐτοῦ δικαιοκρισίᾳ, καὶ ἔλεγεν ὡς πρὸς τοὺς φίλους, ὅτι Θεοῦ κρίνοντος, *οἶδα ὅτι*

Ver. 3. « Ne repellas judicium meum. »

Quoniam Jobus, divini judicii æquitate fretus, coram Deo quæ ei evenerant narrare desiderasset, ac amicis suis dixisset: Si Deus judicis partes sus-

[93] Hebr. VII, 10.

VARIÆ LECTIONES.

[y] *Isc.* νοητὸν τὸν μέγαν τῶν Αἰγυπτίων Φαραώ. Vid. Ezech. XXIX, 3, et XXXII, 2.

Digitized by Google

ceperit, *novi quod justus apparebo*[94]; hæc Deus justo in memoriam revocat, dicens : In judicium descendere noli recusare, neque sententiam meam declina, sed judicio meo te sistito.

« Putas autem me aliter tibi respondisse, quam ut appareas justus? »

Hæc, inquit, non ut te condemnem, sed ut justum te esse ostendam, a me dicuntur. Vel tentationis intuitu, per *responsum* veniam et assensum intelligit. Ac si diceret : Noli arbitrari, me alium ob causam hoc ut fieret imperasse, quam ut in nominis tui gloriam, et orbis terrarum utilitatem, justitiam tuam omnibus palam facerem. Nota autem quod non dixerit, Ut justus evadas (injustitia enim diligenter se exercebat), sed, Ut quod eras appareas, et alios tuo exemplo instituas.

Vers. 4. « Nunquid brachium est tibi instar Domini? »

Gemina de causa Deus hoc loco potentiam suam Jobo demonstrat : Passus enim sum, inquit te vulnerari, non tanquam prælio tecum contendens, neque ira accensus, sed ut justus appareas : quæ fortitudo tua est, ut in aciem tecum descendam? Vel aliter : Postquam ei dixisset, Propterea responsum tibi dedi ut justus appareas, ne superbiæ ansam hinc arriperet (licet beatus Jobus morbo illo animi laboraverat), confestim, ut arrogantiam retunderet, quæ plerumque eorum qui prospera fortuna utuntur comes est, potentiam suam indicat. Quandoquidem vero sermones hi utilitati publicæ inserviunt, si ineffabilem Dei majestatem mente revolvamus, quamvis ad altissimum virtutis apicem pervenerimus, animum tamen moderatum semper gerere nos oportet. Num tibi, inquit, vires sunt, quibus Deo resistere, aut ejus instar tonare possis?

Vers. 5-9. « Assume nunc altitudinem et virtutem, gloriam vero et honorem induë; emitte autem angelos ira, et omnem contumeliosum humilia, et superbum exstingue, et corrumpe impios statim; absconde autem in terra simul, et facies eorum imple ignominia : confitebor quod potest dextera tua salvare. »

Deinde subjungit : Assume tibi, inquit, ea quæ Deo natura conveniunt, gloriam et honorem indue, et si poteris, ad ultionem de contumeliosis et superbis sumendam, angelorum ministerio utere, impios funditus dele, procul eos ablegato, fac ut supplicio afficiendi putredine contabescant, et quidem *statim*, id est, sine ullo impedimento, et quandocunque tibi visum fuerit, pudore eos afficito, ac pulvere adobrue. Hæc si præstare poteris, testem me tuæ potentiæ habebis.

Vers. 10. « Verum utique ecce bestiæ apud te, fenum sicut boves comedunt. »

ἀναφανοῦμαι δίκαιος· εἰς ἔννοιαν τούτων ὁ Θεὸς ἄγει τὸν δίκαιον, λέγων· Μὴ παραιτοῦ δικάσασθαι, μηδὲ φεῦγε τὴν ἐμὴν κρίσιν, κρίθητι παρ' ἐμοί.

« Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; »

Οὐχ ἵνα σε κατακρίνω, ταῦτα λέγω, φησὶν, ἀλλ' ἵνα σε δείξω δίκαιον. Ἢ περὶ τοῦ πειρασμοῦ φησι, *χρηματισμὸν* τὴν συγχώρησιν λέγων· τουτέστι, Μὴ οἷον προστεταχέναι με δι' ἄλλο τι τοῦτο γενέσθαι, ἀλλ ἵνα πᾶσι δημοσιεύσω τὴν σὴν δικαιοσύνην, εἴς τε τὴν σὴν εὔκλειαν, καὶ τῆς οἰκουμένης ὠφέλειαν. Ὅρα δὲ, οὐκ εἶπεν, Ἵνα γένῃ δίκαιος· ἦν γὰρ ἀκριβῶς τὴν δικαιοσύνην ἀσκήτας· ἀλλ', Ἵνα φανῇς ὅπερ ἦς, ἵνα τοὺς ἄλλους παιδεύσῃς.

« Ἢ βραχίων σοί ἐστι κατὰ τοῦ Κυρίου[2]; »

Ἐνταῦθα ὁ Θεὸς τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται τῷ Ἰὼβ δύο τούτων αἰτιῶν χάριν· Συνεχώρησά σε γὰρ, φησὶ, πληγῆναι, οὐχ ὡς πολεμῶν σοι, οὐδὲ ὀργιζόμενος, ἀλλ' ἵνα ἀναφανῇς δίκαιος· ἐπεὶ ποία σοί ἐστιν ἰσχὺς, ἵνα καὶ εἰς πόλεμον ἀντικατασταθῶ σοι; Καὶ ἄλλως δέ· Ἐπειδὴ εἶπεν αὐτῷ, Διὰ τοῦτό σοι κεχρημάτικα, ἵνα ἀναφανῇς δίκαιος, ἵνα μὴ ἐντεῦθεν μέγα φρονήσῃ, εὐθὺς αὐτῷ τὴν οἰκείαν δύναμιν ἐνδείκνυται, καταστέλλων τὴν ὡς τὰ πολλὰ πρεπομένην τοῖς κατορθοῦσιν ὑπερηφίαν, εἰ δὲ καὶ ὁ μακάριος τοῦτο ἂν ἔπαθεν. Ἀλλ' ἐπειδὴ κοινωφελεῖς εἰσιν οἱ λόγοι, ἡμᾶς ἀεὶ καταστέλλεσθαι προσήκει, κἂν εἰς τὸ ἀκρότατον ὕψος τῆς ἀρετῆς φθάσωμεν, τοῦ Θεοῦ τὴν ὄφατον ἐνθυμουμένους μεγαλειότητα. Μὴ τοιγαροῦν ἐστί σοι, φησὶ, δύναμις, ὥστε ἀντιτάξασθαι Θεῷ; ἢ δύνῃ βροντῆσαι κατ' αὐτόν;

« Ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν, δόξαν δὲ καὶ τιμὴν ἀμφίασαι· ἀπόστειλον δὲ ἀγγέλους ὀργῆ, πάντα δὲ ὑβριστὴν ταπείνωσον, ὑπερήφανον δὲ σβέσον, σῆψον δὲ ἀσεβεῖς παραχρῆμα· κρύψον δὲ εἰς γῆν ὁμοθυμαδὸν, τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον· ὁμολογήσω ὅτι δύναταί σου σῶσαι. »

Ἐπεί τοί[a] φησιν· Ἀνάλαβε ταῦτα, ἃ δὴ κατὰ φύσιν ὑπάρχει τῷ Θεῷ, ἔνδυσαι δόξαν, ἔνδυσαι τιμὴν, χρῆσαι δὲ τοῖς ἀγγέλοις, εἰ δύνῃ, εἰς τιμωρίαν τῶν ὑβριστῶν καὶ ὑπερηφάνων, ἔργασαι δὲ τοὺς ἀσεβεῖς ἀφανεῖς, ἀπόῤῥιψον δὲ αὐτοὺς μακρὰν, καὶ σήπεσθαι τιμωρουμένους παρασκεύασον, καὶ τοῦτο *παραχρῆμα*, τουτέστιν, ἀκωλύτως καὶ ὁπηνίκα ἂν βουληθῇς, ἔντρεψον αὐτοὺς, καὶ εἰς κόνιν κατάχωσον. Ἐὰν ταῦτα δυνατὸς ἦς ἀπεργάσασθαι, ἐξεις με συνομολογοῦντα τῇ σῇ δυνάμει.

« Ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοὶ, χόρτον ἴσα βουσὶν ἐσθίουσιν. »

[94] Job XIII, 18.

VARIÆ LECTIONES.

[2] *Ισ.* τὸν Κύριον, ut in Ms. Theclæ. [a] *Ισ.* Ἔπειτα.

Digitized by Google

Οἱ μὲν *θηρία*, τοὺς ἐκ σήψεως γεννηθέντας σκώληκας, καὶ τὴν σάρκα τοῦ Ἰὼβ κατεσθίοντας, ἐξεδέξαντο. Συνέστειλα γάρ, φησὶ, τὴν χεῖρά μου ἀπὸ σοῦ, καὶ ἰδοὺ ὡς χόρτος ἡ σάρξ σου κατεσθίεται. Οἱ δὲ τὰς ἀντικειμένας δυνάμεις ὀνόματι τῶν θηρίων δηλοῦσθαι εἶπον, κατὰ τό· *Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.* Παρὰ σοὶ οὖν, φησὶ, καὶ παρὰ παντὶ τῷ ὑπομονητικῷ, τὰ θηρία ταῦτα ἐξημεροῦται καὶ ὑποτέτακται· ἔστι μέντοι τὰ πάθη ἐξημερωθέντα, καὶ χόρτον ἴσα βουσὶν ἐσθίειν δεδιδαγμένα, ἀμελείᾳ τοῦ τιθασεύοντος πάλιν ἐξαγριωθῆναι, καὶ τὴν θηρίων ἀναλαβεῖν ὠμότητα. A

Quidam *bestias* pro vermibus ex putredine ortis acceperunt, qui carnem Jobi devorabant. Manum meam, inquit, tibi subtraxi, et ecce caro tua instar feni consumitur. Alii vero, *bestiarum* nomine, adversarias potestates significari volunt; juxta illud: *Ne tradideris bestiis animam confitentem tibi* [95]. Apud te igitur, inquit, et apud omnem qui dono patientiæ instructus est, bestiæ istæ cicures fiunt, et imperio parent: fit autem interdum ut cicurantis incuria, postquam affectus mansuetos induerint, et feno sicut boves vesci didicerint, agrestes rursus evadant, et belluinam feritatem resumant.

« Ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. »

VERS. 11. « Ecce utique fortitudo ejus in lumbo, et virtus ejus super umbilico ventris. »

Εἰ μὲν περὶ τοῦ αἰσθητοῦ θηρίου ἐκδέξῃ τὰ ῥητὰ, δύναμιν αὐτῷ μαρτυρεῖ ὁ λόγος, καὶ τόπον δείκνυσιν ἐν ᾧ αὐτῷ ἡ ἰσχύς· ὁ δὲ τόπος ἐστὶν ἡ *ὀσφὺς*· ἢ, κατὰ τὸν Ἀκύλαν, ὁ *νῶτος*· ἢ, ὡς ὁ Σύμμαχος ἐκδέδωκεν, ἡ *λαγών*. Σωματοποιοῦσα δὲ καὶ τὸ πρόσωπον τοῦ Σατανᾶ ἡ Γραφὴ, ἐκ τῶν ἐνεργειῶν αὐτοῦ διαγράφει τοῦτον· καὶ ἐπειδὴ ἐν τῇ ὀσφύϊ τὰ σπερματικὰ ἀγγεῖα, φησὶν, ὅτι ἡ δύναμις αὐτοῦ ἐν τῇ ὀσφύϊ, τουτέστιν, αὕτη πρώτη δύναμις κατὰ τοῦ ἀνδρὸς, πόρνον ποιεῖν· ἐντεῦθεν ἄρχεται ἐν τῇ πορνείᾳ, τοῦ θηρίου ἡ δύναμις· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν τῷ ὀμφαλῷ. Τοῦτο δὲ οὕτω νοήσεις· ἤτοι, εἰς γαστριμαργίαν ἐκβαίνει, ἀφ' ἧς καὶ τὰ ὑπογάστρια πάθη ἀνακινεῖται· κόρος γὰρ γαστρὸς, πορνείας ῥίζα καὶ ἀρχή· ὥστε καὶ διὰ τοῦ *ὀμφαλοῦ*, τὴν πορνείαν σεμνῶς δηλοῦσθαι, καὶ πᾶσαν αἰσχρὰν ἡδονήν. Ἡ ἐπειδὴ ὁ ὀμφαλὸς ἐν μέσῳ κεῖται τοῦ παντὸς σώματος, ἐν τῷ μέσῳ, φησὶ, πέπηκται αὐτῷ ἡ ἰσχὺς, καὶ ἀκλινής ἐστι πανταχόθεν, μόνον κακὸς ὢν, καὶ οὐδέποτε ῥέπων εἰς ἀγαθόν· καὶ πραγματικῶς δὲ τὸν ὀμφαλὸν τὰ νεῦρα τῆς ῥάχεως περισφίγγουσιν, ὡς εἰκότως καὶ ἐνταῦθα εἶναι τὴν ἰσχὺν τῷ ζώῳ, ὥσπερ ἐν τῷ νώτῳ. Τάχα δὲ τὸ αὐτὸ μόριον, ἐπὶ μὲν ἀνδρὸς, *ὀσφὺς* ἐκλήθη· ἵνα δὲ καὶ τὸ θῆλυ σημάνῃ ὁ λόγος, *ὀμφαλὸς* ἐλέχθη· ἵνα δείξῃ, ὅτι στρατεύεται Σατανᾶς οὐ μόνον κατὰ τῶν ἐχόντων τὰ σπέρματα, ἀλλὰ καὶ κατὰ τοῦ θήλεος γένους. Πάνυ δὲ εὐπρεπέστατα ὠνόμασεν *ὀσφὺν* ἐπὶ ἄρρενος, καὶ *ὀμφαλὸν γαστρὸς* ἐπὶ γυναικός· μέχρι γὰρ ἐπὶ τὸ εὔσχημον ἐλθεῖν ἔδει τῷ λόγῳ ἐπὶ γυναικός. B C

Si de animali sensibus subjecto verba acceperis, vires ejus Scriptura testatur, et locum simul in quo robur residet, ostendit: *Lumbus* autem, locus est; vel, juxta Aquilæ versionem, *dorsum;* vel, ut Symmachus edidit, *ilia.* Scriptura vero personam corpoream diabolo affingens, ex operationibus corporis eum depingit: et quoniam in lumbis vasa spermatica habentur, potentiam ejus in lumbis esse dicit, id est: Hæc prima ejus est potentia et vis quam contra hominem exercet, ut scortatorem eum reddat; hinc enim in fornicatione, bestiæ potentia originem habet: neque in lumbis tantum, sed etiam in umbilico; quod sic intelligendum est: vel, ad ventris etiam ingluviem, unde libidinosi affectus concitantur, prorumpit (radix enim et initium scortationis est ventris satietas), ita ut scortatio, et turpis omnis voluptas, *umbilici* nomine per modestiam significetur. Vel, quoniam umbilicus medium totius corporis locum occupat, robur, inquit, diaboli in medio fixum est; et cum malus solummodo exsistat, nec unquam ad bonum propendeat, undique immotus manet: nervi autem a spina ducti umbilicum fortiter constringunt, ita ut merito in hoc loco, tanquam in dorso, robur animalis situm sit. Forte etiam idem membrum, in viro *lumbus* appellatum est, et ad sexum femineum denotandum, a Scriptura *umbilicus* vocatum est; ut non tantum contra eos quibus semen inest, sed contra femineum etiam genus, bellum Satanam movere ostendat. Summo autem decoro observato, in mare *lumbum*, et in muliere, *ventris umbilicum* nominavit; sermonem enim de muliere intra decorum consistere oportet.

« Ἔστησεν οὐρὰν ὡς κυπάρισσον. »

VERS. 19. « Erexit caudam sicut cupressum. »

Οὐρὰ τὸ τέλος, κυπάρισσος δὲ ξύλον ἰταμόν· Ἐπιμένει οὖν, φησὶ, μέχρι τέλους ἰταμευόμενος. Ἐπειδὴ δὲ καὶ κυπαρίσσῳ ὁ δίκαιος εἰκάζεται, διὰ τὸ ἡδὺ, καὶ εὐῶδες, καὶ εὔτονον, μετασχηματίζονται δὲ οἱ διάκονοι τοῦ Σατανᾶ εἰς ἀγγέλους φωτός· φησὶν ἐνταῦθα, ὅτι ἡ οὐρὰ αὐτοῦ, τουτέστιν, ἡ ἐπομένη αὐτῷ δύναμις προσποιεῖται εἶναι κυπάρισσος, ὅ ἐστι μὲν δίκαιος· τοιοῦτος καὶ ὁ Ἀντίχριστος, ὃς οὐρά ἐστι τοῦ διαβόλου, καὶ ἐν τῷ τέλει τοῦ αἰῶνος ἐλευσόμενος. D

Cauda finis est, cupressus autem arbor dura et robusta: Animo igitur, inquit, duro et præfracto ad extremum perseverat. Quoniam vero justus propter dulcedinem, odoris suavitatem, et roboris firmitatem, cupresso comparatur, Satanæ autem ministri in angelos lucis transfigurantur [96]; dicit hoc loco, *caudam* ejus, potestatem, scilicet, quæ pone eum sequitur, simulare se cupressum, quam justus exprimit: talis etiam est Antichristus, qui diaboli cauda exsistit, et in fine sæculi venturus est.

[95] Psal. xxxvii, 19. [96] II Cor. xi, 15.

Digitized by Google

« Et nervi ejus complicati sunt. »

Nervi ejus, id est, versutia ejus complicatione et involucris plena est, nec facile dissolvitur. Sunt autem nonnulli homines, tanquam membra diaboli, et nervi ejus complicati, quorum dolos qui dissolvit, Isaiæ illud adimplet : *Solve omnem colligaturam iniquitatis*[97].

VERS. 13. « Costæ ejus sunt costæ æneæ. »

Fraudes, artes veteratoriæ, et machinæ, *costæ* sunt : et quidem obliquæ et transversæ, quia cogitationes adversarii pravæ sunt ; *æneæ* vero, vel quia veritati obstinate renitantur, vel quia æs rutilans aurum imitetur, et Satanas in angelum lucis transfiguretur. Aliter vero : Quemadmodum ex Adami costa mulier facta est, et sacrorum antistes in historia illa Christum et Ecclesiam contemplatus est : ita hæreticorum Synagogæ, quæ Christi mente imbutæ non sunt, sed falso potius cognominatam cognitionem habent, costæ Satanæ intelliguntur.

VERS. 13. « Et spina ejus ferrum fusile. »

Symmachus vero : *Ut commissuræ ferri.* Ex conflatura ramentorum ferri, arma invincibilia fabricantur : spina autem, membrorum omnium inter se conjugatio est ; quodque affectus omnes complectitur, et a quo singuli proveniunt, *spinæ* nomine intelligitur. Aliter etiam, quandoquidem animalia onera dorso imposita gestant, per *spinam*, quæ ferrum est, et obedientia flecti non potest (incus enim indomita est), robur ejus denotavit. Quemadmodum vero tales in Ecclesia viri, juxta uniuscujusque analogiam, membra Christi appellantur ; et hic quidem, oculus, alter vero, pes, et sic de cæteris : ita etiam qui Satanæ operibus vacant, improbitatis illorum ratione habita, membra draconis intelliguntur.

VERS. 14. « Hoc est principium formationis Domini. »

Alii vero, *Caput viarum fortis.* Quidam hunc primo a Deo creatum fuisse asserunt : alii vero, Dei primam creaturam mutationi obnoxiam fuisse dicere recusantes, primum illum fuisse negant, principatum autem præcipuum inter angelos obtinuisse, quo, manus contra Deum attollens, pulsus excidit, cum unus ex primis principibus foret, juxta illud : *Et sicut unus de principibus caditis*[97]. Alii vero, Deum hominem finxisse et fabricasse, ac Lucifero imperium in homines a Deo concessum fuisse, illum autem imperio abusum, a Deo defecisse, et hominibus ut idem facerent, auctorem extitisse dicunt ; ac Apostoli testimonio illo utuntur : *Secundum principem sæculi hujus*[98]. Alii vero negant illum imperium in homines a Deo obtinuisse, homines autem propter animi perturbationes et voluptates, sponte se et voluntatis arbitrio, tyrannico diaboli jugo subjecisse : *Principium* igitur, inquit, *formationis Domini*, id est, hominum, qui sponte illud pati elegerunt. Qui vero ex historiæ ve-

A « Τὰ δε νεῦρα αὐτοῦ συμπέπλεκται. »

* *Τὰ νεῦρα αὐτοῦ*, τουτέστιν, ἡ πανουργία αὐτοῦ συμπλοκῆς γέμει, καὶ δυσδιάλυτός ἐστιν. Εἰσὶ δὲ καί τινες ἄνθρωποι ὥσπερ μέλη ὄντες τοῦ Σατανᾶ, καὶ νεῦρα αὐτοῦ συμπεπλεγμένα, ὧν ὁ διελύων τοὺς δόλους, ἐπλήρωσε τὸ τοῦ Ἡσαΐου· *Λύε πάντα σύνδεσμον ἀδικίας.*

« Αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι. »

* *Πλευραὶ* δὲ οἱ δόλοι, αἱ πανουργίαι, αἱ μηχαναί· πλάγιαι δὲ αὗται, ὅτι καὶ τὰ νοήματα τοῦ ἐχθροῦ σκολιά· χαλκαῖ δὲ, ἢ διὰ τὸ ἰταμῶς ἀνθίστασθαι τῇ ἀληθείᾳ, ἢ ἐπειδήπερ ὅτι χαλκὸς στίλβων ἔοικε τῷ χρυσῷ, καὶ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Ἄλλως δὲ, Ὥσπερ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ἡ γυνὴ γέγονε, καὶ ἐθεώρησε τὴν B ἱστορίαν ὁ μυσταγωγὸς εἰς Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν· οὕτω πλευραὶ νοοῦνται τοῦ Σατανᾶ αἱ τῶν αἱρετικῶν συναγωγαί, αἳ οὐκ ἔχουσι νοῦν Χριστοῦ, γνῶσιν δὲ μᾶλλον ψευδώνυμον.

« Ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός. »

Ὁ δὲ Σύμμαχος· *Ὡς συμβλήματα σιδήρου.* Τὰ ἀπορρινήματα τοῦ σιδήρου χωνευόμενα, γίνεται σκεῦος ἀήττητον· ἔστι δὲ ἡ ῥάχις σύνδεσμος πάντων τῶν μελῶν· σημαίνεται δὲ διὰ ταύτης τὸ περιεκτικὸν πάντων τῶν παθῶν, ἐξ οὗ πάντα φύονται. Καὶ ἄλλως δὲ, ἐπειδήπερ τὰ ζῶα ἐπὶ τοῦ νώτου ἀχθοφοροῦσι, τὸ ἰσχυρὸν αὐτοῦ διὰ τῆς *ῥάχεως* ἐσήμανεν, ἥτις ἐστὶ σίδηρος, οὐ καταχαμπτομένη δι' ὑποταγῆς, ἄκμων γὰρ ἀνήλατός ἐστιν. Ὥσπερ δὲ μέλη Χριστοῦ λέγονται οἱ τοιοῦδε τῆς Ἐκκλησίας ἄνδρες κατὰ τὴν C ἑκάστου ἀναλογίαν, καὶ ὁ μέν τίς ἐστιν ὀφθαλμὸς, ὁ δὲ ποὺς, καὶ τὰ λοιπά· οὕτω καὶ οἱ τὰ τοῦ Σατανᾶ πράττοντες, ἀναλόγως τῇ ἑαυτῶν κακουργίᾳ, μέλη νοοῦνται τοῦ δράκοντος.

« Τοῦτ' ἐστιν ἀρχὴ πλάσματος Κυρίου. »

* Οἱ δὲ ἄλλοι, *κεφάλαιον ὁδῶν ἰσχυροῦ.* Οἱ μὲν φασὶν, ὅτι πρῶτον τοῦτον ἔκτισεν ὁ Θεός· οἱ δὲ φεύγοντες εἰπεῖν, ὅτι τὸ πρῶτον ποίημα τοῦ Θεοῦ τὴν τροπὴν ὑπέμεινε, φασὶ ὅτι οὐ πρῶτος μὲν γέγονε, τὴν πρώτην δὲ ἀρχὴν παρ' ἀγγέλοις εἶχεν, εἷς τῶν πρώτων ἀρχόντων τυγχάνων, κατὰ τό· *Καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε*, ἧς ἐξώσθη, χεῖρας ἀντ- D άρας Θεῷ. Ἄλλοι δὲ λέγουσι, πλάσμα εἶναι Θεοῦ τὸν ἄνθρωπον, ἄρχειν δὲ ὑπὸ Θεοῦ τῶν ἀνθρώπων τετάχθαι τὸν Ἑωσφόρον, μὴ εἰς δέον δὲ χρησάμενον τῇ ἀρχῇ, αὐτόν τε ἀποστῆναι Θεοῦ, καὶ τοὺς ἀνθρώπους πεῖσαι τὸ αὐτὸ τοῦτο ποιεῖν· καὶ συγκέχρηνται τῷ Ἀποστόλῳ λέγοντι· *Κατὰ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου.* Ἕτεροι δὲ λέγουσι, μὴ ὑπὸ Θεοῦ αὐτὸν τῶν ἀνθρώπων τὴν ἡγεμονίαν εἰληφέναι, ἀλλὰ τοὺς ἀνθρώπους προαιρετικῶς διὰ τὰ πάθη καὶ τὰς ἡδονὰς, ἑαυτοὺς ὑπαγαγεῖν τῷ τυραννικῷ τοῦ διαβόλου ζυγῷ. Ἀρχὴ οὖν, φησὶ, *τοῦ πλάσματος τοῦ Κυρίου*, τουτέστι, τῶν ἀνθρώπων, ἑκοντὶ τοῦτο παθεῖν ἑλομένων. Οἱ δὲ καθ' ἱστορίαν νοοῦντες ζῶον εἶναι τὸν δράκον-

[97] Isa. LVIII, 6. [97] Psal. LXXXI, 7. [98] Ephes. II, 2.

Digitized by Google

τα, εἶπον ὅτι πρὸ πάντων τῶν ἐναλίων αὐτὸς ἐγένετο, καὶ διὰ τοῦτο λέγεται *ἀρχὴ πλάσματος Κυρίου*, τῶν ἐν τῇ θαλάσσῃ δηλονότι γενομένων.

A ritate, draconem animal esse intelligunt, ante alia animalia marina creatum eum fuisse asserunt, ac proinde *principium formationis Domini*, dictum esse volunt, animalium, scilicet, qui in mari degunt.

« Πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ. »

« Factum ut illuderetur ab angelis ejus. »

« Ὁ Σύμμαχος· *Ποιηθὲν προσαχθῆναι τῇ μαχαίρᾳ αὐτοῦ*. Ἐπειδὴ γὰρ ἀπέστη Θεοῦ, λοιπὸν γέγονε εἰς τὸ καὶ ὑπὸ τῶν ἁγίων τοῦ Θεοῦ ἀγγέλων ἐγκαταπαίζεσθαι, καὶ ὑπὸ τῶν ἰσαγγέλων ἀνθρώπων.

Symmachus : *Factum ut admoveatur gladio ejus.* Quandoquidem enim a Deo draco defecerat, postea in sanctorum Dei angelorum, et hominum qui angelis pares sunt, ludibrium factus est.

« Ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον, ἐποίησε χαρμονὴν τετράποσιν ἐν τῷ Ταρτάρῳ. »

Vers. 15. « Adveniens autem ad montem præruptum, fecit lætitiam quadrupedibus in Tartaro. »

Ὄρος ἀκρότομον τὸν ἐνανθρωπήσαντα Λόγον φησίν· ὅτε οὖν ἐπῆλθεν αὐτῷ ὁ διάβολος, καὶ παρεσκεύασε σταυρωθῆναι, ἐχάρησαν οἱ τοῦ Ταρτάρου ἄξιοι δαίμονές τε καὶ ἄνθρωποι, ἀγνοήσαντες, ὡς ἄλογοι καὶ κτηνώδεις, τὴν διὰ σταυροῦ οἰκονομίαν. Τάχα δὲ καὶ τοῖς ἐν ᾅδου φρουρουμένοις χαρὰ γέγονεν ἀπονα μένοις τῆς ἐκεῖσε τοῦ Σωτῆρος καθόδου· εἰ δὲ οἱ ἀλογώτερον βιωτεύσαντες ἐχάρησαν, πολλῷ μᾶλλον οἱ ἅγιοι.

B Verbum incarnatum, *montem præruptum* vocat : cum igitur diabolus ad eum accessit, et ut crucifigeretur causa fuit, gavisi sunt dæmones simul, et homines qui infernum merebantur, et brutorum instar ac pecudum, beneficio crucis providam Dei administrationem ignorabant. Forte etiam qui in inferni custodia detinebantur, descensus Salvatoris participes facti, lætitia exhilarati sunt : si vero ii qui vitam rationi minus consentaneam duxerunt, gaudio affecti sunt, multo magis sancti lætitia exhilarabuntur.

« Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται. »

Vers. 16. « Sub omnigenis arboribus dormit. »

« Ἐπαναπαύεται, φησὶ, τοῖς οὐκ ἐπὶ μιᾶς γνώμης ἑστηκόσι διὰ βεβαιότητα, περὶ ὧν γέγραπται· *Δένδρα φθινοπωρινὰ ἄκαρπα.*

In iis, inquit, acquiescit, qui firmiter in una et eadem sententia non perseverant ; de quibus scriptum est : *Arbores emarcidæ, infrugiferæ* [98].

« Παρὰ πάπυρον, καὶ κάλαμον, καὶ βούτομον. »

« Juxta papyrum, et calamum, et caricem. »

« Ταῦτα ὕλη καὶ τροφὴ πυρὸς τυγχάνει. Αὐλίζεται οὖν ὑπὸ τὰς ὑγρὰς, καὶ ἀτόνους, καὶ ἀκάρπους ψυχὰς, αἳ πυρός εἰσιν ὕλαι· τοῖς ὑγροῖς γὰρ ἐμφιλόχωρεῖ, τοῖς τὸν ἁλμυρὸν, καὶ φιλήδονον, καὶ ὑγρὸν ἀγαπῶσι βίον· διὸ κατῆλθεν εἰς τὸ ὕδωρ ὁ Κύριος, ἵνα ἐκεῖ αὐτὸν συντρίψῃ.

C Hæc ignis materia et pabulum sunt. In mollibus igitur, languidis, et infrugiferis animabus, quæ igni materiam suppeditant, stabulatur : in mollibus enim, et delicatis, et qui vitam muriaticam, voluptuariam et lubricam sectantur, libenter inhabitat : quare Dominus in aquas, ut illic eum contereret, descendit.

« Σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν ῥαδάμνοις. »

Vers. 17. « Obumbrant autem in eo arbores magnæ cum ramis. »

Ὁ δὲ Σύμμαχος, *σὺν ταῖς παραφυάσιν*. Ἤτοι τοῦτό φησιν, ὅτι συνδιαιτῶνται αὐτῷ μεγάλοι τινὲς δαίμονες, καὶ ὑποδεδηκότες τῇ κακίᾳ· ἢ ὅτι καὶ μικροὺς καὶ μεγάλους ἄνδρας ὁμοίως ὑπέρχεται, καὶ ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν ποιεῖσθαι πειρᾶται.

Symmachus vero, *cum surculis*. Vel, scilicet, hoc vult, quod magni quidam dæmones, et qui improbitate iis cedunt, una cum eo habitent ; vel, quod parvis hominibus pariter et magnis seipsum insinuet, et in potestatem suam redigere eos conetur.

« Καὶ κλῶνες ἀγροῦ [b]. »

« Sarmenta viticis. »

« Ὁ Ἀκύλας, *Ἰτέαι χειμάρρου*· ἐπειδὴ πολλάκις καὶ ἀγνείαν πολλοὶ ἀσκήσαντες, τῆς αὐτοῦ μερίδος γεγόνασιν· ὡς αἱ μωραὶ παρθένοι, ὡς οἱ τὸν γάμον διαβάλλοντες. Τάχα δὲ τὸν *ἄγνον*, ἤτοι τὴν *Ἰτέαν*, διὰ μόνην ἔνδειξιν τῆς ὑγρότητος ἐνταῦθα παρέλαβεν ἡ Γραφὴ, οὐ μὴν καὶ ὡς ἁγνείας σύμβολον.

D Aquila, *salices torrentis;* quoniam sæpenumero plerique etiam eorum qui castimoniam professi sunt, eamdem sortem cum eo subierunt, ut virgines fatuæ, et ii qui nuptias criminantur. Fortasse autem, non ad castitatis symbolum, sed ad mollitiem tantum indicandam, *viticem*, sive *salicem*, Scriptura hoc loco adhibuit.

« Ἐὰν γένηται πλημμύρα, οὐ μὴ αἰσθηθῇ. »

Vers. 18. « Si fuerit inundatio, non sentiet. »

« Τουτέστι, Κἂν ἡ σύμπασα πλησθῇ γνώσεως, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας, αὐτὸς μενεῖ [c] ἐν

Id est, Licet terra universa cognitione impleta fuerit, ita ut aquarum copia maria ipsa contege-

[98] Judæ 12.

VARIÆ LECTIONES.

[b] γρ. ἄγνου, et sic in Ms. Theclæ. [c] Ισ. ἐμεινεν.

Digitized by Google

rentur[99], ille tamen in improbitate sua permansit : et licet doctrina Evangelica, instar aquarum fluviatilium, eam quæ sub cœlo est lætificaverit, juxta illud : *Et declinabo super eos sicut fluvius pacis*[1], purgans et vivificans terram ; ille tamen sensum ejus non percepit, neque ad meliorem frugem rediit ; vel, ut Symmachus reddidit : *Non pavebit.*

« Confidit quia subibit Jordanis in os ejus, [VERS. 19] in oculo suo capiet eum, intortus forabit nasum. »

Symmachus : *In fibula perforabitur nasum.* Calumniandi arte fretus, et Græcorum, Judæorum, ac Manichæorum opera usus, qui ab eo possidentur, et redemptionem per Jordanem factam non admittunt, gratiam divinam floccipendens, verbis cavillatoriis petulanter incessit. Capit autem Jordanem in oculo, id est, considerat eos qui ad gratiam accedunt, et contra eos bacchatur. Vulneratur autem draco, nares ei perforantur, et blasphemiæ nasum demittit, ubi ad crucem se alliserit. Vel illud, *forabit nasum*, id est, subjugabit illum, metaphora a bobus sumpta, qui naribus perforatis huc illuc ducuntur ; ac si diceret : Nares etiam, et dentes, et totus draconis vultus contritus est. Sin autem de animali aliquo hæc intelligantur, utpote de ceto, magnitudinem ejus et potentiam Scriptura hoc loco ob oculos ponit, dicitque animalia in Tartaro et in aquis, quibus bellua hæc infesta fuerat, et insidias struxerat, gaudere, siquando æstu aliquo ad terram deferatur ; ipsam vero ad montem alicubi vel littus appulsam, corporis mole non tantum humiles, sed maximas etiam plantas obumbrare et tegere. Tanta enim corporis ejus magnitudo est, ut licet copiosa ei aqua superinfundatur, minime sentiat, quippe quæ aquarum mole tecta et obruta sit ; quin et Jordanem fere omnem faucibus suscipiet, et oculo aperto, aquam ejus in eo capiet : conteretur nihilominus quæ vasto adeo corpore est, si æstus violentia ejiciatur, et facies ad petram allidatur.

VERS. 20. « Duces autem draconem in hamo ? »

Reliqui vero, *Leviathan.* Cetum autem, cujus supra mentio facta est, et draconem hoc loco, unum et eumdem esse arbitror ; quoniam in Hebræo utrobique vox Leviathan usurpatur, nec alii dracones ita ab Hebræis appellantur, sed generis sui propria nomina singuli habent : et draconem quidem (qui ad principem adversariarum potestatum denotandum refertur) proprio nomine Leviathan vocatum esse, ut qui peculiarem hanc appellationem sibi vindicet.

Poterisne, inquit, o Jobe, præstare, quod postea ab Unigenito factum est ? carne enim sua, sicut esca ei objecta, et clavis suis tanquam hamis, piscem venatus est.

« Et circumpones capistrum circa nasum ejus ?

[99] Isa. XI, 9. [1] Isa. LXVI, 12.

A τῇ πονηρίᾳ · καὶ τῆς εὐαγγελικῆς διδασκαλίας, δίκην ποταμίων ὑδάτων, εὐφρανάσης τὴν ὑπ' οὐρανὸν, κατὰ τὸ, *Καὶ ἐκκλινῶ ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης*, καθαίρων, καὶ ζωογονῶν τὴν γῆν· αὐτὸς εἰς συναίσθησιν οὐκ ἦλθεν, οὐδὲ καλλίων ἑαυτοῦ γέγονεν, ἤ, ὡς ὁ Σύμμαχος ἐξέδωκεν· *Οὐ καταπλαγήσεται.*

« Πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ, ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτὸν, ἐνσκολιευόμενος τρήσει ῥῖνα. »

· Σύμμαχος, *Ἐν περόνῃ τρυπηθήσεται τὴν ῥῖνα.* Πέποιθε τῇ αὐτοῦ συκοφαντίᾳ, καὶ διασύρει τὸ θεῖον χάρισμα, κατευτελίζων αὐτὸ λόγοις χλευαστικοῖς, διὰ τῶν ὑπ' αὐτοῦ ἐνεργουμένων Ἑλλήνων τε καὶ B Ἰουδαίων, καὶ τῶν Μανιχαίων, οὐ προσδεχομένων τὴν διὰ τοῦ Ἰορδάνου ἀπολύτρωσιν. Λαμβάνει δὲ τὸν Ἰορδάνην ἐν ὀφθαλμῷ, τουτέστι, κατανοεῖ τοὺς προσεληλυθότας τῇ χάριτι, καὶ μέμηνε κατ' αὐτῶν. Πλήττεται δὲ ὁ δράκων, καὶ τιτρᾶται τὴν ῥῖνα, καὶ τὸν μυκτῆρα καταβάλλει τῆς βλασφημίας, τῷ σταυρῷ προσβαλών. Ἤ τὸ, *τρήσει ῥῖνα*, ἀντὶ τοῦ, αὐτὸν ὑποτάξει, ἐκ μεταφορᾶς τῶν τρυπωμένων βοῶν τοὺς μυκτῆρας, καὶ δι' αὐτῶν ἀγομένων· ἵνα εἴπῃ, ὅτι καὶ ἡ ῥὶς, καὶ οἱ ὀδόντες, καὶ ὅλον τὸ πρόσωπον τοῦ δράκοντος συνετρίβη. Εἰ δὲ περὶ ζώου τινὸς ταῦτα νοοῖτο, ἤτοι περὶ κήτους, τὸ μέγεθος αὐτοῦ ἐνταῦθα παρίστησι καὶ τὴν δύναμιν, καί φησιν, ὡς εἴ ποτε τοῦτο τὸ ζῶον ἐπὶ τὴν γῆν καταχθῇ ὑπό τινος ὁρμῆς, χαίρει τὰ ἐν τῷ Ταρτάρῳ καὶ τοῖς ὕδασι ζῶα, C οἷς ἦν ἐπίβουλος καὶ πολέμιος οὗτος ὁ θήρ· αὐτὸς δὲ εἰς ὄρος που καὶ ἀκτὴν ἐκδραμὼν, σκιάζει τῷ μεγέθει τοῦ σώματος καὶ καλύπτει, οὐ μόνον τὰ βραχύτατα τῶν φυτῶν, ἀλλὰ καὶ τὰ μέγιστα. Τοσοῦτον δέ ἐστιν αὐτῷ τὸ τοῦ σώματος μέγεθος, ὥστε κἂν πολὺ ὕδωρ χυθῇ, οὐ μὴ αἰσθηθῇ, ὡς καλυπτόμενος δηλαδὴ καὶ ἐπικλυζόμενος · ἀλλὰ καὶ τὸν Ἰορδάνην μικροῦ ὅλον τῷ στόματι ὑποδέξεται, καὶ τὸν ὀφθαλμὸν ἀνοίξας, λήψεται τὸ ὕδωρ ἐν αὐτῷ · ἐκβρασθεὶς μέντοι εἰς γῆν, καὶ πέτρᾳ προσραγεὶς τὸ πρόσωπον, ὁ τοσοῦτος συντριβήσεται.

« Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ ; »

· Οἱ δὲ λοιποὶ, *Λευϊαθάν*. Οἶμαι τὸ προειρημένον κῆτος, καὶ τὸν ἐνταῦθα δράκοντα, ἕνα καὶ τὸν αὐτὸν εἶναι, ἐπεὶ καὶ τὸ Ἑβραϊκὸν ἐν ἀμφοτέροις Λευϊαθὰν D περιέχει, οὐχ οὕτως τῶν ἄλλων δρακόντων παρ' Ἑβραίοις ὀνομαζομένων ; ἀλλ' ἐχόντων τὸ οἰκεῖον ὄνομα τοῦ γένους αὐτῶν · τοῦ γε μὴν εἰς τὸν ἄρχοντα τῶν ἀντικειμένων δυνάμεων ἀναφερομένου δράκοντος, ἰδίως ὄνομα Λευϊαθὰν κέκληται, ὥσπερ κυρίαν ταύτην κεκτημένου προσηγορίαν.

Δύνασαι οὖν, φησὶν, ὦ Ἰὼβ, ποιῆσαι ὅπερ ὁ Μονογενὴς ὕστερον εἰργάσατο ; ὥσπερ γάρ τι δέλεαρ αὐτῷ τὴν οἰκείαν σάρκα προβαλλόμενος, διὰ τῶν οἰκείων ἥλων, ὡς δι' ἀγκίστρων, ἰχθὺν ἥγρευσεν.

« Περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ, ἢ δή-

Digitized by Google

σεις χρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ; ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ; »

* Θεοδοτίων· *Καὶ χαλινῷ τρήσεις σιαγόνα αὐτοῦ.* Ψέλλιον εἶπεν, ἀντὶ τοῦ, περιοχῇ. Ὥσπερ οὖν ψελλίῳ καὶ περιοχῇ συνέρραψεν αὐτοῦ τὰ χείλη Χριστὸς, ἐφ' ᾧ μηκέτι μεγαλαυχεῖν, καὶ τὸν μυκτῆρα αὐτοῦ κρίκῳ ἔδησε, καθά τις ταῦρον δαμάζων, καὶ τὸ γαυρίαμα αὐτοῦ ἀφαιρούμενος· καθηλούμενος δὲ ἦλος καὶ στρογγυλούμενος, κρίκος γίνεται· καὶ φορβέαν αὐτῷ περιέθηκε, καταπαίζεσθαι παρεχόμενος. Ἔτι τὸ ψέλλιον κόσμος ἐστὶ τῆς χειρὸς, τοῦτό ἐστι τὸ ἔργον ἀγαθόν· ὁ οὖν ἔχων τὸ τοιοῦτον ψέλλιον, τρυπήσει τὸ χεῖλος τοῦ δράκοντος, τοῦ ἐξεναντίας τοῦ διαβόλου ἐντρεπομένου, μὴ ἔχοντός τι λαλῆσαι κατ' αὐτοῦ.

« Λαλήσει δέ σοι δεήσει, ἱκετηρίᾳ μαλακῶς; θήσεται δὲ μετὰ σοῦ διαθήκην; »

* Τοῦτο εἶπε διὰ τὸ παρακαλεῖν τοὺς δαίμονας τὸν Κύριον, μὴ βαλεῖν αὐτοὺς εἰς τὴν ἄβυσσον· ἢ διὰ τὸ εἰρηκέναι αὐτὸν τῷ Κυρίῳ· *Ταῦτά σοι πάντα δώσω.* Μὴ οὖν, φησὶ, καὶ πρὸς σὲ ἁπαλὰ φθέγξεται; μὴ διαθήσεται μετὰ σοῦ διαθήκας, ὥστε μηκέτι σοι πολεμεῖν;

« Λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον; »

* Ὁ δοῦλος, ἢ προαιρετικῶς γίνεται δοῦλος, ὡς ὁ δουλεύειν Θεῷ προαιρούμενος· ἢ ἀναγκαστικῶς, αἰχμαλωτιζόμενος[d] καὶ καταδεσμούμενος· ὃ δὴ πέπονθεν ὁ διάβολος.

« Παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ; ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ; »

* Δήσας τὸν ἐχθρὸν ὁ Κύριος ἡμῶν, δέδωκε καταπαίζειν αὐτοῦ, ὡς στρουθίου, τοῖς στραφεῖσι, καὶ γενομένοις ὡς τὰ παιδία.

« Ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔθνη. » [*Ἀκύλας δὲ*, « Ἡμισεύσουσιν αὐτὸν μεταξὺ Χαναναίων. »]

Ἡ Φοινίκη Χαναναία πρότερον ἐκαλεῖτο· τὴν γὰρ Συροφοίνισσαν Χαναναίαν καλοῦσι τὰ Εὐαγγέλια· οἱ δὲ Χαναναῖοι εἰδωλολάτραι. Λέγει οὖν, ὅτι μερίζονται τὸν δράκοντα οἱ εἰδωλολάτραι, οἱ φοινισσόμενοι τοῖς ἐπιθωμίοις αἵμασιν, ἄλλος ἄλλην ἄθεσμον μετιὼν πρᾶξιν, καὶ ἕκαστος μέρος τι λαμβάνων ἀπὸ τοῦ δράκοντος· τοῦτο δὲ εἴρηται, ἐπειδὴ ἐπὶ πονηρίᾳ διαβάλλονται Χαναναῖοι καὶ Φοίνικες. Εἰ μέντοι περὶ τοῦ αἰσθητοῦ δράκοντος ὁ λόγος ἐστὶ, παρίσταται καὶ ἐν τούτοις τὸ μέγεθος αὐτοῦ καὶ ἡ δύναμις, καὶ ὅτι οὐ δυνατὸν δῆσαι αὐτὸν, καὶ παραδοῦναι παιδίῳ, οἷά τι στρουθίον, ὥστε ἐν αὐτῷ παίζειν.

« Πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ, καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ. »

Βύρσα ἡ φολὶς, ἡ λεπὶς· ὡς ἐπὶ δράκοντος δὲ

A [Vers. 21] aut ligabis circulum ejus? et armilla terebrabis labium ejus? »

Theodotio : *Et freno perforabis maxillam ejus. Armillam* pro sepimento dixit : Christus enim, ne amplius insolentia se efferret, tanquam armilla et sepimento, labia ejus consuit, et (sicut facere consuevit qui taurum domat, ejusque ferociam comprimit) nares annulo ligavit (clavus autem adactus et rotundus factus, annulum facit), et ut ad ludibrium proponeret, capistrum circumposuit. Præterea, armilla manus ornamentum est, quod est bonum opus : qui igitur talem armillam gestat, labium draconis perforabit, diabolo, qui inimicus est, pudore suffuso, nec habente quod contra eum hiscere possit.

B Vers. 22, 23. « Loquetur autem tibi prece, supplicatione molliter? ponet autem tecum testamentum? »

Hoc dixit, quia dæmones Dominum rogarunt, ne in abyssum eos deturbaret [2]; vel quia Satanas Christo dixerit : *Hæc omnia tibi dabo* [3]. Num igitur, inquit, blanda oratione te compellabit? num fœdus tecum inibit, nec amplius bellum tibi inferet?

« Accipies autem eum servum sempiternum? »

Servus, vel arbitrii voluntate fit servus, ut is qui Deo famulari sponte elegit; vel necessitate cogente, ut captivus et qui in vinculis detinetur : quod diabolo accidit.

C Vers. 24. « Ludes autem in eo sicut avi? aut ligabis eum sicut passerem puero? »

Conversis, et iis qui sicut infantes facti sunt, Dominus noster vinctum adversarium, tanquam passerem, illudendum tradidit.

Vers. 25. « Pascuntur autem in eo gentes, partiuntur autem eum gentes Phœnicum. » [*Aquila vero*, « Dimidiabunt eum inter Chananæos. »]

Phœnice prius Chananæa appellata fuit; Syrophœnissam enim mulierem, Evangelia [4-5] Chananæam vocant : Chananæi vero idololatræ erant. Dicit igitur, quod ii qui idola colunt, et purpureo altarium sanguine tinguntur, alius aliud scelus perpetrando, et unusquisque partem aliquam delibando, draconem inter se partiuntur : dictum autem hoc D est, quia Chananæi et Phœnices propter improbitatem infames et inglorii sunt. Sin vero de dracone sensibus obvio sermo sit, per hæc magnitudo ejus et potentia ob oculos ponitur, et quod vinciri, ac puero, instar passeris, ad illudendum tradi non possit.

Vers. 26. « Omne navigans conveniens non ferent pellem unam caudæ ejus, et in navigiis piscatorum caput ejus. »

De dracone hæc verba proferuntur, et *pellis* ne-

[2] Luc. VIII, 31. [3] Matth. IV, 9. [4-5] Marc. VII, 26.

VARIÆ LECTIONES.

[d] *Is.* suppl. ὡς.

Digitized by Google

mine squamam intelligit. Dicit igitur, quod omnes homines qui vitam hanc (quæ mare vocatur) navigant, in unum congregati, ne levissimum quidem infimarum et postremarum potestatum ejus insultum suis viribus sustinere valeant : Dominus autem caput draconis confregerit.

Doctores qui in Ecclesia præsunt, piscatores sunt; Ecclesia vero, navigia; et superbia, caput draconis. Dicit igitur, contra doctores, et contra Ecclesias persecutionibus excitatis, insolenter sese elaturum : ut verbi enim prædicationem impediret, apostolorum progressui, qui piscatores erant, multifariam restitit; illi vero, Dominum imitati, et mortem pro eo alacri animo subeuntes, caput draconis apprehenderunt et contriverunt. De ceto autem verborum sensus planus est, quod, scilicet, navigia omnia si in unum cocant, squamam unam caudæ ejus ferre, aut solum ejus caput iis appropinquans, sustinere aut capere non possint.

Vers. 27. « Impones autem ei manum, recordatus belli quod fit in corpore ejus, et non ultra fiat? »

Perturbationem et sævitiam, *bellum* hoc loco vocat. Sensus autem versus hic est : Manum, inquit, injice, et belli cum ceto recordare; ac, si debellare eum poteris, fac ut amplius resistere tibi non valeat. Bellum vero quod cum Leviathan geritur, formidabile est, et bellua hæc expugnatu difficilis est, neque unquam oppugnare nos desinit.

CAP. XLI.

Vers. 1, 2. « Nonne vidisti eum? nonne super iis quæ dicuntur, miratus es? Non timuisti, quia paratus est mihi. Quis est enim qui mihi ex adverso steterit? vel quis resistet mihi, et sustinebit? »

Planiorem vim hujus loci reddentes, Deum talibus verbis Jobum allocutum esse dicimus : Num paratus in aciem cum Satana descendere, dextram illi injicies, memor præcipue belli quod inter ipsum et viros justos geritur? Annon belluæ sævitiam vides et perspicis? neque quæ de ea dicuntur, timorem tibi incutiunt? ut cupressus cauda elata, nervi complicati, latera ænea, spina dorsi ferro valentior, omnis generis arbores ab ea inumbratæ, fluvius totus absorptus, maria autem navigabilia et cuncta navigia, ne partem ejus minimam quidem ferre posse? Nonne formidine percelleris, cum hæc omnia audis? Nonne difficultatem cum bellua congrediendi, et invictum ejus robur intelligis? verum ultra non ita fiet, neque postea formidabilis erit hæc bellua; parata est quippe ut a me vinciatur : nemo enim est, qui mihi resistere, aut iracundiam meam sustinere valet.

« Si universa quæ sub cœlo mea sunt, non tacebo propter eum. »

Quoniam, inquit, rerum omnium Creator et Dominus sum, regionem quæ sub cœlo est spoliantem

A τοῦτο εἶπε. Φησὶν οὖν, ὅτι πάντες ἄνθρωποι κατὰ ταὐτὸν συναγόμενοι, οἱ τόνδε τὸν βίον, θάλασσαν καλούμενον, πλέοντες, οὐδὲ μικράν τινα αὐτοῦ ἐπήρειαν τῶν ἐσχάτων καὶ τελευταίων δυνάμεων δύνανται ὑπενεγκεῖν καθ' ἑαυτούς· ὁ δὲ Κύριος συνέθλασε τὴν κεφαλὴν τοῦ δράκοντος.

Ἀλιεῖς, οἱ τῆς Ἐκκλησίας προεστῶτες διδάσκαλοι· πλοῖα δέ, αἱ Ἐκκλησίαι· κεφαλὴ δὲ τοῦ δράκοντος, ἡ ὑπερηφανία. Φησὶν οὖν, ὅτι ὑπερηφανεύσεται καὶ κατὰ διδασκάλων, καὶ κατὰ Ἐκκλησιῶν, διωγμοὺς δηλονότι κινῶν κατ' αὐτῶν· ποικίλως γοῦν ἀντέστη τῇ πορείᾳ τῶν ἁλιέων ἀποστόλων, ἐμποδίσαι βουλόμενος τῷ κηρύγματι· ἀλλ' οὗτοι, κατὰ μίμησιν τοῦ Δεσπότου, τὴν κεφαλὴν αὐτοῦ ἐδέξαντο καὶ συνέθλασαν, τὸν ὑπὲρ αὐτοῦ θάνατον
B προθύμως καταδεξάμενοι. Περὶ δὲ τοῦ κήτους δῆλος ὁ νοῦς, ὅτι πάντα τὰ πλωτὰ ὁμοῦ συνελθόντα, οὐκ ἂν ἐνέγκωσι μίαν λεπίδα τῆς οὐρᾶς αὐτοῦ, οὐδὲ ἡ κεφαλὴ αὐτοῦ καθ' ἑαυτὴν πλοίοις ἐμπελάσασα, φορητὴ ἢ χωρητὴ γίνεται.

« Ἐπιθήσεις δὲ αὐτῷ χεῖρα, μνησθεὶς πολέμου τοῦ γινομένου ἐν σώματι αὐτοῦ, καὶ μηκέτι γενέσθω; »

* *Πόλεμον* ἐνταῦθα λέγει τὴν ταραχὴν, τὴν ἀγριότητα. Ἡ δὲ τοῦ στίχου διάνοια τοιαύτη· Ἐπίβαλε, φησὶ, τὴν χεῖρα, καὶ μνήσθητι τοῦ πρὸς τὸ κῆτος πολέμου· καὶ καταπολεμήσας αὐτὸ, εἰ δύνασαι, ποίησον μηκέτι γίνεσθαι αὐτῷ πρὸς σὲ ἀντίστασιν. Φοβερὸς δὲ καὶ ὁ πρὸς τὸν Λευϊαθὰν πόλεμος, καὶ
C δυσκαταγώνιστον τοῦτο τὸ θηρίον, καὶ οὐδέποτε τῆς καθ' ἡμῶν προσβολῆς ἀφίσταται.

ΚΕΦ. ΜΑ'.

« Οὐχ ἑώρακας αὐτόν; οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; Οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι. Τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς; ἢ τίς ἀντιστήσεταί μοι, καὶ ὑπομενεῖ; »

Ἐπὶ τὸ σαφέστερον ἐξομαλίζοντες τὴν τοῦ χωρίου δύναμιν, φαμὲν, τοιοῦτόν τι λέγειν τὸν Κύριον πρὸς Ἰώβ· Μὴ ἐπιθήσεις τὴν δεξιάν σου τῷ Σατανᾷ, ποιούμενος πρὸς αὐτὸν ἀντιπαράταξιν, καὶ πολέμου μεμνημένος τοῦ γινομένου τοῖς δικαίοις μετ' αὐτοῦ; Ἆρά γε οὐχ ὁρᾷς, οὐδὲ κατανοεῖς τοῦ θηρὸς τὴν χαλεπότητα; οὐδὲ εἰς κατάπληξίν σε ἄγει τὰ περὶ
D αὐτοῦ λεγόμενα; ὑψουμένη οὐρὰ ὡς κυπάρισσος, νεῦρα συμπλεκόμενα, πλευραὶ χάλκειαι, ῥάχις ἰσχυροτέρα σιδήρου, δένδρα παντοδαπὰ ὑπ' αὐτοῦ σκιαζόμενα, ποταμὸς ὅλος καταπινόμενος, πάντα πλωτὰ καὶ πλοῖα οὐδὲ μέρος αὐτοῦ τὸ ἐλάχιστον ἐνεγκεῖν δυνάμενα; Πάντα ταῦτα ἀκούων, οὐ δέδοικας; Οὐδὲ τὸ δύσμαχον τοῦ θηρίου μανθάνεις καὶ τὸ ἀκαταγώνιστον; ἀλλ' οὐκέτι τοῦτο γενήσεται, οὐδ' ἔσται λοιπὸν φοβερὸς ὁ θήρ· ἡτοίμασται γάρ μοι ὥστε ὑπ' ἐμοῦ δεθῆναι· οὐδεὶς γὰρ ἐμοὶ ἀντιφέρεσθαι δύναται, ἢ τὴν ἐμὴν ὀργὴν ὑποφέρειν.

« Εἰ πᾶσα ἡ ὑπ' οὐρανόν ἐμή ἐστιν, οὐ σιωπήσομαι δι' αὐτόν. »

* Ἐπειδὴ, φησὶ, Δημιουργός εἰμι πάντων καὶ Δεσπότης, οὐκέτι μακροθυμήσω διὰ τὸν σκυλεύ-

Digitized by Google

σαντα τὴν ὑπ' οὐρανὸν, ἀλλ' ἐπεξελεύσομαι καὶ ἀμυνοῦμαι αὐτόν. Τῇ μέντοι ἀποδεδομένῃ τῶν ῥητῶν διανοίᾳ συμφωνοῦσι καὶ οἱ λοιποὶ ἑρμηνευταί· ἀντὶ γὰρ τοῦ, *Μηκέτι γενέσθω*, ὁ Θεοδοτίων, *Ἡ ἀρχὴ αὐτοῦ διεψεύσατο*, ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ, *Οὐχ ἑώρακας αὐτόν; Ἀλλὰ καὶ ὁ Θεὸς τὴν ἰδέαν αὐτοῦ καταβαλεῖ*, ἡρμήνευσε. Δι' ὧν δηλοῦται, ὅτι καὶ ἡ ἀρχὴ, καὶ ἡ ἐξουσία, ἣν τυραννικῶς ἔσχεν ὁ διάβολος, διαψευσθήσεται, καὶ αὐτὸς δὲ τῇ δυνάμει τοῦ Χριστοῦ ἀφανὴς ἔσται, καὶ ἡ νενοθευμένη αὐτοῦ εὐπρέπεια καταβληθήσεται καὶ ἀποπεσεῖται· ἀποβαλεῖ γὰρ οὓς εἶχεν αἰχμαλώτους γυμνωθείς. Οὐ γὰρ ἀνέξομαι, φησὶ, περὶ αὐτοῦ, οὐδὲ μὴ *ἀσπλαγχνίσω* [a-1], κατὰ τοὺς λοιποὺς, ὅταν ἐξεγείρω αὐτόν.

« Καὶ λόγῳ δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ. »

Καὶ τί, φησὶ, καινὸν [6], εἰ τὸ ἐμοὶ τιμιώτατον κτῆμα καὶ οἰκειότατον, τὸν ἄνθρωπον, τυραννούμενον ὑπὸ τοῦ διαβόλου οὐ παρόψομαι, ὅπουγε ἄνθρωπος τὸν ἴσον αὐτῷ παροράν οὐκ ἀνέχεται, ἀλλὰ καὶ ἐλεεῖ κατὰ τὸ μέτρον τῆς αὐτοῦ δυνάμεως; Τινὲς δὲ οὕτως ἐννόησαν, ὅτι Οὕτω τιμωρήσομαι τὸν διάβολον, τῷ λόγῳ χρησάμενος τῆς ἐμῆς δυνάμεως, ὡς ἐντεῦθεν ἐλεεινὸν κρίνεσθαι καὶ τὸν ἴσον αὐτῷ Ἀντίχριστον, οἷα τὰ αὐτὰ παθεῖν μέλλοντα. Ἐμοὶ δὲ δοκεῖ πρὸς τὰ ἄνω τὸ ῥητὸν συναρτώμενον, ἀδιάστον ἔχειν τὴν ἀπόδοσιν, εἰ οὕτω συντεθῇ τὰ προκείμενα· Μὴ ἐπιθήσεις αὐτῷ χεῖρα, ἢ μνησθήσῃ τοῦ πρὸς αὐτὸν πολέμου; Ἀλλ' οὐ τρέσεις, οὐδὲ φοβηθήσῃ, τοιαῦτα περὶ αὐτοῦ ἀκούων λεγόμενα, ἀλλὰ θάρρει· οὐκέτι τοῦτο γενήσεται· ἐμοὶ γὰρ εἰς σφαγὴν τὸ θηρίον ἡτοίμασται, καὶ οὐ σιωπήσομαι δι' αὐτὸν ὁ πάσης τῆς γῆς Κύριος. Τίς δὲ ἀντιστήσεταί μοι; Τίς τῶν ἴσων αὐτῷ δαιμόνων ἐλεήσει αὐτόν; οὐχὶ τὸν ἁπλῶς ἔλεον τὸν ψιλὸν, καὶ μὴ ἔργοις δεικνύμενον, ἀλλὰ τὸν καὶ λόγῳ δυνάμεως βεβαιούμενον; οὐδεὶς γὰρ ἔσχε δύναμιν, ἵνα τῷ λόγῳ ταύτης, ἐλεήσας τὸν Σατανᾶν, ἀντιστῇ τῷ Κυρίῳ. Ἢ οὖν τοῦτο λέγει, ἢ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἠδυνήθη ἐλεῆσαι τοὺς ὁμογενεῖς, ἀλλὰ μόνος Χριστὸς ὁ θεάνθρωπος· οὐκ ἄγγελος γὰρ, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.

« Τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; »

[a] Ἀντὶ τοῦ, Οὐδεὶς πλὴν ἐμοῦ· *Πρόσωπον* δὲ *ἐνδύσεως* λέγει τὸ ἄλλο τε ἄλλο προσωπεῖον, ὃ μετενδύεται ὑποκρινόμενος· πλάττεται γὰρ πρόσωπον προβάτου λύκος ὤν, καὶ μετασχηματίζεται εἰς ἄγγελον φωτὸς, σκότος τυγχάνων.

Διατί οὐκ εἶπε· *Τίς ἀποκαλύψει πρόσωπον αὐτοῦ*; ἀλλὰ προσέθηκε, *πρόσωπον ἐνδύσεως*; τί βούλεται ἐνταῦθα ἡ *ἔνδυσις*; Ἀλλ' ἵνα νοηθῇ τὸ

A diutius non patiar, sed persequar eum, et ulciscar. Et huic quidem verborum sensui a nobis reddito reliqui interpretes consentiunt : pro illo enim, *Non ultra fiat*, Theodotio vertit, *Principatus ejus frustratus est* ; Symmachus vero, *Verumtamen et Deus speciem illius dejiciet*, pro, *Nonne vidisti eum?* interpretatus est. Ex quibus manifestum est, quod potestatis, et dominatus quem tyrannice diabolus usurpaverat, frustrabitur et irritus fiet, ipseque Christi potentia delebitur, et adulterinus gloriæ ejus splendor diruetur ac decidet ; nudatus enim, captivos quos in vinculis detinuerat, amittet. Dicit enim de eo : Non feram, non patiar, neque (juxta aliorum interpretationem) *misericordia commovebor*, cum illum exsuscitavero.

B Vers. 3. « Et verbo virtutis miserebitur æqualem sibi. »

Et quid mirum, inquit, si hominem, qui mihi in maximo pretio et deliciis est, diaboli tyrannide oppressum non despiciam, quandoquidem homo sibi æqualem neglectum jacere non sustinet, verum secundum potentiæ suæ vires misericordiam ei exhibet? Quidam vero sic locum hunc intellexerunt : Tale supplicium, adhibito potestatis meæ verbo, de diabolo sumam, ut Antichristi (qui illi par est) tanquam eadem passuri, miserabilis ex eo conditio judicetur. Mihi vero, si talis orationis totius structura fiat, quod hic dicitur, superioribus annexum, sine vi ulla verbis illata, hanc consequentiam habere videtur : Nunquid manum illi injicies, aut belli C quod cum eo geritur recordaberis? Verum talia de eo audiens, noli præ metu et formidine trepidare, sed animo esto forti ; non amplius hoc eveniet, mihi enim bellua ad cædem præparata est, neque ego qui terræ universæ Dominus sum, ejus causa silentium agam. Quis autem mihi resistet? Quis dæmonum, sibi consortium, misericordia illum amplectetur? non simplici quidem et nuda, nec quæ operibus se non exerat, sed quæ verbo potestatis etiam confirmata sit? nemo enim tali potentia præditus fuit, ut verbo ejus, Satanæ misertus, Domino resistere potuerit. Vel igitur hoc dicit, vel inter homines neminem, suæ sortis et conditionis hominibus misericordiam exhibere potuisse ; solum autem Christum, Deum et hominem : non enim angelus, non homo, sed ipse Dominus, Salvator noster exstitit.

D Vers. 4. « Quis revelabit faciem indumenti ejus? »

Id est, Præter me, nemo. Larvam autem et personam quam subinde mutat et induit, *faciem indumenti* vocat : lupus autem exsistens, ovis personam simulat, et in angelum lucis transformatur, cum tenebræ sit.

Cur autem non dixit : *Quis revelabit faciem ejus?* sed addidit, *faciem indumenti?* quid sibi vult hoc loco *indumentum?* Ut melius intelligatur quod di-

VARIÆ LECTIONES.

[a-1] *Isr.* εὐσπλαγχνίσομαι. [6] *gr.* ἱκανόν.

Digitized by Google

citur, exemplo ab iis petito utemur, qui larvas et personas induunt, qui quod sunt non videntur, sed videri volunt. Histriones hi in scenis, imperatorum interdum, verbi gratia, interdum regum, et mulierum nonnunquam personas assumunt; propria autem ipsorum persona occultatur, et quod sunt, non apparent, quod vero videri volunt, cernuntur. Talis est draco, personam suam nunquam ostendit, sed ut homines fallat, alia semper assumpta utitur : et variis quidem personis hostis hic instructus est; quis autem sub persona, quam in singulis vitiis induit, intus latentem draconem demonstrare, revelare et ostendere poterit? Tales etiam sunt illi, qui ad nos in ovium vestimentis accedunt, intus autem sunt lupi rapaces [6].

A λεγόμενον, παραδείγματι χρησώμεθα τῶν περιτιθεμένων προσωπεῖον, καὶ μὴ φαινομένων τοῦτο ὃ εἰσὶν, ἀλλὰ θελόντων δοκεῖν. Ἀναλαμβάνουσι γὰρ προσωπεῖα, φέρε εἰπεῖν, οὗτοι οἱ ἐν ταῖς θυμέλαις ὑποκριταὶ, ποτὲ μὲν ἡγουμένων, ποτὲ δὲ ἄλλως βασιλέων, ποτὲ δὲ γυναικῶν, καὶ τὸ μὲν ἴδιον αὐτῶν πρόσωπον ἀποκέκρυπται, καὶ ὃ εἰσὶν οὐ φαίνονται, ὃ δὲ δοκοῦσιν οὐ [b-i] βλέπονται. Τοιοῦτός ἐστιν ὁ δράκων, οὐδέ ποτε τὸ πρόσωπον αὐτοῦ δείκνυσιν, ἀλλ' ἀεὶ πρόσωπον λαμβάνων, εἰς ἀπάτην τῶν ἀνθρώπων ἐκείνῳ χρῆται· καὶ ἔχει γε ὁ ἐχθρὸς οὗτος πολλὰ προσωπεῖα, καὶ καθ' ἑκάστην κακίαν πρόσωπον ὃ ἐνεδύσατο, τίς ἱκανὸς ἐλέγξαι; Τίς ἱκανὸς ἀποκαλύψαι, καὶ δεῖξαι ὅτι ἔνδον δράκων ἐστί; Τοιοῦτοί εἰσι καὶ οἱ ἔρχονται πρὸς ἡμᾶς ἐν ἐνδύμασι
B προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

« Et in rugam pectoris ejus quis utique ingrediatur? »

« Εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι; »

Symmachus autem : *In subduplicationem squamæ ejus quis subibit?* Pectus ejus implicatum et involutum est, nihil apertum habens, sed omnia occulta : quis igitur in cogitationes cordis ejus, quandoquidem abditæ sunt, penetrare poterit? Verum qui in Christo sunt, dicunt : *Non enim illius machinationes ignoramus* [7].

Ὁ δὲ Σύμμαχος· *Εἰς ὑποδιπλωσιν φολίδος αὐτοῦ τίς ὑποδύσει;* Κατεπτυγμένος ἐστὶν ὁ θώραξ αὐτοῦ, οὐδὲν φανερὸν ἔχων ἰ, ἀλλὰ πάντα ἐπικεκρυμμένα· τίς οὖν ἱκανὸς εἰσελθεῖν εἰς τὰ νοήματα τῆς καρδίας αὐτοῦ, διότι συγκεκαλυμμένα τυγχάνουσιν; Ἀλλ' οἱ ἐν Χριστῷ, φασὶν· *Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.*

Vers. 5. « Portas faciei ejus quis aperiet? »

« Πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει; »

Quis igitur, inquit, abditos cogitationum ejus recessus manifestabit? Vultus ejus aditus occlusi sunt, ita ut consilia et cogitationes cerni non possint; veterator enim exsistens, boni etiam prætextu mala operatur : sic Judam pœnitentiæ intemperantia in novam foveam conjecit, cum a proditione ad laqueum illum adigeret. Celat quæ intus recondita sunt : quisnam igitur talis est, qui quantam fraudem, quantum venenum, quanta mala intus congesta habeat, ostendere et manifestare poterit? Quis præter me aperiet?

Τίς οὖν, φησὶ, τὰς ἐπικρύψεις τῶν νοημάτων αὐτοῦ φανεροποιήσει; Αἱ εἴσοδοι τοῦ προσώπου αὐτοῦ κεκλεισμέναι εἰσὶν, ὡς ἀθέατα εἶναι αὐτοῦ τὰ νοήματα· πανοῦργος γὰρ ὤν, καὶ ἀγαθοῦ δῆθεν προ-
C φάσει κακοποιεῖ. Οὕτω δι' ἀμέτρου μετανοίας εἰς ἕτερον βόθρον τὸν Ἰούδαν ἐνέβαλεν, ἀπὸ τῆς προδοσίας ἐπὶ τὴν ἀγχόνην ἀγαγών. Κρύπτει τὰ ἔνδον ἀποκείμενα· τίς οὖν τοιοῦτός ἐστιν, ὥστε καὶ ἐλέγξαι καὶ δεῖξαι ὅσον δόλον, ὅσον ἰὸν, ὅσα κακὰ ἔχει ἀποκείμενα; Τίς ἀνοίξει; οὐδεὶς πλὴν ἐμοῦ.

« In circuitu dentium ejus timor. »

« Κύκλῳ ὀδόντων αὐτοῦ φόβος. »

Theodotio, *Circa dentes;* de quibus dicitur : *Dentes peccatorum contrivisti* [8]. Et, *Dominus conteret molas leonum* [9]. Non est hic Dei timor, sed timor qui est in circuitu dentium ejus : si vero Christum in teipso habes, de timore isto noli sollicitus esse; Dominum enim Deum timebis, et præter ipsum alium ne verearis. Dentes draconis sunt verba scelesta, pseudoprophetæ, et pseudodidascali, qui toto ore mordent. Fit vero aliter etiam ipsum ignorantibus formidabilis, terrendo et minitando; quæ sine Dei permissu facere non potest.

Θεοδοτίων, *περὶ τοὺς ὀδόντας*· περὶ ὧν λέγεται· *Ὀδόντας ἁμαρτωλῶν συνέτριψας.* Καὶ, *Κύριος συντρίψει τὰς μύλας τῶν λεόντων.* Οὐκ ἔστιν οὗτος ὁ φόβος τοῦ Θεοῦ, ἀλλ' ὁ φόβος κύκλῳ τῶν ὀδόντων αὐτοῦ. Ἀλλ' ἐὰν ἔχῃς τὸν Χριστὸν ἐν σεαυτῷ, μὴ φρόντιζε τούτου τοῦ φόβου· Κύριον γὰρ τὸν Θεόν σου φοβηθήσῃ, καὶ πλὴν αὐτοῦ μὴ φοβοῦ ἄλλον.
D Ὀδόντες τοῦ δράκοντος, τὰ ῥήματα τὰ πονηρὰ, οἱ δάκνοντες ὅλῳ τῷ στόματι. Ἔστι δὲ καὶ ἄλλος [k] φοβερὸς τοῖς αὐτὸν ἀγνοοῦσιν, ἐκφοβῶν καὶ ἀπειλῶν, ἃ ποιεῖν οὐ δύναται, μὴ συγχωροῦντος Θεοῦ.

Vers. 6. « Intestina ejus [*seu* squamæ] scuta ænea. »

« Τὰ ἔγκατα [l] αὐτοῦ ἀσπίδες χάλκεαι. »

Aquila autem et Symmachus, hic quidem : *Corpus ejus supereffusio scutorum;* ille vero : *Superbit, procedens in scutis. Intestina ejus,* id est, sermocina-

· Ἀκύλας δὲ καὶ Σύμμαχος· *Ὁ μὲν σῶμα αὐτοῦ ὑπερέκχυσις θυρεῶν* · ὁ δέ· *Ὑπερφρονεῖ, προερχόμενος ἐν θυρεοῖς. Τὰ ἔγκατα αὐτοῦ*, τουτ-

[6] Matth. VII, 15. [7] II Cor. II, 11. [8] Psal. III, 8. [9] Psal. LVII, 7.

VARIÆ LECTIONES.

[b-i] *Ex.* del. οὐ. [i] γρ. ἔχει. [k] *Ex.* ἄλλως. [l] *Ex.* ἔγκυτα, vel potius ἐγκυτὶ, id est, *exteriora, cutis superficies,* seu *squamæ,* ut est in Hebræo : sed nihil muto.

Digitized by Google

ἐστιν, οἱ διαλογισμοὶ αὐτοῦ ἰοῦ γέμουσι, καί εἰσιν οὐχ ἁπαλοί τινες, ἀλλ' ἰταμοὶ καὶ σκληροί. Τὰ δόγματα, τὰ νοήματα τὰ ἀποκεκρυμμένα, ἰὸς ἀσπίδων ἐστὶ πάντα τὰ ἔνδον, καὶ ἀσπίδες, οὐχ ἁπαλαί τινες, ἀλλὰ σκληραί.

A tiones ejus veneno plenæ sunt, neque molles quidem et teneræ, sed truculentæ et duræ. Dogmata ejus, sensu animi occulta, et quidquid intus habet, aspidum, non tenerarum quidem, sed durarum veneno inficitur.

« Σύνδεσμος δὲ αὐτοῦ ὥσπερ σμυρίτης [m] λίθος, εἷς τοῦ ἑνὸς κολλῶνται. »

Σύνδεσμος ὅλον τὸ σῶμα αὐτοῦ· αἱ γὰρ κακίαι, αἵτινες σύνδεσμός εἰσιν αὐτοῦ, μία τῆς μιᾶς ἤρτηνται. Τοιαύτη δὲ καὶ ἡ τοῦ σμηρίτου [n] λίθου φύσις· εἷς γὰρ τοῦ ἑνὸς ἔχεται· λέγεται δὲ οὗτος ὁ λίθος καὶ ἰταμώτατος εἶναι ἐγγὺς τοῦ ἀδάμαντος, καὶ σίδηρον ἁρπάζειν, καὶ τραχύτατος δὲ, ὡς καὶ τὴν ὕαλον γλύφειν· ἱκαναὶ δὲ αἱ κακίαι αἱ διαβολικαὶ καὶ τοὺς στερεοὺς εἰς ἑαυτὰς ἕλκειν, αἵτινες καθὸ κακίαι ἀλλήλων ἐξέχονται, κἂν ἐναντίαι που δοκῶσιν. Ἔδειξε δὲ καὶ διὰ τούτων τοῦ διαβόλου τὸ ἰταμὸν καὶ τραχύ.

B

Vers. 6, 7. « Et colligatio ejus sicut lapis sidoritis, unus uni conglutinatur. »

Corpus ejus universum, connexio est; inter se enim vitia colligantur, quæ nexus ejus constituunt, et unum ex alio pendet. Talis etiam sideritidos lapidis natura est, unus enim alteri adhæret. dicitur autem hic lapis duritie ad adamantis naturam prope accedere, ferrum ad se attrahere, et asperrimus esse, ita ut in vitro characteres ducat : nequitiæ autem diabolicæ viros etiam strenuos et firmatos ad se allicere valent; quæ quidem, licet contrariæ interdum videantur, in eo quod nequitiæ et improbitates sunt, inter se cohærent. Ex his autem diaboli violentiam et asperitatem ostendit.

« Πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν. »

« Spiritus autem non transibit eum. »

* Ἀντὶ τοῦ, Οὐδεμία ψυχὴ ἐκφεύγει αὐτὸν καὶ τὰς αὐτοῦ κακίας, ἀλλὰ πάσας τηρεῖ, καὶ πάσας ἐπιβουλεύειν πειρᾶται, καὶ οὐδεμία ἀνάπνοια λανθάνει αὐτόν· καὶ γὰρ καὶ τὰ νήπια τὴν πατροπαράδοτον ἕλκουσιν ἁμαρτίαν. Τὸ δὲ, *οὐ μὴ διέλθῃ*, οὐχ ὅτι οὐ διέρχεται, καὶ παρέρχεται, ἀλλ' ὅτι οὐδὲν αὐτὸν λανθάνει, πάντας δεῖ δι' αὐτοῦ ἐλθεῖν· ἑαυτοὺς οὖν παρασκευάσωμεν τοῦ μὴ κατασχεθῆναι ὑπ' αὐτοῦ.

Id est, Nulla eum anima et improbitates ejus devitat; omnes autem studiose observat, cunctis insidias struere conatur, nec spiramen ullum illum latet; nam et infantes etiam peccatum a parentibus traditum trahunt. Illud autem, *non transibit*, non quod pertranseat et percurrat, sed quia nihil ipsum lateat, omnesque per ipsum transire oporteat : quare quominus in potestate ejus detineamur, nos ipsos cum studio accingamus.

« Ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται, συνέχονται, καὶ οὐ μὴ ἀποσπασθῶσιν. »

C

Vers. 8. « Vir fratri suo agglutinabitur, cohærent, et non divellentur. »

* Κἂν σφόδρα, φησὶ, τινὲς ὁμονοήσωσιν, ὡς μὴ διασπᾶσθαι, καὶ τούτοις ἐπιτίθεται. Ὅρα δὲ μὴ καὶ περὶ τῶν κακιῶν, καὶ τῶν ἐνεργούντων αὐτὰς δαιμόνων τοῦτο λέγει. Ὥσπερ γὰρ ἄνθρωπος ἀνθρώπῳ διὰ τὸ ὁμοφυὲς κολλᾶται, οὕτω καὶ οἱ δαίμονες ἀλλήλων ἔχονται, κἂν κατὰ τὰς ἐνεργείας ἑαυτοῖς ἐναντιῶνται, ὁ μὲν εἰς πορνείαν, τυχὸν, ὁ δὲ εἰς ὑπερηφανίαν ὠθῶν· εἷς γὰρ αὐτοῖς ὁ σκοπὸς, ἡ τοῦ ἀνθρώπου ἀπώλεια.

Licet, inquit, firma adeo concordia quidam coaluerint, ut divelli a se invicem non possint, etiam hos ille adoritur. Vide autem ne de improbitatibus, et de dæmonibus qui eas operantur, hoc dicat. Quemadmodum enim homo homini propter naturæ similitudinem agglutinatur; ita etiam et dæmones, licet contrarias operationes exerceant, hic quidem ad stuprum, ille vero ad superbiam impellendo, mutuo nexu inter se cohærent; unus enim illis est scopus propositus, hominis perditio.

« Ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος. »

Vers. 9. « In sternutamento ejus effulget lumen. »

* Πταρμὸς εὐεξίας σημεῖον· ἐνηδύνεται οὖν, φησὶ, τοῖς κακοῖς, καὶ ἐναστράπτει ἐν αὐτοῖς. Καὶ ἄλλως δὲ, Πταρμὸς καθαρτικὸς ἐγκεφάλου· ἐπεὶ οὖν καὶ αὐτὸς μετασχηματίζεται εἰς φῶς, προσποιεῖται καὶ δύνασθαι καθαίρειν. Αὐτίκα γοῦν καὶ οἱ Ἕλληνες καὶ οἱ γόητες ἔχουσί τινας καθαρμοὺς [o], καὶ προσποιοῦνται φωτὸς ἔχειν λόγον, εἰσὶ δὲ πλήρεις ἀκαθαρσίας. Ἐμοὶ δὲ δοκεῖ τὸ ἐν τῷ χρέμπτεσθαι ἐκλάμπον φέγγος πυρὸς ὑπαινίττεσθαι, ὅτι φοβερόν ἐστι τὸ θηρίον, οὕτως ἄγριον ὄν, καὶ δυνατὸν, καὶ ἀκατάπληκτον.

D

Sternutamentum, bonæ valetudinis signum est. Malorum igitur, inquit, societate delectatur, et inter eos splendore radiat. Aliter etiam sic : Sternutamentum vim habet purgandi cerebrum : quoniam igitur ille in lucem se transfigurat, purgare etiam se posse fingit; unde gentiles etiam et præstigiatores lustrationibus quibusdam utuntur, quas lucis rationem habere simulant, sunt autem immunditia plenæ. Mihi vero splendor ille ignis qui inter sternutandum effulget, belluam agrestem adeo, validam, et interritam, formidabilem esse, innuere videtur.

VARIÆ LECTIONES.

[m] *Isc.* σιδηρῖτις. [n] *Isc.* σιδηρίτιδος. [o] *gr.* πταρμούς.

Digitized by Google

« Et oculi ejus species Luciferi.

Et rore opinionis ; vera enim luce præditi non sunt : qui vero majorem sibi scientiam arrogant, quales sunt qui hæreses sectantur, oculi draconis, non autem Luciferi sunt, neque diei lucem habent ; sed Luciferi speciem, quam falso simulant, præ se ferunt.

A « Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος Ἑωσφόρου. »

* Κατὰ ἀπάτην· οὐ γὰρ ἔχουσι τὸ ἀληθινὸν φῶς· ὀφθαλμοὶ δέ εἰσι τοῦ δράκοντος, οἱ δῆθεν γνωστικώτεροι, ὡς οἱ ἀπὸ τῶν αἱρέσεων, οὐκ ὄντες μὲν Ἑωσφόροι, οὐδὲ φέγγος ἡμέρας ἔχοντες, ἀλλ' εἶδος Ἑωσφόρου, κατὰ ἀπάτην, τοῦτο εἶναι ὑποκρινόμενοι.

Vers. 10. « De ore ejus egrediuntur quasi lampades accensæ, et projiciuntur sicut scintillæ ignis. »

« Ἐκ στόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι, καὶ διαῤῥιπτοῦνται ὡς ἐσχάραι πυρός. »

Sermones impiorum et atheorum doctorum, *lampades accensæ* et *scintillæ ignis sunt* : ad augendam autem ejus malitiam, sermonem geminavit.

Λαμπάδες καιόμεναι καὶ *ἐσχάραι πυρὸς*, οἱ λόγοι τῶν ἀσεβῶν καὶ ἀθέων διδασκάλων· ἐδευτέρωσε δὲ τὸν λόγον, αὔξων αὐτοῦ τὰ κακά.

Vers. 11. « De naribus ejus egredietur fumus camini accensi igne carbonum. »

« Ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων. »

B

Fumus oculis inimicus est ; peccatum autem et mendacii prolatio intellectuales mentis oculos occæcat : cum igitur in draconis visceribus, qui mente concipitur, caminus ardeat, respirationem impuram habet. Rursus narium ejus nomine, hæreticos intelliges. Sed ne ignem nobis ipsis conciliemus, spiritum vero, non fumum a quo suffocandi sumus, hauriamus, ne quid draconis respiremus, diligenti cura cavere nos oportet.

Ὁ καπνὸς ὀφθαλμῶν βλαπτικός· ἡ δὲ ἁμαρτία καὶ ψευδηγορία σκοτίζει τοὺς νοητοὺς τῆς ψυχῆς ὀφθαλμούς· ἐπεὶ οὖν τὰ σπλάγχνα τοῦ νοηθέντος δράκοντος κάμινός ἐστιν, οὐ καθαρὰν ἔχει τὴν ἀναπνοήν. Νοήσεις δὲ πάλιν μυκτῆρας αὐτοῦ, τοὺς ἀπὸ τῶν αἱρέσεων. Ἐπιτηρήσωμεν οὖν καὶ ἡμεῖς, μηδὲν ἀναπνεῖν τοῦ δράκοντος, ἵνα μὴ πυρὸς ἑαυτοῖς γενώμεθα πρόξενοι, ἵνα πνεῦμα σπάσωμεν, μὴ καπνὸν ὑφ' οὗ πνιγησόμεθα.

Vers. 12. « Anima ejus carbones, et flamma de ore ejus procedit. »

« Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται. »

Fastum et superbiam summam, *animam* ejus vocare videtur : verba autem arrogantia et superciliosa quæ ex ore ejus procedunt, nihil aliud sunt quam flamma quæ eos qui iis utuntur devorat.

* Ψυχὴν ἔοικεν αὐτοῦ λέγειν τὴν ἐσχάτην ὑπερηφανίαν· τὰ δὲ μεγάλαυχα καὶ ὑπεροπτικὰ ῥήματα, ἐκ στόματος αὐτοῦ ἐκπορευόμενα, οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ φλὸξ τοὺς χρωμένους κατακαίουσα.

C

Vers. 13. « In collo autem ejus habitat potentia. »

« Ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις. »

Collo, id est, arroganti existimatione ; *habitat* autem, quia non quiescit, sed semper de se magnifice æstimat : et animæ quæ collo excelso incedunt (ut auctor est Isaias [10]), collum ejus sunt, ad decipiendum vim habentes. Quædam potentia mala est : infirmitas autem quam Salvator meus et Dominus mea causa susceperat, quæ Dei infirmitas vocatur, illius potentiam superavit : *Infirmitas* enim *Dei*, ut dicit Apostolus, *validior est quam homines* [11] ; ego vero potestate draconis valentiorem esse dixero.

* Τραχήλῳ, τῇ οἰήσει· *αὐλίζεται* δὲ, ὅτι οὐ παύεται, ἀλλ' ἀεὶ ἐν οἰήσει τυγχάνει· καὶ αἱ περευόμεναι δὲ ὑψηλῷ τραχήλῳ, ὥς φησιν Ἡσαΐας, τράχηλος αὐτοῦ εἰσι, δύναμιν εἰς ἀπάτην ἔχουσαι. Ἔστι τις δύναμις πονηρά· ἀλλ' ἡ ἀσθένεια ἣν ἀνέλαβε δι' ἐμὲ ὁ Σωτήρ μου καὶ Κύριος, ἥτις λέγεται ἀσθένεια Θεοῦ, ἐνίκησεν ἐκείνου τὴν δύναμιν· τὸ γὰρ *ἀσθενὲς τοῦ Θεοῦ*, ὁ μὲν Ἀπόστολος λέγει, *ἰσχυρότερον τῶν ἀνθρώπων*· ἐγὼ δὲ ἂν εἴποιμι, ἰσχυρότερον τῆς δυνάμεως τοῦ δράκοντος.

D

« Ante eum currit perditio. »

« Ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια. »

Prius quidem voluptates, animi corruptrices, et vitia quæ diabolum præcurrunt, admittit quispiam ; atque ita deinceps ipsum suscipit, et sinu fovet.

* Πρότερον γὰρ εἰσδέχεταί τις τὰς φθαρτικὰς ἡδονὰς καὶ κακίας, αἵτινες αὐτοῦ προτρέχουσι, καὶ οὕτως αὐτὸν εἰσοικίζεται τὸν διάβολον.

Vers. 14. « Carnes autem corporis ejus sunt agglutinatæ. »

« Σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται. »

Peccatores, et dæmones qui peccatum operantur (quemadmodum Ecclesia, Domini), corpus ejus constituunt. Non autem dixit, *unitæ*, sed *agglutinatæ* sunt ; unitas enim apud eum non est, neque dogmatum ejus antistites inter se consentiunt, licet similia dicere videantur, sed affectus habent eos-

Σῶμα αὐτοῦ, οἱ ἁμαρτωλοὶ, καὶ οἱ τὴν ἁμαρτίαν ἐνεργοῦντες δαίμονες, ὥσπερ τοῦ Κυρίου ἡ Ἐκκλησία. Οὐκ εἶπε δὲ, *ἥνωνται*, ἀλλὰ, *κεκόλληνται*· τὸ γὰρ ἓν οὐκ ἔστι παρ' ἐκείνῳ, οὐδὲ γὰρ συμφωνοῦσιν οἱ τῶν αὐτοῦ δογμάτων πρωτεστηκότες, εἰ καὶ δοκοῦσιν ὅμοια λέγειν, κεκόλληνται δὲ τά τε πάθη·

[10] Isa. III, 16. [11] I Cor. I, 25.

Digitized by Google

καὶ ἡ ἐκκλησία αὐτοῦ οὐ μὴν ἥνωται, πρὸς ἑαυτὴν γὰρ διαφέρεται· τοιοῦτον γὰρ ἡ κακία [P], οὐ μόνον τῇ ἀρετῇ, ἀλλὰ καὶ ἀλλήλαις ἀντίκεινται.

« Καταχέει ἐπ' αὐτὸν, οὐ σαλευθήσεται. »

Ὁ δὲ Σύμμαχος, *Σάρκες αὐτοῦ περικεχυμέναι αὐτῷ, ἀκλινεῖς*. Κατὰ μὲν οὖν Σύμμαχον, Σάρκες αὐτῷ περικέχυνται, καὶ δύναμις, μὴ κλινομένη ποτὲ πρὸς τὸ καλὸν, ἀλλ' ἀνένδοτος καὶ ἄτρεπτος. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα, Οἵαις ἂν τις ἐπαντλήσαι καὶ θεραπείαις αὐτῷ χρήσηται, καὶ εἴ τι δ' ἂν τις αὐτῷ προσαγάγῃ, ἀναλγής ἐστι καὶ ἀθεράπευτος· διὸ καὶ ἐπάγει, παριστὰς αὐτοῦ τὸ ἀπεσκληκὸς, καὶ ἐπὶ κακίαν ἀνένδοτον.

« Ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος· ἔστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. »

Ἀπελιθώθη, φησὶν, ἡ καρδία αὐτοῦ, καὶ οὐ δύναται ἐλαθῆναι· οὐ λόγῳ πείθεται, οὐκ ἐπικάμπτεται, ἀλλ' ὅλος ἐστὶν ἀπεσκληκὼς καὶ ἰταμὸς, οὐκ ἐλαυνόμενος, οὐκ ἀκολουθῶν λόγῳ, σκληρὸς, ἀνένδοτος· καὶ εἴ τις ἀπὸ τοῦ διαβόλου ἀπέσπασε δύναμιν, καὶ αὐτὸς ἔχει τὴν καρδίαν ἀνήλατον, οὐκ ἐλαυνομένην· εἰ δέ τις χρυσός ἐστιν, ἀκολουθῶν τῷ λόγῳ τῷ χρυσοχοϊκῷ, οὗτος εἶκει ἕως ἂν γένηται πέταλον χρυσοῦν, καὶ δέξηται τύπους τῶν γραμμάτων τοῦ Θεοῦ.

« Στραφέντος δὲ αὐτοῦ, φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς ἁλλομένοις. »

Ὁ δὲ Σύμμαχος· *Ἀπὸ τῆς κινήσεως αὐτοῦ συλαβηθήσονται ἰσχυροί*. Ὅταν, φησὶ, στραφῇ κατὰ τῶν αὐτῷ πειθομένων τῶν θηριοτρόπων, καὶ δίκην τετραπόδων ἀνοήτων τῶν τὰ γήϊνα φρονούντων ἅλλονται καὶ τρέμουσιν, ἐκδειματούμενοι παρ' αὐτοῦ· πολλάκις γὰρ οὐδὲ τῶν οἰκείων αὐτοῦ ὁ δράκων ἀπέχεται, ἀλλὰ καὶ [Q] αὐτῶν ἅπτεται, καὶ κακώσεις αὐτοῖς ἐπάγει, ὡς μισάνθρωπος [R].

« Ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι, δόρυ καὶ θώρακα. »

Τοῦτο σαφέστερον ἡρμήνευσε Σύμμαχος· *Καταλαβοῦσα αὐτὸν μάχαιρα οὐχ ὑποστήσεται, οὐδὲ λόγχης ἄρσις καὶ θώρακος*. Διὰ τούτων τὸ ἰταμὸν ἐδήλωσε τοῦ θηρίου, καὶ ὅτι ὅσα ἂν οἱ ἅγιοι διὰ τῶν πνευματικῶν καὶ πολεμικῶν τρόπων καταβάλωσιν αὐτὸν, οὐκ αἰσθάνεται, ἀλλὰ πάλιν ὁ αὐτός ἐστιν.

« Ἤγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν. »

Τὰ πνευματικὰ, φησὶν, ὅπλα ἀσθενῆ πρὸς καθαίρεσιν αὐτοῦ λογίζεται, καθάπερ ἄχυρα, ἢ ξύλον σαθρὸν, ἃ πληγὴν καιρίαν ποιῆσαι οὐ δύναται.

« Ἤγηται μὲν πετροβόλον, χόρτον· ὡς καλάμη ἐλογίσθησαν σφυραί. »

Πετροβόλον ἐστὶν ἡ σφενδόνη· διὸ οἱ λοιποὶ ἀντὶ

dem, illorumque glutine invicem copulantur : nec cœtus ejus unus est, cum seipso enim dissentit ; ac vitiorum quidem natura talis est, ut non tantum virtuti, sed sibi ipsis contraria sint.

« Effundit super eum, non commovebitur. »

Symmachus autem, *Carnes ejus circumfusæ ei, immotæ*. Juxta Symmachum quidem, Circumfunduntur illi carnes, et potentia, quæ ad bonum nunquam flectitur, sed obstinata et immutabilis manet. Juxta autem Septuaginta interpretes : Quocunque demum fomento, quacunque cura et medela utatur, quodcunque remedium quispiam illi adhibuerit, sensu caret, et immedicabilis manet : ac propterea, cordis ejus duritiem, et obstinatum ad improbitatem animum ob oculos proponens, subjungit.

VERS. 15. « Cor ejus induratum est ut lapis ; stetit autem sicut incus immota. »

Cor ejus, inquit, in lapidem versum est, et moveri non potest ; rationi non obtemperat, non flectitur, callum totus obduxit et durus evasit, non impellitur, rationis ductum non sequitur, durus et inexorabilis est : et si quis a diabolo potestatem deliberit, hic etiam cor indomitum et inexorabile habet ; qui vero, auri instar, arti fusoriæ obtemperat, hic donec lamina aurea fiat, et divinarum notarum characteres suscipiat, cedit et morigerum se præbet.

VERS. 16. « Cum se autem verterit, timor bestiis quadrupedibus super terram saltantibus. »

Symmachus autem : *A motione ejus verebuntur fortes*. Cum conversus, inquit, in eos fuerit, qui nutui ipsius parent, qui moribus belluinis prædiiti sunt, et insipientium quadrupedum in modum terrena sapiunt, terrore ab eo perculsi, saltant et contremiscunt : sæpenumero enim neque suis parcit draco, sed ira contra illos accenditur, ac tanquam generis humani hostis, ærumnis illos affligit.

VERS. 17. « Si occurrerint ei lanceæ, nihil facient, hasta et thorax. »

Hoc apertius Symmachus interpretatus est : *Gladius qui eum attigerit, non subsistet, neque lanceæ aut thoracis elevatio*. Ex his belluæ naturam indomitam ostendit, et quod nihil eorum quæ a sanctis spirituali ac hostili more ad ejus subversionem adhibentur, ipsa sentiat, sed idem semper immotus maneat.

VERS. 18. « Nam ferrum quidem putat paleas, æs autem sicut lignum putridum. »

Arma, inquit, spiritualia, ad ipsius internecionem imbecillia, et tanquam paleas aut lignum putridum æstimat, quæ vulnus lethale infligere non possunt.

VERS. 19, 20. « Putat autem machinam petras jacientem, fenum ; sicut calamus reputati sunt mallei. »

Machina petras jaciens, funda est ; unde reliqui

VARIÆ LECTIONES.

[P] Isc. αἱ κακίαι. [Q] Isc. καθ'. [R] γρ. σκληρός.

Digitized by Google

pro tali machina, *lapides funalæ*, interpretati sunt : *mallei* vero, id est, plagarum ictus, instar levis et inanis stipulæ ab eo pro nihilo ducti sunt.

« Et deridet concussionem igniferam. »

Alius vero, *concussum scutum*. Vita autem Deo chara, et quæ spiritu fervet, ignifera censenda est. Licet igitur, inquit, quispiam eum vita quæ sanctum decet, commoverit, nihilominus eam contemnet ; et licet scutum coram eo concusserit, illud etiam pro nihilo reputabit.

Vers. 21. « Lectus ejus obelisci acuti. »

Theodotio, *ferramenta fabri* ; Aquila vero, *acumina testarum* : rebus enim luctuosis et adversis delectatur et indormit. Si vero animal esse concedamus de quo hæc dicuntur, duritie et asperitate corporis præditum esse testatur, ita ut super obeliscos dormiat, nec mali quidpiam patiatur, aut vulneretur.

« Et omne aurum maris sub eo, sicut lutum inenarrabile. »

Maris, id est, mundi hujus. Cum autem Dominus dicat : *Meum est argentum, et meum est aurum* [11] ; hic impudenti mendacio, hæc sua esse profitetur : unde etiam Salvatori dixit : *Hæc omnia tibi dabo* [12], ac si aurum totius mundi comparasset. Animal quidem aurum pro luto ducit, quia illo nequaquam indiget.

Vers. 22. « Fervere facit abyssum, sicut officinam ærariam. »

Aquila, *Ebullire facit*. Quandoquidem anima ejus ignis est, totam hanc vitam concitando et perturbando, æstu et fervore commovet.

« Putat autem mare tanquam vas unguentarium, [Vers. 23] et Tartarum abyssi tanquam captivum, reputavit abyssum in deambulatorium. »

Hæc cum inani ostentatione jactitans, oceanum abolere, et Tartari dominium se obtinere posse arbitrabatur ; prout Isaias etiam tanquam sub ejus persona loquitur : *Orbem terræ totum apprehendam manu quasi nidum* [13]. Ex omnibus autem locis, quos possessurum se stultus speraverat, ejectus est : initio quidem e cœlo, e terra vero, et ex inferno ipso per incarnationem Domini. Nullum itaque, præterquam exteriores tenebras, sibi et angelis suis paratas [14], reliquum locum habet. *Vas* autem *unguentarium*, unguenti trullam significat ; ac si diceret : Vitæ hujus perturbationes et adversitates, voluptati et jucunditati illi esse. Vel *unguentarium vas*, pro re vili et nullius pretii ponitur.

Vers. 24. « Nihil est super terram simile ei [*Symmachus vero*, non est super terram potestas ejus], factum ut illudatur ab angelis meis. »

Recte dixit, *super terram*, quoniam de cœli orbibus et circulis dejectus est. *Simile* autem, sive vires, sive malitiam intelligas. Nihilominus, inquit,

A τοῦ, *πετροβόλον*, *λίθοις σφενδόνης*, ἐξέδωκαν · αἱ δὲ *σφυραὶ*, τουτέστιν, αἱ βολαὶ τῶν πληγῶν ἴσα καλάμῃ τῇ διακένῳ καὶ κούφῃ, εὐκαταφρόνητοι αὐτῷ ἔδοξαν.

« Καταγελᾷ δὲ σεισμοῦ πυρφόρου. »

Ἕτερος, *σειομένου θυρεοῦ*. Πυρφόρος ἂν εἴη ὁ θεοφιλὴς βίος, ὁ ζέων τῷ πνεύματι. Φησὶν οὖν, ὅτι καὶ ἐὰν τῷ ἁγιοπρεπεῖ βίῳ συσσείσῃ τις αὐτὸν, οὐδὲν ἧττον καταφρονεῖ, κἂν θυρεὸν δέ τις αὐτῷ ἐπισείσῃ, καὶ τούτου καταπαίζει.

« Ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς. »

Ὁ Θεοδοτίων, *σιδήρια τέκτονος* · ὁ δὲ Ἀκύλας, *ὀξυντῆρες ὀστράκων* · ἐπὶ γὰρ τοῖς ὀδυνηροῖς καὶ ἀνωμάλοις πράγμασιν ἐπαναπαύεται. Κἂν ζῶον δὲ B δῶμεν εἶναι περὶ οὗ ταῦτα λέγεται, σκληρότητα αὐτῷ μαρτυρεῖ καὶ τραχύτητα τοῦ σώματος, ὡς καὶ ἐπ' ὀβελίσκων αὐτὸ καθεύδειν, καὶ μηδὲν πάσχειν μηδὲ τιτρᾶσθαι.

« Πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος. »

Θαλάσσης, λέγει, τοῦδε τοῦ κόσμου. Τοῦ δὲ Κυρίου λέγοντος· *Ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον* · οὗτος ψευδολογῶν ἐπαγγέλλεται ἴδια αὐτοῦ εἶναι ταῦτα · διὸ καὶ ὡς πάντα τὸν τοῦ κόσμου περιβεβλημένος χρυσὸν, ἔλεγε τῷ Σωτῆρι, *Ταῦτά σοι πάντα δώσω*. Τὸ ζῶον μέντοι ὡς πηλὸν ἡγηται τὸν χρυσὸν, ὅτι οὐκ ἔστι τούτου ἐπιδεές.

« Ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον ; » C

Ὁ Ἀκύλας, *καχλάζει*. Ἐπειδὴ ἡ ψυχὴ αὐτοῦ πῦρ ἐστι, πάντα τὸν βίον τοῦτον ἐκβράσσει, ἀνακινῶν καὶ ἐκταράττων.

« Ἡγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον, τὸν δὲ Τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον, ἐλογίσατο ἄβυσσον εἰς περίπατον. »

Ταῦτα μάτην μεγαλαυχῶν, ἐνόμιζε δύνασθαι τήν τε θάλατταν ἐξαφανίζειν, καὶ τοῦ ταρτάρου ἐγκρατὴς εἶναι · καθὰ καὶ Ἡσαΐας ὡς ἐκ προσώπου αὐτοῦ φησι, *Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν*. Πάντων δὲ ἐξώσθη τῶν τόπων ὧν κρατήσειν ὁ μάταιος ἤλπισε · καὶ οὐρανοῦ μὲν κατ' ἀρχὰς, γῆς δὲ, καὶ αὐτοῦ ᾅδου διὰ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως. Οὐδένα οὖν ἔχει ὑπολελειμμένον τόπον, εἰ μὴ τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον αὐτῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Τὸ μέντοι *ἐξάλειπτρον*, τρουλλίον μύρου δηλοῖ · ἵνα εἴπῃ, ὅτι αἱ ταραχαὶ τοῦδε τοῦ βίου καὶ ἀνωμαλίαι, ἡδονὴ αὐτῷ εἰσι καὶ εὐωδία · ἢ *ἐξάλειπτρον* ἀντὶ τοῦ, εὐτελές.

« Οὐκ ἔστιν οὐδὲν ὑπὸ τῆς γῆς ὅμοιον αὐτοῦ [*ὁ δὲ Σύμμαχος*, Οὐκ ἔστιν ἐπὶ χοὸς ἐξουσία αὐτοῦ], πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου. »

Καλῶς εἶπεν, *ἐπὶ τῆς γῆς*, ἐπειδὴ τῶν οὐρανίων ἀψίδων ἐκβέβληται. Τὸ δὲ *ὅμοιον*, ἢ κατὰ τὴν ἰσχὺν, ἢ κατὰ τὴν κακίαν. Ἀλλ' ὅμως, φησὶν, ὁ τοιοῦτος

[11] Agg. II, 9. [12] Matth. IV, 9. [13] Isa. X, 14. [14] Matth. VIII, 12 ; XXV, 41.

Digitized by Google

καὶ τηλικοῦτος ὑπὸ τῶν ἁγίων ἀγγέλων, καὶ τῶν ἰσαγγέλων ἀνθρώπων ἐγκαταπαίζεται. Ἡ δὲ τοῦ Συμμάχου ἔκδοσις, ἤτοι τοῦτο παρίστησιν, ὅτι οὐκ ἔστιν ἐπὶ τῆς γῆς ἐξουσία παραβλητὴ τῇ αὐτοῦ, ἢ ὅτι μετὰ τὴν τοῦ Σωτῆρος οἰκονομίαν, ἐξεβλήθη ἔξω, καὶ οὐκέτι ἐστὶν αὐτῷ ἐξουσία.

« Πᾶν ὑψηλὸν ὁρᾷ. »

Ὁ δὲ Θεοδοτίων, *Πάντα ὑπερήφανον ἐμβλέψεται*· ὅλος γάρ ἐστιν ὑπερηφανία, μηδὲν ταπεινὸν λογιζόμενος.

« Αὐτὸς βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν. »

Ὁ μὲν Σύμμαχος, *παντὸς βρομώδους*· ὁ δὲ Θεοδοτίων, *υἱῶν βαναυσίας*· τουτέστι, τῶν τὸν ὑγρὸν, καὶ διαῤῥέοντα, καὶ ἡδονικὸν μετιόντων βίον. Διόπερ καὶ ἡμεῖς εὐξώμεθα πρὸς τὸν ἡμῶν Δεσπότην, μὴ βασιλεύειν ἡμῶν τὴν ἁμαρτίαν, ἐπεὶ καὶ διὰ τοῦτο διέγραψεν ὁ λόγος ὡς ἐν σωματοποιίᾳ τοῦ δαίμονος τήν τε κακίαν καὶ ἰταμότητα, ἵνα τῷ δέει βαλλόμενοι, πρὸς τὸν αὐτὸν χειρωσάμενον καταφύγωμεν. Καὶ ταῦτα μὲν εἰς τοὺς τόπους ἐθεωρήσαμεν. Ἡρὼδ δὲ τοὺς λέγοντας, κῆτος αἰσθητὸν εἶναι τὸν ὑπὸ τοῦ λόγου διαγραφέντα δράκοντα, τοσοῦτον ἐροῦμεν· Εἰ μὲν ὄντως ἐστί τι τοιοῦτον κῆτος, μανθάνετε ὡς ἐξ ὁμοιώσεως, ὡς προείρηται, τῶν θηρίων, πολλάκις θεωροῦμεν καὶ αὐτὸν τὸν διάβολον, καὶ τῶν ἀνθρώπων τοὺς πονηρούς. Καὶ περὶ μὲν τῶν δαιμόνων εἶπεν ὁ Σωτήρ· *Ἰδοὺ, δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ*· πρὸς δὲ τὸν Ἡρώδην ἐκπέμπων, ἔλεγεν· *Εἴπατε τῇ ἀλώπεκι ταύτῃ*, τὸ δολερὸν τοῦ ἤθους καὶ ἐπίκλοπον αἰνιττόμενος· ὥστε τύπον τινὰ τοῦ διαβόλου τὰ θηρία ἔχουσι, καθὰ καὶ τῶν πονηρῶν ἀνθρώπων. Εἰ δὲ μή ἐστι τι τοιοῦτον θηρίον, οὐκέτι ἐξ ὁμοιώσεως, ἀλλ' αὐτοπροσώπως περὶ τοῦ διαβόλου νοεῖται τὰ εἰρημένα.

A a sanctis angelis, et hominibus qui angelis pares sunt, talis tantusque illuditur. Symmachi autem versio vel hoc innuit, quod nulla potestas in terris cum ejus comparanda sit; vel quod post Salvatoris adventum in carnem, foras ejectus fuerit, nec amplius potestatem ullam habuerit.

VERS. 25. « Omne sublime videt. »

Theodotio vero, *Omnem superbum intuebitur*. Ex superbia enim totus conflatus est, nihil humile cogitat.

« Ipse autem Rex omnium quæ in aquis. »

Symmachus quidem, *omnis virulenti*; Theodotio autem, *filiorum sordidorum et illiberalium*: id est, corum qui mollem, dissolutam, et vitam voluptuariam sectantur. Quamobrem et nos etiam Dominum nostrum oremus, ne peccatum in nos imperium obtineat, quandoquidem ob hanc causam Scriptura, tanquam in corporis effigie, dæmonis malitiam et indomitam naturam depinxit, ut formidine perculsi, ad eum qui illum constringit confugeremus. Et hæc quidem ad verba contextus commentata esse sufficiat. Illis vero, qui draconem hunc Scriptura descriptum, cetum esse volunt sensibus pervium, hoc tantum dicemus: Si reipsa ejusmodi cetus reperitur, per similitudinem ab animalibus sumptam (ut supra dictum est) intelligite, nos diabolum ipsum, et improbos homines sæpenumero contemplari. (Et de dæmonibus quidem dixit Salvator: *Ecce, dedi vobis potestatem calcandi supra serpentes et scorpiones, et super omnem vim inimici* [15]: cum vero ad Herodem discipulos ablegaret, ut fraudulentum et furtivum ejus ingenium innueret, dicebat: *Dicite vulpi huic* [16]; ita ut animalia diaboli simul et improborum hominum characterem quemdam insculptum habeant.) Sin vero nullum tale animal in rerum natura sit, non per similitudinem, sed de propria ipsius diaboli persona, intelligenda veniunt quæ in medium allata sunt.

B

C

ΚΕΦΑΛ. ΜΒ'.

Προθεωρία.

Ἠκούσαμεν ἀνῳτέρω τοῦ Ἰὼβ λέγοντος· *Ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ*[s] *οὐ προσθήσω*· ζητῆσαι τοιγαροῦν ἄξιον, πῶς πάλιν φθέγγεται ὁ μηκέτι λαλεῖν ἐπαγγειλάμενος· παραπόδα δὲ ἡ λύσις ἐστίν. Ἐπειδὴ γὰρ σιωπήσειν ὑποσχόμενος ἀκήκοε τοῦ Θεοῦ λέγοντος· *Μὴ, ἀλλὰ ζῶσαι ὡς ἀνὴρ τὴν ὀσφύν σου*, ἄμεινον τίθεται τὸ θεῖον πρόσταγμα τῆς οἰκείας ὑποσχέσεως· κάλλιον γὰρ τοῖς θείοις πείθεσθαι νόμοις, ἢ τὰς οἰκείας πληροῦν ἐπαγγελίας, καὶ τοὺς ἑαυτῶν λόγους ἱστάνων[t] ὅταν τὸ δεσποτικὸν ἀντιπράττῃ βούλημα. Διὸ καὶ Ἡρώδης καλῶς ἂν ἐποίει τὸν ὅρκον ἀθετήσας, καὶ μὴ τοῦ Προδρόμου τὴν κεφαλὴν ἀφελόμενος· καὶ Πέτρος δὲ εἰπών· *Οὐ μή μου νίψῃς τοὺς πόδας*, μεταβαλλόμενος πάλιν ἔφη· *Μὴ τοὺς πόδας μόνον, ἀλλὰ καὶ τὴν κεφα-*

CAP. XLII.

Protheoria.

Supra Jobum dicentem audivimus: *Semel locutus sum, at iterum non adjiciam* [17]: cur igitur denuo loquatur, qui non amplius se loquturum pollicitus erat, quæstio scitu non indigna est: solutio autem ejus in promptu et ad manum est. Postquam enim Deum loquentem audivisset: *Nequaquam, sed accinge sicut vir lumbum tuum* [18], qui silentium promiserat, divinum mandatum suæ pollicitationi præfert: præstat enim divinis legibus parere, quam promissa propria adimplere, et sermones nostros cohibere, cum voluntas Domini refragatur. Recte itaque ab Herode factum fuisset, si juramentum violasset, nec Præcursoris caput amputasset; contra autem, Petrus cum dixisset: *Non lavabis pedes meos* [19], mutata sententia dixit: *Non pedes solum*,

D

[15] Luc. x, 19. [16] Luc. xiii, 32. [17] Job xxxix, 34. [18] Job x, 2. [19] Joan. xiii, 8.

VARIÆ LECTIONES.

[s] *Ισ.* ἐκ δευτέρου δέ. [t] *Ισ.* ἱστᾷν.

Digitized by Google

verum etiam caput [16]; recte etiam Jobus, divinæ majestatis excellentiam colens ac reveritus, nequaquam se locuturum pollicitus est; rursus vero, cum Deus silentii religione illum exsolvisset, non minus recte sermone utitur.

A λήν· καὶ ὁ Ἰὼβ οὖν καλῶς ὑπέσχέτο μὴ λαλήσειν, τιμῶν τὴν θείαν ὑπεροχήν· καλῶς δὲ αὖθις φθέγγεται, λύσαντος αὐτῷ τοῦ Θεοῦ τῆς σιωπῆς ὑπόσχεσιν.

Vers. 1-3. « Respondens autem Job, dicit Domino : Novi quod omnia potes, et nihil tibi est impossibile. Quis enim est qui celat te consilium? parcens autem verbis, et te putat celare? »

« Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ Κυρίῳ, Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων καὶ σὲ οἴεται κρύπτειν; »

Cæteri vero : *Et non auferetur a te cogitatio.* Non jam primum se hæc didicisse, sed invictam Dei potentiam cognitam prius habuisse, profitetur; et quod in hominum consultationes penetret, ac cogitationes omnium intelligat, nec quisquam sit qui oculum ejus omnia intuentem latere possit. Quis enim, inquit, verborum parcus est, et silentio mentis arcana, quia, nimirum, voce prolata non sunt, celare te potest?

Οἱ δὲ ἄλλοι· *Καὶ οὐκ ἀφαιρεθήσεται ἀπὸ σοῦ ἐνθύμημα.* Οὐ νῦν ταῦτα μεμαθηκέναι λέγει, ἀλλ' εἰδέναι τὴν [u] ἄμαχον τοῦ Θεοῦ δύναμιν, καὶ ὅτι ταῖς βουλαῖς ἐμβατεύει, καὶ πάντων τὰς ἐννοίας ἐπίσταται, καὶ οὐδείς ἐστιν ὃς διαλαθεῖν αὐτοῦ δύναται τὸν πανεπίσκοπον ὀφθαλμόν. Τίς γὰρ, φησὶν, φείδεται ῥημάτων, καὶ διὰ τῆς σιωπῆς καλύψαι δύναται ἀπὸ σοῦ τὰ τῆς ψυχῆς ἀπόῤῥητα, ἅτε μὴ ἐκλαλούμενα [v];

Vers. 4. « Quis autem annuntiabit mihi quæ non novi, magna et mirabilia quæ nescivi? »

« Τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ἤδειν, μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἐπιστάμην; »

Id est, Præter te nemo; qui causam etiam cur diabolus me adortus est, ejusque impudentiam mihi manifestasti, ac providentiæ tuæ (qua me amplecteris) pleniore notitia me imbuisti ac collustrasti; hæc enim ea erant quæ ignorabam.

· Ἀντὶ τοῦ, Οὐδεὶς πλὴν σοῦ, τοῦ καὶ τὴν αἰτίαν τῆς κατ' ἐμὲ ὑποθέσεως [x] φανερώσαντός μοι, καὶ τοῦ διαβόλου τὴν ἰταμότητα, ἔτιγε μὴν καὶ τῆς κατὰ σαυτὸν θείας οἰκονομίας πλείονά μοι τὴν γνῶσιν ἐλλάμψαντος· ταῦτα γὰρ ἦν ἃ οὐκ ἐπιστάμην.

Vers. 4. « Verum audi me, Domine, ut et ego loquar; interrogabo autem te, et tu doce me. »

« Ἄκουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ με δίδαξον. »

Quærere hoc loco operæ pretium est, qui factum sit, ut qui interrogaturum se promiserat, neque Deum interrogaverit, neque responsum ullum retulerit; sed, neque sciscitatus, neque sermonem ullum audiens, finem loquendi fecerit? Mihi igitur horum verborum hic sensus esse videtur : Quandoquidem, inquit, Domine, quæ mihi incognita erant docuisti me, aurem mihi præbeto; et si, avidus discendi ea quæ notitiam meam fugiunt, percontatus te quidquam fuero, docere me ne dedigneris; ut ego etiam ea enuntiare, et incognita alios docere possim. Vel forte quæ subjunguntur, interrogationem in se continent.

· Ἄξιον ζητῆσαι ὧδε, πῶς ἐρωτήσειν ἐπαγγειλάμενος, οὔτε ἐπηρώτησε τὸν Θεὸν, οὔτε τινὰ ἀπόκρισιν ἐδέξατο, ἀλλὰ μηδὲν μήτε πυθόμενος, μήτε ἀκούσας, κατέπαυσε τὸν λόγον; Φαίνεταί μοι τοιγαροῦν τοιοῦτόν τινα νοῦν ἔχειν τὰ προκείμενα· Ἐπειδὴ, φησὶν, ἐδίδαξάς με ἃ οὐκ ἐπιστάμην, εἰσάκουσόν μου, Κύριε· καὶ ἐάν τι τῶν ἠγνοημένων μαθεῖν βουλόμενος, ἐρωτήσω σε, διδάσκειν με καταξίωσον, ἵνα δυνηθῶ κἀγὼ λαλῆσαι, καὶ ἑτέροις γενέσθαι τῶν ἀγνοουμένων διδάσκαλος. Ἢ τάχα καὶ τὰ ἐπαγόμενα ἐρωτήσεως λόγον ἐπέχουσιν.

Vers. 5. « Auditu enim auris audivi te antea, nunc autem oculus meus vidit te. »

« Ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. »

Reliqui vero : *Audivi te, nunc vero oculus meus te vidit;* non quia oculis viderit, sed quoniam luculentius audierit. Tanto, inquit, pleniorem tui notitiam assecutus sum, quanto oculorum quam aurium major est cognitio. Fortasse autem propter incarnationis mysterium hoc dicit : cum enim antea obscure tantum de illo certior factus fuisset, nunc perfectiorem ejus notitiam sacrosancti Spiritus illuminatione adeptus est.

Οἱ δὲ λοιποὶ, *Ἤκουόν σε, νῦν δὲ ὀφθαλμός μου ἑώρακέ σε* · οὐκ ἐπειδὴ ὀφθαλμοῖς οἶδεν, ἀλλ' ἐπειδὴ σαφέστερον ἤκουσε. Πλείονα, φησὶν, προσείληφα τὴν περὶ σοῦ γνῶσιν, ὅσον ὀφθαλμοὶ πλέον ἀκοῆς ἔχουσιν. Ἴσως δὲ τοῦτο λέγει διὰ τὸ τῆς ἐνανθρωπήσεως μυστήριον· ἀμυδρῶς γὰρ αὐτὸ τὸ πρότερον πληροφορούμενος, τὴν τελειοτέραν νῦν περὶ αὐτοῦ προσείληφε γνῶσιν, διὰ τῆς ἐλλάμψεως τοῦ παναγίου Πνεύματος.

Vers. 6. « Quamobrem sprevi meipsum, et extabui : putavi autem me terram et cinerem. »

« Διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην· ἡγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. »

Propterea, inquit, meipsum condemnavi, quod scire me aliquid arbitratus fuerim : nunc enim

· Διὰ τοῦτο, φησὶ, κατέγνων ἐμαυτοῦ, ὡς οἰηθέντος εἰδέναι τι· νῦν γὰρ μαθὼν τὰ ὑπὲρ ἐμὲ, καὶ τῆς

[16] Joan. XIII, 9.

VARIÆ LECTIONES.

[u] *Isc.* suppl. πρότερον. [v] *γρ.* ἐκκαλούμενα. [x] *Isc.* ἐπιθέσεως.

Digitized by Google

εὐτελείας τῆς ἐμῆς φύσεως τὸ μικροπρεπὲς κατ- A quæ supra me sunt addiscens, simul etiam naturæ
ενόησα. meæ tenuitatem ac vilitatem intellexi.

Προθεωρία.

Μεγάλως ὁ Θεὸς τοὺς οἰκείους τιμᾷ θεράποντας· ὅπουγε καὶ νῦν τιμωρίας ἀξίων φανέντων τῶν ἀμφὶ τὸν Ἐλιφάζ, διὰ τὸ τοῦ δικαίου καταψηφίσασθαι ἀνῆκε τὴν ἀπειλὴν ὁ Θεὸς, καὶ τὴν τιμωρίαν συνεχώρησεν αὐτοῖς, τῷ δικαίῳ χαριζόμενος. Εἰ δέ τις ἐρεῖ φιλομαθῶς κινούμενος, διατί τὴν Μαριὰμ ἐλέπρωσεν ὁ Θεὸς, κατὰ Μωϋσέως λαλήσασαν, εἰ καὶ ὕστερον ἀποκατέστησεν αὐτῆς τὸ σῶμα, τιμῶν πάλιν τὸν ἑαυτοῦ θεράποντα· τοῖς δὲ ἀμφὶ τὸν Ἐλιφὰζ εὐθὺς τὴν συγχώρησιν δέδωκε, μηδὲν αὐτοὺς προεργασάμενος; φαμὲν, ὅτι ἡ μὲν Μαριὰμ διὰ τῆς εἰς Μωϋσέα λοιδορίας καὶ κατὰ Θεοῦ τὴν βλασφημίαν ἤνεγκε, τοῦ δοξάσαντος τοῦ ἱεροφάντου τὸ πρόσωπον· B οἱ δὲ φίλοι τοῦ Ἰὼβ τὴν ὑπὲρ Θεοῦ συνηγορίαν ἀναδεξάμενοι, εἰς μόνον τὸν δίκαιον ἐξημάρτανον, ἀδίκως αὐτοῦ εὐσέβειαν καταλέγοντες [y]. Εἰ δὲ καὶ ζητήσει, Ἀαρὼν δὲ διατί μηδὲν ὑπέστη δεινόν; φαμὲν ὅτι τοῦ Θεοῦ τιμῶντος τὴν ἱερωσύνην. Δύο οὖν ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ ἁμαρτίας ἔνοχον, τὸ τῶν δικαίων κατηγορεῖν, καὶ ὅτι ὁ Θεὸς τιμᾷ τῇ πρὸς αὐτοὺς συγχωρεῖ τὰ ἁμαρτήματα.

Protheoria.

Deus famulos suos in magno honore et æstimatione habet; quandoquidem ut justo Jobo gratificaretur, Eliphazo et sociis ejus (qui justum calculo suo condemnantes, supplicium mereri videbantur) minas remisit, et delicti impunitatem largitus est. Si quis autem discendi cupidus interrogaverit, cur Deus Mariam Moysi obloquentem lepra percusserit, licet postea famulo suo honorem deferens, corpus ejus sanitati restituerit[21-22]; Eliphazo vero et sociis sine prævio aliquo supplicio veniam indulserit: respondemus, Mariam contumelia in Moysen contra Deum etiam blasphemiam protulisse, qui antistitis personam in honore habebat: Jobi autem amici, Dei patrocinium suscipientes, in justum tantummodo, pietatem ejus injuste deridendo, deliquerunt. Si vero ultra quæsierit: Cur Aaron malum nullum expertus fuerit? a Deo hoc factum esse dicimus, qui sacerdotium honorat. Duo igitur hinc discimus, quod justos accusare peccato non careat, et quod Deus propter honorem quo illos prosequitur, delicta condonet.

« Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν Κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ἰὼβ, εἶπεν ὁ Κύριος Ἐλιφὰζ τῷ Θαυμανίτῃ· Ἥμαρτες σὺ, καὶ οἱ δύο φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἐνωπιόν μου ἀληθὲς οὐδὲν, ὥσπερ ὁ θεράπων μου Ἰώβ. »

Vers. 7. « Factum est autem, postquam Dominus locutus est omnia verba hæc ad Job, dixit Dominus ad Eliphaz Thæmanitem: Peccasti tu, et duo amici tui; non enim locuti estis coram me verum quidpiam, sicut famulus meus Job. »

Ὁ δὲ Θεοδοτίων· *Ἐθυμώθη ἡ ὀργή μου ἐν σοὶ, καὶ ἐν τοῖς δυσὶ φίλοις σου· οὐ γὰρ ἐλαλήσατε εὐθύτητα*, ἤγουν, *ὀρθῶς*, κατὰ Σύμμαχον. Κατανόει τῆς θείας ῥήσεως τὴν ἀκρίβειαν. Ὅσον μὲν γὰρ παρὰ ἀνθρώποις, καλῶς ἐποίουν οἱ φίλοι, Θεῷ συνηγοροῦντες· οὐ καλῶς δὲ ἐποίει ὁ Ἰὼβ, πρὸς Θεὸν θέλων δικάσασθαι· ὅπουγέ τινες μέχρι δὲ νῦν προσκόπτουσι τοῖς αὐτοῦ ῥήμασι, τῇ τῶν λέξεων προφορᾷ μόνῃ προσέχοντες· παρὰ δὲ τῇ θείᾳ καὶ ἀδεκάστῳ κρίσει τὸ ἐναντίον ἐφάνη· διὸ καὶ εἶπεν, *ἐνώπιόν μου*. Παρ' ἐμοὶ γὰρ, φησὶ, κριτῇ ὑμεῖς μὲν οὐδὲν ἀληθὲς ἐλαλήσατε, ἀδίκως κατὰ τοῦ δικαίου τὰς ψήφους ἐκφέροντες [z]· ὁ δὲ ἐμὸς θεράπων Ἰὼβ μετὰ τῆς φλης [z] ἀληθείας πάντα ἐφθέγξατο· οὐ γὰρ δι' ἁμαρτίας ἔπασχεν, ἀλλ' ἵνα ἀναφανῇ δίκαιος. Τίς οὖν δύναται λόγῳ κατηγορεῖν, οὗ ὁ Κύριος ἐπαινέτης κατέστη διὰ τῆς οἰκείας ἐπικρίσεως; Καὶ ἐπιτήρει, πῶς οἰκεῖον θεράποντα τὸν Ἰὼβ καλεῖ, τιμῶν καὶ τῇ προσηγορίᾳ τὸν δίκαιον· καὶ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις τοῦτο ποιῶν. Ἔοικε μέντοι ὁ Ἐλιφὰζ αἰδεσιμώτερος τῶν ἄλλων τυγχάνειν· διὸ καὶ πρότερος τῆς πρὸς τὸν Ἰὼβ διαλέξεως ἄρχεται, καὶ νῦν ὁ Κύριος πρὸς αὐτὸν διαλέγεται· καὶ ταῦτα, τῶν λόγων τοῖς τρισὶν ἁρμοζόντων φίλοις. Θεώρει δὲ ὡς ἐπήκοον· πάντων ὁ Θεὸς ἐλάλει, ὡς ἂν εἰς πάντας· ἡ τοῦ Ἰὼβ ἀρετὴ διὰ τῆς θείας μαρ- C

Theodotio: Excanduit ira mea in te, et in duos tuos amicos; non enim locuti estis rectitudinem, vel, *recte*, juxta Symmachum. Divinæ sententiæ judicium accuratum perpende. Præclare enim amici hominum opinione, Deo patrocinantes; Jobus autem, qui cum Deo judicio contendere voluerat, perperam fecisse videtur (quandoquidem in hodiernum etiam diem nonnulli nudæ verborum enuntiationi attendentes, sermonibus ejus offendantur): divino autem et incorrupto judicio contrarium visum est; idcirco enim dixit, *coram me*. Vos enim, me judice, iniqua suffragia contra justum ferentes, nihil veri dixistis; Jobus vero, famulus meus, omnia in nuda veritate locutus est; non enim propter scelera passus est, sed ut justus appareret. Quis igitur D verbis condemnare eum potest quem Deus approbatione sua laudibus effert? Observa etiam, quemadmodum appellatione servi justum honorans, Jobum famulum suum vocet, idque non semel, sed sæpius faciat. Videtur autem Eliphazus reliquis majore veneratione dignus fuisse; unde primus cum Jobo colloquium instituit, et Deus nunc eum alloquitur, et verbis quidem quæ reliquis amicis conveniant. Considera autem quemadmodum cunctis audientibus Deus locutus fuerit, ut divino testimonio Jobi virtus omnibus elucesceret. Ille enim,

[21-22] Num. XII, 1 seqq.

VARIÆ LECTIONES.

[y] *Ισ.* καταγελῶντες. [z] *Ισ.* φιλῆς. [z] *Ισ.* ἐπηκόων.

Digitized by Google

inquit, cum præclaras suas actiones prædicaret, vera est locutus; vos autem, cum calculo vestro eum condemnaretis, falsa protulistis.

VERS. 8. « Nunc autem sumite septem vitulos et septem arietes, et ite ad famulum meum Job, et faciet victimam pro vobis. »

Pro *victima*, Aquila et Theodotio, *holocaustum*; Symmachus vero, *oblationem*, reddidit. Numerus septenarius in Scripturis in pretio est, et perfectus censetur: perfectas itaque hostias offerre jubentur, utpote qui gravia peccata admisissent. Jobum autem imperat ut sacerdotis munere fungatur, et oblationes offerat. Tanta enim, inquit, ejus justitia est, ut pro aliis etiam intercedere posset: ante legem autem, viri sancti pro seipsis sacrificia offerebant, ut Abel, Noe, Abraham.

VERS. 8. « Et Job famulus meus precabitur pro vobis; quoniam nonnisi faciem ejus accipiam. [*Alii autem*, suscipiam.] Nam nisi propter ipsum, perdidissem utique vos: non enim locuti estis verum contra famulum meum Job. »

Papæ honoris excellentiam, quem Deus sanctis largitur! illis enim obstrepere et obloqui, mortem mereri ostendit; et propter honorem quo illos prosequitur, lethali supplicio veniam concedit. Observa autem quod, licet zelo moti locuti fuerint, nihil tamen veri protulisse reprehendantur: imo vero divino zelo nequaquam stimulabantur; tum enim certe delicti veniam impetrassent: Jobus itaque jure merito illos accusaverat. Hinc discimus, quod non leviter peccet qui justos accusat; et quod delicti venia ab eis contra quos deliquimus, petenda sit.

Protheoria.

Statim post justi cum Deo colloquium, victoriæ illi insignia deferri cœperunt. Simul enim ut divino alloquio, institutione, et testimonio dignus est habitus, primam coronam adeptus est: nunc, eo quod pro amicis intercedat, et pro certaminum præmio veniam et remissionem illis impetret, secundam victoriæ aloream reportat; damnum enim Jobo fuisset, si amici qui consolationis causa ad eum accesserant, mortis supplicium luissent. Amplus certe honor et dignitas fuit, statim ut dixisset justus, Domine, ne statuas illis hoc peccatum, precibus eum Deum placasse, et peccati remissionem impetrasse.

VERS. 9, 10. « Ivit autem Eliphaz Thæmanites, et Baldad Sauchites, et Sophar Minæus, et fecerunt sicut præcepit eis Dominus: et solvit peccatum eis propter Job. [*Symmachus*, Et suscepit Deus faciem Job.] Dominus autem auxit Job: et cum ille precatus etiam esset pro amicis suis, dimisit eis peccatum. »

Pro sanis et divitibus, deposita omni injuriarum memoria, ulcerosus, inops, et abjectus preces fun-

A τυρίας κατάδηλος γένηται. Ὁ μὲν γάρ, φησὶν, ἀληθῆ ἐλάλησε, τὰ ἑαυτοῦ λέγων κατορθώματα, ὑμεῖς δὲ αὐτὸν καταδικάσαντες, οὐκ ἀληθῆ εἰρήκατε.

« Νῦν δὲ λάβετε ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριοὺς, καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ἰώβ, καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν.

Ἀντὶ τοῦ, *κάρπωσιν*, Ἀκύλας μὲν καὶ Θεοδοτίων, *ὁλοκαύτωσιν*, Σύμμαχος δὲ *ἀναφοράν*, ἐξέδωκεν. Ὁ ἑπτὰ παρὰ τῇ Γραφῇ τίμιος καὶ τέλειος ἀριθμός· τέλεια τοιγαροῦν θύματα κελεύονται προσφέρειν, ὡς μεγάλα ἐξημαρτηκότες. Αὐτὸν δὲ τὸν Ἰὼβ ἱερέα κελεύει γενέσθαι, καὶ τὰς ὁλοκαρπώσεις ἀναφέρειν. Οὕτω γάρ, φησὶν, δίκαιος, ὡς καὶ ὑπὲρ ἑτέρων πρεσβεύειν· πρὸ μέντοι τοῦ νόμου οἱ ἅγιοι δι' ἑαυτῶν τὰς θυσίας προσέφερον, ὡς Ἄβελ, Νῶε, Ἀβραάμ.

B « Ἰὼβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψομαι. [*Οἱ δὲ ἄλλοι*, παραδέξομαι.] Εἰ μὴ γὰρ δι' αὐτὸν, ἀπώλεσα ἂν ὑμᾶς· οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ἰώβ. »

Βαβαὶ τιμῆς ὑπερβολὴν ἣν ἁγίοις ὁ Κύριος ἀπονέμει. Θανάτου μὲν γὰρ ἔνοχον ἀποφαίνει τὸ τῶν δικαίων καταλαλεῖν· καὶ τὴν θανατηφόρον δὲ τιμωρίαν συγχωρεῖ, τιμῇ τῇ πρὸς αὐτούς. Ὅρα δὲ ὅτι καίτοι ζήλῳ λέγαντες, ἠλέγχοντο, μηδὲν ἀληθὲς εἰπόντες· μᾶλλον δὲ οὐκ ἔλεγον ζήλῳ τῷ κατὰ Θεὸν, ἦ γὰρ ἂν συνεγνώσθησαν· ὥστε δικαίως αὐτοῖς ὁ Ἰὼβ ἐνεκάλει. Ἐκ τούτου μανθάνομεν, ὅτι ὁ κατηγορῶν C τῶν δικαίων, οὐ μετρίων ἁμαρτάνει· καὶ ὅτι χρὴ παρ' αὐτῶν ἐκείνων συγγνώμην αἰτεῖσθαι, εἰς οὓς ἁμαρτάνομεν.

Προθεωρία.

Ἤρξατο μὲν ἀφ' οὗ ὁ Θεὸς ἐχρημάτισε πρὸς τὸν δίκαιον, τὰ ἔπαθλα αὐτῷ δίδοσθαι. Αὐτῷ γὰρ τῷ καταξιωθῆναι θείας ὁμιλίας, καὶ διδασκαλίας, καὶ μαρτυρίας, πρῶτον ἐδέξατο στέφανον· νῦν βραβεῖα δέχεται δεύτερα, τὸ [b] ὑπὲρ τῶν φίλων εὔχεσθαι, καὶ τῶν ἀγώνων δέχεσθαι γέρα, τὴν αὐτῶν συγχώρησιν· ζημία γὰρ ἦν τῷ Ἰὼβ, εἰ οἱ πρὸς παραμυθίαν ἐλθόντες αὐτῷ φίλοι τιμωρίαν ἔτισαν θανάτου. Οὕτως [c] ἱκανὴ τιμὴ καὶ περιφάνεια, τὸ, εὐχῇ δυσωπῆσαι Θεὸν ἐφ' ᾧ λῦσαι τὴν ἁμαρτίαν, πάντως D εἰπόντος τοῦ δικαίου, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.

« Ἐπορεύθη δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης, καὶ Βαλδὰδ ὁ Σαυχίτης, καὶ Σωφὰρ ὁ Μιναῖος, καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ Κύριος· καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ἰώβ. [*Ὁ δὲ Σύμμαχος*, καὶ προσήκατο ὁ Θεὸς τὸ πρόσωπον Ἰώβ.] Ὁ δὲ Κύριος ηὔξησε τὸν Ἰὼβ· εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ, ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν. »

Ὁ ἠλκωμένος, ὁ πένης, ὁ ἀπερρίμμενος, ὑπὲρ τῶν ὑγιαινόντων καὶ πλουσίων ἀμνησικάκως ηὔχετο.

VARIÆ LECTIONES.

[b] *Ισ.* τῷ. [c] *γρ.* οὕτως.

Digitized by Google

Ὥστε καὶ νῦν ἐὰν ἴδωμεν ἄνθρωπον πένητα καὶ νοσοῦντα ὑπὲρ ἑτέρων εὐχόμενον, καὶ τὴν εὐχὴν εἰς ἔργον προχωροῦσαν, τὴν πλουσίαν τοῦ Θεοῦ θαυμάσαντες χάριν, καὶ ἡμεῖς ἐν τοῖς ὁμοίοις γινόμενοι, μὴ δυσχεράνωμεν· ἴσως καὶ εἰς ἡμᾶς ἡ ἄφθονος τοῦ Θεοῦ φοιτήσει δωρεά.

A debat. Quare si hodie pauperem et valetudinarium pro aliis orantem, et preces ejus effectum sortiri viderimus, locupletem Dei gratiam admiremur, neque in ejusmodi malis constituti, moleste feramus; Dei enim larga et copiosa beneficentia ad nos etiam fortasse pertinget.

Προθεωρία.

Ὥσπερ ἐν τῷ πειρασμῷ τοσαύτη τις αὐτῷ γέγονεν ἐγκατάλειψις, ὡς καὶ τὴν βασιλίδα τὴν αὐτοῦ γυναῖκα θητεύειν ἐπὶ μισθῷ· οὕτω τῆς θείας ἐπιφοιτησάσης χάριτος, πάντα λοιπὸν εὐοδοῦται τῷ ἀγίῳ· συντρέχουσι πρὸς αὐτὸν συγγενεῖς, φίλοι δωροφοροῦσιν, ἑστιῶνται, καὶ πάντα αὐτῷ λοιπὸν ὑπῆρχε θυμηδίας ἀνάμεστα. Τεκμήριον δὲ τῆς μεταβολῆς, ὅτι [d] τὸν ὑπὸ Θεοῦ τιμηθέντα, καθάπερ ὑπὸ βασιλέως τιμᾶν εἰώθασιν οἱ ἄνθρωποι, καὶ πάντα αὐτῷ μετεβέβλητο, καὶ διπλᾶ ἦν.

Protheoria.

Sicut in tentatione, tanta Jobi derelictio fuit, ut conjux ejus quæ regina erat, mercede conducta inservierit [93]: ita postea, divina superveniente gratia, sancto omnia prospere succedunt; cognati certatim ad eum concurrunt, amici dona offerunt, conviviis accipiunt, et cuncta deinceps gaudii et lætitiæ plena erant. Mutati autem rerum status certum indicium erat, quod honorem illi detulerint, quem Deus honoraverat (sicut homines facere iis solent, quos reges honorant), et quod omnia illi in melius conversa et geminata fuerint.

« Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ, πάντα τὰ συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτὸν, καὶ πάντες ὅσοι ἤδεισαν αὐτὸν ἐκ πρώτου. »

Vers. 11. « Audierunt autem omnes fratres ejus et sorores ejus, quæcunque acciderant ei, et venerunt ad eum, et omnes quicunque noverant eum a principio. »

Ἀδελφοὺς καὶ ἀδελφὰς, πάντας τοὺς συγγενεῖς εἰώθεν ἡ θεία προσαγορεύειν Γραφή. Τὸ δὲ, *Ἤκουσαν τὰ τῷ Ἰὼβ συμβεβηκότα*, εἴρηται, οὐχ ὅτι ἠγνόουν τὰ τῆς συμφορᾶς, ἀλλ' ὅτι ἕκαστος πρὸς τὸν πλησίον ἔλεγε τά τε τοῦ πειρασμοῦ, τά τε τῆς θείας ἐπισκέψεως· καὶ ἡδὺ πᾶσι καὶ ἐπωφελὲς διήγημα τὰ κατὰ τὸν Ἰὼβ ἐτύγχανε. Τάχα δὲ καὶ ἀσπλαγχνίαν τῶν συγγενῶν ὁ λόγος αἰνίττεται ἐν προσποιήσει φιλίας καὶ συγγενείας· οἵτινες ἀτυχοῦντι μὲν ἐπιμακρὸν οὐ παρῆσαν· ἐπειδὴ δὲ ἐπὶ τὸ φαιδρότερον τὰ πράγματα μετεβέβλητο, τότε καὶ ἀκούειν ἔδοξαν τὰ πρότερα [e], καὶ συναισθησόμενοι παρεγένοντο.

Cognatos omnes et affines, fratrum et sororum nomine appellare, Scripturæ sacræ solemne est. Illud autem, *audierunt quæ Jobo acciderant*, non quod eorum quæ ei acciderant ignari essent, dictum est, sed quia unusquisque ad vicinum de tentatione et divina visitatione sermonem habuerit; et jucunda simul et utilis narratio eorum quæ Jobo contigerant, omnibus exstiterit. Forte etiam cognatorum immisericordia sub amicitiæ et affinitatis larva, his verbis innuitur: qui quidem, cum in adversa fortuna esset, longo tempore non aderant; postquam vero in splendidiorem statum res ejus mutatæ sunt, tunc primum audivisse visi sunt, et ut participes gaudii ejus essent, ad eum accesserant.

« Φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ, παρεκάλεσαν αὐτόν· καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν ἐπ' αὐτῷ Κύριος. »

« Comedentes autem et bibentes apud eum, consolati sunt eum, et mirati sunt super omnibus quæ induxit super eum Dominus. »

Ὁ δὲ Σύμμαχος, *περὶ πάσης τῆς κακίας*· κακίαν καὶ αὐτὸς λέγων τὴν κάκωσιν, καὶ τὴν τῶν πειρασμῶν ἐπαγωγήν· καὶ ἦν γὰρ ἀληθῶς θαύματος ἄξιον, ὅτι δίκαιος ὢν τοιαῦτα ὑπέστη, καὶ οὕτως ἐταλαιπωρήθη. Ὁ ἀμνησίκακος καὶ ἀγαπητικὸς Ἰὼβ ἡδέως δέχεται τοὺς προσιόντας, καὶ οὐκ ἀποσείεται τὰ παρ' αὐτῶν προσενεχθέντα, οὐδὲ πέπονθεν ὅπερ οἱ πολλοὶ, οὐδ' εἶπε τοῖς προσερχομένοις· Ἐπειδὴ παρὰ τὴν νόσον οὐκ ἐπεσκέψασθέ με, οὐδὲ ἐπεκουρήσατέ μοι, οὐδὲ ἐγὼ νῦν ὑμᾶς προσίεμαι, οὐδὲ τῶν παρ' ὑμῶν ἐπιδέομαι· ἀλλὰ καὶ ἡδέως ἐδέξατο τοὺς συνελθόντας, ὡς οὐδὲν πεπονθὼς παρ' αὐτῶν, καὶ συνευωχήθη, καὶ παράκλησιν τὸ πρᾶγμα νενόμικεν. Ἐπειδὴ γὰρ κατὰ Θεοῦ χάριν συνέτρεχον, οὐκ ἀπεσείσατο τὴν θείαν δωρεὰν, ἀλλ' ἡδέως

Symmachus, *De omni malitia;* afflictionem, et tentationum immissionem, malitiæ nomine intelligens: et sane, talia passum esse, et cum ærumnis ejusmodi colluctatum fuisse, cum justus fuerit, res admiratione digna erat. Injuriarum immemor, et charitate plenus Jobus, adventantes blande accipit, munera quæ attulerunt non repudiat, nec passus est quod plerique solent, nec accedentibus dixit: Quandoquidem morbo laborantem me non invisistis, neque opem mihi tulistis, neque ego nunc vos in societatem admitto, neque donis vestris indigeo: sed, ac si nihil ab iis passus fuisset, simul advenientes comiter suscepit, una convivatus est, et in hoc non leviter se solatum esse existimavit. Cum enim Dei gratia factum esset, ut ad eum simul

[93] Job II, 9.

VARIÆ LECTIONES.

[d] *Isc.* suppl. ἐτίμων. [e] *Isc.* τὸ πρότερον.

Digitized by Google

concurrerent, divinum beneficium non respuit, sed blande ac comiter omnes est amplexus; quandoquidem decessor etiam ejus, magnus Abrahamus, Pharaonis dona, quæ divino munere sibi concessa esse arbitrabatur, non recusaverat [24].

A πάντας περιεπτύξατο· ἐπεὶ καὶ ὁ μέγας Ἀβραὰμ, ὁ τούτου πρόγονος, τὰ δῶρα Φαραὼ προσεδέξατο, θείαν εἶναι δωρεὰν τὸ πρᾶγμα τιθέμενος.

Protheoria.

Hinc divitiarum duplicationem numerare incipit, et bona corporis divinam esse benedictionem asserit : liberorum enim procreatio, et facultatum incrementum, prisci sæculi hominibus, benedictionis loco promittebantur, prout etiam contrarium maledictio censebatur. Quandoquidem igitur legem ætate antevertens, ad legis simul et Evangelii normam vitam traduxerat, benedictionum quidem legalium particeps est factus; reservantur autem illi, quæ sanctis in futuro sæculo promissa sunt, et quæ rationem ac cogitationem humanam superant. Ab eo vero loco : *Scriptum autem est ipsum rursus resurrecturum cum iis quos resuscitat Dominus*, dicunt nonnulli, verba quæ ad finem sequuntur, non esse sacræ Scripturæ, sed libro huic assuta et ascripta : nos vero, cum in omnibus Græcis exemplaribus librum sic scriptum invenerimus, ita omnia quæ in eo scripta sunt recipimus, prout a Patribus nobis tradita sunt.

Προλεωρία.

Ἐντεῦθεν προκαταριθμεῖται τῆς περιουσίας τὸν διπλασιασμὸν, καὶ θείαν εὐλογίαν εἶναι λέγει τὰ σωματικὰ ἀγαθά· ἐπηγγέλλετο γὰρ τοῖς παλαιοτέροις εἰς εὐλογιῶν μοῖραν ἥ τε παιδογονία, καὶ ἡ τῶν ὑπαρχόντων αὔξησις, ὥσπερ καὶ τοὐναντίον εἰς κατάραν αὐτοῖς κατελογίζετο. Ἐπειδὴ τοίνυν πρὸ νόμου τυγχάνων, νομίμως ὁμοῦ καὶ εὐαγγελικῶς ἐπολιτεύσατο, εἴληφε μὲν τὰς κατὰ νόμον εὐλογίας· B ἀπόκειται δὲ αὐτῷ καὶ τὰ τοῖς ἁγίοις ἐπηγγελμένα ἐν τῷ μέλλοντι αἰῶνι, ὅσα ὑπὲρ λόγον καὶ ἀνθρωπίνην ἔννοιαν. Ἀπὸ δὲ τοῦ, *Γέγραπται δὲ, αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν*, ἕως τέλους, φασὶ μέν τινες, μὴ εἶναι τῆς ἱερᾶς Γραφῆς, ἀλλὰ παρεγγεγράφθαι τῷ βιβλίῳ τὰ ῥήματα· ἡμεῖς δὲ ἐν πᾶσι τοῖς Ἑλληνικοῖς ἀντιγράφοις οὕτως εὑρηκότες γεγραμμένην τὴν βίβλον, πάντα τὰ ἐγγεγραμμένα οὕτω δεχόμεθα ὡς παρὰ τῶν πατέρων παρειλήφαμεν.

« Dedit autem ei unusquisque agnum unum, et tetradrachmum auri et non signati. »

« Ἔδωκε δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦ καὶ ἀσήμου. »

Tanquam convivium celebraturi, agnos fortasse afferunt; honoris autem causa, auri tetradrachmum, quod numismatis genus est; sic enim interpres alius reddidit : Aquila vero et Theodotio, *inaurem auream;* et Symmachus, *narium ornamentum. Non signatum* vero, pro pondere non formato, et characterem non habente.

· Τὰς μὲν ἀμνάδας φέρουσιν, ὡς ἐπ' εὐωχίαν ἴσως παραγενόμενοι, τὸ δὲ τετράδραχμον τοῦ χρυσίου, C πρὸς τιμὴν τοῦ Ἰὼβ, ὅπερ ἐστὶ νόμισμα ἓν· οὕτω γὰρ καὶ ἕτερος τῶν ἑρμηνευτῶν ἐξέδωκεν· Ἀκύλας δὲ καὶ Θεοδοτίων, *ἐνώτιον χρυσοῦν· ἐπίρρινον* δὲ, Σύμμαχος. *Ἄσημον* δὲ, ἀντὶ τοῦ, ἀτύπωτον σταθμὸν καὶ ἀχαρακτήριστον.

Vers. 12. « Et benedixit Dominus novissima Job præ iis quæ antea. »

« Ὁ δὲ Κύριος εὐλόγησε τὰ ἔσχατα Ἰὼβ καὶ [f] τὰ ἔμπροσθεν. »

Quæ prius Jobus possederat, non tanquam virtutis præmia ei concessa sunt, sed ut in iis exerceretur; et certaminum causa ac materies, divitiæ illi factæ sunt. Postquam autem certamine contendisset, et qua ratione divitiis utendum esset, magister omnibus exstitisset, ac deinde etiam fortunis omnibus nudatus, paupertatis certamen legitime decertasset; pro virtutis et fortitudinis præmio, bonorum duplicationem magnus agonotheta ei largitur. D

Τὰ μὲν πρότερον, οὐκ ἄθλα ἀρετῆς ἐδέδοτο τῷ Ἰὼβ, ἀλλ' ἵνα ἐν αὐτοῖς ἐγγυμνασθῇ, καὶ ἦν ὁ πλοῦτος αὐτῷ τῶν ἀγωνισμάτων ὑπόθεσις. Ἐπειδὴ δὲ ἠγωνίσατο, καὶ διδάσκαλος ἅπασι γέγονεν, ὅπως προσήκει τῷ πλούτῳ χρῆσασθαι, εἶτα καὶ ἀφαιρεθεὶς τῶν ὑπαρχόντων, ἐν τοῖς τῆς πενίας νομίμως ἠγωνίσατο σκάμμασι, γέρα τῆς ἀρετῆς τὸν διπλασιασμὸν τῶν ὑπαρχόντων ὁ μέγας ἀγωνοθέτης αὐτῷ δίδωσι.

« Et fuerunt pecora ejus, oves decies et quatuor mille, cameli sexies mille, juga boum mille, asinæ feminæ pascuales mille. [Vers. 13] Et nascuntur ei filii septem, et filiæ tres. »

« Ἦν δὲ τὰ κτήνη αὐτοῦ, πρόβατα μύρια τετρακισχίλια, κάμηλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι θήλειαι νομάδες χίλιαι. Γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ, καὶ θυγατέρες τρεῖς. »

Duplicata quidem sunt pecora ratione carentia, quia penitus interierant; liberi vero pares numero prioribus fuerunt, quoniam mortem oppetentes non exstinguebantur : quare viventibus iis qui prius e vita excesserant, et aliis in illorum locum succedentibus, liberos etiam duplicatos receperat.

· Τὰ μὲν γὰρ τῶν ἀλόγων, ὡς ἀπολομένων, διπλᾶ δέδοται· οἱ δὲ παῖδες τοῖς προτέροις ἰσάριθμοι, ἐπειδὴ οἱ τεθνηκότες οὐκ ἀπώλοντο· ὥστε καὶ αὐτοὺς διπλοῦς ἀπέλαβε, ζώντων μὲν τῶν προαπελθόντων, τῶν δὲ δευτέρων ἐπιγενομένων.

[24] Gen. XII, 26.

VARIÆ LECTIONES.

[f] γρ. ἤ.

Digitized by Google

« Καὶ ἐκάλεσε τὴν μὲν πρώτην, Ἡμέραν· τὴν δὲ δευτέραν, Κασίαν· τὴν δὲ τρίτην, Ἀμαλθείας κέρας. »

« Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; » Πάντες ἄνθρωποι ὑπὸ τὸν αὐτὸν ἥλιόν ἐσμεν· τῶν δὲ μοχθούντων οἱ μὲν μοχθοῦσι διὰ τὰ ὑπὲρ τὸν ἥλιον, ἵνα τὴν ἐν οὐρανῷ βασιλείαν κληρονομήσωσιν· οἱ δὲ διὰ τὰ ὑπὸ τὸν ἥλιον, ἵνα τὴν κενὴν δόξαν, ἢ χρήματα περιποιήσονται, ἢ ἀξιώματα. Τί οὖν περισσὸν ἔχει ἄνθρωπος ἀνθρώπου ἐν τῷ μοχθεῖν τὰ ὑπὸ τὸν ἥλιον, ὅπου πάντες τὴν ἐνθάδε καταλελοιπότες ζωὴν, τὸν κοινὸν ὑπομένομεν θάνατον;

Vers. 3. « Quid habet homo amplius in omni labore suo quo laborat sub sole? » Omnes quidem homines sub eodem sole versamur: eorum vero qui laborant, alii quidem vires intendunt suas ob ea quæ solem supereminent, ut cœleste regnum in hæreditatem accipiant; alii vero ob ea laborant quæ sunt sub sole, ut inanem scilicet gloriam, vel pecunias dignitatemque acquirant. Quid igitur, inquit, homine homo amplius habet in eo labore quo laborat sub sole, quando omnes relicta præsenti vita communem mortem subimus?

« Γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκε. » Τῶν γεγονότων τὰ μὲν ἀδιάδοχα, συμπαρεκτεινόμενα τῷ ἐνεστῶτι αἰῶνι, ὡς οὐρανὸς, καὶ γῆ, καὶ ἥλιος, καὶ ἄστρα· τὰ δὲ φθειρόμενα τῇ διαδοχῇ τῆς γενεᾶς σώζεται, ὡς ἄνθρωποι, καὶ πετηνὰ, καὶ νηκτὰ, καὶ φυτά. Τί οὖν μοχθεῖτε, ὦ ἄνθρωποι, περὶ τὰ ἐπίγεια; ὅπουγε τὸ μὲν ἀναίσθητον στοιχεῖον ἡ γῆ εἰς μακρὸν διατείνεται χρόνον, ὑμεῖς δὲ κατὰ γενεὰν ἀπόλλυσθε; Ἢ οὕτως· *Ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν*, κατήγορος ὑμῶν γιγνομένη, ἐφ' ἧς τὰς ἀθεμίστους εἰργάσασθε πράξεις. Πρὸς δὲ διάνοιαν, *Γενεὰ πορεύεται*, ἡ τῶν Ἰουδαίων, ἐκβαλλομένη· *γενεὰ δὲ ἔρχεται*, ἡ τῶν εἰς Χριστὸν πιστευσάντων. Ἡ δὲ θεία Γραφὴ, γῆ ὀνομαζομένη, διὰ τὸ ἀκίνητον, καὶ καρποφόρον, καὶ πάνδεκτον· ἡ ἐπὶ τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης εἰς τὸν αἰῶνα μένει, ἀκινήτους ἔχουσα τάς τε τῶν δικαίων ἐπαγγελίας, καὶ τὰς κατὰ τῶν ἁμαρτωλῶν ἀπειληθείσας κολάσεις.

Vers. 4. « Generatio præterit et generatio advenit, terra autem in æternum stat. » Eorum quæ creata sunt, alia quidem durant absque successione, cum præsenti sæculo simul exstantia, veluti cœlum, terra, astra, et sol; alia vero corrumpuntur ac pereunt, sed generis successione servantur: ut homines sunt, ut aves, ut pisces ac plantæ. Quid igitur, homines, laboratis circa terrena; quando ipsa terra sensu carens elementum, in longinquum tempus perdurat: vos autem secuncum generationem peritis? Aut ita intellige: *Terra* quidem *in æternum stat*, accusatrix vestri effecta, in qua nefaria opera perpetrastis. Mystico autem sensu: *Generatio præterit*, Judæorum scilicet, ejecta et repulsa: *Generatio* vero *advenit:* eorum scilicet qui in Christum crediderunt. Sacra vero Scriptura, *terra* nuncupatur: instar enim terræ, immobilis est, fructus gignit, omnibus patet, ac omnes accipit. Veterique ac Novo Testamento subnixa manet in sæculum, immobiles habens et justorum promissiones, et quæ peccatoribus reposita declarantur supplicia.

« Ἀνατέλλει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει. » Τὸν εὔτακτον δρόμον τοῦ ἡλίου διδάσκει, προπέμπων ἡμᾶς ἐπὶ τὴν κατανόησιν τοῦ τὸν ἥλιον δημιουργήσαντος. Κινεῖται δὲ κυκλοφορικῶς, ὥς τινες ἐκ τοῦ Ἔσδρα ἐσημειώσαντο, οὕτως εἰρηκότος· *Μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρανὸς, καὶ ταχὺς τὸν δρόμον ὁ ἥλιος, καὶ στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ ἐν μιᾷ ἡμέρᾳ εἰς τὸν τόπον αὐτοῦ ἔρχεται.* Καὶ οὗτος οὖν, ἔφη, ὁ μέγας ἥλιος πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον παραβαλλόμενος, ματαιότης ἐστί. Πρὸς δὲ διάνοιαν, οὕτω νοήσεις· Ἀνατέλλει ὁ ἥλιος ἐν ταῖς τῶν πιστῶν καρδίαις, ὁδηγῶν εἰς τὰ πρακτέα τοὺς ἄρτι προκόπτοντας·

Vers. 5. « Oritur sol, et in locum suum aspirat. » Certum solis cursum dispositionemque ostendit, ut nos ad illius contemplationem attollat, qui fabricatus est solem. Movetur autem circulari motu ut nonnulli arguunt ex verbis Esdræ ita dicentis: *Magna est terra, excelsum est cœlum, et velox cursu est sol, et vertitur in circulo cœli, et in una die ad locum suum revertitur*[2]. Quasi dicat: Hic etiam sol quamlibet magnus, ad Solem justitiæ comparatus, vanitas est. Mystico autem sensu ita intellige: **605** Oritur Sol in cordibus fidelium dirigens adhuc proficientes, ad ea quæ agenda sunt; sed et in ipsis occidit quando altitudines sententiarum inquirunt, atque

[1] Psal. LXXV, 3. [2] III Esdr. IV, 32-34.

Digitized by Google

ita majus desiderium cognitionis illis accendit. Aliter : Oritur Sol, unigenitum Dei Verbum e paterno sinu : occidit in novissimis diebus; ad occasum vitæ hujus, carne assumpta, suam quodammodo divinitatem occultans : ipsis quidem fidelibus Deus immutabiliter factus homo cognoscebatur, ab infidelibus autem simplex et verus esse homo putabatur. Oritur insuper ex Deipara Maria secundum carnem ; occidit autem ad inferni ima descendens: sed et rursus exoritur, a mortuis surgens. Quibuscunque autem modis hunc Solem mystice consideres, omnes fideles trahit ad regnum cœlorum : verissime testatus : *Cum autem exaltatus fuero, omnia traham ad meipsum*[3].

A ἀλλὰ καὶ δύνει ἐν αὐτοῖς· ὅταν τὰ βάθη τῶν δογμάτων ἐρευνῶσι, μείζονα τὸν πόθον τῆς γνώσεως ἐργαζόμενος. Ἄλλως, Ἀνατέλλει ὁ ἥλιος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἐκ πατρῴων κόλπων· δύνει ἐπ' ἐσχάτων ἡμερῶν, πρὸς δυσμαῖς τοῦδε τοῦ βίου σαρκωθείς, καὶ τὴν ἑαυτοῦ πως ὑποκρύπτων θεότητα. Τοῖς μὲν γὰρ πιστοῖς Θεὸς ἐγνωρίζετο, καὶ ἄνθρωπος ἀτρέπτως γεγονώς· τοῖς δὲ ἀπίστοις ψιλὸς ἄνθρωπος ἐνομίζετο. Πάλιν ἀνατέλλει ἐκ τῆς Θεοτόκου Μαρίας τὸ κατὰ σάρκα· δύνει δὲ ἐν τῷ ᾅδῃ παραγενόμενος· ἀλλὰ καὶ πάλιν ἀνατέλλει ἐκ νεκρῶν ἀνιστάμενος. Κατὰ δὲ πάντα τὸν τρόπον τῆς θεωρίας, πάντας τοὺς πιστοὺς ἕλκει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀψευδῶς εἰρηκὼς, *Ὅταν ὑψωθῶ, πάντα ἑλκύσω πρὸς ἐμαυτόν.*

Vers. 5, 6. « Ibi ipse oriens transit ad Notum, et flectitur ad Aquilonem. » Climata explicat quæ sol percurrit. Symbolice autem contemplando, poteris Notum intelligere qui a calida mundi regione spirat ; pro insita hominibus rationali prudentia quæ nequaquam torpet, sed quia ignea fervensque est; Aquilonem vero pro fortitudine : est enim ventus hic acer et expeditus ; Liben, pro temperantia quæ infrigerat voluptates corporis et exsiccat : Apelioten vero seu Subsolanum, pro ipsa justitia quæ per omnes commeat extenditurque virtutes. Omnes igitur animæ regiones illustrans, interno splendore radiat Sol justitiæ. Aliter : Deus Verbum carne assumpta, villas et civitates ad Notum constitutas ipse suis pedibus circuivit : per apostolos autem, boreales plagas. Ex gentibus itaque Ecclesiam congregans, omnia demum collustrans : omnes ad salutem hortatur.

B « Ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς Νότον, καὶ κυκλοῖ πρὸς Βορρᾶν. » Τὰ κλίματα ἔφη, δι' ὧν ὁ ἥλιος ὁδεύει. Κατὰ δὲ θεωρίαν συμβολικῶς, Νότον ἐνδέχεται νοεῖν θερμὸν ὄντα, τὴν ἐν ἡμῖν φρόνησιν· πυρώδης γὰρ καὶ θερμὴ ἡ φρόνησις· Βορέαν δὲ τὴν ἀνδρείαν· σκληρὸς γάρ ἐστι καὶ ἐπιδέξιος· Λίβαν δὲ τὴν σωφροσύνην, τὴν ψύχουσαν καὶ ξηραίνουσαν τὰς τοῦ σώματος ἡδονάς. Ἀπηλιώτην δὲ τὴν δικαιοσύνην, τὴν διὰ πασῶν χωροῦσαν ἀρετῶν. Πάντα οὖν, φησὶ, τὰ κλίματα τῆς ψυχῆς καταυγάζων, ἐναστράπτει ὁ τῆς δικαιοσύνης Ἥλιος. Ἄλλως· Ὁ ἐνανθρωπήσας Θεὸς Λόγος, τὰς κώμας καὶ τὰς πόλεις τὰς ἐν τῷ Νότῳ κειμένας δι' ἑαυτοῦ περιενόστει· διὰ δὲ τῶν ἀποστόλων, τὰ βόρεια μέρη· τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν C συνάγων, καὶ τὰ πάντα ἐκπεριερχόμενος, πάντας εἰς σωτηρίαν προτρέπει.

« Lustrans in circuitu pergit spiritus, et in circulos suos revertitur. » Litterali quidem sensu, spiritum vocat solem propter motus velocitatem : nonnulli tamen e gentilium opinione ita etiam exponant, quoniam ii putant solem anima præditum esse animal. Mystico autem sensu : Spiritus sanctus apostolis infusus, circuire illos terras omnes faciebat, et Evangelium prædicare : sed et induxit, ut converso itinere redeuntes, eos inviserent quos prius in doctrina fidei erudierant, ut in Actis apostolorum plane invenies.

« Κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλου αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. » Κατὰ μὲν ἱστορίαν πνεῦμα καλεῖ τὸν ἥλιον, διὰ τὸ ταχὺ τῆς κινήσεως. Τινὲς δέ φασιν ἐκ τῶν ἔξωθεν λόγων ἡγούμενοι, ὅτι καὶ ἔμψυχον ζῶόν ἐστι. Πρὸς δὲ διάνοιαν, τὸ ἅγιον Πνεῦμα συνὸν τοῖς θείοις ἀποστόλοις περινοστεῖν αὐτοὺς ἐποίει πανταχοῦ, καὶ κηρύττειν τὸ Εὐαγγέλιον· ἀλλὰ καὶ ἐξ ὑποστροφῆς ἐπαναλύοντας ἐπισκέπτεσθαι τοὺς προκατηχηθέντας τὸν λόγον παρεσκεύαζεν, ὡς ἐν τοῖς Πράξεσι τῶν ἀποστόλων εὑρήσεις.

Vers. 7. « Omnes torrentes intrant mare, et mare non redundat. » Mos est divinæ Scripturæ, ut *omnes* pro plerisque accipiat, juxta illud : *Omnes declinaverunt, simul inutiles facti sunt*[4] : neque enim justi neque prophetæ declinaverunt. Est igitur admirari sapientiam Creatoris, quonam pacto hoc fiat ut plerisque fluviis mare intrantibus, **606** ipsum tamen in terminis suis consistat. Mystice autem flumina sunt apostoli, juxta quod scriptum est : *Et torrente voluptatis tuæ potabis eos*[5]. Mare autem intelligitur præsens vita, juxta illud : *Hoc mare magnum et spatiosum*[6]. Evangelici itaque apostolicique sermones in dulcorem mutant hujus vitæ salsedi-

D « Πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη. » Ἔθος τῇ θείᾳ Γραφῇ, *πάντας*, τοὺς πλείονας καλεῖν· κατὰ τὸ, *Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν*· οὐχ οἱ δίκαιοι, οὐχ οἱ προφῆται ἐξέκλιναν. Θαυμάσαι οὖν ἔστι τοῦ Δημιουργοῦ τὴν σοφίαν, πῶς τῶν πλείστων ποταμῶν εἰς τὴν θάλασσαν εἰσρεόντων, αὕτη ἐπὶ τῶν οἰκείων ἵσταται ὅρων. Πρὸς δὲ διάνοιαν, χείμαρροί εἰσιν οἱ ἀπόστολοι, κατὰ τὸ, *Καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.* Θάλασσα δὲ νοεῖται ὁ παρὼν βίος· κατὰ τὸ, *Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος.* Οἱ οὖν εὐαγγελικοὶ καὶ οἱ ἀποστολικοὶ λόγοι καταγλυκαίνουσι

[3] Joan. XII, 32. [4] Psal. CXIII, 3. [5] Psal. XXXV, 9. [6] Psal. CIII, 25.

Digitized by Google

τοῦδε τοῦ βίου τὴν ἀλμυρότητα· ἀλλ' οὐκ ἐμπίπλα- A
ται ἡ νοηθεῖσα θάλασσα· οὐ γὰρ πάντων ἡ πίστις.
Τροπικῶς δὲ διὰ τοῦ ὑποδείγματος αἰνίττεται τοὺς
τὴν ἄπληστον φιλαργυρίαν νοσοῦντας ἀνθρώπους· τὸ
γὰρ ἄπληστον τῆς αὐτῶν ἐπιθυμίας οὐ πληροῦται,
κἂν δίκην χειμάρρων πανταχόθεν εἰς αὐτοὺς ὁ πλοῦ-
τος συρρέῃ.

« Εἰς τὸν τόπον, οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ
αὐτὸν ἐπιστρέφουσι τοῦ πορευθῆναι. » Ἅμως ὁ προ-
φήτης φησὶν, *Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς
θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ προσώπου τῆς
γῆς*. Ἔοικε οὖν φυσιολογεῖν ἐνταῦθα· ὅτι τὸ ὕδωρ
τῆς θαλάσσης διὰ τῶν νεφῶν ἀνιμώμενον, καὶ εἰς
γῆν προχεόμενον, ποιεῖ τοὺς χειμάρρους. Ἐκ θα-
λάσσης οὖν, φησὶ, τὴν γένεσιν ἐσχηκότες οἱ χείμαρ-
ροι, πάλιν εἰς αὐτὴν πορεύονται. Πρὸς δὲ διάνοιαν, B
Εἰς τὸν τόπον ὅπου ἐπορεύθησαν οἱ ἀπόστολοι, ἐκεῖ
παρεσκεύασαν τοὺς πιστεύσαντας ἐπιστρέφειν πρὸς
Θεὸν, τοῦ πορευθῆναι τῷ φωτὶ Κυρίου. Ἄλλως· Οἱ
ἐξ ἀρετῆς εἰς κακίαν καταπίπτοντες, χειμάρρων δί-
κην ἐξ ὑψηλοῦ τινος, ἐπὶ τὸ πρανὲς καὶ κοῖλον καὶ
γεώδες καταφέρονται· ἀλλὰ δύνανται καὶ ἐν τῷ τόπῳ
τῆς κακίας γενόμενοι ἀνανῆψαι, καὶ μετανοῆσαι, καὶ
δι' ἐπιστροφῆς πορευθῆναι πάλιν τὴν ὁδὸν τὴν ἄγου-
σαν ἐπὶ τὸν παράδεισον, ὅθεν ὁ πρῶτος ἄνθρωπος
ἐκβέβληται.

« Πάντες οἱ λόγοι ἔγκοποι, οὐ δυνήσεται ἀνὴρ
τούτους λαλεῖν. » Οἱ περὶ τῆς τῶν ὄντων ἀκριβοῦς
γνώσεως λόγοι ἔγκοποι τυγχάνουσι, διὰ τὸ μὴ δύνα-
σθαι μηδὲ τοὺς σφόδρα ἀνδρείους τῇ ψυχῇ, πᾶσαν
τῆς γνώσεως ἔχειν τὴν κατάληψιν. Ἄλλως, Πάντες C
οἱ λόγοι, καὶ οἱ τῆς ἐξωτικῆς, καὶ οἱ τῆς θείας σο-
φίας, μετὰ κόπου τὴν διδασκαλίαν ἔχουσιν· ἀλλ' οἱ
μὲν ἔξωθεν ὡς τὰ πολλὰ καὶ βλάβης αἴτιοι γίγνονται
τοῖς πειθομένοις. Ὁ δὲ θεῖος λόγος ἀεὶ ὠφέλιμος·
ὃν οὐδὲ δύναταί τις ἀξίως λαλεῖν, κἂν σφόδρα συνε-
τὸς ᾖ, μὴ τὸ διδασκαλικὸν χάρισμα, καὶ τὸν τῆς σο-
φίας δεξάμενος λόγον. Ἄλλως· Κοπιῶσιν ἀεὶ οἱ δι-
δάσκαλοι περὶ τὸν θεῖον λόγον, καὶ ὡς τὰ πολλὰ
ἀναχαιτίζονται, κόπον μόνον κερδαίνοντες, διὰ τὸ
τῶν ἀκροατῶν ῥᾴθυμον. Πλήττει οὖν ὁ λόγος τοὺς
ἡμελημένως ἀκροωμένους. Ἄλλως· Δεῖ πρῶτον
ποιῆσαι, εἶτα διδάξαι. Κόπος οὖν ἐστι, καὶ οὐχ ὁ τυ-
χὼν, ἀλλ' ἐπικίνδυνος, τὸ ἐκεῖνα διδάσκειν ἃ μὴ
πρότερος αὐτὸς κατώρθωσας. Διὰ τοῦτο καὶ ὁ τέ- D
λειος τὸ τοῦ πράγματος ὑφορώμενος μέγεθος ἀναχαι-
τίζεται τοῦ λαλεῖν.

« Καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ
οὐ πληρωθήσεται τὸ οὖς ἀπὸ ἀκροάσεως. » Κατὰ
μὲν τὴν φυσιολογίαν, οὔτε τὴν πᾶσαν αἰσθητὴν κτίσιν
δύναται περιλαβεῖν ὀφθαλμὸς, οὔτε τοὺς περὶ αὐτῆς
ἅπαντας λόγους ὑποδέξασθαι, ἐπεὶ μηδέ ἐστιν ἀνὴρ
ὁ λαλῶν καὶ διδάσκων. Ἄλλως· Εὐόλισθος ὢν ὁ ὀφ-
θαλμὸς ἀεὶ ἐπιθυμητικῶς καὶ ἀκορέστως ἔχει. Ἀλλὰ

nem : verum mare hoc spirituale nequaquam im-
pletur ; neque enim omnium fides est. Moraliter
autem, quasi proposito exemplo subinnuit eos no-
mines qui inexplebilis avaritiæ morbo laborant ; in-
satiabile namque illorum desiderium non expletur,
quanquam more torrentum undique ad illos divitiæ
confluant :

« Ad locum unde exeunt flumina revertuntur, ut
iterum fluant. » Amos propheta inquit : *Qui vocat
aquas maris, et effundit eas super faciem terræ*[t].
Videtur itaque hoc loco physicas adducere ratio-
nes : quod videlicet aqua maris, a nubibus inde at-
tracta, et in terram effusa faciat ipsos torrentes.
Inquit igitur : E mari torrentes fluviique exorti
rursus in illud revertuntur. Mystico autem intel-
lectu : Ad locum unde a postoli exierunt, illuc fece-
runt, ut fideles converterentur : ad Deum videlicet,
ut in lumine Domini postea ambularent. Aliter :
Qui e virtute in vitium ac malitiam decidunt, tor-
rentum ac fluviorum more ex alto quodam loco in
præceps concavumque ac terrestre delabuntur. Pos-
sunt tamen et cum ad ipsum jam vitæ terminum
pervenerint, resipiscere, ad pœnitententiam redeun-
tes ; et per conversionem reverti iterum in viam
quæ perducit ad paradisum unde homo primus
ejectus fuit.

Vers. 8. « Cunctæ rationes difficiles, non poterit
homo eas explicare sermone. » Rationes quæ de
certa rerum cognitione afferendæ sunt, magnam
difficultatem habent, eo quod non possunt homines
quantumvis magna polJentes ingenii vi, rerum om-
nium absolutam consequi cognitionem. Aliter : Om-
nes rationes, tam quæ ad sæcularem quam quæ ad
divinam sapientiam pertinent, non sine labore tradi
possunt ; sæculares tamen ac mundanæ scientiæ
plerumque discentibus detrimentum adducunt.
Scientia vero Dei ac divinus sermo semper est uti-
lis ; quem tamen non poterit homo pro dignitate
explicare, licet alioquin prudens sit, nisi qui acce-
pit donum doctrinæ sapientiæque sermonem. Ali-
ter : Semper fere divini verbi doctores laborant,
atque in angustia sunt, ac plerumque ab ipsa do-
ctrina retrahuntur, cum frustra se videant operam
insumere ac laborem solum lucrari, ob auditorum
inobedientiam ac desidiam. Taxat igitur Scriptura
eos qui negligenter audiunt. Aliter : Oportet prius
facere, ac deinde alios docere. Labor est itaque non
quemquam alios ea docere quæ prius ipse non fe-
rei magnitudinem contemplatur. ab ipsa prædica-

« Non saturabitur oculus visu, neque auris au-
ditu implebitur. » Verba hæc secundum physicam
rationem ita exponi possunt, videlicet : Neque ocu-
lus universam sensibilem creaturam mundique
machinam potest complecti, neque cujusquam
mens omnes capere rationes atque sermones, qui
de illa explicari possent ; quia videlicet deest homo

vulgaris atque exiguus, sed valde periculosus, **607**
fecerit. Quapropter homo perfectus ac prudens cum
tione resilit ac retrahitur.

[t] Amos v. 8.

Digitized by Google

qui de iis loquatur ac doceat. Aliter : Oculi hominum cum valde agiles sint ac quodammodo lubrici, ad concupiscentiam proni sunt, neque expleri possunt. Sed et qui pruritum aurium patiuntur, semper quidem res novas discere gestiunt et affectant; nunquam tamen curant ad veritatis notitiam pervenire : quapropter et divini Verbi præcones laborant ut aures oculosque discentium modestos temperatosque efficiant. Aliter : Audiendi sensus ac videndi, principales regiique sunt, ac cæterorum sensuum maxime rationales; proprias namque operationes humanæ vitæ perutiles ac necessarias sine ulla satietate efficiunt. Gustus autem, odoratus ac tactus, citius fatigantur ac tædio afficiuntur.

A καὶ οἱ τὴν ἀκοὴν κνηθόμενοι, πάντοτε μανθάνειν θέλουσι καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἔρχεσθαι· διὸ καὶ οἱ λόγοι κοπιῶσιν ἐπὶ τῷ σώφρονας ἐργάσασθαι τοὺς ὀφθαλμοὺς καὶ τὰς ἀκοὰς τῶν μανθανόντων. Ἄλλως· Κυριώτατα καὶ βασιλίδες εἰσὶ τῶν αἰσθήσεων, καὶ λογικώτεραι, ἀκοὴ καὶ ὅρασις· αὗται τὴν ἑαυτῶν ἐνέργειαν ἀναγκαῖαν οὖσαν ἀκορέστως ἐκτελοῦσι. Γεῦσις δὲ, καὶ ὄσφρησις, καὶ ἁφὴ ταχύτερον κάμνουσι, καὶ κόρον δέχονται.

Vers. 9. « Quid est quod fuit? ipsum quod futurum est. Quid est quod factum est? ipsum quod faciendum est. » Creatarum rerum aliæ quidem æternæ sunt; id est semel creatæ, successionem non habituræ, ut sol, ut luna, perpetuo durant. Aliæ vero per successionem conservantur, quæ videlicet sunt sub sole, ut animalia ipsa ac plantæ quæ generationi subjacent et corruptioni. De hujusmodi ergo creaturis quas successio servat, habetur hic sermo; homo siquidem natus est olim fuitque ab initio, planta nascitur.

« Τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον. Καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον. » Τῶν B κτισμάτων τὰ μέν εἰσι μονογενῆ, καὶ ἀδιάδοχα, οἷον ἥλιος, καὶ σελήνη, καὶ τὰ τῷ αἰῶνι συμπαρεκτεινόμενα· τὰ δὲ τῇ διαδοχῇ σώζεται ὑπὸ τὸν ἥλιον ὄντα, οἷον ζῶα καὶ φυτά· τὰ δὲ γενέσει καὶ φθορᾷ ὑποκείμενα. Περὶ τῶν ἐκ διαδοχῆς οὖν σωζομένων ὁ λόγος· ἄνθρωπος γέγονε ἀπ' ἀρχῆς· ἐκείνου τελευτήσαντος ἄλλος γεννᾶται. Φυτὸν γέγονε, φυτὸν γεννᾶται. quo defuncto alius generatur. Item et planta fuit,

Vers. 10. « Et non est aliquid recens sub sole; neque qui dicat ac loquatur, Ecce hoc novum est : jam enim præcesserunt in sæculis quæ fuerunt ante nos. » Sæculum quandoque spatium vitæ humanæ significat, juxta illud : *Non comedam carnem in sæculum* [8]; id est, in tota vita mea. Et alibi : *Erit tibi servus in sæculum* [9]. Quandoque autem perpetuum, temporariam durationem mundi hujus ab initio creationis usque ad finem. Dicit ergo nihil esse novum in successionibus hominum, animalium ac plantarum. Aliter etiam : Qui probi officiosique fuerint in hac vita, in futuro sæculo coronantur, puniuntur autem scelesti.

« Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον· ὃς λαλήσει καὶ ἐρεῖ, Ἴδε τοῦτο καινόν ἐστι· ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν. » Ὁ αἰὼν ποτὲ μὲν ἀνθρώπινον βίον σημαίνει, κατὰ τὸ εἰρημένον, *Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα*, C ἀντὶ τοῦ δι' ὅλου μου τοῦ βίου. Καὶ πάλιν, *Ἔσται σοι δοῦλος εἰς τὸν αἰῶνα*, ἀντὶ τοῦ, ἄχρι τελευτῆς· ποτὲ δὲ καὶ τὴν χρονικὴν παρέκτασιν τοῦδε τοῦ παντὸς, τὴν ἀπὸ τῆς κτίσεως τοῦ κόσμου μέχρι συντελείας. Εἴρηται μὲν οὖν ὅτι οὐδὲν καινὸν ἐν ταῖς τῶν ἀνθρώπων, καὶ ζώων, καὶ φυτῶν διαδοχαῖς. Καὶ ἄλλως δὲ, Οἱ ἐνάρετοι ἐν τῷδε τῷ βίῳ, ἐν τῷ μέλλοντι αἰῶνι στεφανοῦνται· οἱ δὲ κακοὶ κολάζονται.

« Quid est igitur quod fuit? ipsum quod futurum est. » Quasi dicat : Officiose quispiam vixit? præmia virtutis accipiet; sceleste alius vixit? sui flagitii pœnas dabit. Quæ igitur in futura vita et sæculo nobis advenient, præmia illorum erunt quæ in hac vita sæculoque præcesserint.

« Τί οὖν τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον. » Ἀντὶ τοῦ, Ἀρετήν τις μετῆλθε; ἄθλα ἀρετῆς ἀπολήψεται· κακίαν τις μετῆλθε; κακίας ἀποτίσει δίκην. Τὰ οὖν ἐν τῷ μέλλοντι αἰῶνι γενησόμενα ἐπίχειρα τυγχάνουσι τῶν ἐν τῷδε τῷ βίῳ προγεγο- D νότων.

Vers. 11. « Non est primis memoria, sed nec eorum quidem qui postremo futuri sunt, erit recordatio cum iis qui futuri sunt in novissimo. » **608** Particularia singulorum hominum facta, quæ in tota vita gesserunt, sunt quodammodo infinita, ut eorum meminisse nequaquam possimus : sed neque scimus ea quæ posteri ac venturi facient; hoc est, ignoramus quæ sigillatim cuncti homines ab initio mundi fecerint. Neque enim cum illis in vita fuimus, sed neque eorum qui post nos futuri sunt cognitionem habemus. Universalia enim fortasse quodammodo possumus, particularia vero cuncta scire non possumus. Non est igitur primorum memoria; neque in novissimis futurorum. Aliter :

« Οὐκ ἔστι μνήμη τοῖς πρώτοις, καί γε τοῖς ἐσχάτοις γενησομένοις οὐκ ἔστιν αὐτοῖς μνήμη μετὰ τῶν γενησομένων εἰς τὰ ἔσχατα. » Τὰ καθ' ἕκαστον ὑπὸ τῶν ἀνθρώπων γενόμενα ἐν ὅλῳ τῷ παρελθόντι βίῳ, ἄπειρα τυγχάνουσιν· καὶ οὐ δυνατὸν ἡμᾶς μνημονεύειν. Ἀλλ' οὐδὲ τί πράξουσιν οἱ μεθ' ἡμᾶς, ἴσμεν· οἷον, τί ἔπραξαν οἱ ἀπὸ κτίσεως πάντες ἄνθρωποι ἰδίᾳ ἕκαστος. Οὔτε γενόμενοι ἡμῖν, οὔτε ἐπιστάμεθα· ἀλλ' οὐδὲ τῶν μεθ' ἡμᾶς πραξομένων τὴν αἴσθησιν ἔχομεν. Τὰ μὲν γὰρ καθόλου ἴσως που καὶ ἐννοεῖν· τὰ δὲ καθ' ἕκαστον, πάντως ἀδύνατον. Οὐκ ἔστι οὖν μνήμη τοῖς πρώτοις, καὶ τοῖς ἐσχάτοις γενησομένοις. Ἄλλως, Οἱ ἐν ἀρετῇ ζήσαντες, καὶ βασιλείας οὐρανῶν ἀξιούμενοι, ὅταν ἐκεῖ γένωνται, οὐκ

[8] I Cor. VIII, 13. [9] Deut. XV, 17.

Digitized by Google

ἐπαισθητικῶς μνήμην λαμβάνουσι τῶν ἐν τῷδε τῷ βίῳ ἐπιπόνων· ἀλλ' οὐδὲ ἐπαισθάνονται αἰσθητικῶς τῶν κολαζομένων τὴν κόλασιν· οὐκ ἔσται οὖν αὐτοῖς μνήμη μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην, τουτέστι τῶν τότε κολαζομένων· οὐχ ὅτι λήθη κρατοῦνται αἱ ψυχαὶ, ἀλλ' ὅτι, παρούσης τῆς ἀπολαύσεως ἀμνηστία γίνεται, κατὰ τὸ εἰρημένον, *Ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνηστία κακῶν.*

A Qui officiose vixerunt in hoc mundo, mox cœlestis regni præmium consecuti non habent in sensu memoriam laborum quos in præsenti vita pertulerunt; sed neque sensu animoque percipiunt damnatorum pœnam: non erit itaque ipsis memoria cum illis qui futuri sunt in novissimis; hoc est eorum qui tunc punientur: non quod ulla oblivio animas occupatura sit, sed quia ex præsenti voluptate, dolorum memoria cessabit, juxta quod scriptum est: *In die bonorum, oblivio est malorum*[10].

« Ἐγὼ Ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς Ἰσραὴλ ἐν Ἰερουσαλήμ. » Ἐπειδὴ παραινεῖται αἰσθητῶν καταφρονεῖν πραγμάτων, εὐπαράδεκτος δὲ σύμβουλος, ὃς κτησάμενος καὶ ὑπερφρονήσας, τέθεικε ἑαυτοῦ τὸ ἀξίωμα, ἵνα μετὰ προσοχῆς τῶν λεγομένων ἀκούωμεν.

Vers. 12. « Ego Ecclesiastes fui rex Israel in Jerusalem. » Quia nos adhortatur sensibilia cuncta despicere, facilius autem consilio illius creditur qui ea contemnenda proponat quæ ipse possederit ac expertus fuerit, ideo suam nobis exposuit dignitatem, ut cum attentione verba ejus accipiamus.

B

« Καὶ ἔδωκα τὴν καρδίαν μου, τοῦ ἐκζητῆσαι, καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γενομένων ὑπὸ τὸν ἥλιον. » Καὶ θεοδώρητον, φησὶν, ἐσχηκὼς σοφίαν, ὅλον μου τὸν νοῦν εἰς τὴν ἐπίσκεψιν δέδωκα τῶν ὑπὸ τὸν ἥλιον πραγμάτων. Καὶ σημειοῦ ὅτι ὁ Ἐκκλησιαστὴς οὐ τὰ ὑπὲρ τὸν οὐρανὸν ἀνέφικτα κατασκέπτεται, ἀλλὰ τὰ ὑπὸ τὸν ἥλιον. Οὐκ ἀνθρωπίναις οὖν, φησὶν, ἐννοίαις περιεσκεψάμην, ἀλλὰ τῇ δωρηθείσῃ μοὶ θεόθεν σοφίᾳ χρώμενος.

Vers. 13. « Et dedi cor meum ad quærendum, et speculandum in sapientia de omnibus quæ sunt sub sole. » Et cum Dei munere sapientiam accepissem, totam meam mentem dedi in considerationem rerum quæ sunt sub sole. Adverte autem quod Ecclesiastes non contemplatur inaccessibilia quæ sunt super cœlum, sed quæ sub sole sunt. Inquit igitur: Non humana intelligentia speculatus sum, sed utens sapientia quæ mihi dono Dei tradita fuit.

« Ὅτι περισπασμὸν πόνηρον ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν αὐτῷ. » Υἱοὺς ἀνθρώπων τοὺς περὶ τὰ μάταια κεχηνότας φησὶ, κατὰ τὸ ἐν ψαλμῷ, *Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;* [*πόνηρον* δὲ προπαροξυτόνως ἀνάγνωθι.] Ἐθεώρησα οὖν διὰ τῆς σοφίας, ὅτι ἐπίπονον περισπασμὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων· τὸ γὰρ, ἵνα τις πλουτίσῃ, ἢ δόξαν κτήσηται διάκενον, ἢ γαστρὶ χαρίσηται, πάντα κάματον ὑπομείνειν χρησίμως δέδοται τοῖς ἀνθρώποις. Εἰ γὰρ ἵνα τὰ μάταια καὶ παρερχόμενα κτησώμεθα, πονοῦμεν, ποῦ ἂν κακίας οὐκ ἠλαύνομεν, εἰ ἀκαμάτως ταῦτα ἡμῖν προσεγίνετο; Χρησίμως οὖν δέδοται τοῖς ἀνθρώποις ὁ ἐπίπονος περισπασμός. Εἰ δὲ καὶ ἀρετὴ μετὰ πόνων κατορθοῦται, καὶ τοῦτο χρήσιμον. Εἰ γὰρ δεῖ πονεῖν περί τε τὸ φαῦλον, καὶ τὸ ἀγαθόν· ἐκδέχεται δὲ τὸ μὲν φαῦλον κόλασις, τὸ δὲ ἀγαθὸν ἄῤῥητος ἀπόλαυσις· ἀσυγκρίτως προκριτέος ὁ περὶ τὸ καλὸν πόνος. Ἄλλως τε, ὁ ἐνάρετος οὐδὲ πολλὰ περισπᾶται, κατὰ τὸ εἰρημένον, *Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά· ὀλίγων δέ ἐστι χρεία, ἢ ἑνός·* λέγει δὲ, τῶν ἐντολῶν, ἢ τῆς πασῶν συνεκτικῆς ἀγάπης. Καθόλου τοίνυν χρησίμως δέδοται τοῖς ἀνθρώποις ὁ ἐπίπονος περισπασμός.

C Qui enim laboriosam distentionem dedit Deus filiis hominum, ut occuparentur in ea. » Filios hominum vocat, qui ad hæc terrena et vana hiant attoniti, juxta illud quod in psalmo legitur: *Filii hominum, usquequo gravi corde*[11]? Vide igitur in sapientia quod laboriosam occupationem dedit Deus filiis hominum; ad magnum enim illorum utilitatem factum est, quod in comparandis divitiis et in acquirenda inani gloria, ac etiam in iis quæ ventri ac gulæ gratificantur, summopere laborandum sit. Si enim labores et angustias tantas subimus ac patimur ut possideamus quæ vana sunt, quonam flagitii ac sceleris progrederemur, si hæc ipsa otiosis nobis ultro advenirent? Utiliter igitur data est hominibus hæc difficilis distentio vel occupatio. Si autem et ipsa virtus cum labore perficitur, et hoc item homini pertutile est. **609** Si enim quoquo te vertas, et circa bonum et circa malum laborare oportet: consequitur vero malum punitio, bonum autem fruitio voluptasque ineffabilis: sine ulla comparatione præoptandus est labor et occupatio circa bonum. Præsertim vero officiosus vir qui vere vacat virtuti, circa multa occupari non debet, juxta illud Evangelii dictum: *Martha, Martha, sollicita es et turbaris erga plurima:* paucis vero est opus, ac *unum est necessarium*[12]; quo loco intelligit de præceptis, aut de charitate, præcepta omnia continente. Utiliter itaque data est hominibus laboriosa atque difficilis occupatio.

D

« Εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. » Ὅσα, φησὶν, ποιοῦσιν οἱ ἄνθρωποι, οὐ τῶν ὑπὲρ τὸν ἥλιον χάριν, τουτέστι τῶν οὐρανίων ἀγαθῶν ἕνεκα, ἀλλὰ τῶν ὑπὸ τὸν

Vers. 14. « Vidi quæ fiunt cuncta sub sole, et ecce omnia vanitas et electio spiritus. » Quæcunque, inquit, faciunt homines, non quæ operantur eorum bonorum gratia quæ sunt super solem, atque cœlestium, sed eorum gratia quæ sunt sub sole corrupti-

[10] Eccli. xi, 27. [11] Psal. iv, 3. [12] Luc. x, 42.

Digitized by Google

bilium ac terrestrium, omnia vidi quod vanitas sunt : præter hoc enim quod elabuntur ac evanescunt, etiam disponunt se homines ad supplicia post præsentem vitam futura : quandoquidem nulla coacti necessitate hæc faciunt : sed prævia electione certoque consilio. Spiritum vero, hoc loco, animam intelligit rationalem quæ liberi arbitrii potestate decorata est.

A ἡλιον, τῶν γηΐνων καὶ φθαρτῶν, πάντα εἶδον ὅτι εἰσὶ ματαιότης· πρὸς γὰρ τῷ παρατρέχειν, καὶ τὴν μὲν ταῦτα κόλασιν παρασκευάζουσι, διότι προαιρετικῶς ταῦτα πράττουσι, καὶ οὐκ ἀναγκαστικῶς. Πνεῦμα δὲ ἐνταῦθα τὴν ψυχὴν καλεῖ, τὴν λογικὴν, τὴν καὶ τῷ αὐτεξουσίῳ τετιμημένην.

Vers. 15. « Quod depravatum est, adornari non poterit : neque quod deficit poterit, annumerari. » Si ex persona Ecclesiastæ verba hæc accipis, ita intellige : Qui prave obligatus est et in vitium cecidit, dum in perversitate sua perdurat, virtutem resumere non poterit ; si autem a vitio recedat, tunc virtutem resumit, juxta illud : *Declina a malo, et fac bonum* [13]. Sed neque is cui deficit gratia Dei, donec B est in hoc defectu pœnitentiamque non subit, potest inter pios annumerari. Aliter : Fuerunt nonnulli qui dicerent casu fortuito mundum factum esse, ac imperfectum exsistere, ad quos Salomon se convertit, dicens : Quidnam deprehenditur in hoc mundo quod imperfectum sit atque perversum, vel ita ut emendari illud oporteat? Quid vero etiam deficit in universo mundo, ut addendum annumerandumque sit? Quod si verba hæc accipis ex illorum persona qui perpendunt naturam hominum, et qui dicunt quosdam esse ita natura perversos ut emendari non possint, in multis redarguimus eorum stultam opinionem. Nullus enim natura est malus. Igitur et Matthæus de teloneo ad evangelistæ dignitatem vocatus est. Sed et plurima in hoc mundo quæ ignaris videntur noxia et mala, ut serpentes, ut leones, et his similia, hominibus conducunt ad salutaria pharmaca, et ut convertantur prudentioresque fiant animalium illorum exemplo et comparatione, cum dici sibi audiunt : *Vade ad formicam, o piger* [14]; necnon ut verecundia afficiantur, cum comparari illis se sentiunt, ut, *Comparatus est jumentis insipientibus* [15]. Nihil est itaque in hoc mundo malum, sed omnia commoda et utilia : *Vidit enim Deus* (inquit Scriptura), *omnia quæcunque fecerat, et erant valde bona* [16]. **610** Ne igitur dicatis, o stulti : Quod pravum est concinnari non poterit, nec quod deest, annumerari.

« Διεστραμμένον οὐ δυνήσεταί που κοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται τοῦ ἀριθμηθῆναι. » Εἰ μὲν ἐκ προσώπου τοῦ σοφοῦ ὁ λόγος, οὕτω νοήσεις· Ὁ διεστραμμένος καὶ εἰς κακίαν πεσὼν, ἐν ὅσῳ ἐστὶν ἐν τῇ κακίᾳ, ἀρετὴν ἀναλαβεῖν οὐ δύναται· εἰ δὲ ταύτης ἀποστῇ, τότε λαμβάνει τὴν ἀρετὴν, κατὰ τὸ, *Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν*. Ἀλλ' οὐδὲ ὁ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ ὑστερούμενος, ἕως ἐστὶν ἐν τῷ ὑστερήματι, καὶ οὐ μετανοεῖ, δύναται ἐν τοῖς θεοσεβέσιν ἀριθμεῖσθαι. Ἄλλως· Γεγόνασί τινες οἳ αὐτομάτως τὸν κόσμον ἔφασαν γενέσθαι, καὶ ἀτελῆ τυγχάνειν· πρὸς οὓς ἐρεῖ ὁ σοφὸς, Τί ὁρᾶται ἀτελὲς ἐν τῷ κόσμῳ, ἢ διεστραμμένον, ἵνα καὶ ἐπικοσμηθῇ; Τί δὲ ὑστερεῖ τοῦ παντὸς, ἵνα καὶ προστεθῇ καὶ ἐπαριθμηθῇ; εἰ δὲ ἐκ προσώπου τῶν τὰς φύσεις ἡγουμένων ὁ λόγος, τῶν λεγόντων ὅτι εἰσί τινες φύσει κακοὶ, μὴ δυνάμενοι ἐπικοσμηθῆναι· ἐλέγχομεν αὐτῶν διὰ πλειόνων τὸν λόγον. Οὐδεὶς γὰρ φύσει κακός. Διὸ καὶ Ματθαῖος ἐκ τελώνου εἰς εὐαγγελιστὴν ἐκλήθη. Ἀλλὰ καὶ τὰ δοκοῦντα ἐν κόσμῳ εἶναι κακὰ, οἷον ὄφεις, καὶ λέοντες, καὶ τὰ παραπλήσια, εἰς σωτηριώδη φάρμακα τοῖς ἀνθρώποις C χρησιμεύουσι· καὶ εἰς τὸ ἐντρέπεσθαι τὸν ἄνθρωπον τῇ αὐτῶν παραθέσει, ὅταν ἀκούῃ, *Ἴδι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ*· καὶ αἰσχύνεσθαι, ὅταν αὐτοῖς παραβάλληται, ἀκούων, *Παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις*. Οὐδὲν οὖν ἐν κόσμῳ κακὸν, ἀλλὰ πάντα λυσιτελῆ καὶ χρήσιμα. *Εἶδεν* γὰρ, φησὶν, *ὁ Θεὸς, πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν*. Μὴ λέγετε οὖν, ὦ οὗτοι, ὅτι διεστραμμένον οὐ δυνήσεται τοῦ κοσμηθῆναι, καὶ ὑστέρημα τοῦ ἀριθμηθῆναι.

Vers. 16-18. « Locutus sum in corde meo dicens : Ecce magnus effectus sum, et apposui sapientiam super omnes qui fuerunt ante me in Jerusalem, et cor meum vidit multam sapientiam et cognitionem, parabolas et scientiam. Cognovi ego quod et hoc electio spiritus, quoniam in multitudine sapientiæ multitudo cognitionis ; et qui addit cognitionem, addit dolorem. » Loqui aliquis dicitur in corde suo cum mentem ad cogitandum applicans, secum disputat et ratiocinatur. Collegi itaque, inquit, et subducta ratione apposuisse me vidi sapientiam super omnes qui me præcesserant natu. *Apposui* autem, significat, profectu magno auctam in eo fuisse sapientiam. Sapientia vero est cognitio divinarum humanarumque rerum et causarum quæ ad easdem

« Ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου, τῷ λέγειν· Ἰδοὺ ἐγὼ ἐμεγαλύνθην, καὶ προστέθηκα σοφίαν ἐπὶ πᾶσιν οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλὴμ, καὶ καρδία μου εἶδε πολλὴν σοφίαν, καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμας. Ἔγνων ἐγὼ ὅτι καί γε τοῦτο προαίρεσις πνεύματος, ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα. » Λαλεῖ τις ἐν καρδίᾳ ἑαυτοῦ, ὅτε τῷ νῷ πρὸς τὴν νόησιν χρώμενος, ἑαυτῷ διαλέγεται. Ἐλογισάμην οὖν, φησὶν, ὅτι σοφίαν προσέθηκα ὑπὲρ τοὺς ἔμπροσθέν μου. Τὸ δὲ, *προσέθηκα* κατὰ προκοπὴν δείκνυσιν ἐν ἑαυτῷ τὴν σοφίαν ἐπαύξεσθαι. Σοφία δέ ἐστι γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτιῶν· γνῶσις δέ ἐστι θεωρία τῆς φύσεως τῶν ὄντων. Καὶ οἱ μὲν ἔχοντες γνῶσιν, ἑαυ-

[13] Psal. xxxvi, 27. [14] Prov. vi, 6. [15] Psal. xlviii, 13. [16] Gen. i, 31.

Digitized by Google

τοὺς παιδεύουσι, τῆς ἀγνοίας ἐλευθερωθέντες· οἱ δὲ λαβόντες τὸν λόγον σοφίας, λόγους ἀληθείας καὶ ἑτέρους διδάσκουσι. Τὴν δὲ σοφίαν καὶ τὴν γνῶσιν οὐκ ἔτι εἶπε ματαιότητα, ἀλλὰ προαίρεσιν πνεύματος, διδάσκων ὅτι οὐ κατά τινα εἱμαρμένην οἱ σοφοὶ γίνονται σοφοί, ἀλλὰ σοφίαν ἐπιθυμήσαντες, καὶ πονήσαντες, καὶ αἰτήσαντες παρὰ Θεοῦ, καὶ λαβόντες. Ἐὰν δέ τις, φησὶ, πλείονος γνώσεως ἐρᾷ, προστιθέτω καὶ τοὺς κατὰ ἀρετὴν πόνους. Ἢ καὶ οὕτως, ὁ ἐν γνώσει ἁμαρτάνων, μειζόνως κολάζεται· διὸ *ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα.* Ὡς περιλυπτικωτέρας δὲ οὔσης τῆς σοφίας τῆς γνώσεως, εἶπε ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως.

A res pertinent : cognitio vero est speculatio de natura rerum. Et qui hac quidem præditi sunt cognitione, seipsos erudiunt, atque ab ignoratione vendicant; qui vero sermones sapientiæ discunt, alios quoque homines veritatem subinde edocent. Sapientiam vero et cognitionem non jam vanitatem esse dixit, sed spiritus electionem, monens nos nequaquam fati beneficio nasci aut fieri homines sapientes, sed sapientiæ desiderio ac labore, petitamque a Domino Deo sapientiam consequentes. Quod si quis adhuc scientiæ plus habere desiderat, addat, inquit, et studiosos labores. At etiam sic intellige : Qui adeptus scientiam cognitionemque, delinquit, longe amplius puniendus est : ideo *qui addit cognitionem, addit et dolorem.* Cum autem sapientia sit amplior quam ipsa cognitio, sive scientia, merito inquit in multitudine sapientiæ contineri multam cognitionem.

ΚΕΦΑΛ. Β'.

« Εἶπον ἐγὼ ἐν καρδίᾳ μου, Δεῦρο δὴ, πειράσω σὲ ἐν εὐφροσύνῃ, καὶ ἐν ἀγαθοῖς· καὶ ἰδοὺ καί γε τοῦτο ματαιότης. Τῷ γέλωτι εἶπον περιφορὰν, καὶ τῇ εὐφροσύνῃ, Τί τοῦτο ποιεῖς; » Τὴν κοσμικὴν, φησὶ, χαρὰν ἀναλογιζόμενος κατεσκεψάμην, εἰ ἀγαθόν τι ἔχει· καὶ εἶδον ὅτι καὶ αὐτὸ τὸ χαίρειν διὰ πλούτου, τυχὸν περιουσίαν, ἢ δόξαν, ἤ τι τῶν ἐν τῷ κόσμῳ, ματαιότης ἐστί· ἀμέλει, εἶπον τῇ τοιαύτῃ χαρᾷ (γέλωτα γὰρ τὴν χαρὰν φησι) καὶ τῇ τοιαύτῃ εὐφροσύνῃ, Περιφέρου, καὶ ἀπόστα ἀπ' ἐμοῦ, τί τοῦτο ποιεῖς; ἀντὶ τοῦ, Τί παρασκευάζεις με ἐπὶ τοῖς τοιούτοις χαίρειν; Καὶ γὰρ ματαιότης ἐστὶ, καὶ οὐδὲν ἕτερον ἡ διὰ τῶν τοιούτων ἐγγινομένη ἡδονή.

« Καὶ κατεσκεψάμην εἰ ἡ καρδία μου ἑλκύσει ὡς οἶνον τὴν σάρκα μου. » Τὸ πόμα ὑπὸ τοῦ πίνοντος καταποθὲν ἀφανές. Ἐλογισάμην οὖν, φησὶν, εἰ ἐν ταῖς ἀνθρωπίναις εὐημερίαις καὶ ἀπολαύσεσι δύναται ὁ νοῦς οὕτως ἀνδρεῖος εἶναι, ὡς ἐξαφανίζειν οἷά τινα οἶνον καταποθέντα, τὴν σαρκικὴν ἐπιθυμίαν.

« Καὶ καρδία μου ᾡδήγησεν ἐν σοφίᾳ, καὶ τοῦ κρατῆσαι ἐπὶ εὐφροσύνῃ, ἕως οὗ εἰδῶ ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὃ ποιήσουσιν ὑπὸ τὸν ἥλιον, ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν. » Ὁ Σολομὼν σοφίαν δεξάμενος παρὰ Θεοῦ, καὶ χύσιν καρδίας, ὡς τὴν ψάμμον τῆς θαλάσσης, ὀξυδερκέστατος γέγονε τὴν διάνοιαν· ἠδύνατο μὲν γὰρ θείων ἅπτεσθαι λόγων, καὶ μεγάλα λαλεῖν μυστήρια, ὅπερ δὴ καὶ ποιῶν φαίνεται. Ἠδύνατο δὲ καὶ τῇ τῆς νοήσεως ὀξύτητι, περὶ πάντα ἃ ἐβούλετο, δεξιῶς τῇ νοήσει χρήσασθαι· ὥσπερ γάρ τις ὠραίους ἔχων ὀφθαλμοὺς τῇ αὐτῇ τῶν ὀφθαλμῶν ἐνεργείᾳ, ποτὲ μὲν εἰς δέον κέχρηται, ποτὲ δὲ ἀκολάστως ὁρᾷ, οὐ τῆς ἐνεργείας τῶν ὀφθαλμῶν αἰτίας οὔσης, ἀλλὰ τῆς κατὰ ψυχὴν διαθέσεως· οὕτω καὶ ὁ λαμπρυνθεὶς ὑπὸ Θεοῦ τὴν διάνοιαν, εἰ μὲν εἰς δέον χρήσοιτο τῷ δώρῳ, θεῖα πράγματα περιαθρεῖ· εἰ δὲ καθελκυσθῇ περὶ τὰ γήϊνα, ἀμαυροῖ περὶ τὴν δωρεάν· πλὴν εὐφυῶς καὶ περὶ ταῦτα ἐπιβάλλεται. Οὐ γὰρ ἡ ὀξύτης τοῦ νοῦ, ἀλλ' ἡ διάθεσις τῆς ψυχῆς, ἡ καὶ ἐπαινετῶς ἢ ψεκτῶς κεχρημένη τῷ δώρῳ, ἐπαινεῖται ἢ ψέγεται. Δέδωκα

B

CAPUT II.

Vers. 1, 2. « Dixi ego in corde meo : Age jam, periculum faciam in lætitia et in bonis ; et ecce hoc quoque vanitas. Risui dixi circuitum, et dixi lætitiæ : Quid ita hoc facis? » Mundana, inquit, mecum gaudia reputans, inspexi num quid haberent boni : et vidi demum quod lætari vel ob affluentiam divitiarum vel propter gloriam, aut aliquid eorum quæ in mundo sunt, mera est vanitas. Dixi autem hujusmodi lætitiæ (risum enim hic, lætitiam intelligit), dixique hujusmodi gaudio : Circumvagare a me longius et absiste. Quid ita hoc facis? hoc est, Quid me allicis ut hujusmodi rebus gaudeam? Etenim vanitas mera est, ac nihil penitus aliud, istis de rebus lætitia et voluptas.

C Vers. 3. « Et consideravi si cor meum traheret ut vinum carnem meam. » Poculum quod bibentes haurimus, a conspectu nostro tollitur et evanescit. Consideravi itaque num in prosperitatibus mundanis voluptatibusque humana mens esse possit ita virilis ac fortis, **611** ut absumere ac delere valeat quasi epotum vinum concupiscentias carnis.

« Et cor meum præcessit in sapientia ut obtinerem in lætitia, donec viderem quale bonum filiis hominum quod facient sub sole in numero dierum vitæ ipsorum. » Ecclesiastes noster cum a Deo sapientiam accepisset vimque prudentiæ, sicut arenam maris, acutissima mentis acie præditus ; poterat enim divinos tractare sermones ac magna D loqui mysteria : quod ipsum sane cernitur pulchre efficere. Poterat autem et ingenii acumine, ad quæcunque libuisset commode uti. Sicut enim aliquis acuto præditus visu, eadem oculorum vi modo ad honesta et necessaria utitur, modo et lascive abutitur, nulla quidem oculorum culpa et causa, sed affectu et intentione peccante, ita et is, cui Deus mentem sapientia exornavit, si quidem ut decet dono Dei utatur, res divinas commode contemplatur : sin vero ad terrena deprimatur, elanguescit ac Dei donum obscurat : optime tamen ac perspicacissime terrena quoque percipit, ac intellectu consequitur. Neque vero mentis acies, sed animi intentio prout bene vel male Dei dono utitur,

Digitized by Google

digna laude vel vituperatione censetur. Dedi igitur, inquit, cor meum (hoc est, mentem meam), et reputavi qualenam bonum esset in hominibus, et quidnam operari possunt dum in hoc mundo sunt, ex quo perpetuam in hac vita lætitiam voluptatemque consequantur. Qualia itaque sunt humana facinora contemplatus, et rationali quadam sapientia usus, dedit seipsum ad ea peragenda quæ subinde enumerat.

A οὖν, ἔφη, τὴν καρδίαν μου, τουτέστι τὸν νοῦν μου, καὶ ἐλογισάμην ποῖον ἄρα εἴη τὸ ἐν ἀνθρώποις ἀγαθὸν, καὶ τί ποιοῦντες οἱ ἐν κόσμῳ, δύνανται δι' ὅλης τῆς ἑαυτῶν ζωῆς ἐν ἡδονῇ εἶναι, καὶ εὐφροσύνῃ. Οἷα τοίνυν ἀνθρώπινα λογισάμενος, καὶ ψυχικῇ τινι τῇ σοφίᾳ χρώμενος, ἐπιδέδωκε ἑαυτὸν εἰς τὸ ποιῆσαι ἃ ἑξῆς καταλέγει.

. . . . . .

. . . . . .

Vers. 4-6. « Magnificavi opus meum, ædificavi mihi domos, plantavi mihi vineas, feci mihi hortos et paradisos, et plantavi in eis lignum omnis fructus. Feci mihi piscinas aquarum ut rigarem ab eis silvam producentem ligna (2). » *Magnificavi*, inquit, *factum meum :* non opus Dei, sed meum ipsius ; operibus enim Dei nullus quidquam potest adjicere. *Ædificavi mihi domos ;* in Hebraico suo sermone commodam dictionem nactus, propriè ac perargute locutus est. *Ædificavi mihi domum. Plantavi mihi vineas.* Regia potestate usus, divitiarumque copia, circa omne possessionum genus effusus est. *Feci mihi hortos et pomaria.* Hortus est oleribus consitus, pomarium vero variis plantis atque arboribus, ideoque additur : *Et plantavi in ipsis lignum fructiferum. Feci mihi piscinas aquarum, ut ex ipsis irrigarem silvam germinantem ligna.* Splendide ac sumptuose pomaria concinnavit, procerasque arbores quæ sponte quodammodo sua in montibus enascuntur : ut palmas, salices, quercus ac piceas in pomariis suis consevit : ideoque meminit silvæ studio comparatæ : in qua irriganda, magna aquarum copia opus erat.

Ἐμεγάλυνα πολημά μου, οὐ τὸ τοῦ Θεοῦ ποίημα, ἀλλὰ τὸ ἐμαυτοῦ. Οὐδεὶς γὰρ τοῖς θείοις ποιήμασι προσθεῖναί τι δύναται. Ὠκοδόμησά μοι οἴκους. Ἰδίωμα εὑρὼν ἐν διαλέκτῳ, τὸ Ὠκοδόμησά μοι, B καὶ τὸ Ἐποίησά μοι, κέχρηται αὐτῷ ἐν τῇ τῆς λέξεως ἀπαγγελίᾳ. Ἐφύτευσά μοι ἀμπελῶνας. Ἐξουσίᾳ βασιλικῇ χρώμενος, καὶ πλούτου περιουσίᾳ, διὰ παντὸς εἴδους κτημάτων ἦρχετο. Ἐποίησά μοι κήπους καὶ παραδείσους. Κῆπος κυρίως ὁ λάχανα φέρων λέγεται· παράδεισος δὲ, ὁ δένδροις διαφόροις καταπεφυτευμένος. Διό φησιν, Καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πάγκαρπον. Ἐποίησά μοι κολυμβήθρας ὑδάτων, τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶντα ξύλα. Φιλοτίμως τοὺς παραδείσους ἀπεργαζόμενος, τὰ ὑψίκομα φυτὰ, ἅπερ ἡ γῆ τοῖς δρεσιν αὐτομάτως τρέφει, οἷον ἐλάτας, ἢ ἰτέας, ἢ δρῦς, ἢ πεύκας, ταῦτα τοῖς παραδείσοις περιεφύτευε. Διὸ καὶ δρυμοῦ μέμνηται χειροποιήτου, C ἐφ' ᾧ καὶ πλείστων ὑδάτων ἐδεῖτο

Vers. 7. « Possedi servos et ancillas, et vernæ nati sunt mihi. » **612** Cum enim vernæ minus sufficerent in familiari ac domestico ministerio, venalitios quoque sibi servos comparavit.

« Ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι. » Ὡς γὰρ οὐκ ἀρκούντων τῶν οἰκογενῶν εἰς τὴν τῶν κτισμάτων αὐτοῦ ὑπηρεσίαν, ἀναγκαίως καὶ ἀργυρωνήτους οἰκέτας ἐκτήσατο.

« Possedi quoque armenta et greges super omnes qui fuerunt ante me in Jerusalem. » Superavi, inquit, omnes ante me reges in armentis et gregibus, vel in reliquis omnibus quæ superius enumeravit : potest enim ad illa quoque accommodari.

« Καί γε κτῆσις βουκολίου καὶ ποιμνίου ἐγένετό μοι πολλὴ ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ. » Ὑπερηκόντισα, φησὶ, πάντας τοὺς πρὸ ἐμοῦ βασιλεῖς ἐν ποιμνίοις καὶ βουκολίοις, ἢ καὶ ἐν πᾶσι τοῖς προειρημένοις· ἑκάτερος γὰρ δύναται νοεῖσθαι.

Vers. 8. « Congregavi mihi aurum et argentum. » Quia multi stabilem quidem possessionem habere solent, repositis tamen pecuniis destituti sunt : addit, et harum quoque fuisse copiam.

« Συνήγαγόν μοι καί γε ἀργύριον, καί γε χρυσίον. » Ὡς πολλῶν κτῆσιν μὲν ἐχόντων, ἀπόθετα D δὲ οὐκ ἐχόντων χρήματα, προστέθηκεν καὶ τὴν τούτων εὐπορίαν.

« Et regum substantiam et regionum. » Sed et regiones, inquit, et reges habui stipendiarios ac tributa mihi solventes ; et fructiferas regiones, hoc est, agros : regiones enim in sacra Scriptura, fertiles agri intelliguntur. Juxta quod in Evangelio legitur : *Levate oculos vestros, et videte regiones, quoniam albæ sunt ad messem* [17]. Et hinc quoque, inquit, magnam habui rerum copiam.

« Καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν. » Ἀλλὰ καὶ βασιλεῖς, φησὶν, ὑποφόρους ἔσχον, καὶ χώρας γεννήματα ποιούσας· αἱ γὰρ χῶραι ἐν τῇ Γραφῇ, αἱ καρποφόροι ὠνομάσθησαν, κατὰ τὸ ἐν Εὐαγγελίοις· Ἄρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμόν. Καὶ ἐντεῦθεν οὖν, φησὶ, πολλὴν ἔσχον τὴν εὐπορίαν.

« Feci mihi cantores et cantatrices in deliciis filii hominis. » Sed neque posthabui, inquit, ac neglexi

« Ἐποίησά μοι ᾄδοντας, καὶ ᾀδούσας, ἐν τρυφήματι υἱοῦ τοῦ ἀνθρώπου. » Ἀλλ' οὐδὲ τοῦ θέλγειν,

[17] Joan. IV, 35.

(2) Hic vers. non præmitt. in textu Græco. EDIT.

Digitized by Google

φησὶ, διὰ τῶν ᾀσμάτων τὴν ἀκοὴν ἡμέλησα· ἐντρυφῶσι γὰρ καὶ διὰ τούτων οὐχ υἱοὶ τοῦ Θεοῦ, ἀλλ' υἱοὶ τοῦ ἀνθρώπου. A

Οἰνοχόους, καὶ οἰνοχόας. « Ἢ ἵνα διὰ τῆς τῶν προπινόντων ἐξαλλαγῆς τὴν ὄρεξιν ὑπερερεθίσῃ, ἢ καὶ ὡς σφόδρα ἁβρὸς, καὶ φιλογύναιο διαγράψων πρόσωπον.

« Καὶ ἐμεγαλύνθην, καὶ προστέθηκα παρὰ πάντας οἱ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ· καὶ γε σοφία ἐστάθη μοι. » Οὕτως δὲ, φησὶν, ὑψωθεὶς, οὐδὲ περὶ ὧν ἐβουλευσάμην, καὶ ἐσοφισάμην, ἠστόχησα.

« Καὶ πᾶν ὃ ᾔτησαν ὀφθαλμοί μου, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν· οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης. » Ὥστε, φησὶν, πᾶσαν τῶν ὀφθαλμῶν τὴν ἐπιθυμίαν, καὶ τῆς ψυχῆς τὴν ὄρεξιν τὴν περὶ τὴν ἡδονὴν, ἣν δὴ καὶ εὐφροσύνην καλεῖ, εἰς πέρας ἤγαγον. B

« Ὅτι καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου. » Παρὰ τῶν προειρημένων, φησὶ, μόχθων ταύτην εὕρισκον μερίδα καὶ κλῆρον, τὸ τῆς ἐξ αὐτῶν ἐπιτυγχάνειν ἀπολαύσεως.

« Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι τοῖς ποιήμασί μου, οἷς ἐποίησαν αἱ χεῖρές μου· καὶ ἐν μόχθῳ ᾧ ἐμόχθησα τοῦ ποιεῖν· καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. » Ταῦτα, φησὶ, πάντα καταπραξάμενος· διὰ τῶν δραστικῶν μου καὶ ποιητικῶν δυνάμεων, εὗρον ὅτι πάντα ἀνθρώπινα ἐπιτηδεύματα ματαιότης εἰσὶ, καὶ οὐδὲν περισσόν ἐστι τοῖς περὶ τὰ βλεπόμενα καὶ ὑπὸ τὸν ἥλιον ὄντα ἐνταλαιπωροῦσι, διὰ τὸ πάντας τὸν κοινὸν ὑφίστασθαι θάνατον, πλουσίους τε ἅμα καὶ πένητας. Οἱ γὰρ διὰ τὰ ὑπὲρ τὸν ἥλιον πονοῦντες, καὶ ὑπερπηδήσαντες τὰ ὁρώμενα, ἔχουσί τι περισσὸν, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, φήσαντος· *Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν*· οἷον δὴ τοῦτο, ἐκτὸς γενέσθαι κολάσεως, καὶ ἐν ἀπολαύσει τῶν ἐπηγγελμένων ἀγαθῶν. Σημείωσαι δὲ πάλιν, ὅτι τὸ σπουδάζειν περὶ τὰ μάταια, καὶ ἡδοναῖς σχολάζειν, οὐ φορᾶς ἀλόγου τύχης, οὐδὲ εἱμαρμένης ἀνάγκη, ἀλλὰ τῆς ἡμῶν προαιρέσεως, καὶ τοῦ ἐν ἡμῖν αὐτεξουσίου κινήματα τυγχάνουσι. C

« Καὶ ἐπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν, καὶ περιφορὰν, καὶ ἀφροσύνην, ὅτι τίς ἄνθρωπος, ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς, ὅσα ἐποίησεν αὕτη; » Γυμνώσας τὸ τοῦ πολυκτήμονος καὶ περὶ τὰ γήϊνα στρεφομένου πρόσωπον, ἐπιστρέφει ἐπὶ τὴν σοφίαν, καὶ δοκιμάζει παράλληλα θεὶς τήν τε σοφίαν καὶ τὴν ἀφροσύνην, ἣν δὴ καὶ περιφορὰν καλεῖ, ἢ διὰ ὃ συμπεριφέρεσθαι παντὶ ἀνέμῳ· ἢ παραφορὰν ἵνα οὖσαν, τουτέστι μανίαν. Καί φησιν, Ζητήσωμεν εἰ ὅλως δύναται ὁ αἱρούμενος τὴν ἀφροσύνην, πληρῶσαι τὰ θελήματα ἑαυτοῦ· τοῦτο γὰρ σημαίνει τὸ, *ἐπελεύσεται ὀπίσω τῆς βουλῆς*. Εἶτα εὑρίσκει ὅτι σπανίως τις ἐπιτυγχάνει τούτου. Διὸ τέθηκε τὸ, *Τίς* D

demulcere cantibus aures meas : delectantur enim hujusmodi cantibus, non filii quidem Dei, sed filii hominum.

« Propinatores et propinatrices. » Vel ut ex vario propinantium aspectu ac alternata mutatione, appetitum sibi ad pocula provocaret ; vel tanquam valde mollis exsistens, ac mulierosi hominis ingenium exprimens.

Vers. 9. « Et magnificatus sum, et apposui super omnes qui fuerunt ante me in Jerusalem. Sapientia quoque stabilis mihi fuit. » Adeo vero, inquit, exaltatus, in nullo unquam consilio rationeque aberravi.

Vers. 10. « Et omne quod appetiverunt oculi mei, non abstuli illis ; neque prohibui cor meum ab omni lætitia. » Inquit igitur : Omnem oculi concupiscentiam et animæ appetitum circa voluptatem (quam et lætitiam vocat) ad exsecutionem perduxi.

« Quoniam cor meum lætatum est in omni labore meo. » Cunctis, inquit, studio ac electione susceptis laboribus, hanc cepi portionem ac sortem, quod illorum fruitionem consecutus sum, composque votorum factus sum.

Vers. 11. « Et inspexi ego omnia opera mea quæ fecerunt manus meæ, et laborem quem laboravi ut facerem, et ecce omnia vanitas, et electio spiritus. » Hæc, inquit, omnia operatus, per activas factivasque facultates, inveni quod cuncta humana studia vanitas sunt, nihilque amplius lucro apponitur illis qui laborant circa omnia quæ videntur sub sole, eo quod omnes æque communem subeant mortem, divites simul ac pauperes. At qui laborant ob ea quæ sunt super solem, transcendentes omnia quæ videntur, habent aliquid amplius, juxta Salvatoris sententiam, dicentis : *Ego veni ut vitam habeant, et abundantius habeant* [18], **613** quasi dicat, careant pœnis, et fruantur promissa beatitudine. Notandum quoque quod qui student circa ea quæ vana sunt et sese voluptatibus tradunt, excusare non possunt (carentis ratione) fortunæ motum, neque fati necessitatem ; humanæ siquidem actiones proficiscuntur ab electione, et ab insita nobis libera potestate.

Vers. 12. « Et inspexi ego ut viderem sapientiam et circuitum et stultitiam, quoniam quis est homo qui sequi possit consultationem quæcunque hæc operata est ? » Cum nobis spectandam proposuerit locupletis hominis personam, circaque terrenas substantias occupati, nunc nos convertit ad sapientiam, et comparatione proposita, periculum facit quid inter se differant sapientia et voluptas : quam et errorem vocat atque circuitum, vel quod ad omnem ventum circumferantur bona ista terrena quæ materiam suggerunt lætitiæ ac voluptatis ; vel, ι mutato in α, non περιφορὰν, legimus, sed *παραφορὰν* hoc est, insanam exstasin mentisque excessum. In-

[18] Joan. x, 35.

Digitized by Google

sanire enim videntur ac esse sui oblitl qui in loco miseriæ et lacrymarum, lætandum sibi esse falso existimant. Inquit igitur : Quæramus an possit homo, qui elegerit sibi secundum hanc stultitiam vivere, complere sua desideria ; hoc enim significat, *aequi possit consultationem*. Mox autem invenit homines perquam raro fieri desiderii sui compotes. Ea propter addidit : *Quis est homo?* quasi dicat, *rarus est valde*. Neque enim quicunque dilescere appetit, penitus hoc consequitur ; nec qui gloriæ cupidus est, voti prorsus efficitur compos ; et eadem ratione in cæteris sese habet. Qui vero sapientiam adamarit, Deo duce feliciter ductus, sequitur penitus consultationem, hoc est, inveniet quod affectabat. Vel aliter : Attonitus erumpit in interrogationem : Quisnam est, inquiens, homo qui possit respicere ac converti a desideriis suis, et inspicere motus electionis suæ propositumque finem, ut dijudicet iterum, sapienter vivat an stulte? Aliter, Elevatus, inquit, extra corpus, et per sapientiam videns quod post exitum hujus vitæ nemo potest redire ad vitam, et item frui eisdem rebus quas, dum viveret, certe consilio exercebat (*quis*, enim, persæpe pro *nullus* accipitur), præposui sapientiam stultitiæ.

σπάνιος. Οὔτε γὰρ ὁ θέλων πλουτῆσαι, πάντως πλουτεῖ · οὔτε ὁ δόξης ἐρῶν, πάντως ἐπιτυγχάνει · καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως · ὁ δὲ τῆς σοφίας ἐρῶν ὁδηγούμενος ὑπὸ Θεοῦ, πάντως ἐπελεύσεται ὀπίσω τῆς βουλῆς, τουτέστι, εὑρίσκει τὸ απουδαζόμενον. Ἄλλως · Ἐκπληττόμενος, φησίν, ὅτι Τίς ἄρα ἐστὶν ὁ δυνάμενος ὑποστρέφειν ἀεὶ ἐκ τῶν ἰδίων θελημάτων, καὶ ἐπισκέπτεσθαι τὴν τῆς προθέσεως ὁρμὴν, ἵνα δυνηθῇ διακρῖναι εἰ ἐν σοφίᾳ πράττει, ἢ ἄφροσύνῃ ; Ἄλλως, Ἔξω γεγονὼς, φησὶ, τῶν σωμάτων, καὶ θεωρήσας διὰ τῆς σοφίας, ὅτι μετὰ τὴν τοῦ βίου τελευτὴν οὐδεὶς δύναται ὑποστρέφειν ἐν τῷδε τῷ βίῳ, καὶ πάλιν ἐν ἀπολαύσει γίνεσθαι, ὧν κατὰ πρόθεσιν ἐν αὐτῷ εἰργάσατο (τὸ γὰρ, *τίς*, πολλάκις ἀντὶ τοῦ, *οὐδείς*, κεῖται), προέκρινα τὴν σοφίαν τῆς ἀφροσύνης.

Vers. 13. « Et vidi quod amplius esset sapientiæ supra stultitiam, sicut amplius est luci quam tenebris. » Tenebræ ipsæ per privationem lucis fiunt, ita ut lux quidem revera exsistat ; tenebræ vero nihil penitus sint. Ita, inquit, igitur est sapientia ad stultitiam : opera enim stultitiæ transeunt, perpetuam punitionem conciliantia suis cultoribus ; opera vero sapientiæ in perpetuum durant, æternaque cultores suos lætitia afficiunt. Quod autem inquit, *amplius sapientiæ super stultitiam*, non est per comparationem dictum ; quæ enim sese mutuo tollunt ac destruunt (sicut sunt lux ipsa et tenebræ), invicem non comparantur. Hujus generis est sapientia et stultitia. 614 Non enim est in genere malorum reponenda lætitia, sed cum affecta eligentis conjunxit illud, *amplius*, hoc est, sine ulla comparatione multo melius facit qui sapientiam præponit stultitiæ.

« Καὶ εἶδον ἐγὼ ὅτι περισσεία ἐστὶ τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην, ὡς περισσεία τοῦ φωτὸς ὑπὲρ τὸ σκότος. » Τὸ σκότος κατὰ στέρησιν γίνεται τοῦ φωτός · ὥστε τὸ μὲν ἐν ὑπάρξει εἶναι τὸ φῶς, τὸ δὲ ἀνύπαρκτον τὸ σκότος. Οὕτως οὖν, φησὶν, ἐστὶ καὶ ἐπὶ τῆς σοφίας, καὶ ἐπὶ τῆς ἀφροσύνης · τὰ μὲν γὰρ τῆς ἀφροσύνης ἔργα παρέρχονται, κόλασιν διηνεκῆ προξενήσαντα τοῖς αὐτὰ μετελθοῦσι · τὰ δὲ τῆς σοφίας μένει διηνεκῆ, τοὺς τῆς σοφίας ἐραστὰς ἀϊδίως εὐφραίνοντα. Τὸ δὲ, *περισσεία ἐστὶ τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην*, οὐ συγκριτικῶς κεῖται · τὰ γὰρ ἀλλήλων ἀναιρετικὰ, ὡς τὸ φῶς καὶ τὸ σκότος, καὶ ἡ σοφία καὶ ἡ ἀφροσύνη, οὐ συγκρίνονται. Οὐδὲ γὰρ τῶν κακῶν εὐφροσύνη, ἀλλὰ τῇ αἱρέσει τοῦ αἱρουμένου, τὸ περιττὸν συνῆψε, ἀντὶ τοῦ, μᾶλλον, καὶ ἀσυγκρίτως καλῶς ποιεῖ ὁ τὴν σοφίαν προκρίνων τῆς ἀφροσύνης.

Vers. 14. « Oculi sapientis in capite ipsius : stultus autem in tenebris ambulat. » Caput, eminentia quædam est et suprema totius corporis pars, pedes vero infimi sunt, terramque contingentes. Quando itaque præsidens intellectus purgatus fuerit, superna speculatur, non quæ sunt super terram, ac tunc in capite oculos vere habet : quando vero mens ad terrena convertitur, tunc in pedibus habere oculos videtur, humi reptans. Aliter : Caput Ecclesiæ Christus est, ad quem si sapiens oculos intendit dum ambulat, sicut et Christus perambulavit, oculos habet in capite ; stultus autem ambulat in tenebris, semper declinans in terram, tenebricosoque intellectu.

« Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ · καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται. » Ἡ κεφαλὴ ἐξοχή τυγχάνει, καὶ τὸ ἀνώτερον παντὸς τοῦ σώματος · οἱ δὲ πόδες κατώτατοί εἰσιν, καὶ τῆς γῆς προσάπτονται. Ὅταν τοίνυν ὁ ἡγεμὼν νοῦς κεκαθαρμένος ᾖ, τὰ ἄνω σκοπεῖ, καὶ οὐ τὰ ἐπὶ τῆς γῆς, ἐν τῇ κεφαλῇ τοὺς ὀφθαλμοὺς ἔχων · ὅταν δὲ περὶ τὰ γήϊνα ὁ λογισμὸς στρέφηται, ἐν τοῖς ποσὶν ἔχει καὶ τοὺς ὀφθαλμοὺς, περὶ τὴν γῆν ἰλυσπώμενος. Ἄλλως · Κεφαλὴ τῆς Ἐκκλησίας ὁ Χριστός · πρὸς ὃν εἰ ὁ σοφὸς ἀτενίζει, περιπατῶν καθὼς κἀκεῖνος περιεπάτησε, ἐν τῇ κεφαλῇ τοὺς ὀφθαλμοὺς ἔχει · ὁ δὲ ἄφρων ἐν σκότει πορεύεται, κάτω νεύων ἀεὶ, καὶ ἐσκοτισμένον ἔχων τὸ ἡγεμονικόν.

« Et cognovi etiam ego quod occursus unus occurret omnibus ipsis. [Vers. 15.] Et dixi ego in corde meo : Sicut occurrit stulto, occurret etiam mihi ; et : Utquid sapiens factus sum? » Omnia secum meditans, sapiens noster Ecclesiastes, quæ afferre adversarii contra ipsum possent, e propria

« Καὶ ἔγνων καί γε ἐγὼ ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου, Ὡς συνάντημα τοῦ ἄφρονος καί γε συναντήσεταί μοι · καὶ ἵνα τί ἐσοφιστάμην; » Πάντα καθ' ἑαυτὸν γυμνάζων ὁ σοφὸς, τὴν τῶν ἐναντίων ἀντίθεσιν ἐξ οἰκείου λέγει προσώπου. Εὑρὼν τοίνυν διάφορα

Digitized by Google

κοινὰ τυγχάνοντα, ἃ δὴ καὶ συναντήματα καλεῖ, οἷον τὸ νοσεῖν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ πένεσθαι, καὶ ἐξαιρέτως τὸν ἐπὶ πάντων θάνατον, τοῦ ἀντιδίκου τὸ πρόσωπον ὑποδὺς, φησί· Εἰ ταῦτα κοινὰ τοῖς τε σοφοῖς καὶ ἄφροσι, τίς ἡ χρεία τοὺς τῆς ἀρετῆς μετιέναι πόνους, καὶ γίνεσθαι σοφόν; Εἶτα ἀπελέγχων τὸν λόγον, καὶ δεικνὺς τὸ τῆς σοφίας κέρδος, ἐπάγει, καί φησι·

« Καὶ ἐγὼ τότε περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου, διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ, ὅτι καί γε τοῦτο ματαιότης. » Τεθεικὼς τοῦ ἄφρονος τὴν ἀντίθεσιν ὡς ἐξ οἰκείου προσώπου, ἐξ ἑαυτοῦ πάλιν ἐπιλύει, καί φησι, Καὶ ἐγὼ περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου· ἀντὶ τοῦ, Ἔγνων ὅτι ματαία καὶ περιττὴ ἡ τοιαύτη ἔννοια, καὶ ἄφρονος λογισμοῦ τὸ τοιαῦτα φθέγγεσθαι. Ὁ γὰρ ἄφρων ἐκζέσας καὶ ὑποθερμήνας τὴν διάνοιαν, διὰ στόματος τοὺς τῆς ἀφροσύνης ἐκφέρει λόγους· διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ, τουτέστιν, ἐκ τῆς πλεοναζούσης ἐν αὐτῷ ἀνοίας. Εἶτα καὶ τὴν αἰτίαν διδάσκει, ἀπελέγχων τοῦ ἄφρονος τὴν ἀντίθεσιν· καί φησι·

« Ὅτι οὐκ ἔστι μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα. » Εἰ γὰρ καὶ τὰ ἐν τῷδε, φησὶ τῷ βίῳ διάφορα, κοινὰ τυγχάνουσι σοφῶν καὶ ἀφρόνων· ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα ὁ μὲν σοφὸς ἀείμνηστον ἔχει καὶ ἀτελεύτητον τὴν ἀπόλαυσιν· τοῦ δὲ ἄφρονος καὶ ἡ μνήμη ἐξαλείφεται, κατὰ τὸ ἐν Ψαλμοῖς εἰρημένον· *Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου*· ἀντὶ τοῦ, Οὐδὲ μνήμης ἄξιοι παρὰ Θεῷ τυγχάνουσι.

« Καθότι ἤδη ταῖς ἡμέραις ταῖς ἐπερχομέναις τὰ πάντα ἐπελήσθη. » Ἐν τῷ αἰῶνι, φησὶ, τῷ ἐπερχομένῳ, πάντα τὰ ἐν τῷδε τῷ βίῳ συναντήματα, εἴτε νόσος, εἴτε ὑγεία, εἴτε πλοῦτος, εἴτε πενία, εἰς λήθην ἔρχονται. Εἶτα τὸ συμπέρασμα τῆς λύσεως ἐπάγων, φησί·

« Καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος; » Πῶς οὖν, φησὶν, ἐρεῖτε, ὦ ἄφρονες, ὅτι διὰ τὴν κοινὴν πάντων ἀνθρώπων τελευτὴν, οὐδὲ πλέον ἔχει ὁ σοφὸς τοῦ ἀνοήτου; ὅπου γε τοῦ μὲν σοφοῦ ἡ μνήμη διηνεκὴς παρὰ τῷ Θεῷ, τοῦ δὲ ἄφρονος οὐκέτι; Εἰ γὰρ καὶ τὰ ἐν τῷδε τῷ βίῳ συμπτώματα κοινὰ, ἀλλ' ἐν τῷ μέλλοντι τὸ ἑκάστου ἔργον ἐπακολουθήσει.

« Καὶ ἐμίσησα ἐγὼ τὴν ζωὴν, ὅτι πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅτι πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος. » Διὰ τοῦτό φησιν ὁ Σοφὸς, Ἐμίσησα τὴν ἐπίμοχθον ζωὴν, καὶ τὸν ἐμὸν πόνον, ὃν μοχθῶ διὰ τὰ ὑπὸ τὸν ἥλιον· πονηρὸν γὰρ ποίημά φησι τὴν ἐπίπονον καὶ μοχθηρὰν τῶν ἁμαρτωλῶν ζωήν. Ἐνταῦθα δὲ καὶ ὁ Σοφὸς μισεῖ τὴν ἐπίκηρον ζωὴν, καὶ τὴν ἀεὶ μένουσαν ἐπιζητεῖ· καὶ τὸ τοῦ ἄφρονος ὑποδὺς πρόσωπον, ἔφη, ὅτι Πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα, τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον· οὐ γὰρ ὁ σοφὸς ἀνέχεται μοχθεῖν διὰ τὰ ὑπὸ τὸν ἥλιον. Εἰ γὰρ καὶ διὰ τὴν βιοποριστικὴν χρείαν

[19] Psal. IX, 8.

A loquitur persona. Cum igitur inveniat multa et varia quæ communia omnibus sunt, quæ occursus appellat, qualia sunt ægrotare, benevalere, ditescere, paupertatem pati, et præcipue communem omnibus mortem, adversarii subiens personam, inquit : Si hæc communia sunt stultis et sapientibus, quæ utilitas demum erit suscepisse labores officiosos, et sapientem fieri? Mox autem hoc refutato sermone, ostendit quale sit nobis a sapientia lucrum. Ait ergo :

« Tunc abundanter locutus sum in corde meo, quoniam stultus ex abundantia loquitur, quia et hoc vanitas. » Adducta stulti illatione, tanquam ex illius persona eamdem nunc illationem per seipsum dissolvit; inquit enim : Et ego abundantius locutus sum in corde meo, quod vana et superflua est talis B cogitatio, et insanæ mentis est talia verba effundere. Stultus enim furore effervens quæ temere cogitavit, per os effundit; quoniam *stultus ex abundantia loquitur*, hoc est, supereffluente in ipso stultitia. Mox et causam docet, redarguens illationem stulti, cum dicit :

Vers. 16. « Quoniam non est memoria sapientis cum stulto in sæculum. » Etsi enim, inquit, quæ varia et differentia sunt in hac vita, stultis æque ac sapientibus communia sint, at in futuro tamen sæculo sapiens erit in memoria æterna, et immortalem habet fruitionem, stulti vero memoria deletur; juxta id quod est in Psalmo : *Periit memoria illorum cum sonitu* [19]; hoc est, non sunt existimandi memoria digni. C

« Secundum quod advenientibus diebus omnia oblivioni tradita sunt. » **615** In venturo, inquit, sæculo quæcunque nobis in hac vita occurrerint, sive infirmitas, sive prospera valetudo, sive divitiæ, sive etiam paupertas, in oblivionem veniunt. Tum vero concludens solutionem, inquit :

« Et quomodo morietur sapiens sicut et stultus? » Quomodo, inquit, dicetis, o stulti, quod propter communem omnibus mortem, nihil sapiens stulto plus habeat : quandoquidem sapientis memoria perpetua sit apud Deum, stulti vero nequaquam? Si enim quæ in hac vita occurrunt, omnia sunt communia, tamen in futura vita unumquemque opera sua se- D quentur.

Vers. 17. « Et odio habui vitam; quoniam malum adversus me facinus quod factum est sub sole; quoniam omnia vanitas et electio spiritus. » Propterea inquit Sapiens, Odio habui laboriosam vitam, et quem laboravi laborem meum, ob ea quæ sunt sub sole : malum enim facinus, laboriosam vitam peccatorum hominum intelligit. Hic autem Sapiens odit caducam et fragilem vitam, et mansuram in perpetuum quærit : et stulti subiens personam, inquit : Quoniam malum adversum me facinus quod factum est sub sole; sapiens enim non dignatur labore ob ea quæ sunt sub sole. Quamquam enim

Digitized by Google

propter necessarios vitæ usus laboret etiam sapiens, non principalem operam consumit circa hæc mundana atque præsentia, sed laborat quod satis est ad necessaria vitæ, summum vero suum studium virtuti impendit, transeuntia hæc et temporaria contemptui ducens : studens autem ea sibi comparare quæ sunt futura æterna, quæque sunt ab oculis nostris procul remota.

A κάμνει, ἀλλ' οὐ προηγουμένως τὴν πᾶσαν σπουδὴν περὶ τὰ ὁρώμενα καταναλίσκει, ἀλλ' ὅσα διὰ τὴν ἀναγκαίαν τροφὴν κάμνει· τὴν δὲ ὅλην σπουδὴν εἰς ἀρετὴν καταδαπανᾷ, τῶν οὐ μενόντων καὶ προσκαίρων καταφρονῶν· τῶν δὲ αἰωνίων καὶ μὴ φαινομένων ἀντιποιούμενος.

Vers. 18, 19. « Et odio habui omnem laborem meum quem laboro sub sole : quoniam relinquam ipsum homini sub me venturo. Et quis scit, sapiens ne sit futurus an stultus : et, si dominabitur in omni labore meo quem laboravi, et in quo sollicitus fui sub sole ? et hoc etiam vanitas. » Prorsus Sapiens noster laboriosam collectionem pecuniarum et possessionum, et huic impensum laborem, cum demonstratione rationem odii profert. Primum quidem quod hujusmodi rerum possessio perpetuo non durat apud habentem, sed ipse quidem vitam egreditur, nihil secum portans, alter vero possidenda accipit quæ ipse labore multo comparavit. Alterum etiam memorabile verbum, inquit, quod videlicet ignorat dives quali successor suus futurus sit vita : intemperatene ac luxuriose victurus, an prudenter ac sobrie divitias expensurus. Tertium notatu dignum est, quod licet demum temperatum ac prudentem successorem futurum sciamus, ignoramus, perpetuone sit futurus relictæ hæreditatis possessor, cum pecuniæ ad alios atque alios continue devolvantur, multis variisque casibus commutatæ. **616** Inquit igitur : Licet concedamus prudentem fore hæredem, qui parce relictis utatur, hoc ipsum quoque est vanitas. Quare autem hoc dicat, contemplandum nobis reliquit, quoniam videlicet melius est nos ipsos, dum sumus in vita, dispensare divitias nostras in pauperum ac egenorum necessitates, ut ita thesaurum habeamus indeficientem in cœlis, quam in alios hæreditatem transmittere, qualescunque demum illos fore contingat.

« Καὶ ἐμίσησα ἐγὼ σύμπαντα τὸν μόχθον μου, ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον, ὅτι ἀφιῶ αὐτὸν τῷ ἀνθρώπῳ τῷ γινομένῳ μετ' ἐμέ. Καὶ τίς οἶδ' εἰ σοφὸς ἔσται, ἢ ἄφρων; καὶ εἰ ἐξουσιάσεται ἐν παντὶ μόχθῳ μου, ᾧ ἐμόχθησα καὶ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον; καί γε τοῦτο ματαιότης. » Μισήσας ὁ Σοφὸς B τὴν τῶν κτημάτων καὶ χρημάτων ἐπίμοχθον συλλογήν, καὶ τὸν ἐπὶ ταύτῃ καταβαλλόμενον πόνον μετὰ ἀποδείξεως τοῦ μίσους τὸ εὔλογόν φησι· πρῶτον μέν, ὅτι οὐ διηνεκής ἐστι τῷ ἔχοντι ἡ κτῆσις· ἀλλ' αὐτὸς μὲν ἔξεισι τοῦ βίου μηδὲν ἐπαγόμενος· τὰ δὲ μετὰ πόνου αὐτῷ κτηθέντα ἕτερος διαδέχεται. Δεύτερον, ὅτι οὔτε οἶδε τίς ὁ διαδεχόμενος· ἐν ἀσωτίᾳ ζῶν, ἢ ἐν φρονήσει, τὸν πλοῦτον διοικῶν. Τρίτον, ὅτι εἰ καὶ δῶμεν φρόνιμον εἶναι τὸν τὴν οὐσίαν παραλαμβάνοντα, ἄδηλον εἰ κύριος ἔσται ταύτης, τῶν χρημάτων ἀεὶ ἄλλοτε εἰς ἄλλους μεταπιπτόντων, κατὰ πολλὰς καὶ διαφόρους αἰτίας. Εἰ δὲ καὶ δῶμεν, φησὶν, ὅτι καὶ φρόνιμός τις ἔσται ὁ κληρονόμος, καὶ ἐγκρατὴς τῆς οὐσίας γενήσεται, ἀλλὰ καί γε τοῦτο ματαιότης. Τὸ δὲ διὰ τί, ἡμῖν ἀφῆκε σκοπεῖν, ὅτι C ἄμεινον ἡμᾶς αὐτοὺς διαθέντας τὸν πλοῦτον, καὶ εἰς τὴν τῶν δεομένων καὶ πενήτων δαπανήσαντας χρείαν, θησαυρὸν ἔχειν ἐν οὐρανοῖς ἀνελλιπῆ, ἢ εἰς ἑτέρους τὰ χρήματα παραπέμψαι, ὁποῖοί ποτε τυγχάνουσιν ὄντες.

Vers. 20. « Et conversus sum ut renuntiarem cordi meo in omni labore meo quem laboravi sub sole. » Detestans Ecclesiastes quæ superius dicta sunt, convertitur ad evangelicam vitam : quasi et ipse cum Petro apostolo Salvatori dicat : *Ecce omnia reliquimus, et secuti sumus te*[10] ; subindę autem prædictam indignationis causam resumit, quam contra temporalia concepit. Ait ergo :

« Καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ μου ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον. » Καταγνοὺς τῶν προειρημένων ὁ σοφὸς, ἐπὶ τὸν εὐαγγελικὸν τρέχει βίον, μονονουχὶ καὶ αὐτὸ κατὰ τὸν Πέτρον λέγων τῷ Σωτῆρι· *Ἰδοὺ ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.* Εἶτα τὴν προειρημένην αἰτίαν ἀναλαμβάνει, τοῦ μίσους τοῦ πρὸς τὰ πρόσ- D καιρα. Καί φησιν·

Vers. 21. « Quoniam est homo, quoniam labor ipsius in sapientia, et scientia, et in fortitudine : et homo ei qui non laboravit in ipso, dabit partem ipsius, et hoc etiam est vanitas, et magnum malum. » Quæ enim, inquit, utilitas homini in humana sapientia, et prudentia, et fortitudine laboranti, et maligne se gerenti, hoc est, suarum rerum partem aliis non porrigenti, sed semper amplius suis bonis addenti, quandoquidem alius qui nihil in ea substantia laborarit, omnes ejus divitias accipit? Possumus etiam ita intelligere : Conversus ego sum ut renuntiarem cordi meo in omni labore meo quem labo-

« Ὅτι ἐστὶ ἄνθρωπος, ὅτι ὁ μόχθος αὐτοῦ ἐν σοφίᾳ, καὶ ἐν γνώσει, καὶ ἐν ἀνδρείᾳ· καὶ ἄνθρωπος ᾧ οὐκ ἐμόχθησεν ἐν αὐτῷ, δώσει μερίδα αὐτοῦ· καί γε τοῦτο ματαιότης, καὶ πονηρία μεγάλη. » Τί γὰρ, φησὶν, ὄφελος ἀνθρώπῳ ἐν ἀνθρωπίνῃ σοφίᾳ, καὶ φρονήσει, καὶ ἀνδρείᾳ μοχθοῦντι, καὶ πονηρευομένῳ, τοῦτ' ἔστι οὐ μεταδιδόντι, ἀλλ' ἀεὶ τοῖς οὖσι προστιθέντι, ὁπόταν ἄλλος μήτε καμὼν, μήτε μοχθήσας, τὸν αὐτοῦ διαδέχεται πλοῦτον; ἔστι δὲ καὶ οὕτως νοῆσαι· Ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ μου, ἐν παντὶ μόχθῳ μου ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, ἐννοήσας ὅτι ἕτερος ἐμὸν πλοῦτον δια-

[10] Matth. xix, 28.

Digitized by Google

δέξεται, ἐγὼ δὲ τὴν φροντίδα ὑφέξω. Διὰ μέσου δὲ παρενθεὶς τὸ, *Ὅτι ἐστὶ ἄνθρωπος, ὅτι ὁ μόχθος αὐτοῦ ἐν σοφίᾳ, καὶ ἐν συνέσει, καὶ ἐν ἀνδρείᾳ*, τοῦτο διδάσκει· κατεφρόνησα τοῦ περὶ τὰ μάταια μόχθου, φησὶ, λογισάμενος ὅτι ἐστὶ ἕτερος μόχθος ἐπαινούμενος, τὸν ἐξ ἀρετῆς, καὶ ἀεὶ μένοντα συλλέγων πλοῦτον. Ἔστι δὲ οὗτος ὁ μόχθος, ὃν μοχθεῖ ἄνθρωπος, ἵνα κτήσηται σοφίαν, καὶ γνῶσιν, καὶ ἀνδρείαν. Τοῦτον οὖν ἐκείνου προκρίνας τὸν μόχθον, ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ ἐν παντὶ μόχθῳ, ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, τουτέστι περὶ τὰ μάταια.

« Ὅτι γίνεται τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, καὶ προαιρέσει καρδίας αὐτοῦ, ᾧ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον, ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ. Καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ· καί γε τοῦτο ματαιότης ἐστί. » Γίνεται, φησὶ, τῷ ἀνθρώπῳ ὁ μόχθος ὃν μοχθεῖ προαιρετικῶς, ἢ καλὸς, ἢ κακός. Εἰ μὲν γὰρ περὶ τὰς ἀρετὰς ὁ μόχθος καταβάλλεται, ἐπαινετός· τοῦ δὲ μὴ διὰ τὸ καλὸν μοχθοῦντος πᾶσαι αἱ ἡμέραι ὀδυνῶν, καὶ θυμοῦ, καὶ περισπασμοῦ, καὶ ἀγρυπνίας εἰσὶ μεσταί. Ταῦτα γὰρ ἃ πάντα παρέπεται τοῖς περὶ τὴν κενοσπουδίαν τοῦδε τοῦ βίου περισπωμένοις· διὸ καί γε τοῦτο ματαιότης ἐστί.

« Καὶ οὐκ ἔστιν ἀγαθὸν ἀνθρώπῳ εἰ μὴ ὃ φάγεται καὶ πίεται, καὶ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ. Καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς Θεοῦ ἐστι, ὅτι, τίς φάγεται καὶ πίεται πάρεξ αὐτοῦ; » Καὶ τὰ μέσα ἀδιάφορα ἐκ Θεοῦ τοῖς ἀνθρώποις χορηγοῦνται, οἷον πλοῦτος, ὑγεία, εὐδοξία. Τὸ τοῦ ἀνθυποφέροντος οὖν πρόσωπον ἀναλαβὼν ὁ Ἐκκλησιαστὴς, φησὶ, ὅτι εἰ ἀπὸ Θεοῦ δίδοται ταῦτα τοῖς ἀνθρώποις, οὐδὲν ἄρα ἐν ἀνθρώποις ἀγαθὸν, εἰ μὴ ἡ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἀπόλαυσις. Εἶτα πάλιν ἐπιλύων τὴν ἀντίθεσιν, ἐπάγει·

« Ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ πρὸ προσώπου αὐτοῦ ἔδωκε γνῶσιν, καὶ σοφίαν, καὶ εὐφροσύνην· καὶ τῷ ἁμαρτάνοντι ἔδωκε περισπασμὸν, τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν, τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ Θεοῦ, ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. » Μὴ λέγετε, φησὶν, ὦ οὗτοι, ὅτι ἡ ἐμπαθὴς τῶν βρωμάτων ἀπόλαυσις ἀγαθή ἐστι· τῷ γὰρ ἀνθρώπῳ τῷ ἀγαθῷ ὁ Θεὸς γνῶσιν καὶ σοφίαν ἔδωκε, ἵνα ἐν τούτοις εὐφραίνηται πρὸ προσώπου τοῦ Θεοῦ· τουτέστι ὑπὸ τῆς ἐπισκοπικῆς δυνάμεως τοῦ Θεοῦ σκεπόμενος. Τῷ δὲ ἀνθρώπῳ τῷ ἁμαρτωλῷ τὸν περὶ τὰ αἰσθητὰ περισπασμὸν ἔδωκεν, ἵνα ταλαιπωρῇ ἐν τῷ μοχθεῖν καὶ συνάγειν. Καὶ ἐὰν μείνῃ μοχθῶν καὶ συνάγων, καί γε τοῦτο ματαιότης, καὶ προαίρεσις πνεύματος. Ἰστέον δὲ ὡς τὸν περισπασμὸν ἔδωκεν ὁ Θεὸς τῷ ἁμαρτάνοντι, καὶ συνάγοντι, οὐχ ἵνα ἁμαρτάνῃ καὶ συνάγῃ· ἀλλ' ἵνα ἐνθυμούμενος καὶ ἀποκάμνων περὶ ταύτην τὴν ματαιοσπουδίαν, εἰς αἴσθησιν ἔλθῃ τῆς ἐπιμόχθου ταύτης ζωῆς, καὶ ποθήσῃ τὸν ἀγήρω καὶ ἄλυπον βίον, τὸν ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἁγίοις τεταμιευμένον

ravi sub sole, cogitans quod alius quidem divitias meas accipiet, ego vero curas laboremque subiero. Interposita vero illa verba videlicet : *Quoniam est homo, quoniam labor ipsius in sapientia, et scientia, et fortitudine,* hoc significant : Contempsi, inquit, laborare circa res vanas, rationibus colligens quod est alter labor dignus laude, qui stabiles congregat virtutum divitias. Est autem hujusmodi labor quem laborat homo, ut acquirat sapientiam, scientiam et fortitudinem. Hunc igitur laborem ego potiorem ducens, conversus sum ut renuntiarem cordi meo in omni labore quem laboravi sub sole, hoc est, circa res vanas.

Vers. 22, 23. « Quoniam fit homini omni labore suo electio cordis sui, pro eo quod ipse laborat sub sole. Quoniam omnes dies ejus in doloribus et in distentione animi sui : neque in nocte dormit cor suum ; et hoc etiam vanitas est. » Advenit, inquit, homini labor quem laborat, sive bonus sit sive malus, ab electione consilii. Quod si operam virtutibus impendat, laudandus hic labor ; sin vero circa vitium occupetur, omnes illius dies transeunt in plenitudine dolorum, iracundiæ, occupationis sollicitæ, ac vigiliarum : hæc enim omnia consequuntur qui circa inane studium vitæ hujus versantur : quare et hoc etiam vanitas est.

617 Vers. 24, 25. « Et non est homini bonum nisi quod comedit et bibit, et ostendit animæ suæ bonum in labore suo. Et hoc etiam vidi ego quod est de manu Dei. Quis enim ex seipso bibit et comedit? » Quæ media, inquit, sunt et indifferentia, nec mala per se nec bona ab ipso Deo hominibus tribuuntur, qualia sunt divitiæ, bona valetudo, auctoritas. Sumpta igitur adversarii persona, inquit Ecclesiastes : Quod si hæc dantur ab ipso Deo hominibus, nihil ergo in hominibus invenitur boni, præter edendi bibendique voluptatem. Tum vero solvens objectionem, inquit :

Vers. 26. « Quod homini bono in conspectu suo dedit scientiam, sapientiam et lætitiam ; peccatori autem dedit occupationem addendi et congregandi, ut tradat ei qui est bonus in conspectu Dei : quoniam et hoc vanitas est et electio spiritus. » Nolite, inquit, dicere, o homines, quod transitoria et corruptibilis hæc cibariorum voluptas bona sit : homini enim bono Deus scientiam et sapientiam dedit, ut in iis lætetur in conspectu Dei ; hoc est, custoditus et tectus a divina Providentia. Homini autem peccatori negotium dedit circa hæc sensibilia, ut laborans et congregans affligatur. Quod si in hoc laborandi studio et congregandi persistat, et hoc sane ipsum est vanitas et electio spiritus. Sciendum vero est Deum hanc dedisse homini peccanti et congreganti occupationem, non ut peccet quidem ac congreget : sed magis ut contemplatione ac tædio vanitatis mundanæ, in cognitionem veniat laboriosæ hujus vitæ, desideretque immortalem ac jucundam vitam quæ in futuro sæculo sanctis in præmium danda est.

Digitized by Google

CAPUT III. A ΚΕΦΑΛ. Γ'.

Vers. 1. « Omnibus est tempus, et occasio est omni rei quæ sub sole est. » Rerum aliæ quidem temporariæ sunt, aliæ vero æternæ quidem et invisibiles sunt, supraque solem constitutæ. Hic autem est sermo de iis quæ sunt sub sole ac tempori subjiciuntur, quandoquidem et temporaliter esse cœperunt, suoque tempore, hoc est, opportuno, fiunt. Et tempus quidem, spatium illud significat in quo fit aliquid : occasionem vero dicimus commodum tempus ac opportunum aliquid faciendi. Potest itaque et tempus esse occasio ; sed occasio est rebus peragendis temporis opportunitas, et tamen tempus non est, sed illa quam nanciscimur. Cuncta quidem quæ fecit Deus, opportuno proveniunt tempore ; ut æstas, autumnus, hiems ac ver : **618** quæ vero B homines facimus, laudabilia quidem sunt si fiant tempore opportuno ; sin vero ante tempus fiant aut præter tempus, jure damnantur. Opportuno quis tempore suæ commiscetur uxori, cum appetit filios procreare ; præter tempus vero, cum voluptatis et concupiscentiæ causa hoc facit. Qui æstate seminat, ante tempus seminat ; qui etiam hieme ad messem sese accingit, præter tempus hoc ipsum aggreditur. Ex disciplina autem horum verborum docemur, omni in re defectus vitare atque excessus, eo quod res ferme omnes, hinc atque hinc assistentes ac propinquas enormitates habeant. Nam qui deficit a medio fortitudinis statu, labitur in timiditatem ; qui vero illum excesserit, audax efficitur. Potest itaque et alia significatione accipi tempus, pro ipsa mediocritatis norma ; occasio autem, pro tempore opportuno : nam qui et ad normam et suo tempore actiones omnes suas moderatur, hac veluti regula et amussi utens, facile in omni virtute consummatus evadet.

« Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν ἥλιον. » Τῶν ὄντων τὰ μέν εἰσι πρόσκαιρα, τὰ δὲ αἰώνια · τὰ μὲν οὖν αἰώνια καὶ ἀόρατα τυγχάνουσι, καὶ ὑπὲρ τὸν ἥλιον. Περὶ τούτων ὁ λόγος τῶν ὑπὸ τὸν ἥλιον, ὑπὸ χρόνον ὄντων · ἐπειδὴ καὶ ἀπὸ χρόνου ἤρξαντο, ἐν καιρῷ τῷ καθήκοντι γιγνομένων. Καὶ χρόνος μέν ἐστι τὸ διάστημα καθ' ὃ πράττεταί τι. Καιρὸς δὲ, ὁ ἐπιτήδειος τῆς ἐργασίας χρόνος. Ὥστε ὁ μὲν χρόνος καὶ καιρὸς εἶναι δύναται · ὁ δὲ καιρὸς χρόνος · ἀλλ' εὐκαιρία τοῦ πραττομένου ἐν χρόνῳ γινομένη. Καὶ τὰ μὲν ἐκ Θεοῦ πάντα εὐκαίρως γέγονε ὡς θέρος, καὶ μετόπωρον, καὶ χειμὼν, καὶ ἔαρ · τὰ δὲ ἡμέτερα εἰ μὲν εὐκαίρως γίγνοιντο, ἐπαινετά · παρὰ δὲ τὸν καιρὸν, ἢ ὑπὲρ τὸν καιρὸν, ψεκτά. Ἐν καιρῷ τις μίγνυται τῇ ἰδίᾳ γυναικὶ, παιδοποιίας ἐρῶν · παρὰ καιρὸν, ὅταν δι' ἡδονῆς τοῦτο ποιῇ. Ὁ ἐν θέρει σπείρων, πρὸ καιροῦ σπείρει · ὁ ἐν χειμῶνι ἀμῆσαι σπουδάζων, παρὰ καιρὸν τοῦτο ἐπιχειρεῖ. Ἐκ δὲ τούτου τοῦ μαθήματος διδασκόμεθα ἐν παντὶ φεύγειν τὰς ἐλλείψεις καὶ τὰς ὑπερβολὰς, διὰ τὰς παρακειμένας ἀμετρίας ἑκάστῳ πράγματι. Ἀνδρείας ἔλλειψις δειλίαν ἐργάζεται, ὑπερβολὴ θρασύτητα. Νόησον οὖν τὸν χρόνον καὶ καθ' ἑτέραν νόησιν, συμμετρίαν τινὰ ὄντα · καιρὸν δὲ, τὴν εὐκαιρίαν · ὁ γὰρ συμμέτρως καὶ εὐκαίρως ἅπαντα πράττων, ὥσπερ τινὶ τούτων κανόνι καὶ στάθμῃ χρώμενος, κατορθώσει ῥᾳδίως τὴν ἅπασαν ἀρετήν.

Vers. 2. « Tempus gignendi, et tempus moriendi. » Sæpe contrariarum rerum distincta sunt tempora ; contingit tamen quandoque, et eodem tempore utraque fieri. Corporalis itaque nativitas et generatio ut plurimum aliud habet tempus, et aliud corporalis interitus ; spiritualis vero nativitas, per lavacrum regenerationis, unum et idem tempus habet cum morte. Nam qui renascuntur in divino lavacro, consepulti sunt in Christo in baptismate. Et corporaliter quidem nasci ac mori in nostra potestate non est ; sed arbitrio Dei et generamur et morimur : spiritualis vero nativitas et interitus pendet a nobis ; opus enim est cum divina operatione et gratia, nostra quoque electione, ut moriamur quidem peccato, nascamur autem justitiæ. Sapienter autem ac notanter Ecclesiastes a nativitate cœpit et morte : temporariæ hujus vitæ nos admonuit. Propterea enim et Moses (ut aiunt) primum quidem suum volumen Genesim inscripsit, Exodum vero secundum nominavit, ut in historia figurate nobis hanc temporariam vitam describeret.

« Καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν. » Πολλάκις ἐπὶ τῶν ἐναντίων διάφοροί εἰσιν οἱ καιροί· συμβαίνει δὲ ὅτι καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἑκάτερα γίνεται · ἡ μὲν οὖν σωματικὴ γέννησις, ὡς ἐπὶ τὸ πλεῖστον ἕτερον ἔχει καιρὸν, καὶ ὁ σωματικὸς θάνατος ἕτερον · ἡ δὲ πνευματικὴ γέννησις ἡ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἕνα καὶ τὸν αὐτὸν καιρὸν ἔχει, τοῦ τῆς γεννήσεως καὶ τοῦ θανάτου. Οἱ γὰρ ἐν τῷ θείῳ λουτρῷ ἀναγεννώμενοι συνετάφησαν τῷ Χριστῷ ἐν τῷ βαπτίσματι · καὶ ὁ μὲν σωματικὸς τόκος ἢ θάνατος οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ ἐξουσίᾳ καὶ τικτόμεθα, καὶ ἀποθνήσκομεν · ὁ δὲ πνευματικὸς ἐφ' ἡμῖν · μετὰ γὰρ τῆς τοῦ Θεοῦ συνεργείας, καὶ τῆς ἡμετέρας προαιρέσεως χρεία, ἵνα ἀποθάνωμεν τῇ ἁμαρτίᾳ, τεχθῶμεν δὲ τῇ δικαιοσύνῃ. Θαυμαστῶς δὲ ὁ Ἐκκλησιαστὴς ἀπὸ τόκου ἤρξατο καὶ θανάτου, τῆς προσκαίρου ταύτης ἡμῶν ζωῆς ἐπαναμιμνήσκων. Διὰ τοῦτο (φησὶ) καὶ Μωσῆς Γένεσιν ἐπιγράψας τὸ πρῶτον βιβλίον, τὸ δεύτερον εὐθὺς Ἔξοδον προσηγόρευσε, διὰ τῆς ἱστορίας συμβολικῶς τὴν ἐν τῷδε τῷ βίῳ πρόσκαιρον ἡμῖν ὑπογράφων ζωήν.

« Tempus plantandi, et tempus evellendi quod plantatum est. » Præter litteræ sensibilem ac manifestum intellectum, mystice sic intellige. Sæpe quidem uno eodemque tempore plantat aliquis et

« Καιρὸς τοῦ φυτεῦσαι, καὶ καιρὸς τοῦ ἐκτίλαι τὸ πεφυτευμένον. » Μετὰ τὸ αἰσθητὸν, πρὸς διάνοιαν · πολλάκις μὲν κατὰ τὸν αὐτὸν καιρὸν ἐκτίλλει τις καὶ φυτεύει, ὡς ὅταν ἐκτίλλει μὲν τὰ τοῦ ἐπιαπορέως

Digitized by Google

ζιζάνια, καταφυτεύει δὲ τὰ γνήσια τοῦ λόγου σπέρματα· ἐκκόπτων μὲν τὴν κακίαν, ἐμφυτεύων δὲ τὴν ἀρετήν· πολλάκις δὲ καθ' ἕτερον καὶ ἕτερον· ὡς ὅταν ὁ Παῦλος ἐκκόπτῃ μὲν τῆς Ἐκκλησίας τὸν πορνεύσαντα, φυτεύῃ δὲ αὐτὸν πάλιν μετανοοῦντα.

A evellit : videlicet cum evellit zizania quæ superseminavit inimicus homo [21] ; plantat autem sive serit legitima verbi semina, amputans vitium, inserens virtutem. Sæpe vero hæc facit alio tempore ; ut cum Paulus abscindit fornicarium a communione Ecclesiæ [22] ; plantat vero eumdem pœnitentia emendatum.

« Καιρὸς τοῦ ἀποκτεῖναι, καὶ καιρὸς τοῦ ἰάσασθαι. » Ἀποκτεῖναι τὴν ἁμαρτίαν, ἰάσασθαι δὲ τὴν ἑαυτοῦ ψυχὴν τοῖς τῆς μετανοίας φαρμάκοις. Ἡ δὲ τοιαύτη πράξις ἀεὶ καιρὸν ἔχει, καὶ ἀεὶ εὐκαίρως γίνεται· νῦν δὲ μάλιστα, τοῦ Παύλου βοῶντος, « *Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.* Ἐπὶ δὲ τῶν σωματικῶν, τῷ ἄρχοντι καιρὸς ἀποκτείνειν τὸν ἀνδροφόνον, ἰᾶσθαι δὲ καὶ θεραπεύειν τὸν ἀγαθοποιὸν, ἢ καὶ διὰ μετριωτέρας ἐπιστροφῆς τὸν μετριώτερα ἁμαρτήσαντα.

Vers. 3. « Tempus occidendi, et tempus sanandi. » Occidendi quidem peccatum, sanandi vero animam cuique suam, pœnitentiæ medicina. Hujusmodi vero actio, suo semper et opportuno fit tempore, præsertim vero nunc dum sumus in præsenti vita et testamento gratiæ ; Paulo testante, qui ait : **619** *Ecce nunc tempus acceptabile, ecce nunc dies salutis* [23]. Corporalibus autem ita mysticum sensum B accommodabis : Principi ac magistratui tempus est perdendi homicidam, curandi vero ac fovendi eum qui bene de se meritus fuerit, minusque etiam ac clementius corrigendi eum qui levius in se deliquerit.

« Καιρὸς τοῦ καθελεῖν, καὶ καιρὸς τοῦ οἰκοδομεῖν. » Ἡ θεία οἰκοδομὴ τέμνεται εἰς πρακτικὴν καὶ θεωρητικὴν ἀρετήν. Ὁ μὲν οὖν τὴν ἀρετὴν ἐνεργῶν, οἰκοδομεῖ τὴν ἠθικήν. Ὁ δὲ τὰ νοητὰ κάλλη περιαθρῶν, οἰκοδομεῖ τὴν θεωρίαν· ἀεὶ οὗτος καλῶς οἰκοδομεῖ ἑαυτῷ οἰκίαν ἀχειροποίητον ἐν τοῖς οὐρανοῖς. Ὁ δὲ μετανοῶν, τὴν προϋπάρξασαν ἁμαρτίαν καθαίρει· καὶ καθαιρεῖσθαι μὲν καλὸν ἡμᾶς ἐκ τῆς κακίας, ἐποικοδομεῖσθαι δὲ ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.

« Tempus destruendi, et tempus ædificandi. » Divina ædificatio dividitur in practicam theoricamque virtutem. Qui igitur officiose operatur et ex virtute, moralem domum practicamque ædificat ; qui vero spiritualia et invisibilia contemplatur, speculativam sibi construit domum : atque is quidem utcunque ædificat, domum non manufactam semper sibi parat in cœlis. Qui pœnitentiam facit, demolitur ac destruit anteactæ vitæ peccatum : et bonum quidem nobis pulchrumque est C tolli procul a peccato, superædificari autem super fundamentum apostolorum.

« Καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελᾶσαι. » Ἔστι τις καιρὸς οὐχ ὁ χρονικὸς, ἀλλ' ὁ ἐκ τοῦ πράγματος λαμβανόμενος. Ὁ γὰρ μὴ ἐν βάθει κλαίων, ἀλλ' ἐπιπολαίως, ἀκούσεται κατὰ τὴν Ἱερουσαλήμ· *Οὐδὲ φωνῆς αὐτῆς ὠλόλυξε, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς.* Ὁ δὲ καιρίως κλαίων, καὶ ἐκ διαθέσεως μετανοῶν, ἐπακουσθήσεται ἀκούων, *Κλαυθμὸν ἔκλαυσε Ἱερουσαλὴμ, τὴν κραυγὴν τῶν δακρύων σου ἤκουσεν εἶδε, ἠλέησέ σε.* Ἔστι δὲ καὶ ἐν καιρῷ χρονικῷ κλαίειν ἐν τῷδε ἡμῶν τῷ βίῳ, ἵνα ἐν τῷ μέλλοντι γελάσωμεν· καὶ ἐπὶ τοῖς παραπτώμασι δὲ τῶν μαθητῶν, ἢ καὶ τῶν ἀδελφῶν εὐκαίρως κλαίομεν, ἐπὶ δὲ τῶν προκοπῶν αὐτῶν εὐκαίρως γελῶμεν.

Vers. 4. « Tempus flendi, et tempus ridendi. » Est tempus quoddam non secundum spatium temporis motusque sumptum, sed a rebus ipsis. Nam qui non in profundo cordis, sed in superficie vultus fleverit, audire poterit illud de se dici quod dictum est olim Jerusalem : *Voce sua sero lamentata, et lacrymæ ejus in maxillis ejus* [24]. Qui vero decenter lacrymas fuderit, et tactus dolore cordis intrinseco pœnitentiam fecerit, erudietur utique juxta illud : *Planctum planxit Jerusalem, clamorem lacrymarum tuarum quando vidit, misertus est tui* [25]. Et est etiam in tempore spatium significante, lugere in hac vita ut D in futura rideamus : nam et ob peccata, ac ruinam discipulorum vel fratrum, opportune lugemus, de profectu vero illorum merito ridemus et exsultamus.

« Καιρὸς τοῦ κόψασθαι, καὶ καιρὸς τοῦ ὀρχήσασθαι. » Κόπτονται οἱ μετανοίᾳ σχολάζοντες, ὀρχοῦνται οἱ σωφροσύνῃ ζωσθέντες, καὶ φρονήσει κοσμούμενοι, καὶ ἀνδρείᾳ κινούμενοι, καὶ δικαιοσύνῃ τελειούμενοι. Ὠρχεῖτο καὶ Δαβὶδ, καὶ οὐχ ἁπλῶς, ἐνώπιον Κυρίου. Διὸ καὶ οἱ προφῆται παιδία ὄντες ἐν ἀγορᾷ ἐν τῷδε τῷ βίῳ, διὰ τὸ τῇ κακίᾳ νηπιάζειν, Ἔλεγον τοῖς Ἰουδαίοις· *Ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε·* τουτέστι, προελέγομεν ὑμῖν τὰ σκυθρωπὰ, καὶ οὐ μετενοήσατε. Καὶ οἱ ἀπόστολοι δὲ πρὸς

« Tempus plangendi, et tempus saltandi. » Plangunt ac se percutiunt qui pœnitentiæ student : at vero saltant, qui præcincti sunt temperantia, excultique prudentia, commoti fortitudine, perfecti justitia. Saltavit itaque David in conspectu Domini [26] ; sed non temere. Ideo et prophetæ facti velut pueri in plateis ac foro vitæ hujus, propter immunitatem malitiæ infantilemque simplicitatem, dicebant Judæis : *Luximus vobis, et non planxistis*, hoc est, tristia vobis prædiximus, et pœniten-

[21] Matth. XIII, 25. [22] I Cor. V, 5. [23] I Cor. VI, 2. [24] Thren. I, 2. [25] Isa. XXX, 19. [26] II Reg. VI, 14.

Digitized by Google

tiam non egistis. Apostoli quoque ad eosdem dixerunt : *Tibia vobis cecinimus, et non saltastis* [27]; hoc est, regnum cœlorum annuntiavimus, instar tibiæ sonoram vocem fundentes, neque tamen tripudium duxistis, neque præ lætitia doni hujus saltastis. Hæc enim nos docet evangelica Salvatoris parabola.

A αὐτοὺς λέγουσιν· *Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε*· τουτέστι, βασιλείαν οὐρανῶν ἐκηρύξαμεν, αὐλοῦ δίκην βοῶντες ἐξάκουστον, καὶ οὐκ ὠρχήσασθε, οὐδὲ ἐσκιρτήσατε χαίροντες ἐπὶ τῷ δώρῳ. Ταῦτα γὰρ ἡμᾶς διδάσκει ἡ εὐαγγελικὴ τοῦ Σωτῆρος παραβολή.

Vers. 5. « Tempus jaciendi lapides, et tempus colligendi. » Qui mortaliter peccavit sine proposito emendationis et pœnitentiæ, ejicitur e spirituali domo, qualis est lapis scabiosorum, de quo symbolice et figurate apud Mosen scribitur : qui vero peccat ut curari velit, colligitur per pœnitentiam in ædificationem apostolorum et prophetarum. Omnis **620** itaque qui saxeo est corde, ducitur foras, pretiosi vero lapides colliguntur. Lege etiam cautum erat lapidari adulteram. Et magister quidem lapidibus cædit discipulos peccantes ; hoc est, correctivis sermonibus : cum vero satis illos erudierit ac reprehenderit, cessat a correctivis sermonibus, colligitque quos jactasse visus fuerat lapides.

« Καιρὸς τοῦ βαλεῖν λίθους, καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους. » Ὁ ἀνίατα ἁμαρτήσας ἐκβάλλεται ἐκ τῆς πνευματικῆς οἰκίας, ὡς ὁ ψωριῶν λίθος κατὰ τὸ παρὰ Μωσεῖ κείμενον συμβολικῶς· ὁ δὲ ἰάσιμα ἁμαρτάνων συνάγεται διὰ μετανοίας εἰς τὴν οἰκοδομὴν τῶν ἀποστόλων καὶ προφητῶν. Καὶ πᾶς δὲ λιθοκάρδιος ἐκβάλλεται· οἱ δὲ τίμιοι συνάγονται λίθοι. Καὶ ὁ νόμος δὲ ἐκέλευσε βάλλεσθαι λίθοις τὴν πορνεύσασαν. Καὶ ὁ διδάσκαλος βάλλει μὲν τοὺς ἁμαρτάνοντας λίθοις, τουτέστι λόγοις ἐλεγκτικοῖς· αὐτάρκως δὲ παιδεύσας διὰ τῶν ἐλέγχων, συνάγει τοὺς ἐκβληθέντας λίθους, τῶν πληκτικῶν λόγων παυόμενος.

« Tempus amplectendi, et tempus longe fieri ab amplexibus. » Juxta litteram, tempus amplexandi propriam uxorem, quando tempus orationis non impediat, aliave honesta necessitas. Tempus est, inquam, licetque id nobis facere, vel propter filios procreandos, vel ut consulamus fragilitati atque innocentiæ nostræ, ne videlicet libidine succensos, callidus hostis ad adulterium nos provocet ; tempus vero abstinendi a complexibus, vel propter orationes Deo fundendas, vel ut gravidæ uxori parcamus. Aliter : Tempus amplectendi erat in principio creati orbis, ut multiplicantes impleremus terram, nunc vero tempus absistendi a complexibus, quandoquidem extrema hora diei nos occupavit, et ad finem sæculorum mundus festinat. Spiritualiter vero ac mystice ita intellige : Honora sapientiam ut te amplectatur : atque hic quidem amplexus semper est opportunus. Cum vero in sacris Scripturis, lex per lævam manum significetur, per dexteram vero evangelica doctrina, ipsaque mens, nomine capitis innuatur, totius vero corporis appellatione intelligatur Ecclesia, merito canit Sponsa in Cantico canticorum : *Læva ejus sub capite meo, et dextera ipsius amplexabitur me* [28]. Hoc est, ipsa quidem lex sapientiorum quorumdam tantummodo juvat intellectum, ipsumque perficit; evangelica vero doctrina, divino quodam complexu totam Ecclesiam comprehendit; ab hoc quidem complexu, nullum unquam tempus est absistendi. Cum tamen arca jam fabricata esset, ac terris diluvia imminerent, tempus erat abesse procul a complexibus matrimonii : ideoque hinc masculi, hinc vero feminæ seorsum disjunctæ intrarunt in arcam ; postquam vero aquæ diluvii jam resederant, Noe cum uxore sua exivisse arcam narratur : tempus enim tunc erat conjugalis amplexus. Semper autem tempus est elongari a vitio et peccato, agglutinari autem Deo, illique perpetuo adhærere.

« Καιρὸς τοῦ περιλαβεῖν, καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήψεως. » Κατὰ μὲν τὸ ῥητὸν, καιρὸς τοῦ περιλαβεῖν τὴν ἑαυτοῦ γυναῖκα, ὅταν μήτε προσευχὴ ἐμποδίζῃ, καὶ ἡ χρεία καλή· ἢ διὰ παιδογονίαν, ἢ κατὰ συγγνώμην, διὰ τὴν ἡμῶν ἀκρασίαν, ἵνα μὴ πειραζώμεθα εἰς πορνείαν ὑπὸ τοῦ Σατανᾶ. Καιρὸς δὲ τοῦ μακρύνεσθαι ἀπὸ περιλήψεως, ἢ διὰ προσευχῆς, ἢ διὰ τὸ ἐγκύμονα εἶναι τὴν γυναῖκα. Ἄλλως· Καιρὸς τοῦ περιλαβεῖν ἦν ἐν ἀρχῇ τοῦ κόσμου, ἵνα αὐξηθῶμεν, καὶ πληθυνθῶμεν, καὶ πληρώσωμεν τὴν γῆν· νῦν καιρὸς τοῦ μακρύνεσθαι ἀπὸ περιλήψεως, ὅτε ἐσχάτη ὥρα ἐστὶ, καὶ πρὸς τὸ τέλος ὁ κόσμος ἐλαύνει. Πρὸς δὲ διάνοιαν, Τίμησον, φησὶ, τὴν σοφίαν, ἵνα σε περιλάβῃ· ἡ τοιαύτη περίληψις ἀεὶ καιρὸν ἔχει. Καὶ τοῦ νόμου δι' ἀριστερᾶς λεγομένου, τοῦ δὲ νοῦ κεφαλῆς ὀνομαζομένου, καὶ τῆς μὲν εὐαγγελικῆς παιδεύσεως δεξιᾶς καλουμένης, σώματος δὲ ὅλης τῆς Ἐκκλησίας ὀνομαζομένης, ᾄδει Νύμφη ἐν τῷ Ἄσματι λέγουσα· *Εὐώνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.* Τουτέστι, ὁ μὲν νόμος τῶν σοφωτέρων μόνον ὠφελεῖ τὸν νοῦν. Ἡ δὲ εὐαγγελικὴ παίδευσις θείᾳ περιλήψει τὴν ὅλην Ἐκκλησίαν περιλαμβάνει· ταύτης τῆς περιλήψεως οὐδέποτε καιρὸς τοῦ μακρυνθῆναι. Ἐπὶ δὲ τῆς κιβωτοῦ τῶν δεινῶν ἐπικειμένων, καιρὸς ἦν τοῦ μακρύνεσθαι ἀπὸ περιλήψεως· διὸ καὶ οἱ ἄῤῥενες καθ' ἑαυτοὺς εἰσῆλθον, αἱ δὲ γυναῖκες καθ' ἑαυτὰς διαιρεθεῖσαι. Ἐν δὲ τῇ ἐξόδῳ τῇ ἐκ τῆς κιβωτοῦ, μετὰ τῆς γυναικὸς ἐξῆλθεν ὁ Νῶε· καιρὸς γὰρ ἦν περιλήψεως. Καθόλου δὲ, καιρὸς μὲν τοῦ μακρύνεσθαι ἀπὸ τῆς κακίας, προσκολλᾶσθαι δὲ τῷ Θεῷ.

Vers. 6. « Tempus quærendi, et tempus per-

« Καιρὸς τοῦ ζητῆσαι, καὶ καιρὸς τοῦ ἀπολέσαι. »

[27] Matth. xi, 16, 17. [28] Cant. ii, 6; viii, 3.

Digitized by Google

Κατὰ μὲν τὴν προφορὰν ἀνάπαλιν κεῖται τὸ ῥητόν· οὐδεὶς γὰρ ζητεῖ ὃ μὴ ἀπώλεσε. Κατὰ δὲ τὴν νόησιν, ὁ ἐν ἀγνοίᾳ ὢν, καιρὸν ἔχει τοῦ ζητῆσαι τὸ ἀληθές. Εὑρὼν δὲ τοῦτο, εὐκαίρως ὀφείλει τὸ τῆς ἀγνοίας ἀπολέσαι σκότος. Ἄλλως· Ζητεῖ τις τὴν ἀπολομένην αὐτοῦ ψυχὴν, εὑρὼν δὲ αὐτὴν, καὶ ἀνανήψας ἐκ τῆς πλάνης, ὀφείλει, τὸ ὅσον ἐπὶ τῇ κακίᾳ, ἀποθανεῖν καὶ ἀπολέσθαι· ἐπὶ δὲ τοῦ μαρτυρίου καιρὸς τοῦ ἀπολέσαι τὴν ψυχὴν, ἵνα εὕρωμεν αὐτήν.

dendi. » Si litteralem sonum ordinemque inspicias, videtur hæc sententia ordine præpostero esse accipienda : nemo enim quærit, nisi quod prius perdidit. Mystico tamen sensu, nihil immutando lectionem, ita intelliges. Qui est in ignorantia constitutus, tempus tunc habet quærendi veritatem; qua inventa tempus aliud sibi advenit, ut ignorantiæ perdat tenebras et relinquat. Aliter : Quærit aliquis animam suam quæ periit; ea vero inventa, ab errore resipiscens, debet, quantum ad priorem spectat iniquitatem, perire prorsus **621** ac mori : Ingruente vero martyrio, tempus est perdendi animam, ut ipsam inveniamus.

« Καιρὸς τοῦ φυλάξαι, καὶ καιρὸς τοῦ ἐκβαλεῖν. » Ὁ μὲν τῶν χρημάτων οἰκονόμος οἶδε πότε μὲν φυλάξει χρήματα, πότε δὲ δαπανήσει. Πρὸς δὲ διάνοιαν, καιρὸς τοῦ φυλάξαι, καὶ μὴ εἰς τοὺς τυχόντας ῥίπτειν τὴν θείαν διδασκαλίαν· καιρὸς δὲ τοῦ ἐκβαλεῖν, ὅταν ἐπιτηδείως ἔχωσιν οἱ ἀκούοντες. Ἔδει γάρ σε, φησὶ, βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, μὴ βαλεῖν δὲ τὰ ἅγια τοῖς κυσὶ, μηδὲ τὰς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. Ἄλλως· Καιρὸς τοῦ φυλάξαι τὰς εὐαγγελικὰς ἐντολάς· αὐτὸς δὲ καιρὸς καὶ τοῦ ἐκβαλεῖν τὰς τοῦ νόμου σκιάς.

« Tempus custodiendi, et tempus abjiciendi. » Qui pecuniarum dispensator est, novit quo tempore pecunias vel apud se custodiat, vel expendat. Mystice autem, tempus est custodiendi sacram doctrinam, ne illam temere quibuscunque nullo delectu habito profundamus. Tempus vero effundendi, cum dociles fuerint ac bene dispositi auditores; oportet enim, inquit, abjicere argentum meum trapezitis [29], non autem sancta dare canibus, neque suibus margaritas [30]. Aliter : Tempus est servandi evangelica præcepta; idem quoque tempus est abjiciendi legales umbras.

« Καιρὸς τοῦ ῥῆξαι, καὶ καιρὸς τοῦ ῥάψαι. » Ὁ τοὺς μαχομένους εἰρηνεύων, ἐν καιρῷ συῤῥάπτει· ὁ δὲ τὸν τὴν γυναῖκα τοῦ πατρὸς ἐσχηκότα τῆς Ἐκκλησίας ἐκβάλλων, εὐκαίρως ἔῤῥηξε. Ἄλλως· Ὁ διαῤῥήσσων τὴν καρδίαν ἐνώπιον τοῦ Χριστοῦ διὰ τῆς μετανοίας, συῤῥάπτει ἑαυτὸν τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ.

Vers. 7. « Tempus scindendi, et tempus suendi. » Qui Ecclesiæ hostes adversariosque conciliat, et ad unitatem catholicæ fidei perducit, ille procul dubio consuere dicitur : qui vero fornicantem cum uxore patris sui ab Ecclesia ejicit [31], opportune hic scindit. Aliter : Qui coram Domino per contritionem ac pœnitentiam cor suum discindit, seipsum assuit in Ecclesia primogenitorum fidelium.

« Καιρὸς τοῦ σιγᾷν, καὶ καιρὸς τοῦ λαλεῖν. » Ὁ ἐν σιγῇ καὶ ἐν ἀσκήσει τὰ θεῖα παραδεξάμενος μαθήματα, ὅταν ἀξιωθῇ τοῦ λέγειν, Κύριος γλῶσσαν διαδίδωσι παιδείας ἐν καιρῷ, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· τότε καὶ ἐν καιρῷ λαλεῖ. Ὁ μὲν γὰρ διδασκόμενος ἀκούεται ἐκ τοῦ νόμου· *Ἄκουε Ἰσραὴλ, καὶ σιώπα*· ὁ δὲ πρεσβύτερος ὁ ἐσχηκὼς φρόνησιν, ἐπιτραπήσεται τοῦ λαλεῖν, ἀκούων· *Λάλει, πρεσβῦτα, πρέπει γάρ σοι.*

« Tempus tacendi, et tempus loquendi. » Qui in silentio et sub monasterii disciplina doctrinam sacram fuerit perdoctus, cum auctoritatem consecutus fuerit loquendi et prædicandi, tunc Dominus illi præbet opportuno tempore linguam eruditionis, ut cognoscat quando verbum proponi oporteat : atque ita fit ut tempore suo tunc loquatur. Audituro enim populo dicitur in veteri lege : *Audi, Israel, et tace* [32]; senior autem prudens, ita ad loquendum excitatur : *Loquere, senex, tibi enim hoc convenit* [33].

« Καιρὸς τοῦ φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι. » Φιλοῦσα ἡ ἁμαρτωλὸς τοῦ Ἰησοῦ τοὺς πόδας, τουτέστι κατ' εὐσέβειαν ἀγαπῶσα, πορείαν ὁλοτρόπως τῆς κακίας ἐμίσει, ὡς ἕνα ὄντα τὸν ἀμφοτέρων καιρόν. Ἄλλως· Ἀεὶ ὀφείλει ἡ ψυχὴ καὶ φιλεῖν καὶ μισεῖν· τὸν μὲν ἑαυτῆς νυμφίον φιλεῖν λόγον δι' ἔργων, λέγουσα· *Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ*· μισεῖν δὲ τὸν ἐχθρὸν καὶ ἐπισπορέα διάβολον.

Vers. 8. « Tempus amandi, et tempus odio prosequendi. » Mulier quæ erat in civitate peccatrix, magna cum dilectione Salvatoris pedes osculata [34], hoc est, semitas pietatis ac veræ fidei ingressa, magno se prorsus studio ab iniquitate avertit, ut jam utriusque rei atque effectus unum tempus idemque fuerit. Aliter : Semper quidem anima in amore versari debet, atque in odio, ut amet quidem secundum opera Sponsum suum, ac dicat : *Osculetur me ab osculis oris sui* [35]. Oderit autem inimicum hominum, hoc est, diabolum, qui zizania superseminat [36].

« Καιρὸς πολέμου, καὶ καιρὸς εἰρήνης. » Ὅταν μάχην ἔχων πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, εἰρηνεύει πρὸς Θεόν. Καὶ ἐν μὲν τῷδε τῷ βίῳ καιρὸς τοῦ πολέμου τοῦ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας· καὶ ὁ

« Tempus belli, et tempus pacis. » Qui bellum gerit contra spiritales nequitias, pacem cum Deo habet. Et in hac quidem vita, tempus est assidue pugnandi contra principatus et potestates [37] : qui

[29] Matth. xxv, 27. [30] Matth. vii, [illegible] [31] [illegible] [32] [illegible] nic. vii, 37 seqq. [36] Cant. i, 1. [36] Matt

vero palmam consequetur, deinde in futuro sæculo lætabitur in deliciis et in multitudine pacis.

νικήσας, ἐν τῷ μέλλοντι εὐκαίρως κατατρυφᾷ ἐπὶ πλήθει εἰρήνης.

Vers. 9. « Quid habet amplius homo in iis quæ laborat? » Postquam ea persecutus est quæ ad actionum tempora occasionesque pertinent, iterum redit ad personam hominis contemplandam, docetque laborantem circa res humanas nihil denique plus cæteris habiturum : quandoquidem et adversa et prospera omnibus ferme communia sint; præcipue vero mortalis vitæ interitus. Solus itaque sapiens qui hæc cognoscit, amplius nonnihil cæteris hominibus assecutus fuerit.

« Τίς περισσεία τοῦ ποιοῦντος ἐν αὐτοῖς οἷς αὐτὸς μοχθεῖ; » Μετὰ τὰ περὶ καιρῶν, πάλιν ἄνεισιν ἐπὶ τὸ ἀνθρώπινον πρόσωπον· καὶ διδάσκει ὅτι ὁ περὶ τὰ ἀνθρώπινα μοχθῶν οὐδὲν πλέον ἔχει τῶν λοιπῶν, τῶν τε ἡδέων καὶ λυπηρῶν κοινῶν πᾶσι τυγχανόντων, καὶ διαφερόντως τοῦ ἐπὶ πάντων θανάτου. Μόνος οὖν ὁ σοφὸς ἔχει τι περιττόν.

Vers. 10, 11. « Vidi igitur occupationem quam dedit Deus filiis hominum ut occupetur in ea : omnia quæ fecit, bona sunt in tempore **622** suo. » Jam superius dictum est quod filiis quidem hominum, hoc est, secundum passionem carnis viventibus, sapientibus vero nequaquam, Deus occupationes et difficultates dedit, ut, dum occupantur circa ea quæ media quadam ratione indifferenter se habent tam ad malum quam ad bonum, penitus ad alteram partem (hoc est, ad iniquitatis viam) non delabantur. Omnia igitur media et indifferentia bona sunt, modo suo tempore exerceantur, et ad necessarios usus : sicuti est agrum colere, opibus comparandis studere, comedere et bibere, atque (ut semel dicatur) operandi bonum semper tempus est; sicut contra, semper tempus est a flagitiis abstinendi. Aliter : Tempus hic appellat usum ipsarum rerum, hoc est, cum quis rebus utitur quantum naturæ leges juraque permittunt. Ait itaque Ecclesiastes : Contemplatus ego hominum mores, quo pacto videlicet occupentur et convertantur ab iis quæ natura permittit, ad ea quæ sunt præter naturam : Hic, inquit, prudenter considerans, vidi quod natura quidem nihil est malum, sed omnia quæ secundum naturam moventur ac fiunt, per se bona sunt. Oculi enim boni sunt, qui sine prava intentione aliquid intuentur : sed cum occupantur et convertuntur a simplici operatione naturæ ad curiosa spectacula, non jam amplius boni sunt. Omnia igitur bona in tempore suo, hoc est, si secundum simplicem naturæ operationem, et juxta quod decet, usurpantur et fiant.

« Εἶδον οὖν τὸν περισπασμὸν, ὃν ἔδωκε ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν αὐτῷ· τὰ σύμπαντα ἃ ἐποίησε, καλὰ ἐν καιρῷ αὐτῶν. » Ἤδη λέλεκται ὡς τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ οὐχὶ τοῖς σοφοῖς πρὸς Θεοῦ δέδοται ὁ περισπασμός· ἵνα περὶ τὰ μέσα ἀδιάφορα ἀνασχολούμενοι μὴ τελείως εἰς κακίαν ἀποκλίνωσι. Πάντα οὖν καὶ τὰ μέσα ἀδιάφορα καλὰ, ἐν καιρῷ μέν τοι πραττόμενα, καὶ διὰ τὴν ἀναγκαίαν χρείαν, ὡς τὸ γεωργεῖν, τὸ πλουτεῖν, τὸ ἐσθίειν καὶ πίνειν· τῆς μέν τοι τοῦ ἀγαθοῦ πράξεως ἀεὶ καιρὸς, ὡς καὶ τῆς τοῦ κακοῦ ἀποχῆς. Ἄλλως· Καιρὸν τὴν κατὰ τὸ δέον καὶ κατὰ φύσιν χρῆσιν λέγει. Φησὶ οὖν ὁ Ἐκκλησιαστὴς, ὅτι θεωρήσας τὸν ἄνθρωπον πῶς περιεσπάσθη, καὶ περιετράπη ἐκ τῶν κατὰ φύσιν ἐπὶ τὰ παρὰ φύσιν, σοφῶς κατανενοηκὼς, εἶδον ὅτι οὐδὲν τῇ φύσει κακὸν, ἀλλὰ πάντα καλὰ κατὰ φύσιν κινούμενα καὶ γιγνόμενα. Ὀφθαλμοὶ καλοὶ ὁρθὰ βλέποντες, περισπασθέντες δὲ καὶ περιτραπέντες τῆς φυσικῆς ἐνεργείας περιέργως ὁρῶντες, οὐκέτι καλοὶ τυγχάνουσι. Πάντα οὖν καλὰ ἐν καιρῷ αὐτῶν, τουτέστι εἰ κατὰ φύσιν καὶ κατὰ τὸ δέον γίγνοιντο.

« Et sæculum tradidit Deus in cordibus eorum, ut non inveniat homo opus quod fecit Deus ab initio usque in finem. » Permisit, inquit, Deus sollicitos esse et occupari sapientes mundi hujus, ne si assidue et tranquillo animo attendissent ad fabricam et structuram mundi hujus, perspecta et cognita illius pulchritudine, visibilia hæc Deum esse vel deos arbitrarentur. In multiplici tamen occupatione non reliquit illos sua providentia destitutos, sed humanæ naturæ communem mortis cogitationem adjunxit, ut scientes quod hic perpetuo futuri non sumus, æternæ vitæ curam habeamus. Aliter : Sæculum significat temporale spatium, complectiturque omnia quæ in ipso fuerint. Inquit ergo : Deus filiis hominum sæculi præsentis dedit cognitionem, videlicet quod temporale initium habuit cœlum et terra et quæcunque conspicimus, et quod hæc ipsa tempore immutantur. Eorum vero quæ ante initium temporis fuerunt, quæque post hoc sæculum futura sunt, certam et manifestam scientiam non habemus : ideoque nobis dicitur ab alia Scriptura :

« Καί γε σὺν τὸν αἰῶνα ἔδωκε ἐν καρδίᾳ αὐτῶν, ὅπως μὴ εὕροι ὁ ἄνθρωπος τὸ ποίημα ὃ ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς, καὶ μέχρι τέλους. » [Τὸ σὺν ἰδίωμα Ἑβραϊκὸν, παρερριμμένως κείμενον ἐν τῇ Ἑβραϊκῇ φωνῇ. Ὁ δὲ νοῦς οὗτος·] Συνεχώρησεν ὁ Θεὸς περισπᾶσθαι τοὺς τὰ ἀνθρώπινα φρονοῦντας, ἵνα μὴ ἀθρόως τῷ ποιήματι προσεσχηκότες, καὶ εἰς ἔννοιαν τῆς καλλονῆς τῶν γεγονότων ἐλθόντες, Θεὸν ἢ θεοὺς εἶναι τὰ ὁρώμενα νομίσωσι. Πλὴν οὐκ ἀνεπικουρήτους εἴασεν τοὺς περισπωμένους· ἀλλὰ δέδωκε τῇ φύσει κοινὸν μάθημα τὸ τοῦ θανάτου, ἵνα εἰδότες ὅτι οὐ διαιωνίζομεν ἐν τούτῳ τῷ αἰῶνι, ἀνανήψαντες φροντίσωμεν τῆς μετὰ ταῦτα ζωῆς. Ἄλλως· Ὁ αἰὼν, διαστήματος χρονικοῦ σημαντικὸς ὤν, συμπεριλαμβάνει πάντα τὰ ἐν αὐτῷ γεγονότα. Τοῦ αἰῶνος οὖν, φησὶ, τοῦ παρόντος δέδωκεν ὁ Θεὸς τὴν γνῶσιν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὅτι τε ἀπὸ χρόνου ἤρξατο οὐρανὸς, καὶ γῆ, καὶ τὰ ὁρώμενα· καὶ ὅτι χρόνῳ λύεται. Τῶν μέν τοι γεγονότων πρὸ τούτου τοῦ αἰῶνος, ἢ τῶν μετὰ ταῦτα ἐσομένων σαφῆ τὴν γνῶσιν οὐκ εἰλήφαμεν· ἐφ' ᾧ καὶ ἀκούομεν παρ' ἑτέρας Γραφῆς,

Digitized by Google

Ὑψηλότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα. A *Altiora te ne quæsieris, et profundiora te ne scrutator* [38].

« Ἔγνων ὅτι οὐκ ἔστιν ἀγαθὸν ἐν αὐτοῖς, εἰ μὴ τοῦ εὐφρανθῆναι, καὶ τοῦ ποιῆσαι ἀγαθὸν ἐν ζωῇ αὐτοῦ. » Ὁ σοφὸς οἶδε τὸ φύσει ἀγαθόν. Φύσει δὲ ἀγαθὸν μόνος ὁ Θεὸς, ὁ πάντα ποιῶν ἀγαθότητι. Ὁ κατὰ τὸ ἐφικτὸν οὖν ἀγαθοποιῶν, καὶ τὴν πρὸς Θεὸν καὶ τὸν πλησίον σώζων ἀγάπην, οὗτος εὐφραίνεται τὴν ἀνεκλάλητον εὐφροσύνην. Ἔγνων οὖν, φησὶ, ὅτι οὐδέν ἐστιν ἀγαθὸν ἐν βίῳ, εἰ μὴ αὐτὸ τὸ ποιεῖν τὸ ἀγαθὸν, καὶ ἐν τῇ τοῦ ἀγαθοῦ πράξει εὐφραίνεσθαι.

Vers. 12. « Et cognovi quod non est bonum in ipsis, nisi lætari et facere bonum in vita sua. » Sapiens cognoscit quod natura bonum est : Natura autem bonus solus est Deus, qui omnia protulit ex sua ingenua bonitate. Qui tamen, quantum in se est, quantumque sua facultas patitur, bonum operatur erga Deum et proximum charitate servata, hic ineffabili et vera lætatur lætitia. **623** Cognovi igitur, inquit, quod nihil est boni in vita nisi hoc ipsum, bonum operari et in bona operatione lætari.

« Καί γε πᾶς ἄνθρωπος ὃς φάγεται καὶ πίεται, καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ, τοῦτο δόμα Θεοῦ ἐστι. » Ὁ μὲν σοφὸς ἔγνω τί τὸ ὄντως ἀγαθόν· ὁ δὲ πᾶς ἄνθρωπος, τουτέστι ὁ πολὺς καὶ χωδαῖος ἄνθρωπος ἀποσφαλεὶς τῆς τοῦ ἀληθῶς ἀγαθοῦ γνώσεως, ἐν τῇ ἡδονῇ τὸ ἀγαθὸν ὁριζόμενος, τὸ ἐσθίειν καὶ πίνειν ἀγαθὸν ὑπολαμβάνει. Καὶ ὅτι μὲν ἡ τῶν αἰσθητῶν ἡ χορηγία ἐκ Θεοῦ τοῖς ἀνθρώποις δίδοται, πρόδηλον· οὐ μέν τοι ἵνα καταχρώμεθα τοῖς ὑπὸ Θεοῦ χορηγουμένοις, ἀλλ' ἵνα κοινωνικοὶ ὦμεν, καὶ εὐμετάδοτοι συμμέτρως, καὶ μετ' εὐχαριστίας τῶν ὑπὸ Θεοῦ δεδομένων μεταλαμβάνοντες. Ἔπλεξε τοιγαροῦν τὰ πρόσωπα τοῦ τε σοφοῦ, καὶ τοῦ κυρίως εἰδότος ἀγαθὸν, καὶ τοῦ πεπλανημένως τὴν τοῦ ἀγαθοῦ γνῶσιν ἔχοντος.

Vers. 13. « Et omnis homo qui comedit et bibit, et videt bonum in omni labore suo, hoc donum Dei B est. » Sapiens quidem novit quod bonum est : omnis autem homo, hoc est vulgaris, et in multitudine media sumptus, qui aberrat a cognitione veri boni, cum voluptate sola bonum definiat et metiatur, comedere ac bibere bonum esse existimat. Et sane manifestum quod sensibilium rerum copia, Dei munere hominibus data est, non tamen ut concessis rebus abutamur, sed ut eas communicemus, in proximos liberales ; Deo gratias agentes de acceptis muneribus. Commiscuit autem hoc loco personas Ecclesiastes, ejus scilicet qui vere sapiens, quod proprie bonum est cognoscit, et ejus qui errore malo ductus, fallitur circa ipsius boni cognitionem.

« Ἔγνων ὅτι πάντα ὅσα ἐποίησεν ὁ Θεὸς, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα· ἐπ' αὐτῶν οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν, καὶ ὁ Θεὸς ἐποίησεν αὐτὰ, ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ. » Τῶν ὄντων τὰ μέν εἰσιν ὁρατὰ, τὰ δὲ ἀόρατα. Ὁ δὲ λόγος νῦν περὶ τῶν ὁρατῶν· τούτων δὲ τὰ μὲν ἀεὶ τὰ αὐτὰ εἰσὶν, ὡς γῆ, καὶ οὐρανὸς, καὶ ἥλιος, καὶ σελήνη· τὰ δὲ ταῖς διαδοχαῖς τὰ αὐτὰ μένουσιν, ὡς ἄνθρωπος, καὶ φυτὰ, καὶ τὰ ὅμοια. Ἔγνων οὖν, φησὶν, ὅτι οὐδέν ἐστι προσθεῖναι τῇ τοῦ Θεοῦ διακοσμήσει τελείως ἐχούσῃ, καὶ ἀνελλιπῶς· ἀλλ' οὐδὲ ἀφελεῖν τι τῶν ἁπάντων ὡς περιττόν. Οἱ δὲ τῇ τῶν γεγονότων θεωρίᾳ ἐπιβάλλοντες, καὶ τὸν λόγον ἑκάστου κατὰ τὸ δυνατὸν εὑρίσκοντες, φόβῳ θείῳ συνέχονται, καὶ εἰς ἔκπληξιν χοροῦσι τοῦ γενεσιουργοῦ τὴν σοφίαν ἀποθαυμάζοντες. Ἀπόκειται τοιγαροῦν φυσικῶς ἐν ταῖς κοιναῖς ἐννοίαις Θεοῦ φόβος, ἢ νόμος ἀπὸ τῆς τῶν γεγονότων εὐαρμοσίας ἐπὶ τὴν τοῦ ποιήσαντος δύναμιν τοὺς πιστοὺς ἀνακινῶν. Χρὴ δὲ εἰδέναι ὡς τὰ ὁρώμενα νοητῶν τινων τυγχάνουσι σύμβολα· ὥστε κατὰ τὸν λόγον δι' ὃν γεγόνασιν, ἀνελλιπῆ τυγχάνουσι. Εἴτε γάρ τι προηγουμένως γέγονε ὑπὸ Θεοῦ, εἴτε κατὰ δεύτερον λόγον, οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Πάντα τοίνυν καλὰ, πάντα τέλεια, καὶ ἀπέριττα τοῦ Θεοῦ τὰ ποιήματα.

τοῦ Θεοῦ· καὶ ἐγγὺς τοῦ ἀκούειν. » Ὁμωνύμως τὰ τοῦ ἔξωθεν ἀνθρώπου μέλη λέγονται καὶ ἐπὶ τῆς ψυχῆς, ὡς ὀφθαλμὸς, καὶ χεὶρ, καὶ πούς, καὶ τὰ λοιπά. Οὐκ ἔστι δὲ καὶ τὰ λεγόμενα ἐπὶ τῆς ψυχῆς λέγεσθαι ἐπὶ τοῦ σώματος· λέγονται γὰρ ἐπὶ τῆς ψυχῆς πτέρυγες, κατὰ τὸ, *Εἰ κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι.* Φύλαξον οὖν τῆς ψυχῆς σου πόδα ἐν παντὶ πράγματι, ἐν ᾧ ἂν πορεύῃ, ἐπὶ τῷ καταντῆσαί σε ἐπὶ τὸν τοῦ Θεοῦ οἶκον, τουτέστι τὴν ἐπουράνιον Ἱερουσαλήμ. Ὁ δὲ φυλάττων τὸν πόδα τῆς ψυχῆς, ἐγγύς ἐστι τοῦ ἀκούειν, τουτέστι τοῦ ὑπακούειν τῷ λόγῳ, καὶ κατορθοῦν τὰς θείας ἐντολάς. Εἰ δὲ καὶ περὶ τοῦ αἰσθητοῦ ποδὸς ἐκλάβοις τὸ εἰρημένον, Φύλαξον, φησὶ, τὸ ὅλον σῶμα· μερικῶς γὰρ ἐκ τοῦ ποδὸς τὸ ὅλον ἐσήμανε, ἵνα μὴ διὰ τῶν αὐτῶν τῇ τε ἀρετῇ καὶ τῇ κακίᾳ ἐξυπηρετῇ. Οἷον· Διὰ τῶν αὐτῶν ποδῶν μὴ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις κοσμικοῖς βάδιζε. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Οἱ γὰρ εἰς οἶκον Θεοῦ πορευόμενοι, ἀμέτοχοι τῶν ἐναντίων ὀφείλουσιν εἶναι.

A in domum Dei, et propinquus ut audias. » Æquivoca quadam ratione loquendi, exterioris hominis membra de anima et interiore dicuntur, ut oculos puta, manus ac pedes, et membra reliqua. Non tamen contra contingit ut animæ et interioris hominis partes de exteriore dici consueverint; dicuntur enim pennæ alæque de anima, juxta illud : *Si dormiatis inter medios cleros, pennæ columbæ deargentatæ* [60]. Inquit ergo : Custodi animæ tuæ pedem in omni opere tuo cum incedis, ut in conspectum venias domus Dei, hoc est, cœlestis Jerusalem. Qui vero custodit pedem animæ suæ, prope est ut audiat, hoc est, ut obediat verbo divinæ præceptionis, et proficiendo mandata legis exsequatur. Quod si de corporali pede dictum intelligas : Custodi, inquit, B totum corpus tuum (a parte enim totum significavit), ne instrumentis eisdem quibus in bono utimur, abutamur in malo. Quasi dicat : Ne, quæso, pedibus eisdem quibus templum Dei frequentas, theatrales adito ludos et obscena spectacula. De aliis quoque humani corporis membris idem intellige faciendum. Et profecto qui impolluto pede subeunt ecclesiam Dei, debent ab impiis locis et profanis se penitus, ut Deo contrariis, continere.

« Ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία σου, ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν. » Ἐπειδή εἰσι καὶ ἄφρονες πολλάκις προσφέροντες, ὡς οἱ διὰ κενοδοξίας τὴν ἐλεημοσύνην ἐργαζόμενοι· καὶ ὁ Κάϊν ὀρθῶς μὲν προσενεγκὼν, μὴ ὀρθῶς δὲ διελών· ἡ σὴ, φησὶν, θυσία κεχριμένως καὶ μετὰ γνώσεως γινέσθω. Οἱ γὰρ ἄφρονες οὐδὲ ἴσασιν ὅτι κακῶς προσφέρουσι, διὰ τὸ μὴ ἔχειν γνῶσιν καὶ διάκρισιν. Ὁ γὰρ μετὰ γνώσεως τὸ καλὸν ἐνεργῶν, μετὰ γνώσεως καὶ τοῦ ἐναντίου ἀπέχεται. Ὁ δὲ τὸ πρῶτον ἀγνοῶν, καὶ τὸ λοιπὸν ἀγνοήσει. Τὸ οὖν, *Ὅτι οὐκ εἰσὶν εἰδότες τοῦ ποιῆσαι κακόν*, ἀντὶ τοῦ, Ἀγνοίᾳ συνέχονται, καὶ ἐσκοτισμένοι, τυγχάνουσι τὴν διάνοιαν. Κυριολέκτως δὲ ἐνταῦθα τὸ μὲν τῶν *ἀφρόνων δόμα* ἐκάλεσε, ἐπὶ δὲ τῶν φρονίμων *θυσίαν* εἶπε.

« Super donum stultorum sacrificium tuum, quia ignorant quid faciant mali. » Quia stulti quoque nonnunquam munus offerunt Deo, ut qui ex inani gloria eleemosynam faciunt : sicut et Cain qui recte quidem offerebat, male autem dividebat. Ideo, tuum, inquit, sacrificium cum prudentia fiat et C discretione. Insipientes enim non intelligunt, quoties male offerunt, eo quod illorum zelus careat discretionis judicio. Qui enim prudens ac sciens operatur bonum, pari quoque cognitione malum devitat. Qui vero prius illud ignorat, facile et alterum ignorabit. Illud itaque quod ait : *Quia ignorant quid faciant mali*, ita intellige : Ignorantia occupantur, et tenebris obteguntur eorum mentes. Proprie autem et distincte locutus est cum dixit, *donum stultorum*, *sacrificium* vero, prudentium tantummodo intellexit.

ΚΕΦΑΛ. Ε'.

« Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ καρδία σου μὴ ταχυνέτω τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ Θεοῦ, ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω. » Τὴν προπετῆ γλῶτταν ἀναστέλλεσθαι παραινεῖ· εἶτ' ἐπειδὴ ἐκ καρδίας προπετοῦς ἡ γλῶττα τοῖς ἀσόφοις ὑπηρετεῖται νοήμασιν, αὐτὴν ἐμφράττων τὴν πηγὴν τῶν ἀκαίρων λόγων, ἐπάγει, *Ἡ καρδία σου μὴ ταχυνέτω τοῦ ἐξενεγκεῖν λόγον πρὸ προσώπου τοῦ Θεοῦ*· ἀντὶ τοῦ, Διὰ τὸ τὸν Θεὸν ἐφορᾷν πάντα, καὶ τὰ ἐν τῇ ψυχῇ συνιστάμενα νοήματα, κἂν μὴ διὰ λόγων ἐμφέρωνται· τὴν γὰρ ὑψηλοτάτην τῶν οὐρανῶν περιωπὴν οἰκῶν ὁ Θεὸς, τὰ ἐν τῷ βάθει πάντα κατοπτεύει. Ἄλλως· Μὴ ταχὺ περὶ θεολογίας λάλει, μηδὲ ὡς ἔτυχε· οὐ γὰρ δύνῃ θνητὸς ὢν καὶ σάρκα φορῶν, καὶ κάτω περικείμενος, οὐσίαν Θεοῦ τοῦ ἀοράτου καὶ ὑπερουρανίου

CAPUT V.

VERS. 1. « Ne festines in ore tuo, neque properet cor tuum ad offerendum sermonem in conspectu D Dei, quoniam Deus est in cœlo superius; **634** et tu inferius in terra. » Promptam ad loquendum linguam corripiendam monet : tum vero quia e temerario ac prompto corde ipsi linguæ fatuæ, sententiæ quas efferat, suggeruntur : ut fontem quoque ipsum ac caput obstruat insipientium verborum, inquit : *Ne properet cor tuum efferre verbum in conspectu Dei.* Quasi dicat, quia Deus ubique præsens, omnia perspicit, etiam deprehendens occultas animæ cordisque cogitationes, quanquam per sermonis indicium non emergant : Deus enim qui in altissima cœlorum specula sedem habet, quæ in imo fiunt, conspicit universa. Aliter : Ne temere de divinis mysteriis verba profunde, neque utcunque omnia

[60] Psal. LXVII, 24.

Digitized by Google

quæ in buccam veniunt : mortalis enim homo cum sis, ac gravi corpore circumseptus, et orbis infimus habitator, nequaquam potes invisibilis Dei substantiam supercœlestisque comprehendere. *Idcirco sint pauci sermones tui.* Ob omnes causas superius dictas, sint tui sermones non solum pauci numero, sed etiam diligenti examinatione perpensi.

καταλαβεῖν. Ἐπὶ τούτων ἐστωσαν οἱ λόγοι σου ὀλίγοι. Διὰ οὖν τὰ προειρημένα πάντα, ἐστωσαν οἱ λόγοι σου οὐ μόνον ἀριθμῷ, ἀλλὰ καὶ ἀκριβείᾳ.

Vers. 2. « Quoniam in multitudine tentationis advenit somnium, et vox stulti in multitudine sermonum. » Si more proverbii, absolute ac libere hoc dictum putes, ita intellige : Sicut qui per diem multis tentationibus curisque agitantur, per quietem subinde somniis conturbantur : ita et stultus in multiloquio peccans, sua ipsius voce arguitur. Aliter : Sicut somnium, dormientem quempiam vel ad avaritiam vel ad libidinem tentans evolat, et mox irritum evanescit, ut nihil eorum quæ facere videbatur, certum esse contingat : ita et vox hominis stulti nihil utile commodumque concludens, somnio videtur esse persimilis. Quasi dicat : Somniis comparatur stulti hominis sermo. Sin autem velis Ecclesiasten, quasi ratione confirmantem quæ superius attulit, hæc verba proferre ; videlicet, quoniam advenit somnium in multitudine tentationis, et vox stulti in multitudine sermonum, ita accipies, ut quasi nos moneat, dicens : Ne multiloquus esto ac nugax, neque stultitiam tibi insitam tuo profer sermone, quoniam multæ nugacibus adveniunt tentationes quæ ipsos non interdiu solum vigilantes conturbent, sed per quietem quoque dormientes exterreant.

« Ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει περασμῶν, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων. » Εἰ μὲν παροιμιακῶς καὶ ἀπολύτως ταῦτα λέγει, οὕτω νοήσεις· Ὥσπερ, φησὶν, οἱ μεθ' ἡμέραν πολλοὺς πειρασμοὺς ὑπομένοντες, καὶ δι' ἐνυπνίων ἐκταράττονται· οὕτω καὶ ἐν τῇ πολυλογίᾳ διὰ τῆς ἑαυτοῦ φωνῆς ὁ ἄφρων ἐλέγχεται. Ἄλλως· Ὥσπερ ἐνύπνιον πειράσαν τινὰ εἰς πορνείαν τυχὸν, ἢ φιλαργυρίαν, ἀφίπταται, καὶ οὐδὲν τῶν κατ' ὄναρ δοκούντων πράττεσθαι ἀληθὲς τυγχάνει· οὕτω καὶ ἡ φωνὴ τοῦ ἄφρονος οὐδεμίαν ὄνησιν ἢ πρᾶγμά τι ἐπωφελὲς ἐργασαμένη, ἐνυπνίῳ ἔοικε. Ἵνα εἴπῃ, ὅτι Ὀνείροις ἐοίκασιν οἱ τοῦ ἄφρονος λόγοι. Εἰ δὲ ὡς αἰτίαν ἀποδιδοὺς τῶν ἀνωτέρω, ἐπήγαγε τὸ, ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ, καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων, οὕτω νοήσεις· Μὴ ἔσο, φησὶ, φλύαρος, μηδὲ τὴν ἑαυτοῦ ἀφροσύνην διὰ τῶν οἰκείων ἐπιδείκνυε λόγων, ὅτι τοῖς φλυαροῖς πολλοὶ συμβαίνουσι πειρασμοί· οὐ μόνον αἰσθητῶς, καὶ μεθ' ἡμέραν, ἀλλὰ καὶ καθ' ὕπνον αὐτοὺς ἐκδειματοῦντες.

Vers. 3. « Sicut vovisti votum Deo, ne moreris illud reddere, quoniam non est voluntas in stultis. Tu igitur quæcunque voveris, redde. » Oratio est, bonorum a Deo petitio : votum autem est, cum quid Deo pollicemur nos daturos. Vovemus autem Deo et pollicemur non pecunias modo, sed abstinentiam victus, et castitatem, et quæ sunt generis ejusdem. Quia ergo stultos persæpe pollicitorum pœnitentia subit ac dolor, nolentes vota persolvere, hortatur ut cito ac velociter quæ promisimus Deo reddamus.

« Καθὼς ἂν εὔξῃ εὐχὴν τῷ Θεῷ, μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτὴν, ὅτι οὐκ ἔστι θέλημα ἐν ἄφροσι· σὺ οὖν ὅσα ἂν εὔξῃ, ἀπόδος. » Προσευχή ἐστιν αἴτησις ἀγαθῶν παρὰ Θεοῦ· εὐχὴ δὲ ἡ ἐπαγγελία· ἐπαγγέλλεταί τις Θεῷ οὐ μόνον χρήματα, ἀλλὰ καὶ νηστείαν, καὶ ἁγνείαν, καὶ ὅσα τοιαῦτα. Ἐπεὶ οὖν οἱ ἄφρονες μετὰ τὸ ἐπαγγείλασθαι μεταμέλονται, οὐ θέλοντες πληρῶσαι τὴν εὐχὴν, παραινεῖ μετὰ πολλοῦ τοῦ τάχους ἐκπληροῦν τὰς ἐπαγγελίας.

Vers. 4. « Melius est te non vovere, quam post votum promissa non reddere. » Malum est procul dubio ac detestabile si nihil unquam velis Deo tribuere; 635 multo tamen est pejus si pollicearis te Deo quid daturum, neque persolvas. Duobus igitur propositis malis, bonum dixit quod minus est malum. Alio quoque sensu intellige : Cave ne quid temere promittas in conspectu Dei, quia simul ac reus voti factus fueris, multitudo te circumveniet tentationum quæ persolvere promissionem impediat, ita ut ne dormiens quidem sine molestia sis futurus. Ut, exempli gratia, pecunias avarus quispiam vovit Deo se daturum, mox autem non interdiu solum torquetur et avocatur, rationibus hinc inde subductis egestatem sibi ac pauperiem ante oculos ponens, sed, ut par est, dormiens quoque, eisdem imaginibus impeditur ne vota Deo persolvat. Quanto autem supplicio torquendi sint qui contemnunt vota complere, docent nos in Actibus apostolorum Ananias et Saphira, repentina morte sublati [61].

« Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ τὸ εὔξασθαί σε, καὶ μὴ ἀποδοῦναι. » Κακὸν τὸ μὴ ὅλως θέλειν τι διδόναι Θεῷ· χεῖρον δὲ τὸ ἐπαγγείλασθαι διδόναι, καὶ μὴ ἀποδιδόναι. Ἐν δυσὶ τοίνυν κακοῖς ἀγαθὸν εἶπε τὸ ἧττον κακόν. Καὶ τοῦτό ἐστι καθ' ἑτέραν νόησιν· τὸ μὴ ταχῦναι τοῦ ἐξενεγκεῖν πρὸ προσώπου τοῦ Θεοῦ ἅτι μετὰ τὸ τάξασθαι, πλῆθος ἐπανίσταται πειρασμῶν, ἐμποδίζον τῇ εὐχῇ, ὡς καὶ καθ' ὕπνον ἐκταράττεσθαι. Οἷον φιλάργυρος χρήματα ταξάμενος διδόναι Θεῷ, οὐ μόνον μεθ' ἡμέραν ἀγωνιᾷ καὶ ἀναχαιτίζεται, πενίαν αὐτῷ καὶ ἀπορίαν τῶν λογισμῶν ὑπογραφόντων· ἀλλὰ καὶ ἐν νυκτὶ, ὡς εἰκὸς, ταῖς ὁμοίαις φαντασίαις παρενοχλούμενος, ἀνακόπτεται τοῦ πληρῶσαι τὴν εὐχήν. Ὅσον δὲ τὸ ἐπιτίμιον τῶν μὴ πληρωσάντων τὰς εὐχὰς, δηλοῦσιν Ἀνανίας καὶ Σάπφειρα θανάτῳ καταδικασθέντες.

[61] Act. v, 1-12.

Digitized by Google

« Μὴ δῷς τὸ στόμα σου ἐξαμαρτάνειν τὴν σάρκα σου. » Φλύαρος γλῶττα ὅλον τὸ σῶμα σπιλοῖ, μάλιστα δὲ ἡ πρὸς γυναῖκας ἀφύλακτος ὁμιλία ἐρεθίζει τὴν σάρκα πρὸς τὴν ἁμαρτίαν. A

« Καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ Θεοῦ, ὅτι ἄγνοιά ἐστι. » Ἁμαρτάνων, φησὶ, ἐξ ἀχαλίνου στόματος, μετανόει, καὶ μὴ προφασίζου, καὶ λέγε ὅτι Κατὰ ἄγνοιαν ἥμαρτον. Ἄλλως· Οἱ πρὸς βάθος κακῶν ἐλάσαντες, καὶ εἰς καταφρόνησιν ἐλθόντες, Οὐκ ἀξιοῖ, φασὶν, ὁ Θεὸς εἰδέναι τὰ ἐν ἀνθρώποις ἁμαρτήματα· σὺ οὖν, φησὶ, μὴ τοῦτο εἰπέ· οὐδὲν γὰρ λέληθεν τὸν θεῖον ὀφθαλμόν.

« Ἵνα μὴ ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ σου, καὶ διαφθείρῃ τὰ ποιήματα τῶν χειρῶν σου. » Μὴ ἁμάρτανε, φησὶ, διὰ γλώττης, ἵνα μὴ καὶ τὰς κατὰ ἀρετὴν πράξεις διαφθείρῃς. Ὀργιζόμενος γὰρ ὁ Θεὸς ἐπὶ τοῖς προπετέσι λόγοις, καὶ εἴ τι καλὸν ἡμῖν εἰργάσθαι δοκεῖ, ἐξαφανίζει. Ἄλλως· Μὴ λέγε, ὅτι Ἀγνοεῖ ὁ Θεὸς τὰ ἐν ἀνθρώποις ἁμαρτήματα· ὀργίζεται γὰρ ὁ Θεὸς ἐπὶ τῇ τοιαύτῃ φωνῇ, καὶ οὐ συνευδοκεῖ ταῖς ἡμῶν πράξεσι. Τοὺς δὲ παχυτέρους ἐννεύων, ἔσθ' ὅτε καὶ πενίαν αὐτοῖς ἐπάγει, διαφθείρων ποιήματα χειρῶν αὐτῶν. B

« Ὅτι ἐν πλήθει ἐνυπνίων, καὶ ματαιοτήτων, καὶ λόγων πολλῶν. » Τρία τινὰ ἑαυτοῖς ἐοικότα παρέθηκε· τὰ ἀνύπαρκτα τῶν ὀνείρων φαντάσματα, τὰς τῶν ἀνθρώπων ματαιοπονίας, καὶ τὴν τῶν πολλῶν λόγων ἄκαιρον φλυαρίαν. Ἐοίκασι γὰρ οἱ τοῦ φλυάρου λόγοι ὀνείροις· οὐδὲν δὲ ὀνείρων διαλλάττουσιν, οὐδὲ αἱ τῶν ἀνθρώπων ματαιοσπουδίαι. Ἐν πλήθει οὖν ἐνυπνίων, τουτέστι τῶν ἐνυπνιαζομένων ἀνθρώπων, καὶ ματαιοπονούντων, καὶ φλυαρούντων, ὁ Θεὸς ὀργίζεται. Πλῆθος δὲ λόγων μὴ τὴν πολυεπείαν νόμιζε, ἀλλὰ τὴν ἀργολογίαν· καὶ γὰρ ὁ Παῦλος τὸν λόγον παρατείνων μέχρι μεσονυκτίου, ἀκόρεστος ἦν τοῖς ἀκούουσιν. Ὁ δὲ πολλὰ λέγων, καὶ τὸ πρᾶγμα μὴ ὡς θεῖον δηλώσας, οὐδὲν εἰρηκέναι λέγεται· ὁ γὰρ παρὰ τὸ δέον φθεγγόμενος, καὶ ἕως ἑνὸς λόγου φλύαρος εἶναι λέγεται. Γενικὴν δὲ φυλακὴν πασῶν τῶν ἀρετῶν ἐκδιδάσκων, ἐπάγει, ὅτι *Τὸν Θεὸν φοβοῦ*. Ὁ γὰρ φόβος Κυρίου πάντα ὑπερέβαλε. C

« Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος ἴδῃς ἐν χώρᾳ, μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι, ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάσσει, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς· καὶ περισσεία γῆς. » Ἁρπαγὴν κρίματός φησι τὸ τοὺς πλουσίους ἐξωνεῖσθαι παρὰ τῶν δικαζόντων τὰς ἀδίκους ψήφους· καὶ ἄλλως δὲ ἁρπαγὴν κρίματος ἐργάζεται, ὁ τὰς μηδὲν ἑαυτῷ προσηκούσας κρίσεις ἁρπάζων. Ἐὰν οὖν, φησὶν, ἴδῃς ὑπὸ τῶν πλουσίων καὶ συκοφαντῶν τοὺς πένητας καταδυναστευομένους, μὴ θαυμάσῃς, ἀντὶ τοῦ, μὴ D

Vers. 5. « Ne dederis os tuum ut peccare facias carnem tuam. » Lingua si nugax fuerit, corpus totum coinquinat, præsertim vero si cum mulieribus incautus sermo commisceatur, carnem stimulat ad peccandum.

« Ne dixeris ignorantiam esse in conspectu Dei. » Cum effreni, inquit, lingua peccaveris, ad pœnitentiam redi, neque consuetam prætende excusationem quod imprudens nesciusque peccaveris. Aliter : Qui in ipsa fæce nequitiæ volutantur, ita providentiam Dei negant et aspernantur, ut dicant dedignari Deum curare ac scire quæ hic ab hominibus scelera committantur; at tu nequaquam hæc dixeris, nihil enim latet oculos Dei.

« Ne forte irascatur Deus contra sermonem tuum, et destruat opera manuum tuarum. » Ne, inquit, ore tuo ac lingua peccaveris, ne et fructum bonorum operum tuorum amittas. Iratus enim Deus contra temerarios sermones, delet e libro vitæ si quid est quod pie videamur nobis laudabiliterque fecisse. Aliter : Cave ne dicas : Deus ignorat quæ ab hominibus perpetrantur ; irascitur enim talia dicentibus, neque approbat opera illorum. Simplices quoque et tardioris ingenii peccatores, nihilominus e medio tollit, vel paupertate eosdem plectit, illorum fortunas operaque corrumpens.

Vers. 6. « Quoniam in multitudine somniorum ac vanitatum, copiaque sermonum ; tu Deum time. » Tria simul valde similia comparavit : inania scilicet somniorum phantasmata, vanos hominum labores, et ineptam multiloquii loquacitatem. Somnii enim persimilia sunt, nugacis hominis verba, neque sane multum a somniis differunt irrita hominum studia. In multitudine igitur somniorum, hoc est, somniantium hominum, frustraque laborantium, necnon verba plurima effundentium, irascitur Deus. Multitudinem autem hoc loco, non simpliciter multiloquium intellige, sed otiosiloquium. Paulus enim loquens de regno Dei, quamvis ad mediam usque noctem verba produceret [61]; nullo tamen auditores afficiebat fastidio. **636** Qui autem multa quidem verba profundat, rem vero ipsam de qua agitur minus facilem reddat, nihil ferme videtur locutus fuisse. Sed qui otiose ac præter rem loquitur, in verbo quoque uno nugax esse deprehenditur. Simul autem nobis cunctarum virtutum observantiam suggerens : *Tu*, inquit, *Deum time :* timor enim Domini omnia excedit.

Vers. 7. « Si calumniam pauperis et rapinam judicii videris in provincia, ne mireris super hoc negotio, quoniam excelso excelsior est alius qui custodiam habet, et super ipsos alii quoque excelsi sunt ; et superfluitas terræ. » Rapinam judicii vocat, cum ditiores in provincia et civitate, largitionibus corrumpunt judices ad iniqua judicia. Aliter : Etiam rapinam judiciorum exercet qui causas nihil ad se pertinentes, violenter sibi vindicat et extorquet. Ait ergo : Quotiescunque videris calumnia et largitioni-

[61] Act. xx, 17 seqq.

Digitized by Google

bus inopes a potentioribus premi, ne admireris; hoc est, ne ita ob hanc ipsam rem indigneris, ut fluitare mundum sine ulla providentia suspiceris. Deus enim super omnes excelsus, omnia speculans, et observans quæ ab ipsis patrantur qui sibi videntur excelsi, locupletes et gloriosi, reddet unicuique pro suorum operum dignitate. Et super ipsos excelsi : hoc est, qui seipsos inaniter jactant et magnifaciunt, nihil aliud ferme censendi sunt quam superfluitas terræ, hoc est, inutilis terræ globus et massa ; juxta illud : *Quid superbis*, inquit, *terra et cinis* [63] ?

A δυσχεράνῃς, μηδὲ ἀποδυσπετήσῃς, μηδὲ ἀπρονόητον εἶναι τὸν κόσμον νομίσῃς. Ὁ γὰρ ὑψηλότερος ἁπάντων Θεὸς, ἐπάνω πάντων ὤν, καὶ ἐπιτηρῶν ἕκαστα τῶν πραττομένων ὑπὸ τοῦ δοκοῦντος ὑψηλοῦ, καὶ πλουσίου, καὶ μεγαλαύχου, ἑκάστῳ τὸ κατ' ἀξίαν ὧν ἔπραξεν ἀπονέμει. Καὶ οἱ ὑψηλοὶ ἐπ' αὐτοῖς, τουτέστι οἱ ἐφ' ἑαυτοῖς μεγαλοφρονοῦντες, οὐδὲν ἕτερόν εἰσιν εἰ μὴ περισσεία γῆς, ἀντὶ τοῦ, ἀχρεῖος γῆ. *Τί γὰρ ὑπερηφανεύῃ, φησὶ, γῆ καὶ σποδός;*

Vers. 8. « Super omnes autem rex est Dominus agri elaborati. » Generali quadam conclusione utens, Deus, inquit, instar viridarii mundum sibi hunc excoluit et ornavit, et in eo dominatur ut dominus agri cujus et assiduam providentiam gerit. Non itaque B decet opinari mundum carere gubernatione regnantis, ob eas quæ inter homines fiunt iniquitates : imo revocare in mentem oportet quod, cum mundus hic ager nuncupetur, juxta evangelicam parabolam [64], Deus hominem mundi hujus regem dominumque constituit, sicut scriptum est : *Omnia subjecisti sub pedibus ejus* [65]. Admonet itaque nos hoc loco Ecclesiastes, dignitatis nostræ, ut debitam venerationem exhibentes Deo qui nos regia honestavit corona, pie officioseque vivamus. Aliter : Quandoquidem Deus universi hujus mundi est Dominus et possessor, veluti spiritualis agri cujusdam diligentia summa elaborati, idcirco seduli caveamus ne demoliamur vineam Domini Sabaoth, aut iniquis actionibus, aut C impiis dogmatis, aut perniciosis doctrinis. Omnibus enim præest, omnia speculatur agri dominus et possessor elaborati. Aliter : Divina ipsa Scriptura est velut ager quidam ferax et odoratus, quasique paradisus optimis arboribus consitus, habensque thesaurum occultum. Par est autem ut qui hunc habere quærunt thesaurum, placere studeant Regi Domino agri hujus, hoc est, Deo omnipotenti. Placebunt autem, si cunctis mundi deliciis renuntiaverint ; et, si neque Judæorum more solum litteræ jacentis sensum consectentur : **637** neque e cunctis etiam Scripturæ verbis allegorias et mysteria perscrutentur, ita ut (tanquam inutilem posthabentes litteræ veritatem) plantas agri hujus radicitus subruant et evellant ; cum potius deceat fideliter quæ sunt scripta rimari, et duce Spiritu ligonibus terram versare, dum scrutamur quo pacto Deo placere possimus agri hujus Domino, et spiritualem illi paradisum reddamus excultum

« Ἐπὶ παντί ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. » Καὶ γενικῶς, φησὶ, λέγων · ὥσπερ τινὰ παράδεισον τὸν ἑαυτοῦ κόσμον ὁ Θεὸς καλλιτεχνήσας, τοῦ ἑαυτοῦ ἀγροῦ βασιλεύει καὶ προνοεῖ. Ὥστε οὐ B προσήκει διὰ τὰς ἐν ἀνθρώποις ἀνωμαλίας, ἀβασίλευτον ἢ ἀπρονόητον τὸν κόσμον νομίζειν. Προσήκει δὲ εἰδέναι, ὡς τοῦ κόσμου τούτου ἀγροῦ ὠνομασμένου, κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολὴν, τὸν ἄνθρωπον ὁ Θεὸς βασιλέα κατέστησε, κατὰ τὸ, *Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ*. Ἀναμιμνήσκει τοίνυν τοῦ ἀξιώματος, ἵνα τιμῶντες ἡμᾶς στεφανώσαντα, τὰς ἀρετὰς ἐργασώμεθα. Ἄλλως · Ἐπειδή ἐστι βασιλεὺς ὁ Θεὸς τοῦ θεωρηθέντος ἀγροῦ τοῦ ἀκροφυῶς εἰργασμένου, μὴ διαφθείρωμεν αὐτοῦ τὴν ἀμπελῶνα, ἢ πράξεσιν ἀθέσμοις, ἢ δόγμασιν ἀθέοις, ἢ διδασκαλίαις ὀλεθροφόροις. Ἐπὶ πᾶσι γάρ ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. Ἄλλως · Ἡ θεία Γραφὴ ἀγρός τίς C ἐστιν εὐώδης, εὔκαρπος, παράδεισος σύμφυτος, ἔχων θησαυρὸν κεκρυμμένον. Καὶ προσήκει τοῦτον ἀναζητοῦντα σπουδάζειν ἀρέσκειν τῷ βασιλεῖ τοῦ ἀγροῦ, τουτέστι τῷ Θεῷ, ἀποβαλλόμενον τὰ ἐν κόσμῳ πάντα, μήτε δὲ τῷ γράμματι μόνον προσέχειν Ἰουδαϊκῶς, μήτε ὅλα ἐξ ὅλων ἀλληγορεῖν, καὶ ἐκριζοῦν τὰ φυτὰ, τὴν ἐκ τοῦ γράμματος ὠφέλειαν παρατρέχοντες · ἀλλὰ μετὰ πίστεως δεῖ ἐρευνᾷν τὰ ῥητὰ, καὶ διασκαλιδεύειν σὺν ὁδηγίᾳ τοῦ Πνεύματος, ὡς ἂν ἀρέσωμεν τῷ βασιλεῖ τοῦ ἀγροῦ, νοητὸν αὐτοῦ παράδεισον ἐργαζόμενοι.

Vers. 9. « Qui pecuniam diligit, pecunia non explebitur : et qui amavit fructus in multitudine ipsius : et hoc etiam vanitas. » Hujus sententiæ posterior particula ita construenda est : *Et qui amavit fructus*, hoc est, quicunque amavit, sibi ipsi non autem communis utilitatis gratia congerere fructus ; quasi dicat : Qui laborat avaritiæ morbo, sive pecuniam congerat sive fructus, nunquam expletur, plura semper affectans, ut potius pecuniarum dici servus quam dominus mercatur.

« Ἀγαπῶν ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου · καί τις ἠγάπησεν ἐν πλήθει αὐτοῦ γεννήματα · καί γε τοῦτο ματαιότης. » Τὸ, *Καί τις ἠγάπησε ἐν πλήθει αὐτοῦ γεννήματα*, ἀντὶ τοῦ, καὶ ὅστις ἠγάπησεν ἑαυτῷ, καὶ οὐκ εἰς κοινωφελῆ χρείαν, συναγαγεῖν τὰ γεννήματα· ἵνα ᾖ οὕτως· Ὁ φιλάργυρος, εἴτε ἄργυρον, εἴτε γέννημα συναγάγῃ, οὐκ ἐμπίπλαται, ἀεὶ τοῦ πλείονος ἐφιέμενος, δοῦλος μᾶλλον ἢ δεσπότης χρημάτων τυγχάνων.

Vers. 10. « Multitudine bonorum multiplicati sunt qui comedunt ea. Et quæ virtus ac fortitudo possi-

« Ἐν πλήθει ἀγαθοσύνης ἐπληθύνθησαν οἱ ἐσθίοντες αὐτήν· καὶ τίς ἀνδρεία τῷ παρ' αὐτῇ; ὅτι ἀρχὴ

[63] Eccli. x, 9. [64] Matth. xiii, 38. [65] Psal. viii, 8.

Digitized by Google

τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ. » Σύμμαχος τὸν τελευταῖον στίχον οὕτως ἐκδέδωκε· *Τί γὰρ ἀνδραγάθημα τῷ ἔχοντι αὐτὴν, μὴ εἰ μόνον θεωρία ὀφθαλμῶν αὐτοῦ;* Ὁ δὲ νοῦς οὕτως· Ἔστι τις τὸ κακὸν ἰσχυρῶς μετιών, ὡς ὁ φιλάργυρος ἐκ παντὸς τρόπου συνάγων χρήματα· καὶ ἔστι αὕτη ἀνδρεία ψεκτή. Οἱ δὲ οὕτως ἰταμῶς φιλάργυροι τοῦτο νομίζουσιν εἶναι ἀγαθὸν, βρῶσιν, καὶ πόσιν, καὶ τὰ χρήματα βλέπειν αὐτά· ἐν *πλήθει* οὖν *ἀγαθοσύνης*, τουτέστι ἐν περιουσίᾳ χρημάτων ἀεὶ πληθυνομένῃ εὐφραίνονται, ὡσανεὶ ἐσθίοντες αὐτὴν οἱ φιλάργυροι. Καὶ τίς ὄνησις τῆς τοιαύτης ἀνδρείας; μέχρι γὰρ τοῦ ὁρᾶν τὴν ἀρχὴν τῶν χρημάτων ὁ τοιοῦτος ἔχει· ἀντὶ τοῦ, εἰς οὐδὲν ἕτερον δεσπόζει αὐτῶν, εἰ μὴ εἰς μόνον τὸ προσέχειν αὐτοῖς. Ἄλλως· Ὧν καλῶς πληθύνονται τὰ ἀγαθὰ, πληθύνονται οἱ ἔσθοντες αὐτά. Οἱ γὰρ ἀληθῶς θέλοντες πλῃθύνειν ἑαυτοῖς τὴν ἀγαθότητα, πολλοὺς ἔχουσι τοῦ πλούτου κοινωνοὺς, τουτέστι τοὺς πένητας: Τί οὖν ὠφέλησε, φησὶ, τὸν ἰταμὸν, καὶ ἀμετάδοτον ἡ τοιαύτη ἀνδρεία, μέχρι μόνου τοῦ βλέπειν τὴν ἐπὶ τοῦ πλούτου ἡδονὴν χαριζομένη;

denti bona? Principatus enim est illi ut videat oculis suis. » Symmachus interpres posteriorem particulam ita convertit: *Quæ enim utilitas inest habenti ea bona, nisi ut tantummodo ea spectet oculis suis?* Sensus autem hic est: Invenias qui summa animi vi et corporis contentione flagitium aggrediatur, ut avarus solet, qui quacunque potest ratione pecunias cogit; estque fortitudo hæc strenuitasque damnanda. Qui vero sic impudenter avari sunt, hoc sibi tanquam bonum summum proponunt, ut inter pocula patinasque versentur, et ut spectaculo fruantur quas congessere pecuniarum. In *multitudine* ergo *bonorum*, hoc est, in affluentia pecuniarum quæ illis assidue multiplicatur, gestiunt non secus ac si bonis illis pecuniisque vescantur. Et quæ illis demum resultat utilitas ex hujusmodi strenuitate atque virtute? solo namque intuitu principatum gerit in pecuniis, avaritia tali correptus: quasi dicat: Nullo alio usu dominus est earum, præterquam quod appositas contemplatur. Aliter: Quibus legitimo honestatis jure opes atque divitiæ augescunt, multiplicantur etiam sibi augeri, multis, hoc est, pauperibus suas opes impertiunt. Ut itaque a tenacitate nos dehortetur, ad misericordiam vero convertat: Quid prodest, inquit, impudenti avaro ac tenaci, sua turpis hujusmodi virilitas et fortitudo, quæ oculorum solo intuitu pecuniis uti divites permittit?

« Γλυκὺς ὁ ὕπνος τοῦ δούλου, εἰ ὀλίγον, καὶ εἰ πολὺ φάγεται· καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι οὐκ ἔστιν ὁ ἀφιεὶς τοῦ ὑπνῶσαι αὐτόν. » Κατὰ σύγκρισιν ἄμεινον ἀποφαίνεται τὸν δοῦλον ὄντα ἀνθρώπου τοῦ τῇ φιλοχρηματίᾳ δουλεύοντος. Ὁ μὲν γὰρ οἰκέτης ἄφροντις ὢν, ὅπως ἂν διατραφῇ, γλυκὺν ἔχει τὸν ὕπνον. Ὁ δὲ τῶν χρημάτων δοῦλος ἔχει δεσπότην μὴ ἐῶντα αὐτὸν ὑπνῶσαι, τὸν φιλοχερδῆ καὶ πολυμέριμνον λογισμόν. Πρὸς δὲ διάνοιαν, οἱ Θεῷ δουλεύοντες, γλυκεῖαν ἔχουσι τοῦ βίου τὴν μετάστασιν· ἣν δὴ καλῶς καὶ ὕπνον ἐκάλεσε. Τοὺς δὲ φιλαργύρους οὐχ ὕπνος, ἀλλὰ θάνατος διαδέχεται, οὐκ ἐῶν διαναπαύεσθαι, ἀλλὰ τῇ αἰωνίῳ κολάσει παραδιδούς.

Vers. 11. « Dulcis est somnus servi, sive parum comedat, sive multum; pleno autem divitiarum, non est qui sinat eum dormire. » Posita comparatione ostendit felicius evenire homini servili conditione subjecto, quam ei qui, liber cum sit, avaritiæ tamen est servus. Famulus enim securam vitam ducens, quocunque demum victu alatur, dulci somno reficitur. At qui pecuniis servit, herum habet importunum qui dormire eum non sinit, curam scilicet augendi lucri, anxietatibus plenam. Mystice autem: Qui Deo famulantur, æquo animo ferunt atque lætantur de temporaria hujus sæculi vita in æternam transferri; quam vitæ præsentis translationem **638** pulchre atque apposite vocavit somnum. Avaros autem non somnus excipit, sed horribilis mors quæ non sinit eos quiescere, sed æterno tradit supplicio.

« Ἔστιν ἀῤῥωστία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτῷ, εἰς κακίαν αὐτοῦ, καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῷ. » Πάντα τὰ τῆς κακίας εἴδη ψυχῆς εἰσιν ἀῤῥωστήματα. Οὕτω δὲ ἐπιτεταμένον ἀῤῥώστημα, τῆς φιλαργυρίας τὸ νόσημα, ὡς καὶ ῥίζαν αὐτὴν πάντων τῶν κακῶν ὀνομάζεσθαι. Εἶδον οὖν, φησὶ, πλοῦτον φυλασσόμενον ἐπὶ κακῷ τοῦ ἔχοντος· ἢ γὰρ καὶ περιὼν ἀπόλλει τοῦτον ὁ φιλάργυρος, ἐσθ' ὅτε δι' αὐτὸν καὶ ἐπιβουλευόμενος· ἢ πάντως τελευτῶν ἀλλοτριοῦται τούτου, ἅστατα καὶ ἀβέβαια πονέσας ἐπὶ τῷ τοῦτον συναγαγεῖν. Τοῦτο γάρ ἐστι τὸ *ἐν περισπασμῷ πονηρῷ*. Εἶτα ἐπειδὴ πολλοὶ προφασιζόμενοι παῖδας, συνάγουσι χρήματα, ἀκολούθως ἐπάγει·

Vers. 12, 13. « Est infirmitas quam vidi sub sole, divitias conservatas apud dominum in perniciem suam: et pereunt divitiæ illæ in occupatione mala » Omnes iniquitatis species, morbi sunt ipsius animæ. Adeo vero gravis est et intensus avaritiæ morbus, ut radix malorum omnium merito nominetur [46]. Inquit ergo: Vidi asservatas opes in perniciem possidentis: aut enim superstes perdit avarus divitias, cum propter eas nonnunquam grassatorum insidias raptorumque patitur, aut si cætera evadat incommoda, vita demum excedens, pecuniis tunc privatur. Planeque intelligit se pro incerta re atque instabili laborasse, ut quibus omnino cariturus erat, pecunias congregaret: hoc enim significat cum dicit, *in occupatione mala*. Quia vero multi sub prætextu hæredum filiorum divitias cumulant, merito subjungit:

[46] I Tim. VI, 10.

Digitized by Google

« Et genuit filium, et nihil est in manu ejus. [VERS. 14] Sicut egressus de ventre matris suæ, nudus revertetur, ut pergat sicut venit. » Et si avarus sub prætextu filiorum se excuset, tamen hunc monemus ut nascentis sibi filioli manum inspiciat; et cum invenerit illum sine pecuniis de ventre matris in hunc mundum venisse, rursus inspiciat morientis manum : etenim inveniet eum, sicut nudus et inanis pecuniarum venit e matris utero, ita et pauperem subire sinum telluris ex hac vita commigrantem. Merito ergo sequitur :

VERS. 15, 16. « Et nihil accipiet in labore suo ut veniat in manum ipsius; et hoc infirmitas mala. Sicut enim advenit, ita et abibit. Quid ergo est illi amplius? laborat enim in ventum, et omnes dies in tenebris, in luctu et tristitia multa, in infirmitate et ira. » Si itaque neque avarus ipse, neque illius filius quem hæredem sibi instituit, neque hominum prorsus aliquis potest secum moriens efferre quidpiam sensibilium facultatum, nonne infelicis animæ morbus est avaritia? Quid itaque laboras in ventum, cum sint divitiæ prorsus instabiles, et aquatilis bullæ, cum detumescit, persimiles? Sed et ipsa avaritia in tenebris elanguescit : hoc est, ignorantia et luctu. Avarus enim neque sui ipsius miseretur, cum parce ac vix congestis utatur, sed etiam tristi insuper iracundia stimulatur, et levi occasione in contentionem surgit et excandescit, animi gravi ægritudine occupatus. Vide igitur quot aurum incommoda circumveniant; post quæ, defunctum vita, etiam tenebræ inferni suscipient repulsum a conspectu Dei, juxta illius iram severissime puniendum.

VERS. 17-19. « Ecce, vidi ego bonum; hoc est ut comedat quis et bibat et videat bonum in omni labore suo quem laborat sub sole, in numero dierum vitæ suæ quos dedit ei Deus. **639** Divitias enim dedit et substantias, et potestatem ut comedat ex eis, et accipiat partem suam, et lætetur in labore suo; hoc est donum Dei. Non enim recordabitur multis diebus vitæ suæ, eo quod Deus occupet illum in lætitia cordis sui. » Avari personam miseriasque superius ostendit Ecclesiastes; eumque visus sit in eum graviter irruisse, nunc vicissim aliam aggreditur curandi rationem, ut non invehendo perterreat, sed ut blande ac sensim contrectando (si fieri possit) liberum metu et suspicionibus conciliet. Quia enim avarus sic malis affectionibus occupatur, ut simplicem virtutis exactæ medicinam ferre non possit, multa cum prudentia noster Ecclesiastes quæ jucunda homini contingunt in vita breviter percurrendo præceptis suis admiscet; atque ita mox docet non oportere ventri omnino et gulæ luxuriosius indulgere, cum brevis hoc in sæculo nobis futura sit vita. Hortatur itaque aliud intendens, avarum, ut dum vivit, suis utatur bonis, ita dissimulanter appositis voluptatibus abducere illum studens ab avaritiæ morbo. Inquit ergo : Bonum est tibi, avare locu-

A « Καὶ ἐγέννησεν υἱὸν, καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν. Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ, γυμνὸς ἐπιστρέψει, τοῦ πορευθῆναι ὡς ἦκει. » Ἀλλ' εἰ προφασίζεται τοὺς παῖδας ὁ φιλάργυρος, διερευνησάτω τοῦ τικτομένου παιδίου τὴν χεῖρα, καὶ ὅταν εὕρῃ μὴ μετὰ χρημάτων αὐτὸν τεχθέντα, ζητείτω τοῦτον καὶ τελευτῶντα· καὶ γὰρ εὑρήσει πάλιν γυμνὸν μὲν ἐξελθόντα ἐκ κοιλίας μητρὸς, γυμνὸν δὲ καὶ τοῦ βίου μεθιστάμενον. Εἶτα ἐπάγει·

« Καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ, ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ· καί γε τοῦτο πονηρὰ ἀῤῥωστία. Ὥσπερ γὰρ παρεγένετο, οὕτω καὶ ἀπελεύσεται. Καὶ τίς ἡ περισσεία αὐτοῦ, ἢ μοχθεῖ εἰς ἄνεμον; καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένθει, καὶ θυμῷ πολλῷ, καὶ ἀῤῥωστίᾳ, καὶ χόλῳ. » Εἰ μήτε τοίνυν αὐτὸς ὁ φιλάργυρος, μήτε ὁ τούτου παῖς, καθόλου δὲ μηδεὶς ἀνθρώπων δύναταί τι συνεξάγειν ἑαυτῷ τῶν αἰσθητῶν χρημάτων, ἆρα οὐ πονηρὰ ψυχῆς ἀῤῥωστία ἡ φιλοχρηματία; Τί οὖν εἰς ἄνεμον μοχθεῖς, σκεδαστοῦ καὶ ἀποφυσωμένου τοῦ ἀστάτου πλούτου τυγχάνοντος; Ὅπου γε καὶ αὐτὴ ἡ ζωὴ τῶν φιλοχρημάτων ἐν σκότει τυγχάνει, τουτέστι ἐν ἀγνωσίᾳ καὶ ἐν πένθει. Καὶ γὰρ πρὸς ἑαυτοὺς εἰσιν ἀνελεήμονες, φειδωλῶς τῶν ὄντων μεταλαμβάνοντες· ἀλλὰ καὶ ἐν θυμῷ πολλῷ, ἀεὶ παροξυνόμενοι, καὶ περὶ βραχέων φιλονεικοῦντες καὶ ὀργιζόμενοι, καὶ τὴν ψυχὴν ἀῤῥωστοῦντες. Θεώρει δὲ ὅσα συνεισέρχεται τῷ φιλαργύρῳ πάθῃ, πρὸς τῷ, καὶ μετὰ τόνδε τὸν βίον σκότος αὐτὸν διαδέχεσθαι, ὑπὸ θείας ὀργῆς καὶ ἀποστροφῆς κολαζόμενον.

« Ἰδοὺ εἶδον ἐγὼ ἀγαθὸν, ὃ ἐστι καλὸν, τοῦ φαγεῖν καὶ τοῦ πιεῖν, καὶ τοῦ ἰδεῖν ἀγαθοσύνην ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ ἂν μοχθήσῃ ὑπὸ τὸν ἥλιον, ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ, ὧν ἔδωκεν ὁ Θεὸς αὐτῷ. Πλοῦτον, καὶ ὑπάρχοντα, καὶ ἐξουσίαν ἐν αὐτῷ, τοῦ φαγεῖν ἀπ' αὐτοῦ, καὶ λαβεῖν τὸ μέρος αὐτοῦ, καὶ τοῦ εὐφρανθῆναι ἐν μόχθῳ αὐτοῦ· τοῦτο δόμα Θεοῦ ἐστι, ὅτι οὐ πολλὰς μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ὅτι ὁ Θεὸς περισπᾷ αὐτὸν ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ. » Φιλαργύρου πρόσωπον πρσθεὶς ὁ Ἐκκλησιαστὴς, καὶ καταδρομῇ κατ' αὐτοῦ χρησάμενος, ἐπειδὴ σφόδρα ἔπληξε, θεραπεύειν πειρᾶται, καὶ ἠρέμα τοῦ πάθους ὑπεξαγαγεῖν. Εἶτα ἐπειδὴ τὴν ἄκραν ἀρετὴν ἀκούειν οὐ χωρεῖ, μετὰ πολλῆς τῆς σοφίας τὰ ἀνθρώποις ἡδέα εἰσηγούμενος διαπράττεσθαι, παραμίσγει τῇ διδασκαλίᾳ, ὅτι δεῖ μὴ πάντα τῇ γαστρὶ χαρίζεσθαι, καὶ ὅτι ὀλίγος ὁ ἐνθάδε βίος. Παραινεῖ τοίνυν τῷ φιλαργύρῳ τέως χρῆσασθαι τοῖς ὑπάρχουσιν, ἵνα διὰ τοῦ δοκοῦντος ἡδέος, ὑπεξαγάγῃ τοῦ τῆς φιλαργυρίας πάθους, λέγων, ὅτι Ἀγάθόν σοί ἐστιν, ὦ φιλάργυρε πλούσιε, τὸ ἐσθίειν, καὶ πίνειν, καὶ εὐφραίνεσθαι, ἕως ὅτε τὰ ὑπὸ τὸν ἥλιον λογίζῃ· δεῖ γάρ σε καὶ ἐνθυμεῖσθαι ὅτι ἀριθμητὰς ἡμέρας εἴληφας παρὰ Θεοῦ, καὶ ὃν δέδωκέ σοι χρόνον τῆς ζωῆς ὁ Θεὸς, οὕτως σοι ἐμερίσθη, ἀντὶ τοῦ, ἀφωρίσθη. Εἰληφὼς οὖν

Digitized by Google

παρὰ Θεοῦ πλοῦτον, καὶ τὴν ἐξουσίαν τοῦ χρήσασθαι τούτῳ, φρόντισον τοῦ μὴ μόνον ἐσθίειν καὶ πίνειν, ἀλλὰ καὶ τοῦ λαβεῖν τὸ μέρος τὸ σόν· καὶ ὅρα θαυμασιὴν διδασκαλίαν, μετὰ τὸ ἐξελκύσαι τοῦ πάθους τὸν φιλάργυρον, διὰ τῆς τῶν βρωμάτων ἀπολαύσεως, τότε ῥῆμα διδάσκει, ὡς οὐχ αὕτη μερὶς ἀνθρώπου ἡ τῶν βρωμάτων ἀπόλαυσις, ἀλλὰ τὸ λαβεῖν τὸ μέρος αὐτοῦ, τουτέστι τὸ συμπαραμένον αὐτῷ· σκορπίσαι τὸν πλοῦτον τοῖς πένησι, καὶ ἀληθῶς εὐφραίνεσθαι ἐν τῇ τοιαύτῃ διακονίᾳ. Τοῦτο γὰρ ὄντως δόμα Θεοῦ ἐστι, τὸ ἐλεημονικὴν καὶ φιλόπτωχον ἕξιν ἀναλαβεῖν. Εἶτα ἐνάγων εἰς τὸ πεισθῆναι, καὶ λαβεῖν τὸ μέρος αὐτοῦ, τουτέστι καλῶς δαπανῆσαι τὰ χρήματα, ἵνα γένωνται αὐτοῦ, ἀναμιμνήσκει τοῦ τῆς ζωῆς ὀλιγοχρονίου, λέγων, ὅτι οὐ πολλὰς μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Ὁ δὲ τοιοῦτος περισπασμὸς καὶ ἡ ἀσχολία Θεῷ τέ ἐστι προσφιλὴς, καὶ τὴν τῶν ἐλεημόνων εὐφραίνει καρδίαν. Ὅτι δὲ πρὸς τὸν φιλάργυρον ἡ παραίνεσις, πάλιν κατὰ φιλαργύρων ἐξῆς ἐπάγει· καὶ ταῦτα μὲν ὡς πρὸς τὸ ῥητόν. Ὁ δὲ θειοτέρως ἀκούειν τοῦ μεγάλου Ἐκκλησιαστοῦ δυνάμενος, ἀκούων ἐν Εὐαγγελίοις· *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω*· οἶδε τίς *ὁ μόνος ἀγαθὸς*, ὅτι *ὁ Θεός*· καὶ ὅτι ὁ ἐσθίων καὶ πίνων τὴν σάρκα τοῦ Κυρίου, οὗτος τῶν μελλόντων ἀγαθῶν ἐν ἀπολαύσει γίνεται. Καὶ καλῶς πονεῖ, καὶ ἐξασκεῖται τὰς ἀρετὰς, ἐν ὅσῳ ἐστὶ ὑπὸ τὸν ἥλιον, τουτέστιν ἐν τῇ ἐνθάδε ζωῇ· λογιζόμενος ὅτι ἀριθμηταί εἰσιν αἱ ἡμέραι αὐτοῦ, καὶ οὐ προσήκει οὐδεμίαν αὐτῶν ζημιοῦσθαι, καὶ ἄκαρπον παρατρέχειν. Ὁ γὰρ περὶ τὴν ἀρετὴν μόνον, αὐτὸς κυρίως τοῦ ἀνθρώπου μερὶς, προξενῶν ἡμῖν μερίδα γενέσθαι τὸν Θεὸν, κατὰ τὸ, *Μερίς μου εἶ σὺ, Κύριε*, ὑπὸ τοῦ πατρὸς τοῦ Ἐκκλησιαστοῦ λεχθέν. Καὶ ὅτι οὗτος ἀληθῶς πλοῦτος, περὶ οὗ εἶπε ὁ Ἀπόστολος, ὅτι *Ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν πάσῃ γνώσει καὶ σοφίᾳ*. Ὁ γὰρ τὰ πνευματικὰ ταῦτα ἀγαθὰ ἐσθίων καὶ πίνων, καὶ εὐφραινόμενος, οἶδεν ὅτι Θεοῦ εἰσι ταῦτα τὰ χαρίσματα, καὶ ἐρᾷ τῆς αἰωνίου ζωῆς, τῆς ὀλιγοχρονίου ταύτης παραφρονῶν. Οἱ γὰρ διὰ τῆς τοῦ Θεοῦ χάριτος περὶ τὰ πνευματικὰ ἐνασχολούμενοι, καὶ ἀποπερισπώμενοι τῇ διανοίᾳ, τῶν τῇδε καταφρονοῦσιν. Ὅτι γὰρ οὐ προηγουμένως ἀγαθὸν ὁ αἰσθητὸς πλοῦτος, τί δή ποτε μὴ πᾶσιν αὐτὸν ὁ Θεὸς δωρεῖται ἀπροσωπόληπτος ὤν; Καί τοί γε τὰ ὄντως ἀγαθὰ πᾶσιν ἐπίσης ἁπλώσας, φημὶ δὴ τὸ τὰς ἀρετὰς ἐργάζεσθαι. Ὥστε εἰ καὶ κατά τι περιεπόμενον τοῖς ἐναρέτοις ὁ πλοῦτος δέδοται, οὐ κατὰ φύσιν ἀγαθός τις ἢ φαῦλος τυγχάνει. Ἀλλὰ τῶν μέσων ἀδιαφόρων ὄντων, πρὸς τὴν τῶν καλῶς ἢ κακῶς αὐτὸν μεταχειριζομένων ἕξιν μετασκευάζεται.

ples, comedere, bibere ac lætari, donec ea meditaris quæ sunt sub sole; sed profecto decet etiam te id cogitare quod paucos ac numerabiles dies tibi ad vivendum dederit Deus: tempus enim vitæ tibi concessæ secretum est tibi in sortem, terminusque descriptus. Cum itaque divitias a Deo acceperis, facultatemque illis utendi, cogita non solum ut comedas et bibas, sed ut portionem tuam sortemque accipias. Vide autem quam sit admirabilis Ecclesiastæ nostri doctrina. Postquam enim blande permulcendo metum avaro suspicionemque imminuit, edendi scilicet ac bibendi voluptate proposita, nunc sensim irrepit docens non esse hanc sortem hominis partemque propriam, ut esculentis scilicet poculentisque perfruatur. Monet ergo ut partem sibi decentius decretam accipiat: hoc est, hæreditatem ac sortem quæ sit illi stabilis ac perpetuo duratura. Ea vero est, dispergere pauperibus opes suas, et de hujusmodi dispensatione solidam lætitiam capere. Hoc enim vere est donum Dei, in eleemosynis et charitate pauperum vitam operamque consumere. Tunc vero ut magis illis persuadeat partem hanc sibi propriam capere, hoc est, bene uti suis divitiis ut ita stabiles illi fiant, revocat illi in memoriam brevitatem vitæ hujus, cum dicit quod non multos recordabitur dies vitæ suæ. Hujusmodi autem hominis occupatio in pauperibus sublevandis, et acceptissima est Deo, et misericordis cor animamque lætificat. Et hæc quidem quæ docuimus, ab Ecclesiaste adducta, nunc blande avaros adhortando, nunc contra severius increpando satis fuerint ad ipsius litteræ ordinem sensumque explicandum. Qui vero divinius ac sublimius loquentem potest audire Ecclesiasten, cum meminerit ad se pertinere illud Evangelii dictum: *Qui habet aures audiendi, audiat* [67], idem profecto novit quis solus sit bonus: *Unus enim bonus est Deus* [68]. Idem quoque novit, quod qui manducat carnem Filii hominis, et bibit ejus sanguinem, futuræ felicitatis partem hic aliquam fruitionemque accipit [69]. **640** Bene igitur operam insumit suam, virtutesque exercet dum est sub sole, hoc est, in præsenti vita: secum animo deputans quod Deus numerabiles posuerit dies suos, neque deceat ne unum quidem illorum pati vacuum ac sterilem præterire. Labor enim quem virtuti homo impendit, proprie dicendus est hominis esse pars, quæ sola nimirum efficiat ut pars nostra sit Deus, juxta illud quod pater Ecclesiastæ nostri canit in Psalmo: *Portio mea tu es, Domine* [70]. Et profecto hæ sunt illæ divitiæ, de quibus ait Apostolus: *In omnibus divites facti estis in ipso, in omni cognitione et sapientia* [71]. Nam qui hæc bona et spiritualia bibit et comedit, et in his lætitiam suam ponit, plane intelligit quod hæc charismata Dei sunt, avetque pervenire ad æternam vitam: temporariam vero hanc, ut exigui spatii, despicit et contemnit. Accidit enim hoc omnibus qui Dei munere circa spiritualia occupantur, et ad ea contemplanda mentem attollunt, ut mundana hæc omnia parvi pendant. Si qui vero putant divitias istas sensibilesque fortunas summum esse hominis bonum,

[67] Matth. xi, 15. [68] Matth. xix, 17. [69] Joan. vi, 55. [70] Psal. cxviii, 57. [71] I Cor. i, 5.

Digitized by Google

hi mihi paucis rogandi sunt, quid ita sit quod illas Deus æque cunctis hominibus non impartiat, cum tamen idem personarum non sit acceptor [72]? Atqui cernitur quæ vere sunt bona, cunctis æque liberaliter effudisse : hoc est, liberum arbitrium, dispositionemque ad exercendas obeundasque virtutes. Quare licet ad bene officioseque vivendum divitiæ adminiculo esse possint, et virtutes ipsas quandoque ut præmia consequantur, non absolute tamen, neque suapte natura vel bonæ vel malæ dicendæ sunt et habendæ. Sed cum per se mediæ sint, ac susque deque accipiatur, facile transeunt et immutantur in habitum bene illis maleve utentis.

CAPUT VI.

Vers. 1, 2. « Est et malum quod vidi sub sole, et quidem frequens est apud homines : vir cui dabit Deus divitias, substantiam et gloriam, et non est quod desit animæ suæ ex omnibus quæ concupiscet; nec tribuet ei potestatem Deus ut comedat ex eo, nam vir extraneus vorabit illud : et hoc quoque vanitas, et infirmitas mala. » Litteræ hujus intellectus recta fertur in avaros et nimia parcitate astrictos. Quod autem inquit : *Nec tribuet ei potestatem Deus ut comedat ex eo*, simile est illi quod ait Apostolus scribens ad Romanos : *Tradidit illos Deus in passiones ignominiæ* [73]; non quod Deus ipse quemquam hominum cogat avaritiam intemperantiamve sectari, sed quod ea permittat quæ homines electione liberæ voluntatis aggrediuntur, dum liberi arbitrii naturam facultatemque conservarit. Mystico autem sensu ita intelligendum : Sæpe accidit ut aliquis magnas sibi divitias in dicendi copia et in scientia Scripturarum comparant, aliarumque rerum cognitione : sed quia deinde fœditas morum, et a verbis ejus dissidet et a doctrina, hinc fit ut qui in libros illius traditionesque incidunt, magnam inde ipsi quidem utilitatem capiant, **641** nihil vero ipse auctor emolumenti perceperit, eo quod correspondentes verbis mores non habuerit. De hujusmodi viris intellexit Salvator, cum dixit : *Quidquid dixerint vobis, facite, secundum vero opera eorum nolite facere* [74]. Aliter : Dives olim fuit populus Judæorum; locupletatus rege, prophetis et sacerdotio; qui tamen ex divitiis fructum non cepit, morbo gravi correptus peccati in Salvatorem suum commissi; propterea venerunt externi, et bona ejus comederunt; populus scilicet e gentibus in Ecclesiam convocatus : de quo scriptum est : *Qui alienati erant a gubernatione Israel, et externi a testamento promissionis* [75].

Vers. 3-5. « Si genuerit quispiam centum liberos, et vixerit multos annos, et multitudo magna fuerint dies annorum ejus, et anima illius non impleatur bonis substantiæ suæ, et sepultura illi non fuerit; ego dixerim quod melior illo sit abortivus : in vanitate enim venit, et pergit ad tenebras, et in tenebris occultabitur nomen ejus, non vidit solem, neque cognovit : requies huic super hanc. » Quod ait, *Si genuerit quispiam centum liberos*, per hyperbolem dictum intellige. Utitur autem hoc loquendi modo Scriptura, cum a parvo declinat in immensum aliquod. Hyperbole enim est sermo veritatem excedens, ut aliquid expressius ante oculos ponat, sicut et Apostolus ait : *Adhuc per excessum viam vobis ostendo; si linguis angelorum loquar, et si habuero omnem scientiam, et cognovero cuncta*

A

ΚΕΦΑΛ. Ϛ'.

« Ἔστι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, καὶ πολλή ἐστι ἐπὶ τῶν ἀνθρώπων · ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ Θεὸς πλοῦτον, καὶ ὑπάρχοντα, καὶ δόξαν · καὶ οὐκ ἔστι ὑστεροῦν τῇ ψυχῇ αὐτοῦ, ἀπὸ παντὸς οὗ ἐπιθυμήσει· καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ Θεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ· ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν. Καί γε τοῦτο ματαιότης καὶ ἀρρωστία πονηρά ἐστι. » Πρὸς μὲν τὸ ῥητὸν, κατὰ τῶν φιλαργύρων καὶ φειδωλῶν ὁ λόγος. Τὸ δὲ, *Καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ Θεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ*, ὅμοιον τῷ, *Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας*· οὐ Θεοῦ τὴν φιλαργυρίαν ἢ τὴν ἀκολασίαν μετιέναι καταναγκάζοντος, ἀλλὰ τῶν ἀνθρώπων τοῦτο ἑλομένων συγχωροῦντος, διὰ τὸ τῶν προαιρέσεων αὐτεξούσιον. Πρὸς δὲ διάνοιαν, Πολλάκις τις ἐπλούτησεν ἐν λόγῳ καὶ ἐν δόγμασι· καὶ ἐπειδὴ πράξεις καταλλήλους οὐκ ἔσχε, τοῖς μὲν συγγράμμασιν αὐτοῦ τινες συντυχόντες ὠφελήθησαν, αὐτὸς δὲ οὐκ ἀπώνατο, διὰ τὸ μὴ ἔχειν συμφωνούσας τὰς πράξεις τοῖς λόγοις. Περὶ τῶν τοιούτων ἔλεγεν ὁ Σωτήρ· *Τῶν μὲν λόγων αὐτῶν ἀκούετε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.* Ἄλλως· Πλούσιος ἦν ὁ τῶν Ἰουδαίων λαὸς νόμῳ τιμηθείς, προφήταις, ἱερατείᾳ, καὶ οὐκ ἀπέλαυσε τοῦ πλούτου, μεγάλην ἀρρωστίαν νοσήσας. τὴν εἰς τὸν Κύριον παρανομίαν· διὰ τοῦτο καὶ ὁ ξένος ἔφαγεν αὐτοῦ τὰ ἀγαθὰ, ὁ ἐξ ἐθνῶν λαός. Περὶ οὗ γέγραπται· *Ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας.*

B

C

« Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ, καὶ ἡ ψυχὴ αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης, καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπον ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα, ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει πορεύεται, καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται· καί γε ἥλιον οὐκ εἶδε, καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον. » Τὸ, *Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν*, ὑπερβολικῶς εἴρηται. Κέχρηται δὲ τούτῳ ἡ Γραφὴ, ἵνα τὸ ἔλαττον φύγῃ· ὑπερβολὴ δέ ἐστι λόγος ἐμφάσεως χάριν ὑπερβαίνων τὸ ἀληθές· ὡς καὶ ὁ Ἀπόστολός φησι· *Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι· ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, καὶ ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν, καὶ εἴδω τὰ μυστήρια, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.* Καίτοι γε ἐκτὸς ἀγάπης ἐκεῖνα σχεῖν ἀδύνα-

[72] Act. x, 34. [73] Rom. i, 26. [74] Matth. xxiii, 3. [75] Hebr. ix, 15.

Digitized by Google

τον· ἀλλὰ φθάσας εἶπε ὅτι ὑπερβολῇ κέχρηται. Κἂν τε οὖν, φησὶ, τοσοῦτος γένηται ἐν πολυτεκνίᾳ, ὅπερ ἀδύνατον· κἂν πολυετίαν ἐπιμείνῃ ζῶν, μοχθηρῶς δὲ διάγῃ, καὶ οὐκ ἐναρέτως, ἴσως δὲ μηδὲ ταφῆς ἀξιωθῇ (πολλὰ γὰρ τοιαῦτα συμβαίνει), λέγω ὅτι ἀγαθόν ἐστι ὑπὲρ τὸν τοιοῦτον τὸ ἔκτρωμα. Οὗτος γὰρ ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει πορεύεται, ἐν ἀγνωσίᾳ διάγων· καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται, ἐξαλειφομένου ἐκ βίβλου ζώντων, καὶ μὴ ἀξιουμένου τοῦ τῆς δικαιοσύνης Ἡλίου. Τὸν δὲ περὶ τῶν ἐκτρωμάτων λόγον, διά τί τὰ μὲν νεκρὰ γεννῶνται, τὰ δὲ μίαν ἡμέραν ζῶσιν, ἢ δύο, τῇ ἀνεφίκτῳ τοῦ Θεοῦ δικαίᾳ προνοίᾳ καταλειπτέον. Πρὸς δὲ διάνοιαν, Ἀπόστολος ἦν ὁ Ἰούδας, καὶ τῇ διδασκαλίᾳ αὐτοῦ πολλοὺς ἐγέννησε· καὶ ἐπειδὴ μὴ ἐπληρώθη ἀγαθοσύνης παρατραπείς, ἀλλὰ πνεύματος διαβολικοῦ, ταφὴ αὐτοῦ οὐκ ἐγένετο αὐτῷ, τουτέστι, οὐκ ἐναπέθανε τῇ ταφῇ τοῦ Σωτῆρος. Οἱ γὰρ συνθαπτόμενοι τῷ Σωτῆρι ἐν τῷ βαπτίσματι, καὶ διατηροῦντες τὴν δωρεὰν ἐν ἀρετῇ πολιτευόμενοι, οὗτοι καλῶς αὐτῷ καὶ συνανίστανται. Ἐὰν οὖν ὁ τοιοῦτος διδάσκαλος πολλοὺς τελειώσας μαθητὰς (τοῦτο γὰρ σημαίνει, ὁ ἑκατὸν ἀριθμὸς), καὶ πολὺν ἐν τῇ διδασκαλίᾳ διαμείνας χρόνον, μὴ ἀξιωθῇ τῆς εἰρημένης ταφῆς, διὰ τὸ μὴ περιγράψαι τὰ φαῦλα, ἐν σκότει πορεύεται, καὶ τὸν ἥλιον τῆς δικαιοσύνης οὐκ ὄψεται. Ὁ δὲ θεσπέσιος Παῦλος ὁ λέγων· *Ὕστερον δὲ πάντων ὥσπερ τῷ ἐκτρώματι ὤφθη κἀμοί*, ταφῆς ἠξιώθη, τὸν καλὸν ἀγῶνα ἀγωνισάμενος, τὴν ἐπιθυμίαν ἔχων ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. Περὶ δὲ τοῦ κακῶς βιώσαντος καὶ ὁ Ἱερεμίας ἔγραψε, *Ταφὴν ὄνου ταφήσεται*, ἀντὶ τοῦ, Οὐκ ἀξιωθήσεται τῆς τῶν λογικῶν ἀναπαύσεως, ἐν ἀλογίᾳ τὸν βίον καταλύσας.

A *mysteria, charitatem vero non habeam, nihil mihi prodest*[76]. Atqui sine charitate habere illa quæ recensui, non est possibile: sed quo pacto sit accipiendum quod dicit, ipse præveniens nos edocuit, cum dicit: Per hyperbolem viam vobis ostendo, Dicit ergo Ecclesiastes: Quamvis ergo fecundus in numero centum filiorum quispiam fuerit, quod est impossibile; si vero etiam ad annosum vixerit senium; flagitiose autem, neque secundum virtutem duxerit vitam, atque ita perdite ut defunctus ne sepultura quidem dignus censeatur (quandoquidem et hoc ipsum persæpe contingit), facile dixerim tali homine longe meliorem esse abortivum. Hic namque homo vere in vanitatem venit, et in tenebras pergit in ignorantia vivens; et nomen ipsius in tenebris B occultabitur, cum delendus sit e libro viventium, neque dignus habendus sit justitiæ Sole. Quare autem abortivi fetus, aut mortui enascantur aut unum vivant diem alterumve, explicare hoc loco non est consilium; sed potius inscrutabili divinæ Providentiæ relinquendum puto. Mystice autem, quæ superius dicta sunt, sic intellige. Apostolus quidem et ipse erat Judas Iscariotes, et doctrinæ suæ verbis multos genuit filios; sed quia subinde non impletus est bonis, ut perseveraret in finem, sed conversus est ad iniquitatem, repletusque est potius spiritu Satanæ; sepultura etiam caruit: hoc est, non immortuus fuit Salvatoris sepulturæ. Qui enim Christo consepulti sunt in baptismo, munusque Dei custodiunt in virtute viventes, hi profecto C et recte cum Christo resurgunt. **642** Talis itaque magister ac doctor qui multos quidem genuerit sua doctrina discipulos (hoc enim significat centenarius ille numerus), multumque ætatis edocendo contriverit; tali autem quam modo diximus sepultura dignus non habeatur, eo quod mortuus peccato et sepultus non fuerit, pergit procul dubio ad tenebras, neque videbit justitiæ Solem. Divinus autem Paulus qui de seipso dicit: *Novissime autem omnium tanquam abortivo visus est mihi*[77]; sepultura dignus est habitus, qui et bonum certamen certavit, cupiens dissolvi et esse cum Christo[78]. De illo autem qui male vixit, ut Jeremias scribit: *Sepultura asini sepelietur*[79]; hoc est, non habebitur dignus quiete hominum rationalium: cum passiones carnis consectatus, instar pecorum vitam finierit.

« Καὶ εἰ ἔζησε χιλίων ἐτῶν, καὶ ὁδοὺς ἀγαθωσύνης οὐκ εἶδε· μὴ οὐκ εἰς τόπον ἕνα τὰ πάντα πορεύεται; » Εἰ καὶ πρὸς τῇ πολυπαιδίᾳ, φησὶ, καὶ τῷ πλούτῳ, ζήσει τις καὶ χίλια ἔτη, μὴ μετέλθῃ δὲ τὸ ἀληθῶς ἀγαθὸν, τουτέστι τὴν ἀρετήν· τί ὁ τοιοῦτος ὠνήσε, μετὰ τῶν ἐκτρωμάτων καὶ τῶν ὀλιγοβίων εἰς ἕνα τόπον πορευόμενος, καὶ τὸ *Γῇ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ;*

Vers. 6. « Et si mille annorum vixerit cursum, reditus bonitatis non vidit: nonne ad locum unum omnia pergunt. » Etiamsi ad copiam filiorum congestasque divitias, hoc cuiquam Dei munere accedat, ut mille annorum spatio sit in vita, non tendat autem ad verum bonum, hoc est, ut secundum virtutem laudabiliter vivat, quid ipsi denique omnia illa proderunt? Etenim in eumdem pariter pergit locum, in quem abortivi pergunt, et qui acerba morte intercepti rapiuntur e vita; terra est enim hic quoque, et in terram ibit.

« Πᾶς μόχθος ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ· καὶ γε ψυχὴ οὐ πληρωθήσεται. » Ἐπειδὴ περὶ βρωμάτων καὶ ποτῶν ἐν τοῖς ἄνω διέλαβεν, ἵνα μή τις νομίσῃ γαστριμαργίαν αὐτὸν εἰσηγεῖσθαι, φησὶν, ὅτι εἰ καὶ ὡς τὰ πολλὰ διὰ γαστέρα μοχθοῦσιν οἱ ἄνθρωποι, ὅσα ἂν ταύτῃ χαρίσωνται, οὐδὲν ἡ ψυχὴ προσείληφε, ἀλλ' ἔστι διάκενος καὶ ἀπλήρωτος, τὴν κατάλληλον

Vers. 7. « Omnis labor hominis in ore ipsius, sed anima ejus non implebitur. » Quia superius de esculentis ac poculentis mentionem fecit, ne quis forte suspicari possit ipsum ventris et gulæ illecebras attulisse, aperte nunc inquit: Et si homines ad indulgentiam ventris plurimos labores insumunt, nihil tamen eorum quæ gulæ gratificantur, ipsi

[76] I Cor. XIII, 1-3. [77] I Cor. XV, 8. [78] Philipp. I, 23. [79] Jerem. XXII, 19.

Digitized by Google

animæ parit saturitatem : sed inanis penitus ac jejuna persistit cum sibi conveniens alimentum, verbi scilicet ac virtutum, ex inertia hominum non accipiat. Aliter : Nequitia, imperfectum quid esse censetur; anima ergo quæ huic annexa perdurat, semper aliquid profert flagitiosi; contumelias scilicet, jurgia, blasphemias, dolosa verba. Neque propterea tamen expletur, eo quod nequitia (sicut dixi), imperfecta incompletaque sit.

A ἑαυτῇ τροφὴν, τὴν ἐκ τοῦ λόγου καὶ τῶν ἀρετῶν μὴ προσλαμβάνουσα. Ἄλλως· Ἡ κακία ἀτελές ἐστί τι καὶ ἀπλήρωτον· ψυχὴ τοίνυν ἡ ταύτῃ συζῶσα, ἀεὶ τὰ μοχθηρὰ διὰ στόματος προφέρει, λοιδοροῦσα, δόλους πλέκουσα, καὶ ὅμως οὐ κορέννυται, διὰ τὸ ἀτελὲς καὶ ἀπλήρωτον τῆς κακίας.

Vers. 8. « Quid enim est amplius sapienti quam stulto? Quoniam novit pauper ambulare in conspectu vitæ. » Quid habet, inquit, amplius sapiens ab ipso stulto? quasi responderi deceat : Multum sane habet, atque omnibus modis. Stultus enim sese voluptatibus more pecudum mancipavit; sapiens vero pauper spiritu, juxta Evangelii dictum [80], ambulat coram vita; hoc est, per virtutum semitas pergit, donec demum perveniat ad ultimum appetibile. Dissolvi enim cupit et esse cum Christo qui profecto est vita æterna. Aliter : Populus stultus et insipiens Judæorum in ligno Vitam suspendit; gentilis vero populus olim pauper et vacuus gratiarum Dei, ad crucifixum accurrit : ita profectus in conspectum Vitæ salutaris, in Dominum Jesum Christum fide locupletatus est.

« Ὅτι τίς περισσεία τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα; Διότι ὁ πένης οἶδε πορευθῆναι κατέναντι τῆς ζωῆς. » Τί οὖν περισσὸν, φησὶ, τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα; Πολὺ κατὰ πάντα τρόπον· ὅτι ὁ μὲν ἄφρων ἡδοναῖς ἐκδίδοται· ὁ δὲ σοφὸς πένης, ὁ πτωχὸς τῷ πνεύματι, κατέναντι τῆς ζωῆς πορεύεται, ἀντὶ τοῦ, διὰ τῶν ἀρετῶν ὁδεύει, ἕως καταντήσει εἰς τὸ ἔσχατον ὀρεκτόν· τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ γενέσθαι· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ ἡ αἰώνιος. Ἄλλως· Ὁ ἄφρων τῶν Ἰουδαίων λαὸς, ἐπὶ ξύλου τὴν Ζωὴν ἡμῶν ἐκρέμασε· ὁ δὲ ἐξ ἐθνῶν ὁ πάλαι πένης, προσέδραμε τῷ σταυρωθέντι, κατέναντι τῆς Ζωῆς πορευθείς, καὶ τὴν εἰς αὐτὸν πίστιν ἐπλούτησε.

B

Vers. 9. « Melius est prospicere oculis, quam ambulare juxta voluptatem animæ suæ; sed et hoc vanitas est, et electio spiritus. » Inquit Apostolus : **643** Est vero animalis homo, qui et cupiditate præter æquitatem utitur [81]. Et in Evangelio scriptum est : *Si oculus tuus lucidus fuerit, totum quoque corpus tuum lucidum erit* [82]; hoc est, si rationalis animæ vis, ipse scilicet intellectus, luce fuerit illustrata, irascibilem et concupiscibilem appetitum in ordinem suum rediget. Longe itaque melius est perspicaces habere oculos animæ ac rationis luce sancti Spiritus illustratos, quam pergere juxta voluntatem animæ; hoc est, animalis hominis ritu, qui in tenebris ambulat. Neque enim aliud iste homo censendus est quam vanitas et electio spiritus, cum certa electione consilii, animalis homo effectus sit, ad vanitatesque commigrarit. Sed ex Evangelii verbis quæ nos ad hujus loci comparationem attulimus, suboriri dubitatio potest, cum illic unius oculi tantum, hic vero duorum mentio facta sit. Dicimus autem ibi quidem intellectum unius oculi appellatione signatum esse; hic vero spirituales operationes intellectus, practicam scilicet ac speculativam, oculorum dualitate monstrari : quibus qui pie officioseque utatur, perspicacem sane habebit oculorum intuitum. Est præterea et illud scitu dignissimum, morem hunc esse divinæ Scripturæ ut pro una tantum potentia totam animam nobis quandoque proponat; ut a concupiscibili, cum dicit : *Et comedet uvas, donec impleat animam* [83], hoc est, appetitum. Ab irascibili autem, cum dicit : *Anima benedicta tota simplex, homo autem iracundus inhonestus est* [84]. Pro parte namque irascibili, ipsum

« Ἀγαθὸν ὅραμα ὀφθαλμοῦ ὑπὲρ πορευόμενον ψυχῇ· καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. » Ὁ Ἀπόστολός φησι· *Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος.* Ψυχικὸς δέ ἐστι ὁ θυμῷ καὶ ἐπιθυμίᾳ παρὰ τὸ δέον χρώμενος. Ἐν Εὐαγγελίοις δὲ γέγραπται· *Ἐὰν ὁ ὀφθαλμός σου φωτεινὸς ᾖ, ὅλον τὸ σῶμα φωτεινὸν ἔσεται·* τουτέστι, Ἐὰν τὸ λογιστικόν σου, τουτέστι ὁ νοῦς, πεφωτισμένον ᾖ, δύναται καὶ τῷ θυμικῷ καὶ τῷ ἐπιθυμητικῷ εἰς δέον καὶ κατὰ φύσιν χρήσασθαι. Ἀσυγκρίτως οὖν ἀγαθὸν, τὸ διορατικοὺς ἔχειν τῆς ψυχῆς τοὺς ὀφθαλμοὺς, καὶ πεφωτισμένους ὑπὸ τοῦ ἁγίου Πνεύματος, ὑπὲρ τὸ πορευόμενον ψυχῇ, τουτέστι τὸν ψυχικὸν ἄνθρωπον καὶ ἀφώτιστον. Ἀληθῶς γὰρ ὁ τοιοῦτος οὐδὲν ἕτερόν ἐστι εἰ μὴ ματαιότης, προαιρετικῶς ψυχικὸς γενόμενος. Πῶς δὲ ἐν Εὐαγγελίοις ἑνὸς ὀφθαλμοῦ ῥηθέντος, ἐνταῦθα δύο μέμνηται; Καί φαμεν ὅτε ἐκεῖ τὸν νοῦν ὀφθαλμὸν εἶπε, ἐνταῦθα δὲ τὰς πνευματικὰς τοῦ νοῦ ἐνεργείας, τήν τε πρακτικὴν, καὶ θεωρητικὴν, ὀφθαλμοὺς ἐκάλεσε, ἃς ὁ κατορθῶν ἀγαθὸν ὅραμα ἔχει ὀφθαλμῶν. Ἰστέον δὲ ὡς ἡ θεία Γραφὴ ἐξ ἑνὸς πολλάκις μέρους ὅλην τὴν ψυχὴν καλεῖ· καὶ ἐκ μὲν τοῦ ἐπιθυμητικοῦ, ὡς ὅταν λέγει, *Καὶ φάγῃ σταφυλὴν ὅσον ἐμπλῆσαι ψυχὴν*, ἀντὶ τοῦ, τὴν ὄρεξιν. Ἐκ δὲ θυμικοῦ, ὅταν φάσκῃ· *Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ, ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων.* Ἀπὸ γὰρ τοῦ θυμοῦ τὸ ὅλον ψυχὴν εἶπε. Ὅταν δὲ φάσκῃ, *Τὰς ψυχὰς ὑμῶν ἡγιακότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας*, ἐπειδὴ τὸ ἐν ἡμῖν λογικὸν διὰ ἁγιασμοῦ ἁγνίζεται, ἀπὸ τούτου τὸ ὅλον ψυχὴν ἐκάλεσε· ὅταν δὲ τὸ ὅλον ψυχὴν καλῇ, μετὰ τῶν μερῶν λέγει, *Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω.* Καὶ ἐνταῦθα τοίνυν ἀπὸ τοῦ λογικοῦ,

[80] Matth. v, 3. [81] I Cor. [82] Matth. VI, 22. [83] Deut. XXIII, 24. [84] Prov. XI, 25.

Digitized by Google

τουτέστι τῶν ὀφθαλμῶν ἀγαθὸν εἶπε τὸν πνευματικὸν ἄνθρωπον, ἢ τὸν ψυχικόν.

totum, hoc est, animam protulit. Cum vero inquit[85], animas nostras sanctificari ad obedientiam veritatis, quia rationalis tantum potentia sanctificationis est capax : ad hanc unam vim sensum intendens, totum ipsum (hoc est, animam) nominavit; quandoque vero totum cum partibus suis, animæ appellatione vult intelligi. Ut cum dicit : *Omnis anima potestatibus superioribus subdita sit*[85*]. Hoc etiam loco ad rationalem aspiciens potentiam, quam dualitate oculorum expressit, longe melius esse ait homini spirituali quam animali.

« Εἴ τι ἐγένετο, ἤδη κέκληται ὄνομα αὐτοῦ, καὶ ἐγνώσθη ὃ ἐστιν ἄνθρωπος· καὶ οὐ δυνήσεται τοῦ κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν· ὅτι εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα. » Εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα· οἱ ἀντιφερόμενοι τῇ τοῦ Δημιουργοῦ προνοίᾳ. Οἷον εἰσὶν οἱ ἀπαιδεύτως λέγοντες, Διὰ τί ὁ Θεὸς τὸν μὲν ἐποίησε πένητα, τὸν δὲ πλούσιον; καὶ τὸν μὲν ἀπρεπῆ, τὸν δὲ καὶ λίαν εὐπρεπῆ; καὶ ὅσα τοιαῦτα· ταύτας τὰς B φλυάρους ζητήσεις ἀναστέλλων ὁ Ἐκκλησιαστὴς, φησὶν ὅτι πάντων τῶν γεγονότων αὐτὸς οἶδε ὁ ποιητὴς τοὺς λόγους, καθ' οὓς αὐτὰ παρήγαγε· οὐ γὰρ μόνον ἠπίστατο πάντα πρὸ γενέσεως αὐτῶν, ἀλλὰ καὶ τὰ τούτων ὀνόματα ἐν τοῖς τῆς θείκης προγνώσεως ἐναπέκειτο λόγοις. Εἴ τι γὰρ εἰς γένεσιν ἤγαγεν ὁ Θεὸς, ἤδη τούτου καὶ τὸν λόγον καὶ τὴν προηγορίαν κεφαλαιωδῶς εἶχε παρ' ἑαυτῷ. Εἰδὼς οὖν καὶ τὰ ἑκάστῳ ἀνθρώπῳ συμφέροντα, οὕτως αὐτὸν εἰς τὸν βίον παρήγαγε, καὶ προέγνωστο αὐτῷ τὰ κατὰ τὸν ἄνθρωπον, ὅτι καὶ τρεπτὸς, καὶ θνητὸς, καὶ ἀσθενής. Μηδεὶς οὖν ἀντιφθεγγέσθω *τῷ πάντα εἰδότι πρὸς γενέσεως αὐτῶν*, καὶ ἐν κόσμῳ τῷ προσήκοντι, καθ' οὓς οἶδε αὐτὸς λόγους, ἕκαστα παράγοντι. *Οὐ γὰρ δυνήσεταί τις μετὰ τοῦ ὄντως* C *ἰσχυροῦ κρίνεσθαι*· νικήσει γὰρ πάντως ὁ ἰσχυρὸς, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, *Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.*

Vers. 10, 11. « Si quid fuit, jam vocatum est nomen ejus; et est cognitum quod est homo, et non poterit cum eo qui sit fortis super eum, judicari : quoniam multa sunt verba augentia vanitatem. » Multi sunt, inquit, sermones vanitatem multiplicantes, qui impudenter efferuntur contra providentiam Creatoris. Sunt namque permulti qui inconsultius quærant, quare hunc Deus paupertate oppressit hominem, huic vero, contra magnas opes diffudit? Cur hunc venustum esse voluit, hunc deformem, et quæ sunt hujusmodi curiosæ nugationes : quas ut e medio tollat noster Ecclesiastes, ait omnium rerum quæ factæ sunt, rationes, cur ita factæ sint, repositas esse apud auctorem Deum, qui tantæ est sapientiæ ut non solum eas sciret esse futuras antequam fierent, sed earum quoque nomina recondita haberet in præscientiæ suæ consiliis. Si quid enim Deus in generationem produxit, hujus et rationem et nomen comprehensum habuit apud seipsum. Cum itaque multo ante præsciret quæ cuique homini utilia essent futura, **644** ita denique unum quemque produxit in vitam : cum, inquam, præsciret omnes hominis conditiones, quod mutabilis, quod mortalis, quod imbecillis erat futurus. Nullus itaque hominum ausit efferre verba contra illum *qui novit omnia antequam fiant*[86], et convenienti loco singula statuit juxta sibi uni cognitas rationes. *Non* enim *poterit quisquam cum eo qui vere fortis est, judicari :* hoc est, contendere in judicio, cum fortissimo omnium; vincet enim procul dubio fortis, juxta quod David canit in Psalmis : *Ut justificeris in sermonibus tuis, et vincas cum judicaris*[87].

ΚΕΦΑΛ. Ζ'.

« Τί περισσὸν τῷ ἀνθρώπῳ, ὅτι τίς οἶδε τί ἀγαθὸν τῷ ἀνθρώπῳ; τί ἔσται αὐτῷ; Καὶ ἐποίησε αὐτὰ ἐν σκιᾷ· ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ, τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον; » Οὐ τὴν ἐνάρετον, ἀλλὰ τὴν ματαίαν τῶν ἀνθρώπων διαβάλλων ζωὴν, φησὶν, ὅτι *Τί πλέον ἔχει* ὁ περὶ τὰ μάταια ἀσχολούμενος; Γυναῖκα εὐπρεπῆ; Τῷ δῆλον εἰ δι' αὐτὴν ἀνιάσεται, πορνευομένην τυχὸν, ἢ καὶ ἄλλως αὐτὸν λυποῦσαν; Χρήματα; ταῦτα δὲ τὸν Ἰούδαν ἐκρέμασαν. Ἀμπελῶνα; Ναβὼθ διὰ τοῦτον ἐπεβουλεύθη. Τίς γὰρ ἀπαγγελεῖ τῷ ἀνθρώπῳ τί συμβήσεται αὐτῷ, ἐν ὅσῳ ἐστὶ ἐν τῷδε τῷ βίῳ; Ἡ δὲ παροῦσα λέξις καὶ μαντικὴν καὶ γενεθλιαλογίαν ἀναιρεῖ. Οὐδεὶς γὰρ τούτων σαφὲς οὐδὲν εἰπεῖν δύναται. Εἰ δὲ καὶ πάντα κατὰ θυμίωσ ἐν ταύτῃ τῇ ζωῇ τινι προσγένοιτο, ἀριθμητὸς ὢν ὁ βίος θᾶττον ὡς σκιὰ παρατρέχει. Ζῆν τοίνυν προσήκει κατὰ ἀρετὴν, εἰς τὸν μέλλοντα καὶ ἀπέραντον καὶ ἄσκιον ἀφορῶντα αἰῶνα· περὶ οὗ καὶ

CAPUT VII.

Vers. 1. « Quid est amplius homini? Quoniam quis novit quid sit homini bonum, aut quid futurum est sibi? Et in umbra ea fecit. Quis enim homini nuntiabit, quid post eum futurum sub sole sit? » Non officiosam hominis vitam, sed vanam stultamque carpit, cum dicit : *Quid habet amplius homo*, qui circa vana et peritura occupatur? Dicesne hunc habere venustam conjugem? Verum cui satis constat, ob eamdem ipsam conjugem doliturus nec ne sit, vel in adulterio deprehensam aut alias afferentem doloris causas? An pecunias habere hunc dices? Atqui pecuniæ, Judam ad laqueum compulerunt. An vero potius vineam? Quasi non propter vineam sit Naboth, insidias mortemque perpessus? Quis enim homini nuntiabit, quid illi sit eventurum, donec est in hac vita? Præsens vero hæc auctoritas nostri Ecclesiastæ, omnem funditus evertit divinandi superstitionem, vanasque astrologo-

[85] I Petr. I, 22. [85*] Rom. XIII, 1. [86] Dan. XIII, 42. [87] Psal. L, 6.

Digitized by Google

rum nugas de hominum genituris. Nullus enim horum, certam futurorum scientiam consequi potest. Ut vero etiam concedamus homini cuncta ad votum in hac vita cessura esse, illo tamen calculo hunc urgebimus qui eum male urat et torqueat, numerabiles scilicet positos esse ipsius vitæ dies qui velut transcurrunt. Ex quo plane comprobatur, oculos erigentibus ad futuram vitam mortis et umbrarum immunem; de qua nobis abunde per prophetas, apostolos et Redemptorem mundi est traditum. Quæ enim ventura nobis in hoc mundo sint, penitus ignoramus : quæ vero nobis reposita sint in futuro sæculo, fide jam scimus; quod tormenta videlicet, peccatores; æterna vero gloria, justos excipiet.

A διὰ προφητῶν, καὶ διὰ ἀποστόλων, καὶ διὰ τοῦ Κυρίου ἡμῶν μεμαθήκαμεν. Τὰ μὲν γὰρ ἐν τῷδε τῷ βίῳ ἡμῖν συμβησόμενα παντελῶς ἄδηλα· τὰ δὲ ἐν τῷ μέλλοντι καὶ λίαν πρόδηλα· ὅτι τοὺς μὲν ἁμαρτωλοὺς αἱ κολάσεις, τοὺς δὲ δικαίους ἡ αἰώνιος ζωὴ ἀπεκδέχεται.

Vers. 2. « Melius nomen bonum, oleo bono; et dies mortis, super diem nativitatis ejus. » Symmachus, pro eo quod legimus, *super oleum bonum*, transtulit, *super unguentum beneolens*. In unguento autem, omnes hominum delicias significavit. Melius itaque est, inquit, ex officiosis actionibus laudabilis famæ fructum percipere, et exsultare ob nomen suum scriptum in cœlis, propter piam vitæ conversationem, quam frui omnibus humanis deliciis. Bonam etiam decernit esse transitus vitæ hujus diem, super diem nativitatis. Natalitius enim dies in turbulentum vitæ hujus pelagus nos inducit, **645** ubi draco latibulum suum posuit, Transitus vero dies, e stadio nos educit. Et si quidem peccator fuerit qui decedit, peccare ultra jam desinit: qui vero fuerit justus, vita perfruetur æterna. Mystice autem : Melius est habere nomen bonum, hoc est, habere Christum in portione ac sorte propter fidei Christianæ sacramentum, et vocari ejus nomine, hoc est, appellari Christianum, quam sine illius fide, in eleemosynas, facultates suas profundere. Multi namque gentilium quia hoc carent nomine, sine ulla utilitate ac fructu animæ suæ fortunas suas erogant indigentibus : si tamen hoc fecerint, affectu misericordiæ moti, ipsi quoque in cognomen hoc sanctum aliquo pacto pervenient : sicut et Cornelius[88] ipse venit centurio. Bona est consepelimur, super diem vulgaris hujus ac mundanæ nativitatis qua nos Adam pater primus in vitam progenuit.

« Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθὸν, καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γεννήσεως αὐτοῦ. » Σύμμαχος, ἀντὶ τοῦ, *ὑπὲρ ἔλαιον ἀγαθὸν, ὑπὲρ μύρον* B *εὐῶδες*, ἐκδέδωκε. Ἐκ δὲ τοῦ μύρου, ὅλην τὴν ἐν ἀνθρώποις ἡδονὴν ἐσήμανε. Ἀγαθὸν οὖν, φησὶν, ἐστὶ, ἐκ τῶν ἀρετῶν φήμην καλὴν καρπώσασθαι, καὶ ἔχειν ὄνομα ἀπογεγραμμένον ἐν οὐρανοῖς διὰ τῆς κατὰ Θεὸν πολιτείας, ἢ πᾶσαν ἀνθρωπίνην ἡδονήν. Ἀγαθὸν δὲ ἀποφαίνεται καὶ τὴν τῆς ἐξόδου ἡμέραν ὑπὲρ τὴν τῆς γεννήσεως. Ἡ μὲν γὰρ τῆς γεννήσεως εἰς τὴν τοῦ βίου θάλατταν εἰσάγει, ἔνθα ὁ δράκων ἐμφωλεύει· ἡ δὲ ἐξάγει τοῦ σταδίου. Καὶ εἰ μέν τις ἁμαρτωλὸς, ἢ, παύεται τοῦ πλείονα ἁμαρτάνειν· εἰ δὲ δίκαιος, τῆς αἰωνίου κατατρυφήσει ζωῆς. Πρὸς δὲ διάνοιαν, Ἀγαθὸν ἐστι τὸ κτήσασθαι ὄνομα καλὸν, τουτέστι τὸ μερίδα σχεῖν τὸν Χριστὸν διὰ τῆς πίστεως, καὶ ἐπικληθῆναι τῷ ὀνόματι αὐτοῦ, τουτέστι καλεῖσθαι Χριστιανὸν, ἢ τὸ διδόναι ἁπλῶς ἐλεημοσύ- C νην. Πολλοὶ γὰρ καὶ ἐθνικῶν παρέχουσιν, ἀλλ' οὐδὲν ὠνησαν, ἐὰν μὴ σχῶσι τὸ ὄνομα τὸ ἀγαθόν· εἰ δὲ ἐκ διαθέσεως ἐλεημονικῆς τοῦτο ποιήσουσι, κτήσονταί που πάντως καὶ τὸ ἀγαθὸν ὄνομα, κατὰ τὸν ἑκατοντάρχην Κορνήλιον. Ἀγαθὴ δὲ καὶ ἡ ἡμέρα τοῦ θανάτου, καθ' ἣν τῷ Χριστῷ συνθαπτόμεθα, καὶ τῇ ἁμαρτίᾳ ἀποθνήσκομεν, ὑπὲρ τὴν ἡμέραν τῆς κοινῆς γεννήσεως, καθ' ἣν ἡμᾶς ὁ Ἀδὰμ ἐγέννησε.

etiam interitus dies, quia peccato mortui Christo

Vers. 3. « Melius est ire ad domum luctus quam ad domum convivii . propterea quod hic futurus est finis omnium hominum. » Luxuriæ maculas et desidiæ, quas anima contrahit e conviviis, etiam D sanctus ille Job cum secum tacite reputaret, sacrificia pro expiandis filiis offerebat[89], quanquam illi non malo consilio sed tuendæ gratiæ causa convivia inter se (quasi cognatorum Charistia) celebrarent : Funebris vero luctus longe fragilitatis humanæ conditionem reputantes, et mus, ac id melius resipiscimus. Hoc enim significat quod statim subsequitur :

« Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου, καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου. » Τὰ ἐν πότῳ παροράματα καὶ ὁ μακάριος Ἰὼβ ὑφορώμενος, ὑπὲρ τῶν δι' ὁμόνοιαν συμποσιαζόντων πρὸς ἀλλήλους παίδων, θυσίας ἔφερε. Ἐν δὲ τῷ πένθει τὸ κοινὸν τῆς φύσεως διενθυμούμενοι, συμπαθεῖς τε γινόμεθα, καὶ τὸν ἑαυτῶν διορθούμεθα βίον. Τοῦτο γάρ ἐστι,

utilior est convivio. In eo namque communem orbatis compatimur, et errores proprios emenda-

Vers. 4. « Et vivens afferet bonum in mentem suam. Super risum bona est ira ; In tristitia enim vultus et animus emundabitur. » Irasci naturaliter, bonum laudabileque censetur : ut cum quis vel contra dæmonas, vel contra carnis passiones insurgit et excandescit, hujusmodi iram, hoc loco

« Καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ. Ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα, ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία. » Τὸ κατὰ φύσιν θυμοῦσθαι, οἷον κατὰ παθῶν ἢ δαιμόνων, ἀγαθόν· καὶ περὶ τούτου φησὶ, Ἀγαθὸν θυμός· τὸ δὲ, ὀρέξει καὶ ἐπιθυμίᾳ ἀμύνασθαι τὸν ἀδικήσαντα, ψεκτόν. Ἄμεινον οὖν τὸ

[88] Act. x, 1 seqq. [89] Job I, 5.

Digitized by Google

ἐπαινετῶς θυμοῦσθαι ἐν γέλωτι. Τὸ γὰρ σεμνὸν, καὶ μὴ διακεχυμένον πρόσωπον ἀγαθύνεσθαι παρασκευάζει καὶ χαίρειν τοῦ ἀνθρώπου τὴν ψυχήν. Ἄλλως, θυμοῦσθαι λέγεται ὁ λόγῳ ἐπιπληκτικῷ χρώμενος. Ἀγαθὸν οὖν καὶ διδασκάλῳ καὶ δεσπότῃ τοιούτοις κεχρῆσθαι λόγοις πρὸς τοὺς ὑποχειρίους, ἢ προσμειδιᾷν καὶ χαυνοῦν αὐτῶν τὰς ψυχάς. Ἐν γὰρ τῇ τοῦ προσώπου αὐστηρίᾳ, ἣν δὴ κακίαν φησὶ, αὐτός τε ἀγαθυνθήσεται, καὶ τοὺς ὑπὸ χεῖρα ἀγαθοὺς ἀπεργάσεται.

A bonam appellat. Quæ autem non odio peccati sed appetitu vindictæ illatas ulciscitur injurias, hæc damnanda est ira. Melius itaque est hoc pacto irasci, quam risu lento dissolvi. Gravis enim vultus nec resolutus, correctionis est index, et ad solidum virtutis gaudium animam parat. Aliter irasci quodammodo dici potest, qui severa delinquentes corripit objurgatione. Melius est ergo vel præceptori vel domino, subditos oratione coercere, quam per risum atque blanditias pati illorum mentes languescere : in vultus enim austeritate, quam hoc loco tristitiam nominat, et sibi melius consulet, et subditos in viam probitatis convertet.

« Καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης. » Ὁ σοφὸς τὰ ἔνθεν πένθη λογιζόμενος, ὅτι ἐκ φθορᾶς, καὶ ὅτι ῥᾳδίως τὰ τῇδε μεταπίπτει καὶ περιτρέπεται, γίνεται μὲν συμπαθὴς τοῖς ταῦτα ὑπομένουσι· περιφρονεῖ δὲ τῶν ὁρωμένων, καὶ οὐχ ἑστώτων. Ὁ δὲ ἄφρων πάγια εἶναι τὰ ἐν κόσμῳ νομίζων, καὶ τὸ ἄστατον αὐτῶν μὴ λογιζόμενος, μηδὲ τὸ μέλλον ὑφορώμενος, τρυφῇ καὶ διαχύσει σχολάζει, καὶ ἡδοναῖς. Σημειοῦ δὲ ἐντεῦθεν τοῦ Ἐκκλησιαστοῦ τὴν γνώμην, διὰ τὸ πολλάκις αὐτὸν τὸ τοῦ φιλοκόσμου πρόσωπον ὑποθέμενον ἐν τῷ ἐσθίειν καὶ πίνειν ὁρίζεσθαι τὸ ἀγαθόν.

Vers. 5. « Cor sapientum in domo luctus, et cor stultorum in domo lætitiæ. » Vir sapiens e funebri luctu secum animo deputans sese natum de B corruptibili carne, brevi ex hac vita migraturum, mortales cæteros qui eadem sunt nati conditione, affectu pio prosequitur; contemnit autem quæcunque suis oculis obversantur, ut casui mortique subjecta. Stultus autem, cum mentis hebetudine, stabilia putet esse quæ sunt in mundo, neque illorum mutationem intelligat, propterea que futuri exitus sit securus, deliciis effluit, voluptatibusque indulget. **646** Animadverte autem quod initio te admonui, ac sæpe obiter repetivi, Ecclesiasten nostrum (non ingenue quidem ex sententia sua loquentem, sed ex persona voluptuarii, quam nonnunquam, ut sibi commodum est, assumit) ita de patinis poculisque disserere, ut videri possit iis qui non intelligunt obliquum sermonis ductum, velut Epicureus quidam, bonum hominis, voluptate metiri. Sed animi sui consilium compluribus in locis plane ostendit tum proxime a nobis loco exposito, ubi ait sapientis mentem versari in domo luctus : stulti vero in domo lætitiæ.

« Ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ, ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων. » Τὸ μὲν γὰρ θηλύνει τὴν ψυχήν· ἡ δὲ τῶν σοφῶν ἐπιτίμησις ἐπιστύφει καὶ ἐπιῤῥώννυσιν. C Vers. 6. « Melius est audire correctiones sapientis, super virum audientem carmen stultorum. » Hoc namque effeminat animum : sapientis vero correctio colligit et confirmat.

« Ὅτι ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως γέλως τῶν ἀφρόνων. » Ὁ βρασμὸς, φησὶ, καὶ ὁ καγχασμὸς τῶν ἀφρόνων ἔοικε ἀκάνθαις ὑποκαιούσαις λέβητα· πρῶτον μὲν ὅτι ὥσπερ ὁ κτύπος ὁ ἐκ πυρὸς τῶν ἀκανθῶν πρόδηλός ἐστι καὶ τοῖς μὴ ὁρῶσιν, ἀκούουσι δέ· οὕτω καὶ τοὺς ἄφρονας ἡ τοῦ γέλωτος ἐξήχησις χαρακτηρίζει· εἶτα ἐκεῖ καπνὸς ἐκ τῆς πυρκαϊᾶς· ἐνταῦθα σκότωσις ψυχῆς ἐκ τοῦ τοιοῦδε γέλωτος. Ἐκεῖ ἄκανθαι ὑποκαίουσαι λέβητα· ἐνταῦθα ἁμαρτίαι τὸ αἰώνιον πῦρ ὑφάπτουσαι τῷ ἄφρονι· *Ὁ γὰρ σοφὸς μόγις ἠσυχῇ μειδιάσει.*

Vers. 7. « Quia sicut vox spinarum sub olla, ita risus stultorum. » Ebulliens, inquit, risus et cachinnatio spinis videtur esse persimilis, quæ sub ollæ fundo strepitantes conflagrant : primo quidem quia sicut ille fragor ardentium spinarum plane percipitur auditu, quanquam oculis non cernatur : ita et immodestus cachinni sonus, stultos facile prodit; tum vero, inde a spinarum globo fumus attollitur; hic quoque caligo quædam mentis ex hujusmodi risu cognoscitur; ibi ollam spinæ succendunt; hic, animam stulti risus, peccati sorde non carens, D igni parat æterno : *Sapiens enim vix tenui ac modesto risu vultum resolvit* [89].

« Καί γε τοῦτο ματαιότης, ὅτι ἡ συκοφαντία περιφέρει σοφὸν, καὶ ἀπολλύει τὴν καρδίαν εὐτονίας αὐτοῦ. » Ἕτερον εἶδος ἐκδιδάσκει ματαιότητος. Σοφὸν δὲ εἰ μὲν τὸν τέλειόν φησι, οὕτω νοήσεις· Οἱ τῶν ἀνθρώπων ἀνόητοι οὐ μόνον ἑαυτοὺς, ἀλλὰ καὶ Θεὸν συκοφαντοῦσιν, ὡσεὶ μὴ ἐφορῶντα τὰ ἀνθρώπινα, ἢ κακῶς ἐπιτροπεύοντα, διὰ τὸ ἀσεβεῖς πολλάκις εὐθηνῆσαι, δικαίους δὲ στενοχωρῆσαι. Ἐπὶ τούτοις καὶ Δαβὶδ ἔλεγε· *Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρ-*

Vers. 19. « Sed et hoc vanitas, quia calumnia vexat sapientem, et perdit cor vigoris ejus. » Aliam vanitatis speciem nobis ante oculos ponit. Quem vero hic sapientem vocat? Si perfectum accipiendum putes, qui cum ceciderit, non collidetur in tentationibus, tunc ita intellige : Insipientes corde qui non sunt Dei gratia confirmati, non solum in seipsis sed in Dei providentia scandalum patiuntur, ita ut calumniis ac blasphemiis abstinere non possint, quod vel Deum intueri humana non pu-

[89] Eccli. xxi, 23.

Digitized by Google

tent, vel contemptu quodam humanarum rerum pati omnia temere immutari : cum sæpe videant impios lætis exsultare successibus; contra autem justos graviter premi. Ad hoc pertinet illud, quod in Psalmis cecinit David : *Pene effusi sunt gressus mei, quia zelavi super iniquos, pacem peccatorum videns* [90]. Sentisne quomodo animæ vires labefactæ sint, et nescio quid vanitatis sit passus? Sed quia perfectus erat sapiens ac Spiritu sancto plenus, statim subdidit novissima ad quæ peccatores demum perveniant : *Facti sunt in desolationem, subito defecerunt, perierunt propter iniquitatem suam* [91]. Si vero sapientem pro eo accipias qui nuper sacra imbutus sit doctrina, plane scito quod neophyti hujus hæreti corum contagia, et calumniæ, et diabolicæ tentationes, et quæ modo retuli justis impiisque contingere, facile potuerunt animæ vigorem infringere. Quod nisi mature ad se rediens convalescat; huic quoque vanitatis sarcina insidebit.

A τωλῶν θεωρῶν. Ὁρᾷς πῶς παρελύθη τοὺς τόνους τῆς ψυχῆς, καὶ πέπονθέ τι μάταιον; Ἀλλ' ἐπειδὴ τέλειος ἦν σοφὸς, πληρωθεὶς ὑπὸ τοῦ πνεύματος, τὰ ἔσχατα τῶν ἁμαρτανόντων ἐπήγαγε, πῶς *ἐγένοντο εἰς ἐρήμωσιν, ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν*. Εἰ δὲ τὸν τῆς ἄρτι θείας παιδείας ἐπειλημμένον, νόει ὡς τοῦ νεοπαγοῦς τούτου, καὶ αἱρετικῶν συκοφαντίαι, καὶ διαβολικοὶ πειρασμοὶ, καὶ τὰ ἀνωτέρω δὲ προειρημένα τοὺς τῆς ψυχῆς ἐκλύουσι τόνους· καὶ εἰ μὴ ταχέως ἐκνήψας ἀναῤῥώσθῃ, προσκείσεται καὶ τούτῳ τὸ μάταιον.

Vers. 9. « Melior est finis orationis quam principium. » Orationis in qua agitur de virtute, melior est finis principio, neque enim solum cœpisse pulchrum est, sed multo magis rei cœptæ finem imposuisse.

B « Ἀγαθὴ ἐσχάτη λόγου ὑπὲρ ἀρχὴν αὐτοῦ. » Τῶν λόγων τῶν κατὰ ἀρετὴν τὸ τέλος ἄμεινον· οὐ γὰρ τὸ ἄρξασθαι μόνον καλὸν, ἀλλὰ καὶ τὸ τέλος; ἐπιθεῖναι τῷ σπουδαζομένῳ.

« Melior est longanimis, eo qui spiritu est elatus. » Superius est a nobis dictum, quæ contraria sint, in comparationem proprie dictam venire non posse. Non itaque comparative ad amussim accipienda sunt quæ nunc tradit Ecclesiastes, sed discretis rationibus, ita ut se habent, reputanda.

« Ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι. » Ἐν τοῖς προλαβοῦσι λέλεκται ὡς τὰ ἐναντία οὐ συγκρίνεται. Οὐ συγκριτικῶς οὖν φησιν, ἀλλὰ τὸ ὂν διδάσκει, ὡς ὁ μὲν μακρόθυμος ἀγαθός· τῷ δὲ ἐξ ὑπερηφανείας κουφιζομένῳ τῷ πνεύματι, τουτέστι τῇ διανοίᾳ, ὁ Θεὸς ἀντιτάσσεται.

647 Inquit ergo sapientem ac longanimem bonum esse; illi autem qui per superbiam spiritus leviter efferatur, Deum resistere.

Vers. 10. « Ne sis velox in spiritu tuo irasci, quoniam ira in sinu stultorum requiescet. » *Ne sis velox*, id est, caveto ne malum iracundiæ concipias habitum, ita ut transeat in affectum cordis : sed si oporteat fortasse ex enata occasione non nihil irasci, cave (inquam) ne in passionem ac peccatum temere cadas; ira enim quæ culpabilis est, habitat et quiescit in stultorum mente ac capite : quod hoc loco *sinum* vocavit, tanquam iræ sit receptaculum quoddam sedesque. Aliter quoque, *In sinu* accipies, quasi dicat : Ne stultorum more ac ratione carentium hominum, iram in sinu confove, neve illi blandiendo indulge atque adulare : quod profecto efficiunt qui procliviores sunt ad ulciscendum eos a quibus molestia sunt affecti.

C « Μὴ σπεύσῃς ἐν πνεύματί σου θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται. » Τὸ, *Μὴ σπεύσῃς*, Μὴ ἔξιν ἀναλάβῃς θυμικὴν ἐν τῇ γνώμῃ· ἀλλὰ κἂν δεήσῃ προσποιήσασθαι θυμὸν, μὴ εἰς τὸ πάθος ἐμπέσῃς· καὶ γὰρ ψεκτὸς θυμὸς ἐν τῷ ἡγεμονικῷ τῶν ἀφρόνων κόλπῳ καλούμενος οἰκεῖ καὶ ἐπαναπαύεται. Καὶ ἄλλως δὲ τὸ, *ἐν κόλπῳ*, νοήσεις, ἀντὶ τοῦ, Μὴ κολάκευε, μηδὲ θεράπευε, τὸν θυμὸν, τῷ σπουδάζειν ἀμύνασθαι τοὺς λελυπηκότας.

Vers. 11. « Ne dicas : Quidnam factum est quod priores dies fuerunt præsentibus meliores? Non enim sapienter de hac ipsa re interrogasti. » Quotidie sic stulti homines loqui solent. Dicunt enim : Patrum nostrorum temporibus illis priscis, Deus hominibus modo per angelos, modo per prophetas solebat loqui; licebat antiquis patribus uxores multas accipere, multas divitias possidere : quæ tamen nobis evangelica lex interdixit. Sunt præterea qui dicant : Olim me Deus auxilio suæ gratiæ protegebat, nunc vero me penitus solum dereliquit, ideoque bona operari non possum. Hæc autem omnia sunt insipientium verba. Est et alios ita blaterantes audire. Tempestate nostra, mundus hic malis hominibus est refertus : alii sunt

« Μὴ εἴπῃς· Τί ἐγένετο ὅτι αἱ ἡμέραι πρότεραι ἀγαθαὶ ἦσαν ὑπὲρ ταύτας; ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου. » Πολυτρόπως τοῦτό φασιν οἱ τῶν ἀνθρώπων ἄσοφοι· Ὅτι, φησὶ, κατὰ τὸ παλαιὸν ὁ Θεὸς διὰ προφητῶν καὶ ἀγγέλων τοῖς ἀνθρώποις ἐλάλει, ὅτι ἐξὸν ἦν τοῖς παλαιοῖς πολυγαμεῖν, κτημάτων ἔχειν περιουσίας· νῦν δὲ ταῦτα περικόπτει ὁ εὐαγγελικὸς λόγος. Καὶ ἄλλοι δέ εἰσι λέγοντες, ὅτι Πάλαι μοι ὁ Θεὸς ἐβοήθει, νῦν δὲ ἐγκαταλέλειμμαι, διὰ τοῦτο οὐ δύναμαι ἀγαθοεργεῖν. Ταῦτα δὲ πάντα ἀφρόνων ῥήματα. Καὶ γὰρ καὶ ἄλλων ἔστι ἀκοῦσαι, λεγόντων· Νῦν ὁ κόσμος ἐπληρώθη κακῶν· καὶ ἕτεραι μὲν αἱ ἡμέραι κακαὶ, ἕτεραι δὲ καλαί. Ὁ δὲ κατ' ἀρετὴν ζῶν ἀεὶ ἐκ ζωῆς εἰς ζωὴν μεταβαίνων, καὶ ἐκ πίστεως εἰς πίστιν ταῖς ἀρεταῖς προκόπτων,

D

[90] Psal. LXXII, 3. [91] ibid. 19.

Digitized by Google

οὔτε ἡμερῶν οἶδε διαφορὰν, ἀλλὰ καὶ τῶν προαποῤῥηθέντων τοὺς λόγους ἐπίσταται.

boni dies, alii vero mali. Cæterum qui duce virtute suam moderatur vitam, de vita in vitam transit, ac de fide in fidem proficit in virtutibus; neque apud illum est aliqua dierum differentia, sed congruis rationibus novit evertere quas paulo ante adduximus stultorum hominum quæstiones.

« Ἀγαθὴ σοφία μετὰ κληροδοσίας· καὶ περισσεία τοῖς θεωροῦσι τὸν ἥλιον, ὅτι ἐν σκιᾷ αὐτοῦ ἡ σοφία, ὡς σκιὰ τοῦ ἀργύρου· ὅτι περισσεία γνώσεως τῆς σοφίας ζωοποιήσει τοὺς παρ' αὐτῆς. » Ὃ δίδοται λόγος σοφίας διὰ τοῦ Πνεύματος, οὗτος σοφίαν ἔχει μετὰ κληροδοσίας, ἀντὶ τοῦ, τὴν ἐκ τοῦ ἁγίου Πνεύματος. Οὗτος καὶ περισσείαν ἔχει ἐν τῷ θεωρεῖν τὸν ἥλιον· οὔτε γὰρ ἀπατᾶται, καὶ Θεὸν τοῦτον νομίζει· οὔτε μέχρι τοῦ θαυμάζειν αὐτὸν, ἢ ἐπιτέρπεσθαι μένει· ἀλλὰ ἀναλόγως τὸν γενεσιουργὸν αὐτοῦ θεωρῶν, τῷ θείῳ καταλάμπεται φωτί· καὶ ποιεῖ μὲν ἡ σοφία ὃ ποιεῖ καὶ τὸ ἀργύριον, ἀπὸ κινδύνων ἁρπάζει, πόλεις οἰκοδομεῖ, σκέπει τὸν ἔχοντα· *σκιὰν* γὰρ τὴν σκέπην λέγει. Ἔχει δὲ ἡ σοφία τὸ περιττὸν, τὴν γνῶσιν τὴν ζωοποιόν· πείθουσα μὲν καταφρονεῖν τῶν ὁρωμένων, εἰς μόνην δὲ ἀποβλέπειν τὴν αἰώνιον ζωήν. Ἄλλως· Ἡ σοφία, φησὶν, ἡ μετὰ κληροδοσίας, τουτέστι ἡ πίστις μετὰ τῶν ἔργων, περιττόν τι ἔχει παρὰ τοὺς ἄλλους, τὸν ἥλιον· ποῖον τὸ περιττόν; Ἀργύριον δὲ κατὰ τὴν θεωρίαν ὁ Λόγος παρείληπται. *Ὥσπερ οὖν ἡ σκιὰ τοῦ ἀργυρίου*, τουτέστι ὁ διεξοδικὸς καὶ προφανὴς λόγος, διδάσκει ἡμᾶς τὰ περὶ σοφίας μαθήματα· οὕτως ἡ σκιὰ τῆς σοφίας, τουτέστι ἡ εἰσαγωγικὴ καὶ πρακτικὴ ἀρετὴ σκιὰ οὖσα, παραπέμπει ἡμᾶς εἰς τὴν τελείαν σοφίαν, τὴν τῶν θειοτέρων θεωρίαν καὶ κατανόησιν. Ἡ δὲ τοιαύτη τῆς σοφίας κτῆσις τὴν ζωὴν ἡμῖν χαρίζεται τὴν αἰώνιον.

Vers. 12, 13. « Bona est sapientia cum hæreditate, et amplius est videntibus solem, quoniam sapientia est in umbra ipsius, sicut umbra argenti; multa quoque cognitio sapientiæ vivificabit habentem se. » Ille cui per dona Spiritus datur sermo sapientiæ; habet procul dubio sapientiam cum hæreditate hac portione sancti scilicet Spiritus. Hic etiam copiam magnam habet cognitionis in videndo hoc sole quem luminare magnum vocamus: neque enim pulchritudine attonitus illum cultu latriæ veneratur ut Deum; neque in sola illius admiratione B spectaculoque consistit; sed ab hac solari luce, proportione quadam ducitur ad auctorem solis contemplandum, atque divina superiori luce perfunditur, præstat enim sapientia, quæcunque præstat argentum sive pecunia: eripit a periculis, exstruit civitates, protegit habentem: accipitur enim *umbra* hoc loco, pro ipsa protectione. Habet autem hoc adhuc amplius sapientia; vivificantem scilicet cognitionem sive scientiam, dum persuadet visibilia cuncta contemnere, solam vero suspicere vitam æternam. Aliter: Sapientia, inquit, cum hæreditate ac sorte, hoc est, fides cum operibus, amplius aliquid præstat habentibus se, quam aliis qui mortuam sine operibus fidem habeant. Quid autem amplius præstat? Nempe solem ipsum: ad solem C namque justitiæ contuendum perveniunt, qui sunt prædíti fide. **648** Argentum vero in Scripturis, mystico sensu pro eloquio ipso accipitur. Sicut igitur enarrativus et dilucidus sermo docet nos sapientiæ disciplinas, sic et umbra sapientiæ, hoc est practica virtus, quæ introductio quædam est veluti umbra; perducit nos ad perfectam sapientiam, divinarum scilicet rerum contemplationem et intellectum. Hujusmodi vero sapientiæ possessio, vitam nobis confert sempiternam. [Per umbram itaque argenti, hoc est, verborum enuntiationem quæ rerum quasi umbra quæpiam est, ad res ipsas et scientias pervenimus. Per sapientiæ vero umbram; hoc est, practicam vitam quæ est veluti prævia introductio ad theoricam, pervenimus ad contemplandam divinarum rerum sublimitatem. Ita vero litteram compones: *Sapientia est in umbra ipsius;* id est, sublimis contemplatio mysteriorum, est in practica vita ipsius possidentis: ac per hoc, qui prius hanc habuerit umbram, habebit et mox sapientiam: *Sicut umbra argenti*, scilicet se habet ad sapientiæ disciplinas; hoc est, sicut verba sunt prævia et inducunt ad sapientiæ disciplinas.]

« Ἴδε τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι τίς δυνήσεται τοῦ κατισῶσαι ὃν ἂν ὁ Θεὸς διαστρέψῃ αὐτὸν, ἐν ἡμέρᾳ ἀγαθωσύνης αὐτοῦ; Ἐκ τῆς περὶ τὸν βίον ἀνωμαλίας ἐτόλμησαν εἰπεῖν τινες ὡς ὑπεραπολογούμενοι τοῦ Θεοῦ, ἵνα μὴ αὐτὸν εἴπωσι τῶν κακῶν αἴτιον· ὅτι οὔτε τὸν κόσμον ἐποίησε, οὔτε προνοεῖ αὐτοῦ· Εἰ γὰρ προενόει, φησὶν, ὁ Θεὸς, διὰ τί μὴ πάντες πλούσιοι; Διὰ τί μὴ πάντες ὑγιεῖς; Ταύτην τὴν δόξαν ἐκβάλλων ὁ Ἐκκλησιαστὴς, φησὶν ὅτι καὶ ποιητής ἐστιν ὁ Θεὸς, καὶ οὐδεὶς δύναται ἀνορθῶσαι τὰ διεστραμμένα πλὴν αὐτοῦ, τὸν χωλὸν ὑγιάσαι· καὶ τὰ ὅμοια. Εἰ δὲ θέλεις, φησὶ, γνῶναι ὅτι πάντα κατὰ τὸ συμφέρον ἡμῖν ὁ Θεὸς διοικεῖ, πρόσεχε τοῖς ἑξῆς·

Vers. 14. « Vide opera Dei, quoniam quis poterit adornare quæ Deus perverterit in die prosperitatis ejus. » Fuere permulti qui videntes, enormitates rerum magnas contingere in vita mortalium, dum nolunt auctorem malorum et injustitiæ Deum asserere, egregie se putarent illius partes tueri posse si in aliud blasphemiæ genus ac stultitiæ laberentur. Dicebant enim neque a Deo mundum creatum esse, neque ulla Dei providentia gubernari: Si enim curam gereret Deus humanarum rerum, cur, inquiunt, non omnes æque divites statuisset? Curve non omnibus vegetam tribuisset ac prosperam corporis sanitatem? Hanc ut radicitus tollat opinionem noster Ecclesiastes, manifeste asserit esse Deum mundi auctorem, nec posse quemquam porrigere, quæ sint prave obliquata, illo excepto: ut claudos, puta, revocare in sanita-

Digitized by Google

tem; et quæ sunt generis ejusdem. Quod si velis plane cognoscere omnia nobis in utilitatem nostram Deum dispensare, adjice animum ad ea quæ protinus insequuntur, videlicet :

Vers. 15. « Vive in bono, et intuere in die mali; intuere, inquam, hoc enim congruum. Huic fecit Deus de dissertatione, ut non inveniat homo post eum quidquam. » Vive, inquit, secundum virtutem (hoc est enim, *vive in bono*), et observa cum tibi tentationes infortuniaque acciderint, ut videas, congrue ac opportune, nec ne, cuncta fecerit Deus. Hanc vero humanorum casuum rationem pulchre nobis Deus occuluit : quam et *dissertationis* nomine significavit Ecclesiastes, quod de hujusmodi rerum causis soleant homines inter se multiplices dissertationes afferre. Pulchre, inquam, Deus nobis illam occuluit; ne cognoscat homo quæ sibi sunt eventura. Congrue vero Deus atque apposite, quod videtur nobis malum adducit, post id quod visum est nobis bonum; contraque nonnunquam bona malis superinducit : ut, exempli gratia, bene quis valet et hoc fruitur bono vivens secundum virtutem; pauloque mox in adversam incidit valetudinem, vel de opulento pauper efficitur. Et quid ita nobis hæc eventura non prævidemus ? curve horum eventuum causas ignoramus? Nempe ad majorem nostram commoditatem. Si enim quæ ventura nobis essent, homines præsciremus; nullus Dei nobis inesset metus, nulla religio. Hac autem perutili rerum ignoratione conclusi, cum ad singula pendeamus, et Deum pio colimus metu, et cognoscimus, ab eo (et quidem solo) nobis malorum omnium finem futurum. **649** Nullus quippe potest, illo excepto, quod perversum est in hominibus emendare. Consonum est itaque, quod esse videtur dissonum, et æquale est quod inæquale videtur. Unde omnes eodem pacto communique futurorum ignoratione commoventur ad timorem Dei. Protinus vero subsequitur ;

A « Ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας· ἴδε, καί γε τοῦτο σύμφωνον. Τούτῳ ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν. » Ζῆθι, φησὶ, κατὰ ἀρετὴν, καὶ ἐπιτήρει ἐν τοῖς συμβαίνουσι πειρασμοῖς, εἰ μὴ συμφώνως καὶ ἐναρμονικῶς πάντα ἐποίησεν ὁ Θεὸς, καὶ τὴν περὶ τούτων καλῶς ἀπέκρυψε διδασκαλίαν. Ἣν δὴ καὶ λαλιάν φησι, ἵνα μὴ γνῷ ἄνθρωπος τὰ μέλλοντα αὐτῷ συμβήσεσθαι. Συμφώνως γὰρ καὶ τὸ δοκοῦν εἶναι κακὸν ἐπάγεται, μετὰ τὸ δόξαν εἶναι καλόν· καὶ τὸ ἐναντίον· οἷον ὑγιαίνει τις, καὶ ταῦτα κατὰ ἀρετὴν ζῶν· ὕστερον νοσεῖ· πλουτεῖ, εἶτα πένεται. Καὶ τίς ὁ τούτου λόγος; ὅτι εἰ προείδομεν οἱ ἄνθρωποι τὰ μέλλοντα ἡμῖν ἔσεσθαι, οὐκ ἂν ὁ θεῖος. ὑφίστατο φόβος. Τῇ δὲ ἀδηλίᾳ συγκλειόμενοι, καὶ Θεὸν φοβούμεθα, καὶ ἴσμεν ὅτι παρ' αὐτοῦ καὶ μόνου ἡ τῶν κακῶν λύσις. Καὶ οὐδεὶς δύναται τὴν ἐν ἀνθρώποις διαστροφὴν ἰάσασθαι, εἰ μὴ μόνον αὐτός. Σύμφωνος οὖν ἐστιν ἡ δοκοῦσα ἀσυμφωνία, καὶ ἰσότης ἡ ἀνισότης, πάντας ὁμοίως τῇ ἀδηλίᾳ πρὸς τὸν θεῖον συνελαύνουσα φόβον. Εἶτα ἐπάγει ·

B

Vers. 16. « Omnia vidi in diebus vanitatis meæ. » Hæc, inquit, ut sapiens consideravi *in diebus vanitatis*. Vocat autem vanitatis dies, præsentem vitam : primo quidem, quia viventes homines plerique quod fas piumque est, minus sequuntur, tum vero etiam, quia fugit velut umbra, neque consistit. Eapropter, futuræ vitæ desiderio nos exstimulans, inquit :

C « Σύμπαντα εἶδον ἐν ἡμέρᾳ ματαιότητός μου. » Ταῦτα, φησὶ, κατεσκεψάμην οἷα σοφὸς, *ἐν ταῖς τῆς ματαιότητος ἡμέραις*. Ἡμέραν δὲ ματαιότητος τὸν παρόντα βίον καλεῖ· πρῶτα μὲν, διὰ τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἐν αὐτῷ τὸ δίκαιον μὴ μεταδιώκειν· ἔπειτα ὅτι καὶ παρέρχεται. Διὰ τοῦτο εἰς πόθον ἡμᾶς ἐρεθίζων τοῦ μέλλοντος αἰῶνος καὶ ἀτελευτήτου, φησὶ,

Vers. 17, 18. « Noli esse justus multum, neque nimium sapias, ne obstupescas : noli esse multum impius, neque sis durus, ne moriaris in tempore non tuo. » Cum unaquæque virtus in mediocri quadam norma consistat, vitia utrinque assident per exuberantiam et defectum. Inquit ergo : *Ne sis multum justus;* hoc est, ne exsuperanti odio vitiorum, omnem abjicias erga delinquentes benevolentiam tanquam rigidus et inhumanus : sed neque sis nimium sapiens, aut plura quam sit opus quærito, nequando obstupescas. Nimia sunt ac plura necessariis, quæcunque sunt extra limites sacræ doctrinæ. Inquit ergo : Quæcunque nostram ad utilitatem divinus sermo nobis voluit esse occulta, ne solliciti simus ea inquirendo. Hæc enim perscrutari, stupor est quidam phreneticæ mentis vitium. Sed neque circa dogmata opinionesque sectarum multum commorando sis impius ac superstitiosus, studeto autem quæritare quod verum est, curatoque ut salubri pœnitentia tua deleantur peccata.

D « Μὴ γίνου δίκαιος πολὺ, καὶ μὴ σοφίζου περισσὰ, μήποτε ἐκπλαγῇς· μὴ ἀσεβήσῃς πολὺ, καὶ μὴ γίνου σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. » Ἑκάστη ἀρετῇ συμμέτρως οὔσῃ κατ' ἔλλειψιν καὶ ὑπερβολὴν αἱ κακίαι παράκεινται. *Μὴ γίνου* οὖν, φησὶ, *δίκαιος πολὺ*, ἀντὶ τοῦ, Μὴ δι' ὑπερβολὴν τοῦ πρὸς τὸ κακὸν μίσους, ἀσυμπαθὴς γένῃ πρὸς τοὺς ἁμαρτάνοντας, καὶ σκληρὸς, καὶ ἀπάνθρωπος. Ἀλλὰ μηδὲ σοφίζου περισσὰ, μήποτε ἐκπλαγῇς. Περιττὰ δέ εἰσι τὰ ἔξωθεν τῆς θείας διδασκαλίας. Ὅσα οὖν, φησὶ, συμφερόντως ἡμῖν ὁ θεῖος ἀπέκρυψε Λόγος, μὴ ἐπιζητήσωμεν. Τὸ γὰρ ταῦτα ζητεῖν, ἔκπληξις καὶ μανία φρενός. Ἀλλὰ μηδὲ περὶ δόγματα πολὺ ἀσεβήσῃς, ἀντὶ τοῦ, ἐπιπολύ. Ἀλλὰ σπούδαζε τὸ ἀληθὲς εὑρεῖν, καὶ τῇ μετανοίᾳ λυτροῦσθαι τὰ πταίσματα. Καὶ μὴ γίνου, φησὶ, σκληρὸς, τουτέστιν ἀμάλακτος, καὶ ἀντιπίπτων τῇ τοῦ Πνεύματος διδασκαλίᾳ. Εἶτα κατὰ κοινοῦ ἐπάγει, *Ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου*. Ἐν οὐ καιρῷ ἀποθνήσκει ὁ μὴ τετελειωμένος ταῖς ἀρεταῖς, ἀλλὰ

Digitized by Google

κακίᾳ συζήσας καὶ ἀποθανών. Τελευτᾷ δὲ ὥσπερ σῖτος ὥριμος ὁ ταῖς ἀρεταῖς τελεσφορηθείς.

A Nolique esse durus : hoc est, qui emolliri nesciat, quique adversetur Spiritus sancti doctrinæ. Subinde autem generali quadam comprobatione concludit ; *Ne moriaris tempore non tuo.* Importuno tempore ac non suo decedit e vita, qui consummatus non fuerit in virtutibus, sed qui in peccatis moritur quibus convixit. Qui vero est virtutum plenitudinem consecutus, sicut granum frumenti quod maturum est, cadit in tempore suo.

« Ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ· καὶ γε ἀπὸ τούτου μὴ μιάνῃς τὴν χεῖρά σου, ὅτι ὁ φοβούμενος τὸν Θεὸν, ἐξελεύσεται τὰ πάντα. » Περὶ κακίας καὶ ἀρετῆς διδάξας ἐπήγαγε, ὅτι *ἀγαθὸν* ἀντέχεσθαι τῆς ἀρετῆς, μὴ μιαίνειν δὲ τὴν πρᾶξιν (χεῖρα ὀνομαζομένην) ἀπὸ τῆς κακίας. Εἶτα περὶ τοῦ ἁγνοῦ καὶ ἀγνοποιοῦ φόβου τοῦ Θεοῦ φησι, ὅτι *Ὁ φοβούμενος τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα*, πᾶσαν πρᾶξιν κατὰ ἀρετὴν διεξερχόμενος, καὶ ταῖς προκοπαῖς τελειούμενος, καὶ πάντα διεκδύνων πει- B ρασμόν.

Vers. 19. « Bonum est te hoc tibi asciscere : hoc autem ne pollueris manum tuam, quoniam qui Deum timet, egredietur omnia. » Cum proxime de vitio præceperit ac virtute, nunc apposite subinfert, quod *bonum est ipsi hoc*, id est virtutem comparare : bonum quoque suas quas hoc loco manus vocavit, impollutas vitii contagione servare. Tum vero et de timore Domini sancto qui nos sanctificat, facit mentionem cum dicit : *Deum timens omnia egredietur.* Cum enim suas orationis actiones ex virtute moderetur, et profectibus assiduis augeatur, evadet illæsus tentationum certamina :

« Ἡ σοφία βοηθήσει τῷ σοφῷ, ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄντας ἐν τῇ πόλει, ὅτι ἄνθρωπος δίκαιος οὐκ ἔστιν ἐν τῇ γῇ, ὃς ποιήσει ἀγαθὸν, καὶ οὐχ ἁμαρτήσει. » Ἡ αὐτοσοφία ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῷ εἰς αὐτὸν πιστεύοντι, καὶ διὰ πίστεως σοφῷ γινομένῳ, βοηθεῖ, ὑπὲρ τὰς δέκα ἐντολὰς τὰς οὔσας ἐν τῇ πόλει τῶν Ἰουδαίων. Εἰ γὰρ καὶ τὰς δέκα τις ἐφύλαξε νομικὰς ἐντολὰς, ἀλλ' οὐκ ἦν ἄνθρωπον ὄντα μὴ παρολισθαίνειν· καὶ ὁ νόμος οὐδένα ἐδικαίου· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς αὐτὸς γέγονεν ἡμῖν σοφία, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. Ἄλλως· Μικρός τίς ἐστι κόσμος ὁ ἄνθρωπος, πόλις νῦν ὀνομαζόμενος, πέντε C μὲν αἰσθήσεις ἔχων ἐν σώματι, πέντε δὲ ἐν ψυχῇ. Κἂν φιλονεικήσῃ τοίνυν ὁ ἄνθρωπος διὰ τῶν δέκα αἰσθήσεων τῶν ἐξουσιαζουσῶν αὐτοῦ βοηθῆσαι ἑαυτῷ, τὴν δὲ ἀπὸ τοῦ Χριστοῦ τῆς ἀληθινῆς σοφίας μὴ ἔχει ἐπικουρίαν, ἀδυνατήσει τοῦ σώζεσθαι. Ἄνθρωπος γὰρ ὢν οὐ δυνήσεται μὴ ἁμαρτάνειν.

Vers. 20, 21. « Sapientia auxiliabitur sapienti, super decem qui potestatem habent in civitate. Non est homo justus in terra, qui faciat bonum et qui non peccet. » Dominus noster Jesus Christus qui est ipsa sapientia, ei qui in se crediderit, jam per fidei lumen sapienti effecto, auxiliatur multo validius quam decem præcepta legis, quæ in civitate Judæorum potentiam et auctoritatem magnam habent. **650** Ut enim quis decem servaret præcepta legis, non tamen erat quin ex mortali fragilitate in peccatum aliquod laberetur ; ipsa præterea lex nullum justificabat : noster vero Dominus Jesus Christus nobis fuit justitia, sanctificatio, et Redemptio[99]. Aliter : Ipse homo parvus est mundus, sed hoc loco civitas nominatur, quinque sensus habens in corpore, quinque in anima. Si itaque putet homo posse sibi ipsi satis auxiliari per decem sensuum qui sibi sunt insiti, facultates, neque Christi, qui vera est sapientia, muniatur auxilio, sciat se frustra omnem operam adhibiturum, ut salvus fiat : homo enim cum sit ex peccati carne progenitus, non peccare non poterit.

« Καί γε εἰς πάντας λόγους οὓς λαλήσουσιν ἀσεβεῖς, μὴ θῇς τὴν καρδίαν σου· ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε· ὅτι πλειστάκις πονηρεύσεταί σε, καὶ καθόδους πολλὰς κακώσει καρδίαν σου, ὅτι ὡς καί γε σὺ κατηράσω ἑτέρους. » D Ἐνταῦθα τὸ ἀμνησίκακον εἰσηγεῖται, ἀσεβεῖς κοινότερον τοὺς λοιδόρους καὶ ἁμαρτωλοὺς ἀποκαλῶν. Εἶτα ἐκ περιουσίας κατασκευάζων τὸ μὴ δεῖν προσέχειν ταῖς λοιδορίαις, φησὶν ὅτι μηδ' ἂν ὁ δοῦλός σου καταράσηταί σε, κινηθῇς εἰς θυμόν· μάλιστα μὲν γὰρ καὶ ποικίλως δύναταί σοι ἐπιβουλεύειν. Τοῦτο γάρ ἐστι τὸ, *Καθόδους πολλὰς κακώσει καρδίαν σου*. Ἢ καὶ οὕτως· Ἡ λοιδορία πολλάκις κακοῖ τὴν ψυχήν. Ἐὰν γάρ τις καθ' ἕκαστον τῶν λοιδορούντων ὀργίζηται, πολλὰς ὑπομένει καθόδους, καθελκόμενος εἰς τὸ πάθος τοῦ θυμοῦ, καὶ κακίας πληροῖ τὴν ἑαυτοῦ ψυχήν. Ἐνθυμοῦ δέ, φησὶν, ὅτι πολλάκις

Vers. 22, 23. « Cunctis sermonibus quos impii loquentur, ne adhibeas cor tuum, ne etiam tu audias servum tuum imprecantem tibi. Sæpe enim tibi iniquus erit, et descensibus multis affliget cor tuum : sicut et tu aliis imprecatus es. » Hoc loco nos admonet Ecclesiastes injuriam penitus oblivisci ; nomine impiorum, conviciatores et injurios demum omnes significans. Tum generali quadam comprobatione concludens, non oportere, inquit, aurem accommodare contumeliis ac maledictis, ne, si tuus quidem servus tibi mali quid imprecetur (ita ut plerumque servi faciunt), ira succenseas ; credibile est enim vehementer illum tibi ac sæpe insidiari. Hoc enim significat quod dicit : *Et descensibus multis affliget cor tuum.* Aut aliter ita intellige : Convicium persæpe cum auditur, animam turbat. Si igitur quispiam in quemlibet sibi convi-

[99] I Cor. I, 30.

Digitized by Google

ciantem ira succendatur, in multos cadit labiturque descensus, a sublimi sede rationis detractus in iracundiæ passionem; atque ita tristi turbulentia implet cor suum. Cogita autem quod et tu frequenter aliis conviciatus fueris et imprecatus; atque ideo in melius resipiscens, induere maledictorum omnium et injuriarum oblivionem.

A καὶ σὺ ἑτέρους κατηράσω, καὶ κοτόρθου τὸ ἀμνησίκακον.

Vers. 24, 25. « Hæc omnia tentavi in sapientia. Dixi : Sapiens efficiar : et ipsa procul elongata est a me, multo magis quam erat. Est alta profunditas, quis inveniet eam? » Cum spiritualium rerum et sensibilium cognitionem attigisset Ecclesiastes, et ex parte aliqua, sapientiæ magna mysteria prospexisset, contemplatus illius patentissimum pelagus : quod quanto ulterius quis processerit, tanto illi majora spatia relinquuntur, in ejusmodi voces erupit : quod et multo post videmus apostolo Paulo contigisse cum ex admiratione proclamat : *O altitudo divitiarum scientiæ et sapientiæ Dei, quam inscrutabilia sunt judicia ejus, et investigabiles viæ ejus*[93].

« Πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ. Εἶπα· Σοφισθήσομαι· καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν, ὑπὲρ ὃ ἦν· καὶ βαθὺ βάθος· τίς εὑρήσεται αὐτήν; » Νοητῶν καὶ αἰσθητῶν πραγμάτων ἐφαψάμενος ὁ Ἐκκλησιαστὴς, καὶ ἐκ μέρους γνοὺς τὰ τῆς σοφίας μυστήρια, εἶτα ἐμβλέψας εἰς τὸ ἀχανὲς αὐτῆς πέλαγος, καὶ ὅτι ὅ τις καταλαμβάνει, τοσοῦτον ἀπολιμπάνεται, τὰς παρούσας ἀφῆκε φωνάς. Ὅπερ καὶ ὁ Παῦλος ὕστερον πεπονθὼς, ἔφη θαυμαστικῶς, *Ὦ βάθους πλούτου καὶ σοφίας Θεοῦ! Ὡς ἀνεξερεύνητα κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!*

B

Vers. 26, 27. « Circuivi ego et cor meum, ut cognoscerem, et considerarem, et quærerem sapientiam et rationem, ut cognoscerem impietatem stulti, et turbulentiam, et errorem. Et invenio amariorem morte ipsam mulierem, quæ laqueus est venatorius, et sagena ipsius, vinculum est ad manus ipsius. Bonus in conspectu Dei, seducetur ab ea : qui autem peccator est, comprehendetur in ipsa. »

« Ἐκύκλωσα ἐγὼ, καὶ ἡ καρδία μου, τοῦ γνῶναι, καὶ τοῦ κατασκέψασθαι, καὶ ζητῆσαι σοφίαν, καὶ ψῆφον· καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην, καὶ ὀχληρίαν, καὶ περιφοράν. Καὶ εὑρίσκω αὐτὴν ἐγὼ πικροτέραν ὑπὲρ θάνατον τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα, καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. Ἀγαθὸς πρὸ προσώπου τοῦ Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς· καὶ ὁ ἁμαρτάνων, συλληφθήσεται ἐν αὐτῇ.

651 Vir sapiens, cum ad intelligendum aliquid vires intendit, collecta mente omnia in circuitu rationibus lustrat, seipsum suasque facultates speculatur atque perpendit. Tum et objectam rem, materiamque intelligendam optime consulit, neque pravo animi judicio a veritate aberrat. Neque item recta linea fertur ad sensibilia prospectanda, sed clausis sensuum fenestris ac recedens in suæ mentis penetralia, deambulat in circuitu : ibi arcano reflexu in se rediens intellectus, sese speculatur ipsum, et quod intelligendum objicitur. Hoc itaque pacto colligens meipsum (inquit Ecclesiastes) quæsivi scire quænam esset mundanarum rerum sapientia, et ejusdem ratio : sive illam intelligat rationem quæ positis calculis numerisque subducitur, ut in arithmetica fit facultate : sive potius numeros genethliacis observationibus servientes, aut simpliciter rationes omnes quæ per numeros colliguntur a studiosis sæcularibus, gentilibusque philosophis. Quæsivi ergo scire quænam hæc sit multorum sophistarum stultitia et turbatio, et inconstans error, mentisque circumductio; et invendemum hanc ipsorum sapientiam persimilem esse adulteræ mulieri. Sicut enim illa blandis sermonibus ac dolosis juvenes lactat; ita et hæc stultos venatur, irretitos syllogismorum laqueis et sagenis. Ac sicut illa molli contrectatione animam frangit, fractamque devincit; ita hæc, mala eadem adducit titillanti orationis conceptu. Peccator itaque sine ulla controversia atque præsidio facile in illius captivitatem protrahitur; pius vero ac fidelis auxilio Dei suffultus, ab illius extrahitur laqueis. Asserit autem vel morte pejorem esse hujusmodi sapientiam, sive potius stultitiam dici oporteat; tantoque nostræ animæ damnosiorem esse, quanto pejus est morti animam tradere (quod præstat hæc sapientia) quam eamdem animam nexu corporis expedire, quod temporariæ mortis est munus.

C

Ὁ σοφὸς κύκλῳ συνάγων τὸν ἑαυτοῦ νοῦν περὶ τὴν νόησιν, καὶ ἑαυτὸν θεωρῶν, καὶ τὸ νοούμενον, οὔτε διεστραμμένα κατανοεῖ, οὔτε κατ' εὐθὺ βλέπων πρὸς τὰ αἰσθητὰ ἀφορᾷ· ἀλλὰ πάσας συγκλείσας τὰς αἰσθήσεις, καὶ ἐν τοῖς ἑαυτοῦ γενόμενος, ἐν κύκλῳ θεωρεῖ αὐτὸς ἑαυτὸν ὁ νοῦς, καὶ τὸ νοούμενον. Οὕτως οὖν, φησὶ, συνάγων ἑαυτὸν, ἐζήτησα γνῶναι τίς ἄρα ἐστὶν ἡ ἔξωθεν σοφία, καὶ ἡ περὶ αὐτὴν ψῆφος· εἴτε ἡ κατὰ τὴν τῶν ἀριθμῶν ἀναλογίαν, εἴτε ἡ κατὰ τὴν γενεθλιαλογίαν, καὶ ἁπλῶς ὅπως ποτὲ ψηφίζουσιν Ἑλλήνων παῖδες· καὶ εἰδέναι τίς ἐστι αὕτη ἡ τῶν πολλῶν σοφιστῶν ἀφροσύνη, καὶ ὀχληρία, καὶ ἄστατος περιφορά. Καὶ εὗρον ὅτι ἡ τοιαύτη σοφία ἔοικε γυναικὶ πόρνῃ. Ὥσπερ γὰρ ἐκείνη θηρεύει τοὺς νέους λόγοις ἀπατηλοῖς, οὕτω καὶ αὕτη τοὺς ἄφρονας, συλλογισμῶν σαγήνῃ πλέκουσα· καὶ ὥσπερ ἐκείνη ἀφῇ μαλακῇ τὴν ψυχὴν ἐκλύσασα καταδεσμεῖ· οὕτω καὶ αὕτη ταῖς τῆς καλιῤῥημοσύνης εὐεπείαις. Ὁ μὲν οὖν ἁμαρτωλὸς ἀδοήθητος ἁλίσκεται ὑπ' αὐτῆς· ὁ δὲ ἀγαθὸς καὶ ὑπὸ Θεοῦ βοηθούμενος τῶν αὐτῆς ἐξαιρεῖται δεσμῶν. Ἀποφαίνεται δὲ καὶ χείρονα θανάτου εἶναι τὴν τοιαύτην σοφίαν, ἤγουν ἀφροσύνην· ὅσῳ ὁ μὲν διαλύει ψυχὴν ἀπὸ σώματος, ἡ δὲ αὐτὴν τὴν ψυχὴν θανατοῖ·

[93] Rom. xi, 33.

Digitized by Google

« Ἰδοὺ καὶ τοῦτο εὗρον, εἶπεν ὁ Ἐκκλησιαστής, μιᾷ τῇ μιᾷ τοῦ εὑρεῖν λογισμόν, ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον· καὶ ἕνα ἄνθρωπον ἀπὸ χιλίων εὗρον· καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον. Πλὴν ἴδε, τοῦτο εὗρον, ὃ ἐποίησεν ὁ Θεὸς, σὺν τὸν ἄνθρωπον εὐθῆ· αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς. » Ὅλον τὸ ῥητὸν πρὸς ἀλληγορίαν βλέπει. Ὁ δὲ νοῦς οὗτος· Κατεξετάζων, φησὶν, ἅπαν τὸ γυναικεῖον γένος, οὐ τὸ σωματικὸν, ἀλλὰ τὸ τῶν ἐκλύτων καὶ γυναικοπρεπῶν ψυχῶν, οὐχ εὗρον ἐν οὐδεμιᾷ αὐτῶν λογισμὸν, ὃν ἐπεζήτησε ἡ ψυχή μου, τουτέστι ἀνδρεῖον· τοῦτον γὰρ ζητεῖ ὁ σοφός· ἀλλὰ καὶ τῶν δοκούντων μὴ γυναικίζεσθαι, ἐξέτασιν ποιούμενος, σπάνιον εὗρον τὸν ὄντως ἄνθρωπον καὶ ἐνάρετον. Εἶτα λογισάμενος πόθεν ἡ τοσαύτη διαφορὰ, εὗρον ὅτι ὁ μὲν Θεὸς πάντα ἄνθρωπον εὐθῆ καὶ ἀδιάστροφον ἐποίησε, αὐτοὶ δὲ ὑπὸ πολλῶν διεμερίσθησαν λογισμῶν· ὡς τὸν μὲν πορνείᾳ, τὸν δὲ φιλαργυρίᾳ, καὶ ἄλλον ἄλλῳ κατακρατηθῆναι πάθει.

Vers. 28-30. « Ecce hoc inveni, dixit Ecclesiastes. Sigillatim inspexi ut invenirem rationem quam quærebat et exspectabat invenire anima mea, neque tamen inveni. Virum de mille unum inveni, et mulierem in his omnibus non inveni. Verumtamen ecce hoc inveni, quod fecerit Deus hominem prorsus rectum, ipsi vero sibi homines, quæstiones multiplices rationesque compararint. » Totus hic locus sensu mystico ac morali exponendus est; ita videlicet: Cum inspicerem, inquit, universum genus muliebre, non sexu quidem corporeo, sed enervi ac feminato ingenio muliebri; in nulla mulierum, rationem inveni quam quærebat anima mea, fortem scilicet virilemque rationem: hujusmodi namque rationem sapiens exigit et quærit. Neque vero solum hoc mihi accidit in iis qui mollitie enervati, a viris ad feminas desciverunt; sed quod gravius multo est, cum ad illos quoque inspiciendos me transtulissem qui putabantur mulieres non esse, perquam rarum in his quoque inveni, qui virili ingenio ac virtute verus esset vir dicique mereretur. Ex admiratione itaque cum mecum tacitus reputare cœpissem unde hæc enormitas orta esset, inveni demum quod Deus omnes homines rectos protulerit, carentesque pravitate, ipsi vero sua electione in obliquas vivendi rationes commigrarint dissectique sint, ut alius quidem libidinibus, alius avaritiæ serviat, alii passionibus aliis sint subjecti.

ΚΕΦΑΛ. Β'.

« Τίς οἶδε σοφούς; καὶ τίς οἶδε λύσιν ῥήματος; σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ, καὶ ἀναιδὴς προσώπῳ αὐτοῦ τιμωρηθήσεται. » Ἀδύνατον σοφοὺς διαγνῶναι, τοὺς ὄντως σοφοὺς, μὴ τὸν κατὰ σοφίαν τυπωθέντα, καὶ τοῦτο τὸ χάρισμα ἐκ Θεοῦ εἰληφότα· ὁ γὰρ τὸ χάρισμα τῆς διακρίσεως ταύτης εἰληφὼς, οἶδε τίνες οἱ ὄντως σοφοὶ, καὶ τίνες εἰ οὐκ ὄντες μὲν, νομιζόμενοι δέ. Οὗτος καὶ ἐπιλύει προβλήματα, καὶ στροφὰς λόγων. Οὗτος καὶ πεφωτισμένον ἔχει τὸ τῆς ψυχῆς πρόσωπον ὑπὸ τῆς λαμπηδόνος τῆς θείας σοφίας· ὁ δὲ οὐκ ὢν μὲν σοφὸς, ἀναιδιζόμενος δὲ τῷ προσώπῳ, τουτέστι ἐριστικοὺς προσφέρων λόγους, ἐλεγχόμενος μισεῖται.

652 CAPUT VIII.

« Ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι, ὡσαύτως παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου, εἰς καιρὸν πονηρὸν, ὅταν ἐμπέσῃ ἐπ' αὐτοῖς ἄφνω. » Ἀμφίβληστρον κακὸν, τὸ ἐκ τῆς πολυμεροῦς κακίας πλακὲν δίκτυον. Ἔστι δὲ καὶ καλὸν, ὡς ἡ σαγήνη ἡ πλακεῖσα ἐκ τῶν παλαιῶν καὶ νέων τοῦ Σωτῆρος ἡμῶν διδαγμάτων. Οἱ τοίνυν τῶν ἀνθρώπων τὸν ὑγρὸν καὶ διαῤῥέοντα μετερχόμενοι βίον, δίκην ἀλόγων ἰχθύων, ταῖς τῆς κακίας ἐννηχόμενοι ῥεύμασιν, τοιούτοις δικτύοις ἁλίσκονται. Οἱ δὲ τὴν ψευδώνυμον μετερχόμενοι γνῶσιν, καὶ δοκοῦντες ὑψηλοί τινες εἶναι, καὶ ἀεροπόροι, ὡς τὰ ὄρνεα τὰ πετόμενα, ταῖς διαβολικαῖς παγίσιν ἁγρεύονται, καὶ ἐμπίπτουσιν εἰς καιρὸν πονηρὸν τῶν τῆς κολάσεως, ὅταν αὐτοῖς ὁ αἰφνίδιος ὄλεθρος ἐπιστῇ.

« Καί γε τοῦτο εἶδον, σοφίαν ὑπὸ τὸν ἥλιον· καὶ μεγάλη ἐστὶ πρός με πόλις μικρὰ, καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι· καὶ ἔλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσῃ αὐτήν· καὶ οἰκοδομήσῃ χάρακας μεγάλους ἐπ' αὐτήν· καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφὸν, καὶ διασώσει αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ· καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. Καὶ εἶπα ἐγὼ, Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν· καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη· καὶ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι. » Ὡς πρὸς ἑαυτὸν ὁ προσκόπτων μεγάλην φησὶ σοφίαν ἑωρακέναι ὑπὸ τὸν ἥλιον, πόλιν τινὰ μικρὰν καὶ ὀλιγάνθρωπον, ὑπὸ μεγάλου βασιλέως πολιορκουμένην, καὶ σωζομένην ὑπό τινος τῶν ἔνδον, πένητος μὲν, ἀλλὰ σοφοῦ· καὶ νικώμενα τὰ ἔξωθεν ὅπλα τῇ τοῦ ἔνδον πένητος εὐβουλίᾳ, καὶ οὐκ εὐχαριστούμενον τὸν ἄτυφον ἐκεῖνον καὶ ἀκτήμονα σοφόν. Πεφύκασι γὰρ οἱ ἄνθρωποι τῶν εὐεργετῶν ἀμνημονεῖν ὡς τὰ πολλὰ, καὶ καταφρονεῖν τῶν λόγων τῶν ταπεινῶν, κἂν ὦσι χρήσιμοι· κολακεύειν δὲ μόνους τοὺς πλουσίους καὶ δυνατοὺς, καὶ τοὺς αὐτῶν ἐπαινεῖν λόγους. Ἀλλ' ἐγὼ, φησὶν ὁ σοφὸς, οὔτε αὐτὸ πεποιθὼς τοῖς πολλοῖς ἐρῶ, ὅτι « Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν. » Καὶ πρὸς μὲν ῥητὸν, τάδε. Πρὸς δὲ ἀναγωγήν· Μικρὰ πόλις ἡ ἐπὶ γῆς Ἐκκλησία, συγκρίσει τῆς ἐπουρανίου· ἄνδρες ὀλίγοι ἐν αὐτῇ, οἱ ἅγιοι καὶ ἐκλεκτοί· ὁ δὲ τὴν κακίαν μέγας ὁ ἀρχέκακος διάβολος. Ταύτην ἀεὶ κυκλοῖ τὴν πόλιν, ἑλεῖν βουλόμενος τοὺς ἐν αὐτῇ. Ὁ δὲ πένης καὶ σοφὸς ὁ διασώζων τὴν πόλιν, Χριστός ἐστιν ὁ Σωτὴρ, Πατρὸς Θεοῦ σοφία, καὶ λέγων, *Θαρσεῖτε· ἐγὼ νενίκηκα τὸν κόσμον.* Καὶ οἱ μὲν τούτου λόγοι παρὰ τοῖς ἀσόφοις Ἕλλησι καὶ Ἰουδαίοις οὐκ ἀκούονται· ὁ δὲ σοφὸς κατανενοηκὼς τῇ δυνάμει τοῦ μυστηρίου, ὡς οὐ θεϊκῇ ἐξουσίᾳ καὶ ῥώμῃ, ἀλλὰ σοφίᾳ χρησάμενος, καὶ ἄνθρωπος γεγονὼς ὁ λόγος, κατεπάλαισε τὸν τύραννον, μηδεμίαν αὐτῷ πρόφασιν

Digitized by Google

ὑπολιμπανόμενος· ἵνα ὥσπερ ἄνθρωπον ἐνίκησε τὸν ἀρχαῖον Ἀδάμ, οὕτω καὶ ὑπὸ ἀνθρώπου καταβράχῃ τοῦ νέου Ἀδάμ, τοῦ ἐκ τῶν οὐρανῶν· περὶ τούτου προανεφώνησε κεκραγώς·

A *dum* [98]. Ac hujus quidem pauperis verba, a stultis gentilibus et perfidis Hebræis non audiuntur : sapiens vero Ecclesiastes intelligens in spiritu quod Deus non per solam divinitatis suæ potentiam et virtutem, sed sapientiæ societate utens, Verbumque caro factum, tyrannum diabolum dejecturus esset, nullam sibi perfugii excusationem relinquens, ut sicut olim ipse antiquum vicerat hominem Adam, ita demum sub homine novo, ab Adamo fractus corrueret Propterea nunc afflatus spiritu, multo ante, hoc mysterium patefecit, in hæc verba prorumpens :

« Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν. Λόγοι σοφοῦ ἐν ἀναπαύσει ἀκούονται, ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύνῃ. » Μὴ συγκριτικῶς ἐκλάβῃς τὸ εἰρημένον· οὐ γὰρ συγκρίνονται σοφία καὶ ἀφροσύνη. Τῶν γὰρ ὁμοίων, οὐ τῶν ἐναντίων ἡ σύγκρισις. *Οἱ λόγοι* οὖν, φησὶ, *τῶν σοφῶν ἀκούονται ἐν ἀναπαύσει*, τουτέστιν, ὅταν οἱ ἀκροαταὶ ἡδέως τὰ λεγόμενα κατα- B δεξάμενοι τύχωσιν, ἀνάπαυσις γίνεται ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς· ἡ δὲ κραυγὴ τῶν ἀφρόνων, καταγνώσεως ἀξία τυγχάνει, κἂν ὦσί τινες δυνάσται· πληρωθεῖσα γὰρ ἡ ψυχὴ τῆς ἀνοίας, μετὰ κραυγῆς καὶ τεταραγμένως ἐκφέρει τοὺς λόγους, οὐ μεθ' ἡσυχίας, ἢ τινος τάξεως, ἢ καταστάσεως. Ἄλλως· Οἱ τῆς σοφίας ὑπηρέται θεῖοι ἀπόστολοι τῶν ἀκουόντων ἀνέπαυσαν τὰς ψυχάς· ἡ δὲ τῶν ἀφρόνων Ἰουδαίων ἔκτοπος κραυγὴ, τῶν φασκόντων, Ἆρον, ἆρον, *σταύρωσον αὐτὸν*, αὐτούς τε ἐκείνους ἀπώλεσε, καὶ τοὺς αὐτοῖς ἀκολουθήσαντας.

VERS. 17. « Sapientia melior est quam potentia : verba sapientum audiuntur in quiete, plusquam clamor potentium in stultitia. » Locus hic non est accipiendus quasi per comparationem dicatur ; neque enim compararet sapientiam cum stultitia ; fit enim comparatio inter similia, non inter contraria. Inquit ergo : *Verba sapientum audiuntur in quiete*, hoc est, cum auditores jucunde accipiunt quæ dicuntur, fit requies quidem in mente ipsorum : clamor vero stultorum dignus est qui damnetur, licet illi potentia magna polleant ; anima enim quæ stultitia repleta est, cum clamore et turbulentia sermones profert sine quiete, ordine ac constantia. Aliter : Apostoli sapientiæ ministri, auditorum mentes quietas ab omni passione sedatasque reddebant ; insipientium vero Judæorum clamor cum injuste clamarent : *Tolle, tolle, crucifige eum* [99], et illos perdidit, et omnes qui hujusmodi acclamationibus assensus faciles præbuerunt.

« Ἀγαθὸν σοφία ὑπὲρ σκεύη πολέμου. » Ἀγαθὸν μὲν καὶ πᾶν τὸ συνετοῦ βούλευμα, ὑπὲρ τὴν ἐκ τῶν ὅπλων ἐπικουρίαν. Πρὸς δὲ ἀναγωγὴν, Ἐδείχθη τῆς C αὐτοσοφίας ἡ δύναμις, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, τὰ τοῦ πολέμου σκεύη, τουτέστι τὸν διάβολον, καὶ τὰς δαιμονικὰς φάλαγγας καθελοῦσα· καὶ πάντα τὰ τῆς κακίας εἴδη ἄπρακτα δείξασα.

VERS. 18. « Melior est sapientia quam bellica instrumenta. » Melius est consilium cujuscunque prudentis, quam omne auxilium quod ab armis exspectari possit. Mystice autem ostendit potentiam Salvatoris nostri Jesu Christi, qui utique est sapientia. Hujus enim virtus, arma belli (hoc est, diabolum Tartareasque phalanges) evertit, omnesque species ejus iniquitatis ad debilitatem redegit.

« Καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν. » Ἀδὰμ ἥμαρτε, καὶ τῷ παντὶ γένει τὴν ἁμαρτίαν καὶ τὸν θάνατον διαδόσιμον γενέσθαι παρεσκεύασε, αὐτός τε τοῦ ἀγαθοῦ Θεοῦ τὴν εἰκόνα παραπολέσας, καὶ πολλοὺς τοιούτους ἀπεργασάμενος. Καὶ εἷς δὲ ἁπλῶς ἁμαρτάνων, τήν τε ἑαυτοῦ ἀγαθωσύνην ἀπόλλει, ἣν τυχὸν καὶ διὰ προτέρων ἀρετῶν ἐκτήσατο, καὶ πολλοὺς ἐπὶ τὴν ὁμοίαν ἐφέλκεται μίμησιν.

« Et peccans unus multam bonitatem perdet. » Adam peccavit, et in omnem generis humani posteritatem peccati labem, mortemque transmisit ; ipseque imaginem boni Dei ad quam factus fuerat, violavit, et violatores sibi similes quamplurimos propagavit. **663** Unus quicunque is demum sit, dum sese peccati sorde commaculat, et bona corrumpit quæ sibi ex acquisitis virtutibus insidebant, et multos etiam malo exemplo ad imitationem inducit.

D

ΚΕΦΑΛ. Ι'.

« Μυῖαι θανατοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύματος. » Ἔλαιον σκευαστὸν, τὸ μύρον, ὡς καὶ Ἀκύλας ἐκδέδωκε· ἡ δὲ μυῖα ζῶον ἀκάθαρτον, τοῖς τραύμασι καὶ ταῖς σηπεδόσιν ἐφεζόμενον, καὶ τὰς τοῦ σώματος τομὰς ἐπιζητοῦν. Θανατοῖ δὲ ἡ μυῖα εἰς ἔλαιον μυρεψικὸν ἑαυτὴν ἐπιῤῥίπτουσα. Αὐτή τε γὰρ ἀποθνήσκει, καὶ τὸ ἔλαιον ἀφανίζει. Οἱ οὖν Ἰουδαῖοι τῶν ἰδίων ψυχῶν παραφρονήσαντες, μυῖαι θανατοῦσαι τυγχάνουσι, τὸν ἡδύπνοον τοῦ Σωτῆρος λόγον σαπρίσαι σπουδάσαντες, καὶ λαβὰς ἐφευρίσκειν κατ' αὐτοῦ ποθοῦντες.

CAP. X.

VERS. 1. « Muscæ mortificantes putrefaciunt apparatam olei suavitatem. » Apparatum oleum, est unguentum, sicut et Aquila interpretatus est ; musca vero impurum animal quod putredines et ulcera incidendo exsugit, appetitque laceræ cutis scissuras. Mortificat autem et corrumpit oleum unguentarium musca, cum se in illud temere projicit : nam et ipsa immoritur, et olei vim exstinguit. Judæi ergo propriam vitam contemnentes, animæque salutem, vere sunt muscæ mortificantes, cum suave redolens verbum Salvatoris Jesu Christi semper

[98] Joan. XVI, 33. [99] Joan. XIX, 15.

Digitized by Google

vitiare ac fœdare studuerint, semperque affectarint causas calumniarum arripere, quibus illum urgere possent.

« Parum sapientiæ pretiosius est quam gloria magnæ lætitiæ. » Multi a sua stultitia gloriam et laudem retulerunt : ut puta, qui dicendi facultate pollentes, injustum clientibus patrocinium præstant; qui ex opulentia clari amplique habentur, vel qui sæculari sapientia præditi circa inutiles quæstiones vitam consumunt : sed longo intervallo pretiosior est habendus qui januas et initium sapientiæ quæ est secundum Deum, ingreditur, et in ea eruditur, parvi pendens.

A « Τίμιον ὀλίγον σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλης. » Πολλοὶ ἐν ἀφροσύνῃ ἐδοξάσθησαν· ὁ δεινὸς τὴν γλῶτταν, ἐν ἀδίκῳ συνηγορίᾳ· ὁ ἐν κόσμῳ πλούσιος περιφανὴς γενόμενος· οἱ τῆς ἔξωθεν σοφίας περὶ τὰ μάταια πονήσαντες. Ἀλλ' ἀσυγκρίτως ἀμείνων ὁ ἐναρχόμενος τῆς κατὰ Θεὸν σοφίας, καὶ εἰς ταύτην εἰσαγόμενος, καὶ θιγγάνειν αὐτῆς ἀρχόμενος, καὶ τῆς ἐν ἀφροσύνῃ δόξης παραφρονῶν.

Vers. 2. « Cor sapientis in dextrum ipsius, et cor stulti in sinistrum ipsius. » Cor hoc loco pro intellectu ac mente accipi decet. Materiale enim cor et carneum, omnibus in ea parte corporis situm est quam thoracis cratem appellant. Sapientis itaque intellectus semper in dextras vergit partes virtutis ac laudabiles : stulti autem mens in sinistra fertur, et in ea quæ facile culpari possint.

B « Καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ· καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ. » Καρδίαν τὸν νοῦν ἐκληπτέον· ἡ γὰρ σωματικὴ καρδία πάντως ἐν ἑνὶ τόπῳ κεῖται, ἐν τῷ καλουμένῳ διαφράγματι. Ὁ τοίνυν τοῦ σοφοῦ νοῦς ἀεὶ ἐπὶ τὰ δεξιὰ καὶ ἐπαινετὰ νεύει· ὁ δὲ τοῦ ἄφρονος ἐπὶ τὰ σκαιὰ καὶ ψεκτῶς ἔχοντα.

Vers. 3. « Sed et cum stultus in via ambulaverit, cumque cor ipsius retardetur ac desipiat, omnia sunt stultitia. » In hac vita quam vere viam dixeris, stultus perambulans, cum ad sinistra cor habeat, semper cessat ac posterior invenitur; in vacuum enim pergit, nequaquam sibi proposito supernæ vocationis bravio. In anteriora itaque sese non extendit, nec properat ad finem : sed quamvis ad hæc ipsa pergere videatur, medio in cursu deficiet, omnia imperfecte et sine ratione cogitans et aggredions. Quod si ipsam adeat viam justificationum, vel (ut verius dicam) adire se simulet, hoc est, divinorum observantiam mandatorum : quia tamen illius mens flectitur ad sinistra, cessabit prorsus atque deficiet, ut neque quid præceptum sit intelligat, neque operetur juxta legislatoris voluntatem.

« Καὶ γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται, καὶ καρδία αὐτοῦ ὑστερήσει, καὶ πάντα λογιεῖται πάντα ἀφροσύνη ἐστί. » Ἐν τῷ βίῳ τούτῳ ὁδῷ καλουμένῳ, ὁ ἄφρων ἐν ἀριστεροῖς ἔχων τὴν καρδίαν, ἀεὶ ὑστερεῖ, μὴ κατὰ σκοπὸν διώκων πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως· μηδὲ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος, μηδὲ πρὸς τὸ τέλος ἐπειγόμενος. Ἀλλὰ κἂν ὁδῇ πορεύεσθαι, ὑστερήσει, πάντα ἀτελῆ καὶ ἄλογα καὶ πράττων, καὶ λογιζόμενος. Εἰ δὲ καὶ τὴν ὁδὸν τῶν δικαιωμάτων ἐπιχειρήσει, ἢ προσποιήσεται μελετᾷν, τουτέστι τὰς θείας ἐντολὰς, ἐπειδὴ τὴν καρδίαν οὐκ εἰς τὰ δεξιὰ κέκλικε, ὑστερεῖ μήτε νοῶν τὰ ἐντεταγμένα, μήτε τι πράττων κατὰ τὸ τοῦ νομοθέτου βούλημα.

Vers. 4. « Si spiritus potestatem habentis ascenderit super te, locum tuum ne dimiseris, quia curatio cessare faciet peccata magna. » **664** Spiritus potestatem habentis, est diabolus princeps mundi hujus et dominus filiorum inobedientiæ, qui nulla coacti necessitate sed electione liberæ voluntatis sese ultro subjecerunt illius dominationi atque tyrannidi. Inquit ergo : Si te ad supernæ patriæ beatitudinem cogitatione ac studiis erectum, irruens ex adverso spiritus potestatem habentis, deturbare conetur ad inferiores semitas mundi hujus; omnes illi aditus præclude, omnes obstrue sensuum operationes, ut neque per aures, neque per linguam, neque aliunde admittatur. Primis namque affectionum sublatis principiis atque causis, nulli prorsus orientur affectus. Quod si quid ad ipsa mentis penetralia callidus hostis veneni transfuderit, tu tamen in vestigio tuo consistens, locum stationemque ne deseras : ita ut temperantia munitus, procul libidines stupraque repellas, odiumque coerceas charitate, stationesque singulas virtutum strenue tuearis. Si enim cadas, ut negligentius resistens permittas insidere tibi ac requiescere super te spiritum potestatem habentis, multa et magna

Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Πνεῦμα τοῦ ἐξουσιάζοντος τοῦ αἰῶνος τούτου, τῶν υἱῶν τῆς ἀπειθείας, οἵτινες οὐκ ἀναγκαστικῶς, ἀλλὰ προαιρετικῶς ὑπέταξαν ἑαυτοὺς τῇ τοῦ διαβόλου ἐξουσίᾳ καὶ τυραννίδι. Ἐὰν οὖν, φησὶ, τὰ ἄνω σοῦ φρονοῦντος, καὶ πρὸς τὰ ἄνω ὁδεύοντος, ἀναπηδήσῃ ἐπὶ σὲ πνεῦμα τοῦ ἐξουσιάζοντος, κατασπάσαι σου τὴν διάνοιαν τῆς πρὸς τὰ ἄνω πορείας βουλόμενος, ἀποκώλυσον, ἀπόκλεισον αὐτῷ τὰς ἀναβάσεις, μηδαμόθεν αὐτὸν εἰσδεχόμενος, πάσας αὐτῷ τὰς αἰσθήσεις ἀποφράττων, καὶ μήτε δι' ὀφθαλμῶν, μήτε δι' ὤτων, μήτε διὰ γλώττης, μήτε δι' ἄλλης αἰσθήσεως εἴσοδον αὐτῷ παρέχων. Τῶν γὰρ πρωτοπαθειῶν ἀναιρουμένων, ἀνυπόστατα τὰ ἀποτελέσματα. Εἰ δὲ καὶ κατὰ διάνοιάν τι ὑποβάλλῃ, τόπον σου μὴ ἀφῇς, ἀποκλείων μὲν τὴν πορνείαν διὰ σωφροσύνης, διὰ δὲ ἀγάπης τὸ μῖσος ἀποκρουόμενος· καὶ ὁμοίως ἕκαστον τόπον τῶν ἀρετῶν ἀσφαλιζόμενος. Ἐὰν γὰρ, φησὶν, ἰάσῃς καταπαύσας εἰς σὲ τὸ πνεῦμα τοῦ ἐξουσιάζοντος, τουτέστι ἐπαναπαύσασθαι, πολλὰς καὶ μεγάλας ἁμαρτίας ἐπισωρεύσεις σου τῇ ψυχῇ. Ἄλλως, Ἐὰν προθεραπεύσῃς σου τὴν ψυχὴν διὰ τῆς τῶν ἀρετῶν ἐπιμελείας,

Digitized by Google

πολλὰς καταπαύσεις ἁμαρτίας· τοῦτο τὸ ἴαμα, οὐ συγχωροῦν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῆναι ἐπὶ σέ.

A peccata super animam tuam facile aggregabis. Aliter : Si animam tuam curaveris adhibita virtutum diligentia, plurima sedabis; talis est enim virtutum curatio, ut cohibere possit spiritum habentis potestatem, ne super te veniat et conculcet.

« Ἔστι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀκούσιον ἐξῆλθε ἀπὸ προσώπου τοῦ ἐξουσιάζοντος. Ἐδόθη ὁ ἄφρων ὕψεσι μεγάλοις, καὶ πλούσιοι ἐν ταπεινῷ καθίσονται. » Πρὸς μὲν ῥητὸν, ἑτέραν ὁρᾷ πονηρίαν ἐν τοῖς ἀνθρωπίνοις πράγμασι· τοὺς ἄρχοντας πολλάκις καὶ ἀκουσίως ἀποφαινομένους διὰ φόβον τινὸς μείζονος δυναστείας, καὶ δοξάζοντας μὲν τοὺς ἄφρονας, τῶν δὲ πλουσίων τὰς οὐσίας δημεύοντας διὰ τῶν ἀποφάσεων τῶν ἀκουσίων. Πολλάκις γὰρ βασιλικαῖς προστάξεσιν ἄρχοντες ἀκουσίως ὑπηρετήσαντο. Πρὸς δὲ διάνοιαν, Ἑκουσίως ἑαυτοὺς οἱ ἄνθρωποι εἰς φιληδονίαν ἐπιδεδωκότες, ἀκούσιόν τι λοιπὸν πράττειν ἀναγκάζονται, συνωθούμενοι ἐκ τοῦ ἐξουσιάζοντος τῶν υἱῶν τῆς ἀπειθείας, τουτέστι τοῦ διαβόλου· καταψηφίζεσθαι ὡς ἀδίκου τῆς δικαίας τοῦ Θεοῦ προνοίας, καὶ λέγειν, Διὰ τί οἱ ἄφρονες ὑψηλοί τινες καὶ ἀπόβλεπτοι γίνονται, οἱ δὲ ἄνωθεν ἴσως που καὶ ἐκ γένους πλούσιοι εἰς πενίαν μεταβάλλουσιν; Ἡμῶν οὖν τινα πρὸς αὐτῷ ἑκουσίως οἷον μεθυόντων, ὁ εἰρημένος ἐξουσιάζων ὑποβάλλει καὶ τὰ ἀκούσια, τὸ ἐκ τῆς μέθης σκοτούμενον πορνεύειν καὶ τύπτειν· οὐδὲ γὰρ πάντως ἵνα ταῦτα πράξωμεν, μεθυσκόμεθα· ἀλλ' ἐπειδήπερ ἐμεθύσθημεν, καὶ ἄκοντες εἰς ταῦτα συνωθούμεθα· οὕτω καὶ φιληδονοῦντες περὶ τὰ ἀνέφικτα τοῦ Θεοῦ κρίματα πολλάκις σκανδαλιζόμεθα.

B Vers. 5, 6. « Est malum quod vidi sub sole, quasi non spontaneum egressum sit a facie potentis. Stultus traditus est sublimitatibus magnis, et divites in humilitate collocabuntur. » Litterali sensu, aliam se vidisse ait iniquitatem in humanis rebus, principes scilicet viros ac magistratus, invitos quidem quasi metu coactos majoris alicujus potestatis, eos qui stulti sunt gloria honestare; fortunas vero locupletum civium, populari factione addicere invita proscriptione : sæpe enim principes civitatis ac magistratus, regiis edictis contra voluntatem suam obedire coguntur. Mystico autem intellectu, sponte sua atque electione voluptatis viam semel ingressi homines, inviti mox facere plurima compelluntur, urgente eos diabolo, qui potestatem habet super filios inobedientiæ [1], ut tanquam iniquam detestentur et accusent justissimam Dei providentiam, ita stulte interrogantes : Utquid insipientes in sublimes dignitatum gradus conspicui efferuntur, contra vero qui honesto loco nati gentilitiis polleant opibus, in paupertatem dejiciuntur? Cum itaque cæci mortales sponte primum nostra volentes, hausto voluptatis poculo ebrietatem contraxerimus, tum subripit ille callidus potestatem habens, subjicitque nobis quæ inviti faciamus, ebrietatis nebula occupati : cujus generis sunt, libidinibus pollui, rixari, percutere. Neque enim qui ebrii fiunt talia se facturos cogitant, sed ebrii jam effecti, vel inviti compelluntur ad hujusmodi flagitia perpetranda : ita et voluptatis studio traditi, scandalizamur sæpe de inaccessis Dei judiciis, ac contra divinam sapientiam, linguam temere exsertamus.

« Εἶδον δούλους ἐφ' ἵπποις, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς. » Τὸ ἄστατον καὶ ἀγχίστροφον τῆς τοῦ βίου μεταβολῆς ἐδίδαξε, προτρέπων ἡμᾶς ἐπὶ τὰ μένοντα καὶ ἱστάμενα.

C **665** Vers. 7. « Vidi servos in equis, et principes quasi servos ambulare super terram. » Vitæ mutabilitatem et conversionem nobis contemplandam proponit; ut a mundanis rebus incertis, ad stabilem illam cœlestem beatitudinem nos convertat.

« Ὁ ὀρύσσων βόθρον, ἐν αὐτῷ ἐμπεσεῖται. » Πρὸς διάνοιαν μόνην βλέπει τὸ ῥητόν. Οὐ γὰρ πάντως καθ' ἱστορίαν συμβαίνει. Φησὶ δὲ, ὅτι Ὁ ἁμαρτάνων αὐτὸς πρῶτος τὴν ἑαυτοῦ ψυχὴν τιμωρεῖται· *Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν*· δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται. Φησὶ δὲ ὁ νομοθέτης Μωσῆς περὶ τοῦ φονέως, Ποιήσατε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο κατὰ τοῦ πλησίον.

Vers. 8. « Qui fodit foveam, incidet in eam. » Locus hic totus soli vacat mystico intellectui. Aliter enim semper hoc non contingit, ut qui foveam fodit, in eam cadat. Inquit ergo : Peccator suam animam prius excruciat : *Qui* enim *diligit iniquitatem, odit animam suam* [2], et unusquisque ab ea quæ peccaverit, punitur. Ipse etiam Moses legislator ita faciendum sanxit in homicidam, videlicet : Facite illi eo pacto quo contra proximum suum malignatus est [3].

D « Καὶ καθαιροῦντα φραγμὸν, δήξεται αὐτὸν ὁ ὄφις. » Φραγμὸς τῆς ψυχῆς ὁ θεῖος νόμος καὶ φόβος, καὶ ἡ τῶν δογμάτων ἀληθὴς γνῶσις. Ὁ τοίνυν καταφρονήσας τοῦ θείου φόβου, καὶ τὰς ἐντολὰς παραβαίνων, ἢ καὶ ψευδωνύμῳ γνώσει περιπίπτων ὑπὸ τῆς ἁμαρτίας, καὶ ταύτην ἐνεργοῦντος τοῦ ὄφεως, ἀφύλακτος ὢν καὶ γυμνὸς τῆς θείας χάριτος, δηχθήσεται.

« Et qui dissipat sepem, mordebit eum coluber. » Sepes animæ, lex est divina, et metus, veraque legalium sensuum cognitio. Qui ergo legem Dei contemnit et divina prævaricatur mandata, qui falso appellata cognitione decidit in peccatum cujus opifex est ipse callidus serpens : iste incautus ac divina cassus gratia, morsus serpentis perpetietur.

[1] Ephes. II, 2. [2] Psal. X, 6. [3] Exod. XXI, 22 seqq.

Digitized by Google

Vers. 9. « Qui extrahit lapides, dolebit et affligetur in eis. » Qui sibi domum virtutibus exstruit, lapides congregat, ac bene ædificat; qui vero præ nimia socordia et mollitie demolitur, ac solvit quæ prius erant exstructa, lapides aufert, angiturque miser, dolet ac periclitatur. Aliter: Lapides sancti apud prophetam Zachariam sancti homines sunt[a]. Qui ergo hujusmodi lapides eximit, hoc est, persequitur sanctos atque interficit, labore affligitur, hoc est, perniciem sibi attrahit: sicut Herodes fecit, qui Joannem Baptistam gladio percussit.

A « Ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς. » Ὁ τὴν οἰκίαν αὐτοῦ οἰκοδομῶν διὰ τῶν ἀρετῶν, λίθους συνάγει, καὶ καλῶς οἰκοδομεῖ· ὁ δὲ καταλύων τὰ ἤδη κτισθέντα, διὰ ῥᾳστώνης καὶ χαυνώσεως ἐξαιρεῖ λίθους, καὶ πονεῖ, καὶ κινδυνεύει. Ἄλλως, Λίθοι ἅγιοι παρὰ τῷ προφήτῃ Ζαχαρίᾳ οἱ ἅγιοι ἄνδρες κέκληνται. Ὁ τούτους ἐξαίρων, τουτέστι διώκων, ἢ καὶ ἀποκτείνων, διαπονεῖ, ἀντὶ τοῦ, ὅλεθρον ἐπισπᾶται καθ' ἑαυτοῦ, ὡς ὁ Ἡρῴδης τὸν Ἰωάννην φονεύσας.

Vers. 10. « Ligna scindens periclitabitur in eis, si exciderit ferrum, et ipse faciem conturbatus est, et fortitudines corroboravit, et superflua robusti saplentia. » Per symbola et sensibilia, ad spiritualia nos perducit. Inquit ergo: Qui doctrinæ sermone, veluti ferro quodam utens, scindere ac comminuere aggreditur divinas Scripturas, quasi ligna quædam beneolentia, si forte decidat et aberret ab intentione Spiritus sancti, neque secundum legislatoris mentem recte ac fideliter eas interpretetur, sed a ratione procul exorbitet, in magno est periculo ne in perniciosas hæreses impingat; faciemque doctrinæ suæ confundit et animas eruditorum. Quod autem ait, *Et fortitudines corroborabit*, hoc est, adversantes validiores efficiet: ex iis enim erroribus quos interpres aliquis ac magister in doctrina verbi admiserit, validiores assumunt vires qui ex adverso loco disputantes cum illo contendunt. Qui vero fortis exstiterit in opere et sermone, ita ut cum sapientia eloquatur, habet omnino multum, atque adeo omnino aliquid amplius quam cæteri, ut scilicet in scindendis lignis nequaquam periclitetur. Nam qui tantummodo potens fuerit in sermone, ac volubili præditus lingua, sophisticis autem captiunculis abundet, vacuus **666** divina sapientia, excidente ferro periclitabitur in cædendis quæ superius diximus lignis.

B « Σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξε, καὶ δυνάμεις δυναμώσει, καὶ περισσεία τοῦ ἀνδρείου σοφία. » Διὰ συμβόλων καὶ διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοούμενα ἡμᾶς χειραγωγεῖ. Ὁ τῷ λόγῳ τοίνυν τῷ διδασκαλικῷ ὥσπερ σιδήρῳ χρώμενος, καὶ διασχίζειν τὰς θείας Γραφὰς, τὰ εὐώδη ξύλα, πειρώμενος, ἐὰν ἐκπέσῃ τοῦ σκοποῦ τοῦ ἁγίου Πνεύματος, καὶ μὴ κατὰ τὸ τοῦ νομοθέτου βούλημα ὀρθοδοξαστικῶς διερμηνεύσῃ, ἀλλὰ διαπέσῃ αὐτοῦ λόγος, κινδυνεύει εἰς αἱρέσεις ἐμπίπτων, καὶ συγχέει τὸ πρόσωπον τῆς ἑαυτοῦ διδασκαλίας, καὶ τὰς ψυχὰς τῶν ἀκουόντων. *Καὶ δυνάμεις δὲ δυναμώσει*, ἀντὶ τοῦ, τοὺς ἑαυτῷ ἀντιλέγοντας ἐρρωμενεστέρους ποιεῖ· δι' ὧν γάρ τις ἀστοχεῖ περὶ τὸν λόγον, οἱ ἀντιδιατιθέμενοι τῇ αὐτοῦ διδασκαλίᾳ ἐπικρατέστεροι γίνονται. Ὁ δὲ ἀνδρεῖος ἐν λόγῳ καὶ ἔργῳ, μετὰ σοφίας τὸν λόγον προφέρων, ἔχει τι περισσὸν, τὸ μὴ κινδυνεύειν ἐν τῷ σχίζειν τὰ ξύλα. Ὁ γὰρ δυνατὸς μὲν ἐν λόγῳ, καὶ εὔστροφον ἔχων τὴν γλῶτταν, σοφιστικὸς δὲ, καὶ οὐ τὴν θείαν πλουτήσας σοφίαν, ἐκπίπτοντος τοῦ σιδήρου, κινδυνεύσει ἐν τῇ τῶν εἰρημένων ξύλων τομῇ.

Vers. 11. « Si mordeat serpens in silentio, nihil est amplius excantanti. » Qui clam peccat, nec emissa voce palam de suo peccato gloriatur, sive is agendo perperam delinquat, sive in corde suo impium dogma hæreticumque concipiat, poterit tamen in melius emendari cum nondum ad effrenem pervenerit impudentiam. Neque sane nimium laborabit in eo revocando, quicunque salutari doctrina excantare aggrediatur virus inferni serpentis. Aut ita intellige: Si peccati serpens mordeat in silentio, hoc est, ita ut peccator admissum scelus confiteri nolit: nullam poterit salutem præstare qui sancta excantatione curandum suscipiat sua peccata non confitentem.

C « Ἐὰν δὲ δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι περισσεία τῷ ἐπᾴδοντι. » Ὁ λάθρα καὶ οὐ μετά τινος φωνῆς, τουτέστι παῤῥησίας, ἢ ἐν πράξεσιν ἁμαρτάνων, ἢ δόγμα ἀσεβείας περιλαμβάνων, οἷα μὴ φανερῶς; ἀπαναισχυντήσας, δύναται διορθώσεως τυχεῖν. Καὶ οὐ περιττῶς κάμνει ὁ διδάσκαλος κατεπᾴδων αὐτῷ τὰ τῆς σωτηρίας. Ἢ καὶ οὕτως· Ἐὰν δάκῃ ὁ τῆς ἁμαρτίας ὄφις ἐν οὐ ψιθυρισμῷ, τουτέστι μὴ θέλοντος εἰς ἐξομολόγησιν ἐλθεῖν τοῦ ἁμαρτάνοντος, οὐδέν τι πλέον ὀνήσει τὸν μὴ βουλόμενον ἐξομολογεῖσθαι καὶ μετανοεῖν, κατεπᾴδειν ἐπιχειρῶν.

D

Vers. 12, 13. « Verba oris sapientis, gratia: et labia stulti demergent ipsum. Initium verborum oris sui stultitia, et ultimus error ejus malus, et stultus multiplicabit verba. » Paulus apostolus cupiens eos, quos in fide erudiebat, sapientes esse, ita ad eos scribit: *Sermo vester penitus sit in gratia, sale conditus*[b]. Sermo enim sapientis neque austerus est inhumanusve, neque mollis et dissolu-

« Λόγοι στόματος σοφοῦ, χάρις· καὶ χεῖλη ἄφρονος καταποντιοῦσιν αὐτόν. Ἀρχὴ λόγων στόματος αὐτοῦ, ἀφροσύνη, καὶ ἐσχάτη αὐτοῦ περιφέρεια πονηρά· καὶ ὁ ἄφρων πληθυνεῖ λόγους. » Σοφοὺς εἶναι θέλων τοὺς παιδευομένους ὁ Παῦλος ἔλεγε, *Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος.* Ὁ γὰρ τοῦ σοφοῦ λόγος οὔτε αὐστηρός ἐστι, καὶ ἄχρηστος, οὔτε χαῦνος, καὶ ἕκλυτος· ἀλλὰ καὶ χα-

[a] Zachar. IX, 15. [b] Coloss. IV, 6.

Digitized by Google

ρίες, καὶ ἐπιστύφων, καὶ οὐκ ἐῶν διαῤῥεῖν τοὺς παιδευομένους· τὰ δὲ χείλη τοῦ ἄφρονος, ἀντὶ τοῦ, οἱ λόγοι θανάτου αὐτῷ γίνονται πρόξενοι. Τὴν τε γὰρ ἑαυτοῦ βλάπτει ψυχὴν, καὶ τῶν πειθομένων. Ὁ γὰρ καταποντισμὸς ἐπὶ κολάσεως κεῖται, ὡς τὸ, *Καταπόντισον, Κύριε, καὶ δίελε τὰς γλώσσας αὐτῶν.* Ἀρχόμενος δὲ ὁ ἄφρων ἐκ τῶν τῆς ἀφροσύνης λόγων, καὶ περιφερόμενος τῇ ἑαυτοῦ ἀφροσύνῃ, τότε λόγον ἔχει πονηρόν. Ἀλλὰ καὶ *ὁ ἄφρων*, φησὶ, *πλῆθυνεῖ λόγους*· τουτέστι μάτην φλυαρεῖ, εἴτε πολλὰ, εἴτε ὀλίγα λαλήσει. Τὸ γὰρ πλῆθος ἐνταῦθα ἀντὶ τῆς φλυαρίας κεῖται· φλυαρεῖ δὲ κἂν ὀλίγα λέγῃ, ὁ μηδὲν ἀγαθὸν διαλεγόμενος. Εἰ δὲ καὶ δόξει τι χρήσιμον λέγειν, πράξεις οὐκ ἔχων συμφωνούσας τοῖς λόγοις, καὶ οὕτως φλυαρεῖ, μὴ εἰδὼς μήτε τί λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται. Δεῖ γὰρ τὸν λέγοντα πρῶτον ποιεῖν, εἶτα διδάσκειν. Τὸ οὖν, *πλῆθυνεῖ λόγους* ἀντὶ τοῦ, κἂν πολλὰ, κἂν ὀλίγα εἴπῃ, ὀχληρός ἐστι διαλεγόμενος.

tus; sed gratia multa conditus, ita ut pariter cohibeat, neque sinat auditores diffluere; labia vero stulti, hoc est verba, mortem illi perniciemque concinant. Nam et suæ ipsius animæ noxius est stultus, et animas quoque auditorum corrumpit. Demersio enim de qua hic loquitur Ecclesiastes, ad æterna referenda est supplicia, juxta illud: *Præcipita, Domine, et divide linguas eorum*[6]. Stultus vero cum insipienter loqui incipiat, circumfertur et errat in stultitia cordis sui, finemque sortitur malum. Sed *et verba*, inquit, *stultus multiplicabit;* hoc est, incassum blaterat, et nugatur, sive multa loquatur sive pauca. Multitudo enim, hoc loco, pro nugacitate ponitur; nam qui nil boni loquitur, nihil utile, etiam in paucis verbis nugatur. Quod si quid tamen interdum videatur boni locutus, cum deinde mores orationi non consonent: et hic quoque nugatur, cum plane ignoret quid loquatur, quidve comprobet et confirmet. Oportet enim eum qui bene dicat, prius facere, ac deinde alios edocere[7]. *Multiplicat* ergo *verba:* hoc est, sive multa sive pauca loquatur, suo illo sermone importunus est ac molestus.

« Οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον, καὶ τί τὸ ἐσόμενον, ὅ τι ὀπίσω αὐτοῦ, τίς ἀπαγγελεῖ αὐτῷ; Μόχθος τῶν ἀφρόνων κακώσει αὐτούς· οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. » Καίτοι πολλὰ τῶν προγεγονότων ἴσμεν, ἐκ τῶν θεοφόρων ἀνδρῶν ἀκούσαντες, ὡς τὸ, *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*· καὶ πλεῖστα ἕτερα· ἀλλὰ καὶ τῶν ἐσομένων τὴν γνῶσιν ἔχομεν, περὶ δικαίων καὶ ἀδίκων, εἰδότες ὡς ἀναστήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον· ἀλλ' εἰ καί τινα ἴσμεν, οὐ πάντα· *Ἐκ μέρους γὰρ*, φησὶν ὁ Παῦλος, *γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν.* Τίς δὲ καὶ ἀπαγγελεῖ ἡμῖν τὰ ὀπίσω, ἀντὶ τοῦ, τὰ ἐσόμενα; οἷον εἰ παιδοποιήσομεν, εἰ τοὺς ὄντας ἀποβαλοῦμεν παῖδας, εἰ ἐν τῇ πατρίδι, ἢ ἐν ἀλλοδαπῇ τελευτήσομεν, εἰ ἐν πολλοῖς ἔτεσιν, ἢ ἐν ὀλίγοις βιωσόμεθα· ὥστε οἱ ταῦτα πολυπραγμονοῦντες, διὰ τῶν αἰώνων, καὶ γενεθλιαλόγων, καὶ ψευδομάντεων, ἢ ἑτέρων μαθεῖν σπουδάζοντες, ὡς τὴν γνῶσιν οὐκ εἰλήφαμεν, εἰς κενὸν μοχθοῦσι, καὶ ματαιοπονοῦσι ἀνήνυτα. Ταῦτα δὲ πάσχουσιν οἱ ἄφρονες, ἐπεὶ μὴ ἔγνωσαν τοῦ πορευθῆναι εἰς πόλιν, τουτέστι ἀρίστην πολιτείαν ἀναλαβεῖν, καὶ τὴν ἁπλῆν τῆς Ἐκκλησίας μεταδιῶξαι πίστιν, καὶ ἐπὶ τὴν καλλίπολιν ὁδεῦσαι τὴν ἐπουράνιον Ἱερουσαλὴμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

Vers. 14, 15. « Nescit homo quid factum fuerit, et quid futurum sit post ipsum; quis renuntiabit ei? Labor stultorum affliget eos: nescit pergere in civitatem. » Etsi multa jam noverimus quæ facta sunt ante nos, tradita nobis a viris Deo plenis perlegentes, qualia sunt: *In principio creavit Deus cœlum et terram*[8], et permulta alia; licet etiam per fidem sciamus quæ sunt futura, ut de justis puta atque injustis quod resurgent, hi quidem in vitam, illi vero in mortem pœnamque æternam: tamen omnia nequaquam scimus, sed quædam, **667** *Ex parte enim cognoscimus*, inquit Paulus; et *ex parte prophetamus*[9]. Quis autem nobis ea quæ post sunt renuntiabit? hoc est, futura: utputa, num filios genituri simus, an genitos jam liberos amissuri; nobisne in patria an apud exteros moriendum sit, exiguone spatio an contra longinquo futuri simus in vita. Idcirco qui solliciti sunt hæc rescire, vel per auguria, vel per natalis diei observationem, vel per mendaces alias hujusmodi divinationes, et qui cætera demum scire affectant quorum habere certam cognitionem non possumus, in vanum laborant, inutilemque sibi desumunt operam. Hæc autem ferme cuncta stultis contingunt, propterea quod minime norunt pergere in civitatem: hoc est, optimæ conversationis normam sibi proponere, neque persequi volunt Ecclesiæ simplicem fidem, pulchramque pergere in civitatem, supercœlestem scilicet Jerusalem, cujus opifex et auctor est Deus.

« Οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου ἐν πρωΐᾳ ἐσθίουσι. Μακαρία σὺ γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει, καὶ οὐκ αἰσχυνθήσονται. » Πρὸς μὲν ῥητὸν, ταλανίζει πόλιν, ἧς ὁ βασιλεὺς ἄστατον ἔχει τὸ ἦθος, καὶ νεώτερον· καὶ οἱ ἄρχοντες ἀφέμενοι τῶν πολιτικῶν φροντίδων, ἐκ πρώτης ἀκτῖνος γαστρὶ σχολάζουσιν. Οἱ γὰρ

Vers. 16, 17. « Væ tibi, civitas cujus rex junior, et principes tui mane comedunt. Beata tu terra, cujus rex filius liberorum, et principes tui vescuntur tempore suo in fortitudine, et non confundentur. » Litteralis quidem sensus, miseram censet civitatem cujus rex instabiles habet mores juvenum ritu, et cujus principes dimissis negotiis curisque civilibus, prima irrumpente aurora poculis comessationi-

[6] Psal. LIV, 10. [7] I Tim. I, 7. [8] Gen. I, 1. [9] I Cor. XIII, 9.

Digitized by Google

busque indulgent. Nam qui mero et crapula sese infarciunt, quique leves sunt et parum sibi constantes, neque regno neque principatibus aliis gerendis sunt apti. Beatam vero judicat regionem cujus rex sit filius liberorum patrum : hoc est, qui sit officiose ac liberaliter educatus, quique probæ educationis mores conservet, ut nihil penitus velit quod servile sit, quod illiberale, quod turpe; et cujus regionis principes omni studio curant quæ ad commoda subditorum pertineant : modeste præterea suoque tempore vescuntur, non iis quæ ad ventris et gulæ gratiam comparentur, sed quæ virile corporis robur bonamque valetudinem pariant ac tueantur : hoc est, quæ necessaria sint. Tales enim principes insitam pectoribus gerentes justitiam, justumque judicium judicantes, nulla unquam ignominia confundentur. Mystice autem et figurate, anima rationalis est civitas; hujusce civitatis rex, intellectus : qui si fuerit juveniliter levis atque inconstans, motusque suos quasi principes quosdam habuerit gulæ voluptatibus indulgentes; væ procul dubio adjunctum habebit : sin vero anima et ejus rex intellectus sacris enutriatur disciplinis, vere filius est liberorum, et motus habet rationum, qui congruo tempore omnia exsequuntur, tam quæ ad corporis curam spectant quam quæ ad animæ faciunt mentisque solertiam. Quod si anima quæ terra et civitas figurate vocatur, ita vivat, ita se regat, bonisque profectibus roboretur, nulla unquam turpi nota ignominiaque fœdabitur.

A ἐσκοτωμένοι τῇ μέθῃ, καὶ τῷ κόρῳ βαρούμενοι, ἢ καὶ τὸ ἦθος ἄστατον ἔχοντες, οὔτε πρὸς βασιλείαν, οὔτε πρὸς ἄλλην ἀρχὴν εἰσὶν ἐπιτήδειοι. Μακαρίζει δὲ τὴν γῆν ἐκείνην, ἧς ὁ βασιλεὺς ἐλευθέρων, τουτέστιν ἐλευθερίως τραφείς, καὶ διασώζων τὸ ἐλεύθερον φρόνημα, καὶ οὐδέ τι ἀγεννὲς ἢ ἀνελεύθερον, ἢ δουλοπρεπὲς κεκτημένος· καὶ ἧς οἱ ἄρχοντες τὴν μὲν πᾶσαν φροντίδα περὶ τὰ τῷ ὑπηκόῳ συμφέροντα ἀπασχολοῦσιν. Εὔτακτα δὲ καὶ κατὰ καιρὸν τρέφονται, οὐχ ὅσα γαστέρα κολακεύει, ἀλλ' ὅσα τὴν τοῦ σώματος διακρατεῖ δύναμιν, τουτέστι τὰ πρὸς τὴν χρείαν. Οἱ γὰρ τοιοῦτοι ἔμψυχοι ὄντες δίκαιοι, καὶ δικαίως τὸ δίκαιον μεταδιώκοντες, οὐ καταισχυνθήσονται. Πρὸς δὲ διάνοιαν, πόλις τροπικῶς ἡ ψυχή· ἧς ὁ βασιλεὺς νοῦς· ἐὰν ᾖ τὸ ἦθος νεαρώτερον, καὶ τὰς ὁρμὰς τῶν λογισμῶν οἱονεὶ ἄρχοντας ἔχων, γαστριμαργίᾳ καὶ ἡδοναῖς σχολάζοντας, τὸ ὠὰ προσκείμενον ἕξει· εἰ δὲ ἡ ψυχὴ, καὶ ὁ ταύτης νοῦς, τοῖς θείοις ἐντραφῇ μαθήμασιν, υἱός ἐστι ἐλευθέρων, καὶ ὁρμὰς ἕξει λογισμῶν κατὰ καιρὸν πάντα πραττούσας, τά τε σώματι καθήκοντα, καὶ ὅσα τῇ ψυχῇ κατάλληλα. Οὕτω δὲ τραφεῖσα, καὶ οὕτως ἑαυτῆς ἄρχουσα, καὶ ταῖς προκοπαῖς δυναμουμένη ἡ τοιάδε ψυχὴ, γῆ καὶ πόλις τροπικῶς ὀνομασθεῖσα οὐκ αἰσχυνθήσεται.

B

668 Vers. 18, 19. « In plenitudinibus humiliabitur contignatio, et in sinu desideria manuum stillabit domus : in risu faciunt panem, et vinum lætificat viventes, et pecuniæ obediunt omnia. » In parabola nos erudit, hortans ne contemnamus operari bonum, ne spiritualis nostræ domus (hoc est, animæ) contignatio, id est, firmæ ac connexæ rationes humilientur et corruant, ita ut domus ipsa perstillet, defluentibus undique vitiis conturbata; atque ita si quas habebamus prius virtutes, ex desidia et inertia amittamus. Oportet ergo assidue inspicere nostram hanc domum, neque solum ea respectare quæ bene hactenus gessimus, sed oculos ad contignationem, hoc est, ad supremum finem erigere. Nam qui segnius sese habent ad capessendas virtutes, ad solam voluptatem oculos animumque convertunt, occupanturque circa id quod hominum quamplurimi suave lætumque opinantur, palamque jactant comparari pecunias oportere, cum argento dicant omnia subjecta. Aliter : Desides otiosique homines sinunt stillare domum suam; qui vero aguntur sanctis Ecclesiæ institutis, pane quodam mystico vinoque aluntur; cujus virtute confirmati, dæmonis adversantis insidias facile ridere possunt, scientes quod universi mundi machina argento subjecta sit : hoc est, Dei Verbo propter nos incarnato, quod argenti appellatione sacra vocat Scriptura. Sciendum vero est quod nomine panis omne siccum alimentum solet eadem Scriptura designare; sicut et vinum vocat aut aquam, quod insitam humiditatem habet. Hoc significare voluit Moses, cum quadraginta diebus

C « Ἐν ὁλοκληρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία· εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνος εὐφραίνει ζῶντας· καὶ τοῦ ἀργυρίου ἐπακούσεται σὺν τὰ πάντα. » Παραβολικῶς ἡμᾶς ἐκδιδάσκει μὴ ἀργοὺς εἶναι περὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν, ἵνα μὴ τῆς νοητῆς ἡμῶν οἰκίας, τουτέστι τῆς ψυχῆς, ἡ δόκωσις, οἱ εὐτονοι λογισμοὶ, ταπεινωθῶσι, καὶ στάξῃ οἰκία ὑπὸ τῶν τῆς κακίας ῥευμάτων παρενοχλουμένη, ἵνα μὴ καὶ τὰς κτηθεῖσας ἀρετὰς ἀπολέσωμεν ἐξ ἀμελείας. Χρὴ τοιγαροῦν συνεχῶς ἐπισκέπτεσθαι τὴν εἰρημένην οἰκίαν, καὶ μὴ πρὸς τὰ ἤδη κατορθωθέντα βλέπειν, ἀλλὰ τῆς δοκώσεως, τουτέστι τοῦ τέλους, ἐπιμελεῖσθαι. Οἱ γὰρ ὀκνηροὶ περὶ τὰς ἀρετὰς, εἰς ἡδονὴν μόνην βλέποντες, καὶ τὴν νομιζομένην εὐφροσύνην παρὰ ἀνθρώποις σχολάζουσι. Καί φασιν ὅτι δεῖ χρήματα ἔχειν· τῷ γὰρ ἀργυρίῳ ὑποταγήσεται τὰ πάντα. Ἄλλως· Οἱ μὲν οὖν ὀκνηροὶ κατασταζειν ἐῶσι τὴν ἑαυτῶν οἰκίαν· οἱ δὲ τοῖς τῆς Ἐκκλησίας ἀγόμενοι νόμοις, ἄρτον τινὰ μυστικὸν, καὶ οἶνον πρὸς τὸ καταγελᾶν τῶν δαιμόνων διὰ τῆς τοῦ μυστηρίου δυνάμεως ἔχουσιν· εἰδότες ὅτι τοῦ ἀργυρίου οὕτως τοῦ θείου Λόγου ὀνομαζομένου, τοῦ δι' ἡμᾶς σαρκωθέντος, πᾶσα ἡ κτίσις ὑπακούει. Χρὴ δὲ εἰδέναι, ὡς κατὰ τὸν αἰσθητὸν ἄρτον πολλαχοῦ ἡ Γραφὴ πᾶσαν ξηρὰν τροφὴν λέγει· οἶνον δὲ ἢ ὕδωρ, ὑγράν. Τοῦτο σημαίνων ὁ Μωσῆς, ὅτε τὸν νόμον ἐδέχετο, ἔλεγε, *Τεσσαράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγον, καὶ ὕδωρ οὐκ ἔπιον*· ἀντὶ τοῦ, οὐδεμιᾶς ἢ ξηρᾶς, οὔτε ὑγρᾶς τροφῆς μετέλαβον.

D

Digitized by Google

quibus legem accepit, *Neque panem*, inquit, *comedi, neque bibi vinum* [10]; hoc est, neque siccum neque humidum quidquam gustavi.

« Καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, καὶ ἐν ταμιείοις κοιτῶνός σου μὴ καταράσῃ πλούσιον· ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων πτέρυγας ἀπαγγελεῖ λόγον σου. » Πετεινὸν τοῦ οὐρανοῦ οἱ μὲν τὴν ψυχὴν αὐτὴν εἶπον, ἢ τὸ συνὸν πνεῦμα τῷ ἀνθρώπῳ· τὸν δὲ ἔχοντα πτέρυγας, ἢ τὸ ἅγιον Πνεῦμα τὸ ἐν εἴδει περιστερᾶς φανέν, καὶ τὰ πάντα πληροῦν, καὶ πάντα ἐπιστάμενον· ἢ τοὺς ἁγίους ἀγγέλους. Ἕτεροι δὲ ἐξ ἐναντίας, τὸν μὲν ἔχοντα πτέρυγας, τὸν διάβολον ἐξειλήφασι· πετεινὰ δὲ τοῦ οὐρανοῦ, τοὺς αὐτοῦ δαίμονας ἀερίους. Κατὰ δὲ τὰς πάντων ὑπολήψεις ὁ νοῦς τοιοῦτός ἐστι· *Μὴ καταράσῃ*, φησὶ, *βασιλέα ἢ πλούσιον*, μηδὲ ἐν παραβύστῳ· ἡ γὰρ φήμη διατρέχουσα εἰς ἀκοὰς φέρει τοῦ καταραθέντος τὴν λοιδορίαν τὴν σήν· κατάρα δέ ἐστι αἴτησις κακῶν, ἢ ἑαυτῷ, ἢ τῷ πλησίον. A B

Vers. 20. « In conscientia tua regi ne imprecceris, et in secreto cubiculi tui ne imprecceris diviti : volucris enim cœli asportabit vocem tuam, et qui habet alas sermonem tuum renuntiabit. » Volucrem cœli, sunt qui putent esse animam ipsam, vel spiritum nobis insitum; habentem vero alas, aut Spiritum sanctum qui apparuit in columbæ specie, quique omnia complet et omnia novit : aut ipsos sanctos angelos. Contra vero nonnulli, habentem alas, pro diabolo accipiendum dicunt; volucres vero cœli, parentes diaboli aereas potestates. Secundum vero utramque expositionem ita intellige : *Ne regi, neve diviti imprecceris*, ac ne in penetralibus quidem; tua namque maledicta excurrens fama defert ad illius aures, cui tu malum imprecatus fueris. Imprecari vero quempiam dicimus, cum malum aliquod vel sibi vel proximo advenire votis exposcit.

ΚΕΦΑΛ. ΙΑ'.

« Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν. » Γέγραπται, *Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου*. Διὰ δὲ τοῦ ἄρτου τὴν πᾶσαν ἐλεημοσύνην ἐσήμανε. Φησὶν οὖν, ὅτι Μετὰ δακρύων, τουτέστι μετὰ ἐλεημοσύνης καὶ συμπαθοῦς διαθέσεως ποίει τὴν ἐλεημοσύνην· αὕτη γάρ σοι καὶ συνδιαιωνίζει. Ἄλλως· Ὕδατα ἡ Γραφὴ πολλάκις καὶ τὰς τῶν ἀνθρώπων συναγωγὰς εἴωθε καλεῖν, κατὰ τὸ, *Ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων*. Ὦ οὖν, φησὶ, τῶν θείων μαθημάτων διδάσκαλε, τὸν θρεπτικόν σου λόγον ὃν εἴληφας ἐκ τῆς δωρεᾶς τοῦ Πνεύματος, ἀεὶ τοῖς δεομένοις χορήγει, μισθὸν ἔχων τῆς ἐργασίας, τὸ τῷ Θεῷ Λόγῳ συνεῖναι διηνεκῶς. C

Vers. 1. « Mitte panem tuum super faciem aquæ, quia in multitudine dierum invenies illum. » Scriptum est : *Frange esurienti panem tuum* [11]. Cæterum panis appellatione omne genus eleemosynæ designatur. Dicit ergo Ecclesiastes : Cum lacrymis et misericordi affectu facito eleemosynam; hujus enim fructus tecum permanebit in sæculum. Aliter : Aquas pro hominum conventiculis et congregatione solet appellare Scriptura, juxta illud : *Libera me de aquis multis, et de manu filiorum alienorum* [12]. Inquit ergo : O tu quisquis es divinæ legis interpres ac doctor, alimentum verbi quod tibi gratia Spiritus sancti liberaliter dedit, sine ulla intermissione pauperibus et egenis imparti, præmium ministerii hujus relaturus, ut cum Deo Verbo vivas junctus in sæcula.

« Δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτὼ, ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν. » Ὁ τὴν Παλαιὰν προσιέμενος Διαθήκην, διὰ τὸν ἐν αὐτῇ σαββατισμὸν τὸν ἐν πνεύματι τελούμενον, τουτέστι τὴν τῶν κακῶν ἀργίαν, δέδωκε μερίδα τοῖς ἑπτά. Ὁ δὲ τὴν Νέαν καθ' ἣν ἡ Κυριακὴ τοῦ Σωτῆρος ἀνάστασις, ἡ ὀγδόη καὶ πρώτη ἀρχὴν ἔχουσα τοῦ μέλλοντος αἰῶνος, δέδωκε μερίδα τοῖς ὀκτώ. Ἑκατέρας οὖν, φησὶ, τὰς Διαθήκας δέχου. Ἄλλως· Εἰς ἑβδομάδα ὁ παρὼν κατατέμνεται βίος. *Κατέπαυσε* γὰρ, φησὶν, *ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε, ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ*. Ἀρχὴ δὲ τοῦ μέλλοντος αἰῶνος ἡ ὀγδόη· ἧς σύμβολον ἡ Κυριακὴ ἀνάστασις. Εὐσχημόνως οὖν, φησὶ, δίαγε ἐν τῷ παρόντι βίῳ, καὶ ἀποθησαύριζε σεαυτῷ εἰς τὸν μέλλοντα διὰ ἔργων ἀγαθῶν, καὶ τοῖς ἑπτὰ, καὶ τοῖς ὀκτὼ μερίδα παρέχων. Ἄλλως· Ἑπτὰ τοῦ Πνεύματος ἐνεργείας οἶδε Ἡσαΐας. Δύναται οὖν καὶ ἐξ ἀντιστρόφου ἑπτὰ καλεῖσθαι ὁ τῶν Χριστιανῶν λαὸς, διὰ τὸ πλουτῆσαι τοῦ Πνεύματος τὰς ἐνεργείας. Ὀκτὼ δὲ ὁ τῶν Ἰουδαίων, D

Vers. 2. « Da partem ipsis septem, partem quoque dato et ipsis octo, quia ignoras quid futurum sit mali super terram. » Qui credit Veteri Testamento, partem dedit ipsis septem, propter Sabbati cultum qui in lege veteri continetur, quique tunc spirituali sanctificatione perficitur cum a peccatis desistimus ac requiescimus. Qui vero Novum recipit Testamentum, partem suam dedit et ipsis octo, propter Dominicam resurrectionem, quam octavo celebramus die; hoc est, Sabbatum insequente, et primo qui principium habet sæculi futuri. Inquit ergo : Recipe Vetus ac Novum Testamentum. Vel aliter : Nostræ hujus vitæ tempus, septem dierum numero designatur : Inquit enim Scriptura : *Requievit Deus die septimo ab omni opere quod patrarat* [13]. Initium vero futuri sæculi, octava est dies, cujus symbolum nobis est Dominica resurrectio. Quod ergo nos monet Ecclesiastes, hoc est : Modeste, inquit, vive in præsenti sæculo, et thesaurizа tibi per operum bonorum exsecutionem, quæ ad futuræ vitæ bonum pertineant : atque ita

[10] Deut. IX, 9. [11] Isa. LVIII, 7. [12] Psal. CXLIII, 7. [13] Gen. II, 2.

Digitized by Google

partem ipsis septem dato, et ipsis octo. Aliter : Septem dona Spiritus numerat Isaias [14]. Potest igitur Christianus populus apposita quadam collatione per septenarium numerum designari, cum septem spiritualibus donis ditatus fuerit. Octonario autem numero designabitur populus Judæorum, qui octavo die Circumcisionis accepit signum. Inquit ergo : Confer eleemosynam in omnes homines. Quod autem inquit, *quia non cognoscis quid mali futurum sit super terram*, ad omnes potest accommodari expositiones quas modo attuli, ita videlicet : Recipe duo Testamenta, ut ignorantiæ pariter ac nequitiæ tenebras procul abs te repellas. Vel, modeste age quæ ad hujus pertinent vitæ officia, cogitans assidue et de futuro sæculo : neque enim nosti quam gravia reposita sunt tormenta iis qui neque septenariis partem suam dederunt, neque octonariis. **670** Vel, eleemosynam omnibus confer in cordis tui simplicitate : neque enim nosti quis hominum vere indigeat, quisve simulata paupertate per avaritiam petat.

A διὰ τὸ τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνεσθαι. Ποίει τοιγαροῦν, φησί, τὴν ἐλεημοσύνην πρὸς πάντας ἀνθρώπους. Τὸ δὲ, *ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν*, κατὰ πάσας νοήσεις τὰς ἐκδοχάς. Δέχου τὰς δύο Διαθήκας, ἵνα τὸ τῆς ἀγνοίας καὶ πονηρίας ἀποδίλῃς σκότος. Εὐσχημόνως πράττε τὰ ἐν τῷδε τῷ βίῳ καθήκοντα, ἐν φροντίδι τιθέμενος καὶ τὸν μέλλοντα αἰῶνα · οὐ γὰρ οἶσθα πόσαι ἐπίπονοι κολάσεις ἀπόκεινται τοῖς μὴ παρέχουσι μερίδα τοῖς ἑπτά, καί γε τοῖς ὀκτώ. Ποίει ἐλεημοσύνας πρὸς πάντας ἀνθρώπους μετὰ ἁπλότητος καρδίας · οὐ γὰρ ἐπίστασαι τίς ὁ ἀληθῶς χρῄζων, ἢ τίς ὁ κατὰ πονηρίαν καὶ πλεονεξίαν αἰτῶν.

Vers. 3. « Si repletæ fuerint nubes pluvia, in terram effundunt : et si decidat lignum ad austrum sive ad boream, in loco ubi ceciderit, ibi desidebit. » Prima quidem particula hujus loci litterali sensu potest ad eleemosynam referri : quia sicut nubes jussu divino imbrem super omnes spargunt, ita convenit eleemosynam cunctis hominibus impartiri. Mystico autem et sublimiori sensu, *nubes* pro sanctis viris accipiuntur : quorum unus fuit Moses, qui dicit : *Exspectetur ut pluvia eloquium meum* [15]. Sancti ergo repleti divino verbo, quale scilicet factum est ad Osee sanctosque alios, effundunt fecundum imbrem non super solam Judæam, sed et in omnem terram in quam exivit sonus eorum [16]. Et hæc quidem de prima particula loci hujus quæ ad pluviam pertinet. Ligna vero in Scripturis sacris significant modo justos viros, modo etiam peccatores ; auster autem accipitur pro illustri loco ac lucido, vel pro verissima illa luce quæ est Jesus Christus Dominus Deus noster ; contra vero, boreas pro caliginoso ac tenebrarum pleno accipitur loco, proque ipso diabolo qui in tenebris habitat. In quocunque igitur loco seu illustri seu tenebroso, hoc est, sive in turpi scelerum statione, sive in honesta virtutum, deprehendatur homo cum moritur, in eo gradu atque ordine permanet in æternum. Nam vel requiescit in lumine felicitatis æternæ cum justis et Christo Rege universorum, vel in tenebris cruciatur cum iniquis et principe mundi hujus diabolo.

B « Ἐὰν πληρωθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ τὴν γῆν ἐκχέουσι · καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ, καὶ ἐὰν ἐπὶ τῷ Βορρᾷ, τόπῳ οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται. » Πρὸς μὲν ῥητὸν, ἡ πρώτη λέξις δύναται καὶ περὶ ἐλεημοσύνης νοεῖσθαι · ὅτι ὥσπερ τὰ νέφη κελεύσει θείᾳ τὸν ὄμβρον ἐπὶ πάντας ἀνθρώπους βαίνουσι, τὸν αὐτὸν τρόπον δεῖ καὶ τὴν ἐλεημοσύνην γίνεσθαι. Πρὸς δὲ διάνοιαν, *νεφέλαι* οἱ ἅγιοι ἄνδρες εἴρηνται, ὧν εἷς ἦν Μωσῆς ὁ λέγων, *Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου*. Οὗτοι πληρωθέντες τοῦ θείου λόγου, τοῦ γινομένου πρὸς Ὡσηὲ, καὶ τοὺς λοιποὺς ἁγίους ἐκχέουσι τὸν κάρπιμον ὑετὸν, οὐκ ἐπὶ τὴν Ἰουδαίαν μόνην, ἀλλὰ καὶ ἐπὶ πᾶσαν τὴν γῆν, εἰς ἣν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Καὶ ταῦτα μὲν περὶ τοῦ ὑετοῦ. Ξύλα δὲ εἴρηνται παρὰ τῇ Γραφῇ C καὶ οἱ ἅγιοι καὶ οἱ ἁμαρτωλοί · νότος δὲ ἐκλαμβάνεται ὁ φωτεινὸς τόπος, καὶ αὐτὸ τὸ φῶς τὸ ἀληθινὸν, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός · βορρᾶς δὲ ὁ ζοφώδης καὶ σκότους πλήρης διάβολος. Ἐν ᾧ δ' ἂν τοιγαροῦν τόπῳ, εἴτε τοῦ φωτὸς, εἴτε τοῦ σκότους, εἴτε τῷ τῆς κακίας ἔργῳ, εἴτε τῷ τῆς ἀρετῆς, καταληφθῇ ἐν τῇ τελευτῇ ὁ ἄνθρωπος, ἐν ἐκείνῳ μένει τῷ βαθμῷ καὶ τῇ τάξει, ἢ ἐν φωτὶ μετὰ τῶν δικαίων, καὶ τοῦ παμβασιλέως Χριστοῦ, ἢ ἐν τῷ σκότει μετὰ τῶν ἀδίκων καὶ τοῦ κοσμοκράτορος.

Vers. 4, 5. « Qui observat ventum non seminat, et qui considerat nubes non metet. Sicut non est qui sciat quæ via sit spiritus, neque quomodo compingantur ossa in ventre prægnantis : ita non cognosces opera Dei quodcunque facturus est. » Qui ventos observant, sationi minus incumbunt. Plerumque enim contingit ut qui hodie perflat ventus, crastina die sit quieturus ; aut contra bacchaturus sit die crastina, qui hodie conquiescit : hodie si compluat, cras erit aer serenus. Non oportet ergo ventos observare, sed spe bona sationem facere, Deo confidentes auctori bonorum omnium Nam si præ observatione nubium ac ventorum differamus

« Τηρῶν ἄνεμον οὐ σπείρει, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει. Ἐν οἷς οὐκ ἔστι γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος, ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης · οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ Θεοῦ ὅσα ποιήσει τὰ σύμπαντα. » Οἱ τοὺς ἀνέμους ἐπιτηροῦντες οὐ σπείρουσι. Πολλάκις γὰρ ὁ σήμερον πνέων αὔριον οὐ πνεῖ · καὶ τὸ ἐναντίον · καὶ πολλάκις σήμερον μὲν ὗει, αὔριον δὲ ἀνέχει τὸν ὄμβρον ὁ Θεός. Ὥστε οὐ δεῖ παρατηρεῖσθαι, ἀλλ' ἐπ' ἐλπίδι σπείρειν, τῇ τοῦ Θεοῦ ἀγαθότητι θαῤῥοῦντας. Ἐὰν δὲ παρατηρούμενοι ὑπερθώμεθα τὸν καιρὸν τοῦ σπόρου, οὐ θερίζομεν. Ἐπιτηρεῖν δὲ ἀκριβῶς οὐ δυνάμεθα τοῦ ἀέρος τὴν κατάστασιν, ἐπειδὴ ἀγνοοῦμεν τοῦ πνεύ-

[14] Isa. xi, 2. [15] Deut. xxxii, 2. [16] Psal. xviii, 5.

Digitized by Google

ματος τὴν ὁδὸν, σοφῶς καὶ ποικίλως τοῦ Θεοῦ τὰ καθ' ἡμᾶς πάντα διέποντος. Οὕτως τε ἀγνοοῦμεν τὰς περὶ ἡμᾶς τοῦ Θεοῦ διοικήσεις, ὡς τὰ κυοφορούμενα ὀστᾶ τῆς ἐν γαστρὶ ἐχούσης. Τίς γὰρ οἶδε πότερον ἄρρεν ἢ θῆλυ τὸ κυοφορούμενον, ἢ ἄρτιον ἢ κατά τι μέρος κολοβόν; Εἰ δὲ τὸ μορφωθὲν οὐκ ἴσμεν τί ποτέ ἐστι, πολλῷ πλέον ἀγνοοῦμεν πῶς τὸ ἔμβρυον συνίσταται, πῶς τὰ ὀστᾶ συντίθενται, πῶς εὐθετίζεται τοῦ παντὸς σώματος ἡ ἁρμονία. Καὶ σὺ τοίνυν, φησὶ, μὴ πολυπραγμονῶν καὶ ἀναζητῶν τίνι δοῦναι, ἢ τίνι μὴ δοῦναι ὀφείλεις, καὶ πότερον πιστὸς, ἢ ἄπιστος, ἢ δίκαιος, ἢ ἄδικος, ἀπολέσῃς τοῦ σπεῖραι τὸν καιρὸν, καὶ οὐχ εὑρήσῃς ἐν καιρῷ θερίσαι· ἀλλ' ἀνυπερθέτως καὶ ἐν ἁπλότητι καρδίας τὴν ἐλεημοσύνην ἐργάζου· οὐ γὰρ οἶδας εἰ ὃν σὺ νομίζεις ἄδικον, τὸ πνεῦμα δικαιοῖ. Καὶ τὸ ἀνάπαλιν.

A sationis tempus, irritam deinde messem experiemur. Sed etiamsi maxime velimus, observare non possumus aeris qualitates; neque enim scimus viam ipsius spiritus. Sapienter namque ac varie Deus humanis consulit rebus; neque aliter ignoramus Dei erga nos consilia et dispensationes, quam et ossa quæ compinguntur et gestantur in ventre prægnantis. Quis enim novit, masculusne ibi delitescat an femina? integrumne gignatur, an parte aliqua corporis imperfectum? Quod si ignoramus qualenam sit quod in utero genitricis compingitur, multo ignorabimus magis quanam ratione offula illa quam embryonem vocant, in corpus animalis coalescat et conformetur; quo etiam pacto ossa componantur, quove totius corporis sibi congruat harmonia. **671** Inquit ergo: Tu quoque ne tantopere sis sollicitus curiose quærendo cui sis eleemosynam daturus, cui non daturus; ut puta, fidelisne sit ille an infidelis, justusne an injustus. Etenim si pendebis animo ista disquirens, amittes sationis tempus, neque invenies in tempore messis quod metas. Sine ulla itaque dilatione temporis, in simplicitate cordis ut eleemosynam confer; neque enim scis an spiritus eum vivificet quem tu fortasse putas injustum, contraque illum a se repellat quem tu justum existimas.

« Ἐν πρωΐᾳ σπεῖρον τὸ σπέρμα σου· καὶ ἐν ἑσπέρᾳ μὴ ἀφιέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει, τοῦτο ἢ τοῦτο· καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτὸ, ἀγαθόν. » Ὁ τὸ σκότος τῆς ἀγνοίας τῆς ἑαυτοῦ διανοίας ἀπελάσας, ἐναρχόμενος τῶν ἀρετῶν ἐν πρωΐᾳ σπείρει, κατὰ τὸ, *Ἕως ἡμέρα ἐστὶ, ἐργάζεσθε.* Ἐὰν δὲ καὶ διαμένῃ μέχρι τέλους τὴν πρακτικὴν μετιὼν ἀρετὴν, ἕως ἑσπέρας οὐκ ἀφῆκε, οὐδὲ ἠπράκτησεν ἡ χεὶρ αὐτοῦ ἀγαθοεργοῦσα. Ἀρχόμενος οὖν ἀρετῆς μέχρι τέλους διάμενε· οὐκ οἶδας ποιά σου ἔργα ἀγαθὰ ἀρέσει τῷ κριτῇ, τὰ ἐν ἀρχῇ, ἢ τὰ πρὸς τῷ τέλει. Εἰ δὲ ἑκάτερα ἐπὶ τὸ αὐτὸ ἀρέσοι, πλήρης ἀγαθότητος ἡ τοιαύτη ἐργασία. Ἢ καὶ οὕτως· Ἐκ πρώτης ἡλικίας ἐργάζου τὴν ἀρετὴν, καὶ μὴ λέγε, Νῦν μὲν νεώτερος ὢν ἀπολαύσω τῶν τοῦ βίου τερπνῶν, ἐν δὲ τῷ γήρᾳ μετανοῶ· οὐκ οἶδας τί σοι ἀκολουθήσει, ἢ πότε ἐπιστήσεταί σοι ἡ τελευτή· ὥστε καλὸν ἀεὶ ἐργάζεσθαι τὴν ἀρετὴν, καὶ τὴν ἑαυτῷ πᾶσαν δύναμιν ποιεῖν· Θεὸν δὲ παρακαλεῖν, ἐφ' ᾧ τὰ παρ' ἡμῶν ταττόμενα ἀρεστὰ τῇ αὐτοῦ ἀγαθότητι καταφανῆναι.

B Vers. 6. « Mane semina semen tuum, et vespere ne cesset manus tua, quia nescis magis ne proventurum sit hoc an illud: quod si utraque in idem tendant, bonum hoc erit. » Qui tenebras ignorantiæ ab intellectu suo procul expellit, cum sit in ipso principio virtutum, mane primo sationem facit, juxta illud: *Donec dies est operamini* [17]. Quod si hic ad finem permaneat officiose vivens secundum virtutem, operatus dici potest usque ad vesperam, ita ut manum suam ab opere non remiserit neque cessarit. Inquit ergo: Virtutem aggressus, persevera usque in finem; neque enim novisti quænam ex tuis bonis operibus placitura sint Judici: illane quæ juxta carceres peregisti, an ea quæ jam perductus ad metam. Quod si utraque eodem pariter modo approbentur, bonitatis et perfectionis plena censebitur hujusmodi operatio. Aut aliter ita intellige: Ab ineunte pueritia operare virtutem, neque dixeris, Nunc adolescentior cum sim, fruar deliciis quas habet vita; postea vero, cum ad senectutem pervenero, ad pœnitentiam me convertam: nequaquam enim nosti quid tibi eventurum sit, aut quando tibi aderit finis vitæ. Est itaque operæ pretium operari semper virtutem, summaque contentione ad hanc assequendam conari. Oportet etiam sæpe Deum precari, ut quæ ipsi operamur, ejus sint majestati placita et benitati.

« Καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τὸ βλέπειν σὺν τὸν ἥλιον· ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται, καὶ μνησθήσεται τὰ ἔργα τοῦ σκότους, ὅτι πολλὰ ἔσονται· καὶ πᾶν τὸ ἐρχόμενον ματαιότης. » Διδάσκει ποίαν πρωΐαν ἔφησε σπείρειν, ἤγουν, τὴν ἡδεῖαν καὶ γλυκεῖαν τοῖς νοητοῖς ὀφθαλμοῖς, ἣν ἐργάζεται ὁ τῆς δικαιοσύνης ἥλιος, καταυγάζων ἡμῶν τὰς ψυχάς. Ὥσπερ γὰρ οἱ τὸν αἰσθητὸν ἥλιον βλέποντες, δι' αὐτοῦ βλέπουσι καὶ τὰ ὁρατὰ, καὶ οὕτω τὰς αἰσθητὰς ἐργασίας μετέρχονται· οἱ δὲ μὴ βλέποντες τὸν ἥλιον, οὐδὲ ἐνεργεῖν δύνανται, τῷ μὴ ὁρᾷν τὰ ὑπ' αὐτοῦ

Vers. 7, 8. « Dulce lumen, et bonum est oculis videre solem. Si annis multis vixerit homo in omnibus his lætabitur, et recordabitur opera tenebrarum, quoniam multæ tenebræ erunt, et omne quod advenit, vanitas. » Docet nos hoc loco Ecclesiastes quale sit illud mane quo nos hortatus est sationem facere, hoc est, suave prorsus ac dulce oculis ipsius intellectus; mane, inquam, illud quod producit justitiæ Sol, animas nostras interno splendore illustrans. Sicut qui solem hunc sensibilem vident, per ipsius lumen visibilia intuentur, atque ita sensus ipsos variis officiis intendunt: qui vero solem non

[17] Joan. IX, 4.

Digitized by Google

vident, in tenebris desident otiosi eo quod non videant quæ solis lumine illustrantur: ita pari ratione et qui intelligibilem contuentur solem, lumen in mente sua recipiunt, per quod plane vident atque cognoscunt quæ ad ejusdem solis voluntatem sibi agenda sunt, quæve etiam dimittenda. Is autem qui ad divini Verbi sententiam vivendum sibi constituat, tametsi multos annos versetur in vita hac quæ difficilis ferme ab omnibus existimatur, anima tamen sua voluptate lætitiaque perfunditur, cum non solum complectatur animo et intelligat quæ agenda sibi sunt in practico vitæ cursu, verum etiam mente pacatissima contempletur pulcherrimas illas species quæ a materia sejunctæ, solo intellectu percipiuntur. **672** Speculatur autem hæc, lucidissimis justitiæ Solis fulgoribus illustratus. Neque vero tantum hæc ipsa contuetur, verum reputat animo et tenebrarum dies qui in futuro sæculo sunt impios comprehensuri. Et cum meminerit dies illos perennes fore, peccatoresque ipsos vanitatem excipere, hoc est, æterna supplicia, omni studio et contentione declinat a malo, bonumque operatur.

A φωτιζόμενα· οὕτως καὶ οἱ τὸν νοητὸν ἥλιον ἐνοπτριζόμενοι δι' αὐτοῦ καταφωτίζονται, πρὸς τὸ ὁρᾷν καὶ βλέπειν ἃ δεῖ πράττειν κατὰ τὸ αὐτοῦ θέλημα, καὶ ὧν ἀπέχεσθαι. Ὁ δὲ κατὰ τὸ τοῦ λόγου βούλημα ζῶν, κἂν πολυετίαν διαγένηται ἐν τῷδε τῷ βίῳ τῷ ἐπιμόχθῳ εἶναι δοκοῦντι, κατευφραίνεται τὴν ψυχήν, τά τε πρακτέα καὶ τὰ νοητὰ κάλλη περιαθρῶν, διὰ τῶν φωτεινῶν τοῦ προρηθέντος ἡλίου μαρμαρυγῶν ἐκλαμπόμενος. Ἀναλογίζεται δὲ ὁ τοιοῦτος καὶ τὰς ἡμέρας τοῦ σκότους τοῦ μέλλοντος τοὺς ἀσεβεῖς διαδέχεσθαι, καὶ μνημονεύων ὅτι ἀτελεύτητοι τυγχάνουσι· καὶ ὅτι ματαιότης ἐκδέχεται τοὺς ἁμαρτωλούς, τουτέστι κόλασις, κατὰ κράτος ἐκτρέπεται τὴν κακίαν.

VERS. 9, 10. « Lætare, juvenis, in adolescentia tua, et bonis fruatur cor tuum in diebus adolescentiæ tuæ, et immaculatus deambula in semitis cordis tui, et in visione oculorum tuorum. » Cum dicit: *Ambula immaculatus in semitis cordis tui;* plane ostendit quod ad spiritualem lætitiam hoc loco juvenem cohortatur. Juvenem vero intelligit, qui sit animo robustus ac fortis, et qui tuto possit atque intrepide contra diaboli colluctationes in campum descendere, exuere antiquum hominem ac induere eum qui sit ad imaginem Dei factus. Hic autem qui ambulat immaculatus in semitis cordis sui, hoc est, animam in tuto loco constituens, mentemque purificans, habet utique et puros sui corporis sensus, redditurque aptissimus ad admirabiles pulchritudines contemplandas, lætitiam summam percipiens in spirituali adolescentia internaque mentis perspicua visione. Quia vero mascula nomenclatura persæpe Scriptura utitur in his locis in quibus feminas æque ac viros ad virtutem hortatur, sciendum est quod a principaliori parte ac sexu orationem aggreditur: *mulieris* namque *caput est vir*[18]; una vero utrique animæ est substantia, et unum sumus omnes in Domino, cum feminei sexus virilisque differentia ad corpus solum pertineat. Quare etsi hoc loco adolescentem solum videas adhortationem accipere, sub hujus tamen adhortationis lege feminas putato æque ac viros ipsos comprehendi. Verba quoque Pauli apostoli, quibus inquit: *Despondi vos uni viro virginem castam exhibere Christo*[19]; tam ad viros pertinere quam ad mulieres existimato. *Et cognosce in his omnibus quod ducet te Deus in judicio.*

B « Εὐφραίνου, νεανίσκε, ἐν νεότητί σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου, καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ ἐν ὁράσει ὀφθαλμῶν σου. » Τῷ εἰπεῖν, *Καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος*, ἔδειξε ὅτι τὴν πνευματικὴν εὐφροσύνην παραινεῖ τῷ νεανίσκῳ εὐφραίνεσθαι. Νεανίσκον δὲ τὸν κατὰ ψυχὴν ἀκμαῖον καὶ δυνάμενον ἐπαποδύεσθαι κατὰ τοῦ πονηροῦ φησι, τὸν ἀπεκδυσάμενον τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυσάμενον τὸν νέον, τὸν κατ' εἰκόνα Θεοῦ. Ὁ δὲ τοιοῦτος ἐν ὁδοῖς καρδίας περιπατῶν ἄμωμος, τουτέστι αὐτὴν τὴν ψυχὴν ἀσφαλιζόμενος, καὶ καθαρεύων τὴν διάνοιαν, ἔχει μὲν ἀναγκαίως καθαρὰ καὶ τὰ τοῦ σώματος αἰσθητήρια. Πλὴν γίνεται διορατικὸς, καὶ θεωρεῖ κάλλη θαυμάσια, εὐφραινόμενος ἐν τῇ αὐτοῦ πνευματικῇ νεότητι, καὶ τῇ τῶν νοητῶν ὁμμάτων θεωρίᾳ. Ἐπειδὴ δὲ τῷ τοῦ ἄῤῥενος ὀνόματι συνεχῶς ἡ Γραφὴ μέμνηται, ἔνθα κοινὰς ποιεῖται τὰς παραινέσεις· ἰστέον ὡς ἐκ τοῦ κυριωτέρου μέρους (*Κεφαλὴ γὰρ γυναικὸς ὁ ἀνὴρ*) ποιεῖται τὸν λόγον. Ἐπεὶ ἡ τῆς ψυχῆς οὐσία μία, καὶ εἷς ἐσμεν πάντες ἐν Κυρίῳ· τὸ γὰρ τῆς θηλείας καὶ τοῦ ἄῤῥενος, σωμάτων μόνον ἐστὶ διαφορά. Ὥστε κἂν νεανίσκον ἀκούσῃς παραινούμενον, ἄνδρας ὁμοῦ καὶ γυναῖκας νόει. Κἂν ὁ Παῦλος εἴπῃ, *Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ*, πάλιν ὁμοίως ἄνδρας τε καὶ γυναῖκας ἐκλάμβανε. *Καὶ γνῶθι ἐπὶ πᾶσι τούτοις, ὅτι ἄξει σε ὁ Θεὸς ἐν κρίσει.*

C

CAPUT XII.

« Et remove iram a corde tuo, et abducito malignitatem a carne tua, quoniam juventus et amentia, vanitas *. [VERS. 1.] Et memento Creatoris tui in diebus adolescentiæ tuæ, antequam veniant dies afflictionis, et anni in quibus dices: Non est volun-

D

ΚΕΦΑΛ. ΙΒ'.

« Καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι καὶ ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης. Καὶ μνήσθητι τοῦ Κτίσαντός σε, ἐν ἡμέραις νεότητός σου, ἕως οὗ μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας, καὶ φθάσωσιν ἔτη, ἐν οἷς ἐρεῖς.

[18] Ephes. v, 23. [19] II Cor. xi, 2.

* Hic versus ad caput undecimum pertinet.

Digitized by Google

Οὐκ ἔστι μοι ἐν αὐτοῖς θέλημα.» Νῦν ἀναμιμνήσκει τοῦ θείου κριτηρίου, καί φησιν, Οἷα αὐτεξούσιος, ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου· δύνασαι γὰρ τῷ λογικῷ χρώμενος χαλινοῦν τὸν θυμόν. Πονηρίαν δὲ σαρκός φησι πᾶσαν μὲν ἁμαρτίαν. Τὰ γὰρ τῆς ἁμαρτίας ἔργα, ἔργα φησὶ σαρκὸς ὁ Ἀπόστολος. Διαφερόντως δὲ πονηρία σαρκὸς ἡ πορνεία· τὰ δὲ πάθη νεωτέρας εἰσὶ διανοίας καὶ ἀστάτου κινήματα. Τῇ δὲ νέᾳ ταύτῃ διανοίᾳ καὶ ἡ ἄνοια παρέζευκται, οὐδὲν ἕτερον οὖσα ἢ ματαιότης. Εἰ δὲ θέλεις, φησὶ, ἐκβαλεῖν ταύτην τὴν διάνοιαν, καὶ χαλινῷ δῆσαι τῆς νεωτερικῆς φρονήσεως τὴν ὁρμήν, ἄληστον ἔχε τοῦ Θεοῦ τὴν μνήμην. Ἡμέρας δὲ νεότητος, τὸν παρόντα αἰῶνά φησι, ὡς πρὸς τὴν τοῦ μέλλοντος τελειότητα. Ἐὰν γὰρ ἐν τῷ παρόντι ἐκβάλῃς τὴν μνήμην τοῦ Θεοῦ, καὶ τὰ καθ' ἡδονὴν πράξῃς, ἐφίσταται ὁ καιρὸς τῆς κολάσεως, ὃν δὴ καὶ ἡμέραν κακίας φησὶ, τῆς τῶν ἁμαρτωλῶν κολάσεως. Καὶ τότε *λέξεις*, ὅτι *Οὐκ ἔστι μοι θέλημα ἐν αὐτοῖς*. Οὐδεὶς γὰρ ἐν βασάνοις ὢν θέλημα ἔχει τοῦ βασανίζεσθαι. Ἰστέον τοιγαροῦν ὡς ὁ νῦν τοῖς ἰδίοις θελήμασιν ἐξακολουθῶν ὑπὸ ἀνοίας καὶ ἀτελοῦς διανοίας, καὶ οὐ ταῖς τοῦ Κυρίου ἐντολαῖς, ἐν τῷ καιρῷ τῆς κολάσεως, ὡς οὐ θέλει, βασανίζεται.

«Ἕως οὐ μὴ σκοτισθῇ ὁ ἥλιος, καὶ τὸ φῶς, καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψωσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ, ἐν ἡμέρᾳ ᾗ ἂν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἠργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς, καὶ κλείσουσι θύραν ἐν ἀγορᾷ ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης.» Ἤκουσά τινος καὶ περὶ τῆς μερικῆς ἑκάστου συντελείας διηγουμένου τὰ εἰς τὸν τόπον· καὶ ἑτέρου περὶ τῆς καθόλου συντελείας· καὶ ἄλλου πρὸς ὑψηλοτέραν θεωρίαν ἀνάγοντος τὰ γεγραμμένα. Ἅπαντα δὲ ὑμῖν συντόμως ἐκθήσομαι. Φρόντισον, φησὶν, ὦ νουθετούμενε, ἕως ἔχεις αὐτεξούσιον θέλημα, καὶ δύνῃ πρὸς ἀρετὴν ῥέψαι τῆς σαυτοῦ σωτηρίας. Μετὰ γὰρ τὸν παρόντα βίον οὐχ ὡς θέλεις, ἀλλ' ὡς οὐ βούλει, κολάζῃ. Φρόντισον οὖν σαυτοῦ πρὸ τῆς σῆς τελευτῆς, πρὶν ἂν σκοτωθῇ σοι ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ τὰ ἄστρα, ἅπερ ἐν τῇ ἑκάστου τελευτῇ συμβαίνει, ἀορασίᾳ κατεχομένου, καὶ πρὶν εἰς τὸ συγγενὲς ὕδωρ καὶ εἰς τὴν γῆν ἀναλυθῇς. Τὸ γὰρ νῦν οἷα νέφος ἐπικείμενον τῇ ψυχῇ σῶμα εἰς τὰ συγγενῆ στοιχεῖα ἀναλύεται, τὴν γῆν καὶ τὸ ὕδωρ. Ἐν δὲ τῇ ἡμέρᾳ τῆς τελευτῆς, καὶ *τῆς οἰκίας* οἱ φύλακες, τουτέστι τῆς ψυχῆς, σαλεύονται, καὶ *διαστρέφονται* οἱ εὔτονοι λογισμοί· ἄνδρες τῆς δυνάμεως ὀνομασθέντες, ἀγωνιῶντες τὴν φοβερὰν τοῦ σώματος ἔξοδον. Δυνατὸν δὲ καὶ *φύλακας οἰκίας* τοὺς αἰσθητοὺς ὀφθαλμοὺς νοῆσαι, ἀποτιθεμένους τὴν ὀπτικὴν δύναμιν ἐν καιρῷ τελευτῆς. Τότε καὶ αἱ *ἀλήθουσαι* ἀργοῦσιν, οἱ ὀδόντες οἱ καταλεαίνοντες τὴν τροφήν· οὐχ ὅτι πάντως κατὰ ἀριθμὸν ὀλιγοῦνται, ἀλλ' ἀντὶ τοῦ, τὴν οἰκείαν ἐνέργειαν ἀποθήσονται. Καὶ αἱ κόραι δὲ τῶν ὀφθαλ-

tas mea in eis.» Hoc loco in memoriam nobis revocat divinum judicium, et ait, tanquam libero arbitrio præditus: *Remove iram a corde tuo*; potes enim, cum eis præditus ratione, iracundiam frenare. Malignitatem vero carnis accipit pro omni peccato. Nam et Apostolus, opera carnis peccata appellat [20]. **673** Præcipua vero malignitas carnis est ipsa libido; passiones vero quas dicimus, sunt motus inconstantis animi ac juvenilis. Animo autem juvenili, amentia fere plerumque annexa est, quæ nihil est aliud quam mera vanitas. Inquit ergo: Si velis exuere hunc juvenilem animum, et petulantis superbiæ motum freno compescere, indelebilem Dei memoriam conservato. Dies autem adolescentiæ præsentis vitæ dies significant: vere, stultitiæ dies, si ad perfectionem comparentur futuræ vitæ. Si enim in præsenti vita memoriam Dei abjeceris, incumbit tibi tempus punitionis, quod diem vocat afflictionis, cum peccatores tunc puniendi sint; et tunc *dices: Non est voluntas mea in ipsis.* Nullus enim cum torquetur tormentis carere nollet. Qui ergo in hac vita non secutus Domini præcepta sed suas cupiditates, ex amentia et animi imperfectione facit ea quæ vult: in tempore punitionis torquetur, ita ut non vult.

Vers. 2-4. «Antequam obtenebrescat sol, et lumen, et luna, et stellæ, et revertantur retro nubes a pluvia, in die in quo commovebuntur custodes domus, et in obliquum depravati fuerint viri fortitudinis, et cessaverint molentes, quoniam ad paucitatem redactæ fuerint, et obtenebrescent quæ aspiciunt per foramina, et occludent januas in platea in infirmitate vocis molentis.» Audivi quempiam qui verba loci hujus putaret ad particularem uniuscujusque interitum pertinere: alium, qui ad universalem mundi consumptionem; alium item, qui ad altiorem sensum referret; quæ omnia paucis omnino vobis explicabo. Orationem convertit Ecclesiastes ad eum quem admonendum suscepit; aitque: Rationem habeto tuæ salutis, eamque curato diligenter, donec uti potes libero voluntatis arbitrio, integrumque tibi est ad virtutem accedere. Post hanc etenim vitam tibi accidet non sicuti vis, sed torqueberis sicuti non vis. Rationem itaque tui habeto ante obitus diem, antequam scilicet tibi sol obtenebrescat, et luna, et stellæ: hujuscemodi enim tenebræ unicuique contingunt in extremo vitæ obitu. Tu itaque curato salutem tuam, priusquam in aquam terramque solvaris. Corpus enim hoc nostrum quod veluti nubes quædam videtur animæ superincumbere ac superpositum esse, defunctis nobis, in similia elementa resolvitur, aquam scilicet atque aerem. In ipso etiam mortis die, *domus*, hoc est, animæ, custodes commoventur, et *obliquum* declinant ac remittuntur, quæ prius rectæ ac intensæ fuerant rationis vires, quæ hoc loco (viri fortitudinis) nuncupantur: dolent enim ac conturbantur in ipso formidabili a

[20] Galat. v, 19.

Digitized by Google

corpore nostro exitu. Possunt et *custodes domus* intelligi, corporis nostri materiales oculi ac sensibiles, qui in mortis articulo, contuendi vires exstingui sentiunt. Tunc etiam *molentes* otiosi sunt : hoc est, dentes ipsi ac molares qui inditos ori cibos molunt atque comminuunt ; non quod prorsus numero pauci fiant, sed quia ad paucitatem virtutis officiique deveniant. **674** Pupillæ quoque oculorum, quæ veluti per foramina quædam prospiciunt, tenebris obducuntur, cum meatus omnes et operationum viæ quibus usi sumus in vita, penitus occluduntur. Incipit enim tunc homo tenui vocis filo ac infirma voce vix et ægre loqui cum in extremo respirat. Antequam te hæc mortis incommoda comprehendant, cura ut in officio sis, opererisque virtutem. Aliter, ad universalem mundi fidem ita hæc accommodare poteris. Sicuti per verbum Dei, creatura mundi creata est : ita et divino jussu quandoque resolvetur. Cum enim ad sæculorum finem mundus pervenerit, supervacuus erit usus luminarium, tunc pluvia opus non erit quæ irriget terram, sed nubes quodammodo a pluvia retro convertentur, hoc est, pluviam nullam dabunt, vel cum pluvia pariter solventur, et evanescent, cum neque nubium, neque imbrium usus aliquis sit futurus : vel tunc in aliud ministerium Domino Deo obedient, vehicula fortasse gestandis sanctis effecta. Tunc et *custodes domus commovebuntur* ; hoc est, sancti, fortitudinis viri hoc loco nuncupati : qui tunc in obliquum paulisper declinabunt et secedent propter Antichristum, non quod penitus rectitudinem justitiæ remissuri sint aut casuri. Ipsi enim sunt custodes Ecclesiæ et mundi hujus, quorum præsidio consistit et conservatur. Tunc et *molentes redigentur ad paucitatem*. *Molentes* pro ipsis Judæis accipiendi sunt, qui tanquam in pistrino molentes, grave legis jugum laboriosumque pertrahunt. Redigentur ad paucitatem, quia, præter paucos, cæteri omnes ad fidem Christi conversi erunt. Tunc enim salvus erit omnis Israel : hoc est, plurimi ex Israel. Tunc pauci illi qui ad fidem Christi non accesserint, qui nunc dici possunt modicum quid *per foramina* litteræ legalis aspicere, cæcitate ultima caligabunt et tenebrescent, cum in ipso errore penitus fuerint confirmati, et viventes in obstinatione et contumacia januam salutis sibi ipsis occluserint. Plateam vero sive forum, pro præsenti vita intellige. Illud autem patiuntur Judæi quod superius dictum est, eo quod permanserint contumaces in infirmitate vocis molentis, hoc est, legalis litteræ. Gravis enim lex est atque etiam debilis et infirma, cum justificare neminem possit : sicut et Apostolus inquit : *Infirmitas enim legis, in qua infirmata est propter carnem* [21], et quæ sequuntur.

« Et consurget ad vocem passerculi vel aviculæ, et humiliabuntur omnes filiæ cantici, [VERS. 4] et ab altitudine videbunt et stupore in via. » Hoc loco sapiens noster Ecclesiastes loquitur de extremo judicii die, quando mortui consurgent *in jussu et voce tubæ archangeli* [22]. Jussu autem passeris, hoc est, Verbi quod carneum corpus assumpsit, qui propter solitariam suam in cruce mansionem de seipso dixit per prophetam David : *Factus sicut passer solitarius in tecto* [23]. Tunc *humiliabuntur filiæ cantici* : hoc est, animæ rationales mortalium hominum, quæ in de-

μῶν αἱ ὡς δι' ὀπῶν βλέπουσαι, σκότῳ περιβάλλονται, ἀποκλειομένης πάσης πορείας ἐν τῷδε τῷ βίῳ, ὅταν ἄρξηται ἀσθενῆ καὶ ἀμυδρὰ φθέγγεσθαι, διὰ τῆς φωνῆς τῆς διὰ τῶν ὀδόντων ἐξηχουμένης, ὁ τὰ τελευταῖα ἀναπνέων. Πρὶν οὖν ἐν τῇ τελευτῇ ταῦτά σε καταλαβεῖν, ἐργάζου τὴν ἀρετήν. Ἄλλως· Ἐν τῇ γενικῇ συντελείᾳ, ὥσπερ διὰ τοῦ λόγου τοῦ Θεοῦ ἡ κτίσις συνέστη, οὕτω καὶ διὰ τοῦ θείου προστάγματος ἀναλύεται. Συντελουμένου γὰρ τοῦ αἰσθητοῦ κόσμου, περιττὴ τῶν φωστήρων ἡ χρεία· τότε δή, τότε οὐδὲ τῶν ὑετῶν ἐστι χρεία τῶν κάτω δευόντων τὴν γῆν· ἀλλὰ τρόπον τινὰ ἀποστρέφουσιν αἱ νεφέλαι ὀπίσω τοῦ ὑετοῦ, ἀντὶ τοῦ, οὔτε ὁμβροτοκοῦσιν, οὔτε τὸν ὑετὸν καταστάζουσιν, ἢ καὶ αὐτῷ συναναλύονται τῷ ὑετῷ· οὔτε γὰρ ὑετῶν οὔτε νεφελῶν χρεία. Εἰ δὲ εἰς ἑτέραν τῷ Δημιουργῷ χρείαν ὑπηρετοῦσιν, ἴσως ὀχήματα τοῖς ἁγίοις γινόμενα· τότε καὶ *σαλεύονται οἱ φύλακες τῆς οἰκίας*, ἅγιοι ἄνδρες τῆς δυνάμεως λεχθέντες, διαστρεφόμενοι μὲν ὑπὸ τοῦ Ἀντιχρίστου, οὐ μὴν ἐξατονοῦντες ἢ καταπίπτοντες. Αὐτοὶ γάρ εἰσιν οἱ φύλακες τῆς τε Ἐκκλησίας, καὶ τοῦδε τοῦ κόσμου, δι' οὓς καὶ συνίσταται. Τότε *ὀλιγοῦνται καὶ αἱ ἀλήθουσαι· ἀληθούσας* δὲ τοὺς Ἰουδαίους ἐκληπτέον, τοὺς τὸν βαρὺν καὶ ἐπίμοχθον ζυγὸν ἕλκοντας τοῦ νόμου. Ὀλιγοῦνται δὲ, διὰ τὸ πάντας, πλὴν ὀλίγων, δεδραμηκέναι τῇ πίστει τοῦ Χριστοῦ. Τότε γὰρ πᾶς Ἰσραὴλ σωθήσεται, ἀντὶ τοῦ, οἱ πλείονες. Τότε αὐτοὶ οἱ ὀλίγοι οἱ μὴ προσδεδραμηκότες τῇ πίστει, οἱ νῦν ὡς δι' ὀπῶν διὰ τοῦ νομικοῦ γράμματος βλέποντες, τελείως σκοτίζονται, τῇ ἐνεργείᾳ τῆς πλάνης πεισθέντες, καὶ ἀποκλείσαντες ἑαυτοῖς ἐν τῷδε τῷ βίῳ τὴν θύραν τῆς σωτηρίας. Ἀγορὰ γὰρ ὁ παρὼν ὠνομάσθη βίος. Τοῦτο δὲ πάσχουσι διὰ τὸ ἐναπομεῖναι ἐν τῇ ἀσθενείᾳ τῆς φωνῆς τῆς ἀληθούσης, τουτέστι τοῦ νομικοῦ γράμματος. Βαρὺς γὰρ ὁ νόμος καὶ ἀσθενής, μηδένα δυνάμενος τελειῶσαι, ὡς καὶ ὁ Ἀπόστολός φησι· *Τὸ γὰρ ἀσθενὲς τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός*· καὶ τὰ ἑξῆς.

« Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος· καὶ γε ἀπὸ ὕψους ὄψονται καὶ θάμβους ἐν τῇ ὁδῷ. » Ἐνταῦθα σοφὸς περὶ τῆς καθόλου ἀναστάσεώς φησι, ὅτε οἱ νεκροὶ ἀνίστανται *ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου*. Κελεύσματι δὲ τοῦ στρουθίου, τοῦ ἐνανθρωπήσαντος Λόγου, ὃς διὰ τὴν ἐν σταυρῷ μόνωσιν ἔλεγε, *Ἐγενήθην ὡς στρουθίον μονάζον ἐπὶ δώματος*. Τότε *ταπεινοῦνται αἱ θυγατέρες τοῦ ᾄσματος*, αἱ ἐν τῷδε τῷ βίῳ τρυφήσασαι, καὶ σπαταλήσασαι καὶ τῇ φωνῇ τῶν ὀργάνων καὶ τῶν ᾀσμα-

[21] Rom. VIII, 3. [22] I Thess. IV. 15 ; I Cor. XV, 52. [23] Psal. CI, 8.

Digitized by Google

τῶν ἐπικροτήσασαι ψυχαὶ, ἢ καὶ αἱ τῶν ψευδοδιδασκάλων, αἳ τῇ καλιῤῥημοσύνῃ καὶ ἀπάτῃ δίκην ᾄσματος τοῖς λόγοις χρώμεναι, ἡδονὴν ὀλεθρίαν ἐποίουν τοῖς ἀκούουσι. Καὶ αἱ τῶν Ἰουδαίων δὲ ψυχαὶ, θυγατέρες οὖσαι τοῦ ᾄσματος, ταπεινοῦνται, ὅτι μὴ ἤκουσαν ᾀδόντων τῶν προφητῶν· *Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ·* καὶ ὅσα τοιαῦτα. Αὗται δὲ πᾶσαι αἱ προειρημέναι τῶν ἁμαρτωλῶν ψυχαὶ, τάχα δὲ αἱ τῶν δικαίων ἐκθαμβαὶ γίνονται, ὅταν ἀπάγωνται ἐν τῇ ὁδῷ· καὶ ὁρῶντες ἀπὸ τοῦ ὕψους ἐρχόμενον ἐπὶ τῶν νεφελῶν Υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ.

A liciis et in voce organi, **675** et cantus suavitate musicisque instrumentis oblectatæ nimirum fuerint. Aut animas intellige falsa docentium magistrorum ac mendacium prophetarum, quæ sonora volubilitate verborum quasi dulci quodam cantico, perniciosa voluptate occuparint aures et animam auditorum. Sed et ipsæ Judæorum animæ, quæ filiæ sunt cantici prophetarum, humiliabuntur, quoniam non audierunt canentes prophetas et vocantes eas ad fidem Christi, sicut cecinit Isaias : *Cantabo dilecto canticum dilecti* [24]; et quæ sunt generis ejusdem. Omnes itaque prædictæ peccatorum animæ sed fortasse et justorum animæ admirabuntur et obstupescent, quando adducentur in viam judicii, et videbunt ex alto venientem in nubibus Filium hominis in gloria Patris sui.

« Ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρὶς, καὶ διασκεδασθῇ ἡ κάππαρις. » Τὸν ἐνεστῶτα βίον B νοήσας ὁ Σολομὼν, κατὰ τὸ ἐν τοῖς Ἄσμασι φερόμενον. *Ὁ χειμὼν παρῆλθε.* Ἔαρ, τοῖς δικαίοις ἀναλάμποντα τὸν μέλλοντα βίον ἔφη, ἐν οἷς ἐπάγει·

Vers. 5. « Florebit amygdalus, et pinguescet locusta, et dissipabitur capparis. » Cum præsentem vitam animo Salomon reputaret, in Cantico canticorum inquit, *Hiems transiit* [25], tristitiam vitæ hujus ac turbulentiam denotans. Ver autem nominavit futuram in splendore gloriæ vitam justorum; sequitur enim :

« Τὰ ἄνθη ὤφθησαν ἐν τῇ γῇ ἡμῶν. » Τὸ αὐτὸ τοίνυν κἀνταῦθα ἐπορεύθη ἑαυτῷ, καί φησιν ὅτι τότε *ἀνθεῖ τὸ ἀμύγδαλον, καὶ παχύνεται ἡ ἀκρὶς, καὶ διανοίγεται ἡ κάππαρις·* οὕτω γὰρ ἕτερος τῶν ἑρμηνευτῶν ἐκδέδωκε. Ταῦτα δὲ πέφυκε ἐν τῷ ἔαρι γίγνεσθαι. Φησὶ οὖν ὅτι ὁ μέλλων βίος ἔαρι ἔοικε. Ἄλλως· Φασὶν οἱ περὶ ταῦτα ἠσχολημένοι, πρὸ πάντων δένδρων ἀνθεῖν τὸ ἀμύγδαλον, καὶ μετὰ πάντα ἀποβάλλειν τὰ φύλλα, ὡς εἶναι τρόπον τινὰ τὸ φυτὸν ἀειθαλές. Ἴσμεν δὲ ὅτι τὸ ἀμύγδαλον τοῦτο δὴ τὸ κάρυον τριπλοῦν ἐστι τὴν φύσιν· τότε γὰρ ἔξωθεν ἔχει λέπος, καὶ μετὰ τοῦτο τὸ ὀστρακῶδες, εἶτα ἔνδοθεν τὸ ἐδώδιμον. Τοιοῦτος δὲ καὶ ὁ ἄνθρωπος, ἐκ σώματος, καὶ πνεύματος, καὶ ψυχῆς συνεστώς. Τότε οὖν, φησὶ, ἀνθοῦσιν οἱ δίκαιοι, δίκην ἀμυγδάλων, ὁλόκληρα δικασώζοντες καὶ ψυχὴν, καὶ σῶμα, καὶ πνεῦμα. Ἄλλως· Ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καρυΐνη τε ἦν, καὶ κάρυά γε ἤνεγκε, τῆς ῥάβδου τῆς ἐκ τῆς ῥίζης Ἰεσσαὶ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τύπον ἐπέχουσα. Φησὶ οὖν ὅτι ἐν τῷ μέλλοντι αἰῶνι ὁ ἱερατικὸς ἀνθεῖ λόγος, τὰ τέλεια μαθήματα τοῖς ἀξίοις παραδιδούς. Τῶν δὲ δικαίων ἐν τούτοις ὄντων, φησὶ, *ἡ ἀκρὶς παχύνεται·* ἀντὶ τοῦ, τροφὴν ἡ κόλασις δίδωσι τοὺς ἁμαρτωλοὺς, καὶ τρόπον τινὰ παχύνεται. Ἡ γὰρ ἀκρὶς κολάσεως φέρει σύμβολον· διὰ γὰρ ταύτης ὁ Θεὸς τοὺς Αἰγυπτίους ἐκόλασε. Τούτων δὲ οὕτως πραττομένων, καὶ τῶν μὲν δικαίων ἀνθούντων τότε, κολαζομένων δὲ τῶν ἁμαρτωλῶν, *διασκεδάννυται καὶ ἐξαφανίζεται ἡ κάππαρις,* πικρά τις οὖσα, καὶ σύμβολον τῆς ὀδυνηρᾶς ἁμαρτίας. Ἡ γὰρ κακία ἀνύπαρκτος οὖσα, καὶ εἰς ἀνυπαρξίαν πάντως χωρήσει.

« Florebunt visi sunt in terra nostra. » Idem ergo nunc sibi in mentem venit, atque ait, quod tunc in gloria resurrectionis *florebit amygdalus, pinguescet locusta, et aperietur capparis*, ita enim alius interpres edidit. Hæc autem omnia vere ipso proveniunt. Ait ergo futuram vitam vernо tempori esse maxime comparandam. Aliter : Qui agriculturæ sunt periti, aiunt ante cæteras arbores efflorere amygdalum, et reliquarum postremam folia exuere, ut videatur quodammodo frondibus virere perpetuis. Scimus autem nuces amygdalas triplices esse; nam extrinsecus viridem corticem ligneæ testæ sive duriori putamini impositum habent, cui nucleus inest quem comedimus. Talis vero est homo e corpore, anima spirituque compositus. Inquit ergo : Tunc florebunt justi sicut amygdali, habentes in vigore et gloria corpus, animam et spiritum. Aliter : Virga Aaron, quam germinasse credimus, nucea erat, et nuces protulit, gerens signum Salvatoris Domini Jesu Christi qui virga fuit egressus e radice Jesse. Ait ergo quod in futuro sæculo sacer florebit sermo, dignis auditoribus perfectam tribuens doctrinam. Justis igitur in gaudio constitutis, *locusta pinguescet*, hoc est, peccatorum corpora depascetur infernus, ita ut pinguescere videatur. Locusta enim hoc loco supplicium figurat et pœnam, quia locustis Deus Ægyptios castigavit. In hoc itaque statu rebus constitutis, florentibus, inquam, justis, peccatoribus autem traditis ad æternum supplicium, *dissipatur capparis et evanescit* : quæ cum amarorem quemdam et salsedinem habeat, anxietatem figurat sollicitudinemque peccati. Ipsum vero peccatum, privatio quædam cum sit, neque revera subsistat, in nihilum redigetur, atque cessabit, cum homines exacto judicio, amplius in hoc mundo peccaturi non sint.)

« Ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ. » *Οἴμοι,* φησὶν ὁ Δαυὶδ, *ὅτι ἡ παροικία μου*

676 « Quoniam profectus est homo in domum æternitatis suæ. » Inquit propheta David : *Hei mihi*

[24] Isa. v, 1. [25] Cant. II, 11.

Digitized by Google

quia incolatus meus prolongatus est[26], non perpetuam habitationem, sed incolatum vocans præsentem vitam. Tunc ergo (inquit) commigrans homo e præsenti incolatu, in æternam suam domum, hoc est, futurum sæculum, perveniet.

A ἐμακρύνθη, οὐκ οἴκησιν, ἀλλὰ παροικίαν τὸν ἐνεστῶτα βίον λέγων. Τότε οὖν, φησί, μεταστὰς ἐκ τῆσδε τῆς παροικίας ὁ ἄνθρωπος, εἰς τὸν αἰώνιον αὐτοῦ οἶκον, τὸν αἰῶνα τὸν μέλλοντα, πορεύεται.

« Et circumierunt in foro plangentes. » Tunc et qui fuerunt in hac vita peccatores, plorabunt et se percutient. Forum vero sive platea, præsens dicitur vita, propter crebras in ea negotiationes et commercia.

« Καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι. » Τότε καὶ οἱ ἐν τῷδε τῷ βίῳ ἁμαρτωλοὶ κλαίουσι καὶ κόπτονται. Ἀγορὰ δὲ ὅδε ὁ βίος ἐλέχθη, διὰ τὰ ἐν αὐτῷ συναλλάγματα.

Vers. 6. « Quousque non evertatur funiculus argenti. » Orationem convertit ad auditorem, quem admonendum suscepit, aitque : Cura, adolescens, ut piis operibus tuaque probitate severum venturum judicem tibi placabilem reddas atque demuloeas, antequam per supremam judicis flammam deleantur hujus mundi divitiæ, funiculusque avaritiæ scindatur, qui materiam præbet omnibus peccatis ad homines implicandos; radix enim malorum omnium avaritia perhibetur[27]. Antequam igitur excedas ab hac vita in qua viget dolosa pecunia et avaritiæ studium, dispone omnes operationes tuas ut securus judicii futuri egredi possis.

« Ἕως οὗ μὴ ἀνατραπῇ σχοινίον τοῦ ἀργυρίου. » Πρὸς τὸν παραινούμενον ὁ λόγος. Σπούδασον, φησὶ, ὦ νεανίσκε, ἀγαθοεργίᾳ μειλίξασθαι τὸν κριτὴν, πρὶν ἀνατραπῆναι τὸν πλοῦτον, καὶ τὸ τῆς φιλαργυρίας σχοινίον, τὸ πάσαις ἁμαρτίαις καταδεσμεῦον· B ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία. Πρὶν οὖν τόνδε τὸν βίον παρελθεῖν, ἐν ᾧ χρημάτων ἀπάτη, καὶ φιλαργυρίας ἔρως, εὐτρέπισόν σου τὰ ἔργα πρὸς τὴν ἔξοδον.

« Et antequam conteratur flos auri. » Florem auri, pulchritudinem intellige vel arcam repositoriumque in quo aurum repositum asservamus. Ait ergo : Antequam pretiosa mundi hujus supellex dispereat, accede ad virtutem. Aliter : Argentum plurimis in Scripturæ locis pro divino sermone accipitur, aurum vero pro intellectu ac mente. Florem vero auri, intelligimus animæ nostræ principale. Ita igitur verba hæc exponenda : Antequam C transeat tibi doctrina sacræ Scripturæ, quæ instar triplicis funiculi ac flagelli malas nostras affectiones vitiaque depellit, dum potes cerebrum tuum purgare, donecque es in vita, multam tui rationem habeto.

« Καὶ συντριβῇ τὸ ἄνθεμιον τοῦ χρυσίου. » Ἀνθέμιον, ἢ τὸ ἄνθος, καὶ ἡ ὡραιότης τοῦ χρυσίου, ἢ καὶ ἡ θήκη, ἐν ᾗ πεφύκαμεν ἀποτίθεσθαι τὸ χρυσίον. Πρὶν οὖν, φησὶ, τὰ τῇδε παρέλθῃ πράγματα, μέτελθε τὴν ἀρετήν. Ἄλλως· Ἀργύριον πολλαχοῦ τῆς Γραφῆς ὁ θεῖος εἴρηται λόγος· χρυσὸν δὲ ἐκλαμβάνομεν τὸν νοῦν· ἀνθέμιον δὲ χρυσίου τὸ ἐν ἡμῖν ἡγεμονικόν. Πρὶν οὖν, φησὶ, παύσηται ὁ λόγος ὁ διδασκαλικὸς, ὁ δίκην τριπλόκου σχοινίου, ἤτοι φραγελλίου τὰ ἐν ἡμῖν ἀπελαύνων πάθη, δι' οὗ δύνῃ καθᾶραι τὸ ἐν σοὶ ἡγεμονικόν· ἀντὶ τοῦ, ἕως εἶ ἐν τῷδε τῷ βίῳ, πολλὴν σαυτοῦ ποίησον ἐπιμέλειαν.

« Et antequam conteratur hydria super fontem. » Hoc loco Ecclesiastes noster philosophatur de massa ac globo humani corporis. Ne quis enim putaret hoc corpus nostrum quod in morte resolvitur, in nihilum perpetuo abiturum esse, symbolice nobis ostendit suam reparabilem perennitatem. Sicut enim hydria juxta fontem attrita, aqua non perit nec evanescit, sed in fontem suum revertitur, rursusque cum quis voluerit, aquam poterit haurire de fonte : ita et corpus quod in elementa resolvitur, in fontem suum (terram videlicet ipsam) redit paratum iterum in membra componi, quando Auctor ille voluerit qui ab initio illud plasmavit. Aliter : Aqua hydriæ in fonte non perit, sed ad suam plenitudinem integritatemque accedit in fonte ipso exsistentem. Quando igitur quod ex parte, evacuatum fuerit, juxta Apostolum[28], tunc veniet quod perfectum est. Particularis itaque hæc nostra cognitio quæ nunc nobis inest, tunc perfectionem suam accipiens, erit velut aqua hydriæ ad plenitudinem fontis deveniens, fonti parte tunc addita qua fons prius carebat.

« Καὶ συντριβῇ ἡ ὑδρία ἐπὶ τῆς πηγῆς. » Ἐνταῦθα φιλοσοφεῖ περὶ τοῦ ἀνθρωπίνου φυράματος. Ἵνα γὰρ μή τις νομίσῃ εἰς ἀνυπαρξίαν χωρεῖν τὸ σῶμα διαλυόμενον, διὰ συμβόλου διδάσκει τὴν αὐτοῦ παραμονήν. Ὥσπερ γὰρ ὑδρίας πρὸς τῇ πηγῇ συντριβομένης, τὸ ὕδωρ οὐκ ἀπόλλυται, ἀλλ' εἰς τὴν ἑαυτοῦ πηγὴν ἔρχεται· καὶ πάλιν ὅταν τις ἐθέλῃ, τοῦτο ἐξαντλεῖ· οὕτω καὶ τὸ σῶμα διαλυόμενον ἐπὶ τὴν ἑαυτοῦ πηγὴν (τὴν γῆν) ἐπάνεισιν, ἕτοιμον ὂν πάλιν D συστῆναι, ὅταν ὁ τὴν ἀρχὴν αὐτὸ διαπλάσας βούληται. Ἄλλως τὸ τῆς ὑδρίας ὕδωρ εἰς τὴν πηγὴν ἐκχεόμενον οὐκ ἀπόλλυται, ἀλλὰ μετὰ τοῦ πληρώματός ἐστι τοῦ ἐν τῇ πηγῇ. Ὅταν οὖν ἐκ τοῦ μέρους καταργηθῇ, κατὰ τὸν Ἀπόστολον, τότε τὸ τέλειον ἔρχεται. Ἡ οὖν μερικὴ γνῶσις ἡ νῦν ἐν ἡμῖν οὖσα, τότε τὴν τελειότητα προσλαβοῦσα, ὡς ὕδωρ ἐστὶ ὑδρίας ἐν ὅλῃ πηγῇ, τὸ μέρος προσλαβοῦσα, ἥγουν τὴν τελειότητα.

677 « Et convolvatur rota super lacum. » Aliis eamdem sententiam verbis expressit. Convolvi enim

« Καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον. » Κατὰ ἑτερολεξίαν τὸ αὐτὸ νόημα ἔφησε. Συντροχάσαι

[26] Psal. cxix, 5. [27] I Tim. vi, 10. [28] I Cor. xiii, 10.

Digitized by Google

γάρ ἐστι τὸν τροχὸν ἐπὶ τὸν λάκκον, τὸ κλασθῆναι τὸν τροχὸν, καὶ πεσεῖν ἐν τῷ λάκκῳ, μετὰ τοῦ κεραμίου τοῦ ὕδατος. Τροχὸν δὲ λέγει τὸν ἐπικείμενον τῷ λάκκῳ, δι' οὗ ποιοῦνται τὴν ἀνίμησιν. Ὁμοίως δὲ κάνταῦθα τὸ ὕδωρ ἐπὶ τὸν λάκκον ἐχχεῖται. Ἄλλως· Τροχὸς ὅδε ὁ βίος καλεῖται, διὰ τὸ κινεῖσθαι, καὶ κυλίεσθαι, κατὰ τό· *Φωνὴ τῆς βροντῆς ἐν τῷ τροχῷ*. Πρὶν οὖν, φησὶ, κυλιόμενος οὗτος ὁ τροχὸς, ἀντὶ τοῦ, ὁ βίος, ἀποκυλίσῃ ἡμᾶς εἰς τὸν λάκκον, τῆς ἑαυτῶν σωτηρίας φροντίσωμεν. Λάκκος δὲ ὁ ᾅδης ὠνομάσθη, κατὰ τό· *Ἔσωσάς με ἐκ λάκκου κατωτάτου, καὶ ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.*

A rotam super lacum, est, rotam convolvendo infringi ac decidere in lacum sive cisternam una cum aquali testaceo. Rotam enim hoc loco accipit cisternæ vel puteo appositam, qua solet aqua hauriri. Similiter autem hic quoque aquam intelligit in lacum deferri, sicut superius suum in fontem. Aliter, rota accipitur pro nostra hac vita, ob ipsas revolutiones ac motus, juxta illud : *Vox tonitrui tui in rota*[29]. Inquit ergo : Antequam rota hujus vitæ nos secum præcipites devolvat in lacum, propriam curemus salutem. Lacus vero pro inferno accipitur, juxta quod alibi dicitur : *Salvasti me de lacu inferiori, et a descendentibus in lacum*[30].

« Καὶ ἐπιστρέψῃ ὁ χοῦς εἰς τὴν γῆν, ὡς ἦν. » Πρὸς γὰρ τὸ συγγενὲς στοιχεῖον ἀναλύεται τὸ σῶμα, κατὰ τὸ, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.*

B

Vers. 7. « Et antequam revertatur pulvis in terram, sicut erat. » Corpus namque nostrum in affine sibi elementum, terram, solvitur, juxta illud, *Terra es, et in terram reverteris*[31].

« Καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν Θεὸν, ὃς ἔδωκεν αὐτό. » Τὸ πνεῦμα εἰ μὲν λέγοιτο μετὰ ψυχῆς, τὸ συνεζευγμένον τῇ ψυχῇ τὸ πνεῦμα νοοῦμεν· εἰ δὲ ἁπλῶς οὕτως ὥσπερ νῦν, αὐτὴν τὴν ψυχὴν νοοῦμεν τὸ πνεῦμα. Τοῦ οὖν σώματος, φησὶ, εἰς τὴν γῆν ἀναλυομένου, ἡ ψυχὴ πρὸς τὸν Θεὸν ἐπανέρχεται, τῶν βεβιωμένων τοὺς λόγους ἀποδώσουσα, ὃς ἐποίησεν αὐτήν. Οὐ γὰρ ἀπὸ γῆς ἡ τοῦ ἀνθρώπου ψυχή· ἀλλ' ὡς αὐτὸς οἶδε μόνος ὁ ταύτης Δημιουργὸς, καὶ συνίσταται, καὶ συνδεσμεῖται τῷ χοϊκῷ τούτῳ σώματι, ὡσπεροῦν καὶ ἐξάγεται ὑπὸ μόνου τοῦ συνδήσαντος.

« Et spiritus revertatur ad Deum qui dedit illum. » Spiritus si cum animæ vocabulo conjunctus legatur, potiorem animi vim, hoc est, intellectum mentemque significat; sin vero ita simpliciter et absolute positum invenias sine ulla mentione animæ, sicut hoc loco ponitur, pro anima ipsa positus intelligitur. Inquit ergo : Cum in terram corpus resolvitur, anima revertitur ad Deum, redditura rationem rerum quas gessit in vita Creatori suo. Neque enim de terra plasmata est anima nostra rationalis, sed talis exsistit qualem solus ille novit qui eam creavit, nostroque huic terreno corpori colligatur : sicut etiam et a corpore educitur cum illi soli placuerit qui eam corpori colligavit.

C

« Ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστὴς, τὰ πάντα ματαιότης· καὶ περισσὸν ὅτι ἐγένετο Ἐκκλησιαστὴς σοφὸς, καὶ ὅτι ἐδίδασκε γνῶσιν σὺν τὸν ἄνθρωπον. Καὶ οὖς ἐξιχνιάσεται κόσμιον παραβολῶν. » Τὸν πολλάκις ἀνωτέρω λόγον ἀναλαμβάνει, καὶ ἀποφαίνεται τὰ ἐν κόσμῳ πάντα ματαιότητα· καί φησιν, ὅτι τοῦτο περισσὸν ἔσχεν ὁ Ἐκκλησιαστὴς, ἀντὶ τοῦ, κατεξαίρετον καὶ ἴδιον, κτῆμα τῆς σοφίας· κτῆμα γὰρ ὄντως μόνου τοῦ σοφοῦ ἡ σοφία. Καὶ ὅτι ἐσχηκὼς ταύτην ἐφθόνησε τοῖς λοιποῖς ἀνθρώποις· ἀλλ' ἅπερ ἔμαθε ἐξ αὐτῆς, ταῦτα τοῖς ἀνθρώποις παρέδωκε· τήν τε γνῶσιν δηλαδὴ τῶν τε αἰσθητῶν καὶ νοητῶν. Εἶτά φησι, Καὶ ὁ ἔχων οὖς κεκαθαρμένον, δηλονότι οἷος ἦν ὁ λέγων, *Προσέθηκέ μοι ὠτὶ τοῦ ἀκούειν*, δύναται ἀνιχνεύειν τὰ κόσμια ἐν Παραβολαῖς λεγόμενα. Ἢ καὶ οὕτως· Ὁ ἔχων κόσμιον οὖς, κεχρυσωμένον ὑπὸ τοῦ λόγου, οἷον ἦν τὸ τῆς Ῥεβέκκας, τὸ δεξάμενον τὰ ἐνώτια τοῦ παιδὸς Ἀβραὰμ, δύναται ἀκούειν τὰ παραβολικῶς λεγόμενα.

D

Vers. 8-9. « Vanitas vanitatum, dixit Ecclesiastes, omnia vanitas; et amplius, quod fuerit ipse Ecclesiastes sapiens, et docuerit hominem scientiam. Et auris investigabit elegantiam parabolarum. » Repetit hoc loco quem superius persæpe usurpavit sermonem, asseritque omnia quæcunque sunt in mundo vanitatem esse : se vero ipsum nonnihil amplius quam cæteros homines accepisse, hoc est, egregiæ ac singularis sapientiæ propriam possessionem; sola namque sapientia solius est sapientis possessio. Ait præterea se hanc sapientiæ possessionem sine invidia cæteris communicasse hominibus : tam videlicet ea tradentem quæ ad sensibilium rerum spectant cognitionem, quam ea quæ a materia sejuncta intellectu solo percipiuntur. Tum subinfert, quod qui purgatam habuerit aurem, qualem videlicet ille qui dicit : *Apposuit mihi aurem ut audirem*[32], poterit facile investigare elegantias sententiarum quæ in Proverbiis continentur. Aut aliter ita intellige : Qui habuerit elegantem aurem ornatam inauribus verbi divini, qualem habuit Rebecca quæ accepit inaures a puero seu servo Abraham, hic poterit audire atque percipere quæ parabolice traduntur.

« Πολλὰ ἐζήτησεν ὁ Ἐκκλησιαστὴς τοῦ εὑρεῖν λόγους θελήματος, καὶ γεγραμμένους εὐθύτητος λόγους ἀληθείας. Λόγοι σοφῶν ὡς τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεπυρωμένοι, οἳ παρὰ τῶν συνταγμάτων ἐδόθη-

Vers. 10, 11. « Multum quæsivit Ecclesiastes ut inveniret sermones voluntatis, et scriptos rectitudinis sermones veritatis. **678** Verba sapientum sicut stimuli boum, et sicut clavi igniti, quæ ex con-

[29] Psal. LXXVI, 19. [30] Psal. XXIX, 4. [31] Gen. III, 19. [32] Isa. L, 4.

Digitized by Google

stitutionibus tradita sunt a pastore uno : et superfluum ex ipsis. » *Sermones voluntatis*, intelligit sermones conformes voluntati divinæ, quos quisquis secutus homo fuerit, percipiet gloriam vitæ ac felicitatis æternæ. Vel sermones intelligit mysteria continentes, de quibus ait Salvator in Psalmis David : *Ut facerem voluntatem tuam, Deus meus, volui*[33] ; voluntas autem fuit Patris, ut unigenitus Filius eius humanam carnem assumeret. Voluntatis itaque divinæ sermones, ipsiusque sapientiæ quæ et rectitudo et veritas jure optimo nuncupatur, quæsivi (inquit noster Ecclesiastes) ex iis monumentis quæ scripta prophetæ nobis reliquerunt. Neque enim satis est tantummodo voluisse, nisi et multo quoque studio perquiramus. *Qui* enim *quærit, invenit, et pulsanti aperietur*[34]. Hæc igitur cum quæsisset Ecclesiastes, cognovit quod verba prophetarum pieque de Deo sentientium Patrum, sunt persimilia stimulis boum. Sicut enim stimuli boves pungunt urgentque aratro sulcum proscindere, ita et theologorum verba excitant nos qui spe bona aramus, proscindere sulcum spiritualem, ut cum purgatus fuerit ager cordis nostri, pulchros in eo virtutis surculos conseramus. Similia quoque sunt clavis ignitis atque candentibus qui altius ac facilius lignis infiguntur : ita enim et sapientum verba theologorum, in penitissimos sinus intellectus nostri altius figuntur. Hæc autem verba *tradita sunt* nobis *ex constitutionibus;* alia vero exemplaria habent *compositionibus*. Constitutiones autem sive compositiones, intellige opera Dei quæ admirabili ac supremo ordine et harmonia disposita et constituta sunt : ex quibus proportione quadam ac similitudine ducimur in aliquam Dei opificis cognitionem. Poteris et constitutiones hoc loco accipere, utrumque Testamentum, Vetus scilicet ac Novum. Unde autem cognitio data est nobis ut et sensibilia specularemur, et intelligeremus quæ intellectualia sunt ? Ex *uno* nempe *pastore*. Quo autem ? qui scilicet et in cœlis et in terra rationales pascit creaturas; qui et dixit : *Ego sum pastor bonus*[35]. Sequitur autem : *Et superfluum ex ipsis.* Quodnam superfluum ? Ex harum scilicet rerum cognitione; ampla enim et permagnifica cognoscimus, ut puta, quod hæreditas nostra, vita æterna futura est : quod bonus ille Pastor dignatus est noster fieri magister ; et (quod denique in suprema felicitate locandum est) quod qui digni habiti sumus imperfecta hac cognitione quæ est ex parte dum vivimus, ad perfectum deinde in futuro sæculo veniemus, puri puriter a sancta consubstantiali Trinitate illustrandi.

σαν, ἐκ ποιμένος ἑνός· καὶ περισσὸν ἐξ αὐτῶν. » *Λόγους θελήματος* φησὶ τοὺς τοῦ θελήματος τοῦ Θεοῦ, καθ' οὓς πολιτευόμενος ἄνθρωπος τῆς αἰωνίου ζωῆς ἐπιλαμβάνεται· ἢ καὶ τοὺς μυστηριώδεις λόγους, περὶ ὧν ἔφησε ἐν ψαλμοῖς ὁ Σωτήρ, *Τοῦ ποιῆσαι, ὦ Θεός, τὸ θέλημά σου ἐβουλήθην*. Θέλημα δὲ ἦν τοῦ Πατρὸς ἡ τοῦ Μονογενοῦς ἐνανθρώπησις. Τοῦ θείου τοίνυν βουλήματος τοὺς λόγους, καὶ αὐτῆς τῆς σοφίας, ἥ τις εὐθύτης καὶ ἀλήθεια καλεῖται, ἐκ τῶν γεγραμμένων παρὰ τοῖς προφήταις, ἀνεζήτουν, φησίν· οὐ γὰρ ἁπλῶς θελῆσαι δεῖ μόνον, ἀλλὰ καὶ ἐπὶ πολὺ ζητῆσαι. *Ὁ γὰρ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.* Ταῦτα οὖν ζητῶν ὁ Ἐκκλησιαστὴς, ἔγνω ὅτι οἱ λόγοι τῶν θεοσεβῶν ἐοίκασι βουκέντροις. Ὥσπερ γὰρ τὰ βούκεντρα πλήττουσι τοὺς βόας, ἐπὶ τῷ τὴν αὔλακα τῷ ἀρότρῳ τέμνειν· οὕτω καὶ οἱ τῶν θεοσόφων ἀνδρῶν λόγοι διεγείρουσιν ἡμᾶς τοὺς ἐπ' ἐλπίδι ἀροτριῶντας, ἀνατέμνειν τῆς ψυχῆς τὴν αὔλακα, καὶ διακαθαίρειν, καὶ καταφυτεύειν τὰ καλὰ τῆς ἀρετῆς μοσχεύματα. Ἐοίκασι δὲ καὶ ἥλοις πεπυρωμένοις, οἵ τινες βαθύτερον καὶ εὐμαρέστερον τοῖς ξύλοις προσπήγνυνται· οὕτω καὶ οἱ τούτων λόγοι εἰς τὸ βαθὺ τῆς διανοίας ἡμῶν ἐγκαταπήγνυνται. Οὗτοι δὲ οἱ λόγοι, φησίν, *παρὰ τῶν συνταγμάτων ἐδόθησαν*· ἕτερα δὲ βιβλία *παρὰ τῶν συνθεσμάτων* ἔχουσι. Συντάγματα δὲ νόει, ἢ συνθέσματα, τὰ τοῦ Θεοῦ ποιήματα, τὰ ἀκροφυῶς συντεταγμένα, καὶ ἐναρμονίως συντεθέντα, ἐξ ὧν ἀναλόγως τὸν γενεσιουργὸν αὐτῶν καταλαμβάνομεν· καὶ συντάγματα, τὰς δύο Διαθήκας, Παλαιὰν καὶ Καινήν. Πόθεν δὲ ἡμῖν ἡ γνῶσις ἐδόθη τῆς τῶν αἰσθητῶν θεωρίας, καὶ τῆς τῶν νοητῶν καταλήψεως; Ἐκ *ποιμένος ἑνός*. Ποίου ποιμένος; τοῦ καὶ τὰ ἐν οὐρανοῖς, καὶ τὰ ἐπὶ γῆς λογικὰ ποιμαίνοντος, τοῦ φήσαντος· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός*. Ἀλλὰ, *Καὶ περισσὸν*, φησὶ, *ἐξ αὐτῶν*. Ποῖον τὸ περισσόν ; ἐκ τῆς τούτων γνώσεως, ὅτι ζωὴν αἰώνιον κληρονομοῦμεν, ὅτι καὶ αὐτὸν ἀξιούμεθα τὸν καλὸν Ποιμένα ἔχειν διδάσκαλον, καὶ ὅτι οἱ ταύτης τῆς γνώσεως ἐν τῷδε τῷ βίῳ καταξιωθέντες, καὶ τῆς τελείας γνώσεως ἐν τῷ μέλλοντι καταξιοῦνται, καθαροὶ καθαρῶς ὑπὸ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἐλλαμπόμενοι.

Vers. 12. « Fili, cave tibi a faciendis multis libris, quoniam non est finis ; et meditatio multa, carnis labor. » Multi libri multique sermones qui non tendunt ad unum eumdemque propositum finem, conturbant animam legentis atque confundunt. **679** Quotiescunque vero de vera religione sermonem quis faciat, tametsi in longum spatium temporis illum protrahat sicut divus apostolus fecit[36], qui in schola tyranni, trinoctium de mysteriis Christi

« Υἱὲ, φυλάσσου τοῦ ποιῆσαι βιβλία πολλὰ, ὅτι οὐκ ἔστι περασμός· καὶ μελέτη πολλὴ, κόπωσις σαρκός. » Πολλὰ βιβλία, καὶ λόγοι πολλοὶ οἱ μὴ πρὸς τὸν αὐτὸν σκοπὸν νενευκότες, οἱ τοιοῦτοι λόγοι καὶ ὀχληροὶ τυγχάνουσιν. Ὅταν μὲν γάρ τις τὸν περὶ ἀληθοῦς θεοσεβείας ἐκτιθῆται λόγον, κἂν ἐν πολλῷ τῷ χρόνῳ διαλέγηται, ὡς ὁ ἱερὸς ἀπόστολος ἐν τῇ σχολῇ τυράννου ἐπὶ τρεῖς νύκτας ἐδίδασκε τὰ περὶ τοῦ Κυρίου· οὗτος οὔτε πολλὰ λέγει, οὔτε ὀχλητικός

[33] Psal. xxxix, 9. [34] Luc. xi, 10. [35] Joan. x, 11. [36] Act. xx, 1 seqq.

Digitized by Google

ἐστι, ἀλλὰ καὶ ἀκόρεστος τοῖς ἀκούουσιν. Οὕτω καὶ τὰ τῶν θείων Γραφῶν βιβλία πολύστιχα τυγχάνοντα, οὐ πολλὰ λέγονται, ἀλλὰ νόμος Κυρίου· ἐπειδὴ εἷς ἀμφοτέρων τῶν Διαθηκῶν ὁ νομοθέτης, καὶ πρὸς ἕνα σκοπὸν ἅπαντα βλέπουσιν, ὡς καὶ αὐτὸς ἡμῶν ὁ Κύριος ἐδίδαξε, ὁ μέγας Ἐκκλησιαστής, ἡ σοφία τοῦ Πατρὸς, Ἀγαπήσεις, λέγουσα, *Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Ἐν γὰρ ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται.* Ὁρᾷς ἐν ἑνὶ λόγῳ τὰ πολυεπῆ βιβλία συγκεφαλαιούμενα, καὶ διὰ τοῦτο μὴ ὄντα πολλά; Ποῖα τοιγαροῦν ὁ Ἐκκλησιαστὴς ἀποτρέπει βιβλία ποιεῖν; Τὰ τῶν Ἑλλήνων, τῶν τὰς ἀλλήλων ἀνατρεπόντων δόξας, καὶ ἀκήρυκτον πρὸς ἑαυτοὺς ἐχόντων πόλεμον· τὰ τῶν αἱρετικῶν, τῶν ἀλλήλοις ἀντιμαχομένων· τὰς τῶν Ἰουδαίων δευτερώσεις τὰς ἀπεράντους καὶ μυθικάς. Ἑρμηνεύειν γὰρ σχηματιζόμενοι τὰς Γραφὰς, εἰς μύθους καὶ γενεαλογίας ἐξετράπησαν, καὶ παραδόσεις τινὰς οὐ κατὰ τὸ τοῦ νομοθέτου βούλημα. Ἡ ἐν τοῖς τοιούτοις βιβλίοις πολλὴ μελέτη κόπωσίς ἐστι σαρκὸς, μόνον τὸ σῶμα ταλαιπωροῦσα, καὶ καρπὸν μηδένα φέρουσα. Ἡ δὲ περὶ τὰ θεῖα βιβλία μελέτη περὶ ἣν ἡμᾶς ἐνασχολεῖσθαι ἡμέρας καὶ νυκτὸς ὁ ἅγιος [Δαυὶδ] ἐγκελεύεται λέγων· *Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετῆσαι ἡμέρας καὶ νυκτός*· οὐ κόπωσις ὑπάρχει σαρκὸς, ἀλλὰ ψυχῆς ἀγαλλίασις. Κἂν γὰρ ἐν ἱδρῶσι καὶ *δάκρυσι* σπείρωμεν, φιλοπονοῦντες περὶ τὸ καλὸν, *ἐν ἀγαλλιάσει* θερίσομεν τὸν εὐκλεᾶ τῆς ἀρετῆς καρπόν. Ἀγαθῶν γὰρ *πόνων εὐκλεὴς ὁ καρπός*. Υἱὸν δὲ ἑαυτοῦ τὸν νουθετούμενον ὁ Ἐκκλησιαστὴς καλεῖ· διὸ προσήκει τὸ πατρικὸν ἡμᾶς φυλάττειν ἄξιωμα, μὴ παραβαίνοντας τὰς πατρικὰς ἐντολάς. Τὸ δὲ, *Οὐκ ἔστι περασμὸς*, ἀντὶ τοῦ, πέρας τῶν πόνων περὶ τὰ μάταια· ἢ ὅτι τινὰ ἐξ αὐτῶν καρπὸν οὐκ ἔστιν εὑρεῖν· ἢ ὅτι ἀναρίθμητοι αἱ μυριάδες τῶν ἐν τῷ κόσμῳ φερομένων βιβλίων τυγχάνουσιν.

A perdocuit, is neque tunc multa dicit, neque molestus est et importunus, imo vero potius auditores satiare non potest. Talia etiam sunt sanctæ Scripturæ volumina quæ multis conscripta versibus, multa tamen nequaquam dicuntur, sed lex Domini nuncupantur, quandoquidem unus in utroque Testamento legis est lator, librique omnes sanctæ Scripturæ in eumdem finem scopumque feruntur, sicut et nos Dominus docuit, qui vere magnus est Ecclesiastes, Patrisque sapientia, his maxime verbis : *Dilige Dominum Deum tuum ex toto corde tuo, et proximum tuum sicut teipsum : in his enim duobus mandatis, tota lex et prophetæ pendent*[37]. Videsne igitur ut in sermone uno et verbo abbreviato, multiloqui libri et argumentosi comprehendantur, neque ideo multi sint? Quæ sunt itaque volumina B quæ nos debortatur componere Ecclesiastes? Nempe gentilium volumina et monumenta, qui scilicet alterius evertunt et impugnant sententias, semperque inter se gravissimum bellum gerunt. Nec non absterret nos ab hæreticorum libris invicem dissidentium, recentibusque Judæorum voluminibus ac secundariis quæ infinita prope sunt, fabulisque conferta. Dum enim Scripturas novis quibusdam figuris interpretari student, in ridiculas fabulas et genealogias conversi sunt, traditionesque ediderunt a sententia scriptoris longissime aberrantes. Multa itaque meditatio quæ in hujusmodi conficiendis libris adhibetur, solum affert laborem carnis, affligit corpus sine ulla utilitate ac fructu. Meditatio C vero quam intendimus circa divinos Libros, in qua nos versari die noctuque sanctus David hortatur, cum dicit : *Et in lege ejus meditabitur die ac nocte*[38], non labor est carnis, sed exsultatio spiritus. Quamvis enim in sudore et lacrymis seminemus laborantes circa honestum, in exsultatione tamen metemus[39] inclytum virtutis fructum : *Bonorum* siquidem *laborum gloriosus est fructus*[40]. Advertendum est autem quod filium suum vocat Ecclesiastes, quem admonendum suscepit; cavendum est igitur nobis ut omni studio paternam hanc dignationem servemus, quod profecto faciemus si paterna mandata non transgrediamur. Quod vero ait, *Non est finis*, intellige sine fine versari circa res vanas; vel quod res vanæ, propositum finem fructumque illum non habent, quem consequi possimus, illas persequentes; vel quod infinita librorum est multitudo, qui per orbem terrarum circumferuntur.

« Τέλος λόγου τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· ὅτι σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν. » Ἐγὼ δέ σοι, φησὶ, κεφαλαιώδη καὶ ἐπιτομωτάτην σωτηρίας ὁδὸν ὑποδείκνυμι· *Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε*· φόβον οὐ τὸν εἰσαγωγικὸν καὶ ἐμπαθῆ διὰ τὰς κολάσεις, ἀλλὰ τὸν ἁγνὸν καὶ ἁγνοποιὸν, τὸν διὰ τὴν στοργὴν τοῦ προστάξαντος πατρὸς ὀφειλόμενον. Εἰ μὲν γὰρ διὰ τὸ δέος τῆς κολάσεως μὴ πορνεύσωμεν, εὔδηλον ὡς εἰ μὴ προέκειτο τὰ τῆς τιμωρίας, ἐπορνεύσαμεν ἄν, πορνικὴν ἔχοντες προαίρεσιν. Καὶ οὕτως ἐφ' ἑκάστου τῶν ἀπηγορευμένων νόει. Ἐὰν δὲ μὴ διὰ τὴν ἀπειλὴν τῆς κολάσεως, ἀλλ' αὐτὰ μισήσαντες τὰ φαῦλα,

D Vers. 13, 14. « Audi supremum finem sermonis : Deum time, et mandata ejus observa, quoniam hoc est omnis homo. Omne opus adducet Deus in judicium, in omni quod omissum fuerit sive bonum sive malum. » Ego, inquit, tibi compendiosam et brevissimam salutis viam ostendo : *Deum time, et mandata ejus observa.* Timorem vero intellige, non qui est valde imperfectorum quasique servilis, quo incipientes ac timidi introducuntur in virtutis ac pietatis viam (hic namque propter imminentes minas formidataque supplicia, perturbatione non caret); **680** sed intellige timorem Domini sanctum et sanctificantem, quem debemus ex charitate pioque affectu erga illum qui leges tulit, mandataque servari sua instituit. Si enim carnem a for-

[37] Matth. xxii, 37-40. [38] Psal. i, 2. [39] Psal. cxxv, 5. [40] Sap. iii, 15.

Digitized by Google

nicatione compescamus supplicii metu, non charitate jubentis, quis dubitet quin sublato judicii pœnarumque terrore, in fœdas libidines prolapsuri simus, cum stupri desiderium in pectore habeamus? Quod et de cæteris flagitiis quæ lege nobis prohibentur, intelligendum est. Si vero non minarum metu atque supplicii, sed odio vitiorum peccare nolumus, tunc charitate prosequentes latorem legis, mandata ejus servamus et cavemus seduli ne defluamus. Sancto enim timori adjuncta est operatio, sicut et qui operatur, idem etiam timet ne quod præceptum contemnat atque posthabeat. Timor hic itaque sanctus cum ab honestate proficiscatur, nostras sanctificat animas et charitati æquipollet. Qui vero timorem hunc habet, et mandata Dei custodit, hic est sapiens omnis homo, hoc est, integer et undecunque perfectus. Hæc itaque, inquit, securus operare, certus quod omne opus humanum a liberi arbitrii facultate profectum adducet Deus in judicium, rationem a nobis exigens eorum quæ gesserimus in vita, quæque etiam facere omiserimus, sive illa bona sint, sive etiam mala. Omittuntur autem persæpe multa sedulo ac volentibus nobis : multaque rursus nobis invitis. Nam si cum possim bene quid facere, illud tamen sciens bonum esse omitto atque posthabeo, hæc voluntaria est omissio : si vero per ignorantiam boni, omisi operari bonum quod poteram, hæc ipsa omissio præter voluntatem contigit. Accidit autem ut inviti quandoque bonum operemur; persæpe vero, scientes atque consulto; rursusve contraria ratione malum persæpe aggredimur conscii quid patremus, nostramque conscientiam contemnentes : hoc sane ipsum voluntarium est peccatum. Quandoque vero per ignorantiam patramus aliquid quod lege divina prohibetur ne fiat : quod sane peccatum, præter nostram voluntatem contigisse putandum est. De hujusmodi vero peccatis et beatus David orabat dicens : *Delicta quis intelliget? Ab occultis meis munda me, Domine* [44], hoc est quæ per ignorantiam peccavi cum mala esse nescirem. Nos autem bene jam per Ecclesiasten edocti, timeamus Deum et illius mandata custodiamus omni nostra contentione ac studio; summa enim salutis nostræ in misericordiis Domini, ac benignitate Judicis reposita est : cum quo, et per quem Deo Patri est gloria, sanctoque Spiritui, et nunc et in sæcula sæculorum. Amen.

[44] Psal. XVIII, 13.

« Μάταιά ἐστιν ἔργα... ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. » Ὅταν ὁ Θεὸς ἐπισκέψηται τὴν γῆν, ἐν τῇ παρουσίᾳ δηλονότι τοῦ Χριστοῦ.

V. 15. « Vana sunt opera, etc. : in tempore visitationis suæ peribunt. » Cum Deus terram visitaverit, in adventu videlicet Christi.

« Συνήγαγεν ἔξωθεν τὴν ὑπόστασιν αὐτοῦ κατοικοῦσαν. » Ὦ γνῶσις Θεοῦ, ἡ ἐν τοῖς ἐκλεκτοῖς κατοικοῦσα, ἀπὸ τῶν θαυμάτων αὐτοῦ, καὶ τῶν ποιημάτων καταλαμβάνεταί σου ἡ ὑπόστασις. Καὶ ἡ Ἐκκλησία δὲ ἔξωθεν, τουτέστιν ἐκ τῶν ἐθνῶν συνήχθη.

V. 17. « Congregavit de foris substantiam suam quæ habitat. » O Dei notitiam, quæ in electis habitat, ex rebus admirabilibus creaturisque te esse percipimus. Ecclesia quoque deforis, hoc est ex gentibus, congregata est.

« Καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. » Οὐκ ἐῶντες ἐντρέφεσθαι τῇ πίστει καὶ ταῖς καλαῖς διδασκαλίαις· ἢ ἄρδην ἀνελόντες, ἢ εἰδωλολατρεῖν ἀναγκάσαντες.

V. 23. « Et pascuum ejus ad solitudinem redegerunt. » Quod in fide optimisque doctrinis enutriri non sinant : vel ad internecionem perimentes, vel ad idolorum cultum compellentes.

ΚΕΦΑΛ. ΙΑ'.

CAP. XI.

« Τάδε λέγει Κύριος· Ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς οὐκ ἀκούσεται τῶν λόγων. » Ὁ Θεὸς καταρᾶται, ἀλλ' οἱ τοὺς θείους παραβαίνοντες νόμους ἑαυτοῖς ἐπισπῶνται τὰ δεινά.

V. 3. « Hæc dicit Dominus : Maledictus homo qui non audiet verba, etc. » Deus maledicit, sed qui divinas prætergrediuntur leges, sibi ipsis diras attrahunt.

« Τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα, καὶ μέλι. » Πρὸς μὲν ἱστορίαν, τὴν Παλαιστίνην· πρὸς δὲ διάνοιαν, τὴν Ἐκκλησίαν· γάλα μὲν ποτίζουσαν τοὺς ἀρτιφύτους, μέλι δὲ τοὺς δυναμένους ἀπογεύσασθαι τῶν τελειοτέρων μαθημάτων.

V. 5. « Daturum me eis terram fluentem lacte et melle. » Si historiam spectes, Palæstinam; si sensum, Ecclesiam, quæ lacte potat recenter natos, mel vero iis dat qui perfectioris disciplinæ gustum habere possunt.

« Καθὼς ἡ ἡμέρα αὕτη. Καὶ ἀπεκρίθην, καὶ εἶπα, Γένοιτο, Κύριε. » Τὴν θεοφάνιον ἡμέραν τοῦ Σωτῆρος ὁ προφήτης προβλέπει, καθ' ἣν ταῦτα τοῖς πιστοῖς δέδοται, ἣν καὶ εὐχόμενος παραγενέσθαι, φησὶ, *Γένοιτο, Κύριε.*

« Sicut est dies hæc. Et respondi, et dixi : Fiat, Domine. » Diem, qua Deus mortalibus apparuit, prævidet propheta, qua hæc fidelibus tributa sunt. Quæ ut adveniat supplicibus verbis deprecatur, inquiens : *Fiat, Domine.*

« Εὑρέθη σύνδεσμος ἐν ἀνδράσιν Ἰούδα. » Συμφωνία πάντων ἐπὶ τὸ χεῖρον.

V. 9. « Inventa est colligatio in viris Juda. » Concors omnium animus ad malum.

« Τί ἡ ἠγαπημένη; » Ἀντὶ τοῦ, Πῶς ἡ ἠγαπημένη;

V. 15. « Quid dilecta? » Hoc est, Quanam ratione quæ mihi dilecta est?

« Ἐλαίαν ὡραίαν, εὔσκιον τῷ εἴδει. » Ὅτε τοὺς πατριάρχας ἐκλεξάμενος ἐφύτευσεν.

V. 16. « Olivam pulchram, bene opacam. » Quando patriarchas eligens plantavit.

« Εἰς φωνὴν περιτομῆς αὐτῆς, ἀνήφθη πῦρ ἐπ' αὐτὴν, μεγάλη ἡ θλῖψις ἐπὶ σέ. » Ὅτε, φησὶν, ἔδει καλλιεργηθῆναι τὴν Συναγωγὴν, τότε πυρὸς ἑαυτὴν ἀξίαν κατέστησεν· ἔδει δὲ αὐτὴν καλλιεργηθῆναι ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ.

« Ad vocem circumcisionis ejus accensus est ignis super eam : magna tribulatio super te. » Cum opus erat, inquit, excoli Synagogam, tunc igne dignam se præstitit : excolenda porro erat in adventu Christi.

« Κύριε, γνώρισόν μοι, καὶ γνώσομαι. » Θείαν

V. 18. « Domine, notum fac mihi, et cognoscam. »

Digitized by Google

Revelari sibi divinitus petit et quæ ad se, et quæ ad Christum attinent.

V. 19. « Ego autem quasi agnus innocens. » Ut enim ovis ad occisionem ductus est Dominus, secundum Isaiam [1]. Non restitit. « Non enim concertabit, ait, nec exclamabit, nec intelligetur foras vox ejus [2]. »

« Mittamus lignum. » Ad prophetam quidem, herbam quamdam lethalem, ut comedens magnis urgeretur doloribus. At pretiosæ cruci panem affixerunt vitæ.

« Et exteramus eum de terra viventium, et nomen ejus non memoretur amplius. » Vide ut et nomen ejus exstinguere cupiant, ne memoriam quidem ipsius exstare volentes. Nam non tantum viventes, sed et mortui justi graves sunt peccatoribus. Viden' ut Herodes etiam Joanne perempto adhuc illum timeret quasi viventem [3]? Tantum valet virtus, tantum nequitia : adeo timida et vilis ista res, adeo fortis illa et libertatis plena.

V. 20. « Ad te revelavi justificationem meam. » *Cum* enim *malediceretur, non remaledicebat, cum pateretur, non comminabatur, se autem juste judicanti præbebat*, juxta divinum apostolum [4].

V. 23. « Super habitatores Anathot. » Prophetæ cives, qui etiam illi struebant insidias.

CAP. XII.

V. 1. « Justus es, Domine : quia satisfaciam tibi. Verumtamen. » Scio, ait, te justum esse, sed reddendæ rationis vim in tuis judiciis exquiro. Vel sic : Tibi, Domine, quod justus sis, mihi præmittendum; deinde causæ dubiorum inquirendæ.

« Quid est quod via impiorum prosperatur? » Nosti quod non invidia motus loquor, sed perquirens.

V. 2. « Plantasti eos. » Hoc est, condidisti eos, ut omnium opifex, nec, cum delinquerent, excisi sunt.

« Prope es tu ori eorum, et longe a renibus eorum. » Nosti, ait, quod labiis tantum te honorant, nec eos afflictionibus exerces, ut profunda mentis eorum probes.

V. 3. « Purifica eos in die occisionis. » Non illos imprecando hæc dicit, sed certo sciens, illos, etsi tarde, pœnas tamen omnino daturos. Illud vero, *purifica*, valet idem quod, Præpara, ut in promptu sint, quasi hostiæ immolandæ.

V. 4. « Deleta sunt jumenta et volatilia. » Ob infecunditatem terræ. Sensus autem erit : Bruta et volatilia, homines evanescentes, qui etsi cœlestium desiderio teneantur, a terrenis tamen non se avellunt.

V. 5. « Tui pedes currunt, et dissolvunt te. » Ad peccantes fit hic sermo : Currentes enim, ait, ad mala, nervos virtutis dissolvitis.

ἀποκάλυψιν αἰτεῖ λαβεῖν περί τε τῶν καθ' ἑαυτὸν, καὶ τῶν ἐπὶ τοῦ Δεσπότου Χριστοῦ.

« Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον. » Ὡς γὰρ πρόβατον ἐπὶ σφαγὴν ἤχθη ὁ Κύριος, κατὰ τὸν Ἡσαΐαν. Οὐκ ἀντέστη. « Οὐ γὰρ ἐρίσει, φησὶν, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. »

« Ἐμβάλωμεν ξύλον. » Πρὸς μὲν τὸν προφήτην, βοτάνην τινὰ θανάσιμον, ἵνα ἐσθίων ὀδυνᾶται. Τῷ δὲ τιμίῳ σταυρῷ τὸν ἄρτον τῆς ζωῆς ἐνέπηξαν.

« Καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι. » Ὅρα πῶς καὶ ἀνώνυμον αὐτὸν ποιῆσαι θέλουσιν, οὐδὲ μνήμην τινὰ αὐτοῦ εἶναι βουλόμενοι. Οὐ γὰρ δὴ μόνον ζῶντας, ἀλλὰ καὶ τελευτήσαντας βαρύνονται τοὺς δικαίους οἱ ἁμαρτωλοί. Ὁρᾷς Ἡρῴδην, πῶς τὸν Ἰωάννην ἀνελὼν, ὡς ζῶντος εἶχεν ἐν ἑαυτῷ φόβον; τοσοῦτόν ἐστιν ἀρετὴ, τοσοῦτον κακία, οὕτως ἐκείνη δειλὴ καὶ ἄνανδρος, [*ἀλ.* δειλὸν καὶ ἄνανδρον,] οὕτως αὕτη ἀνδρεία καὶ πεπαρρησιασμένη.

« Πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου. » *Λοιδορούμενος γὰρ οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως*, κατὰ τὸν ἱερὸν ἀπόστολον.

« Ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθώθ. » Τοὺς πολίτας τοῦ προφήτου, οἳ καὶ ἐπεβούλευον αὐτῷ.

ΚΕΦΑΛ. ΙΒ'.

« Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ. Πλήν. » Οἶδα, φησὶν, ὅτι δίκαιος εἶ· λόγον δὲ ἀπολογίας ἐπὶ τῶν σῶν κριμάτων ἐπιζητῶ. Ἢ καὶ οὕτως· Χρή με πρότερον ἀπολογήσασθαί σοι, Κύριε, ὅτι δίκαιος εἶ, εἶτα ζητῆσαι τῶν ἀπορουμένων τὴν αἰτίαν.

« Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; » Οἶδας ὅτι οὐ φθονῶν λαλῶ, ἀλλ' ἐρωτῶν.

« Ἐφύτευσας αὐτούς. » Ἀντὶ τοῦ, ἐδημιούργησας αὐτοὺς, ὡς πάντων ποιητὴς, καὶ οὐκ ἐξεκόπησαν ἁμαρτάνοντες.

« Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. » Οἶδας, φησὶν, ὅτι μέχρι χειλέων τιμῶσί σε, καὶ οὐκ ἐπάγεις αὐτοῖς πειρασμοὺς, ἵνα δοκιμάσῃς αὐτῶν τὰ βάθη τῆς διανοίας.

« Ἁγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς. » Οὐ κατευχόμενος αὐτῶν τοῦτό φησιν, ἀλλὰ πληροφορούμενος, ὅτι εἰ καὶ βραδὺ, πλὴν ἥξει ἡ τιμωρία αὐτοῖς. Τὸ δὲ, *ἅγνισον*, ἀντὶ τοῦ, Ἑτοίμασον, εὐτρέπισον, ὡς ἐπὶ τῶν μελλόντων θύεσθαι.

« Ἠφανίσθησαν κτήνη καὶ πετεινά. » Διὰ τὴν ἀφορίαν τῆς γῆς. Πρὸς δὲ διάνοιαν, κτήνη ἂν καὶ πετεινὰ νοήσῃς ἀφανιζομένους ἀνθρώπους, τῶν μὲν οὐρανίων ἐπιθυμοῦντας, τῶν δὲ ἐπιγείων μὴ ἀφισταμένους.

« Σοῦ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε. » Πρὸς τοὺς ἁμαρτάνοντας ὁ λόγος· Τρέχοντες γὰρ, φησὶν, ἐπὶ τὰ πονηρὰ, ἐκλύετε τοὺς τόνους τῆς ἀρετῆς.

[1] Isa. LIII, 7. [2] Isa. XLII, 2. [3] Luc. IX, 9. [4] I Petr. II, 23.

Digitized by Google

« Πῶς παρασκευάσῃ ἐφ' ἵπποις; » Πῶς προσκρούων Θεῷ, δι' ἱππικῆς βοηθείας πιστεύεις σώζεσθαι; Πρὸς δὲ διάνοιαν, ἵππους τὸν θεῖον ἔχοντες ἐποχούμενον λόγον, ἀπόστολοι καὶ προφῆται. Πῶς οὖν δύνασαι, φησὶ, παρασκευάζεσθαι εἰς τὴν τούτων ὠφέλειαν, τὰ τῆς κακίας ἔργα μεταδιώκων;

« Καὶ ἐν γῇ εἰρήνης σου πέποιθας; » Μὴ θάρρει, φησὶν, ἐπὶ τῇ νῦν εἰρήνῃ τῆς γῆς· ἥξει γὰρ πάντως ὁ πόλεμος, σοῦ πλημμελοῦντος. Πρὸς δὲ διάνοιαν· Πῶς δύνῃ, φησὶν, ἐπὶ τῇ γνώσει τῆς εὐσεβείας θαρρεῖν ἁμαρτάνων; Γῆ γὰρ εἰρήνης ἐστὶν ἡ εὐσέβεια, δι' ἧς πρὸς Θεὸν εἰρηνεύομεν.

« Πῶς ποιήσεις ἐν φρυάγματι τοῦ Ἰορδάνου; » Καύχημα τοῦ Ἰορδάνου, τὸ θεῖον βάπτισμα. Πῶς οὖν δύνῃ καυχᾶσθαι ἐπὶ τῷ βαπτίσματι ἁμαρτάνων;

« Ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν, μὴ πιστεύσῃς ἐν αὐτοῖς. » Εἰ μὲν πρὸς τὸν προφήτην ὁ λόγος, περὶ τῶν ἐν Ἀναθὼθ πολιτῶν αὐτοῦ φησιν, οἵ τινες ἐβούλοντο αὐτὸν ἀνελεῖν. Εἰ δὲ πρὸς τὸν ἁμαρτωλόν· Οἱ πάλαι, φησὶ, διὰ τὴν εὐσέβειαν προσφκειωμένοι σοι, νῦν βδελύσσονταί σε, καὶ πολέμιοί σοι γεγόνασι, καὶ ἐκδιώκουσί σε.

« Μὴ σπήλαιον ὑαίνης. » Τὸ τῆς ὑαίνης σπήλαιον μεστόν ἐστιν ἀκαθαρσίας, καὶ ὀστέων νεκρῶν ἐκ διαφόρων σωμάτων. Τοιοῦτοι δὲ ἦσαν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, τάφοι κεκονιαμένοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν, τουτέστι πάσης ἀκαθαρσίας πεπληρωμένοι.

« Ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. » Πάντα δι' ἁμαρτίαν πολεμοῦντα τὸν ἄνθρωπον· πρὸς δὲ ἱστορίαν τοὺς Ῥωμαίους φησίν.

« Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου » Ἡ κατὰ Θεὸν ποιμαντικὴ μία ἐστίν. Οἱ δὲ πολλοὶ ποιμένες, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε αἱρετικοὶ, διαφόρους εἰσηγοῦνται διδασκαλίας, καὶ ἕκαστος τὴν ἑαυτοῦ κρατῦναι βούλεται· ὅθεν καὶ διάφοροι τῶν διδασκομένων οἱ τρόποι.

« Δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ. » Ἐκ μὲν τοῦ προσώπου τοῦ Κυρίου λεγόμενον δηλοῖ, ὅτι διὰ τὴν εἰς αὐτὸν σφαγὴν ἠφανίσθη τῶν Ἰουδαίων ἡ χώρα· ἐκ δὲ τοῦ κοινοῦ τῆς ἀνθρωπότητος λεγόμενον σημαίνει, ὅτι διὰ τὸν ἄνθρωπον τὸν ἐνδεδωκότα ἑαυτὸν πάσῃ διδασκαλίᾳ ἠφανίσθη ἡ γῆ. Οὐκ ἔστι, φησὶν, ἄνθρωπος ἐννοῶν, ὅτι ὁ Θεός ἐστιν ὁ τῶν ἀνθρώπων κύριος, καὶ οὐκ ὀφείλουσιν αὐτοὶ διὰ τῆς οἰκείας διδασκαλίας κλῆρον ἑαυτῶν ποιεῖσθαι τοὺς διδασκομένους, ἵνα κυριεύσωσιν αὐτῶν.

« Ἐπὶ πᾶσαν διεκβολὴν ἐν τῇ ἐρήμῳ. » Οἱ τῶν Ἰουδαίων αἰχμάλωτοι. Πρὸς δὲ διάνοιαν, οἱ τὴν ἄκαρπον τῶν πολλῶν ποιμένων παραδεχόμενοι διδασκαλίαν.

« Ὅτι μάχαιρα τοῦ Κυρίου καταφάγεται ἀπ' ἄκρου τῆς γῆς. » Πρὸς μὲν ἱστορίαν, ἡ τῶν Ῥωμαίων χεὶρ πορθοῦσα τὴν Ἰουδαίων γῆν· πρὸς δὲ διάνοιαν, τὴν συγχώρησιν τοῦ Κυρίου, διὰ τὸ

[6] Matth. xxiii, 27.

A « Quomodo præparaberis in equis? » Quomodo Deum offendens equestri auxilio salutem tibi futuram putas? Spiritaliter autem, equi divinum sermonem insidentem gestantes apostoli sunt et prophetæ. Quomodo igitur, inquit, ad capiendam ex iis utilitatem te comparare potes, qui malitiæ opera sequeris?

« Et in terra pacis tuæ confidisti? » Ne confide, ait, paci, qua nunc terra fruitur; adveniet enim omnino bellum, te peccare non desinente. Mystice vero: Quomodo potes, ait, confidere notitiæ pietatis, delinquens? Terra enim pacis est pietas, per quam pax est nobis cum Deo.

« Quomodo facies in fremitu Jordanis? » Res quam Jordanes gloriatur sacrum baptisma est. B Quomodo ergo potes gloriari in baptismate peccando?

V. 6. « Ex posterioribus tuis congregati sunt, ne credas eis, quia, » etc. Si ad prophetam spectat hic sermo, de his qui erant in Anathoth civibus ejus ait, qui eum interimere volebant. Si vero ad peccatorem: Qui tibi olim, inquit, pietatis ergo erant addictissimi, nunc te abominantur, et hostes effecti te persequuntur.

V. 9. « Nonne spelunca hyænæ, » etc. Hyænæ antrum sordibus plenum est, et ossibus diversorum cadaverum. Tales autem erant Judæorum doctores, sepulcra dealbata, intus vero plena ossibus mortuorum[6], hoc est omni impuritate.

C « Veniant ad comedendam eam. » Omnia propter peccatum cum homine bello certantia: historice vero Romani accipiendi sunt.

V. 10. « Pastores multi disruperunt vineam meam. » Pascendi scientia Deo probata una est. Multi vero pastores, sive illi Judæi sint, sive ethnici, sive hæretici, diversas tradunt doctrinas, et quisque suam probare nititur, unde et multiplices discipulorum mores.

V. 11. « Propter me dissipatione dissipata est universa terra. » Si ex persona Domini dicitur, significat Judæorum regionem, ob Christi necem penitus eversam. Si vero universo hominum generi tribuitur hæc vox, significat terram esse desolatam propter hominem, qui se imbuendum quavis disciplina tradidit. Non est, ait, homo qui recogitet hominum dominum esse Deum; nec debere illos, ut se magistros statuant, arrogare sibi discipulos quasi propriam hæreditatem cui dominentur.

V. 12. « Ad omne diverticulum (seu, in omnem ejectionem) in deserto. » Judæorum captivi; at spiritaliter, qui infructuosam multorum pastorum doctrinam recipiunt.

« Quia gladius Domini devorabit ab extremo terræ. » Historice, Romanorum exercitus terram Judæorum diripiens; mystice vero, permissionem accipies Dei, quam esse gladium Domini intelliges

Digitized by Google

propter liberum pascentium et pascendorum arbitrium, et interimentium illos, qui per totum orbem varias sectantur doctrinas, nec inter se conveniunt.

V. 13. « Seminabatis frumentum, et spinas messuistis. » Ad multos pastores hic sermo, qui sermonis lepori studentes, cum videantur solidam proferre doctrinam, perniciem sibi metunt.

« Cleri eorum non proderunt eis. » Pastoribus nihil pastorales sortes proderunt.

« Confundimini a jactatione vestra. » Dedecore et probro digna est jactatio apud Deum.

V. 14. « Quia hæc dicit Dominus de omnibus vicinis pessimis, qui, » etc. Vicini pravi qui Dei verbum adulterant, qui etiam callidis distractionibus utuntur, divinam doctrinam alio traducentes.

« Ecce ego evello eos de terra sua. » Eradico, ait, eos, qui salvandi sunt e populo meo, e terra pravorum finitimorum, hoc est, idolorum cultu et falsa doctrina. Judam vero vocat populum qui confitetur et salvatur; quem et eximere pollicetur e terra prava.

V. 15. « Et erit, postquam ejecero eos, revertar, et miserebor eorum. » Et ipsorum, ait, gentilium miserebor, donans eis sacri lavacri remissionem.

V. 16. « Et erit..., ad jurandum in nomine meo. » Ut non amplius per idola, sed per Christum Dominum jurent.

CAP. XIII.

V. 1. « Vade et posside tibi lumbare lineum. » Subligaculum lineum, quod sæpius lavari potest; eos autem significat, qui, cum multoties iis venia detur, nullam tamen agunt pœnitentiam.

V. 7. « Et abii. Et ecce corruptum erat, ita ut, » etc. Lumbare aqua corruperat: aqua vero peccatum est, humidum et diffluens, et se utentes inutiles reddens.

V. 10. « Eos qui noluerunt obedire verbis, et ambulaverunt post deos alienos, » etc. Injuria Deo fit, si debita illi adoratio feratur idolis.

V. 12. « Et dices ad populum istum: Omnis uter implebitur vino. » Utribus eos assimilat, vel propter inanitatem et humanam tantum in illis figuram; vel quod possint, dum velint, divinas etiamnum recipere fidei in Christum institutiones.

V. 13. « Ecce impleo sacerdotes ebrietate. » Punitione injustitiæ.

V. 16. « Date Domino Deo vestro gloriam, antequam contenebrescat. » Dominus noster Jesus Christus lux est: *Usquedum*, ait, *lucem habetis, in illam credite*[7].

« Et antequam offendant pedes vestri. » Montes

[7] Joan. XII, 36.

A αὐτεξούσιον τῶν τε ποιμένων, καὶ ποιμαινομένων, μάχαιραν Κυρίου νοήσεις διαφθείρουσαν τοὺς ἐν πάσῃ γῇ ταῖς ποικίλαις διδασκαλίαις πειθομένους, οἵτινες οὐδὲ εἰρηνεύουσι πρὸς ἀλλήλους.

« Ἐσπείρετε πυρούς, καὶ ἀκάνθας ἐθερίσατε. » Πρὸς τοὺς πολλοὺς ποιμένας ὁ λόγος, οἵτινες διὰ τῆς πιθανολογίας, τρόφιμον δοκοῦντες εἰσηγεῖσθαι διδασκαλίαν, ὄλεθρον ἑαυτοῖς ἀποθερίζουσιν.

« Οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς. » Τοὺς ποιμένας οὐδὲν οἱ ποιμαντικοὶ ὠφελήσουσι κλῆροι.

« Αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν. » Αἰσχύνης, φησὶ, καὶ ὀνειδισμοῦ ἀξία ἐστὶν ἡ καύχησις παρὰ τῷ Θεῷ.

B « Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν. » Γείτονες πονηροὶ οἱ τὸν θεῖον λόγον παραχαράττοντες, οἵτινες καὶ διεκβολὰς ἐργάζονται, παροχετεύοντες τὴν θείαν διδασκαλίαν.

« Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτούς. » Ἀνασπῶ, φησὶ, τοὺς σωζομένους τοῦ λαοῦ μου ἀπὸ τῆς γῆς τῶν πονηρῶν γειτόνων· τουτέστι, τῆς εἰδωλολατρείας καὶ ψευδοῦς διδασκαλίας. Ἰούδαν δέ φησι τὸν ἐξομολογούμενον καὶ σωζόμενον λαὸν, ὃν καὶ ἐκβαλεῖν ὑπισχνεῖται ἀπὸ τῆς πονηρᾶς γῆς.

« Καὶ ἔσται, μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς, ἀναστρέψω, καὶ ἐλεήσω αὐτούς. » Καὶ αὐτοὺς δὲ, φησὶν, ἐλεήσω τοὺς ἐθνικοὺς, τὴν τοῦ ἁγίου λουτροῦ ἄφεσιν χαριζόμενος αὐτοῖς.

C « Καὶ ἔσται..., τοῦ ὀμνύειν τῷ ὀνόματί μου. » Ἵνα μηκέτι τὰ εἴδωλα, ἀλλὰ τὸν Δεσπότην Χριστὸν ὄρκιον ἔχωσιν.

ΚΕΦΑΛ. ΙΓ'.

« Βάδισον καὶ κτῆσαι σεαυτῷ περίζωμα λινοῦν. » Περίζωμα λινοῦν τὸ πολλάκις πλύνεσθαι δυνάμενον· σημαίνει δὲ τοὺς πολλάκις συγχωρηθέντας, καὶ μὴ μετανοήσαντας.

« Καὶ ἐπορεύθην. Καὶ ἰδοὺ διεφθαρμένον ἦν, ὃ οὐ. » Τὸ ὕδωρ διέφθειρε τὸ περίζωμα· ὕδωρ δὲ ἡ ἁμαρτία, κάθυγρος οὖσα, καὶ διαῤῥέουσα, καὶ τοὺς αὐτῇ χρωμένους ἀχρείους ἀπεργαζομένη.

« Τοὺς μὴ βουλομένους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλλοτρίων. » Ὕβρις εἰς Θεὸν, τὸ τὴν αὐτοῦ προσκύνησιν εἰδώλοις

D προσφέρειν.

« Καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦτον· Πᾶς ἀσκὸς πληρωθήσεται οἴνου. » Ἀσκοῖς αὐτοὺς παρεικάζει, ἢ διὰ τὸ διάκενον καὶ σχῆμα μόνον ἔχειν ἀνθρώπων, ἢ ὅτι εἰ βουληθείεν, δύνανται καὶ αὖθις δέξασθαι θεῖα μαθήματα τὰ τῆς εἰς Χριστὸν πίστεως.

« Ἰδοὺ ἐγὼ πληρῶ τοὺς ἱερεῖς μεθύσματι. » Τῇ τιμωρίᾳ τῆς ἀδικήσεως.

« Δότε τῷ Κυρίῳ ὑμῶν δόξαν πρὸ τοῦ συσκοτάσαι. » Ὁ Κύριος ὑμῶν Ἰησοῦς Χριστὸς φῶς ἐστιν· *Ἕως οὖν ἔχετε*, φησὶ, *τὸ φῶς, πιστεύσατε εἰς αὐτό.*

« Καὶ πρὶν τοῦ προσκόψαι τοὺς πόδας ὑμῶν. »

Digitized by Google

Ὄρη σκοτεινὰ αἱ πονηραὶ δυνάμεις, καὶ αἱ διαβολικαὶ ἐνέργειαι. Πρὸ τῆς οὖν παρῥησίας τοῦ διαβόλου, φησὶ, πιστεύσατε εἰς τὸ φῶς.

« Καὶ ἀναμενεῖτε εἰς φῶς, καὶ ἐκεῖ σκιὰ θανάτου, καὶ τεθήσονται εἰς σκότος. » Αἱ γὰρ ψευδεῖς διδασκαλίαι φῶς ὑπισχνούμεναι, θανάτου τυγχάνουσι πρόξενοι.

« Κεκρυμμένως κλαύσεται ἡ ψυχή. » Ἢ πρὸς τοὺς διδασκάλους; ὁ λόγος, ὅτι Αἰσχυνόμενοι οὓς ἠπατήσατε, κεκρυμμένως κλαύσατε· ἢ καὶ πρὸς τοὺς αἰχμαλώτους, ὅτι Τοιαύτη ὑμῶν ἔσται ἡ αἰχμαλωσία, εἴτε νοητὴ, εἴτε αἰσθητὴ, ὡς μηδὲ τολμᾷν φανερῶς δεικνύειν.

« Πόλεις αἱ πρὸς νότον συνεκλείσθησαν. » Αἱ κατ' εὐσέβειαν πολιτεῖαι, αἱ ἀντικείμεναι τῷ νοουμένῳ βορρᾷ.

« Ἀπῳκίσθη Ἰούδας, συνετέλεσαν ἀποικίαν τελείαν. » Μετὰ τῶν αἰσθητῶν νοεῖ, ὅτι τῶν κατ' εὐσέβειαν ἠθῶν μετέστη.

« Ἀνάλαβε τοὺς ὀφθαλμούς σου, Ἰερουσαλήμ. » Τοῦτ' ἔστι, κατανόησον.

« Τί ἐρεῖς ὅταν ἐπισκέπτωνταί σε; » Ὅταν ἐφιστῶσί σοι οἱ αἰσθητοὶ, ἢ καὶ νοητοὶ πολέμιοι.

« Καὶ σὺ ἐδίδαξας αὐτοὺς ἐπὶ σὲ μαθήματα εἰς ἀρχήν. » Ἐὰν μὴ γὰρ ἐκδῶμεν ἑαυτοὺς τῇ ἁμαρτίᾳ, οὐκ ἄρχει ἡμῶν.

« Τὰς πτέρνας σου. » Αἱ ὁδοί σου, καὶ τὰ ἐπιτηδεύματα γήϊνα.

« Εἰ ἀλλάξεται Αἰθίοψ. » Φυσικῷ πράγματι παρεικάζει, τὴν ἐκ πολλῆς συνηθείας ἁμαρτίαν, ἵνα δείξῃ ἀναγκαίαν εἶναι τὴν χάριν τοῦ λουτροῦ τῆς παλιγγενεσίας.

« Καὶ ὁ χρεμετισμός σου. » Διὰ τοῦ χρεμετισμοῦ, σημαίνει, τὴν πρὸς τὴν θήλειαν μίξεως τὴν ἔφεσιν. Τοῦτο οὖν φησιν, ὅτι Καὶ ἐν συγκαταθέσει, καὶ ἐν αὐτῇ τῇ πράξει τὴν ἁμαρτίαν εἰργάσασθε.

« Ἐπὶ βουνῶν, καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά σου. » Ἀντὶ τοῦ, κατὰ πολλοὺς τρόπους. Πλὴν ἐπὶ τούτων ἔθυον.

A caliginosi potestates iniquæ, diabolicæque operationes. Ante igitur diaboli adventum credite, ait, in lucem.

« Et exspectabitis ad lucem, et ibi umbra mortis, et ponentur in tenebras. » Fallaces enim doctrinæ cum lumen promittant, mortem afferunt.

V. 17. « In abscondito plorabit anima vestra. » Vel ad magistros sermo hic est, nempe : Eorum quos decepistis pudore suffusi, in abscondito plorate; vel etiam ad captivos, nempe : Tanta vestra erit captivitas, sive ea spiritaliter, sive corporaliter intelligatur, ut ne palam eam ostendere audeatis.

V. 19. « Civitates quæ ad Austrum conclusæ sunt. » Instituta vivendi secundum Deum quæ spiritali Boreæ opponuntur.

B

« Translatus est Judas : consummaverunt transmigrationem perfectam. » Cum sensilibus intellige, quod mores ad pietatem compositos deseruerit.

V. 20. « Leva oculos tuos, Jerusalem. » Hoc est, contemplare, perspice, intellige.

V. 21. « Quid dices cum visitaverint te? » Cum tibi astiterint sensibiles, vel intelligibiles adversarii.

« Et tu docuisti eos adversum te doctrinas in principatum. » Nisi enim nos ipsi dedamus iniquitati, ea nobis non dominatur.

V. 22. « Calcanei tui. » Viæ tuæ, et studia terrena.

V. 23. « Si mutabit Æthiops. » Rei naturali peccatum multa consuetudine inolitum assimilat, ut gratiam lavacri regenerationis ostendat necessariam.

C

V. 27. « Et hinnitus tui. » Hinnitu appetitum coitus cum femina significat. Hoc igitur ait : Et assensu, et opere ipso peccatum perpetrastis.

« Super colles, et in agris vidi abominationes tuas. » Hoc est, multis variisque modis. Adhoc super his sacrificia offerebant.

ΚΕΦΑΛ. ΙΔ'.

« Ἐπένθησεν ἡ Ἰουδαία. » Μετὰ τὸ αἰσθητὸν ἡ γνῶσις τῆς εὐσεβείας.

« Καὶ αἱ πύλαι αὐτῆς ἐκενώθησαν. » Αἱ εἰσαγωγαὶ καὶ διδασκαλίαι οὐκ ἔχουσαι τοὺς διδασκομένους.

D

« Καὶ ἐσκοτώθησαν ἐπὶ τῆς γῆς. » Τῆς γὰρ κακίας ἐπικρατούσης ἡ ἀρετὴ καλύπτεται.

« Καὶ ἡ κραυγὴ τῆς Ἰερουσαλὴμ ἀνέβη. » Οὐχ ὡς ἡ Σοδόμων· οὐ γὰρ τελείως ἠφανίσθη : ἀλλὰ τοῦ ὀδυρμοῦ αὐτῆς ἡ κραυγή.

« Καὶ οἱ μεγιστᾶνες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ. » Οἱ θρόνοι οἱ ἱερατικοὶ ἔπεμψαν ἐπερωτῆσαι ἀπὸ Θεοῦ τὰ συμφέροντα. Νεωτέρους δὲ αὐτοὺς ἐκάλεσε, διὰ τὸ κοσμικαῖς καὶ νεωτερικαῖς αὐτοὺς ἐπιθυμίαις ἐνέχεσθαι.

« Ἦλθοσαν ἐπὶ τὰ φρέατα, καὶ οὐχ εὗρησαν ὕδωρ. » Τοῦτο εἰ μὴ ἐκ θείας ὀργῆς, οὐκ ἂν ποτε συνέβη.

CAP. XIV.

V. 2. « Luxit Judæa. » Post sensile, pietatis cognitio.

« Et portæ ejus vacuæ factæ sunt et contenebratæ. » Institutiones et disciplinæ quos erudiant non habentes.

« Et contenebratæ sunt super terram. » Nequitia enim prædominante virtus obtegitur.

« Et clamor Jerusalem ascendit. » Non uti ille Sodomorum ; haud enim penitus evanuit; sed ejulatus ipsius clamor.

V. 3. « Et magnates ejus miserunt juniores suos ad aquam, » etc. Sedes sacerdotales miserunt quæsituros de Deo quæ conducerent. Juniores autem eos appellavit, eo quod mundanis et juvenilibus desideriis detinerentur.

« Venerunt ad puteos, et non invenerunt aquam. » Hoc ni fecisset ira Dei, nunquam evenisset. Aliter :

Digitized by Google

Neque enim invenerunt aquam vivam, quæ datur a Deo.

« Agricolæ. » Qui debent operari.

V. 5. « Et reliquerunt, quia non erat herba. » Nec enim erant auditores : etenim cibus sanctorum discipuli sunt.

V. 6. « Onagri steterunt in rupibus. » Ingemuerunt ob pereuntes. *Onagri*. Qui a mundanis rebus sunt liberi.

V. 8. « Quare factus es sicut colonus in terra? » Ut quid, ait, nostri curam non geris uti Dominus, sed ut colonus despicis ?

V. 9. « Divertens ad diversorium. » Qui ad diversorium properat, etsi quospiam viderit quomodocunque opis auxiliique indigos, despicit, et præterit.

V. 10. « Dilexerunt movere pedes suos. » Inordinate moveri, currere ad mala.

V. 13. « Ecce prophetæ eorum prophetant. » Quasi ad excusandum populum propheta dicit, eos a pseudoprophetis delusos, et duo per hoc efficit : in prophetas iram derivat, Deumque movet ut dicat : *Non ego eos misi.*

V. 16. « In morte morbosa morientur. » In diuturno morbo, cui brevis mors præferenda sit.

« Et erunt projecti in biviis Jerusalem. » Bivia sunt fœdissimæ viæ.

V. 19. « Nunquid reprobans. » Oratio prophetæ ad Deum, et confessio pro populo, Deique ad ipsum responsio.

« Et a Sion recessit anima tua? » Sicut humana figura Deum Scriptura effigiat omnis figuræ expertem, sic et de homine usurpatum est illud, Anima tua mortua est. Vel prophetice, quod futurum erat, ut Deus Verbum propter nos homo fieret.

V. 22. « Quod si cœlum dabit satietatem suam, nonne tu es ipse? » Nec cœlestes, inquit, virtutes, nisi te concedente bona largiri possunt.

« Et sustinebimus te, Domine, quia fecisti omnia hæc. » Tu, inquit, es, et non alius, qui et corporeum nobis, et spiritualem suppeditas imbrem.

CAP. XV.

V. 1. « Et dixit Dominus ad me : Si steterit Moyses, et Samuel, » etc. Moyses, qui dicebat : *Si remittes illis peccatum, remitte : sed et me dele e libro tuo hoc, in quo scripsisti* [8]; et Samuel, qui et Saul iniquitatem deplorabat [9].

« Ejice illos, et egrediantur. » Non est Deus qui rejicit, sed iniquitates nostræ dividunt inter illum et nos.

V. 3. « Gladium ad occisionem et canes. » Post sensibilem gladium spiritalem, falsi nominis cognitionem. Canes vero de quibus aiebat Apostolus [10] : Cavete a canibus, cavete a malis operariis.

A Ἄλλως· Οὐ γὰρ εὗρον τὸ ὕδωρ τὸ ζῶν τὸ ἐκ Θεοῦ διδόμενον.

« Οἱ γεωργοί. » Οἱ ὀφείλοντες ἐργάζεσθαι.

« Καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. » Οὐ γὰρ ἦσαν οἱ ἀκούοντες. Τροφὴ γὰρ τῶν ἁγίων οἱ αὐτῶν μαθηταί.

« Ὄναγροι ἔστησαν ἐπὶ νάπας. » Ἐστέναξαν ἐπὶ τοῖς ἀπολλυμένοις. *Ὄναγροι*. Οἱ τῶν κοσμικῶν πραγμάτων ἐλεύθεροι.

« Ἵνα τί ἐγενήθης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς. » Ἵνα τί, φησὶν, οὐ κήδῃ ἡμῶν ὡς Δεσπότης, ἀλλὰ παροράᾷς ὡσεὶ πάροικος;

« Ἐκκλίνων εἰς κατάλυμα. » Ὁ ἐπειγόμενος εἰς κατάλυμα φθάσαι, κἂν ἴδῃ τινὰς ὁπωσοῦν χρῄζοντας βοηθείας, παροράᾷ, καὶ παρατρέχει.

B

« Ἠγάπησαν κινεῖν πόδας αὐτῶν. » Ἀτάκτως κινεῖσθαι, τρέχειν εἰς τὰ κακά.

« Ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι. » Ὡς ὑπεραπολογούμενος τοῦ λαοῦ ὁ προφήτης φησὶν, ὅτι Οἱ ψευδοπροφῆται αὐτοὺς ἀπατῶσι· καὶ δῶρο ἐντεῦθεν πραγματεύεται· μετάγει τὴν ὀργὴν ἐπὶ τοὺς προφήτας, καὶ προτρέπει λέγειν Θεὸν, ὅτι Οὐκ ἐγὼ αὐτοὺς ἀπέστειλα.

« Ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται. » Ἐν παρατεταμένῃ νόσῳ, ὡς τοῦ συντόμου θανάτου αἱρετωτέρου τυγχάνοντος.

« Καὶ ἔσονται ἐῤῥιμμένοι ἐν ταῖς διόδοις Ἱερουσαλήμ. » Δίοδοί εἰσιν αἱ αἴσχιστοι ἔδοι.

« Μὴ ἀποδοκιμάζων. » Δέησις τοῦ προφήτου πρὸς C Θεὸν, καὶ ἐξομολόγησις ὑπὲρ τοῦ λαοῦ, καὶ Θεοῦ πρὸς αὐτὸν ἀπόκρισις.

« Καὶ ἀπὸ Σιὼν ἀπέστη ἡ ψυχή σου; » Ὥσπερ ἀνθρωπίνως διαμορφοῖ τὸν Θεὸν ἡ Γραφὴ τὸν ἀσχημάτιστον, οὕτως καὶ ὡς ἐπὶ ἀνθρώπου, Ἡ ψυχή σου τέθνηκεν. Ἢ προφητικῶς, ὅτι ἐμέλλεν ὁ Θεὸς Λόγος δι' ἡμᾶς ἄνθρωπος γίγνεσθαι.

« Καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ αὐτός; » Οὐδὲ αἱ οὐράνιαι, φησὶ, δυνάμεις δίχα τῆς σῆς ἐπιτροπῆς δύνανται χορηγεῖν ἀγαθά.

« Καὶ ὑπομενοῦμέν σε, Κύριε, ὅτι σὺ ἐποίησας πάντα ταῦτα. » Σὺ εἶ, φησὶ, καὶ οὐχ ἕτερός τις ὁ καὶ τὸν αἰσθητὸν ἡμῖν καὶ τὸν πνευματικὸν χορηγῶν ὑετόν.

D

ΚΕΦΑΛ. ΙΕ'.

« Καὶ εἶπε Κύριος πρός με, Ἐὰν στῇ Μωυσῆς, καὶ Σαμουήλ. » Μωυσῆς ὁ λέγων, *Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου ταύτης, ἧς ἔγραψας*· καὶ Σαμουὴλ ὁ καὶ τὴν τοῦ Σαοὺλ ἁμαρτίαν πενθῶν.

« Ἐξαπόστειλον αὐτοὺς, καὶ ἐξελθέτωσαν. » Οὐχ ὁ Θεὸς ἐκβάλλει, ἀλλ' αἱ ἡμῶν ἁμαρτίαι διιστῶσιν, ἀναμέσον ἡμῶν καὶ αὐτοῦ.

« Μάχαιραν εἰς σφαγὴν, καὶ τοὺς κύνας. » Μετὰ [*al.* μετὰ τὸ αἰσθητόν] τὴν αἰσθητὴν, μάχαιραν νοητὴν, ψευδώνυμον γνῶσιν. Κύνας δὲ περὶ ὧν εἶπεν ὁ Ἀπόστολος· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς

[8] Exod. xxxii, 31. [9] 1 Reg. xv, 35. [10] Philip. iii, 2.

Digitized by Google

κακοὺς ἐργάτας. Θηρία δὲ γῆς, τοὺς τὰ γήϊνα φρονήματα ἡμῖν ἐνσπείροντας· πετεινὰ δὲ τοῦ οὐρανοῦ τοὺς τὰ ὑψώματα ἡμῖν ἐπισπείροντας μετὰ τῆς γνώσεως τοῦ Θεοῦ.

A Bestias vero terræ eos qui terrena sensa in nobis seminant. Volatilia autem cœli qui talia dant nobis semina, ut extollamur adversus Dei cognitionem.

« Διὰ Μανασσήν. » Οὗτος ἔπεισεν ἐκτόπως εἰδωλολατρεῖν τοὺς Ἰουδαίους. Λέγεται δὲ καὶ τὸν προφήτην Ἡσαΐαν αὐτὸς πρῖσαι.

V. 4. « Propter Manassem. » Hic Judæis idololatrare persuasit. Dicitur et prophetam Isaiam dissecuisse.

« Ἢ τίς ἀνακάμψει εἰς εἰρήνην σοι; » Τίς ἔχει φοβηθῆναι εἰς τὸ κακῶσαί σε; ἀντὶ τοῦ, Οὐδείς. Ἢ τίς, φησὶ, μέλλει σοι εἰρηνεύειν, ἐμοῦ σοι πολεμοῦντος;

V. 5. « Aut quis curvabit se ad pacem tibi? » Quis metu cohibebitur ne te affligat? quasi dicat: Nullus. Aut quis, inquit, tecum pacem jungat, cum ego tibi bellum inferam?

« Καὶ διαφθερῶ σε, καὶ οὐκέτι ἀνήσω αὐτούς. » Τὸ, σέ, καὶ, αὐτούς, κατὰ τοῦ αὐτοῦ κεῖται· φησὶ δὲ τὴν Ἱερουσαλὴμ, καὶ τοὺς ἀπειλουμένους.

V. 6. « Et disperdam te, et non ultra dimittam eos. » *Te*, et *eos*, de eodem dicuntur; ait autem Jerusalem, eosque quibus minæ jactantur.

« Ἐν πύλαις λαοῦ μου ἠτεκνώθησαν. » Αἱ πολυοχλοῦσαι πόλεις ἔρημοι γεγόνασιν.

B V. 7. « In portis populi mei orbati filii sunt. » Frequentissimæ civitates desolatæ sunt.

« Ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης. » Ὑπερβολικὸς ὁ λόγος.

V. 8. « Super arenam maris. » Hyperbolicus hic sermo.

« Ταλαιπωρίαν ἐν μεσημβρίᾳ. » *Τοῦ Χρυσοστόμου* [al. *Ὀλυμπιοδώρου*]. Ὅρα πῶς τὴν τιμωρίαν ἐπήγαγεν, ὥστε μὴ νομισθῆναι ταύτας εἶναι τὰς συνήθεις, ἀλλ' ὄντως θεηλάτους τινάς.

« Miseriam in meridie. » *Chrysostomi* [al. *Olymp.*]. Vide quomodo pœnas inflixerit, ut ne consuetas eas esse quis putaret, sed vere a Deo illatas.

« Ἀπέρριψα ἐπ' αὐτὴν ἐξαίφνης τρόμον. » Ἀπροσδοκήτως.

« Injeci super eam repente tremorem. » Præter exspectationem.

« Ἐκενώθη. Ἐπέδυ ὁ ἥλιος ἐπ' αὐτῇ, ἔτι μεσούσης τῆς ἡμέρας. » Ὑπὸ τοῦ πλήθους τῶν πολεμίων· ἢ ὅτι αἰφνιδίως συμφοραῖς καταλαμβανόμενοι, οὐδὲ τὸν ἥλιον ὑπὸ τῆς ταραχῆς βλέπουσιν.

V. 9. « Vacua facta est. Occidit sol ei, cum adhuc medius dies esset. » Vel propter hostium multitudinem; vel quia, repentinis affecti calamitatibus, ne solem quidem præ confusione vident.

« Οἴμοι ἐγὼ, ὡς τίνα, μῆτερ, μὲ ἔτεκες ἄνδρα δικαζόμενον καὶ διακρινόμενον πάσῃ τῇ γῇ; » Πρὸς μὲν ῥητὸν, ὅτι τοῖς ψευδοπροφήταις ἀντέλεγε, καὶ πρὸς τοὺς παρανομοῦντας ἐδικάζετο· πρὸς δὲ διάνοιαν, διὰ τὸ τὴν ἁμαρτίαν πολυμερῶς περισύρειν τὴν ἀγαθότητα.

C V. 10. « Heu me, mater mea, quare genuisti me virum, qui judicer et discernar omni terræ? » Juxta litteram, quod pseudoprophetis contradicebat, cumque impie agentibus litigabat; juxta vero interiorem sensum, quia variis modis iniquitas circumagit bonitatem.

« Οὔτε ὠφέλησέν με οὐδείς. » Ὅτι οὐδὲν ὁ προφητικὸς λόγος τῆς ἁμαρτίας ἀπήλλαξεν, ὡς ἐξ ἀνάγκης δεῖσθαι τῆς διὰ Χριστοῦ ἀπολυτρώσεως.

« Nec profuit mihi quisquam. » Quod propheticus sermo nullo modo liberavit a peccato; ita ut necessario opus esset salute per Christum.

« Ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. » Τοῖς ἐπιβουλεύουσί μοι.

« Fortitudo mea defecit in his qui maledicunt mihi. » Qui mihi insidiantur.

« Γένοιτο, Δέσποτα, κατευθυνόντων αὐτῶν. » Εἶθε, φησὶ, κατηύθυναν, καὶ ἐπέστρεψαν πρὸς σὲ, ὡς πάλιν ἐδεόμην ὑπὲρ αὐτῶν, καὶ ᾔτουν αὐτοῖς ἀγαθὰ, καὶ ταῦτα ἐχθρῶν μοι ὄντων αὐτῶν, καὶ πολεμίων.

« Fiat, Domine, dirigentibus illis. » Utinam, ait, se dirigerent et converterentur ad te, ut iterum pro illis ad te preces effunderem, et peterem ipsis bona, idque hostili animo in me affectis.

D V. 12. « Si cognoscetur ferrum, et vestimentum æneum fortitudo tua? » Dei verba ad populum: Licet, inquit, sis robustus ut ferrum, vel æs, superabo te.

« Εἰ γνωσθήσεται σίδηρος, καὶ περιβόλαιον χαλκοῦ ἡ ἰσχύς σου; » Ἐκ Θεοῦ πρὸς τὸν λαὸν ὁ λόγος. Κἂν ἰσχυρὸς ᾖς, φησὶν, ὡς σίδηρος ἢ χαλκὸς, περιέσομαί σου.

« Καὶ τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω ἀντάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας σου. » Τί ἐστιν *ἀντάλλαγμα*; Ἀντὶ τῶν ἁμαρτιῶν σου δώσω τὰ χρήματά σου καὶ τὴν ἰσχύν σου, ἐπειδὴ αὐτοῖς ἐθάρρουν.

V. 13. « Et thesauros tuos in direptionem dabo, et commutationem propter omnia peccata tua. » Quid est, *commutationem?* Pro peccatis tuis tradam pecuniam tuam, et robur tuum, quoniam illis fidebant.

« Γνῶθι ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμόν. » Ταχὺ, μὴ βραδύνῃς.

V. 15. « Scito quoniam accepi pro te opprobrium. » Cito, ne tardes.

« Καὶ ἔσται ὁ λόγος σου ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου. » Ἵνα μετὰ χαρᾶς προφέρω τὰ σὰ λόγια, μηκέτι ὑπ' αὐτῶν ἀντιλεγόμενος.

« Et erit mihi verbum tuum in lætitiam, et in gaudium cordis mei. » Ut cum gaudio sermones tuos eloquar, nullam posthac ab illis contradictionem patiens.

Digitized by Google

V. 17. « Ludentium, » etc. Deridicula operantium.

V. 18. « Plaga mea solida est. » *Theodoriti* [al. *Olympiodori*]. Num enim plaga mea illis ad utilitatem? Cur igitur hæc illis permittis?

« Unde sanabor? » *Olympiodori* [al. *Theodoreti*]. Figura accommodationis verborum ad plura, naturæ humanæ verba sunt; quæ nullo modo curari poterat nisi ab uno Salvatore nostro.

« Dum fit, facta est mihi quasi aqua mendax, non habens fidem. » Pseudoprophetarum fraus, quæ et populum sauciavit, vel iniquitas ipsa, quæ infidelis est, et aquis assimilatur suffocantibus quos detinuerint. Est etiam aqua mendax non habens fidem, hæreticorum baptisma.

V. 19. « Si reverteris, et restituam te: et ante faciem meam stabis. » Si enim, ait, ab iniquitate destiteris, eris ut a principio Adam, mea visione dignatus.

« Si separaveris pretiosum a vili, quasi os meum eris. » Si eduxeris verbum pretiosum, hoc est fidei confessionem ab eo qui olim indignus erat et infidelis, effecerisque ut credat, eris ut os Salvatoris, qui dixit: *O mulier, magna est fides tua* [11].

« Et convertentur ipsi ad te, et tu non converteris ad eos. » Stude, inquit, propheta, talis esse, ut eos ad virtutem attrahas, nec a malitia eorum detraharis.

CAP. XVI.

V. 2. « Et tu ne accipias. » Proditum est, virginem fuisse prophetam, cui nempe a Deo præceptum fuit ne uxorem duceret.

V. 5. « Ne ingrediaris in thiasum eorum. » Ad epulum lætitiæ, vel etiam luctus.

V. 6. « Non plangent se. » Lacerationes, abrasiones.

V. 9. « Vocem. » Gaudium omnino ab illis tollendum ait.

V. 14. « De terra aquilonis. » Babylon magis vergit ad aquilonem, quam Jerosolyma; historice igitur ipsam urbem Babylonem intelligit, vel quæ spiritaliter intelligitur, animarum captivitatem.

V. 16. « Ecce ego mitto. » Apostolos ait.

« Mitto multos venatores. » Præsides Ecclesiæ. De diabolicis actibus.

« Et venabuntur. » Dæmonum, vel malitiæ modorum.

« Et supra omnia. » Occultarum, et vix perceptibilium nequitiæ actionum.

V. 18. « Et reddam. » Si contra dæmones, in illos quoque illata dupla pœna, quod et averterunt homines a vero Deo seque ipsos deos effecerunt: si vero contra homines, minæ sunt contra eos qui

[11] Matth. xv, 28.

A « Παιζόντων, κ. τ. λ. » Καταγέλωτος ἄξια ἐργαζομένων.

« Ἡ πληγή μου στερεά. » *Θεοδωρίτου* [ἄλ. *Ὀλυμπιοδώρου*]. Μὴ γὰρ εἰς ὠφέλειαν αὐτῶν ἡ ἐμὴ πληγή; Τίνος οὖν ἕνεκεν συγχωρεῖς αὐτούς;

« Πόθεν ἰαθήσομαι; » *Ὀλυμπιοδώρου.* [ἄλ. *Θεοδωρήτου.*] Ἀπὸ κοινοῦ τῆς ἀνθρωπότητος φέρει τὸν λόγον, οὐδαμόθεν δυναμένης ἰαθῆναι, εἰ μὴ ὑπὸ μόνου τοῦ Σωτῆρος ἡμῶν.

« Γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδὲς, οὐκ ἔχον πίστιν. » Ἡ τῶν ψευδοπροφητῶν ἀπάτη ἡ καὶ πλήξασα τὸν λαόν· ἢ αὐτὴ ἡ ἁμαρτία ἄπιστος οὖσα, καὶ ἐοικυῖα ὕδατι ἀποπνίγοντι τοὺς ἁπολαμβανομένους. Ἔστι δὲ ψευδὲς ὕδωρ οὐκ ἔχον πίστιν τὰ τῶν B αἱρετικῶν βαπτίσματα.

« Ἐὰν ἐπιστρέψῃς, καὶ ἀποκαταστήσω σε· καὶ πρὸ προσώπου μου στήσῃ. » Ἐὰν γὰρ, φησὶν, ἀποστῇς τῆς ἁμαρτίας, ἔσῃ ὡς ἀπ' ἀρχῆς ὁ Ἀδὰμ, τῆς ἐμῆς θεωρίας ἀξιούμενος.

« Καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ. » Ἐὰν ἐξαγάγῃς ῥῆμα τίμιον, τουτέστι τὸ τῆς πίστεως ὁμολόγημα, ἀπὸ τοῦ ποτε ἀναξίου καὶ ἀπίστου, καὶ παρασκευάσῃς αὐτὸν πιστεῦσαι, ὡς στόμα ἔσῃ τοῦ εἰπόντος Σωτῆρος· *Ὦ γύναι, μεγάλη σου ἡ πίστις.*

« Καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σὲ, καὶ σὺ οὐκ ἀποστρέψεις πρὸς αὐτούς. » Σπούδασον, φησὶν, ὦ προφῆτα, τοιοῦτος εἶναι, ὡς ἕλκειν αὐτοὺς πρὸς C ἀρετὴν, καὶ μὴ ὑπὸ τῆς αὐτῶν κακίας καθέλκεσθαι.

ΚΕΦΑΛ. ΙϚ'.

« Καὶ σὺ μὴ λάβῃς. » Ἱστορεῖται ὁ προφήτης παρθένος εἶναι, ὡς ὑπὸ Θεοῦ κελευσθεὶς μὴ γῆμαι.

« Μὴ εἰσέλθῃς εἰς θίασον. » Εἰς ἑστίασιν εὐφροσύνης ἢ καὶ πένθους.

« Οὐ μὴ κόψονται. » Ἀμυχὰς, κατατρύσματα.

Καὶ φωνήν. » Τὴν τελείαν ἀφαίρεσιν τῆς χαρᾶς φησι.

Βορειοτέρα ἐστὶν ἡ Βαβυλὼν ὡς πρὸς τὴν Ἱερουσαλήμ· τῆς οὖν αἰσθητῆς Βαβυλῶνός φησι καθ' D ἱστορίαν, ἢ καὶ τῆς νοητῆς τῶν ψυχῶν αἰχμαλωσίας.

« Ἰδοὺ ἐγὼ ἀποστέλλω. » Τοὺς ἀποστόλους λέγει.

« Ἀποστέλλω τοὺς πολλούς. » Τοὺς προέδρους τῶν Ἐκκλησιῶν. Ἐκ τῶν διαβολικῶν ἐνεργειῶν.

« Καὶ θηρεύσωσιν. » Τῶν δαιμόνων, ἢ καὶ τῶν τῆς κακίας τρόπων.

« Καὶ ἐπάνω παντός. » Τῶν ἀφανῶν καὶ δυσκατανοήτων τῆς κακίας ἐνεργειῶν.

« Καὶ ἀνταποδώσω. » Εἰ μὲν κατὰ τῶν δαιμόνων, καὶ αὐτῶν καὶ ἡ ἐπιφερομένη διπλῆ τιμωρία, ὅτι καὶ ἀπέστησαν τοῦ ἀληθοῦς Θεοῦ τοὺς ἀνθρώπους, καὶ ἑαυτοὺς ἐθεοποίησαν· εἰ δὲ κατὰ τῶν ἀνθρώ-

Digitized by Google

πων μετὰ τὴν γνῶσιν ἁμαρτανόντων, διὸ διπλοῦν τιμωροῦνται.

« Ἐν τοῖς θνησιμαίοις. » Ἐν τοῖς νεκροῖς τῆς ἁμαρτίας ἔργοις · βδελύττεται δὲ καὶ τὰ θνησιμαῖα ὁ νόμος.

« Πρὸς σὲ ἔθνη. » Πρὸς τὸν Κύριον Ἰησοῦν, περὶ οὗ γέγραπται · *Καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν.*

« Εἰ ποιήσει. » Τὸ τῆς ἐνανθρωπήσεως.

« Καὶ γνωριῶ. » Ὁ Πατήρ ἐστιν ὁ λέγων περὶ τοῦ Μονογενοῦς.

ΚΕΦΑΛ. ΙΖ'.

« Ἐπικατάρατος. » Ἐφ' ἑαυτὸν, ἢ καὶ ἕτερόν τινα · ἢ καὶ ὁ νομίζων ψιλὸν ἄνθρωπον εἶναι τὸν Σωτῆρα Χριστὸν, καὶ μὴ Θεὸν ἐνανθρωπήσαντα.

« Καὶ στηρίσει. » Καὶ πεποιθὼς ἦ ἐπὶ τῇ δυνάμει αὐτοῦ.

« Καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη. » Τοῦτο τὸ φυτὸν καὶ ἐν τῷ ζῆν ἡμιθανές ἐστι καὶ κεκαυμένον · λέγεται δὲ ἀποθνήσκειν, ὅταν ὑετὸς ἔλθῃ ἐπ' αὐτῷ. Ὁ μὴ πιστεύων ὅτι Θεός ἐστιν ἐνανθρωπήσας ὁ Χριστὸς, τῶν τῆς παρουσίας αὐτοῦ ἀγαθῶν οὐκ ἀπολαύσει.

« Καὶ κατασκηνώσει. » Ἅλιμα βοτάνη ἐστὶν, εἶτα πολλῶν.

« Καὶ οὐ φοβηθήσεται. » Ἐν καιρῷ πειρασμοῦ, φησίν.

« Καὶ ἔσται. » Εὐθαλεῖς καρποὶ τῆς ἀρετῆς, περισκέποντες αὐτὸν ἐν τοῖς πειρασμοῖς.

« Ἐν ἐνιαυτῷ. » Ὁ ἐνιαυτὸς κύκλος ἐστίν · ἐν καιρῷ οὖν, φησὶ, καθολικοῦ πειρασμοῦ οὐ φοβηθήσεται.

« Βαθεῖα ἡ καρδία. » Τὸ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς μυστήριον βαθύ ἐστι, καὶ ἀκατάληπτον. Καὶ γὰρ μετὰ τοῦ εἶναι Θεὸς, ἄνθρωπος γέγονε. Τίς οὖν γνώσεται, φησὶν, ἢ τὴν ἐκ Πατρὸς αὐτοῦ γέννησιν, ἢ τὴν μετὰ σαρκὸς ἄφραστον οἰκονομίαν;

« Ἐφώνησε πέρδιξ. » Ὁ πέρδιξ, ὥς φασιν, ὑπερήφανος ὤν, διὰ τῆς φωνῆς τοὺς ἀλλοτρίους προσκαλεῖται νεοττούς. Οἵτινες γνόντες ὕστερον ὅτι οὐκ εἰσὶν αὐτοῦ, καταλιμπάνουσιν αὐτόν · οὕτω καὶ οἱ ἄνθρωποι οἱ ἀπατηθέντες ὑπὸ τοῦ διαβόλου, ὅταν γνῶσι τὸν ἑαυτῶν Δημιουργὸν καὶ Δεσπότην Θεὸν, ἀφίστανται ἀπ' αὐτοῦ.

« Καὶ οὐκ ἐπ' ἐσχάτου. » Ἐπειδὴ ἀκρίτως τῶν ἀλλοτρίων ἐπεθύμησεν, ὕστερον ἐλεγχόμενος δειχθήσεται ἄφρων.

« Θρόνος. » Σὺ εἶ, φησὶ, Κύριος, ὁ τὸν θρόνον τῆς δόξης ἔχων τὸν ὑψηλὸν, καὶ τὸ εἶναι ἡμῖν, καὶ τὸ διαμένειν παρέχων.

« Καταισχυνθήτωσαν. » Οἱ Θεοῦ ἀφεστηκότες, φησὶ, μὴ ἐν οὐρανῷ, ἀλλ' ἐν γῇ γραφήτωσαν, κατὰ τὸ, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.*

« Καὶ ἡμέραν. » Ἀντὶ τοῦ, οὐδενὸς τῶν ἀνθρωπίνων.

« Μὴ γενηθῇς μοι. » Ἐν τῇ ἐπιπόνῳ καὶ ἐταστικῇ

A scientes peccant, quapropter dupla plectuntur pœna.

« In morticinis. » In mortuis iniquitatis operibus : abominatur vero lex et morticina.

V. 19. « Ad te gentes. » Ad Dominum Jesum, de quo scriptum est : *Et in ipso gentes sperabunt* [12].

V. 20. « Si faciet. » Incarnationis mysterium.

« Et notam faciam. » Pater est qui de Unigenito loquitur.

CAP. XVII.

V. 5. « Maledictus homo. » In seipso vel alio quopiam, vel qui nudum hominem opinatur Christum Salvatorem, et non Deum incarnatum.

B « Et firmabit. » Et fidit in potestate sua.

V. 6. « Et erit sicut myrica silvestris. » Planta hæc vivens semimortua est, adusta : mori vero dicitur cum imber supervenerit. Qui non credit Christum esse Deum incarnatum, bonorum adventus ejus expers fiet.

« Et habitabit in salsis. » Halima herba est in deserta salsaque terra adnascens.

V. 8. « Et non timebit. » Tempore, ait, afflictionis.

« Et erunt. » Uberes virtutis fructus circumtegentes eum in tribulationibus.

« In anno. » Annus circulus est : tempore igitur, C ait, generalis afflictionis non timebit.

V. 9. « Profundum est cor. » Incarnationis Unigeniti sacramentum profundum est, nec comprehendi potest. Manens quippe Deus homo factus est. Quis igitur cognoscet, ait, vel a Patre ipsius generationem, vel cum carne ineffabilem dispensationem ?

V. 11. « Clamavit perdix, » etc. Perdix, ut aiunt, cum insolens sit, voce alienos convocat pullos. Qui postea se illius non esse agnoscentes, derelinquunt eum : sic et homines a diabolo decepti cum suum opificem Dominumque Deum agnoverint, recedunt ab eo.

D « Et in novissimo erit insipiens. » Quoniam inconsulte aliena concupivit, tandem redargutus insipiens demonstrabitur.

V. 12. « Solium. » Tu es, ait, Dominus, qui solium gloriæ possides excelsum, nobisque quod simus et conservemur præstas.

V. 13. « Confundantur. » Qui recesserunt, inquit, a Deo, non in cœlo, sed in terra scribantur, juxta illud : « *Terra es, et in terram converteris* [13].

V. 15. « Et diem. » Pro, humanarum rerum nihil.

V. 17. « Non fias mihi in alienationem. » In

[12] Isa. II, 12; Rom. XV, 12. [13] Gen. III, 19.

Digitized by Google

ærumnosa et examinatrice die judicii non ut alienus et adversarius oppugnes me, Domine, sed parcens mihi delicta mea mihi remitte.

V. 18. « Confundantur. » Dæmonibus imprecatur, non enim vult sanctus vir homines perpetuis addicere suppliciis, quoniam et iniquitatis sunt inventores, et auctores hominibus et magistri.

V. 24. « Ut non inferatis. » Mensura certa itineris erat : opus enim videbatur esse longius ire, et hoc est quod in Actibus apostolorum legitur : *Sabbati habens iter* [16].

V. 27. « Et accendam. » Facta inexstinguibilis ignis mentione meditandi nobis ansam præbet, quod iniquitatis pondera non deponentem animam manet ignis æternus.

CAP. XVIII.

V. 4. « Et rursum. » Eam quæ ex baptismo habetur novam formationem indicat.

« Sicut placuerat. » Non bonum voluntate aut malum : hoc enim electionis est et liberi arbitrii, unde et delinquentes pœnitentiam agere præcipiuntur : sed tale per formationem. Docemur igitur non curiose examinare inexplicabiles creationis modos.

V. 9. « Et ad finem loquar. » Si sententiam protulero.

V. 11. « Ecce ego fingo. » Pœnalia mala intelligit, et quoniam homines non omnium suorum peccatorum memoriam habent. *Fingo*, ait : illa ante oculos vestros pono, ut patiendo ea reminiscamini quæ peccastis.

V. 12. « Et dixerunt. » Petulanter locuti sunt : Enixe persistemus in his quæ agimus. Tu, inquit, nos a bonis operibus aversos prava sectatos esse ais, et nos mala ipsa sequemur.

V. 14. « Nunquid deficient. » Petra Christus est, ubera sermo nutriens; nix peccatorum purgatio. Intelligi etiam possunt per ubera et Novum et Vetus Testamentum. An igitur in quoquam defeci ad bene faciendum illis, et nutriendas eorum animas?

« Nunquid declinabit. » Quid hoc? ait; nonne sunt in hac vita qui velut aqua ventorum vi sæviens æstu agitentur? et tamen neque mea beneficia cogitarunt, neque vitæ hujus instabilitatem, sed vitam hanc ita degunt, et inæquale iter faciunt, quasi putantes, toto sæculo se hic victuros. Quapropter et infirmabuntur in viis ipsorum, frustra Deo iniqua mente suffientes. *Semitas* vero *funiculosque* pro eodem ponit, ac si diceret vias.

V. 16. « Et sibilum sempiternum. » Quoniam vel admirantes, vel illudentes homines sibilum edere solent.

V. 17. « Sicut ventum. » Omnes æque affligam. Ventus enim urens æque omnes exurit.

V. 18. « Dorsum, et non faciem ostendam. »

[16] Act. I, 12.

A τῆς κρίσεως ἡμέρᾳ μὴ ὡς ἀλλότριος καὶ ἀντίδικος ἀντικαταστῇς μοι, ὦ Κύριε, ἀλλὰ φειδόμενός μου συγχώρησόν μοι τὰ ἁμαρτήματα.

« Καὶ καταισχυνθήτωσαν. » Τοὺς δαίμονας καταρᾶται· οὐ γὰρ βούλεται ὁ ἅγιος ἀνθρώπους τῇ διηνεκεῖ παραδοῦναι κολάσει· ὅτι καὶ τῆς κακίας εἰσὶν ἐφευρεταὶ καὶ ἐπαναγκασταὶ τοῖς ἀνθρώποις καὶ διδάσκαλοι.

« Τοῦ μὴ εἰσφέρειν. » Μέτρον φανερὸν ἐδάδιζον· τὸ γὰρ εἰς μῆκος ὁδεύειν, ἔργον εἶναι ἐδόκει, καὶ τοῦτό ἐστι τὸ ἐν ταῖς Πράξεσι, *Σαββάτου ἔχων ὁδόν*.

« Καὶ ἀνάψω. » Ἀσβέστου πυρὸς μνημονεύσας ὁ λόγος, εἰς θεωρίας ἡμᾶς παραπέμπει, ὅτι τὴν μὴ ἀποτιθεμένην τὰ φορτία τῆς ἁμαρτίας ψυχὴν, πῦρ
B αἰώνιον δέχεται.

ΚΕΦΑΛ. ΙΗ'.

« Καὶ πάλιν. » Τὴν διὰ τοῦ βαπτίσματος ἀνάπλασιν αἰνίττεται.

« Καθὼς ἤρεσεν. » Οὐ καλὸν τὴν γνώμην, ἢ κακόν. Τοῦτο γὰρ τῆς προαιρέσεως, καὶ τοῦ αὐτεξουσίου· ἀμέλει καὶ ἁμαρτάνοντες μετανοεῖν κελεύονται· ἀλλὰ τοιόνδε τὴν πλάσιν. Διδασκόμεθα οὖν μὴ πολυπραγμονεῖν τοὺς ἀνεφίκτους τῆς δημιουργίας τρόπους.

« Καὶ πέρας λαλήσω. » Ἐὰν ἀποφαίνωμαι.

« Ἰδοὺ ἐγὼ πλάσσω. » Κατὰ τὰς κακώσεις τὰς τιμωρητικὰς, φησὶν, καὶ ἐπειδήπερ οἱ ἄνθρωποι οὐ
C πάντων τῶν ἁμαρτημάτων αὐτῶν μέμνηνται. *Πλάττω*, φησίν· αὐτὰ ἐπ' ὄψεσιν ὑμῶν ἄγω, ἵνα διὰ τῶν τιμωριῶν ἀναμνησθῆτε, ὧν ἡμαρτήκατε.

« Καὶ εἶπαν. » Ἀναιδῶς ἐφθέγξαντο λέγοντες, Ἰσχυρῶς ἐπιμενοῦμεν, οἷς πράττομεν. Σὺ λέγεις, φησὶν, ὅτι Ἀποστραφέντες ἀπὸ τῶν καλῶν ἔργων, ἠκολουθήσαμεν τοῖς φαύλοις· ὀπίσω αὐτῶν τῶν φαύλων ἀκολουθήσομεν.

« Μὴ ἐκλείψωσιν. » Πέτρα ὁ Χριστὸς, μαστοὶ δὲ ὁ τρόφιμος λόγος· χιὼν δὲ, ἡ τῶν ἁμαρτημάτων κάθαρσις. Νοοῦνται δὲ μαστοὶ καὶ ἡ νέα, καὶ ἡ παλαιὰ διαθήκη. Μή τι οὖν ἐνέλειψα εὖ ποιῶν αὐτοῖς, καὶ διατρέφων αὐτῶν τὰς ψυχάς;

« Μὴ ἐκκλίνει. » Τί δέ φησιν; Οὐκ εἰσὶν ἐν τῷδε τῷ βίῳ κλυδωνιζόμενοι, ὥσπερ ὕδωρ ὑπὸ βιαίου
D ἀνέμου φερόμενον; καὶ ὅμως οὔτε τὰς ἐμὰς εὐεργεσίας ἐλογίσαντο, οὔτε τοῦ παρόντος βίου τὸ ἄστατον· ἀλλ' οὕτως εἰσὶ ἐν τούτῳ τῷ βίῳ πορευόμενοι, καὶ τὴν ἀνώμαλον τοῦ βίου βαδίζοντες πορείαν ὡς νομίζοντες, ὅτι τὸν αἰῶνα ἐνταῦθα μενοῦσι. Διὸ καὶ ἀσθενήσουσιν, ἐν ταῖς ὁδοῖς αὐτῶν, εἰς μάτην θυμιῶντες Θεῷ μετὰ φαύλης γνώμης. *Τρίβους* δὲ καὶ *σχοίνους*, τὸ αὐτό φησιν, ἀντὶ τοῦ, τὰς ὁδούς.

« Καὶ σύριγμα. » Ὅτι θαυμάζοντες ἢ χλευάζοντες οἱ ἄνθρωποι, συρίζειν πεφύκασιν.

« Ὡς ἄνεμον. » Πάντας ὁμοίως θλίψω. Ὁ γὰρ καύσων ἄνεμος ἐπίσης ἅπαντας καταφλέγει.

Ἴδιον τῶν δρυαλώτων τὸ κύπτειν εἰς γῆν, ὡς

Digitized by Google

αὐχένα δεικνύναι μᾶλλον ἢ πρόσωπον. Ἢ ὅτι τῶν ἀπεστραμμένων οὐ τὸ πρόσωπον, ἀλλὰ τὸν αὐχένα ὁρῶμεν, ὅπερ τοῦ Θεοῦ δηλοῖ τὴν ἀποστροφήν. A

« Ὅτι οὐκ ἀπολεῖται. » Ἐβουλεύσαντο λέγοντες· Ὁ Ἱερεμίας ἱερεύς ἐστι, καὶ ἀναγκαίως οἶδε τὸν νόμον, καὶ προφήτης ὤν, οἶδε τὸ ἐσόμενον· καὶ συνετὸς ὢν οἶδε τὸ δέον. Δεῦτε οὖν, φησὶν, ἐρεθίσωμεν αὐτὸν λόγοις, καὶ πάντως ἐρεῖ ἡμῖν τὰ ἐκβησόμενα.

« Καὶ τὴν κόλασιν. » Ἄλλα διὰ γλώττης προφέροντες, τὴν κατ' ἐμοῦ ἀπώλειαν κρυπτῶς ἐμηχανῶντο.

ΚΕΦΑΛ. ΙΘ'.

« Ἠχήσει τὰ ὦτα αὐτοῦ. » Τουτέστι θορυβηθήσεται. Ἦχος γὰρ ἐμπίπτων ἀκοαῖς θόρυβον ἐμποιεῖ. B

« Πολυάνδριον. » Πολυάνδριον τάφος, καὶ ἐπειδὴ ἴσως κατερρυηκὼς ἦν, οὕτως ἐκαλεῖτο ἡ διάπτωσις, ὁ τάφος υἱοῦ Ἐννόμ.

« Καὶ σφάξω. » Ἀντὶ τοῦ, τοὺς βουλευσαμένους τὴν κακὴν βουλήν.

« Ἐν τῇ περιοχῇ. » Ἐν τῷ περισχεῖν τοὺς πολεμίους τὴν πόλιν· τουτέστι, πολιορκῆσαι.

« Καθὼς ὁ τόπος. » Ἐν τοῖς διαπίπτουσι τόποις τὰς ἀκαθαρσίας ῥίπτειν πεφύκασιν. Οὕτως οὖν, φησὶ, παρασκευάσω γενέσθαι τὴν πόλιν, καὶ τὰς οἰκίας, ἐν αἷς εἰδωλολάτρουν.

« Ταφέθ. » Τὸ Ταφὲθ, *διάπτωσις* ἑρμηνεύεται, ὅθεν ἐλθὼν ὁ προφήτης τὰ αὐτὰ προλέγει κακά· ἐσκλήρυναν δὲ τὸν τράχηλον, καθάπερ τὰ ὑποζύγια ἀνανεύοντα πρὸς ζυγόν. C

ΚΕΦΑΛ. Κ'.

« Καὶ ἤκουσε Πασχώρ. » Πασχὼρ, ἱερεὺς ἦν οὗτος, καὶ πρῶτος τῶν ψευδοπροφητῶν.

« Εἰς τὸν κατάῤῥακτον. » Ἐν ἰδιάζοντι τόπῳ τοῦ ναοῦ.

« Σὺν πᾶσι τοῖς φίλοις. » Τοῖς συμπράττουσί σοι ἐν τῷ ψευδοπροφητεύειν.

« Ἠπάτησάς με. » Ἔστι μὲν *ἀπάτην* καλεῖ [ἀπάτη καλῇ] ἡ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον μεταβολή. Ὁ δὲ Ἀκύλας· *Ἐθελξάς με, καὶ ἐθέλχθην*, ἐξέδωκεν. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὑπέσχου μοι, Κύριε, ὑπερασπίζειν μου, καὶ ἐᾷς με ἐν ταῖς τοιαύταις περιστάσεσιν. Φησὶ δὲ τοῦτο, οὐ Θεὸν αἰτιούμενος, ἀλλ' ὅπερ καὶ Παῦλός φησιν, *Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα*. Ἢ καὶ οὕτως· Ἠπατήθην, νομίζων αὐτοὺς βελτίους γενέσθαι διὰ τῶν προῤῥήσεων τῶν σῶν, καὶ οὐ γεγόνασι. D

« Ὅτι πικρῷ λόγῳ μου γελάσομαι ἀθεσίαν. » Ἔστι γὰρ γέλως πικρὸς, ὑπὸ συνοχῆς ψυχῆς ἐκφερόμενος. Καὶ διὰ τοῦ γέλωτος τούτου, φησὶν, ὑποδείκνυμι, ὅτι ταλαιπωρῶ ὑπ' αὐτῶν.

« Οὐ μὴ λαλήσω ἔτι. » Διὰ τὸ μηδένα εἶναι τὸν πειθόμενον.

« Καὶ ἐγένετο ὡς πῦρ. » Ὁ ὑπὲρ τοῦ Θεοῦ ζῆλος.

« Ἐπισυστῆτε. » Ταῦτα ἔλεγον οἱ ἐπιβουλεύοντες τῷ προφήτῃ, ὅτι Τηρήσατε αὐτοῦ πάντας τοὺς λό-

Proprium est captivorum, humi vultum demittere, ut potius cervicem, quam faciem ostendant. Vel quod eorum qui sunt aversi, non faciem, sed cervicem videmus, quod indicat aversionem a Deo.

« Non enim peribit. » Consilium inierunt dicentes : Jeremias sacerdos est, et necessario novit legem, et propheta cum sit, futura cognovit; et scit ut prudens quid agendum sit. Venite igitur, aiunt, verbis ipsum stimulemus, et quæ sunt eventura propalabit omnino.

V. 20. « Et punitionem suam. » Aliud ore proferentes meam perniciem clam machinabantur.

CAP. XIX.

V. 3. « Et tinnient aures ejus. » Hoc est turbabitur : sonus enim in aures illabens turbationem ingerit.

V. 6. « Polyandrium. » Polyandrium monumentum est, et quia fortasse collapsum erat, sic vocabatur ruina, sepultura filii Ennom.

V. 7. « Et jugulabo. » Ac si diceret, illos qui malum consilium inierunt.

V. 9. « In obsidione. » Dum hostes circumdabunt civitatem, id est, obsidebunt.

V. 13. « Sicut locus. » In loca ruinosa solent projicere sordes. Sic igitur, ait, per me civitati et domibus fiet, in quibus idola colebant.

« Tapheth. » Tapheth *ruina* interpretatur, unde propheta veniens eadem mala prædicit; induraverunt vero cervicem, sicuti jumenta jugum detrectantia.

CAP. XX.

V. 1. « Et audivit Paschor. » Paschor, sacerdos hic erat, pseudoprophetarumque caput.

V. 2. « In cataractam. » In peculiari templi loco.

« Cum omnibus amicis. » Qui tibi socii erant, dum falsa prædiceres.

V. 7. « Decepisti me. » Est præterea bona *seductio* de malo in bonum mutatio. Aquila vero reddidit, *Allexisti me, et allectus sum*, quasi dicat : Promisisti, Domine, defendere me, et deseris in his necessitatibus. Dicit vero hoc, non Deum accusans, sed quod et Paulus ait, *De hoc ter Deum rogavi*. Vel sic : Deceptus sum, arbitratus eos probiores evasuros tuis prædictionibus, et non evaserunt.

V. 8. « Quia amaro verbo ridebo prævaricationem. » Est enim risus amarus, qui ex turbato animo provenit. Et per derisionem hanc, ait, ostendo me ab eis misere agere.

V. 9. « Nec loquar ultra. » Eo quod nullus esset qui dictis pareret.

« Et factus est quasi ignis. » Zelus qui pro Deo habetur.

V. 10. « Insultate. » Hæc dicebant, qui prophetæ struebant insidias : Observate nempe omnes illius

Digitized by Google

sermones, si concordes sunt : ut si in aliquo sibi pugnantia dicere deprehenderetur, tanquam mendacem interimerent.

« Idcirco persecuti sunt. » Quoniam Deus mecum est; quodque res dedecore dignas agunt.

V. 14. « Dies in qua peperit me mater mea. » Tanquam non valde curans invehitur in res non exstantes et jam præteritas quæ maledictioni obnoxiæ esse non possunt, ut solum quod sibi contigerat malum declararet.

V. 15. « Maledictus homo. » Aiunt Julium suis in Commentariis dixisse Ananiam pseudoprophetam nuntiasse primum Chelciæ patri Jeremiæ natum illi filium masculum : jure igitur illi maledicit, ut qui populi excidii causa fuerit. Mystice vero ita intelliges : Hominem Scriptura sæpe vocat diabolum. Maledictus itaque, ait, sit diabolus, qui Patri nostro Deo dixerat : Ecce masculus est homo, scilicet fortis, permitte ut illum tentem.

V. 16. « Audiat clamorem. » Secundum litteram, cito : spiritaliter vero, Perterrefiat, inquit, diabolus in apparitione et ortu veri solis Jesu Domini nostri.

« Et ululatum. » Ad litteram quidem, Adhuc, inquit, in felicitate positus Ananias vocem hostium audiet : spiritaliter vero : Meridie cruci affigitur Christus, cum et diabolus perfecte victus est. Ululatus enim clamor est hostibus devictis.

« Quia non interfecit me. » Hoc præstare Ananias non poterat, itaque spiritaliter potius accipiendum : ait igitur : Voluntatis impetum non retardavit antequam se ad malum converteret, manifestans mihi pravitatem iniquitatis, et non inseminans illam cum prætextibus et occultatione.

V. 17. « Et facta est mihi mater mea. » Cur, ait, in ipso proposito non stetit, et soluta est cogitatio, nec ad opus perduxi quod volui ?

V. 18. « Ut quid ita ? Egressus » Peccatum dolorum laborumque origo est, et peccanti pœnitere affert. Sermo igitur hic varium deflet statum.

CAP. XXI.

V. 1. « Quando misit ad eum Sedecias. » Sedecias in Babylonii potestatem redactus, rursus ab illo rex creatur Jerusalem, jurejurando præstito, se ab illo non discessurum, sed fracto fœdere rursus a Babylonio bello vexatur.

V. 9. « Et egrediens accedere. » Tanquam se divino non opponens judicio, cui placuit eos in Babyloniorum potestatem venire.

« Et erit anima ejus. » Hoc est, Animam suam lucrabitur.

V. 12. « Judicate mane. » *Mane*, id est, cito pœnitentiam agite.

γους, εἰ σύμφωνοί εἰσιν· ἵνα ἐὰν εὑρεθῇ κατά τι αὐτῷ ἐναντιούμενος, ἀνέλωσι αὐτὸν ὡς ψεύστην.

« Διὰ τοῦτο ἐδίωξαν. » Ὅτι Θεὸς μετ' ἐμοῦ ἐστι, καὶ ὅτι ἀτιμίας ἄξια πράττουσιν.

« Ἡ ἡμέρα, ἐν ᾗ ἔτεκέ με ἡ μήτηρ μου. » Ὡς ὀλιγωρῶν ἐπὶ τὰ ἀνυπόστατα καὶ ἤδη παρῳχηκότα, τὰ μὴ δυνάμενα κατάραν δέξασθαι ἐκφέρει τοὺς λόγους· ἵνα δείξῃ μόνον τὴν συμβᾶσαν αὐτῷ περίστασιν.

« Ἐπικατάρατος. » Φασὶν τὸν Ἰοῦλον ἐν οἰκείοις συγγράμμασιν εἰρηκέναι, ὡς Ἀνανίας ὁ ψευδοπροφήτης αὐτὸς πρῶτος εἶπε τῷ Χελκίᾳ τῷ πατρὶ τοῦ Ἱερεμίου, ὅτι ἐτέχθη αὐτῷ παιδίον ἄρρεν. Ἐνδίκως οὖν αὐτῷ καταρᾶται ὡς αἴτιον τῷ λαῷ γενόμενον ἀπωλείας. Πρὸς διάνοιαν δὲ οὕτω νοήσῃς· Ἄνθρωπον ἡ Γραφὴ πολλαχοῦ τὸν διάβολον καλεῖ. Ἐπικατάρατος οὖν, φησίν, ἔστω ὁ διάβολος, ὃς εἴρηκεν τῷ Πατρὶ ἡμῶν τῷ Θεῷ, Ἰδοὺ ἄρσεν ἐστὶν ὁ ἄνθρωπος, τουτέστιν ἀνδρεῖος· δὸς ἵνα πειράσω αὐτόν.

« Ἀκουσάτω κραυγος. » Πρὸς μὲν τὸ ῥητὸν, ταχύ· πρὸς δὲ διάνοιαν, Πτοηθείη, φησὶν, ὁ διάβολος ἐν τῇ ἐπιφανείᾳ, καὶ ἐν τῇ ἀνατολῇ τοῦ ἀληθινοῦ ἡλίου Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

« Καὶ ἀλαλαγμοῦ. » Πρὸς μὲν τὸ ῥητὸν, Ἔτι, φησὶν, εὐθυνούμενος ὁ Ἀνανίας ἀκούσει τῆς φωνῆς τῶν πολεμίων· πρὸς δὲ διάνοιαν, Ἐν μεσημβρίᾳ σταυροῦται ὁ Κύριος· ὅτε καὶ τελείως ἠττήθη ὁ διάβολος· ἀλαλαγμὸς γὰρ, βοὴ κατὰ πεπτωκότων πολεμίων.

« Ὅτι οὐκ ἀπέκτεινέ με. » Τοῦτο ποιεῖν Ἀνανίας οὐκ ἠδύνατο· ὡς δικαιότερον εἰς θεωρίαν ἰδεῖν. Φησὶν οὖν, ὅτι Οὐκ ἀνέκοψε τὴν ὁρμὴν τῆς προαιρέσεως, πρὶν τὴν ἐπὶ τὸ φαῦλον δέξασθαι τροπὴν, φανερώσας μοι τὴν κακίαν τῆς ἁμαρτίας, καὶ μὴ μετὰ δικαιωμάτων καὶ ἐπικρύψεως ταύτην μοι ἐγκατασπείρας.

« Καὶ ἐγένετό μοι ἡ μήτηρ μου. » Ἵνα τί, φησὶν, ἐν αὐτῇ προθέσει ἐναπέμεινε, καὶ διελύθη ὁ λογισμὸς, καὶ μὴ εἰς ἔργον ἤνεγκα τὸ βούλημα;

« Ἵνα τί τοῦτο; Ἐξῆλθον. » Ἡ ἁμαρτία τῶν πόνων καὶ τῶν μόχθων αἰτία γέγονε· ποιεῖ δὲ καὶ μετάμελον τῷ ἁμαρτάνοντι. Θεὼρεται οὖν τὴν τροπὴν ὁ λόγος.

ΚΕΦΑΛ. ΚΑ'.

« Ὅτε ἀπέστειλε πρὸς αὐτὸν ὁ βατιλεὺς Σεδεκίας. » Ὁ Σεδεκίας αἰχμάλωτος γεγονὼς ὑπὸ τοῦ Βαβυλωνίου, πάλιν ὑπ' αὐτοῦ κατεστάθη βασιλεύειν τῆς Ἱερουσαλὴμ, ὅρκους αὐτῷ δεδωκὼς, μὴ ἀθετήσειν αὐτόν· παραβάντος δὲ αὐτοῦ τὰς συνθήκας, πάλιν ἐπιστρατεύει ὁ Βαβυλώνιος.

« Καὶ ὁ ἐμπορευόμενος. » Ὡς μὴ ἀντιταττόμενος τῷ θείῳ κρίματι, τῷ δικαιώσαντι παραδοθῆναι αὐτοὺς τοῖς Βαβυλωνίοις.

« Καὶ ἔσται ἡ ψυχή. » Ἀντὶ τοῦ, Κερδανεῖ τὴν ψυχὴν αὐτοῦ. »

« Κρίνατε πρωΐ. » Τὸ *πρωΐ*, ἀντὶ τοῦ, ταχέως μετανοήσατε.

Digitized by Google

« Καὶ καυθήσεται. » Τὴν τροφὴν φησιν, εἶλε γὰρ καὶ αὐτὴν ὁ Βαβυλώνιος.

A

ΚΕΦΑΛ. ΚΒ'.

« Καὶ ἐπάξω ἐπὶ σέ. » Ἐπειδὴ κέδρων ἐξῆς μνημονεύει, σημαίνων τοὺς ἐν ὑπεροχῇ, ἀναγκαίως καὶ πέλεκυν εἶπεν.

« Ὡκοδόμησας. » Ὑπερῷα νόει, τὰ ὑψώματα, τὰ ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Ὁ ὑφαίνων οὖν, φησὶν, ἑαυτῷ ψευδοδοξίας δόγματα.

« Μὴ βασιλεύσεις. » Ἐζήλωσας, φησὶ, τὸν πατέρα σου Ἄχαζ, καὶ ἐσπούδασας νικῆσαι αὐτὸν ἐν ἀσεβείᾳ.

« Ταφὴν ὄνου ταφήσεται. » Ἀντὶ τοῦ, Τάφος αὐτῷ γενήσονται αἱ τῶν σαρκοφάγων ὀρνίθων καὶ κυνῶν γαστέρες· ἵνα εἴποι, ὅτι ὁ τάφος παραῤῥιφήσεται. Πρὸς δὲ διάνοιαν, ταφὴν ὄνου θάπτεται ὁ ἀλογίᾳ συζῶν καὶ ταύτῃ συναποθνήσκων.

B

« Ὅτι συνετρίβησαν. » Ἐραστὰς τῆς Ἱερουσαλὴμ νοήσεις μὲν καὶ τοὺς δαίμονας, νοήσεις δὲ καὶ τοὺς ψευδοπροφήτας, οἵτινες δοκοῦντες αὐτῆς ἐρᾶν, ἠπάτων αὐτήν.

« Ἐλάλησα πρὸς σέ. » Οἱ ἀληθεῖς προφῆται, ὧν οὐκ ἤκουσας λεγόντων σοι τὰ σὰ παραπτώματα.

« Πάντας τοὺς ποιμένας σου ποιμανεῖ ἄνεμος. » Ἀντὶ τοῦ, εἰς διασκορπισμὸν ἔσονται.

« Κατοικοῦσα ἐν τῷ Λιβάνῳ. » Ἐν τῇ γῇ τῆς ἐπαγγελίας.

« Ἐννοσσεύουσα ἐν ταῖς κέδροις. » Πιστεύουσα, καὶ καταφεύγουσα τοῖς παρὰ σοὶ δυνατοῖς.

C

« Ζῶ ἐγὼ, λέγει Κύριος. » Ἐὰν οὕτως ὑποκρινόμενος ἀπαρτήσῃ ἑαυτὸν εἰς θεοσέβειαν, καὶ ἀγαθὰς ἐργάσηται πράξεις, τοῦτο γάρ ἐστι τὸ ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐγὼ ὁ Θεὸς εἰδὼς, ὅτι τὸν καιρὸν ὑποκρίνεται, οὐ φείσομαι αὐτοῦ. Ἀποσφράγισμα δὲ, δακτύλιον φησί. Δακτύλιον δὲ ἐν χειρὶ Θεοῦ, πρᾶξις ἀγαθὴ κακῶν ἀμέτοχος. Ἢ καὶ οὕτως· Ἐὰν εἰς τὸν οὐρανὸν ἀναβῇ φεύγων, ὅπερ ἀμήχανον, ἐκεῖθεν αὐτὸν ἐκσπάσας παραδώσω τοῖς πολεμίοις.

« Γῆ, γῆ, ἄκουσον. » Τὴν γῆν μαρτύρεται, ἐφ' ἣν τὰς ἀδικίας ἐποιεῖτο.

ΚΕΦΑΛ. ΚΓ'.

« Καὶ ἐξώσατε. » Ἐκ τῆς θεοσεβοῦς πολιτείας.

D

« Καὶ καταστήσω. » Εἰς τὸ πάλιν τὰ θεῖα δρέπεσθαι δόγματα.

« Καὶ ἀναστήσω. » Τοὺς τῶν ἐκκλησιῶν προεδρους.

« Οὐδὲ πτοηθήσονται. » Ἰουδαῖοι οὐδὲν ἔχουσι πρὸς τοῦτο λέγειν. Μετὰ γὰρ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τελείως τῆς γῆς μετανάσται γεγόνασιν. Ἀμφίβολος [ἀναμφίβολος] οὖν αὕτη ἡ προφητεία περὶ Χριστοῦ.

« Ἰδοὺ ἡμέραι ἔρχονται. » Τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, καὶ ἐκ Δαβὶδ κατὰ σάρκα.

« Ἐν ταῖς ἡμέραις... σωθήσεται. » Ἰούδας, ὁ κατὰ

« Et devorabit. » Alimentum ait, quod etiam Babylonius abstulit.

CAP. XXII.

V. 7. « Et inducam super te. » Quoniam cedrorum in sequentibus meminit, significans eos qui sunt in dignitate positi, necessario et securim adjunxit.

V. 14. « Ædificasti. » Cœnacula intellige altitudines, quæ contra divinam cognitionem extolluntur. Itaque ait, Qui sibi ipsi falsæ opinionis dogmata texit.

V. 15. « Nunquid regnabis. » Æmulatus es, ait, Achaz patrem tuum, eumque impietate superare studuisti.

V. 19. « Sepulcro asini sepelietur. » Quasi dicat : Sepulcrum ipsi erunt carnivororum volucrum et canum ventres; ut sit dictum quod sepulcrum projicietur. Ad sensum vero mysticum, sepulcro asini sepelitur, qui sine ratione vivit, et sine ratione moritur.

V. 20. « Quia contriti sunt. » Amatores Jerusalem intelliges et dæmones, et pseudoprophetas, qui cum eam viderentur amare, decipiebant.

V. 21. « Locutus sum ad te. » Veraces prophetæ quos non audisti nuntiantes tibi delicta.

« Omnes pastores tuos pascet ventus. » Hoc est dispergentur.

V. 23. « Quæ habitas in Libano. » In terra promissionis.

« Quæ nidificas in cedris. » Fidens, et ad eos confugiens, quos potentes arbitraris.

V. 24. « Vivo ego, dicit Dominus. » Si ita dissimulans ad pietatem sese componat, et bonis operibus se exerceat, hoc namque est, *in manu dextera mea*, ego Deus, sciens illum ad tempus dissimulare, non parcam illi. *Obsignaculum* vero annulum vocat : annulus vero in manu Dei, actio bona a malo immunis. Vel sic : Si in cœlum fugiens ascenderit, quod fieri non potest, inde illum avellens hostibus tradam.

V. 29. « Terra, terra, audi. » Terram invocat testem, in qua scelera patrabat.

CAP. XXIII.

V. 2. « Vos expulistis. » Ex ea vitæ ratione, qua Deus colitur.

V. 3. « Et constituam. » Ut iterum divina decerpant dogmata.

V. 4. « Et suscitabo. » Ecclesiarum præsides.

« Et non formidabunt ultra. » Nihil ad hæc respondere possunt Judæi. Nam post regressum e Babylone omnino terra pulsi sunt. Certissime igitur hoc vaticinium de Christo intelligi debet.

V. 5. « Ecce dies venient. » Dominum nostrum Jesum Christum, qui ex Patre est ante sæcula, et ex David secundum carnem natus est.

V. 6. « In diebus ejus... et salvabitur. » Judas, qui

Digitized by Google

in abscondito Judæus [15]; qui in spiritu recipit circumcisionem. Israel spiritualis, qui per Christum mentem adeptus est, qua Deus videtur.

« Josedec. » Josedec interpretatur, *Joa justus*, hoc est justitia nostra; vel *Jao*, qui est, et futurus est, Josedec, et propter eamdem appellationem Jesu filii Josedec, qui dux fuit filiorum Is ael, e captivitate redeuntium. Sæpe enim Scriptura et ex nominibus judicat res, ut videre est in Melchisedec, qui *rex pacis* interpretatur. *Inter prophetas*, quando et prophetæ appellationem non dedignatus est, sicut factus est homo Filius Dei, prophetarum Dominus, juxta Moysis vaticinium dicentis : *Prophetam vobis suscitabit Dominus Deus vester ex fratribus vestris sicut me; in omnibus ipsum audietis* [16].

V. 9. « Contritum est cor meum. » Expavit propheta in ænigmate Christi mysterium contemplatus.

V. 10. « Quia a facie. » Pseudoprophetarum et pseudomagistrorum.

« Arefacta sunt. » Institutiones, quibus rationalia nutriuntur ovilia.

« Et fortitudine eorum. » Non tantum, inquit, valuerunt quantum deliberarunt. Volebant enim, si potuissent, et pejora facere.

V. 11. « Et in domo mea. » Nam in Dei templo idola collocaverant, sicuti et Ezechiel viderat [17].

V. 12. « Idcirco via illorum fiat. » Quando sese extra lucem statuerunt, in tenebris ibunt et caligine.

V. 16. « Quia vanam faciunt vobis visionem. » Inanes et dæmoniacas visiones tanquam veras proferunt.

V. 18. « Quoniam quis stetit in substantia? » Non tantum, ait, falsa prophetabant, sed et veris prophetis falsitatis notam inurentes dicebant : Mentiuntur. Quis enim accessit ad Deum, ut sermones ejus audiret?

V. 19. « Et donec statuerit illud ab aggressione. » Donec, ait, quod aggressus est consilium Deus, hoc est, quod voluit re ipsa præstet.

V. 22. « Quod si stetissent in substantia mea. » Pro eo quod est : Si propinquassent mihi. Vel sic : Si rem prophetiæ a me accepissent, hoc est, si a me fuissent edocti, utique populum meum avertissent a pravis eorum studiis.

V. 28. « Propheta in quo somnium est. » Cum et a Deo quandoque sint somnia, indicium assignat inanium verorumque somniorum ipse exitus. Nam quæ a Deo sunt insomnia, vera omnino sunt. Quæ vero a dæmonibus, non plane; utrisque igitur prophetis congruit hic sermo, veris et falsis.

« Quid palea ad triticum? » Palea, ignis alimentum, est pseudoprophetarum sermo; triticum vero homini vitalem largitur vim, sermo veracis prophetæ; quæ enim consociatio mendacii et veritatis?

[15] Rom. II, 29. [16] Deut. XVIII, 15. [17] Ezech. VIII, 16.

A τὸ κρυπτὸν Ἰουδαῖος· ὁ τὴν ἐν πνεύματι λαμβάνων περιτομήν, Ἰσραὴλ ὁ πνευματικὸς, ὁ διὰ Χριστὸν νοῦν κτησάμενος ὁρῶντα Θεόν.

« Ἰωσεδέκ. » Ἰωσεδὲκ ἑρμηνεύεται, *Ἰωὰ δίκαιος*, τουτέστι δικαιοσύνη ἡμῶν· ἢ *Ἰωὰ*, ὢν καὶ ἐσόμενος, Ἰωσεδέκ· καὶ διὰ τὴν ὁμωνυμίαν υἱοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἡγησαμένου τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῆς αἰχμαλωτίας. Πολλάκις γὰρ ἡ Γραφὴ καὶ ἀπὸ ὀνομάτων τὰ πράγματα κρίνει· ὡς ἐπὶ τοῦ Μελχισεδὲκ, ὃς ἑρμηνεύεται *βασιλεὺς εἰρήνης*. *Ἐν τοῖς προφήταις* ἐπειδὴ καὶ προφήτης ἠξίωσε κληθῆναι, καθὸ γέγονεν ἄνθρωπος, ὁ τοῦ Θεοῦ Υἱὸς, ὁ τῶν προφητῶν Δεσπότης, κατὰ τὸν διὰ Μωσέως χρησμὸν λέγοντα, *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ὡς ἐμέ· κατὰ πάντα αὐτοῦ ἀκούσεσθε.*

B

« Συνετρίβη ἡ καρδία μου. » Ἐπτοήθη ὁ προφήτης, ἐν αἰνίγματι τὸ κατὰ Χριστὸν θεωρήσας μυστήριον.

« Ὅτι ἀπὸ προσώπου. » Τῶν ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων.

« Ἐξηράνθησαν. » Αἱ διδασκαλίαι, δι' ὧν τὰ λογικὰ τρέφονται ποίμνια.

« Καὶ ἡ ἰσχὺς αὐτῶν. » Οὐ τοσοῦτον, φησὶν, ἴσχυσαν, ὅσον καὶ ἐβουλεύσαντο. Ἐβούλοντο γὰρ εἰ ἠδύναντο καὶ χείρονα ποιεῖν.

« Καὶ ἐν τῷ οἴκῳ μου. » Ἐν γὰρ τῷ θείῳ ναῷ εἴδωλα ἀπέθεντο, ὡς καὶ Ἰεζεκιὴλ ἐθεώρησεν.

« Διὰ τοῦτο γενέσθω ἡ ὁδὸς αὐτῶν. » Ἐπειδὴ C τοῦ φωτὸς ἔξω ἑαυτοὺς κατέστησαν, ἐν σκοτίᾳ καὶ γνόφῳ πορεύονται.

« Ὅτι ματαιοῦσιν ἑαυτοῦ ὅρασιν; » Τὰς ματαίας καὶ δαιμονικὰς ὁράσεις ὡς ἀληθεῖς προσφέρουσι.

« Ὅτι τίς ἔσται ἐν ὑποστήματι; » Οὐ μόνον, φησὶ, ψευδῆ προεφήτευον, ἀλλὰ καὶ διαβάλλοντες τοὺς ἀληθεῖς προφήτας, ἔλεγον· Ψεύδονται. Τίς γὰρ ἐπλησίασε τῷ Θεῷ, ἵνα καὶ ἀκούσῃ τῶν λόγων αὐτοῦ;

« Καὶ ἕως ἂν στήσῃ αὐτὸ ἀπὸ ἐγχειρήματος. » Ἕως ἂν, φησὶν, ὁ προεχειρίσατο βούλευμα ὁ Θεὸς, τουτέστιν, ὃ ἠθέλησεν, εἰς ἔργον ἀγάγῃ.

« Καὶ εἰ ἔστησαν ἐν τῇ ὑποστάσει μου. » Ἀντὶ τοῦ, Εἰ ἐπλησίασάν μοι· ἢ οὕτως· Εἰ τὴν ὑπόστασιν τῆς προφητείας παρ' ἐμοῦ ἔσχον, τουτέστι, εἰ παρ' D ἐμοῦ ἦσαν σοφισθέντες, τὸν λαόν μου ἀπέστρεφον ἂν ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν.

« Ὁ προφήτης ἐν ᾧ τὸ ἐνύπνιόν ἐστι. » Ἐπειδή εἰσι καὶ ἐκ Θεοῦ ἐνύπνια, δεῖγμα πάλιν ποιεῖται τῶν ψευδῶν καὶ ἀληθινῶν ἐνυπνίων τὰ ἀποτελέσματα, ὅτι τὰ μὲν ἐκ Θεοῦ ἐνύπνια, πάντως ἀληθεύει, τὰ δὲ ἐκ δαιμόνων, οὐ πάντως. Πρὸς ἑκατέρους οὖν τοὺς προφήτας ἁρμόζει ὁ λόγος, τούς τε ἀληθεῖς, καὶ ψευδεῖς.

« Τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; » Ἄχυρον τροφὴ πυρὸς, τῶν ψευδοπροφητῶν ὁ λόγος· σῖτος δὲ ἀνθρώπῳ ζωτικὴν χαρίζεται δύναμιν, ὁ λόγος τοῦ ἀληθοῦς προφήτου. Ποία γὰρ κοινωνία τῷ ψεύδει πρὸς τὴν ἀλήθειαν;

Digitized by Google

« Οὐκ ἰδοὺ οἱ λόγοι. » Τουτέστιν, ἐνεργεῖς καὶ δυνατοί.

« Καὶ νυστάζοντας νυσταγμὸν αὐτῶν. » Τουτέστι, νήψεως μὴ μετέχοντες.

« Τί τὸ λῆμμα Κυρίου. » *Λῆμμα* ὀργὴ μετὰ θυμοῦ, ἐκ τοῦ τὸν ἰσχυρότερον λαβόντα τὸν ἀσθενέστερον καταῤῥηγνύναι. Καλεῖται δὲ *λῆμμα*, καὶ ὁ χρηματισμός.

« Καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον. » Ἀντὶ τοῦ, *τιμωρήσομαι*, κεῖται.

« Καὶ λῆμμα Κυρίου. » Ἡ ὀργή, φησὶ, τῷ ἀνθρώπῳ ἐκ τοῦ αὐτῶν στόματος κατασκευάζεται· ὁ γὰρ Θεὸς ἀόργητός ἐστιν, ἐπεὶ καὶ ἀπαθής· διὰ τοῦτο κελεύει, μὴ λέγεσθαι *λῆμμα Κυρίου*. Οὐ γὰρ Θεὸς ὀργίζεται, ἀλλ' ἑαυτοῖς τὴν ὀργὴν κατασκευάζομεν.

A

B

ΚΕΦΑΛ. ΚΔ'.

« Ἔδειξέ μοι Κύριος δύο καλάθους. » Οἰκειότερον ἐπὶ τῆς τοῦ Χριστοῦ ἐλευθερίας [*Ισ.* ἐλεύσεως] νοήσεις τοῦτο.

« Καὶ στηριῶ τοὺς ὀφθαλμούς. » Σημείωσαι, ὅτι τὸ στηρίζειν τὸν Θεὸν τοὺς ὀφθαλμοὺς, ἐπὶ ἀμφοτέρων κεῖται, ἀγαθοῦ καὶ κακοῦ· καὶ γὰρ ἐν τοῖς ἀνωτέρω εἶπε· *Στηριῶ τοὺς ὀφθαλμούς μου εἰς κακά.*

CAP. XXIV.

V. 1. « Ostendit mihi Dominus duos calathos. » Aptius hoc intelliges de Christi adventu.

V. 6. « Et firmabo super eos oculos meos. » Notandum Deum firmare oculos, accipi in bonam et in malam partem; nam et supra dixerat : *Firmabo oculos meos ad mala.*

ΚΕΦΑΛ. ΚΕ'.

« Ἐν τρισκαιδεκάτῳ ἔτει Ἰωσία. » Εἴκοσι καὶ τρία ἔτη, φησὶ, σπουδαίως διαμαρτύρομαι ὑμᾶς ἀπέχεσθαι τῆς εἰδωλολατρείας, καὶ οὐκ ἠκούσατε· διὸ παραδώσω ὑμᾶς τοῖς Χαλδαίοις ἑβδομήκοντα ἔτη.

« Καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων. » Τὸ *ὀρθρίζων*, ἀντὶ τοῦ, μετὰ σπουδῆς· ὡς ἤδη λοιπὸν τοῦ χρόνου τῆς ὀργῆς πλησιάζοντος.

« Πατριὰν ἀπὸ Βορρᾶ. » Τοὺς Βαβυλωνίους.

« Ὀσμὴν μύρου. » Τὸν τέλειον τῆς λαμπρότητος αὐτῶν, καὶ πάσης χαρᾶς καὶ εὐημερίας ἀφανισμὸν ἐδήλωσεν.

« Οὕτως εἶπε Κύριος... λάβε τὸ ποτήριον. » Τὸ ποτήριον ἐπὶ ἐκδικήσεως κεῖται.

« Καὶ ἐπότισα. » Ἀντὶ τοῦ πληροφορίαν ἐδεξάμην, ὅτι πάντως ἔσται αὐτοῖς ἡ τιμωρία.

« Καὶ πάντα περικεκαρμένον κατὰ πρόσωπον αὐτοῦ. » Τουτέστι, τοὺς μόρφωσιν εὐσεβείας ἔχοντας, τοῖς δὲ οἰκείοις θελήμασι πορευομένους.

« Καὶ πάντας τοὺς συμμίκτους. » Μετὰ τὴν ἱστορίαν, τοὺς μὴ οἰκείους τῆς πίστεως νόει.

« Καὶ ἔσται, ὅταν μὴ βούλωνται δέξασθαι τὸ ποτήριον. » Ἐπειδή εἰσί τινες μὴ εὐχαρίστως δεχόμενοι τὴν θείαν παιδείαν.

« Ὅτι ἐν πόλει. » Τὴν πόλιν, φησὶν, ἐφ' ἣν ὠνομάσθη τὸ ὄνομά μου, ἁμαρτάνουσαν τιμωροῦμαι· πόσῳ μᾶλλον τοὺς μὴ εἰδότας με;

« Ὑπὸ τοῦ οἰκητηρίου. » Δῆλον δὲ, ὅτι τοῦ οὐρανοῦ.

« Ἐπὶ τοῦ τόπου. » Ἐν τῷ τόπῳ ἑαυτοῦ, ᾧ χρηματίζει. Οἱ ἄξιοι, φησὶ, τοῦ σώζεσθαι, οἷς ἂν χρηματίσῃ Θεὸς, ἀποκριθήσονται, παρακαλοῦντες ἐνδο-

C

D

« Nonne ecce verba. » Nempe ardentes et potentes.

V. 31. « Et dormitant dormitationem suam. » Hoc est non vigilantes animo.

V. 33. « Quæ est prophetia in nomine Domini? » *Lemma* ira est cum furore, cum robustior captum imbecilliorem allidit : vocatur item *lemma* et quæstus.

V. 39. « Et ulciscar hominem illum. » Pro *puniam* positum est.

« Et assumptionem Domini. » Ira, ait, homini proprio ore paratur. Deus quippe non irascitur, quia non subjacet affectibus : idcirco præcepit non dici *lemma Domini*. Nam Deus non irascitur, at nos ipsi iram nobis comparamus.

V. 28. « Et erit, cum noluerint accipere calicem. » Nam multi sunt, qui Dei correptionem non accipiunt cum gratiarum actione.

V. 29. « Quia in civitate. » Civitatem, ait, in qua invocatum est nomen meum, peccantem punio, quanto magis eos qui me non noverunt?

V. 30. « De habitaculo. » Clarum est, quod de cœlo.

« In loco suo. » Digni, ait, qui salventur, quos allocutus fuerit Deus, respondebunt tempus sibi concedi rogantes donec perfecte fructum afferant; vin-

Digitized by Google

demiantes enim vocat eos qui fructum ferunt.

« Venit interitus. » Sancti etenim in internecione non comprehenduntur. Hæc etiam intelligi possunt de universali Dei judicio.

« Ecce mala. » Post ea quæ tempore Babylonii fuerant, ea quoque dicit, quæ in consummatione erunt : *Insurget enim gens contra gentem* [18].

« Et turbo magnus. » Confusio magna, et perturbatio extremis sæculi temporibus.

V. 33. « Et erunt. » Post exteriorem litteræ sensum, et eos qui ab iniquitatibus vulnerati sunt intellige.

« Ululate. » Clamorem hinc, non eum qui devictis hostibus, sed qui fit in ejulatibus intelligit. Pastores vero sunt populi duces.

« Et plangite, arietes ovium. » Primates in populo.

« Et cadetis. » Qui enim mactat, saginatum mactat.

V. 36. « Quia vastavit. » Si de Judæis intelligatur, sacrificia, cæteraque legalia omnia ; si vero generaliter, vitæ eorum instituta.

V. 38. « Dereliquit. » Apud Judæos quidem suum templum dereliquit Dominus ; in consummatione vero, quasi leoni derelinquent diversorium, sic dæmoni permittitur egredi contra homines.

« Quia facta est. » Quoniam homines facti sunt jumentis similes, Satanas vero fera est, tanquam in deserto simul pasci permittuntur, eo quod charitas refrixit.

CAP. XXVI.

V. 2. « Sic dixit Dominus : Sta in atrio domus Domini. » Contestari Deus prophetam præcipit de servanda lege divina, ne in illos ira veniret.

V. 6. « Et urbem hanc dabo in maledictionem. » Ut maledicta sit, et homines inimicis suis similia deprecentur.

V. 7. « Et audierunt. » Vides quomodo furore exardescant, et ægre ferant? et certe ob idipsum neci tradendus non erat ; si enim Deus præcepit, parere oportet. Hoc verbum vos pungit, in eum vero qui templo honoratior est, contumeliosos esse, non malum, non impium est? Sane, dictum hoc animos eorum valde pungebat.

« Et convenit Ecclesia. » Congregatus est universus populus seniorum terræ circumjacentis.

V. 17. « Et mons. » Mons in quo situm erat templum, in desolationem.

V. 24. « Itaque manus Achicam. » Achicam unus hic erat e magnatibus, qui Jeremiæ favebat.

CAP. XXVII.

V. 2. « Sic dixit Dominus : Fac tibi vincula. » Præcipit Deus prophetæ, ut collo suo aptaret cate-

[18] Matth. xxiv, 7.

A θῆναι αὐτοῖς, ἕως ὅτε τελείως καρποφορήσωσι· τρυγῶντας γάρ φησι τοὺς καρποφοροῦντας.

« Ἥκει ὄλεθρος. » Οὐ γὰρ συμπαραλαμβάνονται οἱ ἅγιοι τῇ πανωλεθρίᾳ. Ταῦτα δὲ ἁρμόζει νοεῖν καὶ ἐπὶ τῆς καθολικῆς τοῦ Θεοῦ κρίσεως.

« Ἰδοὺ κακά. » Μετὰ τὰ ἐπὶ τοῦ Βαβυλωνίου γεγονότα, καὶ τὰ ἐπὶ τῆς συντελείας φησίν· *Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος.*

« Καὶ λαίλαψ. » Σύγχυσις μεγάλη καὶ ταραχὴ ἐπ' ἐσχάτοις τοῖς τοῦ αἰῶνος καιροῖς.

« Καὶ ἔσονται. » Μετὰ τὸ αἰσθητὸν, καὶ τοὺς ὑπὸ τῆς ἁμαρτίας τετραυματισμένους νόει.

B Ἀλαλάξατε. » Ἀλαλαγμὸν ἐνταῦθα οὐκ ἐπὶ νίκῃ τῶν πολεμίων, ἀλλ' ἐπὶ ταῖς οἰμωγαῖς φησιν. Ποιμένες δὲ οἱ ἡγούμενοι τοῦ λαοῦ.

« Οἱ κριοὶ τῶν. » Οἱ κατ' ἐξοχὴν ἐν τῷ λαῷ.

« Καὶ πεσεῖσθε. » Ἐπειδὴ ὁ σφάζων τὸ εὐτραφὲς σφάξει.

« Ὅτι ὠλόθρευ. » Ἐπὶ μὲν Ἰουδαίων τὰς θυσίας, καὶ πάντα τὰ ἄλλα νόμιμα· ἐπὶ δὲ τοῦ καθόλου τὰς διαγωγὰς αὐτῶν.

« Ἐγκατέλιπεν. » Ἐπὶ μὲν Ἰουδαίων ὁ Κύριος τὸν ἑαυτοῦ ναὸν καταλέλοιπεν· ἐπὶ δὲ τῆς συντελείας, ὡς λέων καταλελοιπὼς κατάλυμα, οὕτως συγχωρεῖται ὁ Σατανᾶς ἐξελθεῖν κατὰ τῶν ἀνθρώπων.

C « Ὅτι ἐγενήθη. » Ἐπειδὴ οἱ ἄνθρωποι κτηνώδεις γεγόνασιν, ὁ δὲ Σατανᾶς ἐστι θηρίον, ὡς ἐν ἐρήμῳ συγχωροῦνται ἅμα νέμεσθαι, διὰ τὸ ψυγῆναι τὴν ἀγάπην.

ΚΕΦΑΛ. ΚϚ'.

« Οὕτως εἶπε Κύριος· Στῆθι ἐν αὐλῇ οἴκου Κυρίου. » Διαμαρτύρασθαι κελεύει Θεὸς τῷ προφήτῃ τοὺς Ἰουδαίους, ἐπὶ τῷ φυλάττειν τὰ θεῖα νόμιμα, ἵνα μὴ ἐπέλθῃ αὐτοῖς ἡ ὀργή.

« Καὶ τὴν πόλιν δώσω εἰς κατάραν. » Ἵνα ᾖ ἐπικατάρατος, καὶ τοὺς αὐτῶν δὲ ἐχθροὺς οἱ ἄνθρωποι ἵνα ἔχωνται [εὔχωνται] τὰ ὅμοια παθεῖν.

« Καὶ ἤκουσαν. » Ὁρᾷς, πῶς ἀγριαίνουσι καὶ ἀγανακτοῦσι; καὶ μὴν δι' αὐτὸ τοῦτο ἀναιρεθῆναι οὐκ ἐχρῆν. Εἰ γὰρ Θεὸς ἐπέταξε, πεισθῆναι δεῖ. Τοῦτο ὑμᾶς λυπεῖ τὸ ῥῆμα, τὸ δὲ τὸν τοῦ ναοῦ τι- D μιώτερον ἐνυβρίζειν, οὐ πονηρὸν, οὐκ ἀσεβές ; Πάνυ αὐτοὺς ἔδακνε τὸ ῥηθέν.

« Καὶ ἐξεκλησιάσθη. » Συνήχθη πᾶς ὁ λαὸς τῶν πρεσβυτέρων τῆς γῆς τῆς περιχώρου.

« Καὶ τὸ ὄρος. » Τὸ ὄρος, ἐφ' ᾧ κεῖται ὁ ναὸς, εἰς ἐρήμωσιν.

« Πλὴν χεὶρ Ἀχεικάμ. » Ἀχεικὰμ εἷς ἦν οὗτος τῶν δυνατῶν, προϊστάμενος Ἱερεμίου.

ΚΕΦΑΛ. ΚΖ'.

« Οὕτως εἶπε Κύριος· Ποίησον σεαυτῷ δεσμούς. » Κελεύει ὁ Θεὸς τῷ προφήτῃ κλοιοὺς ἐμβαλεῖν εἰς

Digitized by Google

τὸν τράχηλον ἑαυτοῦ, καὶ πέμψαι τούτους πρὸς τοὺς βασιλεῖς, ὧν μέμνηται.

« Καὶ τὰ θηρία. » Θηρία ἐνταῦθα ἀγροῦ, τὰ πρὸς γεωργίαν ἐπιτήδεια κτήνη φησίν.

« Εἰ προφῆταί εἰσι. » Εἰ μὲν ἐκ τοῦ Θεοῦ ὁ λόγος, οὕτω νόησον· Εἰ ἐγὼ αὐτοὺς ἀπέστειλα, δυνηθῶσι διαφυγεῖν με, φύγωσι τὴν ὀργήν· εἰ δὲ ἐκ τοῦ προφήτου ὁ λόγος, Ἐλθωσι, φησὶ, καὶ διακριθῶσι μετ' ἐμοῦ.

A nas, easque mitteret regibus quorum hic mentio fit.

V. 6. « Et bestias agri. » Bestias hic agri vocat jumenta ad terram colendam idonea.

V. 18. « Si prophetæ sunt. » Si ex persona Dei sermo est, sic intellige : Si ego eos misi, possint effugere me, fugiant iram ; si vero ex persona prophetæ : Veniant, ait, et mecum disceptent.

ΚΕΦΑΛ. ΚΗ'.

« Ἀληθῶς οὕτω ποιήσαι Κύριος. » Ἀντὶ τοῦ, Γένοιτο οὕτως, ὡς σὺ φῂς, γενέσθω.

« Ἐπιγνώσονται. » Τουτέστι, τὸ πέρας τῶν πραγμάτων δείξει τῶν λόγων τὴν ἀλήθειαν.

« Βάδιζε καὶ εἰπὸν πρὸς Ἀνανίαν. » Ἐπ' ἐλέγχῳ B τῆς ἀσεβείας ὑπηρετεῖ τῷ προστάττοντι, μηδένα κίνδυνον ὑφορώμενος. Οὐδεὶς γὰρ λόγος τῆς προσκαίρου τοῖς ἁγίοις ζωῆς, ὅταν κελεύσῃ Θεός· τὸν δὲ Θεὸν εἰς δίκην ἐκίνησεν Ἀνανίας ἐναντιούμενος. Ἕτερα δὲ λέγειν ὁ προφήτης παρὰ τὰ προστεχθέντα δοκεῖ. Ἰσοδυναμοῦντα λέγων ἐσύστερον ὁ Πέτρος, *Ἀνανία*, φησὶ, *διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαι τὸ Πνεῦμα τὸ ἅγιον;* Ὅθεν σὺν τῷ ἐλέγχῳ, ἡ τῆς κολάσεως ἀπειλὴ, τὸ δίκαιον τῆς τιμωρίας ἐμφαίνουσα. Ἐκ Θεοῦ τοίνυν οἱ παρὰ τοῦ προφήτου λόγοι· καὶ μαρτυρεῖ τῆς προφητείας ἡ ἔκβασις.

CAP. XXVIII.

V. 6. « Vere sic faciat Dominus. » Hoc est, Fiat ; ut ita asseris eveniat.

V. 9. « Cognoscent. » Hoc est, rerum exitus ostendet sermonum veritatem.

V. 13. « Vade et dic ad Ananiam. » Ad redarguendam impietatem præcipienti obedit, nullum reformidans periculum. Sancti enim nihili eaducam hanc æstimant vitam, cum Deus mandaverit : Deum vero in ultionem Ananias induxit se opponens. Alia vero præter ea quæ mandata sunt, dicere videtur propheta ; perinde tamen valentia Petrus quoque postea, *Anania*, ait, *ut quid implevit Satanas cor tuum mentiri Spiritui sancto* [22] ? Unde una cum reprehensione adfuere pœnarum minæ justam punitionem ostendentes. A Deo itaque sermones prophetæ, et attestatur vaticinii exitus.

ΚΕΦΑΛ. ΚΘ'.

« Ὕστερον ἐξελθόντος Ἰεχονίου. » Μετὰ τὸ ἀποικισθῆναι τὸν Ἰεχονίαν.

« Ἐν χειρὶ Ἐλεάσαμ. » Διὰ τούτων ἐπέμφθη ἡ ἐπιστολή.

« Οὕτως εἶπε Κύριος. » Τοιαύτη τῆς ἐπιστολῆς ἡ ἀρχή. Ἀναιρῶν τοίνυν τὴν τούτων ἀπάτην, μακρότατον αὐτοῖς γενήσεσθαι λέγει τῆς ἀποικίας τὸν χρόνον. Κελεύει δὲ καὶ ὑπὲρ τῶν πολεμίων προσεύχεσθαι. *Τοῦτο γὰρ ἔσται*, φησὶ, καὶ *ὑπὲρ τῆς ὑμετέρας εἰρήνης*. Οὕτω καὶ Παῦλος ὑπὲρ πάντων τῶν ἐν ὑπεροχῇ κελεύει προσεύχεσθαι, *ἵνα ἥρεμον*, φησὶν, *καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι*. Ὁ αὐτὸς γάρ ἐστι Θεὸς, ὃς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. Πῶς οὖν πονηρὸς ὁ Δημιουργός ; ἢ τί παραλλάττει τοῦτο τοῦ ἐν Εὐαγγελίῳ ῥηθέντος· *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς* ; Ἆρ' οὖν οὐκ ἐπηρεάσθησαν ἀπὸ [ἴσ. οἱ ἀπὸ] Ἰερουσαλὴμ ὑπὸ Βαβυλωνίων ; ἀλλ' ὅμως προσεύχονται ὑπὲρ αὐτῶν.

« Καὶ ζητήσατε εἰς εἰρήνην. » Προσεύξασθε, φησὶν, εἰρήνην τοῖς Βαβυλωνίοις, ἵνα καὶ ὑμεῖς εἰρηνεύητε. Σημείωσαι, ὅτι δεῖ προσεύχεσθαι ὑπὲρ τῶν κρατούντων, κἂν Ἕλληνες ὦσιν.

« Καὶ ἐπιστήσω. » Τουτέστιν, Ὄψεσθε τῶν ἐμῶν λόγων τὴν ἀλήθειαν.

« Ὅτι εἴπατε· Κατέστησεν ἡμῖν Κύριος προφήτας. » Ψευδοπροφῆται ἦσαν καὶ ἐν τῇ Ἱερουσαλὴμ

C

CAP. XXIX.

V. 2. « Postquam egressus est Jechonias. » Postquam Jechonias abductus est.

V. 3. « In manu Eleasam. » Per hos epistola missa est.

V. 4. « Sic dixit Dominus. » Hoc est initium epistolæ. Eorum itaque fraudem tollens, transmigrationis ait fore tempus longissimum, præcipitque ut pro hostibus quoque Deo preces fundant. *Hoc* enim, ait, *et pro vestra pace erit.* Sic et Paulus pro omnibus qui in sublimitate sunt, jubet orare, *ut quietam*, inquit, *tranquillamque vitam agamus, in omni pietate et castitate* [23]. Idem enim est Deus, qui novissimis diebus locutus est nobis in Filio. Quomodo igitur Opifex improbus est ? aut in quo differt hoc ab eo quod in Evangelio dictum est : D *Diligite inimicos vestros, et orate pro persequentibus vos* [24] ? Annon infestarunt Hierosolymitanos Babylonii ? orant tamen pro eis.

V. 7. « Et quærite ad pacem. » Precamini, ait, pacem Babyloniis, ut et vos eam habeatis. Nota, orandum esse pro principibus, licet infideles sint.

V. 10. « Et suscitabo. » Hoc est, meos sermones veros esse conspicietis.

V. 15. « Quia dixistis : Constitit nobis Dominus prophetas. » Pseudoprophetæ erant et in Jerusa-

[22] Act. v, 3. [23] I Tim. II, 2. [24] Matth. v, 44.

Digitized by Google

lem populum decipientes, et in captivitate seducentes eos qui in transmigratione degebant.

V. 24. « Super Achiab et super Sedeciam. » Illi senes illi esse dicuntur, qui Susannæ adulterium obtulerunt.

V. 26. « Dominus dedit te sacerdotem. » Ad Sameam dicit Deus : *Ego te prophetam non constitui, nec mandavi tibi ut Sophoniæ scriberes adversus Jeremiam.*

V. 32. « Ecce ego visitabo. » Præfinitum tempus revocationis. Quod ab ipso Samea scriptum erat.

CAP. XXX.

V. 5. « Vocem timoris audiotis. » Evangelicarum præceptionum.

« Et non est pax. » *Non enim veni,* Dominus ait, *pacem mittere in terram, sed gladium.*

« Interrogate. » Interrogate, ait, divinas Litteras, ab illisque discite, si nascetur vobis masculus, videlicet Dominus. Nam quia per unum Adam mundus in peccatum lapsus est, jure de secundo Adam prædicit, per quem facta redemptio libertasque.

« Et de timore. » Qui timent, duce ipsa natura lumbum tenere solent. Timor itaque, ait, evangelicorum erit mandatorum, per quem timorem robur habebit, et salvabitur.

« Quia vidi. » Omnes enim horruerunt exactam in evangelicis præceptis disciplinam, turbatisque præ horrore visceribus lumbos tenuerunt. Spiritaliter vero lumbum tenet, qui partes seminales comprimit, et abstinet a coitu.

V. 7. « Quia magna facta est dies illa. » Dies temporis incarnationis Dominicæ, et crucis, et resurrectionis : universam quippe illius dispensationem vocat diem.

V. 12. « Suscitavi contritionem. » *Quoniam,* inquit, *magna est plaga tua, nemoque tibi opem ferre potuit, sed et amici tui obliti sunt tui propter iniquitatem tuam :* amicos vero animæ legem intelliges, et prophetas, et sanctos angelos. Quando igitur, ait, nemo tibi subvenire potuit, ego per meum Filium, qui secundum carnem filius David erit, suscitabo tuam contritionem.

V. 14. « Quia plaga inimici. » Quoniam, ait, propter iniquitates tuas te dereliqui, ob meam pietatem te curo.

V. 16. « Propterea omnes qui comedunt te. » Inimici, ait, tui, dæmones suas comedent carnes : per hæc vero denotat quam amara illi pœna plectentur.

V. 15. « Ad multitudinem. » Simul adorti sunt, ait, cum iniquitatum tuarum multitudine.

V. 16. « Et erunt. » Qui circumducunt te dissipabuntur.

V. 17. « Quia adducam. » Factum quippe homo Dei Verbum naturam humanam sanavit.

« Venatio vestra est. » Quod a Deo te dispersc-

A ἀπατῶντες τὸν λαόν. Ἦσαν δὲ καὶ ἐν τῇ αἰχμαλωσίᾳ ἀπατῶντες τοὺς ἐν τῇ ἀποικίᾳ.

« Ἐπὶ Ἀχιὰβ καὶ ἐπὶ Σεδεκίαν. » Οὗτοι λέγονται οἱ κατὰ Σωσάνναν πρεσβύτεροι.

« Κύριος ἔδωκέ σε ἱερέα. » Πρὸς τὸν Σαμέα φησὶν ὁ Θεὸς, ὅτι *Οὐκ ἐγώ σε κατέστησα εἰς προφήτην, οὐδὲ ἐγώ σοι ἐκετειλάμην γράψαι τῷ Σοφονίᾳ κατὰ Ἱερεμίου.*

« Ἰδοὺ ἐγὼ ἐπισκέψομαι. » Ἡ προθεσμία τῆς ἀνακλήσεως. Τὸ γραφὲν παρ' αὐτοῦ τοῦ Σαμέα.

ΚΕΦΑΛ. Λ'.

« Φωνὴν φόβου ἀκούσεσθε. » Τὴν τῶν εὐαγγελικῶν προσταγμάτων.

B « Καὶ οὐκ ἔστιν εἰρήνη. » *Οὐ γὰρ ἦλθον,* φησὶν ὁ Κύριος, *βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν.*

« Ἐρωτήσατε. » Ἐρωτήσατε, φησὶ, τὰς Γραφὰς, καὶ μάθετε ἐξ αὐτῶν, εἰ γεννηθήσεται ὑμῖν ἄρσεν, τουτέστιν ὁ Κύριος. Ἐπειδὴ γὰρ δι' ἑνὸς τοῦ Ἀδὰμ ὁ κόσμος ἐφ' ἁμαρτίαν ἦλθεν, εἰκότως περὶ τοῦ δευτέρου Ἀδὰμ προφητεύει, δι' οὗ ἡ ἀπολύτρωσις.

« Καὶ περὶ φόβου. » Φυσικῶς οἱ φοβούμενοι τὴν ὀσφὺν κρατεῖν πεφύκασιν. Φόβος οὖν, φησὶ, ἔσται τῶν εὐαγγελικῶν προσταγμάτων, δι' οὗ φόβου ἕξει τὴν ἰσχὺν, καὶ σωθήσεται.

« Διότι εἶδόν με. » Πάντες γὰρ ἔφριξαν τὴν ἀκρίβειαν τῶν εὐαγγελικῶν προσταγμάτων, καὶ ὑπὸ τῆς φρίκης τὰ ἐντὸς ταραττόμενοι τὰς ὀσφῦς ἐκράτησαν. Πρὸς δὲ διάνοιαν, κρατεῖ ὀσφύος ὁ περισφίγγων τὰ σπερματικὰ, καὶ ἀπεχόμενος συνουσιασμοῦ.

« Ὅτι μεγάλη ἡ ἡμέρα. » Ἡ τοῦ χρόνου τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, καὶ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως· ὅλην γὰρ αὐτοῦ τὴν οἰκονομίαν ἡμέραν καλεῖ.

« Ἀνέστησα σύντριμμα. » Ἐπειδὴ, φησὶν, *μεγάλη σου ἡ πληγὴ, καὶ οὐδείς σοι ἠδυνήθη ἐπαμῦναι, ἀλλὰ καὶ οἱ φίλοι σου ἐπελάθοντό σου διὰ τὴν ἁμαρτίαν σου·* φίλους δὲ τῆς ψυχῆς νοήσεις τὸν νόμον, καὶ τοὺς προφήτας, καὶ ἁγίους ἀγγέλους. Ἐπειδὴ οὖν, φησὶν, οὐδείς σοι ἠδυνήθη ἐπαμῦναι, ἐγὼ διὰ τοῦ ἐμαυτοῦ Υἱοῦ, τοῦ κατὰ σάρκα Δαβὶδ, D ἀναστήσω σου τὸ σύντριμμα.

« Ὅτι πληγὴν ἐχθροῦ. » Ἐπειδὴ διὰ τὰς ἁμαρτίας σου, φησὶν, ἐγκατέλιπόν σε, διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν ἰῶμαί σε.

« Διὰ τοῦτο πάντες οἱ ἐσθίοντές σε. » Οἱ ἐχθροί σου, φησὶ, δαίμονες τὰς ἑαυτῶν κατέδονται σάρκας· ἐμφαίνει δὲ διὰ τούτων τὸ πικρὸν τῆς κατ' αὐτῶν τιμωρίας.

« Ἐπὶ πλῆθος. » Συνεπέθεντο, φησὶ, τῷ πλήθει τῶν ἁμαρτιῶν σου.

« Καὶ ἔσονται. » Οἱ περιφέροντές σε σκορπισθήσονται.

« Ὅτι ἀνάξω. » Γεγονὼς γὰρ ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος ἰάσατό τὴν ἀνθρωπότητα.

« Θήρευμα ὑμῶν ἐστιν. » Ὅτι διεσκόρπισάν σε

Digitized by Google

ἀπὸ Θεοῦ. Ὁ βουλόμενος, φησὶν, ἐθήρευσεν αὐτὴν, ὡς μὴ ἔχουσαν ποιμένα.

« Οὕτως εἶπε Κύριος. » Ἔχει μὲν ὁ λόγος ἀγγελίαν τῆς ἐκ Βαβυλῶνος ἐπανόδου· προθεσπίζει δὲ τὴν διὰ Χριστοῦ ἀπολύτρωσιν τῶν ἐθνῶν.

« Καὶ οἰκοδομηθήσεται. » Πρὸς μὲν τὸ ῥητὸν, ἡ κατεστραμμένη Ἱερουσαλὴμ· πρὸς δὲ διάνοιαν, ἡ Ἐκκλησία.

« Καὶ ὁ λαός. » Κατὰ τὰ νόμιμα πολιτεύσεται· ὁ μὲν ἐκ τῆς αἰσθητῆς αἰχμαλωσίας, κατὰ τὰ Μωσαϊκά· ὁ δὲ τῆς Ἐκκλησίας λαὸς, κατὰ τὰ εὐαγγελικά.

« Καὶ ἐξελεύσονται ἀπ' αὐτῶν ᾄδοντες. » Τρίς μὲν αἰχμαλώτοις ἐπαγγελίαν χαρᾶς ἔχει ὁ λόγος. ἌΙδοντας δὲ, τοὺς Θεὸν ἐν τῇ ἐκκλησίᾳ ὑμνολογοῦντάς φησι· παίζοντας δὲ, τοὺς τῶν δαιμόνων καταπαίζοντας.

« Καὶ ὁ ἄρχων. » Οὐκ ἔτι, φησὶν, ἀλλότριοι ἄρξουσι τοῦ λαοῦ. Ἢ καὶ οὕτως, Ἐξέλιπον γὰρ οἱ Ἰουδαίων ἄρχοντες· φησὶ ὅτι ὁ πάλαι ἄρχων διάβολος τῶν ψυχῶν ἐξελεύσεται, ἀντὶ τοῦ ἀποστήσεται τοῦ τῆς Ἐκκλησίας λαοῦ.

ΚΕΦΑΛ. ΛΑ'.

« Εὗρον θερμόν. » Ἐπειδὴ οἱ πλείονες ὑπὸ τῆς ἁμαρτίας τεθνήκασι, καὶ ὡς ἐν ἐρήμῳ κεῖνται ἐῤῥιμμένοι· εὗρον, φησὶν, ἐν τοῖς κειμένοις θερμὸν, τουτέστιν ἡμιθανῆ, ἐλπίδα ἔχοντα μετανοίας καὶ ζωῆς· φησὶ δὲ ἢ τὸν Ἰσραὴλ, ἢ καὶ πάντα δυνάμενον σώζεσθαι.

« Κύριος πόῤῥωθεν. » Ὁ νῦν πόῤῥωθεν, ὕστερον ὀφθήσεται αὐτῷ.

« Ἔτι λήψῃ τύμπανον. » Μετὰ τὴν αἰσθητὴν Ἱερουσαλὴμ, τὴν Ἐκκλησίαν νόει.

« Ὅτι ἔστιν ἡμέρα. » Τοῦτο σημεῖον οἰκήσεως. Ὅτι δέδωκε, φησὶν, ὁ Θεὸς καιρὸν μετανοίας, ἐν ᾧ ἀπολογούμενοι κληθήσεσθε εἰς σωτηρίαν.

« Ἐν ὄρεσιν Ἐφραίμ. » Τὸν κατὰ χάριν φησί. Διαφόρως δὲ ἡ Γραφὴ καλεῖ τοῦτον τὸν λαόν. Διὸ καὶ Ἐφραὶμ, ἐκ τῶν πολλῶν φυλῶν· ἐκ πάντων γάρ εἰσιν οἱ σωζόμενοι.

« Ἀνάστητε καὶ ἀνάβητε. » Διεγέρθητε, φησὶν, ἐκ τῶν γηΐνων φρονημάτων, καὶ ἀνέλθετε εἰς τὰ οὐράνια, τοῖς πτεροῖς τοῦ πνεύματος κουφιζόμενοι.

« Ἰδοὺ ἐγὼ ἄγω. » Γαυριάσατε, φησὶ, πατοῦντες ἐπὶ τὰς κεφαλὰς τῶν ἐθνῶν. *Ἰδοὺ γὰρ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, εἶπεν ὁ Κύριος.* Τοὺς ἐξ ἐθνῶν φησι, καὶ τοὺς ἐξ Ἰσραὴλ τοὺς εἰς πάντα τὰ ἔθνη διεσπαρμένους, ὕστερον δὲ καὶ αὐτοὺς τευξομένους σωτηρίας.

« Ἐν ἑορτῇ Φασέκ. » Φασὲκ, ἄφεσεως ἑρμηνεύεται. Φησὶν οὖν ὅτι ἐν τῇ Χριστοῦ ἀφέσει τῶν ἁμαρτημάτων σωθήσονται.

« Ἐν κλαυθμῷ. » Ὅτι ἁμαρτία, κλαυθμοῦ αἰτία, ἡ δὲ ἐπιστροφὴ σωτηρίας καὶ παρακλήσεως.

runt. Quicunque voluit, eam venatus est, inquit, veluti pastore carentem.

V. 18. « Sic dixit Dominus. » Sermo quidem hic promittit e Babylone reditum ; vaticinatur autem gentes per Christum liberandas.

« Et ædificabitur. » Ad litteram quidem, eversa Jerusalem ; spiritualiter autem Ecclesia.

« Et populus. » Secundum legitima vitæ rationem instituet : qui a mundana captivitate, juxta Mosaica ; qui vero Ecclesiæ populus est, juxta evangelica.

V. 19. « Et egredientur ab eis canentes. » Captivis gaudium annuntiant hæc verba. Canentes dicit eos qui Deum in ecclesia hymnis laudant ; ludentes vero qui dæmones irrident.

V. 21. « Et princeps ejus. » Non amplius, ait, exteri populo dominabuntur. Vel sic : Defecerunt enim Judæorum principes ; antiquus, ait, animarum princeps diabolus egredietur, hoc est abibit a cœtu Ecclesiæ.

CAP. XXXI.

V. 2. « Inveni calidum. » Major hominum pars peccato mortua est, et jacent velut projecti in deserto ; inveni, ait, inter humi stratos calidum ; semimortuum scilicet, spem pœnitentiæ vitæque habentem : intelligit autem vel de Israel, vel de quovis alio qui salutem consequi possit.

V. 3 « Dominus de longe. » Qui nunc longe est, tandem apparebit illi.

« Adhuc assumes tympanum. » Post sensibilem Jerusalem intelligе Ecclesiam.

V. 6. « Quia est dies. » Hoc signum est inhabitationis. Quoniam, inquit, Deus dedit tempus pœnitentiæ, quo, si pro vobis responderitis, ad salutem vocabimini.

« In montibus Ephrem. » Eum qui secundum gratiam est, ait. Varia porro est in Scriptura hujus populi appellatio. Quapropter et Ephrem, a multis tribubus ; ex omnibus enim sunt qui salvantur.

« Surgite et ascendite. » Surgite, ait, e terrenis cogitationibus, et ascendite ad cœlestia, spiritus elevati alis.

V. 8. « Ecce ego adduco. » Exsultate, ait, gentium capita calcantes. *Ecce* enim *dedi vobis potestatem calcandi super serpentes et scorpiones*[10], *dixit Dominus.* Tum eos dicit qui ex gentibus sunt, tum ex Israel per omnes gentes dispersos, postea vero salutem et ipsos consecuturos.

« In solemnitate Phasec. » Phasec, remissio interpretatur. Ait itaque : In Christi remissione peccatorum salvabuntur.

V. 9. « In ploratu. » Quod peccatum causa ploratus, at conversio salutis et lætitiæ causa est.

[10] Luc. x, 19.

Digitized by Google

« Divertere faciens super fossas. » Super baptismatis fluenta divertere faciens eos.

V. 16. « Audite verba. » Etenim per Christum edocti sumus dicere : *Pater noster qui es in cœlis.* « Quasi pastor. » Ille Dominus qui dicit : *Ego sum pastor bonus*[20].

V. 12. « Et venient. » Ad Ecclesiam, in qua pretiosum corpus et sanguis Christi offertur.

« Et jumentorum. » Signa hæc sunt pacis.

V. 13. « Et senes. » Ecclesiæ in cœtu animarum Christi fide florentium, et canorum prudentia ornatorum.

V. 14. « Inebriabo. » Divinis sermonibus sacerdotes implebo, ut possint docendo lætificare populum.

V. 16. « Quia est merces. » Vel quod mori pro Christo, non caret mercede, vel quod Paulum habebis multum afferentem fructum.

« Et revertentur. » Vel mortui jam filii resurgentes, et in Christo exsistentes ; vel quod Paulus multos e gentibus convertit.

« Stabile filiis tuis. » Et erit, ait, merces perennis filiis tuis vel interfectis, vel Paulo. Semper vero Rachel pro Ecclesia sumitur, quam et plorantem consolatur hic sermo ob persecutiones et cædes propter Christum.

V. 18. « Audiens audi, Ephrem. » Ephrem e gentibus populum vocat.

V. 18. « Ego tanquam vitulus non didici. » Tanquam vitulus, ait, meis iniquitatibus innutritus Dei verba non didici.

« Converte me. » *Quem*, ait, *fructum percipitis de quibus nunc erubescitis*[21] ? itaque dies confusionis, dies peccati vocat.

V. 19. « Et ostendi tibi. » Hoc veluti perenthesis est : *Sicut qui salvatur populus a Deo* ; quasi dicat : Bonum de cæteris exemplum proponam, ut tuo exemplo et alii salvi fiant.

V. 20. « Delicatus. » Quod libero arbitrio ornatus homo, ut in eo sit delicias sibi facere quæ vult.

V. 21. « Siste te ipsam, Sion. » Surge e peccati lapsu. Surge crucis tropæo. Vel sic : Siste temetipsam ; tuas res diligenter examina ; esto tui judex, teque ipsam proba.

« Fac pœnam. » Per Christi fidem et pœnitentiam de malis pœnas sumito, deque dæmonibus ad ea instigantibus.

« Da cor tuum. » Assume, ait, Christi crucem super humeros. Aliter : Ne operias mala, sed ea patefac per confessionem. Aliter : Da illud ad pœnitentiæ labores.

« Via in qua ambulasti. » Quoniam in malis ambulasti, ad bona revertere.

« Revertere. » Revertere ad priora laudabilis vitæ instituta : defle super peccatis jam patratis, lamentum edens beatitudine dignum.

[20] Joan. x, 14. [21] Rom. vi, 21.

A « Αὐλίζων ἐπὶ διώρυγας. » Ἐπὶ τὰ τοῦ βαπτίσματος νάματα κατασκηνῶν αὐτούς.

« Ἀκούσατε λόγον. » Καὶ γὰρ διὰ Χριστοῦ ἐδιδάχθημεν λέγειν· *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.*

« Ὡς ὁ βόσκων. » Ὁ λέγων Κύριος· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.*

« Καὶ ἥξουσι. » Ἐπὶ τὴν Ἐκκλησίαν, ἔνθα τὸ τίμιον σῶμα καὶ αἷμα Χριστοῦ προσφέρεται.

« Καὶ κτηνῶν. » Ταῦτα σημεῖα εἰρήνης.

« Καὶ πρεσβύται. » Αἱ Ἐκκλησίαι ἐν τῇ συναγωγῇ τῶν κατὰ Χριστὸν ἀκμαζουσῶν ψυχῶν, καὶ τῶν ἐν φρονήσει πολιῶν.

« Μεθύσω. » Θείων λόγων πληρώσω τοὺς ἱερεῖς, ὡς δύνασθαι εὐφραίνειν τὸν λόγον [fort. λαὸν] ἐν διδασκαλίᾳ.

B « Ὅτι ἔστι μισθός. » Ἢ ὅτι ἐμισθώθη τὸ ἀποθανεῖν ὑπὲρ Χριστοῦ, ἢ ὅτι ἕξεις τὸν Παῦλον πολὺν φέροντα καρπόν.

« Καὶ ἐπιστρέψουσι. » Ἢ οἱ τελευτήσαντες παῖδες ἀνιστάμενοι, καὶ ἐν Χριστῷ ὄντες, ἢ ὅτι ὁ Παῦλος πολλοὺς ἐξ ἐθνῶν ἐπέστρεψεν.

« Μόνιμον τοῖς σοῖς τέκνοις. » Καὶ ἔσται, φησὶ, διαρκὴς ὁ μισθὸς τοῖς σοῖς τέκνοις ἀνῃρημένοις, ἢ καὶ τῷ Παύλῳ. Ἀεὶ δὲ ἡ Ῥαχὴλ εἰς πρόσωπον τῆς Ἐκκλησίας ἐκλαμβάνεται, ἣν καὶ ὀδυρομένην ὁ λόγος παραμυθεῖται ἐπὶ τοῖς διωγμοῖς καὶ ταῖς ἀναιρέσεσι ταῖς διὰ Χριστόν.

« Ἀκοῦων ἤκουσα, Ἐφραὶμ. » Ἐφραὶμ, τὸν ἐξ ἐθνῶν λαόν φησι.

C « Ἐγὼ ὥσπερ μόσχος οὐκ ἐδιδάχθην. » Ὡς μόσχος, φησὶ, ταῖς ἐμαῖς ἁμαρτίαις ἐντρεφόμενος οὐκ ἐδιδάχθην τὰ θεῖα λόγια.

« Ἐπίστρεψόν με. » *Τίνα*, γάρ, φησὶ, *καρπὸν ἔχετε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε* ; ἡμέρας οὖν αἰσχύνης τὰς τῆς ἁμαρτίας φησί.

« Καὶ ὑπέδειξά σοι. » Τοῦτο διὰ μέσου κεῖται· *Ὥσπερ τὸν σωζόμενον λαὸν ἐκ τοῦ Θεοῦ·* ἀντὶ τοῦ, Ἀγαθόν σε ὑπόδειγμα ποιήσω, ἵνα διὰ τοῦ σοῦ ὑποδείγματος καὶ ἄλλοι σωθῶσιν.

« Ἐντρυφῶν. » Ὅτι τῷ αὐτεξουσίῳ ἐτιμήθη ἄνθρωπος, ὡς ἐξὸν αὐτῷ ἐντρυφᾷν ἐν οἷς ἂν θέλοι.

« Στῆσον σεαυτήν, Σιών. » Διανάστηθι ἐκ τοῦ τῆς ἁμαρτίας πτώματος. Ἀνάστηθι διὰ τοῦ τροπαίου σταυροῦ. Ἢ οὕτως· Στῆσον σεαυτήν· ἀκριβολογήθητι τὰ κατὰ σεαυτήν· πρὸς ἑαυτὴν κρίθητι, καὶ δοκίμασον σεαυτήν.

« Ποίησον τιμωρίαν. » Διὰ τῆς ἐν Χριστῷ πίστεως καὶ τῆς μετανοίας τιμώρησαι τὰ φαῦλα, καὶ αὐτοὺς τοὺς αὐτὰ ἐνεργοῦντας δαίμονας.

« Δὸς καρδίαν. » Ἀνάλαβε, φησὶ, τοῦ Κυρίου τὸν σταυρὸν ἐπὶ τῶν ὤμων. Ἄλλως· Μὴ κρύπτε τὰ φαῦλα, ἀλλὰ φανέρωσον αὐτὰ δι' ἐξομολογήσεως. Ἄλλως· Ἐπίδος αὐτὴν εἰς τὸν κάματον τῆς μετανοίας.

« Ὁδὸν ᾗ ἐπορεύθης. » Ἐπειδὴ πεπόρευσαι ἐπὶ τὰ φαῦλα, ὑπόστρεψον ἐπὶ τὰ ἀγαθά.

« Ἀποστράφηθι. » Ὑπόστρεψον εἰς τὴν ἐξ ἀρχῆς ἐπαινουμένην πολιτείαν, καὶ πένθησον ἐπὶ ταῖς προτέραις ἁμαρτίαις τὸ πένθος τὸ μακαριζόμενον.

Digitized by Google

« Ἕως πότε ἀποστρέψεις; » Μέμφεται αὐτῇ ὡς A βραδυνούσῃ εἰς τὴν ὑπακοήν.

« Ὅτι ἔκτισέ με Κύριος σωτηρίαν. » Ἀκύλας καὶ Σύμμαχος, ὅτι *ἔκτισε Κύριος καινὸν ἐν τῇ θηλείᾳ*, ἐκδεδώκασιν· σαφῶς δὲ διὰ τούτων ὁ καινὸς ἄνθρωπος, ὁ σαρκωθεὶς Λόγος, ὁ ἐκ Παρθένου τεχθεὶς προκατηγγέλθη.

« Ἐν σωτηρίᾳ. » Διὰ Χριστοῦ, φησὶν, ἐπανήξουσιν ἄνθρωποι εἰς παράδεισον, ὅθεν ἐξέπεσον. Τοιαύτην τινὰ δοξολογίαν καὶ οἱ παῖδες ἀνέπεμψαν ἐπὶ τῷ Σωτῆρι,

« Εὐλογημένος Κύριος ἐπὶ δίκαιον. » Ταύτην φησὶ τὴν ὁμνῳδίαν ἀναπέμψουσιν οἱ τῆς Ἐκκλησίας λαοὶ ἅμα τοῖς διδασκάλοις· καὶ εἰς ὕψος ἀρθήσεται ἡ τοιαύτη φωνὴ ἐν τοῖς τῆς Ἐκκλησίας ποιμνίοις.

« Διὰ τοῦτο ἐξηγέρθην. » Ὅτι πιστὸς, φησὶν, ὁ προφήτης ἐδεξάμην τὸ ὅραμα, διὰ τοῦτο ὡς παρόντα τὰ πράγματα ἐθεασάμην.

« Καὶ ὁ ὕπνος μου. » Ὁ τῆς ἀναστάσεως τρόπος. Δηλοῖ δὲ καὶ τὴν ἐκ τῆς ἁμαρτίας ἐλευθερίαν. Ἀναφέρεται δὲ καὶ εἰς τὸν Κύριον ἡ προφητεία· τῷ τὸν θάνατον ὕπνον ἐργασαμένῳ, καὶ θεωροῦντι τῶν πιστῶν τὸ πλῆθος, καὶ χαίροντι ἐπὶ τῷ ἑκουσίως αὐτῷ γεγονότι θανάτῳ.

« Ἰδοὺ ἡμέραι ἔρχονται. » Ἴσως τὴν τῶν αἱρέσεων φύρσιν φησὶ, καὶ τῶν κτηνώδεις τρόπους αἱρουμένων. Ἐγὼ μὲν γὰρ *σπερῶ*, τοῦ εἴδους ἀντιποιούμενος, τούτους δὲ ὁ ἐχθρὸς ἐπισπείρει. Κατὰ δὲ τὸ τῆς Γραφῆς ἰδίωμα, ἐπειδὴ ἃ συγχωρεῖ Θεὸς τοὺς ἀνθρώπους προαιρετικῶς ποιεῖν, αὐτὸς ποιεῖν λέγεται, ὡς τὸ, *Παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας*, οὐ Θεοῦ τοῦτο ποιήσαντος, ἀλλ' αὐτῶν τοῦτο ἑλομένων· οὕτω καὶ ἐνταῦθα κεῖται τὸ, *Σπερῶ σπέρμα κτήνους*. Ἔτι [fort. Ἔστι] δὲ καὶ οὕτω νοῆσαι· Ἄνθρωποί εἰσιν οἱ σοφώτεροι καὶ τελειότεροι, οἱ μετὰ λόγου καὶ γνώσεως τὴν πίστιν κατέχοντες, κτῆνη δὲ οἱ μετὰ ἁπλότητος καὶ ἀπεριέργως τῇ πίστει προσδεδραμηκότες. Ἐγὼ οὖν, φησὶ, καὶ τούτους κἀκείνους ἐν τῇ Ἐκκλησίᾳ καταφυτεύσω.

« Ἀλλ' ἢ ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. « Ἡ τοῦ Ἀδὰμ ἁμαρτία διελθοῦσα εἰς τὸ ἔθνος, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἦλθεν, ὡς εἶπεν ὁ Ἀπόστολος. Χριστοῦ οὖν συγχωρήσαντος ταύτην διὰ τοῦ D λουτροῦ τῆς ἀφέσεως, ἐκαθαρίσθη μὲν ἡ προπατορικὴ ἁμαρτία, ἕκαστος δὲ τῶν οἰκείων ἁμαρτημάτων ὑπέχει λόγον.

« Καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραήλ. » Διαθήκην, τὴν εὐαγγελικήν. Τούτοις δὲ ἐχρήσατο καὶ ὁ Ἀπόστολος εἰς ἀπόδειξιν τοῦ [μὴ] ἐκδεδλῆσθαι τὴν νομικὴν λατρείαν.

« Διδοὺς δώσω. » Τὰς διὰ τοῦ πνεύματος ὑπομνήσεις.

« Ἐὰν ὑψωθῇ. » Ὡς ἀμήχανον, φησὶν, ἀνωτέρω τὸν οὐρανὸν ἀνελθεῖν, ἢ τὴν γῆν κατωτέρω κατελθεῖν· οὕτως ἀμήχανόν με ἀποδοκιμάσαι τὸν Ἰσραήλ· Ἀμε-

V. 22. « Usquequo converteris? » Reprehendit illam, quasi tardam ad obediendum.

« Quoniam creavit me Dominus salutem. » Aquila et Symmachus ita verterunt, *quia creavit Dominus novum in femina*; manifeste autem per hæc novus homo, Verbum incarnatum, quem Virgo peperit, prænuntiatus est.

« In salute. » Per Christum, ait, revertentur homines in paradisum, unde exciderunt. Hunc hymnum et pueri Salvatori cecinerunt[22.23].

V. 23. « Benedictus Dominus super justum. » Hunc, ait, hymnum canent Ecclesiæ populi una cum doctoribus, et in altum tolletur hæc vox in Ecclesiæ gregibus.

B

V. 26. « Ideo expergefactus sum. » Quoniam, inquit propheta, fideliter visionem suscepi, idcirco res uti præsentes sum intuitus.

« Et somnus meus. » Hic resurrectionis modus. Innuit quoque liberationem a peccatis. Refertur etiam ad Dominum hoc vaticinium; qui mortem mutavit in somnum. Videtque fidelium multitudinem, et gaudet quod mortem sponte subierit.

V. 27. « Ecce dies veniunt. » Fortasse indicat hæreseon confusionem, eorumque qui jumentorum moribus utuntur. Ego enim *seminabo*, frumentum percipere cogitans, hos vero inimicus superseminat[25]. Porro secundum divinarum Litterarum dicendi modum, quoniam quæ Deus permittit ab homine fieri libera voluntate, ipse agere dicitur; quale illud est: *Tradidit eos in passiones infamiæ*[26], non quod Deus id fecerit, sed illi id elegerint. Sic et hoc in loco dicitur: *Seminabo semen jumenti*. Possumus vero etiam sic intelligere: Homines sunt sapientiores perfectioresque, qui ratione et notitia fidem tenent; jumenta vero, qui cum simplicitate et sine curiositate fidem sunt amplexati. Ego itaque, ait, et hos et illos in Ecclesia plantabo.

V. 30. « Sed unusquisque in iniquitate sua morietur. » Peccatum Adam transiens in genus, pervenit etiam ad eos qui non peccaverant, quemadmodum dixit Apostolus[27]. Sed cum Christus illud remiserit per lavacrum remissionis, deletum quidem est peccatum originale, unusquisque vero suorum peccatorum reddet rationem.

V. 31. « Disponam domui Israel. » Fœdus novum, evangelicum scilicet. His vero etiam Apostolus[28] est usus, ut legalem cultum jam rejectum ostenderet.

V. 33. « Dans dabo. » Doctrinas quæ per spiritum traditæ sunt.

V. 34. « Si elevatum fuerit. » Sicut, inquit, fieri non potest ut cœlum superius elevari, aut terra petere inferiora possit; sic fieri nequit ut rejiciam

[22.23] Matth. xxi, 9. [25] Matth. xiii, 25. [26] Rom. i, 26. [27] Rom. v, 12. [28] Hebr. viii, 8.

Digitized by Google

Israel : *Dona enim Dei sine pœnitentia sunt*[29], ut ait Apostolus.

V. 36. « Si defecerint. » Non possunt, ait, non esse metæ solis, lunæque : neque genus Israel quod nunc est, per gratiam esse ante faciem meam.

V. 38. « A turribus. » E gratia Dei. Ita enim interpretatur *Anameel*.

« Usque ad portam. » Usque ad consummationem. Cum enim murus ad angulum pervenerit, finem habet.

V. 39. « Ex electis lapidibus. » Ex omnibus gentibus collectam significat Ecclesiam, constructam e lapidibus electis, prophetis, apostolis cæterisque sanctis.

V. 40. « Usque ad torrentem. » Usque ad orientale clima, inquit, descripta domus sanctum erit Domino. Orientis vero equi apostoli sunt. Declaravit itaque e gratia Dei, et sanctis apostolis ædificari Ecclesiam. Dum enim divinæ Scripturæ leguntur, nos ædificamur.

CAP. XXXII.

V. 4. « Et loquetur. » Sedecias ad Babylonium.

V. 14. « Sic dixit. » Venalia, inquit, scribenda curavi : fortasse vero etiam ementes tunc subscribebant se rebus emptis. Ut et posteri scirent ne corrumperentur. Ideoque in vase fictili, ut reversi viderent hæc fuisse ab initio prædicta, ne solum verba, sed et res ipsæ testes essent.

V. 18. « Qui facis misericordiam. » Quoniam illius misericordia multis partibus superabundat

« Et reddis. » Ab Adam usque ad Christi adventum qui peccata patrum sequebantur, pœnis obnoxii fiebant, eo quod nondum facta erat peccati liberatio. At post Christi adventum unusquisque quod seminaverit, hoc et metet : quia non similiter extenditur prævaricatio per imitationem paternæ iniquitatis.

V. 20. « Et in terrigenis. » Impiis, rebus terrenis addictis, vel ipsis Ægyptiis, qui sunt ex ipsa terra.

« Et fecisti. » Sed hunc usque diem nomen, inquit, tibi magnum vel de portentis olim factis.

V. 27. « Ego Dominus. » Qui omnes judicaturus est, et unicuique secundum opera daturus.

V. 30. « Quia fuerunt. » Ut plurimum quidem terra omnis tunc impiorum erat ; at hi soli dicuntur peccare, quoniam divinis legibus eruditi, scienter peccabant.

V. 31. « Quia in iram meam. » Quasi ad hoc, ait, civitas hæc condita est, ut me ad iracundiam provocet, ut propter hoc eam destruam, nolens eam videre.

[29] Rom., xi, 29.

A ταμίλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ, ὡς φησιν ὁ Ἀπόστολος.

« Ἐὰν παύσωνται. » Οὐ δύνανται, φησὶν, [*Ισ.* Οὐ δύνανται, φησὶ, μὴ εἶναι], οἱ ὅροι ἡλίου καὶ σελήνης, οὐδὲ τὸ γένος Ἰσραὴλ τὸ νῦν κατὰ χάριν [τοῦ] εἶναι ἔμπροσθέν μου.

« Ἀπὸ πύργων. » Ἀπὸ χάριτος Θεοῦ· οὕτως γὰρ ἑρμηνεύεται τὸ Ἀναμεήλ.

« Ἕως τῆς πύλης. » Ἕως τῆς συντελείας. Φθάσας γὰρ ἕως γωνίας, τελεῖται ὁ τοῖχος.

« Ἐξ ἐκλεκτῶν λίθων. » Τὴν ἐκ πάντων τῶν ἐθνῶν συνισταμένην Ἐκκλησίαν ἐδήλωσεν, ἐκ λίθων ἐκλεκτῶν οἰκοδομουμένην, προφητῶν, καὶ ἀποστόλων, καὶ τῶν καθεξῆς ἁγίων.

B « Ἕως χειμάρρου. » Ἕως, φησὶ, κλίματος ἀνατολικοῦ ὁ διαγραφεὶς οἶκος, ἔσται ἁγίασμα τῷ Κυρίῳ. Ἕπεσι δὲ Ἀνατολῆς οἱ ἀπόστολοι. Ἐδήλωσεν οὖν, ὡς ἀπὸ χάριτος Θεοῦ καὶ τῶν ἁγίων ἀποστόλων οἰκοδομεῖται ἡ Ἐκκλησία. Τῶν γὰρ θείων Γραφῶν ἀναγινωσκομένων οἰκοδομούμεθα.

ΚΕΦΑΛ. ΛΒ'.

« Καὶ λαλήσει. » Ὁ Σεδεκίας πρὸς τὸν Βαβυλώνιον.

« Οὕτως εἶπε. » Τὰ ὠνιακὰ, φησὶ, γραφῆναι παρεσκεύασα· ἴσως δὲ τότε καὶ ὠνούμενοι ὑπεσημειοῦντο ἐν τοῖς ὠνιακοῖς. Ἵνα καὶ οἱ μετὰ ταῦτα μάθωσιν ὥστε μὴ διαφθαρῆναι. Διὰ τοῦτο ἐν ἀγγείῳ ὀστρακίνῳ, ἵνα ἐπανελθόντες ἴδωσιν, ὅτι ἄνωθεν C ταῦτα προελέγετο, ἵνα μὴ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ τὰ πράγματα μαρτυρήσῃ.

« Ποιῶν ἔλεος. » Ὅτι πολλαπλάσιόν ἐστι τὸ ἔλεος αὐτοῦ.

« Καὶ ἀποδιδούς. » Ἀπὸ Ἀδὰμ ἕως τῆς παρουσίας Χριστοῦ οἱ μιμούμενοι τὰς ἁμαρτίας τῶν πατέρων, ταῖς τιμωρίαις ὑπέκειντο, διὰ τὸ μήπω τὴν ἀπολύτρωσιν τῆς ἁμαρτίας γεγενῆσθαι. Μετὰ δὲ τὴν παρουσίαν τοῦ Χριστοῦ, ἕκαστος λοιπὸν ὃ σπείρῃ, καὶ θερίσει, διὰ τὸ μὴ ὁμοίως ἐκτείνεσθαι ἐκ πατροπαραδότου ἀναστροφῆς ἐπὶ [ἐπὶ *videtur abundare*] τὴν παράβασιν.

« Καὶ ἐν τοῖς γηγενέσι. » Τοῖς ἀσεβέσι, τοῖς τὰ γήϊνα φρονοῦσιν· ἢ καὶ αὐτοῖς τοῖς Αἰγυπτίοις τοῖς D ἐξ αὐτῆς τῆς γῆς.

« Καὶ ἐποίησας. » Ἕως σήμερον, φησὶν, ὀνομαστὸς, ἢ ἐπὶ τοῖς πάλαι τεραστίοις.

« Ἐγὼ Κύριος. » Ὁ μέλλων πάντας κρίνειν, καὶ ἑκάστῳ ἀποδιδόναι κατὰ τὰς πράξεις.

« Ὅτι ἦσαν. » Ὡς μὲν ἐπὶ τὸ πολὺ πᾶσα μὲν ἡ γῆ τότε ἀθέων ἦν· μόνοι δὲ οὗτοι λέγονται ἁμαρτάνειν, ἐπειδὴ τοῖς θείοις νόμοις πεπαιδευμένοι ἐν γνώσει ἡμάρτανον.

« Ὅτι ἐπὶ τὴν ὀργήν μου. » Ὡς ἐπὶ τούτῳ, φησὶν, ἐστὶ κτισθεῖσα ἡ πόλις αὕτη, ἐπὶ τῷ παροργίζειν με, ἵνα διὰ τοῦτο ἀφανίσω αὐτὴν, μὴ θέλων αὐτὴν ὁρᾷν.

Digitized by Google

« Καὶ ἔστρεψαν πρός με νῶτον. » Τοῦτο δεῖγμα A τελείας ὕβρεως καὶ καταφρονήσεως.

« Καὶ ἐδίδαξα αὐτούς. » Ἀντὶ τοῦ, κατὰ πᾶσαν σπουδήν.

« Ἃ οὐ συνέταξα αὐτοῖς. » Ἔστω, φησίν. Ἐμοὶ τὰς θυσίας προσφέρειν ὀφείλοντες, δαίμοσι προσφέρουσι· διατί καὶ ἀνθρωποκτονίας ἐργάζονται; ἀνθρώπους δὲ οὐδὲ ἐμαυτῷ θύεσθαι ὅσιον ἔκρινα. Ὡς οὐκ ἀρκούμενοι τοίνυν, φησὶ, τοῖς πρότερον ἁμαρτήμασι, καὶ τοῦτο ἐπεξεῦρον τὸ ἀτόπημα.

« Ἰδοὺ ἐγὼ συνάγω αὐτούς. » Ἐπαγγέλλεται Θεὸς ἐπανάγειν ἐκ τῆς αἰχμαλωσίας τοὺς υἱοὺς Ἰσραήλ· ὁμοῦ δὲ καὶ προλέγει τὴν Χριστοῦ παρουσίαν, καὶ τὴν τοῦ Πνεύματος χάριν.

« Καὶ ἔσονταί μοι εἰς λαόν. » Τοῦτο κοινὸν περὶ B πάντων πιστῶν.

« Καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν. » Τὴν Κυρίου παρουσίαν. Αὐτὸς γάρ ἐστιν ἡ ὁδός.

« Καὶ καρδίαν ἑτέραν. » Τὴν τοῦ Πνεύματος χάριν. Πάλιν φησὶν πρὸς αὐτόν· ἐπειδὴ δύσπιστος ὁ λόγος ἦν.

« Καὶ διαθήσομαι. » Τὴν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. Ἥτις οὐκ ἀλλαγήσεται.

V. 38. « Super aquam ejus. » Ad litteram quidem est, multitudine ; mystice vero, propter humidam et fluxam nefariamque vivendi rationem.

« Et in insulis. » Nam et harum potiebantur Babylonii ; mystice vero in idolis.

[35] Joan. XII, 31.

« Πάντες τείνοντες τόξον. » Πρὸς τοὺς ἀποστόλους ὁ λόγος, ἐπὶ τὴν νοητὴν Βαβυλῶνα.

« Ἔπεσαν αἱ ἐπάλξεις αὐτῆς. » Οἱ ἁλιτήριοι δαίμονες.

« Καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς. » Αὐτὸς ὁ ἀρχέκακος Σατανᾶς.

« Ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς. » Τῷ Κύρῳ Ἕλληνες συνεμάχησαν· νικησάσης οὖν τῆς Ἑλληνικῆς μαχαίρας, ἀφεθέντες ὑπὸ τοῦ Κύρου οἱ αἰχμάλωτοι εἰς τὴν ἰδίαν ἐπαναστρέφουσιν.

« Ὁ πρῶτος ἔφαγεν αὐτὸν βασιλεὺς Ἀσσούρ. » Ἀσσύριος ὢν ὁ Σεναχηρεὶμ πρῶτος τὰς δέκα φυλάς, σάρκας οὔσας ἔφαγε, τουτέστιν ᾐχμαλώτισεν.

« Καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ. » Ὁ Ναβουχοδονόσορ. Ὀστᾶ δὲ καλεῖ τὸν Ἰούδα, ὡς σύστασιν ὄντα τοῦ παντὸς σώματος.

« Ζητήσουσι. » Ὅτι πᾶσι τοῖς πιστεύσασιν τὴν ἀμνηστίαν τῶν ἁμαρτημάτων ὁ Χριστὸς ἐδωρήσατο.

« Πικρῶς ἐπίδηθι ἐπ' αὐτήν. » Πρὸς μὲν τὴν ἱστορίαν ἐπὶ τὴν Βαβυλῶνα, πρὸς δὲ διάνοιαν ἐπὶ τὴν εἰδωλολατρείαν.

« Πῶς συνεκλάσθη. » Ἡ σφῦρα πάσης τῆς γῆς, ἡ τὴν οἰκουμένην συντρίψασα, Βαβυλὼν ἢ καὶ εἰδωλολατρεία.

« Ἐπιθήσονταί σοι. » Πρὸς μὲν τὴν ἱστορίαν, διὰ τὸ τῶν πολέμων αἰφνίδιον· πρὸς δὲ διάνοιαν, διὰ τὸ κρυπτὸν τοῦ βάθους τοῦ κατὰ Χριστὸν μυστηρίου.

« Ἤνοιξε Κύριος. » Διὰ τὸ κεκρυμμένον ἀπὸ τῶν αἰώνων μυστήριον.

« Ἐρευνήσατε αὐτήν. » Ἐξ αὐτῶν τῶν λογισμῶν ἀναμοχλεύσατε τὴν εἰδωλολατρείαν.

« Ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρπούς. » Πρὸς μὲν τὴν ἱστορίαν, τοὺς τυράννους τῆς Βαβυλῶνος· πρὸς δὲ διάνοιαν, τοὺς τῆς ἁμαρτίας καρποὺς, πορνείαν, καὶ ἀκαθαρσίαν, καὶ τὰ ἑξῆς.

« Φωνὴ φευγόντων. » Τῶν εἰς τὸν Κύριον ἡμῶν καταφευγόντων.

« Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν. » Δύναται ταῦτα καὶ κατὰ τῆς τῶν Ἰουδαίων συναγωγῆς λαμβάνεσθαι.

« Καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς. » Δρυμῷ μὲν, τῷ πλήθει. Ἱστέον δὲ ὅτι καὶ τὸ θεῖον πῦρ ἐμπίπτον εἰς ψυχὰς, ὥσπερ φλὸξ ἐν δρυμῷ ξύλων, πάντα καταναλίσκει τῆς κακίας τὰ εἴδη.

« Τάδε λέγει Κύριος. » Περὶ τῆς αἰσθητῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραὴλ, καὶ τῆς τῶν ψυχῶν νοητῆς αἰχμαλωσίας, καὶ τῆς αὐτῶν διὰ τοῦ Κυρίου ἀπολυτρώσεως ψησιν.

« Κρίσιν κρίνει. » Διὰ τοῦτο ἔλεγεν ὁ Σωτήρ· *Νῦν κρίσις τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβέβληται.*

« Ἐπὶ τῷ ὕδατι αὐτῆς. » Καθ' ἱστορίαν μὲν, ἐπὶ τῷ πλήθει· πρὸς δὲ διάνοιαν, ἐπὶ τῷ ὑγρῷ, καὶ ἀνειμένῳ, καὶ ἁμαρτωλῷ βίῳ.

« Καὶ ἐν ταῖς νήσοις. » Ὡς καὶ τούτων κρατοῦντες οἱ Βαβυλώνιοι· πρὸς δὲ διάνοιαν, ἐν τοῖς εἰδώλοις.

Digitized by Google

« Διὰ τοῦτο κατοικήσουσιν. » Ὁμοιώματα ἀνθρώπων, οὐκ ἄνθρωποι, ἵνα εἴπῃ τὴν ἀσθένειαν τῶν συμμαχούντων τοῖς βασιλείοις. Καὶ γὰρ καὶ τοὺς ἀντιπράξαντας τῶν νησιωτῶν εἶλεν ὁ Κύρος. Τὴν δὲ τούτων ἐρημίαν σημαίνει διὰ τῶν Σειρήνων, ὡς ἀνθρωπομόρφων λοιπὸν δαιμονίων, ἢ καὶ ᾠδικῶν ὀρνέων, διὰ τὴν ἐρημίαν οἰκούντων τοὺς τόπους.

« Ἰδοὺ λαὸς ἔρχεται. » Οἱ ἐξ ἐθνῶν πιστεύσαντες.

« Καὶ βασιλεῖς πολλοί. » Ἔθνος γάρ εἰσιν ἅγιον, βασίλειον ἱεράτευμα· ταῦτα δὲ ἑνοῖ μετὰ τὴν ἱστορίαν.

Ὁ ἐν τῷ Ἰορδάνῃ βαπτιζόμενος λαός. Ὁ τὴν νοητὴν Βαβυλῶνα καταπολεμῶν.

« Εἰς Γαιθάμ. » Γαιθὰμ τόπος τοῦ Ἰορδάνου, ἐν ᾧ πολλοὶ λέοντες.

« Ὅτι ταχέως ἐκδιώξω αὐτούς. » Τοὺς Χαλδαίους ἐκ τῆς Βαβυλῶνος.

« Καὶ τίς οὗτος ποιμήν. » Τοῦ γὰρ ἀγαθοῦ ποιμένος ἐξαιρουμένου ἡμᾶς, οὐδὲν ἡμῖν ποιεῖν δύναται ὁ πολέμιος.

« Ἐὰν μὴ διαφανισθῇ νομὴ ἀπ' αὐτῶν. » Ἀντὶ τοῦ, φίλτατα τέκνα· δεῖγμα δὲ τοῦτο πικρᾶς αἰχμαλωσίας.

ΚΕΦ. ΝΑ'.

« Ἄνεμον καύσωνα διαφθείροντα. » Μετὰ τὴν ἱστορίαν νόει τοὺς ὑπὸ τοῦ ἁγίου Πνεύματος βοηθουμένους, τοὺς ξηραίνοντας καὶ διαφθείροντας τῆς κακίας τὰ ῥεύματα.

« Καὶ μὴ φείσεσθε. » Ἀντὶ τοῦ, μὴ πτοηθῆτε τὴν ἀπειλὴν τῶν δαιμόνων. Ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν.

« Ὅτι ἡ γῆ αὐτῶν. » Πλήρωμα γάρ, φησί, τῆς ἀδικίας τῶν Χαλδαίων, τὸ καὶ τὰ σκεύη τὰ ἅγια καὶ ἁγίους ἄνδρας μετάγειν εἰς Βαβυλῶνα.

« Φεύγετε ἐκ μέσου Βαβυλῶνος. » Φεύγειν ὁ προφήτης κελεύει ἐκ μέσου τῆς Βαβυλῶνος τοὺς σωζομένους, εἴτε τῆς αἰσθητῆς, εἴτε καὶ τῆς τοῦ κόσμου συγχύσεως.

« Ποτήριον χρυσοῦν Βαβυλών. » Ποτήριον πολλαχοῦ παρὰ τῇ θείᾳ Γραφῇ ὠνόμασται ἡ λεγομένη ὀργὴ τοῦ Θεοῦ. Ἐπειδὴ οὖν τοὺς προσκυνοῦντας αὐτῷ Θεὸς διὰ Βαβυλωνίων ἐτιμωρεῖτο, ποτήριον μεθύσκον αὐτὴν κέκληκεν· χρυσοῦν δὲ, διὰ τὸν ἐν αὐτῇ πλοῦτον.

« Ἤγειρε Κύριος τὸ πνεῦμα βασιλέως Μήδων. » Προφητῶν ἡ φωνὴ εὐχαριστούντων, ὅτι ἐλυτρώθη ὁ λαὸς τῆς τε καθ' ἱστορίαν αἰχμαλωσίας, καὶ τῆς ἐκ τοῦ κόσμου συγχύσεως διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

« Κατασκηνοῦντας ἐφ' ὕδασι πολλοῖς. » Τοῦ Κύρου· φασὶ δὲ ἕτεροι Δαρείου. Καθ' ἱστορίαν, τῇ πολυπληθείᾳ τῶν ἀνδρῶν, πρὸς δὲ διάνοιαν, τοῖς τῆς καρδίας ῥεύμασιν.

« Ὅτι ὤμοσε Κύριος κατὰ τοῦ βραχίονος. » Κατὰ τῆς ἑαυτοῦ δυνάμεως.

« Καὶ φθέγξονται ἐπὶ σέ. » Ἀντὶ τοῦ, ὀνειδίζοντές σε.

V. 39. « Propterea habitabunt. » Simulacra hominum, non homines, ut eorum qui Babyloniis suppetias ferebant, infirmitatem exprimeret. Nam et insularum incolas, qui sibi obstiterant, cepit Cyrus. Eas porro nullos incolas habere per Sirenes significat, quæ dæmonia sunt humana figura, vel aves canoræ quæ solitaria loca inhabitant.

V. 41. « Ecce populus venit. » Qui e gentibus crediderunt.

« Et reges multi. » Gens enim sancta sunt regale sacerdotium[36]: hæc autem historiæ subnectit.

Populus qui in Jordane baptizatur. Qui spiritalem Babylonem expugnat.

V. 44. « In Gætham. » Locus est Jordanis Gæmath, leonibus abundans.

« Quia cito expellam eos. » Chaldæos e Babylone.

Et quis iste pastor. » Nam pastore bono nos liberante, nihil nobis nocere potest adversarius.

V. 45. « Nisi corrumpantur agni ovium. » Hoc est, charissima pignora, indicat porro hoc durissimam captivitatem.

CAP. LI.

V. 1. « Ventum urentem. » Post sensum historicum intellige eos quos adjuvat Spiritus sanctus, exsiccantes et corrumpentes nequitiæ fluxiones.

V. 3. « Et ne parcatis. » Hoc est, ne timueritis dæmonum minas. Ego enim sum vobiscum.

V. 5. « Quia terra eorum. » Complementum enim injustitiæ Chaldæorum ait fuisse, quod sancta vasa sanctosque homines Babylonem transtulerint.

V. 6. « Fugite de medio Babylonis. » Fugere jubet propheta de medio Babylonis eos qui salvantur, vel quæ ad sensum pertinet, vel de confusione mundi.

V. 7. « Calix aureus Babylon. » Calix sæpe in sacris Litteris vocata est, quæ dicitur ira Dei. Quoniam igitur Deus cultores suos punivit per Babylonios, calicem inebriantem eam appellavit; aureum vero, propter ejus divitias.

V. 11. « Suscitavit Dominus spiritum regis Medorum. » Prophetarum vox gratias Deo agentium, quod liberatus sit populus et ab historica captivitate, et e mundi confusione per Salvatorem nostrum Jesum Christum.

V. 13. « Habitantes in aquis multis. » Cyri quidam aiunt; alii Darii. Ad sensum historicum, copia hominum; mystice, fluxionibus cordis.

V. 14. « Quia juravit Dominus per brachium suum. » Per suam virtutem.

« Et loquentur super te. » Pro, tibi exprobrantes.

[36] I Petr. II, 9.

Digitized by Google

V. 15. « Dominus faciens terram. » Ab opificio Deum proportione cognoscendum docet. In cœlo ad exploranda tonitrua.

V. 17. « Stultus factus est omnis homo a scientia. » Non intellecto opifice ex opificii pulchritudine, vel generaliter, quia nunc ex parte cognoscimus.

V. 20. « Dispergis tu mihi vasa belli. » Ad litteram quidem Babylonem respicit hic sermo ; sed vero propius est, omnia quæ sequuntur ad Satanam dirigi ex persona Dei. Tu, inquit, hoc agis ut dispergas pios homines qui tecum pugnare possunt. Ego vero dispergam universam dæmonum multitudinem, et qui in illis sunt ad malum potentiores.

Voluptatem feminea libidine æstuantem, ejusque opificem dæmonem.

V. 21. « Et dispergam in te equum. » Inanes gloriæ et pecuniarum appetitus, eorumque operarios dæmones.

V. 22. « Et dispergam in te adolescentem. » Steriles ad ferendum fructum.

« Et dispergam in te virum et mulieres. » Voluptatis studium.

V. 23. « Et dispergam in te pastorem. » Fallacis scientiæ doctores, et obedientes illis.

« Et dispergam in te agricolam. » Idolorum sacrificos, et sacrificia eorum, et idola.

« Et dispergam in te præfectos. » Principes nequitiæ dæmonas.

V. 25. « Ecce ego ad te montem corruptum. » Historice quidem Nabuchodonosorem, spiritali vero sensu Satanam corruptum, quia cum et is unus esset ex archangelis, sponte sua propriam virtutem deseruit.

« Et extendam manum meam super te. » Expellam te ab his qui crediderunt, sanctis lapidibus, qui super terram volutantur, vel eodem nomine cum petra, id est, Christo fideles quoque petræ vocati sunt, eo quod credant in ipsum, et fidem habeant inconcussam.

« Et dabo te sicut montem combustum. » Infructuosum scilicet, inutilem.

V. 26. « Et non accipient de te lapidem. » Fortes ac duri lapides ad fundamenta jaciuntur et in angulos. Eris itaque, ait, infirmus, inutilis, et ineptus ad usum.

« Levate signum super terram. » Tubam signum vocat. Præcipit vero hoc Deus fortasse angelicis quibusdam virtutibus ad excitandos animos eorum, qui bellum contra Babylonem erant suscepturi. Præcipit item et apostolis ut fideles colligant illaturos bellum idololatriæ.

« Sanctificate super eam gentes. » Segregate contra eam pugnaturos.

« Tollite a me. » Ararat Armeniæ sunt montes.

A « Κύριος ποιῶν γῆν. » Ἀπὸ τῆς δημιουργίας ἀναλόγως θεωρεῖσθαι διδάσκει τὸν Θεόν. Ἐν τῷ οὐρανῷ, εἰς τὸ ἀποτελεῖν βροντάς.

« Ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. » Μὴ νοήσας ἀπὸ τῆς καλλονῆς τῶν κτισμάτων τὸν αὐτῶν δημιουργὸν, ἢ καὶ καθόλου. ὅτι νῦν ἐκ μέρους γινώσκομεν.

« Διασκορπίζεις σύ μοι σκεύη πολέμου. » Αἰσθητῶς μὲν, ὡς πρὸς τὴν Βαβυλῶνα ὁ λόγος· ἀληθέστερον δὲ πάντα ἐφεξῆς πρὸς τὸν Σατανᾶν εἴρηται· ὡς ἐκ τοῦ Θεοῦ. Σὺ, φησὶν, ἐπιχειρεῖς διασκορπίζειν τοὺς ἀνθρώπους τοὺς θεοσεβεῖς, τοὺς δυναμένους σοι πολεμεῖν· ἐγὼ δὲ διασκορπίζω σου πᾶσαν δαιμονιώδη πληθὺν, καὶ τοὺς αὐτῶν ἐν κακίᾳ ἐπικρατεστέρους.

B Ἡδονὴν τὴν θηλυμανῆ, καὶ τὸν ταύτην ἐνεργοῦντα δαίμονα.

« Καὶ διασκορπιῶ ἐν σοὶ ἵππον. » Τὰς φιλοδοξίας, τὰς φιλοχρηματίας καὶ τοὺς αὐτὰς ἐνεργοῦντας δαίμονας.

« Καὶ διασκορπιῶ ἐν σοὶ νεανίσκον. » Τοὺς ἀγόνους εἰς ἀρετήν.

« Καὶ διασκορπιῶ ἐν σοὶ ἄνδρα καὶ γυναῖκα. » Τὴν φιληδονίαν.

« Καὶ διασκορπιῶ ἐν σοὶ ποιμένα. » Τοὺς τῆς ψευδωνύμου γνώσεως διδασκάλους σὺν τοῖς πειθομένοις.

« Καὶ διασκορπιῶ ἐν σοὶ γεωργόν. » Τοὺς τῶν εἰδώλων ἱερουργοὺς, καὶ τὰς τελετὰς αὐτῶν, καὶ τὰ εἴδωλα.

C « Καὶ διασκορπιῶ ἡγεμόνας. » Τοὺς ἄρχοντας ἐν κακίᾳ δαίμονας.

« Ἰδοὺ ἐγὼ πρὸς σὲ τὸ ὄρος τὸ διεφθαρμένον. » Αἰσθητῶς μὲν τὸν Ναβουχοδονόσορ, πρὸς δὲ διάνοιαν τὸν Σατανᾶν διεφθαρμένον, ὅτι εἷς καὶ αὐτὸς γεγονὼς τῶν ἀρχαγγέλων, αὐτοπροαιρέτως τῆς οἰκείας ἐξέπεσεν ἀρετῆς.

« Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σέ. » Ἐξώσω ἀπὸ τῶν πεπιστευκότων, τῶν ἁγίων λίθων, τῶν κυλιομένων ἐπὶ τῆς γῆς, ἢ καὶ ὁμωνύμως τῇ πέτρᾳ, τουτέστι Χριστῷ, καὶ οἱ πιστοὶ πέτραι ἐκλήθησαν διὰ τὴν εἰς αὐτὸν πίστιν, καὶ τὸ ἀκλόνητον τῆς πίστεως.

« Καὶ δώσω σε ὡς ὄρος ἐμπεπυρισμένον. » Ἀντὶ τοῦ, ἄκαρπον, ἀχρεῖον.

D « Καὶ οὐ μὴ λάβωσι ἀπὸ σοῦ λίθον. » Οἱ στερεοὶ καὶ ἐρρωμένοι λίθοι εἰς τοὺς θεμελίους καταβάλλονται, καὶ εἰς γωνίας. Ἔσῃ οὖν ἀσθενὴς, φησὶ, καὶ ἀχρεῖος, καὶ ἀνωφελής.

« Ἄρατε σημεῖον ἐπὶ τῆς γῆς. » Τὴν σάλπιγγα σημεῖόν φησι. Κελεύει δὲ τοῦτο Θεὸς ἴσως ἀγγελικαῖς τισι δυνάμεσιν, ἐπὶ τῷ διεγεῖραι τὰς ψυχὰς τῶν μελλόντων πολεμεῖν τῇ Βαβυλῶνι. Κελεύει δὲ καὶ τοῖς ἀποστόλοις συνάγειν τοὺς πιστοὺς, τοὺς μέλλοντας πολεμεῖν τῇ εἰδωλολατρείᾳ.

« Ἁγιάσατε ἐπ' αὐτὴν ἔθνη. » Ἀφορίσατε τοὺς μέλλοντας ἐπ' αὐτῇ πολεμεῖν.

« Ἄρατε παρ' ἐμοῦ. » Τῆς Ἀρμενίας ὄρη τὰ Ἀραράτ.

Digitized by Google

« Καθήσονται ἐκεῖ. » Ἀντὶ τοῦ, πολιορκήσουσιν αὐτήν.

« Διώκων εἰς ἀπάντησιν διώκοντος. » Ἕκαστος τῷ πλησίον εὐαγγελιζόμενος· ἐποίουν δὲ τοῦτο οἱ ἅγιοι ἀπόστολοι, ἐκδιώκοντες μὲν τὴν δαιμονικὴν πλάνην, ἑαυτοῖς δὲ τὴν σωτηρίαν τῶν πιστῶν εὐαγγελιζόμενοι.

« Καὶ ἀναγγέλλων εἰς ἀπάντησιν ἀναγγέλλοντος. » Ἀπαντῶν ὁ πρῶτος, καὶ ἀπαγγέλλων τῷ ἀποστελλομένῳ δευτέρῳ.

« Διότι τάδε λέγει Κύριος. » Τὴν εἰς λεπτὸν συντριβὴν τῶν οἰκημάτων ἐδήλωσεν· ὡς ἀπὸ Ἱερουσαλὴμ δὲ οἱ λόγοι, τὸ *Κατέφαγέ με*, καὶ τὰ ἐπ' αὐτῷ. Διὰ μὲν οὖν τὸ θηριῶδες κατέφαγε, διὰ δὲ τὰ λάφυρα καὶ τὰ σκύλα ἐμέρισε. Σκότος δὲ λεπτὸν τὴν ὑπερβάλλουσαν ἀθυμίαν δηλοῖ· ὁ λεπτὸς γὰρ ἀὴρ μᾶλλον B τῶν ἡμετέρων καθικνεῖται σωμάτων.

« Κατέφαγέ με. » Ἱερουσαλὴμ προσερχομένη τῷ Θεῷ κατὰ τοῦ Βαβυλωνίου ταῦτά φησιν, ἀληθέστερον δὲ ἡ Ἐκκλησία τῷ ἑαυτῆς νυμφίῳ κατὰ τοῦ Σατανᾶ. Τὸ δὲ *ἐμερίσατο*, ὁ μέν τις δαίμων εἰς πορνείαν, ὁ δὲ εἰς φιλαργυρίαν, καὶ ἄλλος εἰς ἄλλην ἀπειρημένην ἐνάγοντες πρᾶξιν. Τὸ δὲ *κατέφαγεν*, ἐπειδὴ καὶ Θεοῦ ἀποστήσαντας ἑαυτοῖς προσκυνεῖν ἀνέπεισαν.

« Κατέλαβέ με σκότος. » Ἡ ἐξ ἁμαρτιῶν προδοσία. Τὸ γὰρ πολὺ [*ἴσ.* πρωΐ] ἀφεγγὲς λεπτόν ἐστιν.

« Ἔπλησε τὴν κοιλίαν αὐτοῦ. » Ἐξείλκυσάς με τῆς C ἐμῆς τρυφῆς, τουτέστι τῶν θείων μαθημάτων. Ἢ καὶ οὕτως, Ἐντρυφῶν ἐν ἐμοὶ ἐπλήρωσε τὴν κοιλίαν αὐτοῦ.

« Ἐξωστάν με οἱ μόχθοι μου. » Τὰ μοχθηρὰ καὶ ταλαίπωρα ἐπιτηδεύματα.

« Καὶ τὸ αἷμά μου ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους. » Ἀντὶ τοῦ, αἴτιοί μοι τῆς σφαγῆς οἱ Χαλδαῖοι γεγόνασιν. Ἢ καὶ οὕτως· Ἐκδικήσω μου τὸ αἷμα ἀπὸ τῶν Χαλδαίων.

« Καὶ ἔσται. » Τὴν χορηγίαν τῶν κακῶν.

« Ὅτι ὡς λέοντες. » Οἱ βασιλεῖς αὐτῆς.

« Ἐν τῇ θερμασίᾳ. » Ἐν τῇ αὐτῶν θρασύτητι.

« Δώσω πότημα αὐτοῖς. » Τουτέστι τὴν ἀνταπόδοσιν τῶν κακῶν.

Καὶ καταβίβασον αὐτούς. » Ἢ ὁ προφήτης τοῦτο D ἐπεύχεται κατὰ τῶν δαιμόνων, ἢ καὶ Θεὸς τῇ ἐκδικήσει τοῦτο ποιεῖν προστάσσει κατὰ τῆς αἰσθητῆς τῆς νοητῆς Βαβυλῶνος.

« Πῶς ἑάλω. » Ἐκπλήττονται οἱ ἅγιοι ἐπὶ τῇ πτώσει τῆς Βαβυλῶνος καὶ ἐρημώσει.

« Ἀνέβη ἐπὶ Βαβυλῶνα ἡ θάλασσα. » Ἐπὶ μὲν τὴν αἰσθητὴν Βαβυλῶνα, τὸ πλῆθος τῶν πολεμίων· ἐπὶ δὲ τὴν νοητὴν, τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ ἐξαφανίζον τὴν ἁμαρτίαν.

« Ἐγενήθησαν. » Τὰ τῆς βασιλείας πολιτεύματα.

« Καὶ ἐν Βαβυλῶνι. » Αἰσθητῶς μὲν τὰ λάφυρα, ἃ πρώην νικῶσα τοὺς πολεμίους ἐλάμβανε. Πρὸς δὲ διάνοιαν, ὅτι κατέπιεν ὁ θάνατος ἰσχύσας. Καὶ πάλιν

V. 30. « Sedebunt illic. » Pro, obsidebunt illam.

V. 31. « Currens obviam persequenti. » Unusquisque proximo annuntians : hoc vero sancti apostoli faciebant, expellentes quidem dæmonum errorem, sibimet vero ipsis fidelium salutem annuntiantes.

V. 31. « Et annuntians in occursum nuntiantis. » Obviam factus primus, annuntiansque illi qui secundus mittebatur.

V. 33. « Quia hæc dicit Dominus. » Domos in minutissimas partes contritas significavit : sunt vero quasi ab Jerusalem verba : *Comedit me*, et quæ sequuntur. Comedit itaque propter feritatem; propter vero spolia et manubias divisit. Tenebræ autem tenues summum animi mœrorem notant : tenuis quippe aer corpora nostra magis penetrat, per eaque diffunditur.

V. 34. « Comedit me. » Jerusalem ad Deum confugiens hæc in Babylonium effatur; imo verius Ecclesia suo sponso adversus Satanam. Illud autem *divisit*, hic quidem dæmon in fornicationem, ille in avaritiam, et alius in aliud inducentes vetitum opus. At *comedit*, quoniam et a Deo aversos sibi adorationis cultum offerre persuaserunt.

« Apprehenderunt me tenebræ. » Propter peccata proditio; matutinæ enim tenebræ tenues sunt.

« Replevit ventrem suum. » Extraxisti me a deliciis meis, hoc est a disciplina divina. Vel sic : In me luxurians implevit ventrem suum.

V. 35. « Expulerunt me labores mei. » Improba et miserabilia studia.

V. 35. « Et sanguis meus super habitatores Chaldæos » Pro, necis mihi auctores Chaldæi fuere. Vel sic: Ulciscar sanguinem meum a Chaldæis.

V. 37. « Et erit. » Abundantiam malorum.

V. 38. « Quoniam ut leones. » Reges ipsius.

V. 39. « In calore eorum. » In eorum audacia.

« Dabo potum eis. » Retributionem scilicet malorum.

V. 40. « Et deduc eos. » Vel propheta hoc dæmonibus imprecatur, vel Deus, ut ulciscatur, hoc fieri præcipit contra sensibilem ac spiritalem Babylonem.

V. 41. « Quomodo capta est. » Stupent sancti de ruina et desolatione Babylonis.

V. 42. « Ascendit super Babylonem mare. » Super terrenam quidem Babylonem copia hostium; super spiritalem vero lavacrum regenerationis, quod exterminat peccatum.

V. 43. « Factæ sunt. » Instituta et administratio regni.

V. 49. « Et in Babylone. » Ad sensum quidem spolia quæ antea debellatis hostibus lucrabatur, mystice vero quia mors absorbuit prævalens; et

Digitized by Google

rursus, abstersit Deus omnem lacrymam a facie terræ.

A ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ προσώπου τῆς γῆς.

V. 50. « Qui evaditis de terra. » Qui terrena, inquit, reliquistis, semper in virtute proficite; nec subsistatis: *Sed currite, ut comprehendatis*[36].

« Ἀνασωζόμενοι ἐκ γῆς. » Οἱ τῶν γηΐνων, φησίν, ἀποστάντες, ἀεὶ προκόπτετε εἰς ἀρετήν, καὶ μὴ ἵστασθε, *ἀλλὰ τρέχετε, ἵνα καταλάβητε.*

« Qui de longe. » Qui olim procul a Deo, idolorum cultores.

« Οἱ μακρόθεν. » Οἱ πάλαι τοῦ Θεοῦ μακρόθεν εἰδωλολάτραι.

« Et Jerusalem. » Hierosolymis quidem sacrificabant Judæi : jubet vero visionem pacis, hoc namque Jerusalem interpretatur, ascendere super fidelium cor, ut pacem habeant ad Deum, quæ illi placita operantes.

« Καὶ Ἱερουσαλήμ. » Ἐν μὲν τῇ Ἱερουσαλὴμ ἔθυον Ἰουδαῖοι· κελεύει δὲ τὴν ὅρασιν τῆς εἰρήνης· τοῦτο γὰρ ἑρμηνεύεται Ἱερουσαλήμ· ἀναβαίνειν εἰς τὰς τῶν πιστῶν καρδίας, ἵνα εἰρηνεύωσι πρὸς Θεὸν τὰ ἀρεστὰ αὐτῷ ποιοῦντες.

V. 51. « Cooperuit ignominia. » Ad litteram, quod hostes in sacrum templum ingressi sunt, mystice, quod impuri dæmones in animæ penetralia irrepserint.

« Κατεκάλυψεν ἀτιμία. » Πρὸς μὲν τὸ ῥητὸν, ὅτι εἰς τὸν θεῖον ναὸν εἰσῆλθον οἱ πολέμιοι· πρὸς δὲ διάνοιαν, ὅτι εἰς τὰ ἄδυτα τῆς ψυχῆς ἔσκηψαν οἱ ἀκάθαρτοι δαίμονες.

B

V. 55. « Et perdidit. » Ad litteram, multitudinis deorum ex hominibus; spiritaliter vero, qua vocem tollebant debacchantes furore dæmonum.

« Καὶ ἀπώλεσεν. » Πρὸς μὲν τὸ ῥητὸν, τῆς ἐκ τῶν ἀνθρώπων πολυθείας· πρὸς δὲ διάνοιαν, ὅτι ἀνέκραζον ἐκβακχευόμενοι ὑπὸ τῶν δαιμόνων.

V. 58. « Hæc dicit Dominus. » Satanas qui per totum terrarum orbem fana idolorum erexerat.

« Τάδε λέγει Κύριος. » Ὁ Σατανᾶς καθ' ὅλης τῆς οἰκουμένης τὰ τεμένη εἰδώλων ἱδρύσας.

V. 58. « Et portæ. » Quæ in perniciem ducunt : hoc vero perfecte fit in universali consummatione.

« Καὶ αἱ πύλαι. » Αἱ ἀπάγουσαι εἰς τὴν ἀπώλειαν· τοῦτο δὲ τελείως γίνεται ἐν τῇ καθόλου συντελείᾳ.

« Et non laborabunt. » Babylonio, vel etiam errori servientes.— Non deficient, ait : vox enim, *non*, communis utrique est; sub Babyloniorum tyrannide, vel ipsius Satanæ constituti. Namque omnes in Christo Jesu vivificabuntur.

« Οὐ κοπιάζουσι. » Τῷ Βαβυλωνίῳ, ἢ καὶ τῇ πλάνῃ δουλεύοντες. — Οὐκ ἐκλείψουσι, φησί· τὸ γὰρ, *οὐ*, κατὰ κοινοῦ κεῖται· ὑπὸ τῆς ἀρχῆς τῶν Βαβυλωνίων τυραννούμενοι, ἢ καὶ τοῦ Σατανᾶ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ πάντες ζωοποιηθήσονται.

C

V. 59. « Ut diceret Sareæ. » Misit Sedecias Saream legatum, munera Nabuchodonosori deferentem. Hic dicitur esse Baruch.

« Εἰπεῖν τῷ Σαραΐᾳ. » Ἔπεμψεν ὁ Σεδεκίας τὸν Σαρέαν πρεσβευτὴν, δῶρα κομίζοντα τῷ Ναβουχοδονόσορ. Οὗτος λέγεται εἶναι ὁ Βαρούχ.

V. 61. « Et dixit Jeremias ad Saream. » Hic dicitur esse Baruch, cui secundum gratiam nomen mutatum est.

« Καὶ εἶπεν Ἱερεμίας πρὸς Σαραΐαν. » Οὗτος λέγεται εἶναι ὁ Βαρούχ, κατὰ χάριν μετωνομασμένος.

CAP. LII.

ΚΕΦΑΛ. ΝΒ'.

V. 1. « Filia Jeremiæ. » Non prophetæ. Traditum quippe est virginem fuisse prophetam, ut qui jussus erat uxorem non ducere a Deo[37]. Et pater quidem illius de Lobena, propheta vero ex Anathoth : hujus mentionem factam reperies et in fine quarti libri Regum.

« Θυγάτηρ Ἱερεμίου. » Οὐ τοῦ προφήτου. Παρθένος γὰρ ἱστορεῖται εἶναι ὁ προφήτης, ὡς κελευσθεὶς ὑπὸ τοῦ Θεοῦ μὴ γῆμαι. Καὶ ὁ μὲν πατὴρ αὐτῆς ἐκ Λοβενᾶ, ὁ δὲ προφήτης ἐξ Ἀναθώθ· ταύτην εὑρήσεις καὶ ἐν τῷ τέλει τῆς τετάρτης τῶν Βασιλειῶν.

V. 9. « Et locutus est ei. » Juste de illo judicavit, ut jurisjurandi in templo exhibiti violatore.

« Καὶ ἐλάλησεν αὐτῷ. » Ἐνδίκως αὐτὸν ἔκρινεν, ὡς παραβεβηκότα τὰς ἐν τῷ θείῳ ναῷ ὁρκωμοσίας.

D

V. 11. « Et oculos Sedeciæ eruit. » Ut operaretur in pistrino.

« Καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε. » Ἐργάζεσθαι ἐν τῷ μύλωνι.

V. 17. « Et bases. » Receptaculum erat aquæ, propterque ejus capacitatem mare vocatum.

« Καὶ τὰς βάσεις. » Δοχεῖον ἦν ὕδατος, διὰ τὸ πολυχώρητον θάλασσα καλούμενον.

V. 24. « Et tres. » Janitorum præfectos.

« Καὶ τοὺς τρεῖς. » Τοὺς ἐπιστάτας τῶν θυρωρῶν.

V. 25. » Et scribam. » Tributa describentem, ingredientesque atque egredientes ad bellum. Combustis scilicet et reliquis omnibus sacris vasis quæ asportari difficile poterant. Per hæc crassities columnæ explicatur.

« Καὶ τὸν γραμματέα. » Τὸν ἀπογραφόμενον τὰ τέλη, καὶ τοὺς εἰσιόντας καὶ τοὺς ἐξιόντας εἰς τὸν πόλεμον. Κατακαύσας δηλονότι καὶ τὰ ἄλλα πάντα σκεύη τὰ ἱερὰ τὰ δυσκατακόμιστα. Τοσοῦτον δηλοῦται τὸ πάχος τοῦ στύλου.

[36] II Cor. IX, 27. [37] Jerem. XVI, 1.

Digitized by Google

« Ἐν γῇ Ἡμάθ. » Ἡμάθ ἡ νῦν καλουμένη Ἀντιόχεια· Δεβλαθὰ δὲ τὸ ταύτης προάστειον ἡ Δάφνη.

« Ἔλαβεν Οὐλαιμαδάχαρ. » Ἐπειδὴ δὲ οἱ αἰχμάλωτοι κάτω νεύουσιν ὑπὸ τῆς συμφορᾶς, *ἔλαβε*, φησὶ, τὴν *κεφαλὴν αὐτοῦ*, ἀντὶ τοῦ, ἀνώρθωσεν, ὕψωσεν, ἄνω βλέπειν παρεσκεύασεν. Ὡς καὶ Δαβὶδ λέγει· *Ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.* Τὸ, *ἔλαβεν* ἀντὶ τοῦ, ὕψωσεν, ὡς ἐν τῷ τέλει τῆς τετάρτης τῶν Βασιλειῶν φησιν.

[38] Psal. III, 4.

A

V. 27. « In terra Emath. » Emath quæ nunc Antiochia vocatur; Deblata vero ejus suburbium Daphne.

V. 31. « Accepit Vallebardach. » Quoniam vero captivi deorsum spectant miseriis oppressi, *accepit*, inquit, *caput illius*, hoc est erexit, elevavit, ut sursum videret effecit: sicuti et David ait: *Ecce elevavit caput meum super inimicos meos*[38]. *Accepit*, id est, elevavit, ut in fine quarti Regum habetur.

FRAGMENTA IN JEREMIÆ LAMENTATIONES.

ΚΕΦΑΛΑΙΟΝ Α'.

« Καὶ ἐγένετο. » Θρηνεῖ μὲν κατὰ τὴν ἱστορίαν ὁ προφήτης τὴν τότε τῆς Ἱερουσαλὴμ γενομένην αἰχμαλωσίαν, προφητικῶς δὲ καὶ ἀληθέστερον τὴν ἐπὶ Ῥωμαίων αὐτῇ συμβᾶσαν διὰ τὴν τοῦ Χριστοῦ παράνομον τόλμαν. Ἐκεῖ μὲν γὰρ ἐκ Βαβυλῶνος ἀνεκλήθησαν, μετὰ δὲ τὴν ὑπὸ Ῥωμαίων ἀνάλωσιν οὐκέτι. Ἀναφέρεται δὲ τὰ γεγραμμένα καὶ ἐπὶ ψυχὴν, ἐκπεσοῦσαν μὲν τῆς ἀρετῆς, κατενεχθεῖσαν δὲ εἰς τὰ τῆς κακίας εἴδη, καὶ διὰ τοῦτο ἐν συγχύσει γενομένην· Βαβυλὼν γὰρ *σύγχυσις* ἑρμηνεύεται· καὶ ὑπὸ τῶν νοητῶν πολεμίων αἰχμαλωτισθεῖσαν.

« Ἐγενήθη ὡς χήρα. » Τοῦ νυμφίου στερηθεῖσα λόγου.

« Πεπληθυσμένη. » Ἡ πρώτη [πρώην] πλήρης ἀγαθῶν λογισμῶν.

« Ἄρχουσα ἐν χώραις. » Ἡ τῶν κακιῶν ἐπικρατοῦσα ὑπόφορος ταύταις γέγονεν.

« Κλαίουσα ἔκλαυσεν. » Ἐν τῇ ἐπαγωγῇ τῶν ἐχθρῶν. Ἰστέον δὲ ὡς ψυχὴ ἁμαρτάνουσα ἐν νυκτὶ γίνεται, μακρυνομένη τοῦ Ἡλίου τῆς δικαιοσύνης.

« Ἐπὶ τῶν σιαγόνων. » Ὥσπερ νοοῦμεν ὀφθαλμοὺς, οὕτω λέγονται καὶ σιαγόνες ψυχῆς, δι' ἃς τὰς τοῦ λόγου τρέφεται [reponendum videtur τροφὰς] δυνάμεις, καταλεαίνουσα ταύτας καὶ μαρυκωμένη.

« Καὶ οὐκ ὑπῆρχεν ὁ παρακαλῶν αὐτήν. » Κατὰ μὲν τὴν ἱστορίαν, ὅτι ἐπὶ πάντας ἦν ἡ ὀργὴ, καὶ οὐκ ἔτι ἕτερος τὸν ἕτερον παρεκάλει. Ἔτι [ἔστι] δὲ νοεῖν, ὅτι οἱ πρώην ἀγαπῶντες τὴν ψυχὴν ἅγιοι ἄγγελοι, ὅταν ἐκδῷ ἑαυτὴν τῇ κακίᾳ, ἀπαράκλητον αὐτὴν ἐῶσιν.

« Πάντες οἱ φιλοῦντες. » Παραβαίνοντες τὰ θεῖα νόμιμα οἱ τῆς Ἱερουσαλὴμ οἰκήτορες, καὶ ψευδοπροφῆται· καὶ οἱ πρώην δὲ προσποιούμενοι τὴν τοιάνδε ψυχὴν ἀγαπᾷν ἀκάθαρτοι δαίμονες, ἐχθρῶν δίκην ἐπιχαίρουσιν τῇ αὐτῆς πτώσει.

« Μετῳκίσθη Ἰουδαία. » Ἀπὸ τοῦ τόπου τῆς ἀρετῆς εἰς τὸν τῆς κακίας.

« Καὶ ἀπὸ πλήθους. » Ἀφαιρεθεῖσα γὰρ τῆς δόξης ἧς εἶχεν, εἰς δουλείαν παραδίδοται.

B

CAPUT PRIMUM.

« Et factum est. » Plorat quidem propheta ad veritatem historiæ captivitatem, quam tunc Jerusalem passa est: prophetice autem et verius eam, quam a Romanis passa est, propter nefandum scelus in Christum Tunc enim e Babylone reducti sunt, at post illatam a Romanis ruinam nunquam amplius. Quadrant etiam quæ scripta sunt in animam, quæ virtute exciderit, et in varia improbitatis genera delapsa ob id in confusione posita sit: Babylon namque *confusio* interpretatur: et a spiritalibus hostibus captivata sit.

V. 1. « Facta est quasi vidua. » Sponso, rationis lumine, privata.

« Plena. » Plena nuper bonarum cogitationum.

C

« Princeps in provinciis. » Quæ vitiis dominabatur, illis tributaria facta est.

V. 2. « Plorans ploravit. » In adductione hostium. Sciendum porro animam, cum peccat, nocte obrui, procul a Sole justitiæ constitutam.

« In maxillis. » Sicut intelligimus oculos, ita et animæ maxillas, per quas rationis alitur cibis, comminuens eos et ruminans.

« Et non est qui consoletur eam. » Secundum historiam quidem, quoniam ira sæviebat in omnes, neque tum alter alterum consolabatur. Licet vero etiam intelligere, sanctos angelos, qui prius animam

D

diligebant, cum illa semetipsam vitiis dediderit, sine consolatione eam relinquere.

« Omnes amici ejus. » Prævaricatores divinarum legum habitantes Jerusalem, et pseudoprophetæ, et qui prius hanc ejusmodi animam amare simulabant impuri dæmones, instar hostium de illius ruina lætantur.

V. 3. « Migravit Judæa. » E virtutis loco ad improbitatis locum.

« Et propter multitudinem. » Gloria quippe, quam habebat spoliata, servituti traditur.

Digitized by Google

« Sedit in gentibus. » Adhærens enim adversariis A longe facta est a quiete Dei.

« Apprehenderunt eam. » Divertens enim homo e via Dei affectuum servus fit, tribulantibus, ait, impuris dæmonibus : quoniam igitur affectus animam insequuntur, et eorum excitatores dæmones, præcipit Apostolus dicens : *Fugite fornicationem*[87].

V. 4. « Viæ Sion lugent. » Tribus anni temporibus lege statutum erat omne masculinum Deo sisti, in Pascha, in festo Primitiarum, et Scenopegia : his itaque tribus festivitatibus Judæi undique Jerusalem conveniunt. Secundum historiam igitur nemine Sion petente ob civitatis eversionem viæ lugent. Sed secundum interiorem sensum, institutiones per quas homo ad virtutem ingreditur in mœrore sunt, deficiente addiscentium studio.

« Omnes portæ ejus. » Doctores qui nec ipsi regnum Dei ingrediuntur, et adeuntes prohibent.

« Sacerdotes ejus. » Ad litteram : Quia non sunt qui offerant ; spiritaliter, Sacerdotales virtutis modi, sacrantes, virtutis mores, quia nemo accurrit.

« Virgines ejus. » Integri incorruptique mores, non libere gradientes propter mortiferam magistrorum traditionem.

V. 5. « Facti sunt tribulantes eam. » Valde elati C sunt Babylonii, et funesti dæmones.

« Parvuli ejus. » Et qui propter peccatum in judicium vocari non possunt, ad pœnam parentum mala ipsi ferunt. Vel parvulos vocat sanctos ob plebis peccata vexatos, vel parvulæ animæ eæ sunt, quæ cum Deum colere nuper cœpissent, et in cursu virtutum lapsæ essent, ad vitia redierunt.

« Ante faciem. » Qui in captivitatem agunt ante se mittunt pueros, coguntque ire; hoc faciunt dæmones compellentes animam quocunque illis libuerit.

V. 6. « Omnis decor ejus. » Ad litteram quidem templum, legalis cultus ; ad sensum autem spiritalem, Dei cognitio, propter inductum peccatum. D

« Facti sunt. » Sive sacerdotes, sive alio modo populi duces, non habentes amplius qui illis aliquid offerrent. Interiori vero sensu, Quia peccatum instar venti urentis exsiccavit eos qui in disciplinis erant progressus facturi, doctorum institutiones pascua non inveniunt.

« Et abibant. » Dum abducerentur, ait, ad captivitatem, robore destituti sunt. Vel et sic, contra peccatum intueri, et illi resistere non valentes infirmati sunt.

V. 7. « Recordata est Jerusalem. » In memoriam, ait, venerunt dierum ante suam humiliationem,

« Ἐκάθισεν ἐν ἔθνεσι. » Προστεθεῖσα γὰρ τοῖς ἐναντίοις, ἐμακρύνθη τῆς ἀναπαύσεως τοῦ Θεοῦ.

« Κατέλαβον αὐτήν. » Ἐκτραπεὶς γὰρ ἄνθρωπος ἐκ τῆς ὁδοῦ τοῦ Θεοῦ, ὑποχείριος τοῖς πάθεσι γίνεται, θλιβόντων, φησὶ, τῶν ἀκαθάρτων δαιμόνων· ἐπεὶ οὖν τὰ πάθη καταδιώκουσι τὴν ψυχὴν, καὶ οἱ ἐνεργοῦντες αὐτὰ δαίμονες, παραγγέλλει ὁ Ἀπόστολος λέγων· *Φεύγετε τὴν πορνείαν.*

« Ὁδοὶ Σιὼν πενθοῦσι. » Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ἐκέλευσεν ὁ νόμος πάντα τὰ ἀρσενικὰ τῷ Κυρίῳ φαίνεσθαι, τῷ Πάσχα, τῇ ἑορτῇ τῶν Πρωτογεννημάτων, καὶ τῇ Σκηνοπηγίᾳ· ἐν ταύταις οὖν ταῖς τρισὶν ἑορταῖς οἱ πανταχόθεν Ἰουδαῖοι συνέρχονται εἰς Ἱερουσαλήμ. Κατὰ τοίνυν τὴν ἱστορίαν οὐδενὸς ἐρχομένου ἐν τῇ Σιὼν διὰ τὴν κατασκαφὴν τῆς πόλεως πενθοῦσιν αἱ ὁδοί. Πρὸς δὲ διάνοιαν, τὰ διδάγματα, δι' ὧν εἰσέρχεται ἄνθρωπος εἰς τὴν ἀρετὴν, ἐν κατηφείᾳ εἰσὶν, ἐκκοπείσης τῆς προθεσμίας [ἰσ. προθυμίας] τῶν μανθανόντων.

« Πᾶσαι αἱ πύλαι. » Οἱ διδάσκαλοι, οἱ μήτε αὐτοὶ εἰσερχόμενοι εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τοὺς ἐρχομένους κωλύοντες.

« Ἱερεῖς αὐτῆς. » Πρὸς μὲν τὸ ῥητὸν, διὰ τὸ μὴ εἶναι τοὺς προσφέροντας· πρὸς δὲ διάνοιαν, οἱ ἱερουργοὶ τῆς ἀρετῆς τρόποι, διὰ τὸ μηδένα προστρέχειν.

« Παρθένοι αὐτῆς. » Οἱ σῶοι καὶ ἄμωμοι τρόποι, οὐ κατ' ἐξουσίαν βαδίζοντες διὰ τὴν φθοροποιὸν τῶν διδασκάλων παράδοσιν.

« Ἐγένοντο οἱ θλίβοντες αὐτήν. » Ὑπερεπήρθησαν Βαβυλώνιοι, καὶ οἱ ἀλιτήριοι δαίμονες.

« Τὰ νήπια αὐτῆς. » Καὶ τὰ μήπω δι' ἁμαρτίας κρινόμενα ἐπὶ τιμωρίαν τῶν γεννησάντων πάσχουσιν. Ἢ καὶ νήπια τοὺς ἁγίους καλεῖ, ταλαιπωρουμένους διὰ τὰς τῶν πολλῶν ἁμαρτίας, ἢ καὶ νήπιαι ψυχαὶ αἱ ἄρτι θεοσεβεῖν ἀρξάμεναι, καὶ ὀκλάσασαι περὶ τὸν δρόμον τῆς ἀρετῆς, καὶ ὑποστρέψασαι εἰς τὴν κακίαν.

« Κατὰ πρόσωπον. » Οἱ αἰχμαλωτεύοντες ἔμπροσθεν βάλλοντες τὰ βρέφη ἀναγκάζουσι βαδίζειν· οὕτω δὲ ποιοῦσιν καὶ οἱ δαίμονες, συνελαύνοντες τὴν ψυχὴν εἰς ὃ βούλονται.

« Πᾶσα ἡ εὐπρέπεια αὐτῆς. » Πρὸς μὲν τὸ ῥητὸν ὁ ναὸς, ἡ νομικὴ λατρεία· πρὸς δὲ διάνοιαν, ἡ θεογνωσία διὰ τὴν τῆς ἁμαρτίας ἐπαγωγήν.

« Ἐγένοντο. » Εἴτε οἱ ἱερεῖς, εἴτε καὶ οἱ ἄλλως ἡγούμενοι τοῦ λαοῦ, οὐκέτι ἔχοντες τοὺς προσφέροντάς τι αὐτοῖς. Πρὸς δὲ διάνοιαν, τῆς ἁμαρτίας δίκην καύσωνος, τοὺς ἐν τῇ μαθήσει προκόπτειν μέλλοντας ἀποξηρανάσης, οἱ διδασκαλικοὶ τρόποι οὐχ εὑρίσκουσι νομήν.

« Καὶ ἐπορεύοντο. » Συνελαυνόμενοι, φησὶν, εἰς τὴν αἰχμαλωσίαν· οὐκέτι ἴσχυσαν. Ἢ καὶ οὕτως, ἠσθένησαν, ἀντωπῆσαι καὶ ἀντιστῆναι τῇ ἁμαρτίᾳ μὴ δυνηθέντες.

« Ἐμνήσθη Ἱερουσαλήμ. » Εἰς ἀνάμνησιν, φησὶν, ἦλθον τῶν πρὸ τῆς ταπεινώσεως αὐτῆς ἡμερῶν,

[87] I Cor. VI, 18.

Digitized by Google

τῶν ὅτε ᾤκουν τὴν Ἱερουσαλήμ, καὶ εἶχον τὰς προσφορὰς· ἢ καὶ οὕτως· Εἰς ἀνάμνησιν ἦλθον τῶν οἰκείων ἁμαρτημάτων, δι' ἃ γέγονεν εἰς αἰχμαλωσίαν.

A cum habitabant Jerusalem, et oblationes habebant. Vel et sic : Propriorum delictorum recordati sunt, propter quæ captivitas venit.

« Πάντα τὰ ἐπιθυμήματα. » Πρὸς μὲν τὸ ῥητὸν, ὁ ναὸς, αἱ πανηγύρεις, αἱ θυσίαι, αἱ προσφοραὶ, τὰ ἱερὰ σκεύη. Πρὸς δὲ διάνοιαν· Ἀνεμνήσθη, φησὶ, τῶν ἐπιθυμιῶν αὐτῆς, αἷς ἐξακολουθήσασα γέγονεν αἰχμάλωτος.

« Omnium desideriorum. » Ad litteram, templum, solemnitates, sacrificia, oblationes, vasa sacra. Sensu vero mystico, recordata est, ait, desideriorum suorum, quæ sectata, captiva facta est.

« Ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐγέλασαν. » Πεφύκασι γὰρ οἱ δαίμονες μετὰ τὸ καταβαλεῖν τὴν ψυχὴν, τότε καὶ ἐπιγελᾷν αὐτῇ.

« Videntes inimici ejus riserunt. » Proprium quippe dæmonum est, ubi animam prostraverint, tunc etiam irridere.

« Ἁμαρτίαν ἥμαρτεν. » Πᾶς μὲν ὁ ἁμαρτάνων δῆλον ὅτι τὴν ἁμαρτίαν ἐργάζεται· ἁμαρτίαν δὲ ἁμαρτάνειν λέγεται, ὁ ἐν γνώσει ἁμαρτάνων. Αἰνίττεται δὲ τοὺς Ἰουδαίους, ὅτι τὸν προκηρυττόμενον, καὶ προσδοκώμενον ὑπ' αὐτῶν Κύριον, παραγεγονότα ἐσταύρωσαν.

V. 8. « Peccatum peccavit. » Liquet omnem peccantem peccatum admittere ; peccatum vero peccare is dicitur, qui scienter peccat. Innuit porro Judæos, qui prænuntiatum et exspectatum illis Dominum, ubi advenit, in crucem egerunt.

« Πάντες οἱ δοξάζοντες αὐτήν. » Πρὸς μὲν ῥητὸν, ἡ συναγωγὴ αἰχμαλωτισθεῖσα, πρὸς δὲ διάνοιαν, ἡ ἁμαρτίᾳ νοσοῦσα ψυχὴ, τῆς ὀρθῆς στάσεως παρακινηθεῖσα.

« Omnes qui glorificabant eam. » Ad litteram quidem, Synagoga in captivitatem ducta : sensu vero altiori, iniquitate laborans anima, a recto statu dimota.

« Ἐταπείνωσαν αὐτήν. » Ἢ οἱ δαίμονες, οἱ πρώην αὐτὴν ἀναπτεροῦντες, ὅτε αὐτοῖς ἔθυεν ἡ συναγωγὴ, οὓς καὶ ὕστερον ἀπεστράφη, ἢ καὶ αἱ τῶν ἁγίων ψυχαὶ, αἱ ἐκ διαθέσεως ἀγαπῶσαι τὴν Ἱερουσαλήμ, καὶ δοξάζουσαι αὐτὴν εὐπράττουσαν, ἁμαρτάνουσαν δὲ ἀποστρεφόμεναι.

« Humiliaverunt illam. » Vel dæmones qui prius eam inflabant, cum illis Synagoga sacrificabat, quos etiam postremo aversata est : vel etiam sanctorum animæ, quæ ex corde amabant Jerusalem, eamque recte agentem glorificabant, peccantem vero adversabantur.

« Εἶδον γὰρ τὴν ἀσχημοσύνην αὐτῆς. » Διὰ γὰρ τῆς σφοδρᾶς τιμωρίας ἀνεκαλύφθησαν καὶ ἐφανερώθησαν αἱ ἁμαρτίαι, δι' ἃς καὶ τὰς τιμωρίας ὑπέστη.

« Viderunt enim ignominiam ejus. » Gravi quippe supplicio detectæ sunt et palam factæ iniquitates, ob quas etiam pœnis addicta est.

« Καίγε αὐτὴ στενάζουσα. » Ἡ μὲν συναγωγὴ οὐκέτι δουλεύουσα δαίμοσιν· ἡ δὲ τοιαύτη ψυχὴ εἰς συναίσθησιν ἐρχομένη, καὶ στενάζουσα, καὶ τρόπον τινὰ βουλομένη ἀποποδίζειν ἐκ τῶν ἁμαρτημάτων.

« Atque ipsa gemens. » Synagoga quidem non amplius dæmonibus serviens, ejusmodi vero anima in se rediens, et gemens, et quodammodo volens pedem de peccato retrahere.

« Ἀκαθαρσία αὐτῆς πρὸ ποδῶν αὐτῆς. » Ἀντὶ τοῦ, μεμολυσμέναι εἰσίν.

V. 9. « Immunditia ejus ante pedes ejus. » Hoc est, pollutæ sunt.

« Οὐκ ἐμνήσθη ἔσχατα αὐτῆς. » Εἰ ἐμνήσθη, φησὶν, ὅτι ἐστὶν ἀνταπόδοσις, εἶχεν ἑαυτῆς ταπεινώσειν τὴν ὑπερηφανίαν, ἵνα μὴ πέσῃ ὑπὸ τὴν τιμωρίαν· ὁ μὲν γὰρ ὑπέρογκος ταπεινοῦται, ὁ δὲ ταπεινὸς ὑψοῦται.

« Non est recordata novissimorum suorum. » Si recordata esset, inquit, retributionem sequi, suam utique superbiam compressisset, ne pœnis obnoxia fieret : inflatus enim humiliatur, at humilis exaltatur.

« Ἴδε, Κύριος. » Οἰκειοποιεῖται ὁ ἅγιος ἐκεῖθεν τῶν ἁμαρτανόντων τὰ πλημμέλημματα, καὶ τὴν ὑπὲρ αὐτῶν προσάγει δέησιν.

« Vide, Domine. » Sibi ascribit inde sanctus peccatorum delicta, atque pro illis preces effundit.

« Χεῖρα αὐτοῦ ἐξεπέτασε θλίβων. » Πρὸς μὲν τὸ ῥητὸν, πρότερος ὁ Βαβυλώνιος, ὕστερον δὲ καὶ οἱ Ῥωμαῖοι τὰ ἐπιθυμητὰ σκεύη, καὶ ὅσα ἦν ἀξιόλογα ἐν τῇ Ἱερουσαλὴμ εἰλήφασιν. Πρὸς δὲ διάνοιαν, ἐτόλμησε, φησὶν, ἡ κακία, ἐφήπλωσεν ἑαυτὴν κατὰ τῆς ψυχῆς, καὶ ἐπεσκότισεν αὐτῆς τὴν ἐπιθυμητὴν θεογνωσίαν.

V. 10. « Manum suam extendit tribulans. » Ad litteram priores Babylonii, deinde et Romani desiderabilia vasa, et quidquid erat pretiosum Jerosolymis diripuerunt. Ad sententiam autem spiritalem : Ausa, inquit, est nequitia ; effudit se in animam, desiderabilemque in illa Dei cognitionem obtenebravit.

« Εἶδε γὰρ ἔθνη. » Ἐκέλευσεν ὁ Θεὸς Μωαβίτας καὶ Ἀμμανίτας μὴ εἰς ἐκκλησίαν Κυρίου εἰσιέναι· ἐρημωθείσης οὖν τῆς Ἱερουσαλὴμ, εἰσῆλθον καὶ οὗτοι εἰς τὸν ναόν. Πρὸς δὲ διάνοιαν, ἀκάθαρτοί τινες λογισμοὶ εἰς τὸ ἄδυτον τῆς ψυχῆς ἐχώρησαν.

« Vidit enim gentes. » Jusserat Deus [49] Moabitas et Ammonitas in Domini ecclesiam non ingredi : desolata igitur Jerosolyma, ingressi sunt templum et ipsi : spiritualiter vero, impuræ quædam cogitationes in loca animæ secreta penetrarunt.

[49] Deut. II, 29).

Digitized by Google

V. 41. « Quærentes panem. » Vel corporalem propter obsidionem ; vel sermonem, quo animus alitur.

« Dederunt desiderabilia. » Tempore obsidionis quidquid erat charum dabant, ut cibos emerent, et vitam tueri possent, deficientemque alerent animam. Vel etiam sic : Desiderabilem Dei cognitionem cum perdidissent, aliquid e pseudoprophetis audire volebant, quo mœrentem animum recrearent.

V. 42. « Qui ad vos omnes. » Cum staret Jerusalem, per mediam illam ibant sæpe viatores, ibi etiam quiescentes. Eversa igitur extra illam præteribant. Ait itaque : Ad vos, viatores, qui exterius prætercurritis, verba facio ; moveat vos meum tantum vulnus. Spiritualiter vero, Qui non rectam, ait, et legitimam inceditis viam, dolorem meum videntes convertimini ad Dei cognitionem.

« Locutus in me. » Minatus redargutione veritatis : et quando dixit Synagogæ : *Ecce relinquetur domus vestra deserta* [61].

V. 13. « De excelso suo misit ignem. » Pro altitudine sua, inquit, supplicio me acerbissimo affecit; significat quoque eam quæ post ascensionem Domini per Romanum bellum irrogata illi pœna est.

« In ossibus meis. » Ad ipsos usque artus medullasque pervenit, sensusque et cogitationes.

« Expandit. » Punitionem, quæ vitari non potuit.

« Convertit me. » E bonis ad mala.

« Dedit me Dominus. » Hoc est, ostendit me desolatam.

« Tota die. » Perpetuis addictam suppliciis.

V. 14. « Vigilavit. » Nullum, ait, meum peccatum præteritum est.

« In manibus meis. » Quæ per opera seminavi, hæc et messui. Eo quod unusquisque proprium onus portare oportet.

« Infirmata est virtus mea. » Hostibus adversari non valui. Vel ita : Synagogæ robur lex, quæ illi subvenire non potuit.

« Quia dedit Dominus. » Id est, ostendit me doloribus digna patrasse.

« Non potero. » Concussa est stabilitas mea, videlicet firmitas mea.

V. 15. « Abstulit omnes. » Ad litteram quidem, principes, legumque doctores : spiritaliter vero, propositi modos, quos exterminat se opponens et superans iniquitas.

« Vocavit super me. » Tempus, ait, tenebrarum : deficiente quippe intelligibili lumine, tenebræ succedunt.

« Ut contereret. » Ut omne bonum meum propositum exterminetur.

« Torcular calcavit. » Hoc est, omnia mea cri-

[61] Matth. XXIII, 38.

A « Ζητοῦντες ἄρτον. » Ἢ τὸν αἰσθητὸν διὰ τὴν πολιορκίαν, ἢ τὸν τρόφιμον τῆς ψυχῆς λόγον.

« Ἔδωκαν τὰ ἐπιθυμήματα. » Ἐν τῇ πολιορκίᾳ πᾶν εἴ τι ἐκλεκτὸν παρεῖχον εἰς ὠνὴν βρωμάτων, ἵνα κἂν μόνον ζήσωσιν, καὶ θρέψωσι τὴν ἐκλείπουσαν ψυχήν. Ἢ καὶ οὕτως· τὴν ἐπιθυμητὴν θεογνωσίαν προδεδωκότες, ἤθελόν τι ἀκούειν παρὰ τῶν ψευδοπροφητῶν, ἐφ' ᾧ τὴν ἑαυτῶν ἀθυμίαν ἀνακτᾶσθαι.

« Οἱ πρὸς ὑμᾶς πάντες. » Ἑστώσης τῆς Ἱερουσαλὴμ, διὰ μέσης ἐβάδιζον οἱ ὁδοιπόροι πολλάκις, καὶ διαναπαυόμενοι ἐν αὐτῇ. Κατασκαφείσης οὖν αὐτῆς, ἔξωθεν αὐτῆς παρήρχοντο. Φησὶν οὖν, ὅτι Ὁδῖται οἱ ἔξωθέν με παρατρέχοντες, πρὸς ὑμᾶς μοι ὁ λόγος· συμπαθήσατέ μοι ἐπὶ τῷ τηλικούτῳ τραύ- B ματι. Πρὸς δὲ διάνοιάν φησιν· Οἱ μὴ τὴν εὐθεῖαν καὶ ἔννομον βαδίζοντες ὁδὸν, τὸ ἐμὸν ἄλγημα θεωροῦντες, ἐπιστρέψατε εἰς θεογνωσίαν.

« Φθεγξάμενος ἐν ἐμοί. » Ἀπειλήσας ἐλεγμῷ ἀληθείας· καὶ ὅτε δὲ τῇ Συναγωγῇ· *Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.*

« Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ. » Κατὰ τὸ ὕψος αὐτοῦ, φησὶν, οὕτως ἐξηκρίβωσε τὴν κατ' ἐμοῦ τιμωρίαν· δηλοῖ δὲ καὶ μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου τὴν ἐπενεχθεῖσαν τῇ Ἱερουσαλὴμ κόλασιν διὰ τοῦ Ῥωμαϊκοῦ πολέμου.

« Ἐν τοῖς ὀστέοις μου. » Ἐφικνεῖται γὰρ ἕως ἁρμῶν τε καὶ μυελῶν, ἐνθυμήσεων τε καὶ ἐννοιῶν.

« Διεπέτασε. » Τὴν ἄφυκτον τιμωρίαν.

C « Ἀπέστρεψέ με. » Ἐκ τῶν ἀγαθῶν ἐπὶ τὰ χείρονα.

« Ἔδωκέ με Κύριος. » Ἀντὶ τοῦ, ἔδειξέ με ἔρημον.

« Ὅλην τὴν ἡμέραν. » Διηνεκῶς κολαζομένην.

« Ἐγρηγορήθη. » Οὐδὲν, φησὶ, ἐσιωπήθη τῶν ἐμῶν ἁμαρτημάτων.

« Ἐν χερσί μου. » Ἃ διὰ τῶν πράξεων ἔσπειρα, ταῦτα καὶ ἐθέρισα. Διὰ τὸ ἕκαστον τὸ ἴδιον φορτίον βαστάζειν.

« Ἠσθένησε ἡ ἰσχύς μου. » Οὐκ ἠδυνήθην ἀντιπρᾶξαι τοῖς ἐναντίοις. Ἢ καὶ οὕτως· Ἰσχὺς τῆς συναγωγῆς ὁ νόμος, οὐ δυνηθεὶς αὐτῇ ἐπαμῦναι.

« Ὅτι ἔδωκε Κύριος. » Ἀντὶ τοῦ, ἔδειξέν με ὀδύ- D νης ἄξια διαπραξαμένην.

« Οὐ δυνήσομαι. » Ἐσαλεύθη στάσις μου, τουτέστι στηριγμός μου.

« Ἐξῆρε πάντας. » Πρὸς μὲν ῥητὸν, τοὺς ἄρχοντας καὶ τοὺς νομοδιδασκάλους· πρὸς δὲ διάνοιαν, τοὺς τρόπους τῆς προθέσεως, οὓς ἐξαφανίζει ἀντικαθισταμένη, καὶ ἐπικρατοῦσα ἡ ἁμαρτία.

« Ἐκάλεσεν ἐπ' ἐμέ. » Καιρόν φησι τὸν τοῦ σκότους. Ἐκλείποντος γὰρ τοῦ νοητοῦ φωτὸς, τὸ σκότος ἀντεισέρχεται.

« Τοῦ συντρίψαι. » Ὥστε ἀφανισθῆναί μου πάντα τρόπον ἀγαθόν.

« Ληνὸν ἐπάτησε. » Ἀντὶ τοῦ. Πάντα μου τὰ

Digitized by Google

ἁμαρτήματα συνήγαγεν εἰς ἕν, ἅτινα πατήσας ἐποίησενοῖνον· περὶ οὗ φησιν ὁ Ψαλμῳδὸς, ὅτι *Ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου*, τουτέστιν ὀργῆς. Ἐξεταζόμενα γὰρ τὰ ἁμαρτήματα, καὶ ὥσπερ ἐκθλιβόμενα, θείαν ὀργὴν ἀποστάζουσιν, ἣν ποτίζονται οἱ ἁμαρτάνοντες.

A mina in unum collegit; quæ calcans vinum expressit; de quo Psalmista : *Calix in manu Domini vini meri* [42], id est iræ. Disquisita enim peccata, et veluti calcata, divinam distillant iram, quam peccatores bibunt.

« Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ. » Τὸ διανοητικὸν τῆς ψυχῆς τρόπον τινὰ δακρύει, καὶ ἐπιστενάζει τοῖς ἁμαρτήμασιν.

V. 16. « Oculus meus deduxit aquam. » Facultas animæ contemplatrix quodammodo lacrymatur, et ingemit super peccatis.

« Ὁ ἐπιστρέφων ψυχήν μου. » Πρὸς μὲν τὸ ῥητὸν, ὅτι μέχρι νῦν Ἰουδαῖοι ταλαιπωροῦσι, πρὸς δὲ διάνοιαν, ὁ τρόπος τῆς μνήμης τοῦ Θεοῦ, ὁ ἐπιστρέφων τὴν ψυχὴν ἐκ θανάτου εἰς ζωήν.

« Convertens animam meam. » Ad litteram quidem, quod hucusque Judæi misere agunt : sensu vero interiori, propositum memoriæ Dei convertens animam de morte ad vitam.

« Ἐγένοντο οἱ υἱοί μου. » Αἱ διάφοροι πράξεις τοῦ ἐχθροῦ ἡμῶν διαβόλου ἐπικρατεστέρου γινομένου.

« Facti sunt filii mei. » Diversa opera, inimico nostro diabolo prævalente.

B

« Διεπέτασε Σιών. » Ὑπὸ ἐκπλήξεως παρειμένας ἔσχε τὰς χεῖρας, πάσας ἀγαθὰς ῥίψασα πράξεις.

V. 17. « Expandit Sion. » Præ stupore solutas habuit manus, omnibus abjectis actionibus bonis.

« Οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. » Οὐ νόμος, οὐ προφήτης.

« Et non est qui consoletur eam. » Non lex, non propheta.

« Ἐνετείλατο Κύριος. » *Παρήγγειλε*, φησὶ, *Κύριος*. Ὅτι κύκλῳ εἰσὶν οἱ θλίβοντές σε, νῆψον· ὁ δὲ εἰς ῥᾳθυμίαν ἐξέκλινεν. Ἢ οὕτως· Ἐντολὴ Κυρίου φησίν· *Ἰδοὺ τέθεικα πρὸ προσώπου ὑμῶν τὴν ζωὴν, καὶ τὸν θάνατον*. Ἐπειδὴ τοίνυν ἀνθείλετο τῆς ζωῆς τὸν θάνατον ὁ Ἰακὼβ, ἐγένοντο κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν.

« Mandavit Dominus. » *Mandavit*, ait, *Dominus*. Quoniam in circuitu sunt qui opprimunt te, cautus esto; ille vero segnitiem amavit. Vel sic: Mandatum Domini ait: *Ecce posui ante faciem vestram vitam et mortem* [43]. Quoniam igitur Jacob prætulit vitæ mortem, facti sunt in circuitu ejus affligentes eum.

« Εἰς ἀποκαθημένην. » Ἀντὶ τοῦ· Ὑπὲρ τοὺς ἐχθροὺς, ὧν ἐν μέσῳ τυγχάνει, βδελυκτὴ γέγονεν. Καὶ οὕτως μετὰ τὴν αἰχμαλωσίαν ἔμεινεν ἐν τῇ ἰδίᾳ ἀκαθαρσίᾳ, μὴ μετανοοῦσα.

« Quasi polluta menstruis in medio eorum. » Quasi diceret : Plusquam inimicis ipsis quorum in medio est, abominabilis facta est. Et sic post captivitatem C in sua mansit immunditia, pœnitentiam non agens.

« Ἐκάλεσα γὰρ τοὺς ἐραστάς μου. » Ἔρασται αὐτῆς ψευδοπροφῆται, καὶ τερατοσκόποι, καὶ οἱ ἀκάθαρτοι δαίμονες. Ἔρασται δὲ αὐτῆς καλοῦνται, ἢ ὅτι αὐτὴ ἐρᾷ τῆς αὐτῶν ἀπάτης, ἢ ὅτι αὐτοὶ προσποιούμενοι φιλεῖν αὐτὴν, τῆς θείας ὀργῆς ἐγένοντο πρόξενοι, οὐδὲν αὐτῇ δυνηθέντες ἐπαμῦναι. Τοῦτο γὰρ σημαίνει τὸ, *Παρελογίσαντό με*.

V. 19. « Vocavi enim amatores meos. » Amatores ejus sunt pseudoprophetæ, prodigiorum interpretes, et impuri dæmones. Amatores vero dicuntur, vel quod ipsa seductionem eorum amaret, vel quod illi simulantes se illius amore teneri, divinam in eam concitarunt iram, cum ferre illi nullam potuissent opem : id enim significat vox illa, *Deceperunt me*.

« Οἱ ἱερεῖς μου. » Ταῦτα μὲν ἐν τῇ πολιορκίᾳ συνέβη. Πρὸς δὲ διάνοιαν, οἱ διδάσκαλοι, οἱ ἀνάξιοι τοῦ λόγου τοῦ Θεοῦ κριθέντες, οἱ τῆς τῶν λαῶν σωτηρίας μὴ πιστοὶ οἰκονόμοι γενόμενοι, οὐχ εὗρον τοὺς διδασκομένους, οἵτινές εἰσιν αὐτῶν βρῶσις, τοῦ λαοῦ συνολισθήσαντος τῇ τῶν διδασκάλων ἀσεβείᾳ.

« Sacerdotes mei. » Hæc quidem in ipsa obsidione evenerunt. Mystice vero, doctores verbo Dei indigni judicati, qui salutis populorum non fideles fuere dispensatores, non invenerunt erudiendos, qui sunt cibus eorum, collapso jam populo una cum præceD ptorum impietate.

« Ἡ κοιλία μου. » Ἀντὶ τοῦ, πάντα τὰ ἐντός μου. Κοιλία δὲ καὶ καρδία, κατὰ τοὺς τροπῆς νόμους, αἱ ἀναδοτικαὶ καὶ ζωτικαὶ τῆς ψυχῆς δυνάμεις, δι' ὧν αὐτῆς τρέφεται καὶ γυμνάζεται τὰ αἰσθητήρια.

V. 20. « Venter meus. » Hoc est, omnia viscera mea. Venter autem et cor, secundum regulas figuratæ locutionis, distributrices sunt et vitales animæ facultates, per quas aluntur et exercentur ejus sensoria.

« Ἔξωθεν ἠτέκνωσέ με μάχαιρα. » Πρὸς μὲν ἱστορίαν, τοὺς ἐκ τῆς πολιορκίας ἐξιόντας ἀνῄρουν οἱ Ῥωμαῖοι· πρὸς δὲ διάνοιαν, Ἡ τῶν ἀοράτων ἐχθρῶν, φησὶν, ἔφοδος ἔξωθεν, τουτέστιν οὐ συμφυὴς ἡμῖν οὖσα, ἀνεῖλέ μου τοὺς ἀγαθοὺς λογισμούς· ὥσπερ ἔνδοθεν ἡ τῆς προαιρέσεως ἡμῶν ἐπὶ τὸ χεῖρον ὁρμή· τοῦτο γαρ δηλοῖ *θάνατος ἐν οἴκῳ*.

« Foris orbavit me filiis gladius. » Ad historicum quidem sensum, ex obsidione fugientes perimebant Romani; ad sensum vero altiorem, hostium, inquit, invisibilium irruptio foris, id est, non insita nobis a natura, bonas cogitationes mihi peremit; quemadmodum intus voluntatis nostræ ad malum assensus. Hoc enim sibi vult *mors domi*.

[42] Psal. LXXIV, 9. [43] Deut. XXX, 19.

Digitized by Google

V. 21. « Omnes inimici mei. » Inimici animæ impuri dæmones sunt, qui et amatores ejus dicuntur. Nam cum hostes sint, amare simulant; qui postquam ad peccatum perduxerint, demoliri quoque eam aggrediuntur.

« Adduxisti diem. » Punitionis.

« Heu mihi, heu mihi. » Repetitio doloris vehementiam significat.

V. 22. « Ingrediatur omnis. » Fiat, inquit, inquisitio prementium me secundum veritatem tuam. Facies enim Dei veritas est.

« Vindemio eos. » Racemuli sunt minuti botri, qui sæpenumero vindemiatores effugiunt. Qui ergo reliquias colligunt, illos vindemiant curiosa exquisitione vites explorantes. Sicut igitur me dæmones acerbe impetiverunt, vel sicut curarunt ut diligenter inquireretur in peccata mea pseudoprophetæ et pseudomagistri decipientes me, ita diligenter in in eos, Domine, inquire secundum judicium tuum.

CAP. II.

V. 1. « Quomodo obtexit caligine. » Quomodo velut cuidam caligini hostium irruptioni tradidit.

« Projecit de cœlo in terram. » Cœlesti parem splendori, ait, decorem convertit Jerusalem in dedecus, projecta illa ab ipsius perpetua visitatione.

« Et non est recordatus. » Scabellum Dei templum vocat, tanquam Dei præsentia de cœlo in illud pertingente, vel etiam Israeliticum populum Dei cognitione dignatum. Thronus quippe Dei cœlum vocatur, quod in purissimis illic mentibus quiescat. Scabellum autem illius terra, quod usque ad nos pro nostra capacitate cognitio ejus perveniat.

V. 2. « Omnia speciosa. » Ad litteram, omnem legalem cultum; ad sensum autem latentem, proposita pietatis.

« Destruxit. » Destructionem vocat ab ipsis fundamentis motionem.

« Munitiones. » Ad litteram, templum, vel magnates urbis, ad sensum vero mysticum, virtutes inexpugnabiles in terram dejecit.

« Polluit regem ejus. » Ad litteram, potentiores ejus; spiritaliter vero, impuros, ait, ostendit præstantissimos voluntatis ejus motus.

V. 3. « Omne cornu. » Ad historiam quidem, omnes tribus, vel omnes potentes : ad internam vero intelligentiam, omnem animi victorem modum.

« Retrorsum avertit. » Vel ipsius Israel rectas actiones, posteriora enim sunt sinistra omnia dextris, in pejus avertit, hoc est in lævam : vel Deus suas vires detinuit, nec illis opem tulit, cum ab hostibus bello premerentur.

« Et accendit. » Factum per Romanos excidium. Ira itaque Dei quasi ignem accendit adversus Jacob ultricem ejus virtutem.

A « Πάντες οἱ ἐχθροί μου. » Ἐχθροὶ τῆς ψυχῆς ο ἀκάθαρτοι δαίμονες, οἵτινες καὶ ἐρασταὶ αὐτῆς λέγονται. Καὶ γὰρ ἐχθροὶ ὄντες, ἐρᾷν προσποιοῦνται· οἵτινες μετὰ τὸ ποιῆσαι ἁμαρτάνειν καὶ ἐπιχειροῦσι τῇ αὐτῆς πτώσει.

« Ἐπήγαγες ἡμέραν. » Τὴν τῆς κολάσεως.

« Οἴμοι, οἴμοι. » Ὁ διπλασιασμὸς τὸ ἐπιτεταμένον τῆς ὀδύνης σημαίνει.

« Εἰσέλθοι πᾶσα. » Γένοιτο, φησὶν, ἡ ἐξέτασις τῶν ἀμυνομένων με κακὰ [Ισ. κατὰ] τὴν ἀλήθειάν σου· τὸ γὰρ πρόσωπον τοῦ Θεοῦ ἡ ἀλήθεια.

« Ἐπιφύλλισσον αὐτούς. » Ἐπιφυλλίδες εἰσὶ τὰ μικρὰ βοτρύδια, ἃ πολλάκις καὶ τοὺς τρυγῶντας λανθάνουσιν. Οἱ γοῦν καλαμώμενοι ταῦτα ἐκλέγονται, ἀκριβῶς τὰς ἀμπέλους ἐξετάζοντες. Ὥσπερ οὖν B πικρῶς ἐπέθεντό μοι οἱ δαίμονες· ἢ καὶ ὥσπερ ἀκριβῶς ἐξετασθῆναι πεποιήκασι τὰ ἁμαρτήματά μου οἱ ψευδοδιδάσκαλοι καὶ ψευδοπροφῆται ἀπατήσαντές με, οὕτως ἀκριβῶς ἔτασον αὐτοὺς κατὰ τὸ σὸν κρίμα, Κύριε.

ΚΕΦ. Β'.

« Πῶς ἐγνόφωσεν. » Πῶς, ὥσπερ τινὶ γνόφῳ, τῇ τῶν ἐχθρῶν ἐφόδῳ παραδέδωκεν.

« Κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν. » Τὴν οὐρανοπρεπῆ, φησὶν, εὐπρέπειαν τῆς Ἱερουσαλὴμ εἰς ἀτιμίαν μετέστησεν, ἀπωσάμενος αὐτὴν ἐκ τῆς ἑαυτοῦ διηνεκοῦς ἐπισκέψεως.

« Καὶ οὐκ ἐμνήσθη. » Ὑποπόδιόν φησι Θεοῦ τὸν ναὸν, ὡς φθανούσης εἰς αὐτὸν ἐκ τοῦ οὐρανοῦ τῆς C θείας ἐπιφοιτήσεως, ἢ καὶ τὸν Ἰσραηλιτικὸν λαὸν, τὸν ἠξιωμένον τῆς γνώσεως τοῦ Θεοῦ. Θρόνος μὲν γὰρ Θεοῦ καλεῖται ὁ οὐρανὸς, ὡς τοῖς ἐκεῖ καθαρωτάτοις λογικοῖς ἐπαναπαυομένου τοῦ Θεοῦ. Ὑποπόδιον δὲ αὐτοῦ ἡ γῆ, ὡς καὶ εἰς ἡμᾶς φθανούσης κατὰ τὴν ἐπιβάλλουσαν ἡμῖν ἀναλογίαν τῆς αὐτοῦ γνώσεως.

« Πάντα τὰ ὡραῖα. » Πρὸς μὲν τὸ ῥητὸν, τὴν νομικὴν πᾶσαν λατρείαν· πρὸς δὲ διάνοιαν, τοὺς τῆς εὐσεβείας τρόπους.

« Καθεῖλεν. » Καθαίρεσίν φησιν τὴν ἐκ θεμελίων κίνησιν.

« Τὰ ὀχυρώματα. » Πρὸς μὲν ῥητὸν, τὸν ναὸν, ἢ καὶ τοὺς ἐν αὐτῇ δυνατούς· πρὸς δὲ διάνοιαν, τὰς ἀκαταμαχήτους ἀρετὰς τοῖς γηΐνοις ἀπέρριψεν.

D « Ἐβεβήλωσεν βασιλέα αὐτῆς. » Πρὸς μὲν ῥητὸν, τοὺς ἐν αὐτῇ δυνατούς· πρὸς δὲ διάνοιαν, ἀκαθάρτους, φησὶν, ἀπέδειξε τοὺς κατ' ἐξοχὴν αὐτῆς τρόπους.

« Πᾶν κέρας. » Καθ' ἱστορίαν μὲν, πάσας τὰς φυλὰς, ἢ πάντας τοὺς δυνατούς· πρὸς δὲ θεωρίαν, πάντα ἐπινίκιον τῆς ψυχῆς τρόπον.

« Ἀπέστρεψεν. » Ἡ αὐτοῦ τοῦ Ἰσραὴλ τὰς δεξιὰς πράξεις εἰς τὸ ἧττον ἀπέστρεψεν, τουτέστιν εἰς τὰ ἀριστερά· ὀπίσω γὰρ τῶν δεξιῶν τὰ ἀριστερά· ἢ ὁ Θεὸς τὴν αὐτοῦ δύναμιν ἐπέσχε, καὶ οὐκ ἐπήμυνεν αὐτοῖς πολεμουμένοις ὑπὸ τῶν ἐχθρῶν.

« Καὶ ἀνῆψεν. » Τὴν διὰ Ῥωμαίων ἄλωσιν. Ἡ ὀργὴ οὖν τοῦ Θεοῦ ὡς πῦρ ἀνῆψεν κατὰ τοῦ Ἰακὼβ τὴν ἐταστικὴν αὐτῆς δύναμιν.

Digitized by Google

« Ἐνέτεινε τόξον αὐτοῦ. » Τὴν παντελῆ ἀποστροφὴν τοῦ Θεοῦ λέγει· ἧς γινομένης καιρίαι παρὰ τῶν ἐχθρῶν ἐπιφέρονται πληγαί. A

« Καὶ ἀπέκτεινεν. » Πρὸς μὲν ῥητὸν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας, καὶ εἴ τι παρ' αὐτοῖς ζῶον τίμιον· πρὸς δὲ διάνοιαν, τὰς κρειττονας τῆς ψυχῆς ὀρέξεις. Τοῦτο γὰρ ποιεῖ ἡ ἀποστροφὴ τοῦ Θεοῦ. Ἡ γὰρ ἐπίσκεψις αὐτοῦ ζωὴ τυγχάνει.

« Σκηνῇ θυγατρὸς Σιών. » Καθ' ἱστορίαν μὲν, ἐν τῷ ναῷ ᾧ ἐφονεύθησαν· πρὸς δὲ διάνοιαν, ἐν ταῖς τῆς ψυχῆς ἀναπαύσεσιν.

« Ἐγενήθη Κύριος. » Αὐτῶν ἑαυτοὺς καταστησάντων ἐχθροὺς τοῦ Θεοῦ διὰ τῶν εἰς αὐτὸν παρανομιῶν· Θεὸς γὰρ οὐ μισεῖ.

« Διέφθειρε τά. » Ἡρὸς μὲν ῥητὸν, τὰ τείχη, καὶ τὸν ναὸν, καὶ τὰς οἰκίας φησί· πρὸς δὲ διάνοιαν, B
τοὺς περιφράττοντας τὴν ψυχὴν ἀγαθοὺς λογισμούς. [Καὶ ἄλλως·] Ὅτι οὐκέτι παρὰ Ἰουδαίοις μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν οὐ προφήτης, οὐκ ἀποκάλυψις, οὐκ ἔννομος ἱερουργία.

« Ταπεινούμενα. » Μετὰ τὴν ἱστορίαν, τοὺς ὑπὸ τῆς ἁμαρτίας ἁλισκομένους φησίν.

« Καὶ διεπέτασεν ὡς ἄμπελον. » Ἢ τοῦτό φησι, ὅτι τὴν πρώην ὡς ἄμπελον ἐκταθεῖσαν Συναγωγὴν παρέδωκε τοῖς ἐχθροῖς· ἢ οὕτως, ὅτι αὐτὴν ἥπλωσεν τοῖς διαρπάζουσιν ὡς ἄμπελον ἀσκέπαστον.

« Διέφθειρεν ἑορτὴν αὐτοῦ. » Τῆς μὲν Ἱερουσαλὴμ τὰς νομικὰς ἑορτάς· τῆς δὲ ψυχῆς τὴν ἐπὶ τῷ κρείττονι χαρμονήν.

« Ἐπελάθετο Κύριος. » Κατεφρόνησε, φησὶ, καὶ τῆς ἑαυτοῦ νομοθεσίας, τῆς παρακελευομένης ἑορτάζειν καὶ σαββατίζειν. C

« Καὶ παρώξυνεν. » Ὑπιπλέον ἐκθλίβεσθαι αὐτοὺς συνεχώρησεν, ἢ αὐτὸς παροξυνόμενος, ἢ καὶ αὐτὸς παροξύνων ἐπὶ τῇ τῶν ἐχθρῶν εὐθηνίᾳ.

« Ἀπώσατο Κύριος. » Τὸ νομικὸν, ἵνα ἀντεισενεχθῇ τὸ τῆς Καινῆς Διαθήκης πνευματικόν. Ἐὰν δὲ ἐπὶ τῆς αἰχμαλώτου ψυχῆς ἐκλαμβάνηται, διὰ τὸ ἀναξίαν αὐτὴν φανῆναι τῆς τοῦ Θεοῦ λατρείας.

« Ἀπετίναξεν. » Ἀποτόμως ἀπεβάλετο.

« Φωνὴν ἔδοκαν. » Ἐπὶ πλέον χαίροντες οἱ ἐχθροί.

« Τεῖχος θυγατρός. » Ἔκρινε [Ἰσ. ἔφθειρε] τεῖχος, τὸν νόμον.

« Οὐκ ἀπέστρεψε. » Τὸ σύγκριμα [Ἰσ. τὸ σύντριμμα] παρέτεινεν. D

« Καὶ ἐπένθησε. » Οὐκ ἐφείσατο τοῦ παραβρίψαι εἰς κατάπαυσημα, τοὺς εἰς αὐτὸν ἐμμόνως ἁμαρτάνοντας.

« Ἐνεπάγησαν. » Οἱ τὴν διδασκαλίαν πεπιστευμένοι κατεβυθήσθησαν εἰς τὰ γήϊνα πράγματα.

« Ἀπώλεσε. » Ἠφάνισεν αὐτῆς τὰ παραγγέλματα, ὥστε τὸν βουλόμενον εἰσέρχεσθαι ἀπορεῖν, καὶ ζητεῖν.

« Ἐκάθισαν εἰς τὴν γῆν. » Ἠδαφίσθησαν τὰ γήϊνα φρονήσαντες.

« Ἐσιώπησαν. » Ἀπώλεσαν τὸ διδασκαλικὸν ἀξίωμα, ἀποκωφώθησαν.

« Ἀνεβίβασαν. » Κατὰ μὲν τὴν ἱστορίαν τὸ σχῆ-

V. 4. « Tetendit arcum suum. » Perfectam Dei aversionem dicit : ex quo fit ut lethalia vulnera infligantur.

« Et occidit. » Ad litteram, filios eorum et filias, et si quod animal erat in pretio apud eos. Ad sensum vero interiorem, potiores animi appetitiones hujus enim causa est aversio Dei. Etenim visitatio ejus vita est.

« In tabernaculo filiæ Sion. » Secundum historiam, in templo in quo necati sunt : spiritaliter, ubi anima quiescebat.

V. 5. « Factus est Dominus. » Ipsis semetipsos inimicos Dei constituentibus propter peccata in eum admissa : Deus enim neminem odit.

« Corrupit. » Ad litteram, et mœnia, et templum, et domos ait. Spiritali sensu, bonas cogitationes animam vallantes. [Aliter :] Quoniam apud Judæos post scelus, quod in Christum ausi sunt, non amplius propheta, non revelatio, non legitimum sacrificium.

« Humiliatam. » Post historicum sensum eos intelligit, qui iniquitatibus captivantur

V. 6. « Et expandit quasi vitem. » Vel hoc dicit : Synagogam, quæ antea tanquam vitis dilatata erat traditam hostibus : vel sic, quod ipsam diripientibus expanderit, quasi vitem derelictam.

« Corrupit festivitatem suam. » Jerusalem legales solemnitates, animæ vero gaudium de Deo.

« Oblitus est Dominus. » Suas etiam, inquit, leges contempsit, quæ dies festos agere, et sabbata præcipiebant.

« Et irritavit. » Permisit ut vehementius affligerentur, vel ipse irritatus, vel et ipse irritans de hostium prosperitate.

V. 7. « Repulit Dominus. » Legale, ut spirituale Novi Testamenti succederet. Quod si de anima captiva hoc accipiatur, quoniam divino cultu indigna visa est.

« Excussit. » Severe abjecit.

« Vocem dederunt. » Hostes nimium gaudentes.

V. 8. « Murum filiæ. » Destruxit murum, legem.

« Non avertit. » Conculcationem auxit.

« Luxitque. » Eis non pepercit, sed conculcandos projecit, qui assidue in eum peccabant.

V. 9. « Defixæ sunt. » Quibus docendi munus creditum est, in res terrenas immersi sunt.

« Perdidit. » Monita seu consilia illius perdidit, ut qui intrare velit, hæreat et quærat.

V. 10. « Sederunt in terra. » Sederunt in terra terrena sapientes.

« Conticuerunt. » Magisterii dignitatem amiserunt, muti facti sunt.

« Imposuerunt. » Secundum historiam. lugubris

Digitized by Google

habitus captivitatis tempore. At mystice, sponte sua, ait, res terrenas suæ saluti præposuerunt.

« Deduxerunt in terram. » Ad res terrenas synagogas deduxerunt vel animas quæ salvari poterant.

V. 11. « Defecerunt in lacrymis. » Quoniam non a gentilibus pietas impedita est, sed a spuriis filiis depravati sunt.

V. 12. « Matribus suis. » Peccatrices animæ Ecclesiis.

« Ubi est triticum? » Ubi sacramenti libertas? Hæc aiunt tanquam a sacramentis repulsæ propter peccata.

« Cum dissolverentur. » Hoc est, ob peccatum in mortem.

« Cum effunderent. » Quamvis in sinu matrum essent, tamen doctrinæ fame deficiunt.

V. 13. « Quid testificabor tibi? » Quid boni inesse tibi attester?

« Aut quid assimilabo tibi? » Quodnam peccatum cum tuo conferam? Vere enim cædes Domini superat omnia.

« Quoniam magnificatum est. » Iniquitatis tuæ ultio.

« Quis medebitur tibi? » Hoc est, nemo nisi solus Deus.

V. 14. « Prophetæ tui. » Pseudoprophetæ quidem falsa prædicentes, doctores autem falsas opiniones introducentes.

« Et non revelarunt. » Non indicaverunt tibi, ait, quod verum est, ut agnoscens, te iniqua agere, convertereris, et captiva non fieres.

« Et viderunt tibi. » Vaticinia falsa, opiniones vanas, quæ te a Deo ejicerent.

V. 15. « Planserunt. » Secundum historiam, qui populi ruinam intuebantur stupore correpti manibus plaudunt, sibilumque edunt, caput moventes. Occultiori vero sensu, qui extra pietatem ambulant, homines impii, vel etiam impuri dæmones hæc faciunt lapsu eorum qui antea virtuti studebant gaudentes.

« Hæccine est urbs. » De templo quidem, quia ubique terrarum celebre erat; de anima vero dicent: Hæc est quæ dicebatur perfecta, et virtute illustris?

V. 16. « Aperuerunt super te. » Sibilaverunt, tanquam feræ aggressæ sunt; ferarum quippe sibilus est.

« Et fremuerunt. » Fremere est dentibus strepitum edere.

« Profecto hæc est dies. » Confusio, quæ ex peccatis oritur; exspectabatur vero, quia Deus prædicebat, et peccantibus minabatur.

V. 17. « Fecit Dominus. » Justam sententiam tulit.

« Complevit sermonem suum. » Ad finem perduxit æterna judicia, non inulta peccata relinquens.

μα πενθικὸν, ὡς ἐν αἰχμαλωσίᾳ. Κατὰ δὲ θεωρίαν, ἐκ προαιρέσεως, φησὶν, τὰ γήϊνα πράγματα τῆς ἑαυτῶν σωτηρίας προέκριναν.

« Κατήγαγον εἰς γῆν. » Κατήνεγκαν εἰς τὰ γήϊνα πράγματα τὰς συναγωγὰς, ἢ καὶ τὰς δυναμένας σώζεσθαι ψυχάς.

« Ἐξέλιπον ἐν δάκρυσιν. » Ὅτι οὐχ ὑπὸ τῶν ἐθνικῶν ὠχλήθη ἡ εὐσέβεια, ἀλλ' ὑπὸ τῶν νόθων υἱῶν παρεφθάρησαν,

« Ταῖς μητράσιν. » Αἱ ἁμαρτωλαὶ ψυχαὶ ταῖς Ἐκκλησίαις.

« Ποῦ σῖτος. » Ποῦ τοῦ μυστηρίου ἡ παῤῥησία; Ταῦτά φασιν, ὡς μὴ ἀξιούμεναι τῶν μυστηρίων διὰ τὰς ἁμαρτίας.

« Ἐν τῷ ἐκλύεσθαι. » Τουτέστιν ὑφ' ἁμαρτίας καὶ [Ισ. εἰς] θάνατον.

« Ἐν τῷ ἐκχεῖσθαι. » Καίτοι ἐν κόλποις μητέρων ὑπάρχοντες, λιμῷ διδασκαλίας ἔτι ἐκλείπουσιν.

« Τί μαρτυρήσω σοι; » Τί χρηστόν σοι προσμαρτυρήσω;

« Ἢ τί ὁμοιώσω σοι; » Ποίαν ἁμαρτίαν συγκρίνω πρὸς τὴν σήν; Καὶ γὰρ ἀληθῶς ὑπερβάλλουσα ἡ κατὰ τοῦ Κυρίου σφαγή.

« Ὅτι ἐμεγαλύνθη. » Ἡ ἐκδίκησις τῆς ἁμαρτίας σου.

« Τίς ἰάσεταί σε; » Ἀντὶ τοῦ, οὐδείς, εἰ μὴ μόνος Θεός.

« Προφῆταί σου. » Οἱ μὲν ψευδοπροφῆται ψευδῆ προλέγοντες, οἱ δὲ διδάσκαλοι ψευδεῖς δόξας εἰσηγούμενοι.

« Καὶ οὐκ ἀπεκάλυψαν. » Οὐκ ἐφανέρωσάν σοι, φησὶ, τὸ ἀληθὲς, ἵνα γνοῦσα ὡς ἄδικα πράττεις, ἐπιστρέψῃς, καὶ μὴ γένῃ αἰχμάλωτος.

« Καὶ εἶδοσάν σοι. » Προφητείας ψευδεῖς, καὶ δόξας ματαίας, ἐξωθούσας σε ἀπὸ Θεοῦ.

« Ἐκρότησαν. » Καθ' ἱστορίαν μὲν, οἱ θεωροῦντες τὴν πτῶσιν τοῦ λαοῦ, ἐκπληττόμενοι κροτοῦσι χεῖρας, καὶ συρίζουσιν κινοῦντες κεφαλήν· πρὸς δὲ διάνοιαν, οἱ ἔξω τῆς θεοσεβείας βαδίζοντες ἄνδρες ἄθεοι, ἢ καὶ ἀκάθαρτοι δαίμονες ταῦτα ποιοῦσιν, ἐπιχαίροντες τῇ πτώσει τῶν πρώην ἐν ἀρετῇ.

« Εἰ αὕτη ἡ πόλις. » Ἐπὶ μὲν τοῦ ναοῦ, διὰ τὸ πανταχοῦ αὐτοῦ περιφανές· ἐπὶ δὲ τῆς ψυχῆς ἐροῦσιν, Αὕτη ἐστὶν ἡ λεγομένη τελεία, καὶ ἔνδοξος ἐν ἀρετῇ;

« Διήνοιξαν ἐπὶ σέ. » Ἐσύρισαν, θηριωδῶς ἐπέθεντο· θηρίων γὰρ ὁ συριγμός.

« Καὶ ἔβρυξαν. » Βρύξαι ἐστὶν τὸ τρίζειν τοὺς ὀδόντας.

« Πλὴν αὕτη ἡ ἡμέρα. » Ἡ ἐξ ἁμαρτιῶν σύγχυσις· προσεδοκᾶτο δὲ, διὰ τὸ προλέγειν τὸν Θεὸν, καὶ ἀπειλεῖν τοῖς ἁμαρτάνουσιν.

« Ἐποίησε Κύριος. » Δικαίως ἔκρινεν.

« Συνετέλεσε ῥῆμα. » Εἰς πέρας ἤνεγκεν τὰ αἰώνια κρίματα, τὸ μὴ παρασιωπᾷν ἐν ἁμαρτίαις.

Digitized by Google

Πλὴν καὶ διὰ Μωϋσέως ἐμαρτύρατο τοῖς Ἰσραηλίταις.

« Ἀνάστηθι. » Διεγέρθητι, φησὶν, καὶ κατὰ σαυτὴν ἐξετάζουσα σύνες, καὶ προκατάλαβε τὰς ἀρχὰς τῆς φυλακῆς, τουτέστιν τὰ δικαιώματα. Ἀντὶ τοῦ, Πρᾶξον τὰ δικαιώματα, καὶ ἐξιλέωσαι τὸν Θεόν. Τὸ δὲ *ἐν νυκτὶ* διὰ τὴν τῶν πολεμίων ἔφοδόν φησιν.

« Ἔχεον ὡς ὕδωρ. » Ἐπὶ πλεῖον ἔκτεινον τὴν προθυμίαν σου πρὸς τὸν Θεόν.

« Ἆρον πρὸς αὐτόν. » Τῶν ἐκλυομένων ἐπὶ ἀρχῆς πάσης ἀρετῆς· οἷον, ἤρξατό τις τυχὸν ἐλεημοσύνης, οὐκ ἔσχε τὸν προτρέποντα, καὶ διδάσκοντα, ἔμεινεν ἐκεῖ ἐκλυόμενος. Ἄλλος ἐγκρατείας, καὶ καθεξῆς. Ἐκκοπέντες γὰρ τῆς προκοπῆς, ἐν ᾧ εἰσιν καὶ μένουσιν, ἢ καὶ ἀναποδίζον ἐν τῷ λιμῷ ἐκλυόμενοι.

« Ἴδον, Κύριος. » Εἰρήκει γὰρ ὁ Κύριος, ὅτι οὐ γέγονε τοιαύτη θλῖψις, οὐδὲ ἔσται.

« Εἰ φάγονται. » Μετὰ τὰ συμβάντα κατὰ τὴν ἱστορίαν, τὰ; τῶν Ἐκκλησιῶν φησιν ἐπὶ τὰ τέκνα ἐπαναστάσεις.

« Ἐπιφυλλίδα. » Ὠπτήθησαν, φησὶν, ἢ καὶ ἐψήθησαν τὰ τέκνα, ἃ ἔφαγον ἐν τῇ πολιορκίᾳ. Πρὸς δὲ διάνοιαν, ὁ ἀπ' ἀρχῆς τὸ φονεύειν μελετήσας Σατανᾶς τὰ καίρια τῶν ἀρετῶν, αἵ εἰσιν μυελοὶ, τῇ ὀργῇ ὑπέστρωσεν.

« Φονευθήσονται. » Ἐὰν, φησὶν, ἀποδείξῃς ἀνῃρημένους τοὺς ἐξιλεοῦσθαί σε καὶ διδάσκειν δυναμένους. φονευθήσονται οἱ τρόφιμοι τῆς Ἐκκλησίας· τὸ δὲ *ἐν ἁγιάσματι Κυρίου*, ὅτι οἱ μὲν τρόποι [*Ισ.* τόποι] τῆς ἁγιωσύνης δοκοῦσιν ἑστάναι, ἡ δὲ δύναμις ἥρνηται. Ταῦτα δὲ μετὰ τὴν ἱστορίαν θεωρήσεις.

« Ἐκοιμήθησαν εἰς. » Πρὸς μὲν ῥητὸν, οἱ διαναπαύεσθαι ὀφείλοντες, εἰς γῆν ἑαυτοὺς ἐκοιμήθησαν [*Ισ.* ἐκοίμισαν]. Πρὸς δὲ διάνοιαν, Ὁ ἄπειρός τε καὶ ἐπιστήμων ἐν τοῖς τῆς ἀποστροφῆς τόποις ἀνεπαύσαντο· τὸ γὰρ ἐξοδεύειν ἐστὶν τὸ ἀποστρέφεσθαι. Ἵνα εἴπωι, ἐξελθόντες τῶν τῆς θεοσεβείας ὅρων, τὰ γήϊνα φρονήσαντες.

« Παρθένοι μου. » Καὶ οἱ ἐν ἀφθαρσίᾳ, καὶ ἀνδρίᾳ βιοῦντες, φησὶν, ὑπεσύρησαν τῇ ἁμαρτίᾳ.

« Ἐν ῥομφαίᾳ. » Ἐν τῇ τοῦ ἐχθροῦ ἐπιστασίᾳ.

« Καὶ ἐν λιμῷ. » Ἐν τῇ τοῦ λόγου ἀπουσίᾳ.

« Ἐκάλεσας. » Πρὸς μὲν ῥητὸν οὕτως φησίν· Οἱ πάσης τῆς περιοικίδος κατέφυγον εἰς ἐμὲ τὴν Ἱερουσαλὴμ ὡς ἰσχυρὰν πόλιν, ὥσπερ ὅτε ἐν πανηγύρει συνέτρεχον. Πρὸς δὲ διάνοιαν ἡ ψυχή φησιν· Ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, παρεσκεύασας τοὺς ἐχθρούς μου ἑορτάζειν. Παροίκους γὰρ τοὺς παροικοῦντας ἡμῖν ἐχθρούς φησιν.

« Καὶ οὐκ ἐγένοντο. » Εἰ μὴ γάρ τις τελείᾳ ἁμαρτίᾳ περιπέσοι, ἀποτόμῳ ὀργῇ οὐ παραδίδοται.

« Ὡς ἐπεκράτησα. » Πρὸς μὲν ῥητὸν, Ἐνισχύσασα, φησὶν, ἐν τῇ ἁμαρτίᾳ παρεσκεύασά σε πλῆθος ἐχθρῶν

A Quin per Moysen etiam Israelitis contestatus est.

V. 19 « Surge. » Expergiscere, ait, et tecum res tuas examinans intellige, et præoccupa principia vigiliæ, hoc est justificationes. Quasi diceret : In justificationibus te exerce, et Deum propitium tibi redde. Illud autem, *in nocte* propter hostium incursum apposuit.

« Effunde sicut aquam. » Extende vehementius affectum tuum ad Deum.

« Leva ad Deum. » Qui dissolvuntur in principio cujusque virtutis : verbi gratia, eleemosynas quis facere cœpit, nec habuit hortantem, aut docentem, mansit ibi dissolutus. Alius continens esse cœpit, et sic de aliis. Ultra enim non proficientes, remanent ubi sunt, vel etiam retrocedunt fame dissoluti.

V. 20. « Vide, Domine. » Dixerat enim Dominus [a] nunquam fuisse talem afflictionem, neque futuram.

« Si comedent. » Post sensum historicum intelligit commotiones Ecclesiarum in filios.

« Vindemiam. » Assati sunt, ait, vel elixi filii, quos in obsidione comederunt. Spiritaliter vero, qui ab initio fuit homicida Satanas potiores virtutum fetus quæ sunt medullæ, iræ subjecit.

« Occidentur. » Si illos, ait, interfectos ostendes, qui te placare, et qui docere possunt, occidentur Ecclesiæ alumni : illud porro, *in sanctuario Domini:* quoniam sanctitatis loca videntur stare, vis tamen denegatur. Hæc autem post sensum historicum speculaberis.

V. 21. « Dormierunt in via. » Ad litteram, qui quiete frui deberent, in terra dormierunt. Mystice vero, inexpertus et sciens in aversionis locis jacuerunt; exire enim est averti. Quasi diceret, egressi pietatis fines, terrena sapientes.

« Virgines meæ. » Tam qui castimoniam servabant, quam qui fortitudinem sibi propositam habebant, ad peccandum, ait, pertracti sunt.

« In gladio. » In ipsa hostium invasione.

« Et in fame. » Inopia verbi.

V. 22. « Vocasti. » Ad litteram hoc ait : Omnes circumcirca incolæ ad me Jerusalem confugerunt tanquam civitatem fortem, sicut cum ad solemnitates concurrebant. Spiritaliter vero anima dicit : Quoniam avertisti faciem tuam a me, inimicis meis gaudia tribuisti. Parœcos enim vocat hostes, qui prope nos habitant.

« Et non fuerunt. » Nisi enim quis in peccatum perfectum lapsus fuerit, severe iræ non traditur.

« Sicut invalescere feci. » Ad litteram : Cum, ait, in peccato invaluissem, feci, ut multitudinem ho-

[a] Matth. XXIV, 21.

Digitized by Google

stium in me adducerес. Mystice vero : Perdita sum, moresque inimicos multiplicavi.

CAP. III.

V. 1. « Ego vir videns. » In personam quidem Domini, ob exinanitionis modum. In propheta vero fatetur ingenue paupertatem mutabilitatemque naturæ ; malum enim non natura est, sed transmutatione.

V. 2. « In virga furoris. » Ex persona quidem Domini secundum illud : *In me confirmatus est furor tuus* [65]. Ex persona vero prophetæ, Inimicus, inquit, diabolus virga furoris sui usus est in me conversione in peccatum ; ergo assumens ille *me abduxit in tenebras, et non lucem.* Hæc autem nomine totius naturæ humanæ profert.

V. 3. « Tantum in me. » Non satis, inquit, inimico fuit, me in tenebras abducere, sed etiam pœnis afflixit. Illud porro *tota die*, idem est ac si diceret, omni tempore quo sub ejus potestate fuit.

V. 4. « Vetustam fecit carnem meam. » Ex persona quidem Domini, Mendacium, ait, ædificatum est contra me. Nam multa adversus eum effutivere mendacia. Ex persona vero humanæ naturæ, Non hoc, ait, inimico satis fuit, mihi pœnas infligere ; sed ita circa me extulit ædificia, ut effugere non possim.

« In tenebricosis. » Hoc prior David [66] de Domino propter sepulturam ejus prænuntiaverat. Si vero etiam de anima intelligatur, ideo dicitur, quia tenebris eam oppleverit intelligibili lumine privatam.

V. 7. « Ædificavit. » De Domino quidem, quoniam qui eum in sepulcro posuerant minime resurrecturum opinabantur. De anima vero, propter custodiam quæ in illam adhibita est.

« Aggravavit æs meum. » De Domino, propter signa ejus monumento adjecta ; de anima, propter catenas peccati, quibus eam inimicus obstrinxit.

V. 8. « Etiam cum vociferabor. » Multiplicatis, ait, peccatorum studiis precibus viam ad Deum interclusit. Hæc autem dicit anima, quoniam et idola adoravit.

V. 9. « Circumædificavit. » Ex persona Ecclesiæ, Populus Judæorum, ait, omnes intendit vires, ne doctrina prædicaretur ; et hunc leoni et urso assimilat propter iracundiam, et quoad, inquit, fuit in illo, posuit me desolatam. Ex persona vero animæ : Occlusit, inquit, vias meas inimicus.

V. 10. « Conturbavit ursus. » Ursus peccatum est; *insidians* vero, id est varie, et sæviter aggrediens.

« Ut leo. » Ursus ad timorem minor est leone. Itaque diabolus, turbata prius per peccatum anima,

ἐπαγαγεῖν μοι. Πρὸς δὲ διάνοιαν · Ἐπετύφθην [ἴσ· ἐπετύφην], καὶ ἐπολυπλασίασα τοὺς ἐχθρούς τρόπους.

ΚΕΦ. Γ'.

« Ἐγὼ ἀνὴρ ὁ. » Ἐπὶ μὲν τοῦ προσώπου Κυρίου διὰ τὰ μέτρα τῆς κενώσεως. Ἐπὶ δὲ τοῦ προφήτου εὐγνωμόνως ὁμολογεῖ, τὸ πτωχὸν καὶ τρεπτὸν τῆς φύσεως · οὐ γὰρ φύσει τὸ κακὸν, ἀλλὰ τροπῇ.

« Τῇ ῥάβδῳ θυμοῦ. » Ἐκ μὲν τοῦ προσώπου Κυρίου κατὰ τὸ εἰρημένον · *Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου.* Ἐκ δὲ προσώπου τοῦ προφήτου · Ὁ ἐχθρὸς, φησὶ, διάβολος τῇ ῥάβδῳ τοῦ θυμοῦ αὐτοῦ ἐχρήσατό μοι, τῇ τροπῇ τῇ εἰς ἁμαρτίαν · ὅθεν καὶ παραλαβών με, *ἀπήγαγέν με εἰς σκότος, καὶ οὐ φῶς.* Ταῦτα δὲ προφέρει ἀπὸ κοινοῦ τῆς ἀνθρωπότητος.

« Πλὴν ἐν ἐμοί. » Οὐ μόνον, φησὶ, ἠρκέσθη ὁ ἐχθρὸς ἀπαγαγεῖν με εἰς σκότος, ἀλλὰ καὶ ἐτιμωρήσατό με. Τὸ δὲ, *ὅλην τὴν ἡμέραν*, ἀντὶ τοῦ, πάντα τὸν καιρὸν, ὃν γέγονεν ὑπ' αὐτῷ.

« Ἐπαλαίωσε σάρκα μου. » Ἐκ μὲν προσώπου τοῦ Κυρίου, τὸ ψεῦδος, φησὶν, ᾠκοδομήθη κατ' ἐμοῦ, πολλὰ γὰρ αὐτοῦ κατεψεύδοντο. Ἐκ δὲ προσώπου τῆς ἀνθρωπείας φύσεως, Οὐ μόνον, φησὶν, ἠρκέσθη ὁ ἐχθρὸς τιμωρήσασθαί με, ἀλλὰ καὶ οὕτω περιῳκοδόμησε κατ' ἐμοῦ, ὡς μὴ δύνασθαί με διαφεύγειν.

« Ἐν σκοτεινοῖς. » Τοῦτο πρότερος ὁ Δαβὶδ περὶ τοῦ Κυρίου προκατήγγειλεν διὰ τὸν τάφον. Εἰ δὲ ἀπὸ κοινοῦ τῆς ψυχῆς, λέγεται, ὅτι σκότους αὐτὴν ἐπλήρωσεν, ἀποστερήσας τοῦ νοητοῦ φωτός.

« Ἀνῳκοδόμησε. » Ἐπὶ μὲν τοῦ Κυρίου, ὅτι ζῶντο μηκέτι αὐτὸν ἀναστήσεσθαι οἱ ἐμβάλλοντες αὐτὸν τῷ τάφῳ. Ἐπὶ δὲ τῆς ψυχῆς, διὰ τὴν κατ' αὐτῆς γενομένην φρουράν.

« Ἐβάρυνε χαλκόν μου. » Ἐπὶ μὲν τοῦ Κυρίου, διὰ τὰς σφραγῖδας τὰς βληθείσας ἐν τῷ αὐτοῦ μνήματι · ἐπὶ δὲ τῆς ψυχῆς, διὰ τοὺς κλοιοὺς τῆς ἁμαρτίας, οὓς περιέθηκεν αὐτῇ ὁ ἐχθρός.

« Καί γε ὅτι κεκράξομαι. » Πληθύνας, φησὶ, τὰ ἐπιτηδεύματα τῶν ἁμαρτιῶν, τὴν πρὸς τὸν Θεὸν δέησιν ἀπέφραξεν. Λέγει δὲ ταῦτα ἡ ψυχὴ, διὰ τὸ καὶ εἰδώλοις προσκυνῆσαι.

« Ἀνῳκοδόμησεν. » Ἐκ μὲν τῆς Ἐκκλησίας, Ἰουδαίων, φησὶν, λαὸς παντοῖος γέγονεν ἐμποδίσαι τῇ διδασκαλίᾳ τοῦ κηρύγματος · τοῦτον δὲ καὶ λέοντι καὶ ἄρκτῳ εἰκάζει διὰ τὸ θυμιτικόν· καὶ τόγε, φησὶν, ἐφ' ἑαυτῷ, ἔθετό με ἠφανισμένην. Ἐκ δὲ προσώπου τῆς ψυχῆς, Συνέκλεισε, φησὶ, τὰς πορείας μου ὁ ἐχθρός.

« Ἐτάραξεν ἄρκτος. » Ἄρκτος ἡ ἁμαρτία. *Ἐνεδρεύουσα* δὲ, ποικίλως ἐπιτιθεμένη καὶ θηριωδῶς.

« Αὐτός μοι ὡς λέων. » Ὁ ἄρκτος πρὸς φόβον ἧττόν ἐστι τοῦ λέοντος. Προταράττων οὖν τὴν ψυχὴν

[65] Psal. LXXXVII, 8. [66] ibid. 7.

Digitized by Google

διὰ τῆς ἁμαρτίας ὁ διάβολος, αὐτὸς λοιπὸν τῇ δεινότητι καταπιεῖν ταύτην ἐπιχειρεῖ. *Ἐν κρυφίοις* δὲ, ἀντὶ τοῦ πανούργοις, πρότερον διὰ τῆς ἁμαρτίας ταράττων.

A postea calliditate sua absorbere illam nititur. *In absconditis* vero, hoc est fraudulentis, per peccatum antea turbans.

« Κατεδίωξεν. » Ἀντὶ τοῦ, κατέστρωσεν.

V. 11. « Persecutus est. » Hoc est, prostravit.

« Ἐνέτεινε τόξον. » Ὁ Ἰουδαίων λαὸς, παντοίαις χρώμενος κατὰ τοῦ Κυρίου λοιδορίαις καὶ συκοφαντίαις· καὶ ὁ διάβολος δὲ ὑποχείριον λαβὼν τὴν ψυχήν.

V. 12. « Tetendit arcum. » Judæorum populus, quibusvis usus in Dominum maledictis et calumniis : vel ipse diabolus, anima in suam potestatem redacta.

« Εἰσήγαγεν ἐν τοῖς νεφροῖς μου. » Κατὰ μὲν τοῦ Κυρίου, τὰς εἰς θάνατον ἐξαιτηθεὶς [ἐξαιτήσεις], κατὰ δὲ τῆς ψυχῆς ὁ διάβολος, τὰς κατὰ τῆς ψυχῆς θανατηφόρους συμβουλάς.

V. 13. « Immisit in renes. » Adversus Dominum petitiones ad mortem; adversus vero animam diabolus lethalia in ipsam consilia.

« Ἐγενήθη γέλως. » Ὁ μὲν Κύριος, τῷ τῶν ἀπίστων· ἡ δὲ ψυχὴ τοῖς τῶν δαιμόνων πλήθεσιν.

V. 14. « Factus sum. » Dominus quidem infidelibus : anima vero dæmonum multitudini.

« Ψαλμὸς αὐτῶν. » Ἀντὶ τοῦ, εὐφροσύνη, χαρά.

B « Psalmus eorum. » Id est lætitia et gaudium.

« Ἐχόρτασέ με. » Καὶ γὰρ χολὴν αὐτὸν ἐν τῷ σταυρῷ ἐπότισαν· πικρία δὲ καὶ τῆς ψυχῆς ἡ ἁμαρτία.

V. 15. « Saturavit me. » Felle enim in cruce illum potaverunt : amaritudo vero etiam animæ peccatum est.

« Καὶ ἐξέβαλε ψήφῳ. » Ὁ μὲν Κύριος, φησὶν, διὰ τὸ μηδὲν Πιλάτῳ ἀποκρίνασθαι. Ἡ δὲ ψυχὴ λέγει, ὅτι Ὁ διάβολος τῇ πανουργίᾳ τῇ τῆς ἁμαρτίας τὰ αἰσθητήριά μου ἐξημαύρωσεν.

V. 16. « Et ejecit calculo. » Dominus quidem quia Pilato [47] nullum dedit responsum. Anima vero hæc ait, quia Diabolus peccati calliditate sensus meos obscuravit.

« Καὶ ἀπώσατο. » Ὁ μὲν Ἰουδαίων λαὸς, μὴ θελήσας εἰρηνεῦσαι πρὸς τὸν ἑαυτοῦ Σωτῆρα· ὁ δὲ διάβολος, ἐκ τῆς εἰρήνης τοῦ Θεοῦ τὴν ψυχὴν ἀποστήσας.

V. 17. « Et repulit. » Judæorum quidem populus pacem nolens cum suo Salvatore; diabolus vero animam a pace Dei deturbans.

« Καὶ εἶπα, Ἀπώλετο. » Ταῦτα ὁ Σωτὴρ περὶ τοῦ Ἰουδαίων λαοῦ φησὶν, ὃς πρότερον κληρονομία αὐτοῦ ἦν, καὶ ἐλπὶς καυχήματος. Φησὶν δὲ καὶ ἡ ψυχὴ, ὅτι Πληθυνθεισῶν μου τῶν ἁμαρτιῶν ὑπενόησα τὴν ἀνάκλησίν μου μὴ εἶναι.

V. 18. « Et dixi : Periit. » Hæc Salvator de Judaico populo ait, qui olim hæres illius erat, et spes gloriæ. Ait quoque anima : Multiplicatis meis iniquitatibus, suspicata sum, non fore me amplius revocandam.

« Ἐμνήσθην. » Ὁ Σωτὴρ φησιν, ὅτι Μνησθεὶς τῆς ἐκουσίου κενώσεώς μου, καὶ τῶν παθῶν, ὧν ὑπέμεινα, καὶ ταῦτα ἔχων, καὶ φυλάττων ἐν ἐμαυτῷ, ὑπομένω, ἵνα τῇ μακροθυμίᾳ καὶ τοὺς Ἰουδαίους κερδήσω. Ἐκ δὲ τοῦ προσώπου τοῦ ἁμαρτήσαντος οὕτω νοήσεις· Πτωχείας, τῆς τροπῆς· μετὰ γὰρ τὴν τροπὴν διωγμοῖς ἁμαρτίας παραδίδοται ἡ ψυχή.

V. 19. « Recordatus sum. » Salvator hæc ait : Recordatus meæ spontaneæ exinanitionis, passionumque quas pertuli, et hæc habens, servansque in me ipso, sustineo, ut tolerantia mea Judæos quoque lucrifaciam. Ex persona vero peccatoris sic intelliges : Paupertatis, hoc est mutationis; immutata enim anima, persecutionibus peccati traditur.

« Πικρίας μου. » Τῶν συμβάντων μοι ἐν τῇ χώρᾳ τῆς ἁμαρτίας.

« Amaritudinis meæ. » Quæ mihi acciderunt in regione peccati.

« Καὶ καταδολεσχήσει ἐπ' ἐμὲ ἡ ψυχή μου. » Ταῦτα ἐν ἑαυτῇ μελετῶσα καταγνώσεται ἑαυτῆς.

V. 20. « Et exercebitur in me anima mea. » Hæc secum agitans, semetipsam condemnabit.

« Ταύτην τάξω. » Τὴν μνήμην, φησὶ, τῆς καταγνώσεως ἐναποθήσομαι τῇ ἐμαυτοῦ καρδίᾳ.

V. 21. « Hanc ponam. » Memoriam, ait, condemnationis recondam in meo corde.

« Διὰ τοῦτο ὑπομενῶ. » Ὁ γὰρ εἰδὼς, ὅτι ἐκ προαιρέσεως ἥμαρτεν, ὑπομένει τοῦ Θεοῦ τὴν παιδείαν, καὶ τὸν ἐξ αὐτοῦ ἔλεον.

V. 26. « Propter hoc sustinebo. » Qui enim se novit voluntate peccasse, Dei correptionem sustinebit, ejusque misericordiam.

« Καὶ ὑπομενεῖ. » Βεβαίως, φησὶν, ἐλπίσει εἰς τὴν τοῦ Χοιστοῦ καὶ Σωτῆρος βοήθειαν. Καὶ αὐτὸς γάρ ἐστι τὸ σωτήριον τοῦ Κυρίου κατὰ τὸν Συμεὼν λέγοντα· *Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.*

« Καθήσεται κατὰ μόνας. » Τὸ τῶν νεωτερικῶν πράξεων παιδευτήριον.

V. 28. « Sedebit solitarius. » Juvenilium actuum docendorum locus.

« Καθήσεται. » Ἐμμένει τῇ ἀληθείᾳ· αὕτη γὰρ

« Sedebit. » Persistit in veritate; ipsa enim

[47] Matth. XXVII, 14. [48] Luc. II, 30.

Digitized by Google

una est; at vero peccatum varium et multiplex.

« Et silebit. » Hoc est, ejusmodi morem a se tollet.

« Quia tulit. » Jugum videlicet.

V. 30. « Dabit percutienti. » Juxta eum qui dixit: *Si quis percusserit dexteram, præbe illi et alteram*[49]. Altiori vero sensu: dabit redargutioni, quæ secundum Deum fit.

« Saturabitur. » In præsenti sæculo, ut non in futuro.

V. 33. « Et non respondit. » Non ipse, ait, peccati Adam causa fuit, et posterorum ejus; non enim Dei lex iniquitatem præcepit, sed voluntate nostra mutationi nos subjecimus.

V. 34. « Ad humiliandum. » Hoc e superioribus pendet. Deus non decrevit humiliari sub pedibus adversarii. Vinctos terræ, hoc est vinculis suorum peccatorum constrictos.

V. 35. « Declinare judicium. » Pervertere judicandi facultatem, ut Altissimo adversetur.

V. 36. « Condemnare. » Deus, inquit, non præcepit nos ab adversario condemnari, cum his est nobis cum illo.

V. 37. « Quis ita dixit? » Inobedientiæ mos et seminator fraudis.

V. 38. « Ex ore. » Sed tantum bonum.

V. 39. « Si murmurabit homo. » Nemo, ait, quasi auctorem peccati Deum accuset. Nam quia homo libere peccavit, potest etiam per pœnitentiam converti, et excusationes vanæ sunt.

V. 40. « Investigata est via nostra. » Judex enim est, quem nihil latere potest.

V. 41. « In manibus nostris. » Hoc est, e rebus terrenis animos attollentes, offeramus Deo: quasi oblationem quamdam per opera nostras animas offerentes.

V. 42. « Peccavimus. » Quoniam irritavimus, non est placatus; quasi diceret: Justas luimus pœnas.

V. 44. « Operuisti. » Operuisti, ait, sicut nubes, ne preces ad te pervenirent.

V. 45. « Ad claudendum mihi oculos. » Aversio tui vultus, ait, absentiam lucis mihi intulit; et sicuti claudentibus oculos, ita tenebræ offusæ mihi sunt.

« Posuisti nos in medio populorum. » Vel qui sensu, vel qui mente percipiuntur; quoniam a peccatis proditi sumus.

V. 46. « Aperuerunt super nos. » Conviciis impetentes, vel absorbere volentes.

V. 47. « Timor et pavor. » Ex vario malorum incursu.

« Elatio et contritio. » Vel propter timorem, ait, et superbiam contriti sumus, vel quod adversarii contra nos elati nos contriverunt.

[49] Matth. v, 39.

Α μόνη ἐστὶν, ἡ δὲ ἁμαρτία πολλὴ, καὶ πολυμερής.

« Καὶ σιωπήσεται. » Ἀντὶ τοῦ, καταπαύσει τὸν τοιοῦτον τρόπον.

« Ὅτι ἦρεν. » Τὸν ζυγὸν δηλονότι.

« Δώσει τῷ παίοντι. » Κατὰ τὸν εἰρηκότα· *Ἐάν τις ῥαπίσῃ εἰς τὴν δεξιὰν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.* Πρὸς δὲ διάνοιαν, τῷ κατὰ Θεοῦ ἐλεγμῷ.

« Χορτασθήσεται. » Ἐν τῷ αἰῶνι τούτῳ, ἵνα μὴ ἐν τῷ μέλλοντι.

« Καὶ οὐκ ἀπεκρίθη. » Οὐκ αὐτὸς, φησὶν, ἁμαρτῆσαι παρεσκεύασεν τὸν Ἀδὰμ, καὶ τοὺς ἐξ αὐτοῦ· οὐ γὰρ ἁμαρτίαν ὁ Θεὸς ἐνομοθέτησεν, ἀλλὰ προαιρετικῶς τὴν τροπὴν ὑπεμείναμεν.

Β « Τοῦ ταπεινῶσαι. » Ὁ λόγος τοῦ ἄνω ἔχεται· ὅτι ὁ Θεὸς ἀπεφήνατο [*ἴσ.* οὐκ ἀπεφ.] ταπεινωθῆναι ὑπὸ τοὺς πόδας τὸν ἐναντίον [*ἴσ.* τοῦ ἐναντίου]. Τοὺς δὲ δεσμίους τῆς γῆς, τουτέστιν τοὺς ταῖς σειραῖς τῶν ἑαυτῶν ἁμαρτιῶν δεδεμένους.

« Τοῦ ἐκκλῖναι κρίσιν. » Τοῦ τρέψαι τὸ κριτικὸν εἰς τὸ ἐναντιοῦσθαι τῷ Ὑψίστῳ.

« Καταδικάσαι. » Ὁ Θεὸς, φησὶν, οὗ προσέταξεν, ὥστε κατακρίνεσθαι ἐκ τοῦ ἐναντίου ἐν τῷ δικάζεσθαι πρὸς αὐτόν.

« Τίς οὕτως εἶπε; » Ὁ τῆς παρακοῆς τρόπος, καὶ ὁ τῆς ἀπάτης σπορεύς.

« Ἐκ στόματος. » Ἀλλὰ μόνον τὸ ἀγαθόν.

« Εἰ γογγύσει ἄνθρωπος. » Μηδεὶς, φησὶ, μεμφέσθω ὡς αἴτιον ἁμαρτίας τὸν Θεὸν, διότι προαιρετικῶς ὁ ἄνθρωπος ἁμαρτὼν, δύναται καὶ μετανοῆσαι· καὶ μάταιαι αἱ προφάσεις.

« Ἐξηρευνήθη. » Ἀλάθητος γὰρ ὁ Κριτής.

« Ἐπὶ χειρῶν ἡμῶν. » Τουτέστιν, ἐκ τῶν γηΐνων τὰς ψυχὰς ἀνακουφίσαντες, προσενέγκωμεν Θεῷ· ὥσπερ τινὰ προσφορὰν διὰ τῶν πράξεων τὰς ἑαυτῶν ψυχὰς προσενεγκόντες.

« Ἡμαρτήσαμεν. » Ἐπειδὴ παρεπικράναμεν, οὐχ ἱλάσθης, ἀντὶ τοῦ, Δίκαια πεπόνθαμεν.

« Ἐπεσκέπασας. » Κατεκάλυψας, φησὶν, ὥσπερ τὰ νέφη, τοῦ μὴ διελθεῖν πρὸς σὲ τὴν προσευχήν.

« Καμμύσαι με. » Ἡ ἀποστροφὴ, φησὶ, τοῦ προσώπου σου ἀπουσίαν φωτός μοι εἰργάσατο, καὶ ὥσπερ τοῖς καμμύουσιν σκότος μοι ἐπεγένετο.

« Ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν. » Αἰσθητῶν, ἢ νοητῶν, διὰ τὴν ἐξ ἁμαρτιῶν προδοσίαν.

« Διήνοιξαν ἐφ' ἡμᾶς. » Λοιδοροῦντες, ἢ καταπιεῖν ζητοῦντες.

« Φόβος καὶ θάμβος. » Ἐκ τῶν ποικίλων ἐπαγωγῶν.

« Ἔπαρσις καὶ συντριβή. » Ἢ δι' ἔπαρσιν, φησὶν, καὶ ἀλαζονείαν συνετρίβημεν, ἢ ὅτι ἐπαιρόμενοι καθ' ἡμῶν οἱ ἐχθροὶ συνέτριψαν ἡμᾶς.

Digitized by Google

« Ὁ ὀφθαλμός μου κατεπόθη. » Περιέλαβεν [Videtur deesse vox, σκότος], φησίν, τὸ ὁρατικόν μου. Καὶ ὀδύρομαι ζητῶν ἐκνῆψιν.

« Ὁ ὀφθαλμός μου. » Λεπτομερῶς, φησίν, ἐξει, καὶ διερευνᾶται [*Ισ.* βλέψει καὶ διερευνήσεται] τὸ ὁρατικὸν τῆς ψυχῆς τὰ παραπτώματα ὑπὲρ τὰς διὰ τῶν πράξεων θεραπείας· θυγατέρας γὰρ πόλεως, τὰς πράξεις τῆς πολιτείας φησί.

« Θηρεύοντες. » Κατὰ τυραννίδα, οὐδὲν προαδικηθέντες.

« Ἐθανάτωσαν. » Οἱ μὲν οὖν Ἰουδαῖοι τὸν ἀρχηγὸν τῆς ζωῆς ἀποτείναντες, οἱ δὲ δαίμονες τὴν ψυχὴν ἐν τῇ καταχθονίῳ αὐτῶν βουλῇ.

« Καὶ ἐπέθηκαν. » Ἰουδαῖοι μὲν, ἵνα τὸ μνημεῖον σκεπάσωσιν, οἱ δὲ δαίμονες κατὰ τῆς ψυχῆς τὸ τῶν ἁμαρτιῶν βάρος, καταφρονεῖν ἀναπείθοντες τῶν κρειττόνων.

« Ὑπερεχύθη ὕδωρ. » Κατὰ μὲν τοῦ Κυρίου αἱ διάφοροι θλίψεις, κατὰ δὲ τῆς ψυχῆς, οἱ κλύδωνες τῆς ἁμαρτίας.

« Εἶπα· Ἀπῶσμαι. » Ὁ μὲν Κύριος διὰ τὸ πάθος ἄνθρωπος γεγονὼς ἀνθρωπίνως φθέγγεται κατὰ τὸ ἐν ψαλμοῖς· *Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος.* Ἡ δὲ τοῦ ἁμαρτωλοῦ ψυχὴ, διὰ τὴν ἁμαρτίαν τοῦτο λέγει.

« Ἐπεκαλεσάμην. » Ὅθεν με ἔκβαλον.

« Μὴ κρύψῃς τὰ ὦτα. » Ὅμοιον τό· *Κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.*

« Εἰς τὴν βοήθειάν μου. » Ὁ μὲν Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἀνάστασιν αὐτοῦ προλέγει· ὁ δὲ μετανοῶν ταῦτά φησιν διὰ τὸ κατὰ φύσιν πανταχοῦ παρεῖναι τὸν Θεόν.

« Ἐδίκασας, Κύριε. » Ἐκ μὲν προσώπου Χριστοῦ, ὅτι ἀξίας τῶν εἰς αὐτὸν πλημμεληθέντων οἱ Ἰουδαῖοι τὰς δίκας ἔτισαν, παραδοθέντες Ῥωμαίοις. Ἐκ δὲ προσώπου τῶν σωθέντων διὰ Χριστοῦ, διὰ τὴν ἀνάστασιν, ὅτι τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου κατέκρινεν.

« Ἐλυτρώσω. » Ἐκ μὲν προσώπου Χριστοῦ διὰ τὴν ἀνάστασιν. Ὁ δὲ σωζόμενος, φησὶν, πρὸς αὐτὸν, ὅτι Ἐλυτρώσω με, καταξιώσας τὰ ὀφειλήματά μου διὰ σαυτοῦ ἀποτίσαι.

« Ἴδες, Κύριε, τὰς ταραχάς μου. » Ἃς ὁ Κύριος ὑπέμεινεν ἐκ τῶν Ἰουδαίων, ἢ καὶ ἃς ἡ ψυχὴ ἐκ τῶν ἀοράτων ἐχθρῶν.

« Ἤκουσα. » Προφητικῶς ἀναφέρεται τὰ προκείμενα εἰς πρόσωπον Κυρίου περὶ ὧν πέπονθεν ὑπὸ Ἰουδαίων· λέγονται δὲ καὶ ἐκ προσώπου τῆς ψυχῆς ἐντυγχανούσης αὐτῷ τῷ Πατρὶ κατὰ τῶν ἀοράτων ἐχθρῶν.

« Καθέδραν αὐτῶν. » Ὅτι μέν ποτε ὑποκρίνονται εἰρηνεύειν φυσίωσιν, ἢ καὶ ἀμέλειαν τῇ ψυχῇ ὑποβάλλοντες, ὡς εἰς ἀπάθειαν ἐλθούσῃ, αἰφνίδιον δὲ αὐτῇ ἐπανίστανται.

« Ἐπίβλεψον. » Ἀντὶ τοῦ, ἐπὶ τὸν σκοπὸν αὐτῶν· ὃ γὰρ ἐὰν ποιήσωσιν, εἰς ἀπώλειαν ψυχῆς ποιοῦσιν.

V. 49. « Oculus meus absorptus. » Circumfusæ sunt, ait, tenebræ oculis meis, et lugeo requiem quærens.

V. 51. « Oculus meus. » Minute, ait, inspiciet et pervestigabit delicta vis animæ, plusquam curationes, quæ actionibus fiunt. Filias enim populi vitæ actiones vocat.

V. 52. « Venantes. » Tyrannico more, nullam a me injuriam antea passi.

V. 53. « Occiderunt. » Judæi quidem occidentes vitæ auctorem; dæmones vero animam in subterraneo eorum consilio.

« Et imposuerunt. » Judæi quidem, ut sepulcrum tegerent, dæmones vero super animam peccatorum pondus, suadentes, ut bona despiciat.

V. 54. « Supereffusa est aqua. » Super Dominum quidem variæ afflictiones, super animam vero fluctuationes peccati.

« Dixi : Repulsus sum. » Dominus quidem propter passionem, cum homo factus esset, humanas voces emittit, secundum quod in Psalmis dicitur : *Factus sum sicut homo sine auxilio*[80]. At peccatoris anima hoc propter peccatum profert.

V. 55. « Invocavi. » Unde me educ.

V. 56. « Ne abscondas aures tuas. » His illud non dissimile : *Inclina aurem tuam in precem meam*[81].

V. 57. « In auxilium mihi. » Dominus quidem Deusque noster Jesus Christus resurrectionem suam prædicit : at qui pœnitentiam agit hæc dicit, quia Deus natura ubique est præsens.

V. 58. « Judicasti, Domine. » Ex persona quidem Christi, quoniam ob scelera in eum commissa dignas Judæi pœnas luerunt, Romanis traditi. Ex persona vero eorum qui salvati sunt per Christum, propter resurrectionem, quoniam principem hujus sæculi damnavit.

« Redemisti. » Ex persona Christi propter resurrectionem. Qui vero salvatur ait ad eum : Redemisti me, cum non dedignatus fueris per te ipsum debita mea solvere.

V. 59. « Vidisti, Domine, turbationes meas. » Quas Dominus a Judæis sustinuit, vel etiam anima ab invisibilibus inimicis.

V. 61. « Audisti. » Prophetice referuntur hæc ad personam Domini de his quæ a Judæis passus est : dicuntur etiam ex persona animæ ipsum Patrem alloquentis adversus hostes invisibiles.

V. 63. « Sessionem eorum. » Quia nonnunquam pacem simulant, ut tumorem vel negligentiam animæ suggerant, quasi jam impassibilitatem assecutæ; Deinde in illam repente insurgunt.

« Inspice. » Hoc est in eorum propositum : quidquid enim agunt, in perniciem animæ agunt.

[80] Psal. LXXXVII, 6. [81] Psal. LXXXVII, 3.

Digitized by Google

V. 65. « Reddes eis protectionem cordis laborem illis. » Meum, inquit, cor protegens, adversariis reddes laborem. Tu ipse persequeris in ira; nullius quippe alterius est nefarios dæmonas depellere, in fugamque vertere, nisi Domini nostri Jesu Christi.

A « Ἀποδώσεις αὐτοῖς ὑπερασπισμὸν καρδίας μου μόχθον. » Ἐμοῦ, φησὶν, τῆς καρδίας ὑπερασπίζων, τοῖς ἐχθροῖς ἀποδώσεις μόχθον. Σὺ αὐτὸς καταδιώξεις ἐν ὀργῇ· οὐδενὸς γὰρ ἄλλου τοὺς ἀλιτηρίους δαίμονας καταδιῶξαι καὶ τροπώσασθαι, ἢ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

CAP. IV.

ΚΕΦΑΛ. Δ'.

V. 1. « Aurum. » Doctrina evangelica.

« Mutabitur. » Lex Mosaica, quæ bona fuit, quoniam a Deo illis sola inspirata, cum apud homines multæ essent leges.

« Χρυσίον. » Ἡ εὐαγγελικὴ διδασκαλία.

« Ἀλλοιωθήσεται. » Ὁ νόμος ὁ Μωσαϊκὸς, ἀγαθὸς δὲ, ὅτι θεόπνευστος μόνος αὐτοῖς, καίτοι πολλῶν ὄντων παρ' ἀνθρώποις νόμων.

« Effusi sunt lapides. » Fluidi facti sunt unusquisque in sibi proposita ratione vivendi. Sermo porro hic invehitur et adversus dæmones qui hæc efficiunt.

« Ἐξεχύθησαν λίθοι. » Χυδαῖοι ἐγένοντο ἕκαστος ἐπὶ τῇ προθέσει τῆς πολιτείας τῇ προκειμένῃ. Καταδοὴν δὲ ἔχει ὁ λόγος, καὶ κατὰ τῶν ταῦτα ἐνεργούντων δαιμόνων.

V. 2. « Elevati in auro. » Ex similitudine eorum quæ apprehenduntur in statera, sumpsit quod ait. Qui appendebantur, ait, ex adverso (hoc enim sibi vult, *elevati in auro*), hoc est, valebant quod res quælibet pretiosa : quomodo facti sunt vasa fragilia ut peccatorum illisione confringantur? vel eo quod non permaneant in bono scilicet proposito.

B « Οἱ ἐπηρμένοι ἐν χρυσίῳ. » Ἐξ εἰκόνος τῶν σταθμιζομένων ἐν ζυγῷ τὸν λόγον εἴληφεν. Οἱ ἀντιστα-θμιζόμενοι, φησὶν. Τοῦτο γὰρ δηλοῖ τὸ, *ἐπηρμένοι τῷ χρυσῷ*, τουτέστι παντὶ τιμίῳ· πῶς ἐγένοντο σκεύη εὔθρυπτα, ὑπὸ τῆς προσβολῆς τῆς ἁμαρτίας συντριβόμενα; ἢ ἀπὸ τοῦ μὴ ἐμμένειν, τοῖς κρείττοσι δηλονότι.

V. 3. « Mammas. » Venenosa dogmata vel pravas interpretationes.

« Μαστούς. » Τὰ ἰοβόλα δόγματα, ἢ παρεξηγήματα.

« Catulos suos. » Eos qui fidem illis habent.

« Σκύμνοι αὐτῶν. » Τοὺς αὐτοῖς πειθομένους.

« Filiæ populi mei. » Animæ quæ susceperunt perniciosas eorum disciplinas quasi struthio in deserto. Ob defectum auxilii.

« Θυγατέρας λαοῦ μου. » Αἱ τὰ φθοροποιὰ αὐτῶν μαθήματα παραδεξάμεναι ψυχαί. Ὑπὸ ἀβοηθησίας ἀγρευθεῖσαι.

V. 5. « Qui vescebantur deliciis. » Voluptates quæ habentur ex verbo, doctrinaque spirituali.

C « Οἱ ἐσθίοντες τὰς τρυφάς. » Τὰς ἐκ τοῦ λόγου καὶ τῆς διδασκαλίας τῆς πνευματικῆς.

« Interierunt. » Mutati sunt in propositis : vel etiam sic : *Cum spiritu cœpissent, carne consummantur*[81]. Nam virtutem aggredi, multorum est, perficere vero paucorum.

« Ἠφανίσθησαν. » Ἠλλοιώθησαν ἐν ταῖς προθέσεσιν. Ἢ καὶ οὕτως· *Ἐναρξάμενοι πνευματικῶς, σαρκὶ ἐπιτελοῦνται.* Τὸ μὲν γὰρ ἀρετῆς ἄρξασθαι, πολλῶν· τὸ δὲ ἐπιτελέσαι, ὀλίγων.

« Qui nutriebantur in cocco. » Vel in floridis virtutibus; vel coccineis, hoc est, redemptionis sanguinis Christi figuris.

« Οἱ τιθηνούμενοι ἐπὶ κόκκων. » Ἢ ἐπὶ τῶν ἀνθηρῶν ἀρετῶν, ἢ ἐπὶ κοκκίνων, τουτέστιν ἐπὶ τῶν τῆς ἀπολυτρώσεως τοῦ αἵματος τοῦ Χριστοῦ τρόπων.

« Amplexati sunt. » Regia veste abjecta, quæ per coccum significatur, propriis iniquitatibus arefacti sunt, maculata carnis tunica induti.

« Περιεβάλλοντο. » Ἀπωσάμενοι τὸ βασιλικὸν ἔνδυμα, ὃ σημαίνεται διὰ τοῦ κόκκου, ταῖς ἑαυτῶν ἁμαρτίαις συνεφρύγησαν, τὸν ἐσπιλωμένον τῆς σαρκὸς χιτῶνα ἐνδυσάμενοι.

V. 6. « Et magnificata est. » Comparat Jerusalem cum Sodomis, et magis eam peccasse ostendit propter necem Domini; et excidium ejus prædicit.

« Καὶ ἐμεγαλύνθη. » Συγκρίνει τὴν Ἱερουσαλὴμ τοῖς Σοδόμοις, καὶ δείκνυσιν αὐτὴν μείζονα ἡμαρτηκυῖαν διὰ τὴν τοῦ Κυρίου σφαγήν. Καὶ προλέγει τὴν αὐτῆς κατάπτωσιν [*ἴσ.* καταστροφήν].

D

« Quasi cursim. » Nam regio Sodomorum subitam ac repentinam passa est eversionem.

« Ὥσπερ σπουδῇ. » Καὶ γὰρ ἡ Σοδόμων γῆ ἀπότομον καὶ ὀξεῖαν ἔσχε τὴν καταστροφήν.

« Et non laboraverunt. » Hoc est, non sunt defatigati in male agendo : Deo patienter hoc ferente, qui similiter peccantem non simili multat pœna.

« Καὶ οὐκ ἐπόνεσαν. » Ἀντὶ τοῦ, οὐκ ἀπέκαμον κακοποιοῦντες· καὶ ταῦτα τοῦ Θεοῦ ἀνεξικακοῦντος, [ὃς τὸν ὁμ.] τὸν ὁμοίως ἐκείνοις ἁμαρτάνοντα ὁμοίως [videtur legend., οὐχ ὁμοίως] τιμωρεῖται.

V. 7. « Mundi fuere Nazaræi. » Nazaræi in lege sunt, qui e vidua Deo segregati sunt; intelligit ergo nequitia immunes.

« Ἐκαθαριώθησαν Ναζηραῖοι. » Ναζηραῖοι παρὰ τῷ νόμῳ οἱ ἐκ μήτρας ἀφορισθέντες Θεῷ· φησὶν οὖν τοὺς ἀμετόχους κακίας.

« Super lac. » Quasi diceret, non effusi sunt, sed coagulati sunt in virtute.

« Ὑπὲρ γάλα. » Ἀντὶ τοῦ, οὐ διεχύθησαν, ἀλλ' ἐπάγησαν ἐν τῇ ἀρετῇ.

[81] Galat. III, 3.

Digitized by Google

« Ὑπὲρ λίθου. » Τιμίος, φησὶν, καὶ ἄφθαρτος ἡ ἐκλογὴ αὐτῶν.

« Ἐσκότασεν. » Τῶν ἐν ὑποκρίσει τὴν ἀρετὴν ἐχόντων.

« Οὐκ ἐπεγνώσθησαν. » Ἐβδελύχθησαν ἐν ταῖς πορείαις αὐτῶν.

« Ἐπάγη δέρμα. » Διὰ τὸ μὴ ἔχειν τὴν ἰκμάδα τοῦ πνεύματος· ταῦτα δὲ συνέβη καὶ τοῖς αἰχμαλώτοις ἐκ τῆς κακοπαθείας.

« Ἐξηράνθησαν. » Ἐκκοπέντες ἐκ τῆς ζωῆς τοῦ Θεοῦ, καὶ μαρανθέντες.

« Καλοὶ ἦσαν. » Καλλίονες, φησὶν, ἦσαν οἱ μηδ' ὅλως ἐπεγνωκότες τὴν ὁδὸν τῆς ἀληθείας, ἀλλ' ὑπὸ θάνατον ὄντες, ἢ οἱ ἐπεγνωκότες μὲν, στερηθέντες δὲ τῆς ἀληθοῦς τροφῆς, ἥ ἐστιν ὁ λόγος τῆς ὀρθοδοξίας.

« Ἐπορεύθησαν ἐκκεκεντημένοι ἀπὸ γεννημάτων ἀγρῶν. » Ἀπὸ πράξεων κοσμικῶν. Ἀγρὸς γὰρ πολλαχοῦ ὁ κόσμος θεωρεῖται.

« Χεῖρες γυναικῶν. » Πρὸς μὲν ἱστορίαν, μία τούτων ἦν Μαρία τις, ἥτις ὑπὸ τῆς βίας τῶν στασιαστῶν πιεζομένη, ἀεὶ τὸ ποριζόμενον ἁρπαζόντων, καὶ τοῦ λιμοῦ τοῦ ἰδίου τέκνου τὰς σάρκας ἔφαγεν. Πρὸς δὲ θεωρίαν, αἱ τῶν Ἐκκλησιῶν δοκοῦσαι εἶναι χεῖρες, οἱ ψευδοπροφῆται, καὶ ψευδοδιδάσκαλοι, οὓς τῇ πίστει ἐγέννησαν, συνέσχον ἐν πειρασμοῖς, καὶ ἴσως ἀργυρίου χάριν, ἢ τινος ἑτέρου τὰς ψυχὰς αὐτῶν ἐθανάτωσαν.

« Ἐγενήθησαν. » Οἱ θεοκάπηλοι δι' οἰκεῖον κέρδος κατεσθίειν λέγονται τὰς ψυχὰς τῶν ἀνθρώπων κατὰ τὸ ἐν Ψαλμοῖς· *Οἱ κατεσθίοντες, τὸν λαόν μου ἐν βρώσει ἄρτου.*

« Ἐν τῷ συντρίμματι. » Διὰ τὰς πολλὰς ἁμαρτίας ὑπὸ τοιούτοις ἡγουμένοις συγχωρουμένου γενέσθαι τοῦ λαοῦ.

« Καὶ κατέφαγε τὰ θεμέλια αὐτῆς. » Τὸ ἑδραῖον, τὴν στάσιν τῆς ψυχῆς· ταῦτα δὲ καθ' ἱστορίας συνέβη.

« Οὐκ ἐπίστευσαν. » Οἱ κατ' ἐξοχὴν ἐν ἀρετῇ, τὸ βασίλειον ἱεράτευμα,

« Πάντες οἱ κατοικοῦντες. » Ἡ ὑπὸ τοῦ Θεοῦ διὰ παντὸς σκεπομένη πληθύς· ἡ γὰρ ἑτέρα ἔρημος.

« Ὅτι εἰσελεύσεται. » Διὰ τὸ τὸν Κύριον εἰπεῖν· *Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*, ὥσπερ οὖν οὐδὲ κατίσχυσαν, εἰ καὶ πρὸς καιρὸν ταράξαι συνεχωρήθησαν.

« Ἐξ ἁμαρτιῶν. » Τουτέστιν, οὐκ ἐξ ἀσθενείας τοῦ μυστηρίου, ἀλλ' ἐξ ἁμαρτιῶν τῶν αὐτὸ ἐγκεχειρισμένων οἰκονομεῖν.

« Τῶν ἐκχεόντων αἷμα. » Τῇ μὲν Ἱερουσαλὴμ ταῦτα συνέβη ὑπὸ Ῥωμαίων διὰ τὸ αἷμα τοῦ Χριστοῦ. Καθόλου δέ φησι περὶ *τῶν ἀνασταυρούντων τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ παραδειγματιζόντων* διὰ τοῦ τὴν ἅπαξ γενομένην λύτρωσιν ἀνατρέπειν διὰ κενοφωνῶν.

« Ἐσαλεύθησαν. » Ἐπὶ μὲν Χριστοῦ διὰ τὸν φόβον

A « Super lapidem. » Pretiosa, ait, incorruptaque eorum electio.

V. 8. « Obscurata est. » Eorum qui virtutem cum dissimulatione possident.

« Non sunt cogniti. » Abominationi fuerunt in viis suis.

« Adhæsit pellis. » Quod humorem spiritus non habebant; hæc vero etiam captivis ob malorum vim quæ patiebantur, evenerunt.

« Aruerunt. » Excisi e vita Dei, et emortui.

V. 9. Meliores erant. » Meliores, inquit, erant, qui viam veritatis omnino ignoraverant, sed morti subjecti erant, quam qui, ubi eam cognovissent, vero alimento privati sunt, quod est rectæ pietatis

B sermo.

« Abierunt vulnerati a frugibus agri. » Ab actionibus mundanis. Ager enim sæpe pro mundo accipitur.

V. 10. « Manus mulierum. » Historice quidem una fuit harum Maria quædam, quæ vi seditiosorum oppressa, qui quidquid invenissent rapiebant, et fame coacta, proprii filii carnes comedit. Spiritaliter vero, qui Ecclesiarum manus esse videntur, pseudoprophetæ et pseudomagistri, quos fide pepererunt, in persecutionibus detinuerunt, et fortasse argenti gratia, vel cujuspiam rei alerius animas eorum occiderunt.

« Facti sunt. » Divina cauponantes ob proprium quæstum, animas hominum dicuntur devorare,

C juxta illud Psalmi : *Qui devorant plebem meam ut cibum panis* [83].

« In contritione. » Propter multa peccata, Deo permittente ut sub talibus ducibus esset populus.

V. 11. « Et devoravit fundamenta ejus » Firmitatem stabilitatemque animæ : hæc etiam secundum historiam contigerunt.

V. 12. « Non crediderunt. » Qui summa virtute pollebant, regale sacerdotium.

« Universi habitatores. » Illa quæ a Deo semper protegebatur multitudo ; altera quippe deserta erat.

« Quoniam ingredietur. » Eo quod dixerit Dominus : *Et portæ inferi non prævalebunt adversus*

D *eam* [84], sicut etiam non prævaluerunt, etsi ad tempus illis eam turbare permissum est.

V. 13. « Propter peccata. » Hoc est, non ex impotentia mysterii, sed propter peccata eorum quibus incumbebat ejus administratio.

« Effundentium sanguinem. » Hierosolymæ quidem hæc obtigerunt ob sanguinem Christi. In universum vero dicit de his : *Qui rursus cruci affigunt, et ostentui habent* [85], quod redemptionem semel factam per vocum novitates evertant.

V. 14. « Commoti sunt. » In Christo quidem

[83] Psal. LII, 5. [84] Matth. XVI, 18. [85] Hebr. VI, 6.

Digitized by Google

propter metum Judæorum etiam qui erant inter eos pii commoti sunt. Generaliter vero, a firmitate, ait, commoti sunt, qui erant quasi angeli illius in viis eorum.

« Polluti sunt. » Qui enim peccato resistere non potest, fœdatur ab illo.

« Tetigerunt vestimenta. » *Quicumque*, ait, *in Christum baptizati estis, Christum induistis* [36]; ait itaque eos etiam circa fidem ipsam periclitatos.

V. 15. « Recedite. » Hortamini invicem abscedere ab immundis ; illud enim : *Vocate ipsos*, idem est atque, Unusquisque proximum suum commoneat.

« Quia accensi sunt. » Quoniam iræ subditi sunt.

« Dicite in gentibus. » Dicite, ait, illis : Ne addatis incolere in gentibus ; hoc est, Ne alienis commisceamini.

V. 16. « Facies Domini. » Hæc est pars atque hæreditas eorum qui sunt Deo digni, ut in conspectu ejus perpetuo astent. Non respicit ergo eos qui sensus non habent ejus visione dignos, aut opera.

« Faciem sacerdotum. » Hoc est, non reverita sunt.

« Senum non sunt miserti. » Eorum qui in virtute consenuerunt miserti non sunt, sed illos etiam perverterunt hæresiarchæ, Judæorumque magistri.

« Defecerunt oculi nostri. » Ad litteram obsessi dicunt, Viventibus nobis oculi præ fame consumpti sunt. Spiritaliter : Quamvis, inquiunt, vitæ experimentum habuimus, a tenebris confusi sumus ; hæc porro dicunt, qui post cognitionem sub peccato mancipati sunt.

« Ad auxilium. » Obsessi quidem, quia frustra sperarunt Romanis posse resistere. Qui vero in peccato, quoniam relicta, inquit, Dei fiducia in proprium auxilium inaniter respexerunt.

« Respeximus. » Ad humanum auxilium respicientes elato animo fuimus.

V. 18. « Venati sumus. » Historice quidem, quoniam in obsidione parvulos exire in plateas non sinebant. Mystice vero, Tenues, ait, cogitationes nostras non permisimus, effusos impetus voluptatum sequi ; liquet itaque, etsi nos modis omnibus servaverimus, nisi spem in Deo posuerimus, captivos duci.

V. 19. « Appropinquavit tempus. » Sanctorum hæc verba sunt, ea sibi tribuentium, quæ patiuntur qui ob peccata plectuntur.

« Persecutores nostri. » Ad historiam quidem, Babylonii et Romani ; ad sensum vero mysticum, dæmones : *Non enim est nobis colluctatio ad carnem et sanguinem* [37].

[36] Galat. III, 27. [37] Ephes. VI, 12.

A τῶν Ἰουδαίων καὶ οἱ ἐν αὐτοῖς εὐσεβεῖς παρεκινήθησαν. Ἐπὶ δὲ τοῦ καθόλου, τοῦ στηριγμοῦ, φησὶ, παρεκινήθησαν οἱ ἰσάγγελοι αὐτῆς ἐν ταῖς πορείαις αὐτῶν.

« Ἐμιάνθησαν. » Ὁ γὰρ μὴ δυνάμενος τῇ ἁμαρτίᾳ ἀντιστῆναι, μολύνεται ἀπ' αὐτῆς.

« Ἥψαντο ἐνδυμάτων. » Ὅσοι, φησὶν, *εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε* · φησὶν οὖν, ὅτι καὶ περὶ αὐτὴν τὴν πίστιν ἐκινδύνευσαν.

« Ἀπόστητε. » Παραινέσατε ἀλλήλοις ἀποστῆναι ἀπὸ τῶν ἀκαθάρτων. Τὸ γὰρ, *Καλέσατε αὐτούς*, ἀντὶ τοῦ, Ἕκαστος τὸν πλησίον νουθετήσατε.

« Ὅτι ἀνήφθησαν. » Ὅτι ὑποχείριοι τῇ ὀργῇ γεγόνασιν.

B « Εἴπατε ἐν τοῖς ἔθνεσιν. » Εἴπατε, φησὶν, αὐτοῖς · Μὴ προστεθῆτε τοῦ παροικεῖν ἐν τοῖς ἔθνεσιν, ἀντὶ τοῦ, Μὴ συναναμίγνυσθε τοῖς ἀλλοτρίοις.

« Πρόσωπον Κυρίου. » Αὕτη ἡ μερὶς, καὶ ὁ κλῆρος τῶν ἀξίων τοῦ Θεοῦ, τὸ παρίστασθαι διηνεκῶς ἐνώπιον αὐτοῦ. Οὐκ ἐπιβλέπει οὖν τοῖς μὴ ἄξια τῆς θεωρίας αὐτοῦ φρονοῦσιν, ἢ καὶ διαπραττομένοις.

« Πρόσωπον ἱερέων. » Ἀντὶ τοῦ, οὐκ ἠδέσθησαν.

« Πρεσβύτας οὐκ ἠλέησαν. » Τοὺς πεπαλαιωμένους ἐν ἀρετῇ οὐκ ἠλέησαν, ἀλλὰ καὶ αὐτοὺς παρέτρεψαν οἱ αἱρεσιάρχαι, καὶ τῶν Ἰουδαίων καθηγηταί.

C « Ἐξέλιπον οἱ ὀφθαλμοὶ ἡμῶν. » Πρὸς μὲν ῥητὸν οἱ ἐν τῇ πολιορκίᾳ φασὶν, ὅτι Ζώντων ἡμῶν ὑπὸ τοῦ λιμοῦ οἱ ὀφθαλμοὶ ἡμῶν ἐδαπανήθησαν. Πρὸς δὲ διάνοιαν · Καίτοιγε, φησὶν, ζωῆς πειραθέντες, ὑπὸ σκότους συνεχύθημεν. Φασὶ δὲ ταῦτα οἱ μετὰ τὴν γνῶσιν ὑπὸ τὴν ἁμαρτίαν γεγονότες.

« Εἰς τὴν βοήθειαν. » Οἱ μὲν ἐν τῇ πολιορκίᾳ, ὅτι ματαίως ἤλπισαν ἀντισχεῖν πρὸς Ῥωμαίους · οἱ δὲ τῇ ἁμαρτίᾳ, ὅτι καταλιπόντες, φησὶν, τὴν πεποίθησιν τοῦ Θεοῦ, εἰς τὴν ἑαυτῶν βοήθειαν ματαίως ἐσκέπησαν.

« Ἀπεσκοπεύσαμεν. » Εἰς τὴν ἀνθρωπίνην βοήθειαν ἀποβλέψαντες ἐφρυαξάμεθα.

D « Ἐθηρεύσαμεν. » Πρὸς μὲν ἱστορίαν, ὅτι ἐν τῇ πολιορκίᾳ οὐ συνεχώρουν τὰ βρέφη ἐξιέναι εἰς τὰς ἀγοράς· πρὸς δὲ διάνοιαν, Λεπτὰ, φησὶ, τῶν λογισμῶν ἡμῶν ἐστερήσαμεν τοῦ μὴ ὁρμαῖς τῶν ἡδονῶν ταῖς πλατείαις ἄγεσθαι· δῆλον οὖν, ὅτι κἂν παντοίως ἑαυτοὺς τηρήσωμεν, καὶ μὴ εἰς Θεὸν ἐλπίσωμεν, αἰχμάλωτοι ἀγόμεθα.

« Ἤγγικεν ὁ καιρός. » Ἐκ τῶν ἁγίων ὁ λόγος, οἰκειουμένων τὰ τῶν δι' ἁμαρτίας πασχόντων.

« Οἱ διώκοντες ἡμᾶς. » Πρὸς μὲν ἱστορίαν, Βαβυλώνιοι καὶ Ῥωμαῖοι· πρὸς δὲ διάνοιαν, δαίμονες· *Οὐ γὰρ ἐστὶν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα.*

Digitized by Google

« Ἐπὶ τῶν ὀρέων. » Πρὸς μὲν ῥητὸν, ὅτι καὶ τοὺς ἐν τοῖς ὄρεσι φεύγοντας καταλαμβάνοντες οἱ πολέμιοι ἔφθειρον· πρὸς δὲ διάνοιαν, Ἐπὶ τῶν ὑπερόγκων, φησὶ, πράξεων ἐξεκαύθησαν.

« Ἐν ἐρήμῳ. » Ἐν ἀπανθρώποις τρόποις.

« Πνεῦμα προσώπου. » Ἀντὶ τοῦ, Αὐτὸς ἡ ζωὴ ἡμῶν· αὐτὸς ἡ ψυχὴ ἡμῶν. »

« Συνελήφθη. » Διὰ γὰρ τὰς ἁμαρτίας ἡμῶν παρεδόθη.

« Οὗ εἴπαμεν. » Ὧ ὡμολογήσαμεν, ὡς ὑπ' αὐτοῦ σκεπόμενοι φυλαχθησόμεθα ἀπὸ τῶν ἐναντίων.

« Χαῖρε καὶ εὐφραίνου. » Ἡ Ἰδουμαία ἀεὶ ἐπὶ τῇ παλαιότητι τῆς ἁμαρτίας λαμβάνεται.

« Καίγε ἐπὶ σὲ διελεύσεται τὸ ποτήριον Κυρίου. » Σημαίνει τῇ παλαιότητι τῆς ἁμαρτίας ὁ προφήτης ποτήριον, τὴν διὰ τοῦ σταυροῦ ἀναίρεσιν. Ὥστε κατὰ τὴν μέθην, καὶ πτῶσιν, καὶ περισσῶς ἐκτείνεσθαι αὐτῆς εἰσάπαξ τὴν ἀπώλειαν. Τὸ γὰρ *ἀποχεεῖς*, τὸ εἰς αἰῶνα ἐκτείνεσθαι αὐτῆς τὴν ἀπώλειαν σημαίνει, Ὅτε καὶ *ὁ ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος*.

« Ἐξέλιπεν ἡ ἀνομία σου. » Διὰ τοῦ κατὰ σάρκα θανάτου Κυρίου.

« Οὐ προσθήσει. » Τοῦτο τῇ ἱστορίᾳ οὐχ ἁρμόζει· μετὰ γὰρ Βαβυλωνίους πάλιν ἀπῳκίσθησαν ὑπὸ Ῥωμαίων, καὶ μέχρι νῦν ἐν ἀποικίᾳ εἰσί. Νοήσεις οὖν, ὅτι ὁ μὲν νόμος ἔσχε διαδοχὴν, ἡ δὲ χάρις ἀτελεύτητος.

« Ἐπεσκέψατο ἀνομίας σου. » Ἡ ἐν τῇ παλαιότητι τῆς ἁμαρτίας πάλαι πεφυρμένη, καὶ τῷ ὀνόματι αὐτῆς κεκλημένη.

ΚΕΦ. Ε'.

« Κληρονομία ἡμῶν. » Μετὰ τὴν ἱστορίαν οὕτω νόει· Ἡ κατὰ φύσιν ἐλευθερία ὑποχείριος γέγονε τῇ ἁμαρτίᾳ διὰ τὴν παρακοὴν τὴν ἐκ προαιρέσεως

« Οἱ οἶκοι ἡμῶν. » Ἡ τῶν δικαιωμάτων διανομή. Συλᾶται γὰρ ὑπὸ τοῦ ἐχθροῦ ὁ ὑπήκοος αὐτῷ.

« Ὀρφανοὶ ἐγενήθημεν. » Ὁ λόγος τῆς διδασκαλίας.

« Μητέρες ἡμῶν. » Αἱ ἐκκλησίαι οὐ χῆραι, ἀλλ' ὡς χῆραι διὰ τὴν πρόσκαιρον θλῖψιν.

« Ὕδωρ ἡμῶν. » Τὴν γὰρ δωρεὰν τὴν κεχαρισμένην παρὰ τοῦ Θεοῦ πράσει ὑπέβαλεν ἡ ἐφεύρεσις τῆς ἁμαρτίας.

« Ξύλα ἡμῶν. » Ὅτε τὴν γῆν τῆς ἐπαγγελίας ἐκληρονόμησαν υἱοὶ Ἰσραὴλ, τοῖς βασιλεῦσι τῶν ἐθνῶν ξύλα ἐπιτιθέντες μεμηχανημένα ἐπὶ τὸν τράχηλον, ἐπ' αὐτῶν πατοῦντες ἀνῄρουν αὐτούς. Ἃ οὖν ἐποιήσαμεν τοῖς ἐχθροῖς ὑπὸ σοῦ βοηθούμενοι, ταῦτα πεπόνθαμεν παροραθέντες. Πρὸς δὲ διάνοιαν οὕτω νοήσεις· Ὁ ἄπρατος, φησὶ, ζυγὸς τοῦ Υἱοῦ τοῦ Θεοῦ, μετὰ καταλλαγῆς χρημάτων ἀποδίδοται.

« Ἐδιώχθημεν. » Ἐν γὰρ τῷ τὸν ζυγὸν ἀθέσμως καταφρονηθῆναι, καὶ ἡ ἀνάπαυσις ἄπεισιν, καὶ λοιπὸν ἐφίσταται ὁ διωγμὸς τῆς ἁμαρτίας.

« Super montes. » Ad litteram, quia fugientes etiam ad montes comprehendebant hostes et trucidabant; ad sensum vero altiorem, Ab inflatis, ait, actionibus exarserunt.

« In deserto. » Inhumanis modis.

V. 20. « Spiritus oris nostri. » Id est, Ipse vita nostra; ipse anima nostra.

« Captus est. » Propter enim iniquitates nostras traditus est.

« De quo diximus. » Cui professi sumus, quod ab ipso protecti, salvi ab hostibus erimus.

V. 21. « Gaude et lætare. » Idumæa semper pro vetustate peccati accipitur.

« Etiam super te transibit calix Domini. » Vetustati peccati prænuntiat propheta calicem, id est ejus per crucem interitum; ita ut per ebrietatem et casum, penitus etiam illius ruina supra modum extendatur. Vox enim *effundes*, æternam fore illius eversionem significat: *Cum et mors ultima inimica destruetur* [88].

V. 22. « Defecit iniquitas tua. » Per mortem Domini secundum carnem.

« Non adjiciet. » Hoc cum historia non congruit, namque post Babylonios iterum a Romanis dispersi sunt, et ad hæc usque tempora vagantur. Igitur intelliges, legi quidem successionem datam, at gratiæ finem nullum fore.

« Visitavit iniquitates tuas. » Quæ in vetustate peccati olim inquinata, nomineque illius vocata es.

CAP. V.

V. 2. « Hæreditas nostra. » Post historiam, sic intellige: Naturalis libertas facta est subacta peccato propter voluntariam inobedientiam.

« Domus nostræ. « Justificationum divisio; præda enim fit hosti subditus illi.

V. 3. « Non est pater. » Sermo doctrinæ.

« Matres nostræ. » Ecclesiæ non viduæ, sed quasi viduæ, propter afflictionem temporaneam.

V. 4. « Aquam nostram. » Donum enim a Deo gratis datum venditioni subjecit machinatio peccati.

« Ligna nostra. » Quando filii Israel promissionis terræ hæreditatem ceperunt, regum gentium cervicibus ligna fabrefacta imponentes, prementesque ea pedibus, interimebant eos. Quæ igitur hostibus tua ope adjuti fecimus, eadem passi sumus despecti; spiritaliter vero sic intelliges: Illud quod non est venale jugum Filii Dei datur permutatione pecuniæ.

V. 5. « Passi sumus persecutionem. » Dum enim jugum impie contemnitur, abit et quies, sequiturque jam persecutio peccati.

[88] I Cor. xv, 26.

Digitized by Google

V. 6. « Ægyptus dedit. » Romanis Hierosolymam obsidentibus, Assyrii quidem alimenta exercitui porrigebant, Ægyptii vero Romanis, et ipsi militantes crudeliter Judæos necabant. Spiritaliter vero sic accipies : Ægyptus pro incolatu accipitur, Assyrii vero pro captivitate. Potest itaque transmigratio sumi pro vanitate hujus sæculi ; Assur vero pro malorum operum actione.

A « Αἴγυπτος ἔδωκε. » Ῥωμαίων πολιορκούντων τὴν Ἱερουσαλὴμ Ἀσσύριοι μὲν τροφὰς ἔπεμπον τῷ στρατοπέδῳ, Αἰγύπτιοι δὲ συμπολεμοῦντες ἀνηλεῶς ἀνῄρουν τοὺς Ἰουδαίους. Πρὸς δὲ διάνοιαν οὕτω νοήσεις· Αἴγυπτος εἰς ὑπόθεσιν παροικίας λαμβάνεται, Ἀσσύριοι δὲ, αἰχμαλωσίας. Δύναται οὖν ἡ μὲν παροικία ἐπὶ τῇ ματαιότητι τοῦ αἰῶνος τούτου ἐκλαμβάνεσθαι, ὁ δὲ Ἀσσοὺρ ἐπὶ τῇ ἐξεργασίᾳ τῶν χειρόνων.

V. 7. « Patres nostri. » *Vos quippe*, ait Dominus, *filii estis eorum qui occiderunt prophetas ; et vos igitur patrum vestrorum partem implete* [59]. Sublimiori vero intelligentia, mores qui antecesserunt ; sunt enim admissa jam peccata, quorum memoria præteritorum extenditur, conscientiam torquens.

« Οἱ πατέρες ἡμῶν. » *Ὑμεῖς γὰρ*, φησὶν ὁ Κύριος, *υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας, καὶ ὑμεῖς οὖν πληρώσατε τὸ μέρος τῶν πατέρων ὑμῶν*. Κατὰ δὲ τὴν θεωρίαν, οἱ προλαβόντες τρόποι· εἰσὶ γὰρ προλήψεις ἁμαρτημάτων, ὧν ἡ μνήμη μετὰ τὸ παρελθεῖν αὐτὰς παρεκτείνεται βασανίζουσα B τὴν συνείδησιν.

V. 8. « Servi dominati sunt. » Mores ipsi, cum servi sint, dum iniquitatem præferunt liberæ voluntati, dominantur ; secundum naturam enim eligendi vis omnis consilii domina est. Cum vero ad peccatum deflexerit, et oppositum bono prætulerit, dominatur ea quæ illi prælata est iniquitas cum consiliis suis.

« Δοῦλοι ἐκυρίευσαν. » Οἱ τρόποι δοῦλοι ὄντες προκρίνοντες τὴν ἁμαρτίαν κυριεύουσι τῆς προαιρέσεως· κατὰ φύσιν γὰρ ἡ προαίρεσις καὶ κυρία πάσης βουλῆς. Ἐπὰν δὲ τραπῇ εἰς ἁμαρτίαν, καὶ προκρίνῃ τοῦ ἀγαθοῦ τὸ ἐναντίον, κυριεύει αὐτῆς ἡ προκριθεῖσα ἁμαρτία μετὰ τῶν διαβουλίων αὐτῆς.

« Qui redimat non est. » Nemo enim redimere valet, nisi solus Deus.

« Λυτρούμενος οὐκ ἔστιν. » Οὐδεὶς γὰρ λυτροῦσθαι πέφυκεν, εἰ μὴ μόνος ὁ Θεός.

V. 9. « In animabus. » Ad historiam, obsessi periculo se exponentes, clam e muro egrediebantur, si forte famem vel herbis explere possent. Spiritaliter, certamen usque ad mortem esse, significat resistere peccatis.

« Ἐν ταῖς ψυχαῖς. » Πρὸς μὲν ἱστορίαν· παρακινδυνεύοντες οἱ πολιορκούμενοι, λάθρα τοῦ τείχους ἐξῆσαν, εἴπως κἂν βοτανῶν εἰς τροφὴν εὐπορήσωσιν. Πρὸς δὲ διάνοιαν, τὸν ἀγῶνα τὸν μέχρι θανάτου σημαίνει τὸ ἀντικαθίστασθαι τῇ ἁμαρτίᾳ. C

« A facie gladii. » Ad historiam, desertum vocat gentes quæ olim contra Judæos pugnarunt. Mystice vero, a facie gladii, hoc est, crudelis et feri peccati.

« Ἀπὸ προσώπου ῥομφαίας. » Κατὰ τὴν ἱστορίαν, ἔρημόν φησι τὰ ἔθνη τὰ πολεμήσαντα τοὺς Ἰουδαίους, πάλαι ὄντα ἔρημον. Πρὸς δὲ διάνοιαν, ἀπὸ τῆς ἀνημέρου, καὶ ἀπανθρώπου ἁμαρτίας.

V. 10. « Pellis nostra. » *Qui enim Christi sunt carnem crucifixerunt cum vitiis et concupiscentiis* [60].

« Τὸ δέρμα ἡμῶν. » Οἱ γὰρ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις.

« Convulsæ sunt. » A vehementissima et gravissima fame, sive sensibili juxta historiam, sive intelligibili, quæ ad mentem spectat.

« Συνεσπάσθησαν. » Ἀπὸ σφοδροτάτου, καὶ ἐπιτεταμένου λιμοῦ, εἴτε τοῦ αἰσθητοῦ κατὰ τὴν ἱστορίαν, εἴτε τοῦ νοητοῦ κατὰ τὴν θεωρίαν.

V. 11. « Mulieres in Sion. » Ad historiam, turpiter usi illis ; mystice vero, Ecclesiæ persecutores.

« Γυναῖκες ἐν Σιών. » Πρὸς μὲν ἱστορίαν, ἀσχημόνως αὐταῖς κεχρημένοι· πρὸς δὲ διάνοιαν, τῆς Ἐκκλησίας οἱ διῶκται. D

V. 12. « Principes in manibus. » In manibus eorum qui contra veritatem conscribunt.

« Ἄρχοντες ἐν χερσίν. » Ἐν ταῖς χερσὶ τῶν κατὰ τῆς ἀληθείας συγγραφόντων.

« Seniores. » Dum enim veritas excluditur, etiam seniores inhonorantur.

« Πρεσβύτεροι. » Τῆς γὰρ ἀληθείας παραγραφομένης, καὶ οἱ πρεσβύτεροι αὐτῇ συνατιμάζονται.

V. 13. « Electi. » Ob ea quæ evenerunt lugentes.

« Ἐκλεκτοί. » Ἐπὶ τοῖς συμβεβηκόσιν ὀδυρόμενοι.

« Et adolescentes. » Adeo fortes in fide, ut pro Christo etiam crucem ferrent.

« Καὶ νεανίσκοι. » Οὕτως ἰσχυροὶ τὴν πίστιν, ὡς καὶ ἀνασταυρωθῆναι διὰ Χριστόν.

V. 14. « Et senes. » Juxta historiam, qui in portis Jerusalem sedebant, et populum exacerbabant iisdem, ait, in locis trucidati sunt. Quod si ad mar-

« Καὶ πρεσβύται. » Κατὰ μὲν τὴν ἱστορίαν, οἱ ἐν ταῖς πύλαις τῆς Ἱερουσαλὴμ καθεζόμενοι, καὶ παραπικραίνοντες τὸν λαὸν, ἐν αὐτοῖς, φησὶ, τοῖς τόποις

[59] Matth. xxiii, 31, 32. [60] Galat. v, 24.

Digitized by Google

ἀνῃρέθησαν. Εἰς δὲ τοὺς μάρτυρας ἀνάγων τὸν λόγον νοήσεις, ὅτι ἀπὸ ἐξόδου τοῦ αἰῶνος τούτου κατέπαυσαν, τουτέστιν ἐτελειώθησαν.

« Ἔπεσεν ὁ στέφανος. » Ἰουδαῖοι μὲν τοῦτό φασιν διὰ τὸν νόμον, οἱ δὲ τῆς Ἐκκλησίας διὰ τοὺς διασύροντας τοῦ σταυροῦ τὸ μυστήριον.

« Περὶ τούτου ἐσκότασαν. » Σκότος γὰρ ἡμῖν ἐξ ἀθυμίας ἡ τῆς χώρας ἐρημία παρείχετο, πλεονασάντων ἐν αὐτῇ τῶν φιληδονούντων ἐρημίᾳ θηρίων· ἀλλ' οὐ σοῦ γέγονεν ἔρημος, τοῦ πανταχοῦ παρόντος καὶ ἐποπτεύοντος.

« Ἀλώπεκες. » Οἱ ἐν πανουργίᾳ πικρότατοι ἑτερόδοξοι.

« Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα. » Ἤγουν, ἀνάκτησαι ἡμᾶς ποτε ὡς ἀΐδιος.

« Ἵνα τί εἰς νῖκος; » Ἵνα τί σιωπᾷς εἰς τὸ νικηθῆναι ἡμᾶς;

« Καταλείψει ἡμᾶς. » Παρεκτείνων τὴν ἐγκατάλειψιν.

« Ἐπίστρεψον ἡμᾶς. » Ἐπειδὴ διὰ πλῆθος ἁμαρτιῶν ἀποῤῥιπτόμεθα, ἱλασμὸν αἰτεῖ ὁ προφήτης, δι' οὗ ἡ ἐπιστροφὴ προθύμως πρὸς Κύριον γίνεται.

« Καὶ ἀνακαίνισον ἡμᾶς. » Καθὸ καὶ κατὰ πρόγνωσιν προώρισας τὴν σωτηρίαν τοῦ ἀνθρώπου.

tyres dictum accommodas, intelligas eos ab exitu sæculi hujus cessavisse, hoc est consummatos esse.

V. 16. « Cecidit corona. » Judæi quidem hoc aiunt propter legem : Ecclesia vero propter eos qui crucis mysterium deridet.

V. 17. « Ideo contenebrati sunt. » Tenebras enim nobis ob mœrorem terræ desolatio exhibebat, cum abundassent in ea feræ, quæ solitudine gaudent : sed respectu tui deserta non est, qui ubique ades et nihil non vides.

« Vulpes. » Calliditate pollentes, amarissimi hæresum sectatores. »

V. 19. « Tu autem, Domine, in æternum. » Hoc est, restitues nos tibi aliquando tanquam æternus.

V. 20. « Quare in victoriam. » Quare siles, ut nos vincamur?

« Derelinques. » Producens derelictionem.

« Converte nos. » Quia propter multitudinem peccatorum abjicimur, propitiationem petit propheta, per quam alacriter fit conversio ad Dominum.

« Et innova dies nostros. » Sicuti præscientia tua præfinisti salutem hominis.

FRAGMENTA IN LIBRUM BARUCH.

ΚΕΦΑΛΑΙΟΝ Α'.

« Υἱοῦ Χελκίου. » Ἴσως ὡς ἀξιολόγων τῶν προγόνων τοῦ Βαροὺχ μέμνηται.

« Ἐν τῷ καιρῷ. » Οὐκ εἶπεν ἐν τῷ ἐνιαυτῷ, ἀλλ' ἐν τῷ καιρῷ, ἵνα εἴπῃ, κατ' ἐκείνους τοὺς χρόνους· οὐ γὰρ ἐν τῷ πέμπτῳ, οὔτε ἐν τῷ ἐνάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου ἥλω ἡ πόλις, ἀλλ' ἐν τῷ ἑνδεκάτῳ.

« Ἐν ὠσὶν Ἰεχονίου. » Τοῦτον πρότερον μετοικήσας ἦν εἰς Βαβυλῶνα ὁ Ναβουχοδονόσορ. Ὁ αὐτὸς δὲ οὗτος Ἰεχονίας υἱὸς Ἰωακεὶμ, καὶ αὐτὸς Ἐλιακεὶμ ἐκαλεῖτο, διώνυμος ὤν.

« Καὶ ἐν ὠσὶ παντός. » Ἀντὶ τοῦ, τῶν συνελθόντων εἰς τὴν ἀκρόασιν.

« Καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον. » Εἰ καὶ κατασκαφεὶς ἦν ὁ ναὸς, ἀλλ' ἐν τῷ τόπῳ ἔθυον· οὐ γὰρ ἦν ἐξὸν ἀλλαχοῦ, εἰ μὴ ἐν Ἱερουσαλὴμ τὰς θυσίας ἐπιτελεῖν.

« Καὶ προσεύξεσθε περὶ τῆς ζωῆς Ναβυχοδονόσορ. » Θεὸς ἦν προστάξας αὐτοῖς εὔχεσθαι περὶ τῆς εἰρήνης τῶν Βαβυλωνίων, ἵνα καὶ αὐτοὶ εἰρηνεύωσιν.

« Ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν. » Ἵνα ὦσιν πολυχρόνιοι, ἢ, ἵνα κατὰ εὐσέβειαν ζῶσιν.

« Ἐν ἡμέραις ἑορτῆς. » Καὶ γὰρ εἶχον καιρούς τινας διαφορὰς ἑορτῶν.

« Καὶ ἐρεῖτε Κυρίῳ Θεῷ ἡμῶν. » Κατὰ τὸν τοῦ

CAPUT PRIMUM.

V. 1. « Filii Chelciæ. » Meminit progenitorum Baruch fortasse ut honore dignorum.

V. 2. « In tempore. » Non dixit in anno, sed in tempore, quasi diceret per illa tempora : non enim quinto, aut nono regni Sedeciæ anno civitas capta fuit, sed undecimo.

V. 3. « Ad aures Jechoniæ. » Hunc prius abduxerat Babylonem Nabuchodonosor. Hic autem ipse Jechonias filius Joachim, et Eliacim vocabatur, cum binominis esset.

« Et in auribus universi populi. » Pro eo quod est, eorum qui ad audientiam convenerant.

V. 10. « Et offerte super altare. » Etsi templum solo erat æquatum, tamen in eo loco sacrificabant; haud enim alibi fas erat quam Jerosolymis sacrificia offerri.

V. 11. « Et orate pro vita Nabuchodonosor. » Deus erat qui orare præceperat illis pro pace Babyloniorum, ut et ipsi quiete viverent.

« Ut sint dies eorum. » Ut longævi forent, vel, ut secundum pietatem vitam ducerent.

V. 14. « In die solemnitatis. » Habebant enim certa dierum festorum tempora.

V. 15. « Et dicetis Domino Deo nostro. » Jure

Digitized by Google

optimo et Deus punivit, et nos in confusione summus hodie, captivitatem juste sustinentes.

V. 19. « Et vagabamur. » Prætexebamus, causas confingentes.

CAP. II.

V. 11. « Et fecisti tibi nomen. » Per ea quæ continenter patrasti mirabilia; in gratiam enim prophetæ, et sanctorum omnium Deus non desinit mira efficere, sed semper in ipsis mirabilis est. Nisi ostendat signa, admirationi non est.

V. 18. « Sed anima. » Magna portant onera, qui non sustinentes curvantur. Anima igitur, ait, quæ iniquitatibus premitur, magnoque mœrore vexatur, curva et infirma confitetur.

« Et oculi deficientes. » Sive secundum sensum propter calamitates, vel etiam ex mentis meditatione offuscantur.

V. 24. « Ut transferrentur ossa regum nostrorum. » In signum futuri judicii post mortem ossa eorum multæ subjiciebantur.

CAP. III.

V. 3. « Quia tu sedes in sempiternum. » Tu, ait, sempiternus es, et dominator; nos autem mortales et fluxi.

V. 4. « Domine omnipotens, audi nunc orationem mortuorum. » Mortuorum, ait, eorum in quos sententia lata est propter peccatum. — Verba hæc perspicue demonstrant immortalitatem animæ.

V. 5. « Sed memento. » Consueta, ait, utere miraculorum virtute. Utque eduxisti ex Ægypto, sic e Babylone libera. — Quoniam populus tuus sumus.

V. 8. « Ecce nos hodie in captivitate nostra. » Nos, inquit, ipsos examinavimus; merito enim nobis evenerunt propter opera patrum nostrorum.

V. 9. « Audi, Israel. » Hinc prophetiam Baruch exorditur; nam quæ præcesserunt verba, captivorum sunt omnia, qui e Babylone scripserant epistolæ, confessionis modo prolata.

V. 11. « Inveterasti. » Præceptum vitæ, prudentia.

« Deputatus es. » Cum iis qui Dei cognitione carent. — Cum iis qui adhuc detinentur a morte.

V. 12. « Dereliquisti. » Dominum nostrum Jesum Christum. Tu, inquit, tibimetipsi horum malorum auctor fuisti : cum enim ducem sequi legem deberes, quam sapientiæ fons intulit, secuta es vanas cogitationes.

V. 13. « In via Dei. » Dominus ait : *Ego sum via* [61]. Qui itaque ad ejus imitationem ambulat, ejus via ambulat.

V. 14. « Disce ubi sit prudentia. » Quandoquidem litteræ adhæres, disce, in Spiritu sancto prudentiam esse.

« Ubi sit virtus. » Nunc itaque cum id prius non

[61] Joan. XIV, 6.

A δικαίου λόγον, καὶ Θεὸς ἐτιμωρήσατο, καὶ ἡμεῖς ἐν αἰσχύνῃ ἐσμὲν σήμερον, ἐν αἰχμαλωσίᾳ ὄντες δικαίως.

« Καὶ ἐσχεδιάζομεν. » Προὐφασιζόμεθα αἰτίας ἀναπλάττοντες.

ΚΕΦ. Β'.

« Καὶ ἐποίησας σεαυτῷ ὄνομα. » Κατὰ τὰ διηνεκῆ σου θαυμάσια· τῷ γὰρ προφήτῃ καὶ πᾶσι τοῖς ἁγίοις οὐ διαλιμπάνει θαυματουργῶν ὁ Θεὸς, ἀλλ' ἀεὶ θαυμαστὸς παρ' αὐτοῖς. Εἰ μὴ ποιήσῃ σημεῖα, οὐ θαυμάζεται.

« Ἀλλὰ ἡ ψυχή. » Οἱ μεγάλα φορτία βαστάζοντες, ἀσθενοῦντες κύπτουσι. Ψυχὴ οὖν, φησὶν, ἡ διὰ τὰς ἁμαρτίας κακουμένη, καὶ μέγεθος ἔχουσα λύπης, κύπτουσα καὶ ἀσθενοῦσα ὁμολογεῖται.

B « Καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες. » Εἴτε αἰσθητῶς διὰ τὰς συμφορὰς, εἴτε καὶ ἐκ τῆς νοητῆς θεωρίας ἀμαυρούμενοι.

« Τοῦ ἐξενεχθῆναι τὰ ὀστᾶ βασιλέων ἡμῶν. » Εἰς δεῖγμα τῆς μελλούσης κρίσεως, μετὰ τελευτὴν τὰ ὀστᾶ αὐτῶν ἐτιμωροῦντο.

ΚΕΦ. Γ'.

« Ὅτι σὺ καθήμενος τὸν αἰῶνα. » Σὺ, φησὶν, ἀΐδιος εἶ καὶ ἐξουσιαστὴς, ἡμεῖς δὲ θνητοὶ καὶ ἐπίκηροι.

« Κύριε παντοκράτωρ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκότων. » Τεθνηκότων, φησὶ, τῶν ὑπὸ τὴν ἀπόφασιν γενομένων διὰ τὴν ἁμαρτίαν. — Ἔδειξεν ὁ λόγος σαφῶς τῆς ψυχῆς τὸ ἀθάνατον.

C « Ἀλλὰ μνήσθητι. » Τῇ συνήθει, φησὶν, χρῆσαι θαυματουργίᾳ, καὶ ὡς ἐξήγαγες ἐξ Αἰγύπτου, οὕτως ἐλευθέρωσον ἐκ Βαβυλῶνος. — Ὅτι σὸς λαὸς χρηματίζομεν.

« Ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν. » Ἑαυτοὺς, φησὶν, ἐκρίναμεν, καὶ ἐμεμψάμεθα, ὅτι ἀξίως ἐπέβη ἡμῖν διὰ τὰ ἔργα τῶν πατέρων ἡμῶν.

« Ἄκουε, Ἰσραήλ. » Ἐντεῦθεν ἄρχεται προφητεύειν ὁ Βαρούχ· τὰ γὰρ προηγησάμενα ῥήματα πάντα τῆς ἐπιστολῆς τῶν αἰχμαλώτων τῶν ἐκ Βαλῶνος ἐπεσταλκότων ἐστὶν, ὡς ἐξομολογήσεως σχήματι προφερόμενα.

Ἐπαλαιώθης. » Ἐντολὴ ζωῆς, ἡ φρόνησις.

« Προσελογίσθης. » Τοῖς ἀγνωσίαν Θεοῦ ἔχουσιν.

D — Τῶν κρατουμένων ἔτι ὑπὸ τοῦ θανάτου.

« Ἐγκατέλιπες. » Τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Σαυτῷ, φησὶ, πρόξενος ἐγένου τῶν παρόντων κακῶν. Δέον γάρ σε ποδηγῷ χρήσασθαι τῷ νόμῳ, ὃν ἡ τῆς σοφίας πηγὴ προσενήνοχεν, ματαίοις ἠκολούθησας λογισμοῖς.

« Τῇ ὁδῷ τοῦ Θεοῦ. » Ὁ Κύριός φησιν· Ἐγώ εἰμι ἡ ὁδός. Ὁ οὖν κατὰ μίμησιν αὐτοῦ πορευόμενος, τῇ ὁδῷ αὐτοῦ πορεύεται.

« Μάθε ποῦ ἐστι φρόνησις. » Ἐπειδὴ τῷ γράμματι κεκόλλησαι, μάθε ὅτι ἐν ἁγίῳ Πνεύματι ἐστὶν ἡ φρόνησις.

« Ποῦ ἐστιν ἰσχύς. » Νῦν γοῦν, ἐπειδήπερ οὐ πρό-

Digitized by Google

τερον, ζήτησον καὶ γνώσῃ, τίς τούτων χορηγὸς τῶν ἀγαθῶν. A

« Ποῦ ἐστι σύνεσις. » Ἡ κατὰ τῆς ἁμαρτίας.

« Ποῦ ἐστι μακροβίωσις καὶ ζωή. » Τοῦ διακρῖναι τὸ ἀγαθὸν ἐκ τοῦ φαύλου.

« Ποῦ ἐστι φῶς. » Ἐν τῷ Κυρίῳ, δηλονότι. *Ὁ γὰρ πιστεύων εἰς ἐμὲ, φησὶν, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.* Ὁ γὰρ Κύριός φησιν· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*, καὶ ὁ Ἀπόστολός φησιν· *Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν.*

« Τίς εὗρε τὸν τόπον αὐτῆς; » *Ὅτι ἀνεξερεύνητα τὰ κρίματα τοῦ Θεοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.*

« Καὶ τίς εἰσῆλθεν εἰς θησαυροὺς αὐτῆς; » Τίς κατέλαβε τὰ κρίματα τοῦ Θεοῦ; B

« Ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν; » Οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, οἳ καὶ ἐκυρίευσαν τῶν θηριοτρόπων ἀνθρώπων.

« Ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες. » Οἰωνοσκοποῦντες. Καὶ ἐπειδὴ ἡ σοφία αὐτῶν ἐπίγειός ἐστιν, ψυχικὴ, δαιμονιώδης.

« Καὶ τὸ ἀργύριον. » Πᾶσα γὰρ ἡ σοφία αὐτῶν ἐν πλεονεξίᾳ.

« Ὅτι οἱ τὸ ἀργύριον τεκταίνοντες. » Οἱ τὸ ἀργύριον διὰ ποικίλων προσώπων καρπούμενοι.

« Καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν. » Διότι σκότους μετέχουσιν.

« Καὶ ἄλλοι ἀνέστησαν. » Οἷς ὁ νόμος ἐπιστεύθη, καὶ οὐδὲ αὐτοὶ ἐφύλαξαν, οὗτοί εἰσιν οἱ ἀναστάντες C ἀντὶ τῶν ἐπὶ εἰδωλολατρείᾳ σοφῶν.

« Νεώτεροι εἶδον φῶς. » Οἱ ταῖς σαρκικαῖς πράξεσι μὴ καθελκόμενοι, εἶδον φῶς, τουτέστι τὴν γνῶσιν τοῦ Θεοῦ.

« Καὶ κατῴκησαν ἐπὶ τῆς γῆς. » Ἐπὶ τοῖς μαθήμασι τῆς νομοθεσίας.

« Ὁδὸν ἐπιστήμης οὐκ ἔγνωσαν. » Καθὼς ὁ Κύριός φησιν, *Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί.*

« Οὐδὲ συνῆκαν. » Τὴν ποικίλην διδασκαλίαν.

« Οὐδὲ ἀντελάβοντο αὐτῆς. » Καθὼς ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν· *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.* Οἱ υἱοὶ δὲ, τῶν νομοθετῶν D δηλονότι.

« Ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόρρω ἐγενήθησαν. » Διώκοντες γὰρ νόμον δικαιοσύνης, εἰς νόμον οὐκ ἔφθασαν.

« Οὐδὲ ἠκούσθη. » Ἴσοι τούτοις ἐθνικοῖς ἐκρίθησαν τοῖς μὴ ἀκούσασι τοῦ νόμου, οἱ μόνῳ τῷ γράμματι τοῦ νόμου ἀκολουθήσαντες. Βλέποντες γὰρ οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν.

« Οὔτε υἱοὶ Ἄγαρ. » Οἱ τῆς παλαιᾶς διαθήκης ἐγγόνοι, περὶ ὧν συμφώνως φησὶν ὁ Ἀπόστολος·

feceris, quære, et disces quisnam sit horum bonorum largitor.

« Ubi sit intellectus. » Qui contra peccatum est.

« Ubi sit longiturnitas vitæ. » Ad discernendum a malo bonum.

« Ubi sit lumen. » In Domino, scilicet. *Qui enim*, ait, *credit in me, non morietur in æternum* [62]. — Dominus quippe ait : *Ego sum lux mundi* [63], et Apostolus : *Ipse*, inquit, *est pax nostra* [64].

V. 15. « Quis invenit locum ejus? » *Quoniam inscrutabilia sunt judicia Dei, et investigabiles viæ ejus* [65].

« Et quis intravit in thesauros ejus? » Quis judicia Dei comprehensione assecutus est?

V. 16. « Ubi sunt principes gentium? » Sapientes hujus sæculi qui etiam homines belluarum more viventes sibi subegerunt.

V. 17. « Qui in avibus cœli ludunt. » Auguria observantes. Vel quia sapientia eorum terrena est, animalis et diabolica.

V. 18. « Et argentum. » Omnis namque eorum sapientia est in fraudatione.

« Qui enim fabricant argentum. » Qui argentum per varias personas sibi colligunt.

« Nec est inventio operum illorum. » Quoniam tenebrarum participes sunt.

V. 19. « Et alii loco eorum surrexerunt. » Quibus credita lex est, et neque ipsi observarunt, hi sunt qui surrexerunt loco eorum, qui in idolorum cultu sapientes erant.

V. 20. « Juniores viderunt lumen. » Qui ad carnis opera non pertrahuntur, hi viderunt lumen, id est, cognitionem Dei.

« Et habitaverunt super terram. » In legalibus institutis.

« Viam autem scientiæ ignoraverunt. » Sicut ait Dominus : *Si crederetis Moysi, utique crederetis mihi* [66].

V. 21. « Neque intellexerunt. » Multiformem doctrinam.

« Neque susceperunt eam. » Sicut evangelista Joannes ait : *In propria venit, et proprii eum non receperunt* [67]. Filii vero, legislatorum scilicet.

« A via ipsorum longe facta est. » Sectantes enim legem justitiæ, ad legem non pervenerunt.

V. 22. « Neque audita est. » Pares judicati sunt his gentilibus, qui legem non audierunt, illi qui solam litteram legis secuti sunt. Videntes enim non vident, et audientes non audiunt.

V. 23. « Neque filii Agar. » Veteris testamenti nepotes; de quibus consona ait Apostolus : *Igno-*

[62] Joan. xi, 25. [63] Joan. viii, 12. [64] Ephes. ii, 14. [65] Rom. xi, 33. [66] Joan. v, 46. [67] Joan. i, 11.

Digitized by Google

rantes enim Dei justitiam, et propriam firmare quærentes, justitiæ Dei non obediverunt [68].

« Negotiatores Meram. » Negotiatores eos appellat, ut agriculturæ inexpertos. Positi enim vinitores, loco uvæ spinas vindemiarunt. Meram vero, et Themam barbaræ gentes, ad quas, videlicet ad ferinos mores, negotiantur hi qui vitæ hujus vanitate pertrahuntur.

« Et fabulatores. » Qui loco præcepti, Deique judiciorum, urceorum poculorumque ablutiones commenti sunt. Præterea judicium, et misericordiam [69], fidemque rejicientes, rutas mentasque decimabant.

« Et exquisitores. » Qui exquirebant quidem, sed exquisitionem prudenter agere nesciebant.

« Viam autem sapientiæ nescierunt. » Dominum videlicet.

« Neque commemorati sunt semitas ejus. » Doctrinæ modos.

V. 24. » O Israel, quam magna est domus Dei. » Ecclesia, et mysterii ratio. — Quia nunc ex parte cognoscimus, cognitioque perfecta non est. Locum vero pietatem appellat : ingentem autem propter augmentum quod semper in melius fit.

« Locus possessionis. » Quoniam cœlestis Regis mysteria continet.

V. 26. « Ibi fuerunt gigantes. » De dæmonibus loquitur, qui ab initio una cum angelis enumerati, propria temeritate a cœlesti culmine deturbati sunt. Nominati autem, quoniam de illis prænuntiatum fuerat : statura item magna, tanquam fastuosi.

« Scientes bellum. » Indigni enim pace Christi maluerunt bellum et dæmones, et hæretici.

V. 29. « Quis ascendit in cœlum ? » Sicut scriptum est : *Non quod nos Deum dilexerimus, sed quod ipse dilexit nos* [69'], et cum dilexisset, *inclinavit cœlos, et descendit* [70].

V. 30. « Quis transfretavit. » Dominus, qui dixit : *Confidite, ego vici mundum* [71]. Solus enim ipse transnavit peccatum. Illud vero, *invenit illam*, est ac si diceret : Ostendit nobis quomodo inveniamus illam.

« Et afferet eam. » Quoniam sapientia omne pretium superat : mystico vero sensu, aurum electum est fides, per quam Filium cognoscimus.

« Non est qui sciat viam ejus. » Si quis enim aliquid nosse videtur, nondum novit uti nosse oportet, nec qui excogitet.

« Semitam ejus. » Doctrinas, vaticinia.

V. 32. « Sed qui scit omnia. » Solus namque Pater Filium novit.

« Adinvenit eam. » Patefecit vero illum et nobis per sapiens incarnationis mysterium.

« Qui præparavit. » Ad litteram, quod per incar-

A Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

« Οἱ ἔμποροι τῆς Μερράν. » Ἐμπόρους αὐτούς φησι διὰ τὸ ἀπειρεῖν γεωργίας. Ταχθέντες γὰρ ἀμπελουργοί, ἀντὶ σταφυλῆς ἀκάνθας ἐτρύγησαν. Μερράν δὲ καὶ Θαιμὰν βάρβαρα φῦλα, εἰς ἃ ἐμπορεύονται, ἅπερ εἰσὶν οἱ θηριώδεις τρόποι, οἱ τῇ ματαιότητι τοῦ βίου τούτου συγκαθελκόμενοι.

« Καὶ οἱ μυθολόγοι. » Οἱ ἀντὶ ἐντολῆς καὶ κριμάτων Θεοῦ, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν ἐμυθολόγησαν. Ἔτι δὲ καὶ τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν ἀπωθούμενοι, πήγανα καὶ ἡδύοσμα ἀπεδεκάτωσαν.

« Καὶ οἱ ἐκζητηταί. » Οἱ ἐκζητοῦντες μὲν, μὴ
B εἰδότες δὲ συνετῶς τὴν ζήτησιν ποιεῖσθαι.

« Ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν. » Τὸν Κύριον δηλονότι.

« Οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς. » Τοὺς τρόπους τῆς διδασκαλίας.

« Ὦ Ἰσραὴλ, ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ. » Ἡ Ἐκκλησία, καὶ ὁ τοῦ μυστηρίου λόγος. — Ἐπειδὴ νῦν ἐκ μέρους γινώσκομεν, καὶ οὔπω τῆς γνώσεως τὸ τέλειον. Τόπον δὲ καλεῖ τὴν εὐσέβειαν· ἐπιμήκη δὲ διὰ τὴν ἀεὶ ἐπὶ τὸ κρεῖττον αὔξησιν.

« Ὁ τόπος τῆς κτήσεως. » Ὅτι ἐπουρανίου βασιλέως μυστήρια περιέχει.

« Ἐκεῖ ἐγενήθησαν οἱ γίγαντες. » Περὶ τῶν δαιμόνων φησὶν, ὅτι ἀπ' ἀρχῆς μετὰ τῶν ἀγγέλων τα-
C γέντες, ἐξ ἀβουλίας τῶν οὐρανίων ἀψίδων ἐκβέβληνται. Ὀνομαστοὶ δὲ, ἐπειδὴ προκατηγγέλθη περὶ αὐτῶν· εὐμεγέθεις δὲ, ὡς ὑπέρογκοι.

« Ἐπιστάμενοι πόλεμον. » Τῆς γὰρ εἰρήνης τοῦ Χριστοῦ ἀνάξιοι ὄντες, πόλεμον ἤσκησαν οἵτε δαίμονες, καὶ οἱ αἱρετικοί.

« Τίς ἀνέβη εἰς τὸν οὐρανόν; » Καθὼς γέγραπται· *Οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς* καὶ ἀγαπήσας *ἔκλινεν οὐρανοὺς καὶ κατέβη.*

« Τίς διέβη. » Ὁ Κύριος εἰπὼν, *Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.* Μόνος γὰρ αὐτὸς διέβη τὴν ἁμαρτίαν. Τὸ δὲ, *Εὗρεν αὐτὴν*, ἀντὶ τοῦ, Ὑπέδειξεν ἡμῖν εὑρεῖν αὐτήν.

D « Καὶ οἴσει αὐτήν. » Ὅτι ἀτίμητος ἡ σοφία. Πρὸς δὲ διάνοιαν, χρυσίον ἐκλεκτὸν ἡ πίστις, δι' ἧς γινώσκομεν τὸν Υἱόν.

« Οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς. » Εἴ τις γὰρ δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι.

« Τὴν τρίβον αὐτῆς. » Τὰς διδασκαλίας, τὰς προφητείας.

« Ἀλλ' ὁ εἰδὼς τὰ πάντα. » Μόνος γὰρ ὁ Πατὴρ γινώσκει τὸν Υἱόν.

« Ἐξεῦρεν αὐτήν. » Ἐφανέρωσεν δὲ αὐτὸν καὶ ἡμῖν διὰ τοῦ σοφοῦ τῆς ἐνανθρωπήσεως μυστηρίου.

« Ὁ κατασκευάσας. » Πρὸς μὲν τὸ ῥητὸν, ὅτι διὰ

[68] Rom x, III. [69] Matth. XXIII, 23. [69'] I Joan. IV, 10. [70] Psal. XVII, 10. [71] Joan. XVI, 33.

Digitized by Google

τοῦ ἐνανθρωπήσαντος λόγου τὰ πάντα κατεσκευάσθη. Πρὸς δὲ διάνοιαν, γῆν τὴν γνῶσιν τῆς εὐσεβείας.

« Ἐνέπλησεν. » Ἀγαθοὺς δὲ καὶ πονηροὺς ἐκάλεσεν εἰς τοὺς γάμους ὁ Κύριος. Κτήνη δὲ λέγει, τοὺς πρὸ τούτου κτήνεσιν ἀνοήτοις συμβληθέντας.

« Οἱ δὲ ἀστέρες. » Τοὺς ἀποστόλους πρὸς οὓς εἶπεν, Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.

« Ἐκάλεσεν αὐτούς. » Ἐν τοῖς δεδομένοις αὐτοῖς χαρίσμασι διαλάμψαντες ἐχάρησαν.

Οὗτος ὁ Θεός. » Οἱ τὴν ἀποστολικὴν κλῆσιν προθυμως ὑπακούσαντες, καὶ ἐπιθυμίαν ἔχοντες ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, καὶ μηδὲν προτιμῶντες τοῦ ποιῆσαι τὸ προσταττόμενον. — Ὁ δι' ἡμᾶς γεγονὼς ἄνθρωπος, τοῦ Πατρὸς γεγονὼς Λόγος, καὶ ἐπὶ γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς.

« Καὶ ἔδωκεν αὐτήν. » Ὅτι πᾶσα πνευματικὴ ἐπιστήμη ἄγουσα πρὸς οὐρανὸν αὐτοῦ [ἴσ. ὑπ' αὐτοῦ] κατεργάζεται.

« Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη. » Καὶ γὰρ κατὰ τάξιν τὸ ἓν καὶ τὸ αὐτὸ μυστήριον ἔλαμψε, νομικῶς, προφητικῶς, εὐαγγελικῶς.

ΚΕΦ. Δ'.

« Λῦτη ἡ βίβλος. » Ἡ διὰ τῶν Εὐαγγελίων τοῦ μυστηρίου ποικίλη γνῶσις, ἡ καὶ διαιωνίζουσα.

« Διόδευσον. » Αὐτὸς γὰρ καλεῖ λέγων· *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.*

« Μακάριοί ἐσμεν. » Παρορμᾷ τοὺς ἐξ Ἰσραὴλ προαρπάσαι τὴν χάριν. Ἐπειδὴ καὶ αὐτοῖς ἦν ἀναγκαῖον πρῶτον ἀναγγεῖλαι τὸν λόγον τοῦ Θεοῦ. — Ὁ πνευματικὸς Ἰσραὴλ ταῦτα φησίν· πρὸς οὓς φησιν ὁ Σωτήρ· *Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν.*

« Θαρσεῖτε, λαός μου. » Ὦ παρ' ἐμοῦ μνημονευόμενε Ἰσραήλ.

« Ἐπράθητε. » Εἰ γὰρ διὰ τὴν ἁμαρτίαν ἔσχε τὸ καθ' ἡμῶν χειρόγραφον ὁ διάβολος, ἀλλ' ὁ Χριστὸς ἡμᾶς τῷ ἰδίῳ αἵματι ἐξηγοράσατο.

« Ἐπελάθεσθε δέ. » Ὅτι λόγῳ θείῳ τραφέντες ὡς λογικοὶ, εἰς ἀλογίαν κατεπεπτώκαμεν.

« Ἀκούσατε, αἱ πάροικοι Σιών. » Τὰς παροίκους καλεῖ πρὸς τὴν θέαν τοῦ πένθους, τῷ παραδείγματι σωφρονεστέρας αὐτὰς ἀπεργασομένη. — Ὡς πρὸς τὰς ὑπηκόους πόλεις ὁ λόγος.

« Μηδεὶς ἐπιχαιρέτω μοι τῇ χήρᾳ. » Καλεῖ δὲ αὐτὴν χήραν, ὡς ἔρημον τῆς θείας κηδεμονίας, τὴν μόνην ἠρεμοῦσαν [ἠρημωθεῖσαν], τὴν νῦν μόνην δηλονότι· ἢ, εἰ μὴ τοῦτο, ὡς μόνην ἐσχηκυῖαν τὸν θεῖον νεὼν· ἢ ὡς μόνην ὑπὸ Ἀσσυρίων περιλειφθεῖσαν ἀνάλωτον [ἴσ. ἄτεκ.] — Εἰ γὰρ καὶ *Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, ἀλλὰ τῷ θανάτῳ οὐ παρέδωκέ με.* Χήρα δὲ κυρίως ἐκλήθη ἡ Συναγωγὴ τότε, ὅτε εἰς τὸν ἑαυτῆς νυμφίον Χριστὸν ἐξυβρίσασα ἐγκατελείφθη.

natum Verbum omnia condita sunt: spiritaliter vocat terram, pietatis cognitionem.

« Replevit. » Probos namque et improbos ad nuptias Dominus convocavit: jumenta vero eos ait, qui antea jumentis insipientibus comparati sunt.

V. 34. « Stellæ autem. » Apostoli ad quos dixerat: *Vos estis lux mundi* [72].

V. 35. « Vocavit eas. » In donis sibi datis coruscantes gavisi sunt.

V. 36. « Hic est Deus noster. » Qui ad vocationem apostolicam prompte obediverunt, et cupiunt dissolvi, et esse cum Christo [73], nihilque præferunt observantiæ mandatorum. — Quod pro nobis homo factus est Verbum Patris, et in terra visum, et cum hominibus conversatum [74].

B

« Et dedit eam. » Quoniam omnis spiritualis disciplina, quæ ad cœlum ducit, ab ipso conficitur.

V. 38. « Post hæc in terra visus est. » Etenim unum et idem mysterium ordine resplenduit, legaliter, prophetice, evangelice.

CAP. IV.

V. 1. « Ilic liber. » Multiformis per Evangelium mysterii cognitio, quæ etiam in æternum erit.

V. 2. « Ambula. » Ipse enim vocat dicens: *Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos* [75].

V. 4. « Beati sumus. » Excitat Israelitas ut gratiam præripiant. Nam et illis necesse erat prius annuntiari verbum Dei. — Spiritualis Israel hæc effatur, ad quos dixit Salvator: *Vestri vero oculi beati sunt quoniam vident, et aures vestræ, quoniam audiunt* [76].

« Confidite, populus meus, memoriale Israel. » O Israel, de quo loquar ego.

V. 6. « Venundati estis. » Nam esti propter peccatum adversus nos diabolus chirographum habuit, Christus tamen nos proprio sanguine redemit.

V. 8. « Obliti vero estis. » Quod divino nutriti verbo, uti rationis compotes, ab usu rationis excidimus.

V. 9. « Audite, confines Sion. » Vicinas vocat ad videndum luctum, reddens eas exemplo cautiores. — Videtur ad subditas civitates dirigi sermo.

V. 12. « Nemo gaudeat super me vidua. » Appellat vero se viduam, uti divina cura orbatam, solam derelictam; nunc scilicet solam. Vel si non ita, quod ipsa sola sacrum habuerit templum. Vel tanquam solam ab Assyriis derelictam sine filiis. — Nam et si *Castigans castigavit me Dominus, sed morti non tradidit me* [77]. Vidua vero proprie Synagoga tunc vocata fuit, cum in sponsum suum Christum debacchata, derelicta fuit.

[72] Matth. v, 14. [73] Philipp. i, 23. [74] Baruch. iii, 28. [75] Matth. xi, 28. [76] Matth. xiii, 16. [77] Psal. cxvii, 18.

Digitized by Google

V. 14. « Veniant confines Sion. » Incolatus hujus sæculi vanæ opiniones.

V. 15. « Adduxit enim super illos gentem. » Deus elongavit iniquitates nostras a nobis, nos vero eas ad nos ipsos attraximus, et per eas punimur; dicitur vero ipse adducere, eo quod Deo non permittente nihil fiat.

« Gentem protervam. » Primum Babylonicam, postremo Romanorum. Potest hoc etiam intelligi de iis qui falsam doctrinam sophistica deceptione docent.

V. 17. « Ego autem quid possum adjuvare vos? » Quoniam sine Dei misericordiis salvam esse animam fieri non potest.

V. 18. « Eripiet vos. » Adhortatur eos ad eam, quæ flagellis acquiritur eruditionem.

V. 19. « Ego enim derelicta sum. » Absente Deo. Et si sancti hæc effantur, quæ peccatorum sunt sibi asciscentes hæc dicunt. Si vero Judæorum Synagoga, quando ob injuriam Christo illatam audiit: *Ecce relinquetur vobis domus vestra deserta* [78]. Si vero civitas, ob habitantium desolationem.

V. 20. « Exui me stola pacis. » Splendore, quem habebat, hærens Deo cum pace.

« Sacco observationis meæ. » Lugens pro peccatis vestris, Deumque obsecrans.

V. 22. « Et venit mihi. » Redemptionem per Christum Salvatorem futuram prævidet, eamque prædicit.

V. 24. « Quæ superveniet. » Redemptio enim facta per Christum illustrius reddidit genus nostrum quam esset ab initio conditum.

« Et videbis ipsius perditionem. » Quæ per pretiosam crucem diabolo inducta est.

« Et super cervices eorum. » *Ecce* enim, ait, *dedi vobis potestatem ambulandi super serpentes, et scorpiones, et super omnem inimici potentiam* [79].

V: 26. « Delicati mei. » Qui olim creati fuerant delicati et molles, inæquales asperasque vias ambulaverunt.

V. 30. « Confide, Jerusalem. » Deus Verbum, qui pro nobis incarnatus est, qui sponsam suam vocare Ecclesiam non dedignatus est.

V. 31. « Miseri qui te vexaverunt. » Dæmones, hæretici, qui variis temporibus Ecclesiam persecuti sunt.

V. 32. « Miseræ civitates. » Munimenta malorum, machinationes dæmonum.

V. 33. « Sic contristabitur. » Idolorum cultus Judæorumque Synagoga.

V. 34. « Et auferam ab ea. » A Synagoga quæ Ecclesiam persecuta est, et varia malorum invasione.

V. 35. « Ignis enim superveniet. » Quasi diceret, usque dum reversa est. Idcirco et, *multo tempore*, dixit.

A « Ἐλθέτωσαν αἱ πάροικοι Σιών. » Αἱ τῆς παρικίας τοῦ αἰῶνος τούτου μάταιαι δόξαι.

« Ἐπήγαγε γὰρ ἐπ' αὐτοὺς ἔθνος. » Ὁ Θεὸς ἐμάκρυνε τὰς ἀνομίας ἡμῶν ἀφ' ἡμῶν, ἡμεῖς δὲ αὐτὰς ἑαυτοῖς ἐπεσπασάμεθα, καὶ δι' αὐτῶν τιμωρούμεθα. Λέγεται δὲ αὐτὸς ἐπάγειν, διὰ τὸ ἄνευ συγχωρήσεως Θεοῦ μηδὲν γίνεσθαι.

« Ἔθνος ἀναιδές. » Πρῶτον τὸ Βαβυλώνιον, ὕστερον καὶ τὸ Ῥωμαίων. Δύναται δὲ τοῦτο νοεῖσθαι καὶ περὶ τῶν τὴν ψευδώνυμον γνῶσιν διὰ σοφιστικῆς ἀπάτης διδασκόντων.

« Ἐγὼ δὲ τί δυνατὴ βοηθῆσαι ὑμῖν; » Ὅτι ἄνευ οἰκτιρμῶν Θεοῦ ψυχὴν σωθῆναι ἀδύνατον.

« Ἐξελεῖται ὑμᾶς. » Προτρέπεται αὐτοὺς εἰς τὴν διὰ τῆς μάστιγος παιδείαν.

B « Ἐγὼ δὲ κατελείφθην. » Ἀπουσίᾳ Θεοῦ. Καὶ εἰ μὲν οἱ ἅγιοι ταῦτα λέγουσιν, οἰκειούμενοι τὰ τῶν ἁμαρτωλῶν λέγουσιν· Εἰ δὲ ἡ τῶν Ἰουδαίων Συναγωγή, ὅτε διὰ τὴν εἰς Χριστὸν ὕβριν ἤκουσεν· *Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ἡμῶν ἔρημος*. Εἰ δὲ ἡ πόλις, διὰ τὴν τῶν οἰκητόρων ἐρημίαν.

« Ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης. » Τὴν λαμπρότητα, ἣν εἶχεν εἰρηνεύουσα πρὸς τὸν Θεόν.

« Σάκκον τῆς δεήσεώς μου. » Πενθοῦσα ἐπὶ τοῖς ἡμῶν ἁμαρτήμασιν, καὶ δεομένη Θεοῦ.

« Καὶ ἦλθέ μοι. » Τὴν διὰ τοῦ Σωτῆρος Χριστοῦ προβλέπει ἀπολύτρωσιν, καὶ ταύτην προλέγει.

C « Ἡ ἐπελεύσεται. » Ἡ γὰρ διὰ Χριστοῦ ἀπολύτρωσις λαμπρότερον, ἢ κατὰ τὴν ἐξ ἀρχῆς πλάσιν τὸ γένος ἡμῶν ἀπέδειξεν.

« Καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν. » Ἥτις γέγονε τῷ διαβόλῳ διὰ τοῦ τιμίου σταυροῦ.

« Καὶ ἐπὶ τραχήλους. » Ἰδοὺ γάρ φησι· *Δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ*.

« Οἱ τρυφεροί μου. » Οἱ κατὰ τὴν ἐξ ἀρχῆς δημιουργίαν τρυφεροὶ καὶ εὐβαφεῖς γενόμενοι, τὰς ἀνωμάλους, καὶ τραχείας ὁδοὺς ἐπορεύθησαν.

« Θάρσει, Ἱερουσαλήμ. » Ὁ Θεὸς Λόγος, ὁ δι' ἡμᾶς ἐνανθρωπήσας, ὁ νύμφην ἑαυτοῦ τὴν Ἐκκλησίαν ἀξιώσας καλέσαι.

D « Δείλαιοι οἱ σὲ κακώσαντες. » Δαίμονες, αἱρετικοὶ, οἱ κατὰ καιρὸν τὴν Ἐκκλησίαν διώξαντες.

« Δείλαιαι αἱ πόλεις. » Τὰ ὀχυρώματα τῶν κακῶν, αἱ κατασκευαὶ τῶν δαιμόνων.

« Οὕτως λυπηθήσεται. Ἡ εἰδωλολατρεία καὶ τῶν Ἰουδαίων ἡ Συναγωγή.

« Καὶ περιελῶ αὐτῆς. » Τῆς τὴν Ἐκκλησίαν διωξάσης Συναγωγῆς, καὶ τῆς ποικίλης τῶν κακῶν ἐφόδου.

« Πῦρ γὰρ ἐπελεύσεται. » Ἀντὶ τοῦ, ἕως ὅτε ἐπέστρεψεν· διὸ καὶ τὸν πλείονα χρόνον εἶπεν.

[78] Matth. XXIII, 38. [79] Luc. X, 19.

Digitized by Google

« Περίβλεψον. » Πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. A

ΚΕΦ. Ε'.

« Ἔκδυσαι, Ἰερουσαλήμ. » Τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ.

« Καὶ ἔνδυσαι. » Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο.

« Περιβαλοῦ. » Ταῦτα τῆς παλαιᾶς καὶ καινῆς διαθήκης διδάγματα. Ἄλλως· τὴν πρακτικὴν, καὶ θεωρητικὴν ἀρετήν.

« Ἐπίθου τὴν μίτραν. » Τὸν σταυρὸν τοῦ Χριστοῦ, τὸν ἐν τῷ μετώπῳ τῶν πιστῶν τυπούμενον. Ἢ καὶ αὐτὸν τὸν Κύριον· κεφαλὴ γὰρ τῆς Ἐκκλησίας ὁ Χριστός.

« Κληθήσεται γάρ σου ὄνομα. » Τῆς νέας Ἰερουσαλὴμ τὰ γνωρίσματα. *Δικαιοσύνης* δὲ προσέθηκεν. Ἐπειδὴ γὰρ ἔστιν ἁμαρτωλῶν εἰρήνη κατὰ τὸν Δαβὶδ, διὸ καὶ ὁ Σωτὴρ· *Εἰρήνην*, λέγει, *τὴν ἐμὴν δίδωμι ὑμῖν*.— Ὡς μηκέτι δυναμένης τῆς ἐφόδου τῶν ἐχθρῶν τὴν εἰρήνην τὴν τῆς δικαιοσύνης διασπᾶσαι, μηδὲ καταλῦσαι τῆς θεοσεβείας τὴν δόξαν. Ἄλλως· Ἐπειδὴ ἡ εἰρήνη ἡμῶν ὁ Χριστὸς, καὶ αὐτός ἐστιν ἡ δικαιοσύνη ἡμῶν καὶ ἡ δόξα, καὶ αὐτός ἐστιν ὁ τῆς κατὰ θεοσέβειαν πολιτείας ἡμῶν ὑπογραμμὸς, ἐξ αὐτοῦ καὶ ἡμεῖς καλούμεθα. B

« Ἀνάστηθι, Ἰερουσαλήμ. » Ἐπὶ ὑψηλῆς πολιτείας, ἐπὶ τοῦ εὐαγγελικοῦ κηρύγματος.

« Ἐξῆλθον γάρ. » Τὸ σχῆμα πενθῆρες, ὡς ζηλοῖ Δαβὶδ, φεύγων τὸν Ἀβεσαλώμ. Πένθους δὲ ἄξια ἔπραττον οἱ δαιμονίοις δουλεύοντες, καὶ ταῖς ποικίλαις αὐτῶν ἀγόμενοι ἐπιθυμίαις. C

« Ὡς υἱοὺς βασιλείας. » Αἰρομένους μὲν ὑπὸ ἁγίων ἀγγέλων, παραπεμπομένους δὲ διὰ τῆς εἰς Χριστὸν πίστεως εἰς τὴν τῶν οὐρανῶν βασιλείαν.

« Συνέταξε... ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλόν. » Πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.

« Καὶ θῖνας ἀεννάους. » Τοὺς ἐξ ἀρχῆς ἀπ' αἰῶνος πολεμοῦντας ἡμᾶς δαίμονας.

« Καὶ φάραγγας πληροῦσθαι. » Τὰς κατατομὰς τῶν ψευδοχρίστων εἰς ὁμόνοιαν φέρεσθαι. Ἄλλως· τὰς πάλαι κοίλας καὶ γεώδεις ψυχὰς, δι' ἔργων ἀγαθῶν πληροῦσθαι, τῶν σκανδάλων περιαιρεθέντων.

V. 36. « Circumspice. » Ad justitiæ Solem, Dominum nostrum Jesum Christum.

CAP. V.

V. 1. « Exue te, Jerusalem. » Veteri homine cum desideriis ejus.

« Et indue te. » Quotquot in Christo baptizati sunt, Christum induerunt [80].

V. 2. « Circumda. » Hæ sunt veteris novique testamenti institutiones. Aliter, practicam, theoricamque virtutem.

« Impone mitram. » Crucem Christi, quæ in fronte credentium imprimitur. Vel et ipsum Dominum; caput quippe Ecclesiæ Christus.

V. 4. « Vocabitur enim nomen tuum. » Hæ sunt novæ Jerusalem notæ. *Justitiæ* vero apposuit. Nam quia est et peccatorum pax, secundum David [80*], ideo et Salvator, *Pacem*, ait, *meam do vobis* [81]. Hostium nempe impetu non amplius potente divellere pacem quæ ex justitia est, nec evertere pietatis honorem. Aliter: Quia Christus nostra pax est, et ipse est justitia nostra, et gloria, et ipse est vitæ pie instituendæ præscriptum, et regula, ex illo et nos denominamur.

V. 5. « Exsurge, Jerusalem, et sta in excelsi. » In sublimi vitæ instituto, in evangelica prædicatione.

V. 6. « Exierunt enim. » Pedibus ire, ad luctum pertinet, ut ostendit David Absalonem fugiens [82]. Et sane lacrymis digna gerebant, qui dæmonibus inserviebant, et variis eorum desideriis ducebantur.

V. 6. « Sicut filios regni. » Elatos quidem a sanctis angelis: transmissos vero per fidem, quæ in Christum est, in regnum cœlorum.

V. 7. « Constituit... humiliare omnem montem excelsum. » Omnem altitudinem extollentem se contra Dei cognitionem.

« Et rupes perennes. » Dæmones, qui nobis ab initio sæculi bellum inferunt.

« Et valles implere. » Ut quos pseudochristi disciderunt, in unionem coeant. Aliter: Cavas olim terrenasque animas bonis operibus repleri, sublatis scandalis.

[80] Galat. III, 27. [80*] Psal. XXVII, 3. [81] Joan. XIV, 27. [82] II Reg. XV, 17.

FRAGMENTA IN EPISTOLAM JEREMIÆ.

« Ἀντίγραφον ἐπιστολῆς. » Πνεύματι πληροφορηθεὶς ὁ προφήτης, ὡς μέλλουσιν αἰχμάλωτοι γίνεσθαι, κελεύεται ὑπὸ τοῦ Θεοῦ καὶ πρὸ τῆς αἰχμαλωσίας γράψαι τὴν ἐπιστολὴν ἵνα, ὅταν γένωνται αἰχμάλωτοι, ἔχωσιν αὐτὴν ἐφόδιον εἰς τὸ μὴ ἀπατηθῆναι, καὶ προσκυνῆσαι τοῖς τῶν Βαβυλωνίων εἰδώλοις. D

« Exemplum epistolæ. » Spiritu edoctus propheta, fore ut Judæi captivi fierent, ante ipsam captivitatem jubetur a Deo epistolam scribere; ut quando jam essent captivi, haberent illam uti subsidium, ne decepti Babyloniorum idola adorarent.

Digitized by Google

« Usque ad generationes septem. Nota, generationem esse illi decem annorum spatium.

V. 6. « Angelus enim meus. » Videlicet, etiam ductis in captivitatem præsto est angelus, ne internecione ab hostibus pereant.

V. 7. « Nam lingua ipsorum. » Idolorum, scilicet pseudomagistrorum a malorum artifice diabolo velox ad mendacium fit lingua.

« Ipsaque inaurata. » Pseudomagistri speciem præ se ferentes pietatis, vim porro illius abnegantes.

« Falsa autem sunt. » Quoniam mendacium veritatem non loquitur.

V. 10. « Dabunt de eis etiam meretricibus quæ sub tecto. » Tectum hoc loco vocat lupanar.

V. 11. « Illi autem non liberantur ab ærugine. » Dii gentium : sed nec pseudomagistri a diabolica ærugine.

V. 15. « Non ergo timeatis eos. » Contra idola nulla virtute prædita, quod sibi ipsis auxilium ferre non queant.

V. 16. « Oculi eorum. » Ait quidem : Oculi idolorum, nihilominus et hæresiarcharum, vel eorum qui ad res terrenas toti incumbunt, mentis oculi pulvere diabolico sunt pleni, non valentes veritatem inspicere ex operationibus diabolicis, quæ intrant in eos.

V. 18. « Lucernas accendunt. » Post idola quoque eos intellige qui decepti nequeunt intendere oculos in legem Dei, de qua scriptum est : *Lucerna pedibus meis lex tua* [83]. Sed neque in sermonem propheticum tanquam lucernam ardentem in obscuro loco.

V. 20. « Nigræ sunt. » Idolorum cultores similes idolis ; scriptum namque est : *Similes illis fiant facientes illa* [84]. Et omnes qui a dæmonibus agitantur, faciem animæ tenebricosam habent, obscurante eos fumo diabolico qui in corde eorum est.

V. 21. « Supra corpus eorum. » Et animam ipsorum, ait, et principem partem, scilicet mentem, vel certe ecclesiam eorum, et præpositos cædunt dæmones, quia Deum pro tegumento non habent.

V. 24. « In quibus non est spiritus. » Post idola, eos etiam intellige, qui ab illis afflantur, Spiritus sancti exsortes.

V. 27. « Neque mendicanti. » Index et hoc est diabolicæ inhumanitatis.

V. 28. « Sacrificia illorum menstruata. » Notandum est igitur, ad divina sacrificia non debere puerperam accedere, vel menstruatam ; hoc enim lex etiam præceperat. Spiritaliter vero, immundas animas sacra facere prohibet.

V. 29. « Quia apponunt mulieres. » Nota, mulieribus interdictum sacra facere. Mystice vero, sa-

A « Ἕως γενεῶν ἑπτά. » Ὅτι τὴν γενεὰν ἐνταῦθα εἰς δέκα ἔτη ἀριθμεῖ.

« Ὁ γὰρ ἄγγελός μου. » Δηλονότι καὶ τοῖς ἐν αἰχμαλωσίᾳ ἄγγελος ἐπαμύνει, ἐφ' ᾧ μὴ πανωλεθρίᾳ διαφθαρῆναι ὑπὸ τῶν ἐχθρῶν.

« Γλῶσσα γὰρ αὐτῶν. » Τῶν εἰδώλων, δηλονότι τῶν ψευδοδιδασκάλων ὑπὸ τοῦ τῶν κακῶν τέκτονος διαβόλου εὐτρόχαλος γίνεται ἡ γλῶσσα πρὸς τὸ ψεῦδος.

« Αὐτά τε περίχρυσα. » Οἱ ψευδοδιδάσκαλοι μόρφωσιν ἔχοντες εὐσεβείας, τὴν δὲ δύναμιν αὐτὴν ἠρνημένοι.

« Ψευδῆ δ' ἐστὶ καὶ οὐ δύναται λαλεῖν. » Ὅτι τὸ ψεῦδος ἀλήθειαν οὐ λαλεῖ.

« Καὶ ταῖς ἐπὶ τοῦ στέγους πόρναις. » Ὅτι στέγος B λέγει τὸ πορνεῖον.

« Οὗτοι δὲ οὐ διασώζονται ἀπὸ ἰοῦ. » Οἱ θεοὶ τῶν ἐθνῶν· ἀλλ' οὐδὲ οἱ ψευδοδιδάσκαλοι ἀπὸ τοῦ διαβολικοῦ ἰοῦ.

« Μὴ οὖν φοβηθῆτε αὐτούς. » Κατὰ τῆς τῶν εἰδώλων σαθρότητος, ὅτι ἑαυτοῖς βοηθῆσαι οὐ δύνανται.

« Οἱ ὀφθαλμοὶ αὐτῶν. » Φησὶν μὲν τῶν εἰδώλων, οὐδὲν δὲ ἧττον τῶν αἱρεσιαρχῶν, ἢ καὶ τῶν περὶ τὰ γήϊνα ἀσχολουμένων, οἱ τῆς διανοίας ὀφθαλμοὶ διαβολικοῦ κονιορτοῦ πλήρεις εἰσὶν, εἰς τὸ ἀληθὲς οὐ δυνάμενοι κατιδεῖν ἐκ τῶν εἰς αὐτοὺς εἰσπορευομένων ἐνεργημάτων διαβολικῶν.

« Λύχνους καίουσι. » Μετὰ τὰ εἴδωλα νόει καὶ C τοὺς ἠπατημένους ἐνιδεῖν τῷ νόμῳ τοῦ Θεοῦ. Περὶ οὗ γέγραπται· *Λύχνος τοῖς ποσί μου ὁ νόμος σου.* Ἀλλὰ μηδὲ προφητικῷ λόγῳ, ὡς λύχνῳ καίοντι ἐν αὐχμηρῷ τόπῳ.

« Μεμελάνωνται. » Οἱ εἰδωλολάτραι ὅμοιοι ὄντες τοῖς εἰδώλοις. Γέγραπται γὰρ, ὅτι *Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά.* Καὶ πάντες δὲ οἱ ὑπὸ δαιμόνων ἐνεργούμενοι ἀφεγγὲς ἔχουσι τῆς ψυχῆς τὸ πρόσωπον, ἀπὸ τοῦ καπνοῦ τοῦ διαβολικοῦ τοῦ ἐν τῇ καρδίᾳ αὐτῶν διασκοτιζόμενοι.

« Ἐπὶ τὸ σῶμα. » Καὶ τὴν ψυχὴν αὐτῶν, φησὶν, καὶ αὐτὸ τὸ ἡγεμονικὸν, τουτέστιν τὸν νοῦν, ἢ καὶ τὴν ἐκκλησίαν αὐτῶν, καὶ τοὺς ἡγουμένους ραπίζουσι δαίμονες, διὰ τὸ μὴ ποιῆσαι σκέπην τὸν D Θεόν.

« Ἐν οἷς οὐκ ἔστι πνεῦμα. » Μετὰ τὰ εἴδωλα νόει καὶ τοὺς ὑπ' αὐτῶν ἐνεργουμένους, θείου Πνεύματος ἐκτὸς ὄντας.

« Οὔτε πτωχῷ. » Καὶ τοῦτο δεῖγμα δαιμονικῆς μισανθρωπίας.

« Τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη. » Σημειωτέον οὖν, ὡς ἱερὰς θυσίας οὐ δεῖ λεχὼ καὶ ἀποκαθημένην ἅπτεσθαι. Τοῦτο γὰρ καὶ ὁ νόμος ἐκέλευσεν. Πρὸς δὲ θεωρίαν, τὰς ἀκαθάρτους ψυχὰς ἱερουργεῖν ἀποκωλύει.

« Ὅτι γυναῖκες παρατιθέασι. » Σημειωτέον, ὅτι οὐ δεῖ γυναῖκας ἱερουργεῖν. Πρὸς δὲ διάνοιαν, ὅτι τὰς

[83] Psal. cxviii, 104. [84] Psal. cxiii, 4.

Digitized by Google

τῶν ἱερέων ψυχὰς οὐκ ἐκλύτους εἶναι δεῖ, ἀλλ' ἀνδρείας καὶ γενικάς.

« Ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν. » Οὐκ ἔχουσαι τοῦ σωτηρίου τὴν περικεφαλαίαν.

Ἐρεόν φησι τὸ εἴδωλον τὸ ἄφωνον. *Βῆλον* Δία καὶ Ἕλληνες ἐσεβάσθησαν.

« Αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία. » Σχοινία φησὶν τὰ περιζώματα· καλύπτουσαι γὰρ μόνα τὰ τοῦ σώματος ἀσχήμονα, τὰ λοιπὰ παρεγύμνουν, προσκαλούμεναι τοὺς ἐραστάς.

« Θυμιῶσαι τὰ πίτυρα. » Ἀφροδίτῃ τυχὸν, ἢ τινι προαγωγῷ. Ἴσως δὲ καὶ εἰς καθαρμὸν τοῦτο ἐποίουν οἱ δυστυχεῖς.

« Ὅτι οὐκ ἠξίωται. » Ὅτι οὐκ ἠξιώθη Θεοῦ ἐπισκέψεως. — Πῶς γε δὴ μέλλοι τὰ ὑπ' αὐτῶν κατασκευασθέντα εἶναι θεοί, ὅτι τὸ ὑπὸ ἄλλου γινόμενον οὐ Θεός;

« Γνωσθήσεται μετὰ ταῦτα ὅτι ἐστὶ ψευδῆ. » Ὃ δὴ καὶ γέγονεν διὰ τῆς τοῦ Σωτῆρος ἐπιφανείας.

« Ὥσπερ γὰρ κορῶναι. » Ἡ κορώνη πτηνὸν ἀκάθαρτον. Ἀκάθαρτοι οὖν εἰσιν οἱ δαίμονες, οὔτε ἐπουράνιοι ὄντες διὰ τὸ ἄτιμοι, οὔτε ἐπίγειοι, διότι ψευδώνυμοι· καὶ ἄλλως δὲ, ἀπὸ μὲν οὐρανίων ἀψίδων ὑπὸ Θεοῦ ἐξεβλήθησαν, ἀπὸ δὲ τῆς γῆς περιελαύνονται ὑπὸ ἁγίων ἀνθρώπων διὰ τῆς τοῦ Χριστοῦ βοηθείας. Κατὰ δὲ λόγον μυστικὸν καὶ ὁ Σωτὴρ εἰς τὸν σταυρὸν ἀνῆλθεν, τὸν ἀέρα καθαίρων ἐκ τῆς αὐτῶν ἀκαθαρσίας· καὶ εἰς τὰ καταχθόνια παραγέγονεν, καταλύων αὐτῶν ἐκεῖ τὴν τυραννίδα.

« Ταῦτα δὲ οὔτε ταῖς ἰδέαις. » Τὰ εἴδωλα, φησὶν, οὔτε λαμπρά εἰσιν, ὡς ἥλιος καὶ σελήνη· οὔτε δραστικὰ, ὡς πῦρ καὶ ἄνεμος. Εἰ δὲ ταῖς ἰδέαις καὶ τῇ δυνάμει ἀσυγκρίτως αὐτῶν διαφέροντα οὐκ εἰσὶν θεοὶ, πῶς αὐτὰ νομιστέον εἶναι θεούς;

« Σημεῖά τε ἐν ἔθνεσι. » Διὰ τοῦτο ἴσως καὶ Φαρισαῖοι ἠρώτων τὸν Σωτῆρα, λέγοντες· *Τί σημεῖον δεικνύεις ἡμῖν ἀπ' οὐρανοῦ;* Ἦρκει δὲ μόνος ὁ ἀστὴρ δεῖξαι τὸν τεχθέντα ὅτι ἐστὶ Θεός· καὶ τὰ ἐπὶ τοῦ σταυροῦ γεγενημένα, ἔδειξεν αὐτοῦ τὴν θεότητα, ὅτε ὁ ἥλιος τὰς ἰδίας συνέστειλεν ἀκτῖνας· *καὶ ἡ οὐρανόθεν ἐνεχθεῖσα φωνὴ, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.* Ἰδοὺ τοιγαροῦν καὶ τὰ ἐξ οὐρανοῦ σημεῖα.

« Προβασκάνιον. » Ἑλλήνων οἱ λόγοι προβασκάνια, καὶ κεράμβηλα καλοῦσιν, ἅτινα ἱστῶσιν οἱ ἀγροφύλακες πρὸς φόβον ὀρνέων ἢ καὶ ἀνθρώπων· ταῦτα δὲ καὶ μορμολύκεια καλοῦνται.

« Αὐτά τε ἐξ ὑστέρου βρωθήσονται. » Ὑπὸ τοῦ χρόνου δηλονότι. Τοῦ θείου προστάγματος τηροῦντα τοὺς ὅρους.

« Κρεῖσσον οὖν ἄνθρωπος δίκαιος. » Τὸ *κρεῖσσον*, οὐ κατὰ σύγκρισιν, ἀλλ' ἀντὶ τοῦ, ἐπαινετὸς παρὰ Θεῷ, οὐκ ἔχων δὲ εἴδωλα, οὐ μόνον αἰσθητὰ, ἀλλ' οὐδὲ κατὰ ψυχὴν τὰ τῆς ἁμαρτίας εἴδωλα περιφέρων.

« Ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ. » Ὁ γὰρ

A cerdotum animas dissolutas esse non decere, sed viriles, et generosas.

V. 30. « Quorum capita nuda sunt. » Non habentia salutaris galeam.

V. 40. *Mutum* vocat idolum sine voce. *Belum*, Jovem Græci quoque coluerunt.

V. 42. « Mulieres autem circumdatæ funibus. » Funes vocat subligacula : solas enim tegentes obscenas corporis partes, cætera nudabant, ad alliciendos amatores.

« Adolentes furfura. » Veneri fortasse, vel alteri numini, quod lenociniis præsit. Forte etiam ad se lustrandos miseri hoc agebant.

V. 43. « Quod non sit digna habita. » Quoniam digna B non fuit, quæ a Deo inviseretur. — Quomodo igitur fabrefacta ab illis fuerint dii, cum id quod ab alio fit, Deus non sit?

V. 50. « Scietur postea quia falsa sunt. » Quod et factum est per Salvatoris adventum.

V. 53. « Sicut enim corniculæ. » Cornicula immunda volucris est. Immundi ergo sunt dæmones, neque cœlestes, quia pleni ignominia, neque terreni, quoniam falsi nominis sunt, et præterea de cœlestibus fornicibus ejecti a Deo sunt; e terra vero per sanctos homines Christi ope fugantur. At ratione mystica Salvator quoque in crucem ascendit, expurgans aerem ab eorum immunditia; et partes mundi subterraneas adiit, eorum ibi tyrannidem demolicns.

C V. 62. « Hæc autem neque speciebus. » Idola, inquit, neque splendent ut sol et luna; neque activa sunt ut ignis et ventus. Quod si hæc specie et virtute incomparabiliter illis præstantia dii non sunt, quomodo ipsa pro diis habenda sunt?

V. 66. « Signa etiam in gentibus. » Propterea fortasse et Pharisæi Salvatorem interrogabant dicentes : *Quod signum ostendis nobis de cœlo*[85]? Sat autem erat vel sola stella, ad ostendendum Deum esse qui natus erat : et quæ in cruce contigerunt, probarunt ejus divinitatem, quando sol suos contraxit radios, *et vox de cœlo lapsa : Hic est Filius meus dilectus*[86]. En igitur e cœlo etiam signa.

D V. 69. « Probascanium. » Græco sermone probascania et cerambela dici solent, quæ præfigunt agrorum custodes ad deterrendas aves, sive homines, quæ etiam terricula vocantur.

V. 71. « Et ipsa postremo comedentur. » Nempe a tempore Divini præcepti terminos servantia.

V. 72. « Melior igitur homo justus. » *Melior* hic non comparative dictum est, sed pro eo quod est, apud Deum probatus, non habens porro idola, non tantum sensibilia, sed nec in animo ferens peccati idola.

V. 72. « Nam erit longe ab opprobrio. » Qui

[85] Joan. II, 18. [86] Matth. XVII, 5.

Digitized by Google

enim purus est, et opere et mente, dexter assistet in die judicii cum bis quibus benedicetur, et non maledicetur. Rogemus itaque et nos, ut fiat nobis dux universorum Deus, quo lumine vultus ejus juxta propheticum carmen incedentes, neque ad dextram declinemus, neque ad sinistram; sed per regiam eamus viam, quæ ducit ad vitam æternam. Quam nobis consequi contingat gratia et benignitate Domini et Dei et Salvatoris nostri Jesu Christi; eum quo Patri gloria, honor, potestas cum sanctissimo Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A καθαρὸς καὶ πράξει καὶ διανοίᾳ, ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ μετὰ τῶν εὐλογουμένων καὶ οὐ καταρωμένων τὴν δεξιὰν στήσεται στάσιν. Ἀντιβολήσωμεν τοιγαροῦν καὶ ἡμεῖς ποδηγὸν ἡμῶν γενέσθαι τὸν τῶν ὅλων Θεόν· ἵνα τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ κατὰ τὴν προφητικὴν πορευόμενοι μελῳδίαν, μὴ ἐκκλίνωμεν δεξιὰ ἢ ἀριστερά· ἀλλὰ τὴν βασιλικὴν ὁδὸν ὁδεύσωμεν, τὴν ἀπάγουσαν εἰς τὴν αἰώνιον ζωήν. Ἧς ἐπιτυχεῖν ἡμᾶς γένοιτο χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

FRAGMENTUM IN LUCAM.

(Ang. Mai, *Vet. Script. nova Collectio*, t. IX, p. 666.)

Cap. VI, v. 23. Quemadmodum in corpore validus feliciterque corpulentus, et pro firma valetudine eo ipso superbit, gaudens voluptate ex sano corpore nata, neque eum aeris intemperies, nec æstus, nec frigus, nec frugalis mensa, nec quidlibet aliud hujusmodi commovere posset, bona valetudine istas injurias repellente, sic evenit de animo; ideo Paulus plurima mala passus, lætabatur sic dicens [68]: Lætor in malis quæ fero vestri causa, non solum in regno cœlorum, ubi est virtutis merces, sed etiam in ærumnis, quandoquidem hoc est magnum pretium, aliquid pati veritatis causa; ideo apostolorum chorus surrexerunt e conventu Judæorum lætantes, non duntaxat ob regnum cœlorum, sed quia digni existimati sunt qui pro nomine Jesu contemnerentur; et hoc ipsum et propter hoc ipsum, maximus honor et corona et pretium causaque immortalis voluptatis; non leve certamen, sed violentum est certamen delationis; itaque Salomon, cum recusaret pugnam molestam, *Vidi*, inquit, *calumnias sub sole factas, et ecce erant lacrymæ falso accusatorum, et non erat qui eos solaretur* [69]; si vero certamen magnum, ut est reipsa, manifestum est coronam propositam magnam esse; ideo Christus jubet sic certantes gaudere ac exsultare, cum justa patientia.

B Ὥσπερ γὰρ ἐν τῷ σώματι ὁ ὑγιαίνων καὶ εὐσωμάτων, καὶ πρὸ τῆς τρυφῆς αὐτῷ τούτῳ τρυφᾷ, συγκεκληρωμένην ἔχων τῇ ὑγείᾳ τὴν ἡδονήν, καὶ οὔτε ἀέρων αὐτὸν ἀνωμαλίαι, οὔτε αὐχμὸς οὔτε κρυμὸς, οὔτε εὐτέλεια τραπέζης, οὐκ ἄλλο τι τῶν τοιούτων λυπῆσαι δύναιτ' ἄν, ἀρκούσης τῆς ὑγιείας τὴν ἐκ τούτων διακρούσασθαι βλάβην, οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἰώθε· διὰ τοῦτο καὶ Παῦλος μυρία πάσχων δεινὰ, ἔχαιρεν οὕτω λέγων· Χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν οὐ μόνον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ᾗ ἔπαθλον κεῖται τῆς ἀρετῆς, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἐπεὶ καὶ τοῦτο μέγιστον ἔπαθλον, τὸ ὑπὲρ ἀληθείας τι παθεῖν· διὰ τοῦτο καὶ ὁ χορὸς τῶν ἀποστόλων ἐπανῆεσαν ἐκ τοῦ συνεδρίου τῶν Ἰουδαίων, χαίροντες, οὐ διὰ τὴν βασιλείαν μόνον C τῶν οὐρανῶν, ἀλλ' ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ ἀτιμασθῆναι· καὶ αὐτὸ γὰρ τοῦτο καὶ καθ' ἑαυτὸ, μεγίστη τιμὴ καὶ στέφανος καὶ βραβεῖον καὶ ἡδονῆς ὑπόθεσις ἀμαράντου· οὐ μικρὸς ἆθλος, ἀλλὰ καὶ σφόδρα μέγας οὗτος ὁ τῆς συκοφαντίας ἐστί· διὸ καὶ Σολομὼν τὸ τραχὺ τοῦ ἀγῶνος παραστῆσαι βουλόμενος, *Εἶδον*, φησὶ, *τὰς συκοφαντίας τὰς γινομένας ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἦν αὐτοὺς ὁ παρακαλῶν*· εἰ δὲ μέγας ὁ ἀγὼν, ὥσπερ οὖν μέγας, εὔδηλον ὅτι καὶ ὁ κείμενος ἐπὶ τούτῳ στέφανος, μείζων· διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει χαίρειν καὶ σκιρτᾷν τοὺς τοῦτον ἀγωνιζομένους τὸν ἀγῶνα, μετὰ τῆς προσηκούσης ὑπομονῆς.

[68] II Cor. VII, 6. [69] Eccle. IV, 1.

Digitized by Google

HESYCHIUS

HIEROSOLYMITANUS PRESBYTER

NOTITIA.

I. (Ex Fabric. *Biblioth. Græca*, t. VII, p. 548 edit. Harless.)

Hesychius, presbyter Hierosol. (*a*), quem Theophanes, pag. 71, ad annum Theodosii Jun. VII, scribit διδασκαλίαις sive Litterarum sacrarum doctrina floruisse, ejusque obitum refert, pag. 79, ad annum Theodosii XXVI, Christi 433. Eumdem Græci in Menologio 28 Martii scribunt exhausisse fontes omnes scientiæ et sapientiæ, et omnem Scripturam interpretatum esse ac perspicue explicasse, atque ad multorum utilitatem proposuisse. Ejusdem meminit Cyrillus in Vita S. Euthymii. Confer Henschenium tom. III, ad 28 Martii, pag. 713. De Hesychii Hierosol. scriptis non repetam quæ erudite Labbeus Caveusque. Tantum notabo I.) στιχηρὰν ejus sive κεφάλαια *in XII prophetas* minores cum Latina versione sua edidisse Conradum Rittershusium in Asse fatidico, sive XII prophetis, metaphrasi Latina donatis, Ambergæ, 1604, 8. Confer de illis κεφαλαίοις Richardi Simonis Epistolas criticas, Gallice excusas, Basileæ, pag. 75 seq. Laudantur et ejus *Scholia in Ezechielem* ac *Jobum*, atque Conradus Clauserus Præf. ad Procopium Gazæum in Pentateuchum : *Utinam*, inquit, *haberemus Hesychii Scholia in Ezechielem atque adeo omnes prophetas. Incredibile dictu est quantum lucis accessurum esset propheticæ lectioni.* Minores prophetas cum commentariis Theodoreti et Hesychii exstare in codice regis Paris. 1892 testatur Montfauconus, pag. 316 Palæographiæ Græcæ. II.) Hesychium Hierosol. *in Psalmos* e ms. Veneto edere promisit Anselmus Bandurius, et codicis illius initio mutili, meminit laudatus Montfauconus in Diario Italico, pag. 46. Habeo et ipse Homilias quasdam Græcas mss. in Psalmos (*b*), quas alii codices Chrysostomo, alii rectius He-

Ἀβύσσους δὲ τὰ πλήθη τῶν ὑδάτων λέγει, ἅπερ ἐν ἀποκρύφοις ὑπὸ τὴν γῆν ὁ Δημιουργὸς ἔταξεν, ὥστε καὶ κατὰ τοῦτο τὴν αὐτοῦ σοφίαν θαυμάζεσθαι. Ὥστε τὴν ξηρὰν ἐπάνω τῆς ὑγρᾶς ἐθεμελίωσε, καὶ τὸ βαρὺ ὑπὸ τοῦ ἐλαφροτέρου βαστάζεσθαι δέδωκεν.

« Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν. »

Ὥστε μάτην τῆς τοῦ σώματος ἰσχύος ἐπιμελούμεθα, εἰκῇ δὲ δύναμιν ἑαυτοῖς τὴν ἀπὸ συγγενῶν, καὶ φίλων, καὶ πλούτου περιβάλλομεν· οὐδὲν ἕτερον γὰρ σῶσαι δίχα τῆς συνεργείας τῆς ἄνωθεν δύναται. Ὑπόδειγμα δὲ τὸν Γολιὰθ καὶ τὸν Φαραὼ λάμβανε. Ὁ μὲν γίγας ὑπάρχων ἰσχυρὸς, ἀπὸ τοῦ Δαβὶδ ἁπλοῦ παιδαρίου νενίκηται· ὁ δὲ μετὰ πλήθους ἁρμάτων τὸν Ἰσραὴλ διώξας τάφον ἔσχε τὴν θάλασσαν.

ΨΑΛΜΟΣ ΛΓ'.

« Δεῦτε, τέκνα, ἀκούσατέ μου. »

Δεῦτε, λέγει τοῖς ἐγγὺς, καὶ τοῖς πόρρωθεν, ἵν' οἱ μὲν μακρὰν ἐγγίσωσιν, οἱ δὲ ἐγγὺς ἐγγύτερον γένωνται, ὑπακοὴν ὡς πατρὶ τῷ Θεῷ προσκομίζοντες, καὶ φόβον θεῖον διδαχθῶσιν, ἀπαλλαγὴν τοῦ φόβου τῶν δαιμόνων παρέχοντα, ὅθεν ἐπιφέρει· *Φόβον Κυρίου διδάξω ὑμᾶς.*

ΨΑΛΜΟΣ ΛΔ'.

« Ψαλμὸς τῷ Δαβίδ. »

Δῆλη μὲν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ· εἰς Δαβὶδ δὲ ὅμως τὸν νοητὸν ἀναφέρεται, ὃς καὶ προσευχῆς ὑποκρίνεται ῥήματα, οὐ τῇ ἀξίᾳ ταύτῃ τῆς θεότητος, ἀλλὰ τῇ ταπεινώσει τῆς ἀνθρωπότητος προσήκει λογίζεσθαι. Εἰ γὰρ ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, εἰκότως ἐν τῷ καιρῷ τοῦ πάθους προσεύχεται, ὁμοῦ καὶ προσεύχεσθαι διδάσκων ἐν ταῖς θλίψεσι.

Digitized by Google

« Δίκασον, Κύριε. »

Τοὺς μὲν ἀδικοῦντας Ἰουδαίους λέγει, δαίμονας δὲ τοὺς πολεμοῦντας· οἵτινες δι' ἡμᾶς τὸν Χριστὸν ἐπολέμησαν. Τούτους πολεμηθῆναι, τουτέστι καταργηθῆναι, βούλεται.

« Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει. »

Εἰς Ἰούδαν τὸν προδότην τοῦτο, ἀλλὰ μὴν καὶ εἰς τὸν λαὸν τῶν Ἰουδαίων, ἔτι δὲ καὶ εἰς αὐτὸν τὸν διάβολον εἴρηται. Ὁ μὲν γὰρ Ἰούδας εἰς τὴν παγίδα τῆς ἀγχόνης ἐνέπεσεν· ὁ δὲ λαὸς τῶν Ἰουδαίων, παγιδεύειν νομίσας, παγιδεύεται, καὶ ὑπὸ τὴν αὐτοῦ συνελήφθη θήραν. Ὡσαύτως ὁ διάβολος, τὴν παγίδα τοῦ σταυροῦ μελετήσας, διὰ τοῦ σταυροῦ τῆς ἑαυτοῦ βασιλείας ἐξέπεσεν.

« Ἀνταπεδίδοσάν μοι πονηρά. »

Ἑαυτῷ γὰρ τὴν τῶν Ἰουδαίων ἀκαρπίαν, ὡς οἰκοδεσπότης καὶ γεωργὸς, ἐλογίζετο.

« Ὡς πλησίον, καὶ ὡς ἀδελφόν. »

Τὴν πρὸς τὸν Ἰούδαν λέγει συμπάθειαν, ὅπως αὐτῷ καὶ τὸ γλωσσόκομον βαστάζειν, καὶ μόνον συμβάπτειν εἰς τρυβλίον ἐπέτρεψεν, ὡς ἀδελφὸν καὶ πλησίον. Ἀδελφὸς εὐαρεστῶν, τουτέστιν ἀρέσκων αὐτῷ, καὶ καλῶς ἐν ἅπασι χρώμενος.

« Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ. »

Ἴσως μὲν καὶ τοὺς ὀδόντας ἐξ ὠμότητος ἔβρυχον, μονονουχὶ μάσασθαι τὸν Ἰησοῦν βουλόμενοι. Πλὴν βρυγμὸς ὀδόντων καὶ ἡ κακία ἡ ἐν λόγοις λέγεται. Τὸν Πατέρα οὖν ἐβούλετο μάρτυρα κατὰ τῶν εἰς αὐτὸν βλασφημούντων ἐσόμενον. Ὅθεν ἐπιφέρει· *Κύριε, πότε ἐπόψῃ;*

ΨΑΛΜΟΣ ΛΕ'.

« Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν. »

Οὐχ ἁπλῶς παράνομον, ἀλλὰ τὸν ὑποκριτὴν καὶ δόλιον ὁ ψαλμὸς ὑποτίθεται, τὸν πολὺν ἐν τῇ ψυχῇ βόρβορον παρανομίας ἔχοντα, καὶ διὰ τοῦτο λέγοντα ἐν ἑαυτῷ τοῦ ἁμαρτάνειν ἀποτιθέμενον. Διὰ τί δὲ, *ἐν ἑαυτῷ*, λέγει; Ἐπειδὴ ταῦτα λογίζεται ἅπερ φανερῶς εἰπεῖν ἢ φοβεῖται ἢ αἰσχύνεται.

« Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου. »

Οἶκος τοῦ Θεοῦ, τὸ σῶμα αὐτοῦ, *πιότης* τὸ ἐκχυθὲν ἀπὸ τῆς πλευρᾶς αἷμα καὶ ὕδωρ, ἐξ οὗπερ οἱ πιστοὶ πάντες μέθην σωτήριον ἐμεθύσθημεν. *Χείμαρρος* γὰρ *τρυφῆς* τὰ τοῦ Χριστοῦ πάθη. Χείμαρρος μὲν, ἐπειδὴ ἐν ἀκμῇ τοῦ χειμῶνος τῆς ἡμετέρας ἁμαρτίας ἐπράττετο, ὅτε πᾶσα μὲν ἀρετὴ, ἀγάπη δὲ μάλιστα ἡ πρὸς Θεὸν ψυγήσασα ἐνενέκρωτο. Ὥστε τὸν προφήτην Ζαχαρίαν περὶ τῆς ἡμέρας τοῦ σταυροῦ λέγειν· *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς· ψύχος καὶ παγετὸς ἔσται· ἡμέρα μεγάλη ἐστί.* Τρυφῆς δὲ εἰκότως; ἐλέγετο. Σφόδρα γὰρ ὁ Χριστὸς ἐνετρύφα τοῖς ὑπὲρ ἡμῶν πάθεσιν, τοῦ τε διαβόλου καταπαίζων, καὶ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡδόμενος. Τοῦτον ἡμᾶς τὸν χειμάρρουν τῆς τρυφῆς μυστικῶς ποτίζει. Τὸ γὰρ τοῦ Δεσπότου πάθος μαρτύριον τοῖς δούλοις γεγένηται.

[8] Zach. XIV, 16.

A

Vers. 1. « Judica, Domine. »

Nocentes quidem Judæos intelligit; dæmones vero oppugnantes, qui propter nos Christum oppugnabant. Hos expugnari, hoc est, eorum conatus irritos fieri cupit.

Vers. 8. « Veniat illi laqueus quem ignorat. »

In Judam proditorem, necnon in populum Judæorum, atque insuper in diabolum ipsum, hoc dictum est. Nam Judas quidem in laqueum colli incidit: populus vero Judæorum, cum illaqueare putaret, illaqueatur, et sua ipsius captura comprehensus est. Similiter quoque diabolus, cum laqueum crucis excogitasset, per crucem regno suo excidit.

Vers. 12. « Retribuebant mihi mala. »

B Judæorum enim sterilitatem sibi ipsi ascribebat, tanquam paterfamilias et agricola.

Vers. 14. « Quasi proximum, et quasi fratrem. »

Affectum in Judam ostendit, ut eidem marsupium concrederet, et eum solum manum intingere secum in catino, ceu fratrem et proximum, permitteret. Frater complacens, id est, placens illi dicitur, et ejus opera in omnibus utens.

Vers. 16. « Tentaverunt me, subsannaverunt me subsannatione. »

Fortassis etiam ex immanitate dentibus frenduerunt, tantumnon Jesum mandere volentes. Cæterum stridor dentium etiam malitia sermonum nuncupatur. Hinc Patrem testem volebat esse contra

C eos qui adversus ipsum blasphemabant. Unde subjungit: *Domine, quando respicies?*

PSALMUS XXXV.

Vers. 2. « Dixit injustus ut delinquat. »

Non simpliciter injustum, sed hypocritam et dolosum hic psalmus proponit, eum scilicet qui multum in anima iniquitatis cœnum contineat; et idcirco inducit dicentem in semetipso, quod delinquere statuat. Sed cur dixit, *In semetipso?* Quoniam ea secum animo versat, quæ palam proferre vel timet vel erubescit.

Vers. 9. « Inebriabuntur ab ubertate domus. »

Domus Dei, corpus ejus est; *ubertas*, sanguis et aqua quæ e latere ejus effluxit, ex qua fideles omnes salutari ebrietate inebriati sumus. *Torrens* enim

D *voluptatis*, fuere Christi pœnæ. Torrens quidem, quoniam in media hieme peccatorum nostrorum contigere, quando virtus omnis, et præcipue charitas in Deum, frigida effecta, jam exstincta erat; ita ut Zacharias propheta de die crucis dicat: *In die illa non erit lux; frigus et gelu erit: dies magna est* [8]. Voluptatis autem merito dicebatur: valde enim Christus deliciabatur, cum pro nobis pateretur, diabolo illudens, et de salute hominum gaudens. Hoc torrente voluptatis mystice nos potat: nam Domini perpessio, martyrium servis facta est.

Digitized by Google

PSALMUS XXXVI.

VERS. 29. « Junior fui. »

Pulchre nos judicii memores facit, ne, rerum quæ hic fiunt, confusionem videntes, virtutem negligamus, viso probos viros apud homines esse inglorios, et afflictionibus vexari. Non enim derelinquet eos Deus, hoc est, non despiciet ; sed in futurum sæculum eos servat, ubi infinita est bonorum retributio.

PSALMUS XXXVII.

VERS. 3. « Quoniam sagittæ tuæ infixæ sunt. »

Non temere pro ipso genere humano etiam Christus hæc petit a Patre suo. Sed quoniam, inquit, quæ in eos intorta erant jacula, hoc est, quæcunque plagæ propter Adam communem naturam invaserant, in me infixæ sunt. Nam cum ego pro genere humano peccata susceperim, necessario etiam pro illis subeo disciplinam. Et ideo confirmasti super me manum tuam correptricem, de qua Job ait : *Manus Domini tetigit me* [1].

PSALMUS XXXVIII.

VERS. 2. « Dixi : Custodiam vias meas. »

Decet hoc omnem prophetam et doctorem proprias vias custodire, scilicet actionum cursus et ingressus, ita ut non declinet in vitium, non aberret in lingua, dum dictis agat contraria. Vere enim lingua peccat, qui quod verbo vitium coarguit, opere astruit ; ex quo illud consequitur, ut vitæ suæ instituto doctrinam ementiatur.

VERS. 3. « Obmutui, et humiliatus sum. »

Vides quomodo primum per inobedientiam obmutuit, et cum obmutuit, humiliatus est. Nihil enim æque hominem deprimit ac stupor sensuum, et deinde inobedientia. Aut etiam propterea siluit, quoniam a bonis, hoc est a meditatione legis, quæ boni magistra est, cessavit. Unde non immerito renovatus est dolor peccati : siquidem vulnus a peccato illatum gravius est, cum a legis meditatione nos ipsos subducimus. Fit quoque depascens ulcus, tanquam nullo a divinis præceptis apposito medicamento. Et ideo non stetit in silentio, sed cum se collegisset, ipsum abjecit, tanquam rem animæ perniciem afferentem. Hoc igitur ostendens, subjunxit : *Concaluit cor meum.*

PSALMUS XXXIX.

VERS. 10. « Annuntiavi justitiam. »

Magnam vocat Ecclesiam, non solum quod multorum hominum congregationem complectatur ; sed multo magis, quod alta sublimiaque theologiæ dogmata capere valeat. Labia autem et oculi Ecclesiæ figurate accipi possunt celebres illi apostoli, et post ipsos omnes doctores, quos reliquum corpus Ecclesiæ non solum non prohibet annuntiare Christum, qui ipsa justitia est ; sed magis excitat, convenientem ipsis operam præstans.

[1] Job XIX, 21.

ΨΑΛΜΟΣ ΛΣ'.

« Νεώτερος ἐγενόμην. »

Καλῶς ἡμᾶς ἀναμιμνήσκει τῆς κρίσεως, ἵνα μὴ πρὸς τὴν ἐνταῦθα θεωρήσαντες σύγχυσιν, ἀρετῆς ἀμελήσωμεν· ὁρῶντες τοὺς ἐν ἀρεταῖς, ἐν ἀδοξίᾳ τῇ παρὰ ἀνθρώποις, καὶ πόνοις τυγχάνοντας. Οὐκ ἐγκαταλείψει γὰρ αὐτοὺς ὁ Θεὸς, τουτέστιν οὐχ ὑπερόψεται· φυλάττει δὲ αὐτοὺς εἰς τὸν αἰῶνα τὸν μέλλοντα, ἔνθα τῶν ἀγαθῶν ἡ δόσις ἀτελεύτητος.

ΨΑΛΜΟΣ ΛΖ'.

« Ὅτι τὰ βέλη σου ἐνεπάγησαν. »

Οὐ μάτην ὁ Χριστὸς καὶ ταῦτα τῷ Πατρὶ αὐτοῦ ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων προσεύχεται. Ἀλλ' ἐπειδὴ τὰ κατ' αὐτῶν βέλη, φησὶν, ὅσας πληγὰς διὰ τὸν Ἀδὰμ ἐπῆλθεν κατὰ τῆς κοινῆς φύσεως, ἐμοὶ ἐνεπάγησαν. Ἐπειδὴ γὰρ ἐγὼ τὰς ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων ἁμαρτίας ἀνέλαβον, ἀναγκαίως καὶ τὰς ὑπὲρ αὐτῶν παιδείας ὑφίσταμαι. Διὸ καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου τὴν παιδευτικὴν, περὶ ἧς Ἰὼβ ἔλεγε· *Χεὶρ Κυρίου ἡ ἁψαμένη μού ἐστιν.*

ΨΑΛΜΟΣ ΛΗ'.

« Εἶπα· Φυλάξω τὰς ὁδούς μου. »

Παντὶ τοῦτο προφήτῃ καὶ διδασκάλῳ πρέπει, τὰς οἰκείας φυλάττειν ὁδοὺς, δηλαδὴ τοὺς δρόμους καὶ τὰς πορείας τῶν πράξεων, ὥστε μὴ ἐκκλῖναι εἰς κακίαν, μηδ' ἁμαρτάνειν ἐν γλώσσῃ, ἐναντία τοῖς ἑαυτοῦ λόγοις διαπραττόμενον. Ἁμαρτάνει γὰρ ἀληθῶς τῇ γλώττῃ ὁ τῷ λόγῳ κατηγορῶν τῆς κακίας, ἔργῳ δὲ ταύτην συνιστῶν, ἀφ' ὧν αὐτὴν μετέρχεται, καὶ τὴν ἑαυτοῦ διδασκαλίαν τῇ πολιτείᾳ ψευδόμενος.

« Ἐκωφώθην, καὶ ἐταπεινώθην. »

Ὁρᾷς ὅτι πρῶτον διὰ παρακοῆς ἐκωφώθη, καὶ κωφωθεὶς ἐταπεινώθη. Οὐδὲν γὰρ οὕτω ταπεινοῖ τὸν ἄνθρωπον ὡς ἀναισθησία, καὶ παρακοὴ μετὰ τοῦτο. Ἢ καὶ διὰ τοῦτο ἐσίγησεν, ἐξ ἀγαθῶν, τῆς μελέτης δηλαδὴ τοῦ νόμου, τοῦ ἀγαθοῦ διδασκάλου, παυσάμενος. Ὅθεν ἀνεκαινίσθη εἰκότως τὸ τῆς ἁμαρτίας ἄλγημα· βαρύτερον γὰρ τὸ συμβὰν ἐξ ἁμαρτίας ἡμῖν τραῦμα, ὅταν τῆς τοῦ νόμου μελέτης ἑαυτοὺς ἀποστήσωμεν. Γίνεται καὶ νόμων ὥσπερ οὐδενὸς ἀπὸ τῆς θείας ἐντολῆς ἐπιτιθεμένου φαρμάκου ἡ σηπεδὼν ὑφίσταται. Διόπερ οὐκ ἐπέμενεν τὴν σωπὴν, ἀλλ' ἀνανήψας αὐτὴν, ὡς ψυχοφθόρον ἀπώσατο. Δηλῶν τοῦτο, τοιγαροῦν ἐπήγαγεν· *Ἐθερμάνθη ἡ καρδία μου.*

ΨΑΛΜΟΣ ΛΘ'.

« Εὐαγγελισάμην δικαιοσύνην. »

Μεγάλην φησὶν Ἐκκλησίαν, οὐ μόνον τὴν σύστημα πολυάνθρωπον ἔχουσαν, ἀλλὰ καὶ πολλῷ μᾶλλον τὴν τὰ ὑψηλὰ καὶ μεγαλοπρεπῆ δόγματα τῆς θεολογίας παραδέξασθαι δυναμένην. Χείλη δὲ τῆς Ἐκκλησίας, καὶ οἱ ὀφθαλμοὶ τροπικῶς ληφθεῖεν ἂν οἱ πανεύφημοι ἀπόστολοι, καὶ πάντες οἱ μετ' ἐκείνους διδάσκαλοι, οὓς τὸ λοιπὸν σῶμα τῆς Ἐκκλησίας, οὐ μόνον οὐ κωλύει τὴν αὐτοδικαιοσύνην εὐαγγελίζεσθαι τὸν Χριστὸν, ἀλλὰ καὶ μᾶλλον παρορμᾷ τὴν ἀνάλογον συνεργίαν αὐτοῖς παρεχόμενον.

Digitized by Google

ΨΑΛΜΟΣ Μ'.

« Εἰς τέλος. »

Εἰ καὶ πολλάκις τοὺς ψαλμοὺς ὁ Προφήτης *εἰς τὸ τέλος* ἐπέγραψε, δεῖ δὲ νομίζειν ὅμως, ὡς οὐ μάτην τοῦτον ἑκάστῳ τῶν ψαλμῶν τὸν τίτλον ἐπιτίθησι. Τίς δὲ νῦν ἡ αἰτία; Ἐπειδὴ τὰ πρὸς τῷ τέλει τῆς οἰκονομίας τοῦ Χριστοῦ διαλέγεται, ὃν Δαβὶδ οὐ μόνος ὁ προφήτης οὗτος, ἀλλὰ καὶ ἄλλος ἐκάλεσεν, Ὡσηὲ δὲ οὗτος· *Μετὰ ταῦτα*, φησὰς, *ἐπιστρέψουσιν υἱοὶ Ἰσραὴλ, καὶ ζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν*· καίτοι Δαβὶδ πρὸ πολλῶν γενεῶν τοῦ προφήτου τούτου τελευτήσας ἐτύγχανεν· ἐν ἡμέραις γὰρ Ἐζεκίου τοῦ βασιλέως τὴν προφητείαν ἐξέθετο. Ἀλλὰ τὸν νέον λέγει Δαβὶδ, πρὸς ὃν οἱ σωθέντες ἐπέστρεψαν.

« Κύριος βοηθήσαι αὐτῷ. »

Εὕρηται καὶ μέχρι τοῦ παρόντος πολλάκις ἡ τῆς προφητικῆς ἐπαγγελίας ἀλήθεια. Πολλοὶ γὰρ νοσηλευόμενοι, καὶ χαλεπῶς κάμνοντες, εἶτα κενώσαντες εἰς τοὺς πτωχοὺς καὶ πένητας τὸν πλοῦτον, εὐθὺς μετεβλήθησαν πρὸς τὸ κρεῖττον. Εἰ γὰρ κἀπὶ τῆς μελλούσης ἡμέρας καταχαυχᾶται ἔλεον κρίσεως, τί θαυμαστὸν, εἰ κἀνταῦθα τὸν προσδοκώμενον θάνατον ὁ δαψιλὴς ἔλεος ἀνατρέπει, καὶ πρὸς ῥῶσιν μεταβάλλει; Πλὴν ἔστι καὶ τῆς ψυχῆς ἀῤῥωστία, λαμβανομένη κατὰ τὸν ἔνδοθεν ἄνθρωπον, καθ' ἣν ἀνειμένας ἔχουσα χεῖρας, ἤτοι τὰς πρακτικὰς δυνάμεις. Εὑρίσκεται καὶ γόνατα παραλελυμένα, καὶ διὰ τοῦτο μὴ δυνάμενα πορεύεσθαι τὴν ἀπάγουσαν ὁδὸν πρὸς ζωήν. Τηνικαῦτα γὰρ οἱονεὶ τὴν ψυχὴν δυσφορήτῳ ὥσῳ τῆς ῥᾳστώνης κατεχομένην, καὶ διὰ τοῦτο πρὸς τὸν θάνατον τῆς ἁμαρτίας ἐπειγομένην, ἡ πρὸς τοὺς πτωχοὺς ἐλεημοσύνη ἐξιᾶται καὶ μεταβάλλει. Διόπερ ἀμέσως ἐπήγαγεν· *Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.*

« Σὺ δὲ, Κύριε, ἐλέησόν με. »

Οὐ διὰ τὸ πεπονθέναι τὸν θάνατον παρ' αὐτῶν, ἐφιέμενος αὐτοῖς ἀνταποδοῦναι τὴν τιμωρίαν τοῦτό φησιν (αὐτὸς γὰρ ἔλεγεν ἐν τῷ καιρῷ τοῦ σταυροῦ, *Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν*)· ἀλλ' ἐπειδὴ τὴν ἀπροσωπόληπτον καὶ δικαίαν κρίσιν τοῦ Πατρὸς ἔβλεπε καταψηφιζομένην τοῖς μιαιφόνοις, τούτου χάριν, ὡς τῷ Θεῷ καὶ Πατρὶ ταυτουργεῖς, εἶπε· *Καὶ ἀνταποδώσω αὐτοῖς* ἵνα δείξῃ μίαν ἐπ' ἀμφοῖν τὴν ἐνέργειαν. *Οὐδὲ γὰρ δύναται ὁ Υἱὸς*, φησὶ, *ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν.* *Ἃ γὰρ βλέπει τὸν Πατέρα ποιοῦντα ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ*· τὴν ταυτοβουλίαν καὶ ταυτουργίαν ἐντεῦθεν ἑκατέρων παρεμπεδῶν.

ΨΑΛΜΟΣ ΜΑ'.

« Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. »

Ψαλτῳδοὶ καὶ οὗτοι, ψαλμοὺς παρὰ τοῦ Δαβὶδ, οὓς αὐτὸς προσφήτευσε, δανειζόμενοι. *Εἰς σύνεσιν* δὲ ἴσως ὁ ψαλμὸς ἐπιγράφεται, ἐπειδὴ πρόγονος αὐτοῖς ὁ Κορὲ ἐγεγόνει παράνομος, ὁ τῷ Μωσῇ μετὰ Δαθὰν καὶ Ἀβειρὼν ἐπαναστάς. Οὗτοι δὲ πάντως τὸν πρόγονον οὐκ ἐζήλωσαν, ἀλλ' οὐδὲ οἱ τού-

PSALMUS XL.

« In finem. »

Etsi frequenter Psalmos *in finem* inscripserit Propheta, arbitrari tamen oportet eum non temere singulis psalmis hunc titulum apposuisse. Sed quæ causa est præsentis inscriptionis? Quoniam quæ ad finem dispensationis Christi pertinent recenset: quem non solus hic Propheta, sed et alius, Davidem nominavit, nimirum Osee, qui, *Post hæc*, dixit, *revertentur filii Israel, et quærent Dominum Deum suum, et David regem suum* [10]; licet David per multas generationes ante hunc prophetam obierit: etenim in diebus Ezechiæ regis hanc prophetiam edidit; sed novum David intelligit, ad quem conversi sunt qui servati sunt.

B Vers. 4. « Dominus opem ferat illi. »

Quin et in præsens usque tempus frequenter propheticæ hujus promissionis veritas reperiri possit. Multi namque morbidi et ægre laborantes, ubi in egenos et pauperes opes suas evacuaverint, illico commutati sunt in melius. Nam si etiam in futuro die superexaltat misericordia judicium [10*]; quid mirum, si etiam hic mortem quam exspectamus pinguis miseratio avertat, et robur restituat? Cæterum est et animæ infirmitas, quæ secundum interiorem hominem accipitur, juxta quam resolutas habet manus, sive operandi vires. Reperiuntur quoque genua luxata, ideoque non valentia ambulare viam quæ ducit ad vitam. Tunc enim animam gravi velut C morbo socordiæ detentam, et per hoc ad mortem peccati adductam, eleemosyna in pauperes erogata curat et recreat. Quapropter immediate subjunxit: *Ego dixi: Domine, miserere mei, sana animam meam, quia peccavi tibi.*

Vers. 11. « Tu autem, Domine, miserere mei. »

Non quod quia mortem ab ipsis sit passus, vindictam eis referre velit, hoc dicit (ipse enim crucis tempore dixit: *Pater, dimitte illis peccatum* [11]); sed, cum sine personarum acceptione et justum Patris judicium vidisset in homicidas istos decretum, idcirco tanquam qui idem cum Deo ac Patre operetur, ait: *Et ego retribuam eis*, ut eamdem in utrisque operationem declaret. Nam *non potest*, inquit, D *Filius a se facere quidquam. Quæ enim viderit Patrem facere, hæc et Filius similiter facit* [12]: voluntatis et operationis identitatem utriusque hinc ostendens.

PSALMUS XLI.

Vers. 1. « In finem, in intellectum filiis Core. »

Psalmorum hi quoque cantores erant, qui quos David propheta psalmos fecerat, ab eo accipiebant. Psalmus vero ea forte de causa *intellectus* inscribitur, quod Core, proavus illorum, malus fuerit, simul cum Dathan et Abiron contra Moysen insurgens. Verum hi vestigia proavi non sunt secuti, sed ne-

[10] Osee, III, v. [10*] Jac. II, 13. [11] Luc. XXIII, 34. [12] Joan. V, 19

Digitized by Google

que illorum patres; unde everso omni Core concilio, illi a Core iniquitate (uti verosimile est) recedentes, servati sunt. Hoc enim tunc temporis, ne una perirent, reliquo etiam populo Moyses præceperat. Cæterum hic psalmus longe verius *In finem ad intelligentiam* inscribitur; quandoquidem baptismum præsignificat, qui ante finem post Judaicas lustrationes institutus est. Ad hunc autem accedere vere sapientia et intelligentia exsistit.

PSALMUS XLIV.

Vers. 5. « Accingere gladio. »

Gladium vocat crucem : hac enim quasi gladio utens, duos inimicos e medio sustulit, scilicet diabolum et mortem. *Femur* autem carnem a parte totum denominat; juxta illud, *Neque dux de femore ejus* [13]. Crucem igitur carni accingere hortatur vere potentem specie et pulchritudine, id est divinitate et humanitate : ut hac quidem passiones nostras assumat; illa vero passiones superet, velut expers passionis. Vel etiam benignitatem intelligere possimus speciem et pulchritudinem. Nihil enim adeo Deo convenit, ac salvare proprium figmentum. Et *intende* contra hostes, et *prospere age* respectu fidelium, *et regna* utrisque; ut hostes quidem subigas, fideles vero corones; quoniam id judicis et regis proprium est. Quin et propter veritatem Christus Judæorum hypocrisim redarguit : et propter mansuetudinem sustinuit cum tentaretur. Cæterum dextra quoque Filii Pater est, sicut Patris Filius. A Patre igitur Christus deducitur, non quod duce indigeat; sed quod quodammodo communis quædam via sit Patris Filiique circa nos dispensatio, quam Filius quidem perambulet (siquidem ipse mysterium hoc perficit), Pater vero ducatum præstet, quoniam ipsius beneplacito peractum est.

PSALMUS XLIX.

Vers. 3. « Agnus in conspectu ejus exardescet. »

Quid vero illa tempestate aut hieme vehementius? quando a conscientia nostra et a cogitationibus accusantibus, aut etiam defendentibus, quasi fluctibus agitamur.

Vers. 4. « Advocabit cœlum desursum. »

Cœlum vocat eos qui cœlestia sapiebant, de quibus dixit Paulus : *Sicut portavimus imaginem terreni, portemus et imaginem cœlestis* [14]. *Terram* vocat eos qui terrena sapiunt, qui luto et lateribus serviunt. Hos itaque congregandos asserit, ut populum suum dijudicet, et unicuique reddat secundum opera ejus [15].

Vers. 5. « Congregate illi sanctos ejus. »

De populo Judæorum hic loquitur : eos enim propter patres suos sanctos appellat, qui Dei testamentum super sacrificia legalia ordinant, ignorantes uno rationali sacrificio Deum, non pluribus irratio-

[13] Gen. XLIX, 10. [14] I Cor. XV, 49. [15] Matth. XVI, 27.

A των πατέρες, ὅθεν πάσης τῆς τοῦ Κορὲ συναγωγῆς ἀπολλυμένης, εὐφορίσαντες ἑαυτοὺς, ὡς εἰκὸς, ἐκεῖνοι τῆς τοῦ Κορὲ κακίας, ἐσώθησαν. Τοῦτο γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν, ὥστε μὴ ἀπολέσθαι, καὶ ἄλλῳ ὁ Μωϋσῆς τῷ λαῷ διετάξατο. Τὸ δὲ ἀληθέστερον εἰς τὸ *τέλος εἰς σύνεσιν* ὁ ψαλμὸς ἐπιγέγραπται, ἐπειδὴ προμηνύει τὸ βάπτισμα, ὃ πρὸς τῷ τέλει μὲν καὶ μετὰ τοὺς Ἰουδαϊκοὺς καθαρισμοὺς νενομοθέτηται. Προελθεῖν δὲ τούτῳ σοφία τις ἀληθῶς ὑπάρχει καὶ σύνεσις.

ΨΑΛΜΟΣ ΜΔ'.

« Περίζωσαι τὴν ῥομφαίαν. »

Ῥομφαίαν καλεῖ τὸν σταυρόν· αὐτῷ γὰρ καθάπερ ῥομφαίᾳ χρησάμενος, ἐχθροὺς δύο ἀνεῖλε, διάβολόν τε καὶ θάνατον. *Μηρὸν* δὲ τὴν σάρκα ἀπὸ μέρους τὸ πᾶν φησι. Ὡς τὸ, *οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ*. Ζώσασθαι τοίνυν τὸν σταυρὸν ἐν τῇ σαρκὶ τὸν ὄντως δυνατὸν τῇ ὡραιότητι καὶ τῷ κάλλει, τουτέστι τῇ θεότητι καὶ τῇ ἀνθρωπότητι παρακαλεῖ· ἵνα τῇ μὲν ἀνάσχηται τὰ περὶ ἡμῶν πάθη, τῇ δὲ τῶν παθῶν ὡς ἀπαθὴς περιγένηται. Ἢ καὶ φιλανθρωπίαν τὴν ὡραιότητα καὶ τὸ κάλλος νοήσαιμεν. Οὐδὲν γὰρ οὕτως εὐπρεπὲς τῷ Θεῷ, ὡς τὸ σῶσαι τὸ ἴδιον πλάσμα. Καὶ *ἔντεινε* κατὰ τῶν ἐχθρῶν, καὶ *κατευοδοῦ* κατὰ τῶν πιστῶν, *καὶ βασίλευε* ἑκατέρων, ἵνα τοὺς μὲν ὑποτάξῃς τοὺς ἐχθροὺς, τοὺς δὲ στεφανώσῃς τοὺς πιστούς. Τοῦτο γὰρ κριτοῦ καὶ βασιλέως ἴδιον. Ἀλλὰ καὶ ἀληθείας ἕνεκεν ὁ Χριστὸς τὴν τῶν Ἰουδαίων ὑπόκρισιν ἔλεγχε, καὶ πραότητος δὲ χάριν ἐκαρτέρει πειραζόμενος. Ἀλλὰ καὶ δεξιὰ τοῦ Υἱοῦ ὁ Πατὴρ, ὥσπερ τοῦ Πατρὸς ὁ Υἱός. Παρὰ τοῦ Πατρὸς τοίνυν ὁ Χριστὸς ὁδηγεῖται, οὐχ ὁδηγοῦ χρῄζων, ἀλλ' ὥσπερ κοινὴν ὁδὸν εἶναι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν καθ' ἡμᾶς οἰκονομίαν ἣν ὁδεύει μὲν ὁ Υἱὸς (οὗτος γὰρ ἐνεργεῖ τὸ μυστήριον), ὁδηγεῖ δὲ ὁ Πατὴρ, ὅτι αὐτοῦ εὐδοκίᾳ ἐπράττετο.

ΨΑΛΜΟΣ ΜΘ'.

« Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται. »

Τί δὲ ἐκείνης τῆς καταιγίδος ἢ τοῦ χειμῶνος σφοδρότερον ὅταν ὑπὸ τοῦ ἡμετέρου συνειδότος μαστιζόμεθα, καὶ ὑπὸ τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων κυμάτων δίκην τυπτόμεθα.

« Προσκαλέσεται τὸν οὐρανόν. »

Οὐρανὸν καλεῖ τοὺς φρονοῦντας τὰ οὐράνια, περὶ ὧν ἔλεγεν ὁ Παῦλος· *Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου*. *Γῆν* καλεῖ τοὺς φρονοῦντας τὰ γήϊνα, τοὺς τῷ πηλῷ καὶ τῇ πλινθίᾳ δουλεύοντας. Τούτους τοίνυν συναγαγεῖν ἐπαγγέλλεται, ἵνα τὸν ἑαυτοῦ διακρίνῃ λαὸν, καὶ ἑκάστῳ ἀποδῷ κατὰ τὰ ἔργα αὐτοῦ.

« Συνάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ. »

Περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐνταῦθα διαλέγεται· τούτους γὰρ ὁσίους διὰ τοὺς πατέρας καλεῖ, οἵτινες τοῦ Θεοῦ τὴν διαθήκην ἐπὶ θυσίαις ταῖς νομικαῖς ὁρίζονται, ἀγνοοῦντες ὅτι θυσίᾳ μιᾷ ὁ Θεὸς τῇ λογι-

Digitized by Google

κῇ, οὐχὶ ταῖς πολλαῖς ταῖς ἀλογίστοις ἀρέσκεται. Διόπερ καὶ συνελθεῖν αὐτοὺς, ὥστε τοῦτο διδαχθῆναι προσέταξεν.

« Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε. »

Ἠπίστουν ἴσως ταῦτα οἱ τῶν Ἰουδαίων παῖδες ἀκούοντες, καὶ ἠπόρουν εἰ τὸ παντελῶς συμβῆναι δυνήσεται, νῦν δὲ ἔργον ὁ λόγος ὤφθη· οὐκέτι γὰρ αὐτῶν ἐνεργοῦσιν αἱ θυσίαι τοῦ ναοῦ λυθέντος, πεπτωκότος τοῦ βωμοῦ, καὶ πάσης τῆς ἐπ' αὐτοῦ πολιτείας διαφθαρείσης, ἀλλὰ μὴν καὶ τῆς πόλεως, ἔνθα ἔδει μόνον τὰς θυσίας τὰς κατὰ νόμον πράττεσθαι. Οὐ χρῄζω, φησὶ, θυσιῶν ἀλόγων, ἐπεὶ τί τὸ κωλύον τὰ θηρία καὶ τὰ κτήνη προσφέρεσθαι; Ἴσως δὲ *θηρία καὶ κτήνη* τὰ ἔθνη λέγει· *βόας* τοὺς ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων πιστεύσαντας λέγει, ὧν τὴν προσφορὰν κεχτημένος οὐκέτι τὰ παρὰ τοῦ λαοῦ τῶν Ἰουδαίων, ὡς περιττὰ προσδέχεται· περὶ γὰρ αὐτῶν καὶ τὰ ἑπόμενα λέγεται.

Πετεινὰ δὲ τοῦ οὐρανοῦ τοὺς παρθενίαν φιλοσοφοῦντας ἢ ἐγκράτειαν νόησον· ἐπειδήπερ ἄνω περὶ τὸν οὐρανὸν, ἵνα τοῖς ἀγγέλοις φιλοσοφοῦντες, ἵπτανται.

Αὐτὴν τὴν Ἐκκλησίαν λέγει *ὡραιότητα τοῦ ἀγροῦ*, δηλαδὴ τοῦ κόσμου τυγχάνουσαν· εὐπρεπὴς γὰρ ἐγένετο τῇ τοῦ βαπτίσματος χάριτι· ὅθεν οὐκ εἶπεν, *παρ' ἐμοί ἐστιν*, ἀλλὰ, *μετ' ἐμοῦ ἐστιν*, ὡς νύμφῃ νυμφίου· τούτου γὰρ εἶναι ἡ Ἐκκλησία τοῦ Χριστοῦ νομίζεται.

« Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. »

Γενοῦ, φησὶ, τοῖς ἀγγέλοις ἐφάμιλλος· μίμησαι τῇ δοξολογίᾳ τὰ Σεραφίμ· διήγησαι καθάπερ οἱ οὐρανοὶ δόξαν Θεοῦ· θῦσον θυσίαν ἥνπερ πᾶσα ἡ κτίσις προσφέρει δοξάζουσα διηνεκῶς. Ἴσως δὲ καὶ *θυσίαν αἰνέσεως* τὰς ἀρετὰς λέγει, δι' ὧν ὁ Θεὸς αἰνεῖται, τουτέστιν εὐφημεῖται καὶ δοξάζεται· μάλιστα διόπερ τοῖς ἀποστόλοις ἔλεγεν· *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάζουσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.*

Θλῖψιν δὲ τὸν πειρασμὸν, τὸν παρὰ ἀνθρώπων, ἢ τοῦ Σατανᾶ γινόμενον νόησον. Ἂν τοίνυν τότε τὸν Θεὸν ἐπικαλεσώμεθα, ἐξελεῖται· ἡμᾶς, ὥσπερ ποτὲ τὴν Σουσάναν ἐξείλετο· καὶ εἰκότως αὐτὸν παράδοξον ἡμῖν οἰκονομουμένων πραγμάτων δοξάζομεν.

« Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι. »

Τὴν ἡμέραν ὑπογραφεῖ τοῦ θανάτου, ἐν ᾗ καλούμενος ἕκαστος μετὰ τάχους ἁρπάζεται. Ὥστε χρὴ πρὸς ἀλειφὴν τῶν ἁμαρτημάτων ἰδεῖν, ἕως ἡμῖν εἰς μετάνοιαν καιρὸς δαψιλεύεται.

« Θυσία αἰνέσεως δοξάσει με. »

Τίς αὕτη καὶ ποία ὁδός; Ἡ κοινωνία τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος, ἣν αὐτὸς ἡμῖν πρῶτος ἐν τῇ Σιὼν καταρξάμενος ἔδειξεν. Ἐπειδὴ τοίνυν εἰς λύτρωσιν τῶν ἁμαρτημάτων τοῖς λαμβάνουσι δέδοται, εἰκότως ἐστὶ σωτήριον τοῦ Θεοῦ· εἰκότως δὲ καὶ ὁδὸς πῶς εἰς οὐρανὸν ὁδεῦσαι τοῖς δεῖ τρόπον προσευχομένοις δεικνύουσα.

[15] Matth. v, 16.

nalibus placari. Quare ipsos convenire jubet, ut hoc addiscant.

Vers. 8. « Non in sacrificiis tuis arguam te. »

Non credebant, uti verosimile est, Judæi hæc audientes; et addubitabant, utrum hæc omnino evenire possent; nunc vero sermo reipsa comprobatus est: non enim amplius eorum sacrificia locum habent, templo destructo, altari collapso, et universa ipsorum administratione sublata; quin etiam urbe eversa, in qua secundum legem sacrificia fieri oportebat. Non indigeo, inquit, sacrificiis irrationalibus. Ad hæc, quid feras et pecudes offerre prohibuit? Fortasse vero per *feras* et *jumenta* gentes intelligit; per *boves* autem illos qui ex Judæorum populo crediderunt; quorum oblationem consecutus, non amplius admittit dona Judæorum, utpote superflua: nam de illis sequentia dicuntur.

Volatilia vero cœli eos intellige, qui virginitatem et continentiam colunt: siquidem hi superne circa cœlum tanquam angeli intenti volant.

Pulchritudinem agri dicit ipsam Ecclesiam, ut quæ sit mundi pulchritudo: nam pulchra per baptismi gratiam facta est. Unde non dixit, *apud me est*; sed, *mecum est*, tanquam sponsa cum sponso: hujus enim, scilicet Christi, Ecclesia esse censetur.

Vers. 14. « Immola Deo sacrificium laudis. »

Esto, inquit, consors angelis; imitare glorificatione Seraphim: enarra sicut cœli gloriam Dei: immola sacrificium, quod omnis immolat creatura, dum continenter Deum laudat. Forte vero *sacrificium laudis* virtutes intelligit, per quas Deus laudatur; hoc est, benedicitur et glorificatur; præsertim cum apostolis dixerit: *Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est* [15].

Tribulationem autem intellige tentationem, quæ ab hominibus vel a Satana exsistit. Si itaque tunc Deum invocaverimus, utique eripiet nos, sicut quondam Susannam eripuit: et jure merito ipsum rebus rite peractis mirabilem prædicamus.

Vers. 22. « Intelligite hæc qui obliviscimini. »

Diem mortis describit, in qua quisque vocatus celeriter rapitur. Quare oportet, quæ ad abolenda crimina pertinent, nos cognoscere ac providere, quandiu nobis ad agendam pœnitentiam occasio exhibetur.

Vers. 23. Sacrificium laudis honorificabit me. »

Quænam et qualis est hæc via? Nimirum Dominici corporis et sanguinis communicatio, quam prius ipse nobis in Sion demonstrare cœpit. Cum ergo in redemptionem peccatorum accipientibus traditum sit, merito est salutare Dei: merito quoque via est, quæ quemadmodum in cœlum ire oporteat orantibus ostendit.

Digitized by Google

PSALMUS L.

VERS. 1. « In finem, psalmus David, cum venit ad eum Nathan propheta, quando intravit ad Bethsabee. »

Clariorem liber Regum historiam continet. Nam cum David e domo sua conspexisset Bersabee uxorem Uriæ Hettæi se lavantem, et inde in eam cupiditate exarsisset, accersens illam, cum ea concubuit : cum autem concepisset, veritus Uriam, curavit ut Urias sub duce Joab in prima acie pugnans constitueretur ; atque ita per alienigenas ipsum occidit. Propter hæc iratus Deus, misit ad illum Nathan prophetam, ut illi propter cædem et adulterium comminaretur : quo facto, David ad pœnitentiam conversus scripsit hunc psalmum, minime veritus hoc vulnus suum propalare, ut peccatoribus pœnitentiæ remedium indicaret.

Rogat deleri iniquitatem, ita ut non solum curetur vulnus, verum ne cicatrix quidem relinquatur. Quamobrem etiam miserationum multitudinem prætendit : neque enim ab una miseratione, hoc est, venia unius delicti peccator salvari potest, sed ad multa multis opus est miserationibus, ut minas et supplicium effugiamus.

Non simpliciter lavari, sed amplius rogavit, petens ut purgatio crimini seu lapsui respondeat. Nam quemadmodum vestis parum sordida facile abluitur et mundatur ; quæ vero multum et sæpius sordes contraxit, majori studio et labore extergenda est ; sic et anima, quæ semel et parva peccaverit, mediocri pœnitentia purgatur : cum vero multis et gravibus delictis sese obstrinxerit, non levi et negligenti, sed laboriosa et aspera pœnitentia indiget, cum multorum bonorum actuum operibus. Tali enim pœnitentia Deus abluit delicta nostra. Recte autem peccatum iniquitatem appellavit ; volens ostendere, ne sibi quidem, quanquam regi, legem transgredi licuisse : nam Regem omnium altissimum offendit.

VERS. 5. « Quoniam iniquitatem meam ego cognosco. »

Beatum est, cum quis proprium novit peccatum, et continenter ante oculos habet delicta sua. Nam qui cognoscit, et meminit, et oculis animi delictorum suorum vulnera intuetur, erubescit rubore suffusus ; et recordatione animam compungit, et pudore coactus ad pœnitentiam properat. Quem vero passionum suarum capit oblivio, ad alia rursus peccata (quasi nihil mali ab eo patratum sit) adducitur.

VERS. 6. « Tibi soli peccavi. »

Non quod omnes homines latuerit, ut nonnulli opinantur : non enim Bersabee ipsam, quæ adulterium commiserat ; sed nec illos qui eam regis nomine vocaverant, adulterii negotium latere potuit. Joab quoque scivit operam suam regi se præstitisse in cæde peragenda. Sed nec ipse permissum sibi

ΨΑΛΜΟΣ Ν'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ. »

Σαφέστερον τὴν ἱστορίαν ἡ βίβλος τῶν Βασιλέων κέκτηται. Τὴν Βηρσαβεὲ γὰρ Οὐρίου τοῦ Χετταίου γυναῖκα τυγχάνουσαν λουομένην ἀπὸ τοῦ δώματος τότε Δαβὶδ θεασάμενος, εἶτα ἐρασθεὶς καλέσας συνεγένετο. Ἐν γαστρὶ δὲ λαβούσης αἰσχυνθείς, τὸν Οὐρίαν, πεσεῖν ἐν τῷ πολέμῳ παρατάξαντος Ἰωὰβ τοῦ στρατηγοῦ παρεσκεύαζε πρόμαχον στῆσαι τὸν Οὐρίαν, οὕτως καὶ ὑπὸ τῶν ἀλλοφύλων ἀπέκτεινεν. Ἐπὶ τούτοις ὁ Θεὸς ὀργισθείς, Νάθαν αὐτῷ τὸν προφήτην ἀπειλοῦντα διὰ τὸν φόνον καὶ τὴν μοιχείαν ἔπεμψεν. Ὁ δὲ εἰς μετάνοιαν ὁρῶν ψαλμὸν τὸν ἐχόμενον ἔγραψεν οὐκ αἰσχυνθεὶς δημοσιεῦσαι τὸ τραῦμα, ἵνα τοῖς ἁμαρτωλοῖς ἀποδείξῃ τῆς μετανοίας τὸ φάρμακον.

Ἐξαλειφθῆναι τὴν ἀνομίαν, ὥστε μὴ μόνον ἰαθῆναι τὸ τραῦμα, ἀλλὰ μηδὲ μώλωπα περιλειφθῆναι βούλεται, ἐφ' ᾧ καὶ τῶν οἰκτιρμῶν τὸ πλῆθος προτείνει. Οὐδὲ γὰρ ἀφ' ἑνὸς οἰκτιρμοῦ, τουτέστιν, ἀπὸ συγγνώμης τῆς ἐφ' ἑνὶ παραπτώματι σωθῆναι ἁμαρτωλὸς δύναται, πολλῶν δὲ καὶ ἐπὶ πολλοῖς οἰκτιρμοῖς, ὥστε διαφυγεῖν τὴν ἀπειλὴν, καὶ τὴν κόλασιν χρῄζομεν.

Οὐχ ἁπλῶς πλῦναι, ἀλλ' ἐπὶ πλεῖον ἱκέτευσεν ἀναλόγως τῷ πταίσματι παρακαλῶν γενέσθαι τὴν κάθαρσιν. Ὥσπερ γὰρ τὸ μὲν ῥυπωθὲν συμμέτρως ἱμάτιον εὐκόλως πλύνεται καὶ καθαίρεται· τὸ δὲ ἄγαν καὶ πολλάκις, σπουδαιοτέρας χρῄζει καὶ ἐπιπόνου πλύσεως, τὸν αὐτὸν δὴ τρόπον ψυχὴ, ἡ μὲν ἅπαξ ἁμαρτηκυῖα καὶ μέτρια, συμμέτρῳ μετανοίᾳ καθαίρεται· πολλὰ δὲ ὅταν αὐτῇ καὶ χαλεπὰ ἁμαρτήματα γένηται, οὐ χρὴ πάρεργον εἶναι, ἀλλὰ μετὰ πόνου πολλοῦ καὶ πράξεων ἀγαθῶν τὴν μετάνοιαν. Ταύτῃ γὰρ ὁ Θεὸς πλύνει τὰ ἡμέτερα πταίσματα. Καλῶς δὲ τὴν ἁμαρτίαν ἀνομίαν ἐκάλεσε, δεῖξαι βουληθείς, ὅτι οὐδὲ αὐτῷ νόμον παραβαίνειν ἐξῆν, εἰ καὶ βασιλεὺς ἐτύγχανε. Βασιλεῖ γὰρ τῷ πάντων ὑψηλοτέρῳ προσέκρουσεν.

« Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. »

Μακάριον ὅταν τις οἰκείαν ἁμαρτίαν ἐπίσταται, ἐν ὀφθαλμοῖς δὲ ἔχει διαπαντὸς τὰ πταίσματα. Ὁ μὲν γὰρ γινώσκων, καὶ μεμνημένος, καὶ τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς κατανοῶν τῶν ἑαυτοῦ πταισμάτων τὰ τραύματα, αἰσχύνεται, τῇ μνήμῃ τὴν ψυχὴν νύττεται, καὶ ὑπὲρ τῆς αἰσχύνης ἀναγκασθεὶς εἰς μεταμέλειαν ἔρχεται. Ὁ δὲ λήθην παθῶν, εἰς ἕτερα πάλιν ἁμαρτήματα (ὡς μηδενὸς αὐτῷ κακοῦ πραχθέντος) προσάγεται.

« Σοὶ μόνῳ ἥμαρτον. »

Οὐχ ὅτι πάντας ἀνθρώπους ἔλαθεν, ὥσπερ τινὲς νομίζουσιν· οὐδὲ γὰρ αὐτὴν Βηρσαβεὲ τὴν μοιχευθεῖσαν, ἀλλ' οὐδὲ τοὺς κεκληκότας αὐτὴν λαθεῖν τὸ δρᾶμα τῆς μοιχείας ἠδύνατο. Ἰωὰβ δὲ τὸν φόνον ὡσαύτως τῷ βασιλεῖ συμπράξας ἐπίστατο. Ἀλλ' οὐδὲ αὐτὸς ἐν ἐξουσίᾳ τὴν ἁμαρτίαν διὰ τὴν βασιλείαν

Digitized by Google

ἐνόμιζεν. Ἀνάξιον γὰρ τοῦτο προφήτου καὶ βασιλέως εἰκότως εὐσεβοῦς ἐτύγχανεν. Ἀλλὰ *σοὶ μόνῳ ἥμαρτον*, ἔλεγεν· ἐπειδὴ μόνῳ τῷ Θεῷ μὴ ἁμαρτάνειν ἡμᾶς μέλει ὡς δημιουργῷ φειδομένῳ τοῦ πλάσματος. Ἴσως δὲ, *Καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα*· ὅτι πάντων ὡς βασιλεῖ χαριζομένων, καὶ τῇ σιωπῇ κρυπτόντων τὸ ἁμάρτημα, ὁ Θεὸς τὸν Νάθαν ἔπεμψε καὶ πονηρὰν οὖσαν τὴν πρᾶξιν ἐξήλεγξε, καὶ τίνος τοῦτο χάριν, τὰ ἑξῆς ἀκόλουθα δείκνυσιν.

« Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην. »

Ταῦτα οὐ μόνον διὰ τὸν ῥύπον τὸν ἐκ τοῦ Ἀδὰμ καταγόμενον λέγεται· αὐτοῦ γὰρ ἕνεκα ῥυπαροὶ νομιζόμεθα γίνεσθαι, ὥστε καὶ πρὶν ἐλθεῖν εἰς ἕξιν ἡλικίας καλοῦ καὶ κακοῦ δεχομένης διάκρισιν, καθάρσεως ὡς ἐκ πατέρων ἐρρυπωμένοι χρήσομεν. Τοῦτο γὰρ καὶ παρὰ τῷ Ἰὼβ εἰρημένον εὑρήσομεν· *Τίς*, φησὶ, *καυχήσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου ; ἀλλ' οὔτε βρέφος, κἂν ᾖ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ*. Πρὸς τούτοις μητέρα τῆς ἁμαρτίας τὴν ἐπιθυμίαν ἡ Γραφὴ καλεῖν ἡ θεόπνευστος εἴωθεν. Ἔγγονον δὲ πάλιν ἑκατέρας τὸν θάνατον καὶ μαρτυρεῖ ὁ Ἰάκωβος λέγων· *Ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον*. Ὥστε ὅταν ἁμαρτάνωμεν, ἐν ἁμαρτίαις συλλαμβανόμεθα.

« Ῥαντιεῖς με ὑσσώπῳ. »

Ὥσπερ καὶ ἡμεῖς ἐν τῇ δωρεᾷ τοῦ βαπτίσματος, τῷ μὲν ὕδατι πλυνόμεθα, τῷ δὲ πνεύματι λαμπρυνόμεθα.

« Ἀκουτιεῖς με ἀγαλλίασιν. »

Ταπεινοῦνται μὲν τὰ τῆς ψυχῆς ὀστέα, τουτέστιν αἱ δυνάμεις, ὑπὸ τῆς ἁμαρτίας, καὶ συντρίβονται· ἀλλὰ τῇ μετανοίᾳ σωθέντα ἀναθάλλει, καὶ εἰς τὴν χαρὰν τὴν ἀρχαίαν ἐπανέρχεται.

« Ἀπόστρεψον τὸ πρόσωπόν σου. »

Ἐὰν γὰρ μὴ παραβλέψηται ἡμέτερα πταίσματα, σωθῆναι οὐ δυνάμεθα. Πῶς, δὲ τοῦτο κατορθοῦται ; Ὅταν ἡμεῖς ἀγαθὰς πράξεις καὶ ἀρετὰς ἀσκήσωμεν, ἵνα τοῦ κριτοῦ τὸν ὀφθαλμὸν εἰς αὐτὰς μετενέγκωμεν· οὕτω γὰρ καὶ τῆς τῶν ἡμετέρων ἁμαρτημάτων θεωρίας αὐτὸν ἀποστῆσαι δυνάμεθα.

« Καὶ πάσας ἀνομίας μου ἐξάλειψον. »

Οὐ μίαν, ἀλλὰ πάσας· ἱκανὴ γὰρ καὶ ἡ μία παρεμπέμψαι πρὸς γέενναν. Μὴ τοίνυν ἡμεῖς τῆς τυχούσης ἁμαρτίας ἀμελήσωμεν. Ἐὰν γὰρ ἐσπιλωμένος, οὗτινος ἦν ῥύπου, ὁ χιτὼν εὑρεθῇ ὁ ἡμέτερος, εἰς τὸν νυμφῶνα εἰσελθεῖν τοῦ βασιλέως, ἢ πατῆσαι τὴν αὐλὴν οὐ δυνάμεθα. Τοῦτο ὁ Παῦλος ἐπισφραγίζων ἔλεγε· *Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μαλακοὶ, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι*.

« Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί. »

Οὐχ ἵνα τὴν φύσιν ἀμείψει (οὐδὲν γὰρ αὐτῇ φαῦλον ἐκέκτητο)· ἀλλ' ἵνα τὸν λογισμὸν τῆς ψυχῆς

A fuisse peccatum reputavit propter regiam dignitatem. Namque hoc indignum fuisset et prophetæ et regi, qui merito pius habebatur. Sed *tibi soli peccavi*, inquiebat : quoniam soli Deo tanquam opifici, et figmenti sui miserenti, curæ est ne peccemus. Et sic etiam illud, *Et malum coram te feci*, addidit, quoniam reliquis omnibus ei tanquam regi indulgentibus, et peccatum silentio contegentibus, Deus misit Nathan, et nefarium illud scelus reprehendit : et cur hoc fecerit sequentia declarant.

VERS. 7. « Ecce enim in iniquitatibus conceptus sum. »

Hæc non dicuntur solum propter sordes ab Adamo contractas : nam pollutos nos ejus causa nasci cognovimus, ita ut priusquam ad ætatem boni
B et mali discretricem perveniamus, quasi a parentibus contaminati purgatione indigeamus. Quin et hoc ab ipso Jobo dictum reperiemus : *Quis*, inquit; *gloriabitur mundus esse a sordibus ? sed neque infans, etsi fuerit unius diei vita ejus* [17]. Præterea peccati matrem divina Scriptura concupiscentiam appellare solet. Rursus vero mortem utriusque genitricem esse Jacobus testatur dicens : *Concupiscentia cum conceperit, parit peccatum ; peccatum vero cum consummatum fuerit, generat mortem* [18]. Quare cum peccamus, in peccatis concipimur.

VERS. 9. « Asperges me hyssopo. »

Quemadmodum et nos in baptismi dono aqua la-
C vamur, sed spiritu illustramur.

VERS. 10. « Audire me facies gaudium. »

Humiliantur quidem animæ ossa, id est vires, a peccato ; verumtamen saluti per pœnitentiam restituta florent, et in pristinam lætitiam revertuntur.

VERS. 11. « Averte faciem tuam. »

Nam nisi conniveat ad peccata nostra, salvari minime possumus. Sed quo pacto id efficitur ? Nimirum cum opera bona et virtutes exercuerimus, ut judicis oculos ad illas convertamus : ita enim illum ab intuitu delictorum nostrorum avertere possumus.

« Et omnes iniquitates meas dele. »

D Non unam, sed omnes : namque vel una satis est, ut mittat in gehennam. Ne ergo nos vel minimum peccatum negligamus : nam si vel levi macula vestis nostra sordida inventa fuerit, nec regis thalamum ingredi, nec aulam calcare poterimus. Hoc Paulus confirmans dixit : *Nolite errare : neque fornicarii, neque molles, neque avari, neque ebriosi, neque maledici, neque rapaces, regnum Dei possidebunt* [19].

VERS. 12. « Cor mundum crea in me. »

Non ut naturam mutet (nihil enim illa mali possiderat) : sed ut cogitationes animi mundet, et eluat

[17] Job. XIV, 5. [18] Jac. I, 15. [19] I Cor. VI, 9.

Digitized by Google

maculas ejus, voluptate et consiliis diaboli contractas : nam *creare* in sacris Litteris plerumque significat corrigere.

« Et spiritum rectum innova. »

Cernis prophetam orare, non ut naturam mutet, sed ut gratia adveniat, ut laboranti naturæ, ac sub peccato veterascenti, opem ferat. *Spiritum* enim *rectum* vocat, non vitalem illum qui in nobis est, sed ipsummet Spiritum Dei ; de quo in alio psalmo cecinit : *Spiritus tuus bonus deducet me in terram rectam* [20]. Hunc orat, ut in visceribus, hoc est in necessariis et maxime aptis animæ partibus, innovetur, quatenus nempe in nobis antea non perfecte habitabat, neque conquiescebat ob imbecillitatem nostram, qua perfectam gratiam suscipere minime sufficiebamus. Quamobrem petit illum renovari, ut prorsus in nobis expleatur : nam domus, quæ expletur et ornatur, eadem innovatur.

Grave est, si servus vultum Domini offendat ; uti etiam grave est, si filius patris et miles regis offensionem incurrat : nam qui hujusmodi est, extorri, reperitur : at si quis hoc in Deum fecerit, interitum sibi parat. Siquidem non solum nobis Pater ac Dominus et Rex Deus est, sed quidquid dicere potes ex iis quæ ad vitam, incolumitatem et salutem nostram pertinere possunt. Quare cum a nobis faciem averterit, statim Spiritum sanctum amittimus ; in quo omnis bonorum nostrorum proventus jacturam et detrimentum facit. Quare pro eo quod poterat dicere ; Ne auferas spiritum, *Ne denuo auferas* posuit. Quoniam qui Dei mandata custodiunt, semel experti sunt efficaciam Spiritus, quæ in nobis erat ante Adæ inobedientiam, vel per propheticam gratiam, vel per virtutem morum. Unde merito petiit Spiritum a se iterum non auferri, ne iterum ejus jacturam experiretur.

Vers. 15. « Docebo iniquos vias tuas. »

Prius quoque docuerat vias Domini, sed fortasse non docuerat iniquos, neque antequam delinqueret, doctrinam in precatione tanti faciebat, sed tum præcipue, cum in crimen delapsus resipuit, et ad pœnitentiam accurrit. Ut enim de curandis morbis loquenti potissimum creditur, si cum ægrotaverit medicinæ periculum fecerit : sic qui per pœnitentiam sanati sunt, peccatoribus aliis conversionis et salutis janua inveniuntur ; ita ut Paulus cum fiducia clamaret : *Christus Jesus venit in mundum, ut peccatores salvos faceret, quorum primus ego sum* [21]. Si prædicationi, inquit, fidem non habetis salutem peccatorum annuntianti, a me prædicante discite, qui cum persecutor essem, Evangelii ministerium mihi concreditum est.

Vers. 17. « Domine, labia mea aperies. »

Viden' labia Davidis propter peccatum clausa fuisse, sed iterum per pœnitentiam recludi, et Dei

[20] Psal. CXLII, 10. [21] Tim. I, 15.

καθάρῃ, καὶ διορθώσηται ῥυπαρὸν ταῖς ἡδοναῖς καὶ ταῖς ἐπινοίαις τοῦ διαβόλου γενόμενον· κτίσαι γὰρ παρὰ τῇ θείᾳ Γραφῇ πολλάκις τὸ διορθώσασθαι λέγεται.

« Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον. »

Θεωρεῖς ὡς οὐ τὴν φύσιν ἀμεῖψαι ὁ προφήτης, ἀλλὰ τὴν χάριν ἐλθεῖν, ἵνα τῇ καμνούσῃ τῇ φύσει, καὶ ὑπὸ τῆς ἁμαρτίας παλαιωθείσῃ προσεύχεται βοηθήσῃ. Πνεῦμα γὰρ εὐθὲς οὐ τὸ ἐν ἡμῖν τὸ ζωτικὸν τοῦτο λέγει, ἀλλ' αὐτὸ τοῦ Θεοῦ τὸ Πνεῦμα, περὶ οὗ ἐν ἑτέρῳ ψαλμῷ ἐμελῴδησεν· *Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.* Τοῦτο ἐν τοῖς ἐγκάτοις ἔγκατα, τουτέστιν ἐν τοῖς ἀναγκαίοις καὶ λίαν καιρίοις τῆς ψυχῆς μορίοις ἐγκαινισθῆναι βούλεται, ὅσον μὲν καὶ πρὸ τούτων ἐν ἡμῖν τελείως οἰκοῦν, οὐδὲ ἐφ' ἡμῖν ἀναπαυόμενον διὰ τὴν ἡμετέραν ἀσθένειαν ὑφ' ἧς οὐκ ἦμεν ἱκανοὶ τὴν χάριν ἐλάκλη-ρον δέξασθαι. Διόπερ αὐτὸ ἐγκαινισθῆναι ἵνα πάντως ἐν ἡμῖν ἀπαρτισθῇ προσεύχεται· οἶκος γὰρ ὁ συμπληρούμενος, ἐκεῖνος ἐγκαινίζεται.

Κακὸν μὲν οἰκέτῃ τὸ τοῦ δεσπότου ζημιωθῆναι πρόσωπον· ὡσαύτως καὶ υἱῷ τῷ τοῦ πατρὸς, καὶ στρατιώτῃ τῷ τοῦ βασιλέως· ἐξόριστος γὰρ ὁ τοιοῦτος εὑρίσκεται· ἐπὶ δὲ Θεοῦ ὅλεθρον τοῦτο παρασκευάζει τῷ πάσχοντι. Οὐδὲ γὰρ Πατὴρ μόνον καὶ Δεσπότης ἡμῖν Θεὸς καὶ Βασιλεὺς, ἀλλὰ πᾶν ὅτιπερ ἂν εἴποις τῶν εἰς ζωὴν καὶ σωτηρίαν τὴν ἡμετέραν συντεινόντων καθέστηκεν. Ὥστε, ὅταν ἀφ' ἡμῶν ἀποστρέφει τὸ πρόσωπον, παραχρῆμα ἀπολλύμεθα τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ πᾶσα ἡμῶν ἡ χορηγία τῶν ἀγαθῶν ζημειούμενοι. Διὰ τί δὲ ἀντὶ τοῦ εἰπεῖν, Μὴ ἀνέλῃς τὸ πνεῦμα, *Μὴ ἀνταναίλῃς* ἔταξεν; Ἐπειδήπερ ἅπαξ τῆς ἐν ἡμῖν ἐνεργείας τοῦ Πνεύματος πεῖραν διὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς, καὶ προφητικῆς χάριτος, ἢ διὰ πρακτικῆς ἀρετῆς οἱ τοῦ Θεοῦ φυλάττοντες τὰς ἐντολὰς ἐδέξαντο. Ὅπερ εἰκότως μὴ ἀνταναιρεθῆναι προσηύχετο, ὥστε μὴ καὶ δευτέραν αὐτοῦ ὑποστῆναι ἀφαίρεσιν.

« Διδάξω ἀνόμους τὰς ὁδούς σου. »

Ἐδίδασκε μὲν τὰς ὁδοὺς τοῦ Θεοῦ καὶ πρότερον, ἀλλ' οὔτε τοὺς ἀνόμους ἴσως, οὐδὲ προσευχῇ τὴν διδασκαλίαν πρὸ τῆς ἁμαρτίας τοσοῦτον ἐτίθετο, ὅτε δὲ μᾶλλον ἀφ' οὗπερ ἡμαρτηκὼς μετενόησεν. Ὥσπερ γὰρ ἐκεῖνος λέγειν περὶ θεραπείας πιστεύεται μάλιστα ὁ νενοσηκὼς αὐτὸς, καὶ πεῖραν τοῦ φαρμάκου δεξάμενος· οὕτω καὶ οἱ τῇ μετανοίᾳ σωθέντες, θύρα τοῖς ἄλλοις ἁμαρτωλοῖς ἐπιστροφῆς καὶ σωτηρίας εὑρίσκονται, ὥστε τὸν Παῦλον μετὰ παῤῥησίας βοᾶν· *Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.* Εἰ ἀπιστεῖτε τῷ κηρύγματι, φησὶν, ἁμαρτωλῶν σωτηρίαν κηρύττοντι, ἀπ' ἐμοῦ τοῦ κηρύττοντος μάθετε, ὅτι διώκτης ὢν ἐπιστεύθην Εὐαγγελίου γενέσθαι διάκονος.

« Κύριε, τὰ χείλη μου ἀνοίξεις. »

Ὁρᾷς ὅτι κεκλεισμένα τοῦ Δαβὶδ τὰ χείλη διὰ τὴν ἁμαρτίαν ἐτύγχανεν, ἀλλὰ πάλιν τῇ μετανοίᾳ ἀνοίγε-

Digitized by Google

ται, καὶ τοῦ Θεοῦ διηγεῖσθαι τὴν αἴνεσιν. Ἄρχεται δὲ κεφάλαιον τῶν ὕμνων τοῦ ἁμαρτωλοῦ τὴν ἐπιστροφὴν ἔχουσα.

Τὴν ταπεινοφροσύνην θυσίαν ἀρεστὴν τῷ Θεῷ εἶναι τὸ Πνεῦμα ἐκτίθεται· *Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.* Πῶς; δὲ ἡμῶν τὸ πνεῦμα ἐπὶ τῷ ταπεινωθῆναι συντρίβομεν; Ὅταν καλὸν μὲν πράξαντες, μὴ ἐπαρθῶμεν, διηνεκῆ δὲ μνήμην τῶν ἁμαρτημάτων τῶν ἡμετέρων ἔχωμεν.

Εὐδοκίαν δὲ τὴν τοῦ Μονογενοῦς προσαγορεύει σάρκωσιν. Δῆλον δὲ ἀφ' ὧν Παῦλος πρὸς Ἐφεσίους ἔγραφε· φησὶ δὲ οὕτως· *Γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ καὶ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν.* Ἐν ταύτῃ τοίνυν ἡ Σιὼν ἀγαθύνεται, διὰ τὸ ἐπιτελεσθὲν αὐτῇ τοῦ θείου δείπνου μυστήριον ἕτερά τε πολλὰ τὰ παρ' αὐτῇ πεπραγμένα καὶ προελθόντα θαύματα.

A laudes aggredi. Exorditur autem laudes Dei a conversione peccatoris.

Docet hic Spiritus sanctus humilitatem esse sacrificium Deo placitum: *Beati* enim *pauperes spiritu, quoniam ipsorum est regnum cælorum* [23]. Sed quonam modo spiritum nostrum per humilitatem conterimus? Sane cum recte factis non extollimur, sed perpetuam delictorum nostrorum memoriam retinemus.

Bonam voluntatem seu beneplacitum appellat Unigeniti incarnationem, hoc autem manifestum est ex iis quæ scribit Paulus ad Ephesios; sic enim ait: *Ut notum faceret nobis sacramentum voluntatis suæ secundum beneplacitum ejus, quod proposuit in* B *eo in dispensationem plenitudinis temporum* [24]. Hac ergo bona voluntate Sion beneficiis cumulatur, tum propter mysterium divinæ cœnæ quod in ipsa paractum est, tum propter miracula quæ in ea edita sunt.

ΨΑΛΜΟΣ ΝΑ'.

« Τί ἐγκαυχᾷ ἐν κακίᾳ; »

Θαυμάζοντος καὶ ἀπορουῦντος, ὡς εἰκὸς, τὸ προοίμιον· ὅτι τοσοῦτόν τινες εἰς κακίαν προέκοψαν, ὥστε ἐφ' οἷς δεῖ πενθεῖν, ἐπὶ τούτοις καυχῶνται. Πλὴν ὅτι τὸν μὲν Δωὴκ ἡ ἱστορία περιέχει, Ἰούδαν δὲ τὸν προδότην αἰνίττεται ὁ Ψαλμῳδὸς, δυνατὸν λίαν ἐν κακίᾳ γενόμενον, ὥστε τὸν εὐεργέτην καὶ τροφέα, καὶ διδάσκαλον προδοῦναι, καὶ μηδὲ τοὺς συνεχεῖς ἐλέγχους, μηδὲ τὰς παραινέσεις αἰσχύνεσθαι.

PSALMUS LI.

Vers. 3. « Quid gloriaris in malitia? »

Hoc proœmium est quasi admirantis et obstupescentis; quod nimirum aliqui ad tantam devenerint malitiam, ut in iis glorientur, de quibus lugere oportuerat. Cæterum historia quidem Doec continet, sed Psalmista Judam proditorem insinuat in malitia potentem evasisse, eo usque, ut benefactorem, et educatorem, et magistrum proderet, neque assiduas increpationes, neque admonitiones revereretur.

« Ἀνομίαν ὅλην τὴν ἡμέραν. »

Ἡνίκα τοῖς Φαρισαίοις ὁ Ἰούδας ἔλεγε· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ λ' ἀργύρια, καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ.* Ὥστε ὅλην τὴν ἡμέραν μελετῶν τὴν ἁμαρτίαν τῆς προδοσίας ἔμεινεν, μέχρις ἡ νὺξ ἐπέστη, καθ' ἣν τὸ δρᾶμα ἔπραξε.

Vers. 4. « Iniquitatem tota die. »

Quando Judas dixit Pharisæis: *Quid vultis mihi dare, et ego vobis eum tradam? At illi constituerunt ei triginta argenteos. Et exinde quærebat opportunitatem ut eum traderet* [25]: itaque tota die meditationi proditionis immorabatur, donec nox instaret, in qua facinus hoc patravit.

« Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. »

Τὸ δὲ *ὡσεὶ ξυρὸν*, τουτέστιν ἀναισθήτως τέμνοντα. Τί γὰρ ἐκείνου τοῦ δόλου ὀξύτερον, ὃν τῇ γλώσσῃ τῆς προδοσίας πρὸς τοὺς συλλαβόντας τὸν Ἰησοῦν συνέθετο· *Ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν;*

« Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην. »

Κακία ὁ διάβολος, ὡς κακὰ πάντα καὶ πᾶσι βουλόμενος. Ἀγαθωσύνη δὲ ὁ Χριστὸς, Θεοῦ γὰρ ἡ ἀγαθότης κατὰ φύσιν. Ἴδιον ἀφεὶς τοίνυν τὸν Χριστὸν ὁ Ἰούδας, τὸν Σατανᾶν ἠγάπησεν· ἀλλὰ καὶ ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην εἵλατο. Ἐξὸν γὰρ αὐτῷ τὴν ὄντως δικαιοσύνην λαβεῖν, καὶ μετὰ τῶν λοιπῶν ἀποστόλων κηρύττειν τὸ Εὐαγγέλιον· εἰς τὴν ἀδικίαν δὲ ἑαυτὸν τῆς προδοσίας ἐνέβαλε. Τὸ δὲ αὐτὸ πάσχει πᾶς ὅστις κατηγορίᾳ χαίρει, καὶ λοιδορεῖ τὸν ἀδελφὸν, ἡδύτερον τὴν ἀδικίαν, τουτέστι

« Injustitiam cogitavit lingua tua. »

Illud vero *sicut novacula*, id est, insensibiliter secans. Quid enim acutius isto dolo, quem lingua proditoria composuit ad illos qui Jesum comprehenderunt: *Quemcunque osculatus fuero, ipse est, tenete* D *eum* [26].

Vers. 5. « Dilexisti malitiam super benignitatem. »

Malitia est diabolus, utpote qui omnia mala atque omnibus velit. Benignitas vero Christus est, quoniam natura sua Dei bonitas exsistit. Suo igitur Christo derelicto, Judas Satanam dilexit; quin et iniquitatem magis, quam loqui æquitatem elegit. Poterat enim vere justitiam recipere, et cum cæteris apostolis Evangelium prædicare; verumtamen ad proditionis iniquitatem semet ipse dejecit. Hoc ipsum usuvenit omni qui accusatione gaudet, et calumniatur fratri suo, cum lubentius iniquitatem,

[23] Matth. v, 3. [24] Ephes. i, 9. [25] Matth. xxvi, 15, 16. [26] Matth. xxvi, 48.

Digitized by Google

hoc est mendacium, loquatur, et sileat justitiam, id est virtutem, quam proximus ejus possidet.

A τὸ ψεῦδος λαλῶν, καὶ τὴν δικαιοσύνην σωπῶν, δηλαδὴ τὴν ἀρετὴν, ἣν ὁ πλησίον κέκτηται.

Vers. 7. « Propterea Deus destruet te. »

Hæc omni quidem homini doloso, sed multo maxime ad proditorem dicuntur. Deus enim ipsum sustulit in finem, et de tabernaculo, id est, de loco discipulatus transtulit, et tanquam spinosæ plantæ radicem de terra viventium, de apostolorum agricultura evulsit.

« Διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε. »

Ταῦτα παντὶ μὲν δολίῳ, πολὺ δὲ μᾶλλον πρὸς τὸν προδότην λέγεται· καθεῖλεν γὰρ αὐτὸν ὁ Θεὸς εἰς τέλος, καὶ ἀπὸ τῆς σκηνῆς, τουτέστιν ἐκ τοῦ τόπου τῆς μαθητείας μετέστησεν, καὶ τὴν ῥίζαν ὡς ἀκανθώδους φυτοῦ ἐκ γῆς ζώντων, ἐκ τοῦ γεωργίου τῶν ἀποστόλων ἐξέτιλεν.

« Speravi in misericordia Dei. »

Quadrant hæc verba quoque Petro negationem suam in memoriam revocanti, qui sicut oliva fructifera in domo Dei, id est, in fide semper constitit; licet ad exiguum tempus negationis æstum sustinuerit: verumtamen minime exaruit: siquidem pœnitentiæ lacrymis radicem irrigavit. Propterea, inquit: *Confitebor tibi, quia fecisti.* Quid fecisti? Misericordiam, benignitatem, commiserationem. Quia eum qui negaverat, mysteriorum præconem effecisti, columnam titubantem confirmasti, et eum qui erraverat, pastorem agnorum constituisti. *Bonum* autem non Judæis, neque idololatriæ morbo laborantibus, sed *in conspectu sanctorum* qui per gratiam et lætitiam justificati sunt. His enim nomen ejus bonum. Quid enim Jesu appellatione suavius? Exspecto autem: ad quid? quoniam qui exspectat in finem, hic salvus erit.

« Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ. »

Ἁρμόττει ταῦτά γε τὰ ῥήματα Πέτρῳ εἰς ἀνάμνησιν ἐρχομένῳ τῆς οἰκείας ἀρνήσεως, ὅστις ὡς ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τουτέστι, τῇ πίστει διηνεκῶς ἱστάμενος, εἰ καὶ πρὸς μικρὸν ὑπέστη τὸν καύσωνα τῆς ἀρνήσεως, ἀλλ' ὅμως οὐκ ἐξηράνθη. Τῷ γὰρ δακρύῳ τῆς μετανοίας τὴν ῥίζαν ἐπότισεν. Διὰ τοῦτό φησιν, *Ἐξομολογήσομαί σοι, ὅτι ἐποίησας.* Τί ἐποίησας; Ἔλεος, χρηστότητα, συμπάθειαν. Ὅτι τὸν ἀρνησάμενον κήρυκα τῶν μυστηρίων ἐποίησας, στύλον τὸν σαλευθέντα κατέστησας, καὶ ποιμένα τῶν ἀμνῶν τὸν πλανηθέντα ἐποίησας. *Χρηστὸν* δὲ οὐκ Ἰουδαίοις, οὐδὲ εἰδωλολατρείαν νοσοῦσιν, ἀλλ' *ἐναντίον τοῖς ὁσίοις*, τοῖς διὰ χάριτος καὶ εὐφροσύνης δικαιωθεῖσι. Παρὰ τούτοις γὰρ τὸ ὄνομα αὐτοῦ χρηστόν. Τί γὰρ τοῦ Ἰησοῦ προσηγορίας χρηστότερον; Ὑπομένω δέ· διὰ τί; Ἐπειδὴ ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Morbus qui per maledicum diffunditur, alios quoque in iniquitatibus corrumpi facit, et Creatori suo abominabiles exsistere, tanto virtutis defectu laborantes, ut nullum penitus bonum operentur. Cæterum per insipientem, idololatrorum insaniam insinuat. Dicentes enim in corde suo non esse Deum, ligneorum ac lapideorum deorum simulacra fabricati sunt. Per iniquitatem, quæ legis est transgressio, Judæos insinuat, quos incredulitate corruptos, Deus abominatus est.

Ἡ τοῦ βλασφήμου διαδοθεῖσα νόσος τοὺς ἄλλους ἐν ἀνομίαις παρασκευάζει φθείρεσθαι, βδελυκτούς τε εἶναι τῷ Κτίσαντι, ἀπραξίαν τῆς ἀρετῆς τοσαύτην νοσοῦντας, ὥστε μηδὲν αὐτοὺς ἀγαθὸν ἐργάζεσθαι. Ἀλλὰ γὰρ διὰ τοῦ ἄφρονος τὴν τῶν εἰδωλολατρῶν μανίαν αἰνίττεται. Λέγοντες γὰρ ἐν καρδίᾳ οὐκ εἶναι Θεὸν, εἴδωλα ξυλίνων θεῶν καὶ λιθίνων ἐποίησαν. Διὰ δὲ τῆς ἀνομίας, ἥτις ἦν τοῦ νόμου παράβασις, τοὺς Ἰουδαίους αἰνίττεται, οὓς τῇ ἀπιστίᾳ φθαρέντας, ὁ Θεὸς ἐβδελύξατο.

Vers. 2. « Corrupti sunt et abominabiles facti. »

Vers. 3. « Deus de cœlo prospexit. »

Usque adeo enim Deus desiderat veritatem, ut cum res omnes nostras exacte cognoscat, attamen per suam nobiscum condescensionem, quasi per fenestellam, prospiciat, res humanas accurate nosse volens. Utique Christi adventum manifeste intelli-

PSALMUS LII.

ΨΑΛΜΟΣ ΝΒ'.

Vers. 1. « Dixit insipiens in corde suo. »

« Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ. »

Cujus enim erat istud dicere, nisi insipientis? de quo Isaias dixit: *Fatuus fatua loquetur, et cor ejus vana intelliget*[26]. Qualia ista? Quoniam cum prava quædam et absurda patrantes, et Dei erga ipsos longanimitatem aspicientes, tanquam benigno, et malorum toleranti gratias agere, et laudes deferre oporteret, ad stoliditatem exorbitant, Deum res humanas non intueri, sed indifferenter ac temere cuncta ferri arbitrantes.

Τίνος γὰρ ἦν τοῦτο λέγειν, ἀλλ' ἢ ἄφρονος; περὶ οὗ Ἡσαΐας ἔλεγεν· *Ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια φρονήσει.* Ποῖα ταῦτα; Ὅτι φαῦλά τινα καὶ ἄτοπα ἐργαζόμενοι, καὶ τὴν ἐπ' αὐτοῖς τοῦ Θεοῦ μακροθυμίαν βλέποντες, δέον εὐχαριστεῖν καὶ δοξάζειν ὡς χρηστὸν, καὶ ἀνεξίκακον, εἰς παραφροσύνην ἐκτρέπονται, οὐ νομίζοντες Θεὸν ἐφορᾷν τὰ ἀνθρώπινα, ἀκρίτως δὲ καὶ αὐτομάτως φέρεσθαι.

« Διεφθάρησαν καὶ ἐβδελύχθησαν. »

[26] Isa. xxxii, 6

Digitized by Google

ἐκ τοῦ οὐρανοῦ διέκυψεν, ἡνίκα ἡμῖν μετὰ σαρκὸς ἐπεδήμησεν. Ὥσπερ γὰρ ὁ παρακύπτων ἀφ' ὑψηλοῦ τόπου, ἄνω μένων, κάτω τῇ ἐνεργείᾳ γίνεται, οὕτω καὶ ὁ Χριστὸς ἐν τοῖς κόλποις τοῦ Πατρὸς μένων, τῇ γῇ διὰ σαρκὸς ἐπεδήμησε. Τίνος χάριν; *Τοῦ ἰδεῖν, εἰ ἔστι συνιὼν, ἢ ἐκζητῶν τὸν Θεόν.* Οὐκοῦν οὐ τὰς πράξεις τοσοῦτον τῶν ἀνθρώπων κατῆλθεν ἐπισκέψασθαι, ὅσον ἰδεῖν εἴ τινα ὅλως θεογνωσίαν ἔχουσιν, εἰ ἐν πίστει τὸν Θεὸν ἐκζητοῦσι.

A git, qui de cœlo prospexit, quando ad nos in carne venit. Quemadmodum enim qui ex alto loco prospicit, sursum manens, per operationem suam deorsum sit : sic etiam Christus in sinu Patris manens, per carnem descendit in terram. Cujus rei gratia ? *ut videat, si est intelligens, aut requirens Deum.* Itaque non tam actiones hominum inspecturus advenit, quam ut videat utrum omnino aliquam Dei notitiam habeant, hi qui in fide Deum requirunt.

« Οὐχὶ γνώσονται πάντες. »

Πάντες μὲν οἱ τοὺς πένητας ἀδικοῦντες, καὶ τὰ τοῦ πλησίον ἁρπάζοντες, βρώσει ἄρτου τὸν λαὸν τοῦ Θεοῦ ἐσθίειν εἰκότως λέγονται · τροφὴν γὰρ τῆς ἑαυτῶν πλεονεξίας τὴν ἀδικίαν, τὴν εἰς ἐκείνους ἔχουσι. Νομίσεις δὲ μάλιστα τοὺς διδασκάλους τῶν Ἰουδαίων λέγεσθαι. Ὑπὲρ γὰρ ἀγνωσίας τὸν νόμον ὡς ἐδόκουν ἐκδικοῦντες, τῇ δὲ ὕβρει τοῦ νομοθέτου ἀνομίαν ἐργαζόμενοι, οὗτοι τὸν λαὸν τοῦ Θεοῦ ἤσθιον βρώσει ἄρτου, ἕνεκα πλησμονῆς καὶ γαστριμαργίας προσωποληπτοῦντες, καὶ τὸν νόμον ἐν τῷ διδάσκειν παραβαίνοντες.

VERS. 3. « Nonne scient omnes. »

Omnes qui pauperibus injuriam inferunt et res proximi diripiunt, cibo panis populum Dei devorare merito dicuntur : nam pro avaritiæ suæ pabulo habent injustitiam, quam in ipsos exercent. Existimabis autem potissimum hæc dici de magistris Judæorum. Nam qui ab ignorantia legem quodammodo vindicare videbantur, sed ad legislatoris contumeliam operabantur iniquitatem, hi cibo panis legem Dei devorabant, dum præ saturitatis ac ventris studio personas acciperent, et in docendo legem violarent.

Περὶ τῶν Ἰουδαίων λέγει · τὸν γὰρ ἀληθῶς Θεὸν τὸν Χριστὸν οὐκ ἐπεκαλέσαντο, καὶ ἐφοβήθησαν φόβον περιττὸν, ἔνθα οὐκ ἦν φόβος, ὅτε πρὸς ἀλλήλους ἔλεγον · *Ἐὰν ἐάσωμεν τὸν ἄνθρωπον τοῦτον, ἥξουσιν οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸν τόπον καὶ τὸ ἔθνος.* Καίτοι οὐκ ἂν τοῦτο ἐγίνετο, εἰ τὴν εἰς αὐτὸν πίστιν ἐφύλαξαν. Ὁμοίως δὲ καὶ πάντες ἄνθρωποι ὅσοι τὸν Θεὸν ἐπικαλεῖσθαι ῥᾳθυμοῦσιν, ὃν μὲν δεῖ φόβον οὐ φοβοῦνται, τῇ εἰς Θεὸν ἀπιστίᾳ. Φοβοῦνται δὲ μάτην τὰς τῶν ἀνθρώπων ἀπειλὰς, καὶ τὰς τῶν ἐχθρῶν δυναστείας, οὐκ εἰδότες ταῦτα μηδὲν ἡμᾶς, ὅταν ἔχωμεν τὴν εὐμένειαν τοῦ Θεοῦ, παραβλάπτοντα. Ἀνθρωπαρέσκων δὲ περὶ τούτων λέγει · ἀεὶ γὰρ τοῖς ἀνθρώποις ἀρέσκειν παρὰ τὸν Θεὸν βούλονται, ὧν ὁ Θεὸς τὰ ὀστᾶ, δηλαδὴ τὰς φυλὰς διεσκόρπισε. *Κατησχύνθησαν.* Ὃν γὰρ νεκρὸν καλοῦσιν, ὑπὸ τούτου διώκονται. Τὰ δὲ αὐτὰ καὶ τοῖς τυχοῦσιν ἀνθρωπαρέσκοις ἐπέρχεται · τὰ γὰρ ὀστᾶ αὐτῶν, τουτέστιν ὁ πλοῦτος καὶ ἡ δόξα ὑπὸ Θεοῦ σκορπίζεται.

B Verumtamen hoc minime evenisset, si fidem in ipsum custodivissent. Simili quoque ratione omnes homines qui Deum C invocare negligunt, præ incredulitate in Deum non timent timore quo oportet : in vanum autem minas hominum et inimicorum potentias metuunt, nescientes ista nihil nobis officere quando propitium habemus Deum. Loquitur autem de iis qui hominibus placere student, siquidem hi semper hominibus præ Deo placere volunt; quorum Deus ossa, id est tribus, dispersit. *Confusi sunt.* Nam quem mortuum appellant, ab hoc infestantur. Cæterum hæc eadem quoque quibusvis, qui hominibus placent, eveniunt : ossa enim eorum, id est divitiæ, et gloria a Deo dissipantur.

Διὰ τί ἀπὸ τῆς Σιὼν, καὶ οὐκ ἀπὸ τοῦ οὐρανοῦ, οὐκ ἀπὸ τοῦ ναοῦ, οὐκ ἀπὸ τῆς κιβωτοῦ, οὐκ ἀπὸ τῶν ἁγίων ὁ Προφήτης τὸ σωτήριον εὔχεται; Ἐπειδὴ ἐκεῖ ἡμῖν ἀπέδωσεν ὁ Χριστὸς τὸ ἀρχαῖον ἐμφύσημα. Ὅπερ δῆλον ἐπήγαγεν · *Ἐν τῷ ἐπιστρέψαι Κύριον.*

Cur ex Sion, et non a cœlo, non a templo, non ab arca, non a sanctis propheta salutare deprecatur? Quia nimirum illic antiquam nobis Christus D inspirationem tradidit. Quod utique subjunxit : *Cum converterit Dominus.*

Ἠχμαλώτευσεν γὰρ ἡμῶν ὁ Σατανᾶς δι' ἀπάτης τὴν κοινωνίαν τοῦ Πνεύματος · ἀλλ' ὁ Χριστὸς αὐτὴν ἐν τῇ Σιὼν ἀπέδωκε διὰ τοῦ τῶν ἀποστόλων ἐμφυσήματος. Διὰ τί δὲ Ἰακὼβ, ἀγαλλιάσεται πρότερον, καὶ τότε Ἰσραὴλ εὐφρανθήσεται, ἑνὸς ὄντος; Ἐπειδὴ Ἰακὼβ *πτερνιστὴς* ἑρμηνεύεται, Ἰσραὴλ δὲ *νοῦς ὁρῶν Θεόν.* Χρῄζομεν δὲ πτερνισταὶ γενέσθαι πρότερον, τουτέστι διαβόλου, καὶ τότε ἡμῶν ὁ διωρατικὸς νοῦς τῇ κατὰ τὴν δύναμιν τοῦ Θεοῦ θεωρίᾳ εὐφραίνεται.

Satanas nimirum per deceptionem captivaverat nostram Spiritus participationem; sed Christus eam in Sion restituit, quando apostolis insufflavit [28]. Cur autem Jacob prior exsultabit, ac deinde Israel lætabitur, cum unus idemque sit? Quia nimirum Jacob *supplantator* interpretatur, Israel vero *mens videns Deum.* Debemus enim prius fieri supplantatores, scilicet diaboli; ac tunc perspicax mens nostra pro viribus suis Dei contemplatione lætatur.

[27] Joan. xi, 48 [28] Joan. xx, 22.

Digitized by Google

PSALMUS LIII.

VERS. 3. « Deus, in nomine tuo. »

Non propter opera mea, inquit, neque enim ullius pretii digna habeo, neque ob parentum nobilitatem (alius enim alium servare non potest), sed *in nomine tuo* ; siquidem hæc salus perpetua et inviolabilis exsistit. Si enim nonnulli in latrones aut barbaros incidentes, postquam principum nomen produxerint, tanquam ipsorum familiares pericula evadunt, quomodo non multo magis in nomine Dei ab omnibus dæmonum insidiis liberemur?

« Et in virtute tua judica me. »

Judicium cupit, non quo condemnemur, sed quo ab oppressore liberemur; quapropter in potentia judicari postulavit, ut adversario, sive sensibili, sive spiritali, potentia Dei subacto, nos ab insidiatoribus remoti simus.

VERS. 4. « Deus, exaudi orationem meam. »

Nulla enim arma contra inimicos validiora habemus oratione, dummodo Deo digna rogaverimus; cujus sibi ipsi conscius propheta, cupit Deum auribus percipere verba oris sui, ut sciens ipsum nihil humani postulare, sacrificium orationis admittat.

VERS. 5. « Quoniam alieni insurrexerunt. »

Alieni sunt omnes qui non sapiunt ea quæ Dei sunt, quantumvis et cognati, et amici, et fratres fuerint. Quamobrem sæpenumero non pudet eos nobis tanquam alienos alienis, licet cognati sint, insidiari. Qui enim semetipsos Deo alienos reddiderunt, quomodo non multo magis a naturæ lege alieni sint? Fortes vero vocat eos qui potentes sunt malitia, qui tam vehementi et implacabili pravitate laborant, ut etiam ipsimet animæ struant insidias, non solum sensibilem nobis, sed etiam spiritalem mortem machinantes.

VERS. 8. « Confitebor nomini tuo. »

Involuntarium enim sacrificium Deus minime suscipit; siquidem tunc non offerenti, sed cogenti oblationem attribuit. Quod cum sciret quoque Paulus apostolus, dixit : *Non ex tristitia, aut ex necessitate : hilarem enim datorem diligit Deus*[11]. Tu vero etiam ex tempore voluntatis promptitudinem considera. Sæpe enim cum in afflictionem inciderimus, nobis ipsis pientiores evadimus. Oportet autem cessante etiam afflictione nos similiter gerere.

Viso inimicorum interitu, confessionem dixit gratiarum actionem : bonum enim est quod in ipsa recte agitur : nam qui benefactori gratias agit, in posterum promptiorem ipsum reddit; peccatorum autem præsentium ac futurorum redemptio conciliat ipsi familiaritatem Dei, futurorum bonorum spem, omnis afflictionis liberationem, ita ut ad beatitudinem istiusmodi vita transferatur.

[11] II Cor. IX, 7.

ΨΑΛΜΟΣ ΝΓ'.

« Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου. »

Μὴ διὰ πράξεις, φησὶν, οὐδὲ γὰρ ἀξιοχρέους ἔχω, μὴ διὰ πατέρων εὐγένειαν (ἄλλος γὰρ ἄλλον διασώζειν οὐ δύναται), *ἀλλ' ἐν τῷ ὀνόματί σου* · εἰ γάρτοι αὕτη σωτηρία διηνεκὴς καὶ ἄσυλος ἵσταται. Εἰ γὰρ λῃσταῖς τινες ἢ βαρβάροις περιπεσόντες, εἶτα ὄνομα δυναστῶν παραγαγόντες, ὡς ἐκείνων οἰκεῖοι τοὺς κινδύνους ἐκφεύγουσι, πῶς οὐ πολὺ μᾶλλον ἐν τῷ ὀνόματι τοῦ Θεοῦ ἀπὸ πάσης ἐπιβουλῆς δαιμόνων σωζόμεθα;

« Καὶ ἐν τῇ δυνάμει σου κρίνον με. »

Κρίσιν, οὐχ ὅτι κατακριθῶμεν, ἀλλ' ὥστε ἐλευθερωθῆναι τοῦ τυραννοῦντος βουλεύεται · διόπερ ἐν δυναστείᾳ κριθῆναι προσηύξατο· ἵνα τοῦ ἀντιδίκου εἴτε τοῦ αἰσθητοῦ, εἴτε τοῦ νοητοῦ τῇ δυναστείᾳ τοῦ Θεοῦ χειρωθέντος, ἡμεῖς γενώμεθα τῶν ἐπηρεαζόντων ἀλλότριοι.

« Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου. »

Οὐδὲν γὰρ ὅπλον πρὸς τοὺς ἐχθροὺς ὑπὲρ τὴν εὐχὴν ἰσχυρώτερον ἔχομεν, μόνον ἐὰν τοῦ ἄξια τοῦ Θεοῦ προσευξόμεθα, ὅπερ ὁ Προφήτης ἑαυτῷ συνειδὼς ἐνωτίσασθαι τὸν Θεὸν τὰ ῥήματα τοῦ στόματος βούλεται, ἵνα διαγνοὺς, ὅτι οὐδὲν ἀνθρώπινον ζητεῖ, τὴν θυσίαν τῆς προσευχῆς προσδέξεται.

« Ὅτι ἀλλότριοι ἐπανέστησαν. »

Ἀλλότριοι πάντες οἱ μὴ φρονοῦντες τὰ τοῦ Θεοῦ, κἂν συγγενεῖς, κἂν φίλοι, κἂν ἀδελφοὶ τυγχάνωσι. Διὸ καὶ ἐπιβουλεύειν ἡμῖν ὡς ἀλλότριοι ἀλλοτρίοις, καὶ συγγενεῖς ὄντες, πολλάκις οὐκ αἰσχύνονται. Οἱ γὰρ ἑαυτοὺς ἀλλοτριώσαντες τοῦ Θεοῦ, πῶς πολὺ μᾶλλον καὶ τοῦ νόμου τῆς φύσεως ἀλλότριοι γίνονται; Κραταιοὺς δὲ τοὺς ἰσχυροὺς τῇ κακίᾳ λέγει, οἵτινες εἰς τοσοῦτον ἰσχυρὰν καὶ ἀνένδοτον τὴν πονηρίαν κέκτηνται, ὥστε καὶ εἰς ἑαυτὴν ἐπιβουλεύειν τὴν ψυχὴν, οὐ μόνον τὸν αἰσθητὸν ἡμῖν, ἀλλὰ καὶ τὸν νοητὸν κατασκευάζοντες θάνατον.

« Ἐξομολογήσομαι τῷ ὀνόματί σου. »

Ἀκούσιον γὰρ θυσίαν ὁ Θεὸς οὐ προσδέχεται· οὐδέποτε γὰρ τῷ προσφέροντι, ἀλλὰ τῷ ἀναγκάζοντι τὴν προσφορὰν λογίζεται. Ὅπερ εἰδὼς καὶ Παῦλος ὁ ἀπόστολος, ἔλεγε· *Μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δώτην ἀγαπᾷ ὁ Θεός*. Σὺ δὲ καὶ ἀπὸ καιροῦ τὸ ἑκούσιον νόησον. Πολλάκις γὰρ θλῖψει περιπεσόντες γινόμεθα ἑαυτῶν εὐλαβέστεροι. Χρὴ δὲ ἡμᾶς καὶ τῆς θλίψεως μεταβληθείσης παραπλησίως εὑρίσκεσθαι.

Τῶν πολεμίων τὸν ὄλεθρον θεασάμενος, ἐξομολόγησιν εἶπεν τὴν εὐχαριστίαν · ἀγαθὸν γὰρ τὸ ἐπ' αὐτῇ κατόρθωμα · ὁ γὰρ εὐχαριστῶν τῷ εὐεργέτῃ, φιλοτιμώτερον αὐτὸν ἐν τοῖς ἑξῆς ἐργάζεται · ἡ δὲ τῶν ἁμαρτημάτων ὧν ἔχει καὶ τῶν μελλόντων λύτρωσις, αὐτῷ ἐργάζεται οἰκείωσιν Θεοῦ, ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, πάσης θλίψεως ἀπαλλαγὴν, ὥστε εἰς μακαριότητα τῷ τοιούτῳ ὁ βίος μεθίσταται.

Digitized by Google

ΨΑΛΜΟΣ ΝΔ'.

« Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυΐδ. »

Σκοποῦ τοῦ αὐτοῦ καὶ ὁ ψαλμὸς ὁ ἐχόμενος ἔχεται· διαγράφει γὰρ τὸν ἐν πειρασμοῖς ἐξεταζόμενον ἄνθρωπον· διόπερ ὑμνεῖν μετὰ συνέσεως τὸν δυνάμενον ἐλευθερῶσαι πειρατμῶν ἐπαγγέλλεται. Σαφὴς δὲ καὶ τῶν Δεσποτικῶν παθῶν ἡ προφητεία πρόσκειται.

« Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου. »

Ταῦτα Χριστοῦ προσευξαμένου, καὶ ἡμεῖς προσευξώμεθα, καὶ τὸν Δεσπότην οἱ δοῦλοι, καὶ τὸν πλούσιον οἱ πτωχοὶ μιμησώμεθα· αὐτὸς τὴν ἡμῶν προσευχὴν εἰσακουσθῆναι βούλεται, καὶ μὴ παρωφθῆναι τὴν δέησιν ὑπὲρ τῆς σωτηρίας τοῦ γένους οὖσαν, ὡς ἀπαρχὴ τυγχάνων ὧν πρεσβεύεται. Ὁμοῦ καὶ τίνα δεῖ προσεύχεσθαι, τρόπον δεῖξαι βουλόμενος, *Ἐνώτισαι*, φησὶ, *καὶ μὴ ὑπερίδῃς*. Πολλάκις γὰρ ἡμῶν τὴν προσευχὴν ἀκούσας, ὡς περιττὴν καὶ ἀναξίαν τῆς ἀκοῆς αὐτοῦ, παροράᾳ καὶ παραπέμπεται.

« Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου. »

Λόγισαι, φησὶ, τίς οὗτος ὁ εὐχόμενος, ὅτι Υἱὸς τοῦ Πατρὸς, ὁμοούσιος βασιλεὺς, ἀλλὰ δούλου μορφὴν φέρων, ἵνα σώσῃ τὸ πλάσμα τὸ ἡμέτερον.

Ἀδολεσχίαν τὸν ἐν θεωρίᾳ μετεωρισμὸν λέγει, ὃν ὑπέμεινεν ὁ Κύριος, τὰ καθ' ἡμᾶς λογιζόμενος, ἐφ' ἃ καὶ ἐταράττετο, ὅτι τοσοῦτον ἀνοίας προσεκόψαμεν, ὥστε σκελίζειν τὸν ὑπὲρ ἡμῶν τρέχοντα, καὶ τὸν παραγενόμενον σῶσαι, τιθέναι προσκόμματα. Ταῦτα καὶ Καϊάφας, καὶ Ἰούδας, καὶ οἱ συνεργοὶ διεπράττοντο, περὶ ὧν κατὰ λόγον ἐπήγαγεν· *Ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ*· ἐχθρὸν τὸν Καϊάφαν λέγων, ὡς ἀφιέναι φωνὴν κατὰ τοῦ Σωτῆρος ἐν τῷ κριτηρίῳ τοιαύτην τετολμηκότα· *Ἐβλασφήμησε· τί ἔτι ζητεῖτε; ἁμαρτωλὸν δὲ τὸν Ἰούδαν*. Πῶς γὰρ οὐχ ἁμαρτωλὸς ὁ προδιδοὺς τὸν διδάσκαλον; Ἐφ' ᾧ καὶ σφόδρα ὡς μαθητῇ καὶ προδότῃ θλιβόμενος, ἐπιφέρει τὰ ἐχόμενα.

« Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ. »

Τοῦτο τῶν ἐν πειρασμοῖς καὶ θλίψεσιν ἴδιον, μὴ μόνον φόβῳ καὶ τρόμῳ, ἀλλὰ καὶ σκότῳ τὸ κατὰ ψυχὴν ἀπορρέουμένους συνέχεσθαι. Ἀλλ' ὁ Χριστὸς, ὡς ποιμὴν ἀληθινὸς καὶ γνήσιος, ὑπὲρ τῆς ἑαυτοῦ ποίμνης ἐδειλία καὶ ἔτρεμεν· τὸν γὰρ ἀδημονοῦντα καὶ λυπούμενον οὐδὲν ἦν ἀπεικὸς φοβεῖσθαι καὶ τρέμειν, πάντα χωρὶς ἁμαρτίας τὰ ἡμέτερα πάσχοντα· οὐκοῦν καὶ σκότος αὐτὸν ἐκάλυψε τὸ ἡμέτερον. Μᾶλλον δὲ σκότος ἐκεῖνο λέγει, ὅπερ τὸν κόσμον ἐκάλυψε κατὰ τὸν καιρὸν τοῦ σταυροῦ, ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης γενόμενον.

« Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας; »

Πτέρυγας τοὺς ἀποστόλους καλεῖ· ἐν αὐτοῖς γὰρ ἐπὶ τὴν οἰκουμένην ὅλην τοῦ Χριστοῦ τὸ μυστήριον ἔπτη, καὶ καθάπερ ἐν νεοσσιαῖς Ἐκκλησίαις κατ-

[10] Matth. xxvi, 65.

A

PSALMUS LIV.

Vers. 1. « In finem, in carminibus intellectus David. »

Psalmus hic eumdem quoque scopum habet : describit enim hominem tentationibus examinatum : propterea monet, ut cum intelligentia eum canamus illi, qui a tentationibus liberare possit. Cæterum perspicua quoque Dominicarum passionum prophetia proponitur.

Vers. 2. « Exaudi, Deus, orationem meam. »

Christo hæc orante nos pariter oremus, et servi Dominum et divitem pauperes imitemur : ipse vult preces nostras exaudiri, et minime despici deprecationem, quæ pro salute generis exsistat, cum sit primitiæ illorum pro quibus obit legationem. Præterea B etiam quomodo orandum sit ostendere volens : *Auribus*, inquit, *percipe, et ne despexeris*. Frequenter enim nostram orationem audiens, tanquam nullius pretii et auditu suo indignam, despicit rejicitque.

Vers. 3. « Contristatus sum in exercitatione mea. »

Expende, inquit, quisnam sit is qui orat, scilicet Filius Patris, ejusdem cum ipso substantiæ Rex, sed formam servi gerens, ut figmentum nostrum salvum faceret.

Exercitationem vocat illam in meditando elevationem, quam sustinuit Dominus, dum res nostras expenderet ; propter quas etiam conturbabatur, quod ad tantam dementiam devenissemus, ut illi, qui pro nobis currebat, crura succideremus, et obC stacula poneremus illi, qui ad servandum advenerat. Hæc etiam Caiaphas, et Judas ac commilitones eorum faciebant ; de quibus in decursu sermonis subjunxit : *A voce inimici, et a tribulatione peccatori* ; inimicum appellans Caiapham, ut qui tempore judicii vocem istiusmodi contra Salvatorem emittere ausus sit : *Blasphemavit ; quid adhuc quæritis* [Vulgata *egemus testibus*][10] ? peccatorem vero Judam. Quomodo enim non peccator sit, qui præceptorem prodidit ? A quo, utpote discipulo ac proditore, vehementer afflictus, subjungit ea quæ sequuntur.

Vers. 6. « Timor et tremor venerunt super me. »

Hoc tentatis et afflictis proprium est, ut non solum timore ac tremore, sed etiam tenebris secunD dum animam deficientes corripiantur. Quin et Christus, tanquam verus ac sincerus pastor, pro grege suo timuit tremuitque : siquidem mœrentem ac dolentem nil prohibebat timere ac tremere, cum absque peccato omnia nostra pateretur : itaque etiam tenebræ nostræ ipsum obumbrarunt. Quin potius tenebras illas intelligit, quæ mundum contexerunt tempore crucis a sexta hora usque ad nonam.

Vers. 7. « Et dixi : Quis dabit mihi pennas ? »

Pennas vocat apostolos : in ipsis enim per totum terrarum orbem Christi mysterium volavit, et quasi in novellis Ecclesiis requievit : ipsis quodammodo

Digitized by Google

alas columbæ, id est Spiritus sancti dispensatione plenas, optat. Particula autem *quis* non est hic hæsitantis, sed potius desiderantis et urgentis.

A ἔπαυσε· τούτοις οἷα πτέρυγας περιστερᾶς, τουτέστι πλήρεις τῆς χορηγίας τοῦ Πνεύματος, βούλεται. Τὸ δὲ *τίς* οὐκ ἀποροῦντος ἐνταῦθα, ἀλλὰ τὸ μᾶλλον ἐπιθυμοῦντος καὶ κατεπείγοντος.

Vers. 9. « Exspectabam eum qui salvum me fecit a pusillanimitate spiritus et tempestate. »

« Προσεδεχόμην τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος. »

Pusillanimitatem vocat contumeliam, *tempestatem* vero vigorem, et violentiam, ac vehementiam tentationis; e quarum utrisque a Deo auxilium præstolandum. Christus autem non tanquam sibi ipsi hoc petit, sed apostolis animo deficientibus tempore passionis, ita ut increpando ad ipsos dixerit : *Sic? Non potuistis una hora vigilare mecum? Vigilate, et orate, ut non intretis in tentationem* [31]. Quod si conspiratio in malo mala sit, etiam e diverso magnum bonum est, dissipatio in malo conspirantium. Qui B itaque in turris ædificationem consenserant, cum haberent vocem unam et labium unum, omnes impediti fuerunt, maxima impietate confusi, quod non amplius haberent vocum consensionem.

Ὀλιγοψυχίαν τὴν λοιδορίαν καλεῖ, *καταιγίδα* δὲ τὴν ἀκμὴν τοῦ πειρασμοῦ, καὶ βίαν, καὶ σφοδρότητα· ὧν ἑξ ἑκατέρας χρὴ παρὰ Θεοῦ προσδέξασθαι τὴν βοήθειαν. Ὁ Χριστὸς δὲ οὐχ ὡς ἑαυτῷ τοῦτο προσεύχεται, ἀλλὰ τοῖς ἀποστόλοις ὀλιγωροῦσι κατὰ τὸν καιρὸν τοῦ πάθους· ὥστε καὶ πρὸς αὐτοὺς ἐπιτιμῶν εἶπεν· *Οὕτως; οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.* Εἰ ἐπὶ κακῷ συμφωνία δειῶν, καὶ ἐκ τοῦ ἐναντίου μέγα ἀγαθὸν ἡ τῶν ἐπὶ κακῷ συμφωνησάντων διάλυσις. Καὶ οἱ ὁμονοήσαντες γοῦν ἐπὶ τῇ πυργοποιΐᾳ, τὸ ἔχειν φωνὴν μίαν καὶ χεῖλος ἕν, πάντες ἐνεποδίσθησαν, μεγίστῃ δυσσεβείᾳ συγχυθέντες, ὡς μηκέτι ὁμοφωνίαν ἔχειν.

Quando malitia in semetipsa divisa fuerit, securi sumus qui ab illa oppugnamur : non amplius enim insidiis ejus creditur. Etenim Christo miracula faciente Judæorum linguæ divisæ sunt : atque alii quidem dicebant : *Non est hic homo a Deo, quia Sabbatum non custodit. Alii autem dicebant : Quomodo potest homo peccator talia signa facere? Et schisma erat inter eos* [32].

Ὅταν ἡ κακία καθ' ἑαυτὴν μερισθῇ, ἔχομεν τὸ ἀσφαλὲς οἱ παρ' αὐτῆς πολεμούμενοι· οὐκέτι γὰρ αἱ ἐξ αὐτῆς ἐπιβουλαὶ πιστεύονται. Τοιγαροῦν τοῦ Χριστοῦ θαυματουργοῦντος τῶν Ἰουδαίων αἱ γλῶσσαι διηρέθησαν· *καὶ οἱ μὲν ἔλεγον· Οὐκ ἔστι παρὰ Θεοῦ ὁ ἄνθρωπος οὗτος, ὅτι οὐ τηρεῖ τὸ Σάββατον· ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς.*

Vers. 10. « Quoniam vidi iniquitatem et contradictionem. »

« Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν. »

C

Dum Christus inique judicabatur, contentio facta est, Pilati scilicet et principum sacerdotum Judæorum : illo quidem dicente : *Nihil invenio causæ in hoc homine* [33] ; ipsis vero respondentibus : *Nos legem habemus; et scimus quia secundum legem nostram debet mori* [34].

Τοῦ Χριστοῦ κρινομένου ἀνόμως, ἀντιλογία τῶν κρινόντων, Πιλάτου δηλαδὴ καὶ τῶν Ἰουδαίων ἀρχιερέων ἐγένετο· τοῦ μὲν λέγοντος, *Οὐδὲν αἴτιον εὑρίσκω ἐν τῷ ἀνθρώπῳ τούτῳ·* ἐκείνων δέ· *Ἡμεῖς νόμον ἔχομεν, καὶ οἴδαμεν, ὅτι κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν.*

Vers. 11. « Die ac nocte circumdabit eam super muros ejus iniquitas et labor in medio ejus. »

« Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς. »

Die quidem, id est tempore crucis; *nocte* vero, id est tempore proditionis; *super muros*, id est super sacerdotes : ipsi enim sunt muri populi : fortes quidem, dum secundum legem sacerdotii vivunt; cariosi vero ac ruinosi, quando a dignitate sua aliena tractant. Iniquitatem vero et laborem in medio ejus D et injustitiam vocat servitutem litteræ : iniquitatem, quia legem spiritaliter non servarunt : injustitiam, quia tantis a Patre beneficiis affecti, medicum et altorem suum cruci tradiderunt. *Non defecit* autem *de plateis ejus usura et dolus.* Fortassis quidem etiam Judæorum avaritiam taxat; qui, dum lex ipsos fenerari prohiberet, dolo usuras aliis artificiis extorquebant. Cæterum deceptionis fenus est hypocrisis: hæc una cum dolo de Hierosolymæ plateis minime defecit : in iis enim tanquam in virtutibus valde præfidebant. Verumtamen et nos caveamus, ne die

Ἡμέρας μὲν, κατὰ τὸν καιρὸν τοῦ σταυροῦ· νυκτὸς δὲ, κατὰ τὸν καιρὸν τῆς προδοσίας· ἐπὶ τὰ τείχη, δηλαδὴ ἐπὶ τοὺς ἱερεῖς· αὐτοὶ γὰρ τείχη τοῦ λαοῦ τυγχάνουσιν· ἰσχυρὰ μὲν, κατὰ τὸν νόμον τῆς ἱερωσύνης ζῶντες· σαθρὰ δὲ πεπτωκότα, ὅταν ἀλλότρια τοῦ προσχήματος πράττουσιν. Ἀνομίαν δὲ καὶ κόπον ἐν μέσῳ αὐτῆς, καὶ ἀδικίαν λέγει τὴν δουλείαν τοῦ γράμματος· ἀνομίαν, ὅτι τὸν νόμον πνευματικῶς οὐκ ἐφύλαττον· ἀδικίαν, ὅτι τοσαύτας παρὰ τοῦ Πατρὸς εὐεργεσίας δεξάμενοι, σταυρῷ τὸν ἰατρὸν καὶ τὸν τροφέα παρέδωκαν. *Οὐκ ἐξέλειπε* δὲ *ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.* Ἴσως μὲν καὶ τὴν τῶν Ἰουδαίων φιλαργυρίαν διαβάλλει· οἵτινες, τοκίζειν αὐτοῦ τοῦ νόμου κωλύοντος, δόλῳ τοὺς τόκους δι' ἐπινοιῶν ἑτέρων ἐκέρδαινον. Πλὴν τόκος τῆς ἀπάτης ἡ ὑπόκρισις· αὕτη μετὰ δόλου τὰς τῆς Ἱερουσαλὴμ πλατείας οὐκ ἐπέλειπε· σφόδρα γὰρ ἐπ' αὐτοῖς ὡς ἐπ' ἀρεταῖς

[31] Matth. xxvi, 40. [32] Joan. ix, 16. [33] Luc. xxiii, 4, [34] Joan. xix, 7.

Digitized by Google

ἐπαῤῥησιάζοντο. Πλὴν καὶ ἡμεῖς φυλαξώμεθα, καὶ μήτε ἡμέρας μήτε νυκτὸς ἐπὶ τὰ ἡμέτερα τείχη, δηλαδὴ τὰς ἀρετὰς, ἀνομίαν ἔχειν ἢ ὅλως ἀντιλογίαν καρτερήσωμεν· ἀλλὰ μηδὲ τόκον ἢ δόλον ἐν πλατείαις ταῖς ἡμετέραις ἔχωμεν. Πλατεῖαι γὰρ καὶ εὐθυνοῦσαι αἱ ὁδοὶ, ἐν αἷς τὰ πλημμελήματα οὐ μὴν εἰς ζωὴν, ἀλλ' εἰς ἀπώλειαν ἄγουσιν.

« Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με. »

Φορητὰ τὰ παρὰ τῶν ἐχθρῶν ἀποκεκαλυμμένων διὰ τοῦτο νομίζεται, ἐπειδήπερ εὐχερὲς ταῦτα φυλάξασθαι· οἱ δὲ φίλοι δοκοῦντες, τὰ τῶν ἐχθρῶν λογιζόμενοι, οὐκ εἰσὶ φορητοί· μέλιτι γὰρ τὸν ἰὸν κεράσαντες λανθάνοντα, κατασκευάζουσι θάνατον. Τοῦτο καὶ τῷ Ἰούδᾳ ὁ Χριστὸς διὰ τῆς παρούσης προφητείας ὠνείδισεν. Ὧν ἵνα παραστήσῃ σαφέστερον, τὰ ἐχόμενα ὁ Προφήτης ἐπήγαγεν·

« Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε. »

Ἰσόψυχε, διὰ τὴν ἀγάπην, ἣν περὶ τοὺς ἑαυτοῦ μαθητὰς ὁ Κύριος ἐπεδείκνυτο, ὥστε τῷ Πατρὶ λέγειν· *Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι· ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς.* *Ἡγεμὼν*, ἐπειδὴ τὸ γλωσσόκομον τῶν χρημάτων βαστάζων αὐτὸς, ἴσως τὴν ἐξουσίαν τῆς οἰκονομίας ἐκέκτητο. *Γνωστὲ*, πάντα γὰρ ὡς μαθητῇ ἀπεκάλυψεν. *Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκυνάς μοι τὰ ἐδέσματα.* Μόνος γὰρ μετὰ τοῦ Ἰησοῦ ἐνέβαπτεν εἰς τὸ τρυβλίον. *Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.* Οἶκον Θεοῦ τὴν Σιὼν λέγει· ἐκεῖ γὰρ ἐν ὁμονοίᾳ τὸ δεῖπνον τοῦ Πάσχα μετὰ τῶν μαθητῶν ὁ Χριστὸς ἐπετέλεσεν· οὐ μὴν ἐφύλαξε Ἰούδας τοῦ δείπνου τὸ μυστήριαν· ἐκεῖθεν γὰρ ἐξελθὼν τὴν προδοσίαν ἔπραξεν. Ὥστε ταῦτα τῷ προδότῃ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ πρὸ πολλῶν γενεῶν ὠνείδιζων ἐφθέγγετο.

« Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς. »

Τοῦτο πεπλήρωται μὲν ἐπὶ τῷ Ἰούδᾳ· τὴν γὰρ προδοσίαν ἀγχόνη διεδέξατο. πεπλήρωται δὲ καὶ ἐπὶ τῶν ἄλλων Ἰουδαίων· Χριστὸν γὰρ τὴν ζωὴν τὴν ἀληθινὴν ἔχοντες, ἀσεβήσαντες εἰς αὐτὸν, ὑπὸ τὴν φοβερὰν τοῦ θανάτου κατάραν ἐγένοντο. Παροικία δὲ ὁ βίος ὁ ἀνθρώπινος λέγεται. Οὐδὲ γὰρ οἰκεῖν ἐνταῦθα μέχρι πολλοῦ δυνάμεθα, ἀλλ' ὡς πάροικοι, ὅταν οἰκοδεσπότης προστάξῃ, παραχρῆμα ἐκβαλλόμεθα. Ἐπειδὴ δὲ παροικίας ὁ Προφήτης πολλὰς ἀντὶ μιᾶς εἶπε, τὰς πολλὰς τῶν ἀνθρώπων κατὰ τὸν βίον διαφορὰς αἰνίττεται. Οἱ μὲν γὰρ τυχὸν ἀπορίαν, οἱ δὲ γεωργίαν, οἱ δὲ τὴν ἐν τοῖς θείοις λειτουργίαν μετέρχονται. Ἀλλ' ἐν πᾶσι τούτοις οἱ τῶν Ἰουδαίων παῖδες ἐπονηρεύοντο· οὐ γὰρ μόνον ὁ ἄλλος δῆμος, ἀλλὰ καὶ οἱ κατ' ἐξοχὴν αὐτῶν, εἴτε ἄρχοντες, εἴτε ἱερεῖς, τὴν πονηρίαν μέσην αὐτῶν ὥσπερ ἀπολαβόντες, μετήρχοντο.

« Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα. »

Ὁ Χριστὸς καὶ ταῦτα λέγει· πρὸς γὰρ τὸν Θεὸν ἑαυτοῦ Πατέρα ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ. Εἴτε τὸ Πνεῦμα λέγοις (ὁ γὰρ Κύριος τὸ Πνεῦμά ἐστιν), εἴτε τὸν Κύριον αὐτὸν ἑαυτοῦ εἰσακού-

A neque nocte super muros nostros, nempe virtutes, habeamus iniquitatem, vel omnino contradictionem toleremus : sed neque usuram vel dolum in plateis nostris habeamus. Plateæ enim et latæ viæ sunt, in quibus delicta non ad vitam, sed ad interitum ducunt.

Vers. 13. « Quoniam si inimicus exprobrasset me. »

Ea quæ a manifestis inimicis inferuntur idcirco tolerabilia censentur, quia facile est ista cavere : at qui, cum amici videantur, hostilia machinantur, intolerabiles exsistunt : siquidem melle venenum miscentes, clandestinam mortem inferunt. Hoc etiam Judæ Christus præsenti vaticinio exprobravit. B Quæ, ut propheta clarius exponeret, sequentia subjunxit :

Vers. 14. « Tu vero homo unanimis. »

Unanimis, propter dilectionem, quam erga discipulos suos Dominus ostendit, cum Patri diceret : *Pater sancte, serva eos in nomine tuo, quos dedisti mihi : ut sint unum, sicut et nos*[35]. *Dux*, quia cum ipse marsupium pecuniarum ferret, fortasse rei familiaris habebat potestatem. *Notus*, quia tanquam discipulo ei omnia revelaverat. *Qui simul mecum dulces capiebas cibos*[36]. Solus enim cum Jesu intingebat manum in catino. *In domo Dei ambulavimus cum consensu*[37]. Domum Dei vocat Sionem : illic enim cum consensu cœnam Paschæ cum discipulis C Christus perfecit ; verum Judas cœnæ mysterium non observavit : inde enim egressus proditionem adornavit. Hæc itaque Dei Spiritus ante plurimas generationes, proditori exprobrando, insinuavit.

Vers. 16. « Veniat mors super illos. »

Hoc quidem in Juda impletum est : proditionem enim laqueus excepit. Quin et in aliis Judæis impletum est : cum enim Christum vitam veram haberent, erga ipsum impie se gerentes, terribile mortis maledictum incurrerunt. Porro tabernaculum humana vita dicitur. Habitare enim hic longo tempore non valemus ; sed tanquam incolæ, quando Dominus domus præceperit, illico ejicimur. Cum autem Propheta multa tabernacula pro uno dixerit, D plurimas hominum in hac vita differentias insinuat. Siquidem alii, verbi gratia, in paupertate, alii in agricultura, alii in divino cultu exercentur. Verum in his omnibus Judæi nequiter se gesserunt, non solum plebs communis, sed etiam primicerii eorum, cum principes, tum sacerdotes nequitiam, quasi in medio sui excipientes, sectati sunt.

Vers. 17. « Ego ad Deum clamavi. »

Christus etiam hæc dicit : siquidem ad Deum Patrem suum clamavit, et Dominus exaudivit eum. Sive Spiritum dixeris (Dominus enim Spiritus est), sive ipsum Dominum semetipsum exaudientem,

[35] Joan. XVII, 11. [36] Matth. XXVI, 23. [37] Marc. XIV, 20.

Digitized by Google

utique hic manifestum fit, Christum quidem orare ut humanitatis legem observet, ipsum nihilominus semetipsum exaudire : ipse enim propriam consummat orationem, dum ea quæ ut homo rogat, eadem tanquam Deus exsequitur :

VERS. 18. « Vespere, et mane, et meridie. »

Vel narrat mysteria quæ dictis temporibus peracta sunt. *Vespere* quidem, quando Joseph ipsum sepelivit, et Nicodemus ejus curam gessit, et rursus, quando ostiis Sionis clausis, secundum ingressus est. *Mane* vero, quando adductus fuit in Pilati prætorium, et quando a mortuis resurgens mulieribus semetipsum manifestavit. *Meridie*, quando cruci affixus fuit, et terræ motum excitavit, non illam interire, sed innovari ac emendari volens. Et cur ista se narraturum recepit? Quia nimirum etiam cætera Unigeniti miracula continebant. Unde quoque Patrem suum hanc vocem exauditurum asserit, cum prædictorum mysteriorum commemoratione gaudeat.

VERS. 19. « Redimet in pace animam meam. »

Sive militum, qui sepulcrum ejus obsidebant, sive falsorum testium, qui ipsum criminantes judicii tempore circumdabant; sive potestatum infernalium, quæ ipsum quidem obstupescebant, simul vero etiam observabant ne universam defunctorum captivitatem reduceret.

VERS. 21. « Extendit manum suam in retribuendo. »

Accuratio prophetiæ hujus digna est admiratione. Siquidem hoc rebus ipsis in Juda deprehenditur, quando argentum, proditionis pretium, principibus sacerdotum restituere volens, necessario manum extendit.

VERS. 22. « Molliti sunt sermones ejus super oleum. »

Judæi, inquit, sermones habebant adeo molles, ut etiam omnem benignitatem superare viderentur, in quibus Dei sapientiam tentabant; non secus ac nautæ per bolides mare explorant; sed eam minime attigerunt. Quid enim bolis in abysso facere possit? Abyssus autem est Dei sapientia; de qua etiam Paulus dixit : *O altitudo divitiarum sapientiæ et scientiæ Dei ! quam incomprehensibilia sunt judicia ejus, et investigabiles viæ ejus*[38] ! quin et ipsemet hic Propheta : *Justitia tua sicut montes Dei : judicia tua abyssus multa*[39]. Cæterum exemplaria nonnulla habent, *Molliti sunt sermones ejus.* Ita ut vaticinium ad Judam referatur : hic enim sermones suos per figmenta emollivit, dum quandoque quidem curam pauperum prætendunt, ut crumenam clepet; quandoque vero per osculum et salutationem Christo illudens.

VERS. 23. « Jacta super Dominum curam tuam. »

Hæc etiam nobis dicta credimus : si enim in Deum

[38] Rom. II, 33. [39] Psal. XXXV, 7.

A σαντα · οὐκοῦν ἐντεῦθεν δῆλον, ὡς προσεύχεται μὲν ὁ Χριστὸς φυλάξαι τὸν νόμον τῆς ἀνθρωπότητος βουλόμενος, ἀλλ' ὅμως αὐτὸς ἑαυτοῦ εἰσακούει · αὐτὸς γὰρ τὴν οἰκείαν ἐπιτελεῖ προσευχήν, ἅπερ ἀνὼς ἄνθρωπος εὔξεται, ταῦτα ὡς Θεὸς ἐπιτελῶν.

« Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας. »

Ἢ ἀπαγγέλλει τὰ κατὰ τοὺς εἰρημένους καιροὺς πεπραγμένα μυστήρια. Ἑσπέρας μὲν, ὅπως αὐτὸν ἔθαπτεν Ἰωσὴφ, καὶ ἐκήδευσε Νικόδημος · καὶ πάλιν, ὅπως τῶν θυρῶν τῆς Σιὼν κεκλεισμένων, εἰσήρχετο δεύτερον. Πρωΐ δὲ, ὅπως ἀπηνέχθη εἰς τὸ Πιλάτου πραιτόριον, καὶ ὅπως ἐκ νεκρῶν ἀναστὰς ταῖς γυναιξὶν ἑαυτὸν ἐνεφάνισε. Μεσημβρίας, ὅπως ἐσταυρώθη, καὶ τὴν κτίσιν ἐσάλευσεν, οὐκ ἀπολέσαι ταύτην, ἀλλ' ἀνακαινίσαι καὶ διορθῶσαι βουλόμενος. Καὶ διὰ B τί ταῦτα διηγεῖσθαι ὑπέσχετο; Ἐπειδὴ περιεκτικὰ καὶ τῶν λοιπῶν τοῦ Μονογενοῦς θαυμάτων ἐτύγχανεν. Ὅθεν αὐτοῦ φησι καὶ τὸν Πατέρα τῆς φωνῆς εἰσακούσεσθαι, τῇ διηγήσει τῶν μυστηρίων τῶν εἰρημένων χαίροντα.

« Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου. »

Εἴτε τῶν στρατιωτῶν, οἵτινες αὐτοῦ τὸν τάφον ἐκύκλωσαν · εἴτε τῶν ψευδομαρτύρων, ὑπὲρ αὐτὸν συκοφαντοῦντες, περιέστησαν ἐν τῷ καιρῷ τῆς κρίσεως · εἴτε τῶν ἐν ᾅδῃ δυνάμεων, αἳ περὶ αὐτὸν ὁμοῦ μὲν ἐκπληττόμεναι, ὁμοῦ δὲ καὶ φρουροῦσαι, ὥστε μὴ πᾶσαν τῶν νεκρῶν τὴν αἰχμαλωσίαν ἀναγαγεῖν.

« Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδίδοναι. »

C

Θαυμάσαι τὴν ἀκρίβειαν τῆς προφητείας ἄξιον. Αὐτοῖς γὰρ ἔργοις τοῦτο ἐπὶ τὸν Ἰούδα καταλαμβάνεται, ὅτε τὸ ἀργύριον τῆς προδοσίας τοῖς ἀρχιερεῦσιν ὑποστρέψαι βουληθεὶς, ἀναγκαίως τὴν χεῖρα ἐξέτεινεν.

« Ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον. »

Λόγους, φησὶν, εἶχον οἱ Ἰουδαῖοι ἁπαλοὺς, καὶ χρηστότητα κατὰ τὸ δοκοῦν ἅπασαν ὑπερβαίνοντας, ἐν οἷς τὴν τοῦ Θεοῦ σοφίαν ἐπείραζον · ὥσπερ οἱ ναῦται πειράζουσι διὰ βολίδων τὴν θάλατταν · οὐ μὴν ἔφθανον. Τί γὰρ βολὶς ἐν ἀβύσσῳ ποιῆσαι δυνήσεται; Ἄβυσσος δὲ ἡ τοῦ Θεοῦ σοφία · περὶ ἧς καὶ Παῦλος ἔλεγεν · Ὦ βάθος πλούτου σοφίας καὶ D γνώσεως Θεοῦ ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ ! αὐτὸς δὲ οὗτος ὁ Προφήτης · Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ · τὰ κρίματά σου ἄβυσσος πολλή. Ἀλλὰ τῶν ἀντιγράφων ἔνια ἔχει, Ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ. Ὥστε τὴν προφητείαν εἰς τὸν Ἰούδαν ἐκφέρεσθαι · οὗτος γὰρ ἑαυτοῦ τοὺς λόγους διὰ τῶν εἰδώλων ἠπάλυνεν, ποτὲ μὲν τῶν πτωχῶν προσποιούμενος κήδεσθαι, ἵνα κλέπτῃ τὸ γλωσσόκομον · ποτὲ δὲ διὰ φιλήματος καὶ ἀσπασμοῦ τὸν Χριστὸν εἰρωνευόμενος.

« Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου. »

Εἰρῆσθαι μὲν αὐτὰ καὶ πρὸς ἡμᾶς πιστεύομεν· ἐὰν

Digitized by Google

γὰρ τῷ Θεῷ τὰς ἡμετέρας φροντίδας ἐπιῤῥίψωμεν, αὐτὸν τροφέα καὶ στηριγμὸν, ὥστε μηδαμῶς σαλεύθῆναι, εὑρήσομεν. Δοκεῖ δέ μοι τοῦ Ἰούδα μνησθεὶς ὁ Προφήτης, ἀναγκαίως καὶ τὸν Πέτρον ἠνίξασθαι, ἵνα σφάλματος ἀκουσίου καὶ παραπτώματος ἑκουσίου διαφορὰν ἐνδείξηται. Τὸν γὰρ Πέτρον ἕνεκα τοῦ σφάλματος τῆς ἀρνήσεως παραθαῤῥύνων, καὶ προτρέπων εἰς μετάνοιαν, ἐπιῤῥίψαι τῷ Θεῷ τὴν ὑπὲρ τούτων προτρέπεται μέριμναν, διατρέψαι τὸν μαθητὴν τῇ συγγνώμῃ δυνάμενον, καὶ μὴ συγχωροῦντα εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ γενέσθαι· ἀλλὰ κἂν ὑπομένῃ πρὸς καιρὸν, εὐθέως τοῦτον εἰς γαλήνην μεταβάλλοντα.

« Ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σέ. »

Ὁ πιστὸς λεγέτω τοῦτο· ἡ γὰρ εἰς Θεὸν ἐλπὶς τῶν κακῶν ἐλευθερίαν ἀγαθῶν τε πάντων παρουσίαν χαρίζεται.

ΨΑΛΜΟΣ ΝΕ'.

« Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, » κ. τ. λ.

Δοκεῖ πως ἐναντία εἶναι τῆς προγραφῆς τὰ ῥήματα. Ἐπεδήμησε μὲν γὰρ ὁ Δαβὶδ τῇ Γὲθ, ἡνίκα ἀπὸ Σαοὺλ ἐδραπέτευσεν· οὐ μὴν ἐπέσχον τὸν προφήτην οἱ ἀλλόφυλοι, ἀλλὰ καὶ μᾶλλον ἀπώσαντο, ἐπειδὴ ἐξεστηκότα καὶ παράφορον ἐν ταῖς θύραις κιθαρίζοντα, καὶ σίελον ἀπορῥίπτοντα τοῦ στόματος ὑπεκρίνατο, ὡς ἡ βίβλος τῶν Βασιλειῶν δείκνυσι. Τινὰ δὲ καὶ λαὸν μεμακρυμμένον ἀπὸ τῶν ἁγίων, ὑπὲρ οὗ τὸν ψαλμὸν ὁ Δαβὶδ ἔγραψε, ζητοῦντες κατὰ τὴν ἱστορίαν, οὐχ εὑρήσομεν. Οὐκοῦν ἀνάγκη νοητῶς ταῦτα, ὥσπερ δὴ τῷ Πνεύματι γέγραπται, παραδέχεσθαι. Ὑπὲρ γὰρ τοῦ λαοῦ τῶν ἐθνῶν τὸν ψαλμὸν ὁ Προφήτης συνέγραψεν, ὅστις μεμακρυμμένος ἀπὸ τῶν ἁγίων ἐτύγχανεν· οὐδεμιᾶς γὰρ κοινωνίας πρὸς πατριάρχας ἢ προφήτας ἐκέκτητο. Ἀλλ' ὅμως οἱ μακρὰν ἐγγὺς, καθά φησιν ὁ Παῦλος, ἐγένετο, ὅτε τὸν νέον Δαβὶδ ἐκράτησαν οἱ ἀλλόφυλοι ἐν Γὲθ, τουτέστιν ἐν τῇ ληνῷ (*Ληνὸς* γὰρ ἡ Γὲθ ἑρμηνεύεται)· ληνὸς δὲ καὶ ἡ Ἐκκλησία, διὰ τὸν Θεὸν, τὸν ἐν αὐτῇ ληνοβατοῦντα τὸ μυστήριον, λέγεται, ὡς διὰ τῆς Ἡσαΐου προφητείας, *Ληνὸν ἐπάτησα μόνος*, βοήσας εὑρίσκεται· ὥστε πρὸς αὐτὸν τὰς τῶν οὐρανῶν δυνάμεις τὰ τῆς αὐτῆς προφητείας ἀντιφθέγγεσθαι· *Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρης κατεπεπατημένου;*

« Ἐλέησόν με, ὁ Θεὸς, ὅτι κατεπάτησέ με. »

Πολλάκις δὲ καὶ ὁ ἡμῶν ἄνθρωπος τὸν χαλεπὸν τοῦτον ὑφίσταται πόλεμον, ὅλην τὴν ἡμέραν παρὰ τοῦ Σατανᾶ πολεμούμενος, καὶ παρ' αὐτοῦ πατούμενος. Εἰ γὰρ καὶ ἀνθρώπου ὁ ψαλμὸς ἐμνημόνευσεν, ἀλλ' ὅμως τὸν Σατανᾶν αὐτὸν, οὕτως ἐν τῇ θείᾳ Γραφῇ πολλάκις ὀνομαζόμενον, ἢ τινα τῶν ἐκείνῳ στρατευομένων αἰνίττεται. Πλὴν καὶ τὸν λαὸν τῶν ἐθνῶν ταῦτα ὑποψάλλειν ἁρμόδιον, χρόνῳ πολλῷ ὑπὸ τοῦ Σατανᾶ ἀπατηθέντα, καὶ τὸν παρ' αὐτοῦ πόλεμον διὰ

A sollicitudines nostras conjecerimus, ipsum et educatorem et firmamentum esse reperiemus, ne ulla ratione commoveamur. Cæterum cum Propheta Judæ fecerit mentionem, visus est mihi Petrum quoque necessario insinuasse, ut lapsus involuntarii et sceleris voluntarii differentiam indicaret. Petrum enim post negationis lapsum excitans, et ad pœnitentiam adhortans, monet, ut in Deum horum curam conjiciat, qui discipulum per indulgentiam enutrire possit, et non permissurus sit, ut justus in æterna fluctuatione versetur; sed si ad tempus eam sustinuerit, illico ipsum reducturus sit ad tranquillitatem.

« Ego autem sperabo in te, Domine. »

B Fidelis hoc dicat: nam spes in Deum malorum liberationem et bonorum omnium copiam largitur.

PSALMUS LV.

Vers. 1. « In finem, pro populo qui a sanctis longe factus est, » etc.

Verba tituli videntur quodammodo esse contraria. Siquidem David pervenit in Geth, quando Saulem fugiebat; non tamen prophetam alienigenæ retinebant, quin potius expellebant, quia se amentem et insanum simulabat in portis citharizando, et salivam oris projiciendo, uti liber Regum [40] declarat. Quem porro populum a sanctis elongatum dicat, pro quo David psalmum scripserit, secundum historiam quærentes, non facile reperiemus. Quamobrem necesse est hæc spiritaliter accipi, prout a Spiritu C sancto scripta sunt. Nam psalmum hunc Propheta conscripsit pro populo e gentibus, qui a sanctis longe factus fuit: nullam enim cum patriarchis et prophetis habebant communicationem. Verumtamen qui erant longe [41], ut Paulus ait, facti sunt prope, quando novum Davidem ceperunt alienigenæ in Geth, hoc est in torculari (Geth enim *torcular* interpretatur). Cæterum torcular etiam Ecclesia dicitur propter Deum, qui in ea ceu torculari sacramentum expressit; sicut per illud Isaiæ vaticinium: *Torcular calcavi solus*, exclamasse reperitur; ita ut ad ipsum cœlestes Virtutes quasi interrogando dicerent: *Quare rubra sunt vestimenta tua, et indumenta tua, sicut a calcato torculari pleno conculcato* [42]? D

Vers. 2. « Miserere mei, Deus, quoniam conculcavit me. »

Sæpenumero etiam noster homo difficile hoc bellum sustinet, a Satana toto die oppugnatus, et ab eo conculcatus. Etsi enim hic psalmus hominis meminerit, simul tamen ipsum Satanam, qui in divina Scriptura frequenter hoc nomine appellatur, aut ducem aliquem ipsi subordinatum insinuat. Quin imo consentaneum sit, hæc populum quoque gentium succinere; utpote longo tempore a Satana deceptum, ejusdemque bellum per dæmonum insidias

[40] I Reg. xxi, 13. [41] Ephes. ii, 13. [42] Isa. vi, 3.

Digitized by Google

sustinentem; quos in sequentibus insinuans, manifestius expressit.

VERS. 3. « Conculcaverunt me inimici mei. »

Non unam diem dicit, sed omnis temporis labentis spatium, quo inimici nostri spirituales ab alto nos oppugnare et conculcare minime cessarunt. Conculcarunt autem, quomodo? Per idololatriam et voluptates alios supplantantes, et postmodum prostratis insultantes. Nos itaque nequaquam ad terram, id est, ad terrena prosternamur; et nemo nos poterit conculcare : sed neque inimicos nostros excelsiores fieri permittamus, sed virtutum scalam conscendentes, insidiantes nobis ipsis inferiores efficiamus.

VERS. 4. « Diei non timebo. »

Si enim, inquit, in lumine ambulemus, et in die, quemadmodum Paulus ait, honeste ambulaverimus, merito neminem insidiantium formidamus, utentes adversus ipsos armatura fidei et spei in Deum.

VERS. 5. « In Deo laudabo. »

Cum omnis sermo, qui Dei notionem continet, laude ac celebratione dignus sit, ipsi, inquit, tanquam auctori laudes exhibeamus : et quæcunque in ipso loquimur, hæc bene dirigit, ac merito retributione digna constituit. Porro *carnem* frequenter carnales affectus et voluptates dici reperiemus; ut quando Paulus ait : *Scio enim quia non habitat in me, hoc est in carne mea, bonum*[44]; sæpe vero etiam hominem; sicut etiam David dixit : *Ad te omnis caro veniet*[45]. Spes igitur Dei et voluptatem frenat, et inimicum hominem coercet, et utrobique nos reddit imperterritos.

VERS. 6. « Tota die verba mea. »

Manifeste etiamnum Judæos innuit : hi enim verba fidelium, veluti infidelitatis suæ refutationem continentia, semper exsecrati sunt : a mane nimirum usque ad vesperam Paulo ad ipsos perorante, ipsi veritatem sermonis exsecrati, dissentientes, uti Lucas ait, *Discesserunt adversum me omnes cogitationes eorum in malum*. Nihil enim boni de gentibus Judæi cogitant (quoniam omnis homo malus profert malum) et omni ratione nos decipere conantur.

Nihil certe prophetia hac manifestius. Judæi enim Hierosolymis ejecti ob peccatum contra Christum, et universi orbis terrarum incolæ effecti [dispersionis hujus] causam interrogati, illam celant, et suum erga Christum delictum reticentes, alia peccata prætexunt. Certe nec idola jam colunt, neque prophetas occidunt. At cur celant? ne videlicet eorum confessio fiat fidei nostræ comprobatio. *Ipsi*, inquit, *calcaneum meum observabunt*. Siquidem Judæi etiam quodlibet delictum nostrum scrutantur : atque ita intelliges id quod Deus ad serpentem dixit : *Ipse observabit caput tuum, et tu observabis ejus*

A τῆς τῶν δαιμόνων ἐπιβουλῆς ὑπομείναντα, οὓς ἐν τοῖς ἑξῆς σαφέστερον ἔφησεν αἰνιττόμενος.

« Κατεπάτησάν με, οἱ ἐχθροί μου. »

Οὐ μίαν ἡμέραν λέγει, ἀλλὰ τοῦ χρόνου παντὸς τοῦ φθάσαντος τὸ διάστημα, ἐν ᾧ οἱ ἐχθροὶ ἡμῶν οἱ νοητοὶ ἀφ' ὕψους ἡμᾶς πολεμοῦντες καὶ πατοῦντες οὐκ ἐπαύσαντο. Κατεπάτουν δέ· πῶς; Διὰ τῆς εἰδωλολατρίας καὶ τῶν ἡδονῶν, τῶν ἄλλων σκελίσαντες, καὶ μετὰ τοῦτο κειμένοις ἐπεμβαίνοντες. Μὴ τοίνυν ἡμεῖς σκελισθῶμεν εἰς γῆν, τουτέστιν, εἰς τὰ γήϊνα· καὶ οὐδεὶς ἡμᾶς καταπατῆσαι δυνήσεται· ἀλλὰ μηδὲ τοὺς ἐχθροὺς ἡμῶν ὑψηλοτέρους γενέσθαι συγχωρήσωμεν, ἀλλὰ τῶν ἀρετῶν ἀναβάντες ἐπὶ κλίμακα, κατωτέρους ἑαυτῶν τοὺς ἐπιβούλους ποιήσωμεν.

« Ἡμέρας οὐ φοβηθήσομαι. »

B Ἐὰν γὰρ, φησὶν, ἐν τῷ φωτὶ περιπατῶμεν, καὶ ἐν ἡμέρᾳ, καθά φησιν ὁ Παῦλος, εὐσχημόνως περιπατήσωμεν, οὐδένα τῶν ἐπιβούλων εἰκότως φοβούμεθα, ὅπλῳ πρὸς αὐτοὺς πίστει τῇ εἰς Θεὸν καὶ ἐλπίδα χρώμενοι.

« Ἐν τῷ Θεῷ ἐπαινέσω. »

Ἐπειδὴ πᾶς λόγος θεογνωσίαν ἔχων, ἐπαίνου καὶ εὐφημίας ἄξιος, αὐτῷ, φησὶν, ὡς χορηγοῦντι τοὺς ἐπαίνους παράσχωμεν· καὶ ὅσα ἐν αὐτῷ λαλοῦμεν, ταῦτα κατευοδοῦται, καὶ εἰκότως ἀποδοχῆς καθέστηκεν ἄξια. *Σάρκα* δὲ πολλάκις τὰ σαρκικὰ πάθη λέγεσθαι καὶ τὰς ἡδονὰς εὑρήσομεν· ὡς ὅταν ὁ Παῦλος· *Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν*· πολλάκις δὲ καὶ τὸν ἄνθρωπον· ὥσπερ δὴ καὶ Δαβὶδ ἔλεγε· *Πρὸς σὲ πᾶσα σὰρξ ἥξει*. Ἡ τοῦ Θεοῦ τοίνυν ἐλπὶς καὶ τὴν ἡδονὴν χαλινοῖ, καὶ τὸν ἐχθρὸν ἄνθρωπον συμποδίζει, καὶ ἀφοβίαν ἡμῖν ἐξ ἑκατέρου δίδωσιν.

« Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου. »

Σαφῶς καὶ νῦν τοὺς Ἰουδαίους αἰνίττεται· οὗτοι γὰρ τοὺς λόγους τῶν πιστῶν, ὡς ἔλεγχον ἔχοντας τῆς αὐτῶν ἀπιστίας, διαπαντὸς ἐβδελύττοντο· ἀπὸ πρωὶ τοιγαροῦν ἕως ἑσπέρας τοῦ Παύλου πρὸς αὐτοὺς ῥητορεύοντος, ἐκεῖνοι τὴν ἀλήθειαν τοῦ λόγου βδελυξάμενοι, ἀσύμφωνοι, καθά φησιν ὁ Λουκᾶς. *Ἀνεχώρησαν κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν*. Οὐδὲν γὰρ ἀγαθὸν περὶ τῶν ἐθνῶν οἱ παῖδες τῶν Ἰουδαίων λογίζονται (ἐπειδὴ πᾶς ἄνθρωπος πονηρὸς προφέρει τὸ πονηρὸν), καὶ πάντα τρόπον ἡμᾶς ἀπατῆσαι πειράζουσιν.

D Οὐδὲν ἄρα τῆς προφητείας ταύτης σαφέστερον. Ἐκβληθέντες γὰρ τῆς Ἱερουσαλὴμ οἱ τῶν Ἰουδαίων παῖδες, καὶ πάροικοι πάσης τῆς γῆς διὰ τὴν εἰς Χριστὸν ἁμαρτίαν γενόμενοι, τὴν αἰτίαν ἐρωτώμενοι, κρύπτουσι, καὶ ἁμαρτίας ἑτέρας, τὴν κατὰ τὸν Χριστὸν σιωπῶντες, προβάλλονται. Καίτοι μήτε εἰδωλολατροῦντες νῦν, μήτε προφήτας φονεύοντες. Κρύπτουσι δὲ τίνος χάριν; Ἵνα μὴ συγκρότησις τῆς ἡμετέρας πίστεως ἡ παρ' αὐτῶν ὁμολογία γένηται. *Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι*, φησίν. Ἐρευνῶσιν γὰρ ἡμῶν Ἰουδαῖοι καὶ τὸ τυχὸν πλημμέλημα· καὶ οὕτω νοήσεις ὅπερ ὁ Θεὸς πρὸς τὸν ὄφιν ἐφθέγ-

[44] Rom. XIII, 13. [45] Rom. VII, 18. [46] Psal. LXIV, 3.

Digitized by Google

γειτο· *Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν.* Ἡμεῖς δὲ αὐτοῦ τὴν κεφαλήν, δηλαδὴ τὴν εἰδωλολατρίαν, τηρεῖν πρὸ πάντων κελευόμεθα, φυλάττεσθαι δὲ ὅμως καὶ τὰ λοιπὰ ἁμαρτήματα, κἂν ἔσχατα τυγχάνῃ, κἂν εὐτελῆ εἶναι δοκῇ, ὥστε πτέρναν νομίζεσθαι· ἐπειδήπερ παρατηρεῖ ταῦτα ὁ ἐχθρὸς, διαβάλλειν ἡμᾶς τῷ κριτῇ, καὶ διὰ τῶν τυχόντων βουλόμενος. Οὐκοῦν οὐ περὶ τῶν Ἰουδαίων μόνων, ἀλλὰ καὶ περὶ τῶν ὄντως ἐχθρῶν τῶν δαιμόνων τοῦτον ἁρμόττει τὸν στίχον ἐκλαμβάνεσθαι· καθ' ὃν ἁρμόττει καὶ τὰ ἑξῆς ἐπιφέρεσθαι.

« Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου. »

Μακάριοι ὧν ὁ Θεὸς τὰ δάκρυα δέχεται· παρακαλεῖ γὰρ αὐτῶν τὰ πάθη, καθάπερ διὰ τῆς οἰκείας ἐπαγγελίας ὑπέσχετο. Τίς δὲ ἡ ἐπαγγελία; *Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.*

ΨΑΛΜΟΣ ΞΔ'.

« Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ. »

Ἰστέον δὲ, ὡς τινες τῶν συγγραφέων μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον εὐετηρίαν ἔφασαν γεγονέναι, καὶ πλῆθος ὄμβρων, καὶ πολὺν ῥεῦσαι τὸν Ἰορδάνην, ὃν ἔφασαν εἰρῆσθαι τοῦ Θεοῦ ποταμόν· καίτοι γεγονότων ἐν πλείστῃ πενίᾳ, καθάπερ Ἔσδρας ἐδίδαξε, καὶ τῆς τῶν ἐθνῶν κλήσεως ἀπαιτούσης, ἀκόλουθα τὰ λοιπὰ τοῦ ψαλμοῦ. Οἱ δὲ μυθικῶς φασιν ἔσεσθαι ταῦτα μετὰ τὴν Ἰουδαίων ἐν ἐσχάτοις ἀνάκλησιν οἰκοδομηθησομένης τῆς Ἱερουσαλήμ.

ΨΑΛΜΟΣ ΞΕ'.

« Εἴπατε τῷ Θεῷ· Ὡς φοβερά. »

Οὕτω γὰρ τῷ μεγέθει τῶν περὶ σοῦ γινομένων περιβλέπτους ἀποφανεῖς τοὺς σοι προσήκοντας, ὡς πολλοὺς καὶ τῶν ἐναντίων ὑποκρίνεσθαι ψευδομένους τὴν σὴν δουλείαν· τοῦτο δὲ γέγονεν, ὅτε καὶ περιτμηθῆναι πολλοὶ τῶν ἐναντίων ἠνέσχοντο, ὑποκρινόμενοι τὸν Ἰουδαϊσμόν. Καὶ τούτου μάρτυς Ἰώσηππος ἐν τῇ ια' τῆς Ἀρχαιολογίας, τὰ κατὰ τὸν Μαρδοχαῖον διηγούμενος, καὶ λέγων οὕτως· Οἱ μὲν οὖν ἱππεῖς οἱ τὰς ἐπιστολὰς διακομίζοντες, εὐθὺς ἐξορμήσαντες, τὴν προκειμένην ὁδὸν ἤνυον· ὁ δὲ Μαρδοχαῖος, ἀναλαβὼν τὴν βασιλικὴν στολὴν, καὶ τὸν στέφανον τὸν χρυσοῦν, καὶ τὸν στρεπτὸν περιθέμενος, προῆλθεν· ἰδόντες δὲ αὐτὸν οὕτω τετιμημένον ὑπὸ τοῦ βασιλέως οἱ ἐν Σούσοις ὄντες Ἰουδαῖοι, κοινὴν ὑπέλαβον τὴν εὐπραγίαν. Χαρὰν δὲ καὶ σωτήριον φέγγος ἐκτιθεμένων τῶν τοῦ βασιλέως γραμμάτων, καὶ τοὺς κατὰ πάλιν τῶν Ἰουδαίων καὶ τοὺς κατὰ χώραν κατέσχον· ὡς πολλὰ καὶ τῶν ἄλλων ἐθνῶν διὰ[τὸν] τῶν Ἰουδαίων φόβον περιτεμνόμενα τὴν αἰδὼ, τὸ ἀκίνδυνον αὐτοῖς ἐκ τούτου πραγματευόμενα.

« Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός. »

Βουληθεὶς γὰρ πᾶσι δεῖξαι τὸ τῆς ἡμῶν εὐσεβείας ἀκίβδηλον, ταῦτα παθεῖν συνεχώρησας.

ΨΑΛΜΟΣ ΞΣ'.

« Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. »

calcaneum[46]. Nos autem ejus caput, nempe idololatriam, observare ante omnia jubemur; simul tamen etiam cavere reliqua peccata, quantumvis minima exsistant, quantumvis levia videantur, ita ut calcaneum reputentur; quandoquidem hostis hæc observet, volens ob quæcunque etiam nos apud judicem traducere. Itaque non in Judæos solos, sed in inimicos revera dæmones versiculus etiam iste quadrare putandus est; cui consonum sequentia quoque subjungi.

VERS. 9. « Posuisti lacrymas meas in conspectu tuo. »

Beati quorum lacrymas Deus admittit : consolatur enim eorum passiones, quemadmodum per propriam promissionem pollicitus fuit. Quæ autem hæc promissio? *Beati qui lugent, quoniam ipsi consolabuntur*[47].

PSALMUS LXIV.

VERS. 12. « Benedices coronæ anni. »

Porro sciendum, quomodo nonnulli scriptores post reditum e Babylone narrent uberrimum anni proventum exstitisse, et abundantes imbres, et magnam Jordanis inundationem, quem Dei flumen vocari tradiderunt : verumtamen cum in magna penuria versati fuerint, uti Esdras docuit, et gentium vocatio appeteret, huic reliqua quoque psalmi accommodanda sunt. Cæterum sunt qui fabulose dicant fore post hæc Judæorum sub extrema tempora revocationem et Hierosolymæ instaurationem.

PSALMUS LXV.

VERS. 3. « Dicite Deo : Quam terribilia. »

Adeo enim magnitudine rerum a te gestarum illustres reddidisti eos qui te contingebant, ut multi etiam adversariorum simularent tuam servitutem mentientes : hoc autem contigit, quando plurimi adversariorum se circumcidi passi sunt, Judaismum simulantes. Atque hujus rei testis est Josephus libro undecimo *Antiquitatum*, Mardochæi acta commemorans, et dicens in hunc modum : Veredarii itaque, qui has epistolas deferebant, illico proficiscentes, propositum iter confecerunt; Mardochæus vero, assumens stolam regiam et coronam auream, ac torquem circumponens, processit : videntes autem ipsum adeo honoratum a rege hi qui in Susis erant Judæi, felicitatem eam sibi communem esse arbitrati sunt. Ingens præterea gaudium, quasi nova salutis luce oborta, dum regiæ litteræ exhiberentur, Judæos omnes, quotquot vel urbem vel regionem incolebant, occupavit; ita ut multi aliarum gentium metu eorum circumcidentes verenda, securitatem sibi hoc pacto quærerent.

VERS. 10. « Quoniam probasti nos, Deus. »

Cum enim omnibus religionis nostræ sinceritatem demonstrare velles, hæc nos pati permisisti.

PSALMUS LXVI.

VERS. 2. « Deus misereatur nostri. »

[46] Gen. III, 15. [47] Matth. V, 5.

Digitized by Google

Eam quam prænoverat Salvatoris apparitionem petit cito fieri, ut benedictionem ex ipsa referamus. Apparet autem vultus omnium Conditoris, qui replet nos benedictione ac miserationibus, dum apparet nobis figura substantiæ ejus, et demonstrat semetipsum iis qui digni sunt : cum enim figura sit Dei invisibilis, qui mente pura ad ipsum accedit, is videt Patrem. *Qui* enim, inquit, *videt me, videt et Patrem*[48]. Tunc beneficiis affectos miseretur, ac *Benedicit omni benedictione spirituali in cœlestibus in Christo Jesu*[49].

Τὴν προέγνω τοῦ Σωτῆρος ἐπιφάνειαν αἰτεῖ θᾶττον γενέσθαι, τὴν ἐκ ταύτης ὅπως εὐλογίαν τρυγήσωμεν. Ἐπιφαίνεται δὲ τὸ πρόσωπον τοῦ πάντων Δημιουργοῦ, τὸ πληροῦν ἡμᾶς εὐλογίας καὶ οἰκτιρμῶν, ἐπιφανέντος ἡμῖν τοῦ χαρακτῆρος τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐμφανίσαντος ἑαυτὸν τοῖς ἀξίοις· ἐπεὶ γὰρ εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου, ὁ νῷ καθαρῷ προσβαλὼν αὐτῷ, ὁρᾷ τὸν Πατέρα. *Ὁ ἐμὲ* γάρ, φησιν, *ἑωρακὼς, ἑώρακε τὸν Πατέρα.* Τότε τοὺς εὐεργετουμένους οἰκτείρει, καὶ *Εὐλογεῖ πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ.*

Te enim vultum illuminante, cognoscitur via quæ ducit ad Patrem, cum dicat : *Ego sum via : et nemo venit ad Patrem, nisi per me*[50]. Idem etiam salutare erit in omnibus gentibus, cum impletum fuerit illud : *Videbit omnis caro salutare Dei*[51]. Dixeris quoque viam esse præcepta ejus, juxta illud : *Viam mandatorum tuorum cucurri*[52] ; et consequenter salutem, quam venit exhibere, ut tua in nos salus omnibus fiat manifesta.

Ἐπιφάνοντος γάρ σου τὸ πρόσωπον, γινώσκεται ἡ ὁδὸς ἡ πρὸς σὲ ἄγουσα τὸν Πατέρα, ὁ εἰπών· *Ἐγώ εἰμι ἡ ὁδός· καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.* Ὁ δὲ αὐτὸς ἔσται καὶ σωτήριον ἐν πᾶσιν ἔθνεσι, πληρωθέντος τοῦ, *Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.* Λέγοις δ' ἂν ὁδὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, κατὰ τό· *Ὁδὸν ἐντολῶν σου ἔδραμον·* καὶ καταλλήλως σωτηρίαν, ἣν ἐλήλυθε παρασχεῖν, ὥστε πᾶσι τὴν εἰς ἡμᾶς σου σωτηρίαν σαφῆ γενέσθαι.

PSALMUS LXVII.

Vers. 3. « Sicut deficit fumus. »

Facilis est peccatorum lapsus, tametsi sibi ipsis confidentes videantur. Quid enim fumo ut dissolvatur cariosius? quid item cera, quando a vehementi igne calefit? Hisce rebus Propheta peccatores comparavit : quando enim ignis gehennæ succensus fuerit, illico omnis de ipsis imaginatio evanescit.

ΨΑΛΜΟΣ ΞΖ'.

« Ὡς ἐκλείπει καπνός. »

Εὐχερὴς τῶν ἁμαρτωλῶν ἡ πτῶσις, εἰ καὶ σφόδρα ἑαυτοῖς πεποιθέναι νομίζουσι. Τί γὰρ καπνοῦ πρὸς τὸ λυθῆναι σαθρότερον; τί δὲ καὶ κηροῦ, ὅταν ὑπὸ πυρὸς σφοδροτέρου θερμαίνηται; Τούτοις τοὺς ἁμαρτωλοὺς ὁ Προφήτης συνέκρινεν· ὅταν γὰρ τὸ πῦρ τῆς γεέννης ῥιπισθῇ, πᾶσα ἡ περὶ αὐτοὺς φαντασία εὐθέως διαλύεται.

Vers. 5. « Cantate Deo. »

Solet nimirum Christus in prophetis appellari Oriens : *Ecce vir, Oriens nomen ejus : et subter eum orietur*[53]. Et iterum : *Orietur vobis timentibus nomen meum Sol justitiæ : et sanitas in pennis ejus*[54]. Cæterum licet per propriam lucem oriens exsistat, ascendit tamen supra occasum, pro curru sibi adaptans peccatores qui convertuntur ; ad quos dixit : *Tollite jugum meum super vos, quoniam suave, et onus meum, quia leve*[55]. Hos hortatur David, ut iter Deo faciant per pœnitentiam : siquidem in conspectu ejus non tantum veniam consequentur, verum etiam familiares reddili, exsultaturi sunt.

« Ἄσατε τῷ Θεῷ. »

Καὶ μὴν Ἀνατολὴ χρηματίζειν ἐν τοῖς προφήταις ὁ Χριστὸς εἴωθεν· *Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ· καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ.* Καὶ πάλιν· *Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου Ἥλιος δικαιοσύνης· καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.* Ἀλλ' εἰ καὶ ἀνατολὴ τυγχάνει διὰ τὸ οἰκεῖον φῶς, ἐπέβη ἐπὶ δυσμῶν, ὄχημα τοὺς ἁμαρτωλοὺς ἑαυτοῦ τοὺς πρὸς αὐτὸν ἐπιστρέψαντας θέμενος· πρὸς οὓς εἶπεν· *Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι χρηστὸς, καὶ τὸ φορτίον μου, ὅτι ἐλαφρόν.* Τούτους ὁδοποιῆσαι τῷ Θεῷ ὁ Δαβὶδ διὰ μετανοίας ἐντέλλεται· οὗτοι γὰρ ἐνώπιον αὐτοῦ οὐ μόνον συγγνώμης τυχόντες, ἀλλὰ καὶ οἰκειωθέντες, ἀγαλλιᾶσθαι μέλλουσιν.

Vers. 27. « In ecclesiis benedicite Deo. »

Ecclesia quoque dicitur domestica congregatio piorum ; quemadmodum et Paulus ait : *Salutant vos in Domino multum Aquila et Priscilla, cum domestica sua Ecclesia*[56]. Porro de fontibus Israel prophetarum et apostolorum Dominum ac Deum laudari cupit ; ut eo modo quo ipsi exposuerunt, sic et nos pro Deo celebremus.

« Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. »

Ἐκκλησία καὶ ἡ κατ' οἶκον συναγωγὴ τῶν εὐσεβούντων λέγεται· ὥστε καὶ Παῦλός φησιν· *Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν Ἐκκλησίᾳ.* Ἐκ πηγῶν δὲ Ἰσραὴλ τῶν προφητῶν καὶ ἀποστόλων τὸν Κύριον καὶ Θεὸν δοξολογεῖσθαι βούλεται· ἵνα καθ' ὃν τρόπον ἐκεῖνοι ἐξέθεντο, οὕτω καὶ ἡμεῖς περὶ Θεοῦ δοξάζωμεν.

Vers. 36. « Deus Israel ipse dabit virtutem. »

« Ὁ Θεὸς Ἰσραὴλ δώσει δύναμιν. »

[48] Joan. XIV, 9. [49] Ephes. I, 3. [50] Joan. XIV, 6. [51] Luc. III, 6. [52] Psal. CXVIII, 32. [53] Zach. VI, 12. [54] Malach. IV, 2. [55] Matth. XI, 29. [56] I Cor. XVI, 19.

Digitized by Google

Ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ Χριστός· περὶ γὰρ αὐτοῦ φησιν Ἡσαΐας· *Ὅτι σὺ ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἤδειμεν· ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ Σωτήρ.* Οὗτος ἰσχὺν καὶ δύναμιν τῷ λαῷ τῷ ἐξ ἐθνῶν, ὥστε τῆς πλάνης ἀποστῆναι, καὶ πρὸς αὐτὸν ἐπιστρέψαι χαρίζεται· οἵτινες ὡς λαὸς αὐτοῦ *Χριστιανοὶ* διὰ Χριστὸν ὀνομάζονται.

Deus Israel est Christus : de ipso enim Isaias ait : *Quoniam tu Deus noster, et nesciebamus : Deus Israel Salvator*[57]. Hic fortitudinem ac virtutem largitur populo ex gentibus, ut ab errore resiliat, et ad ipsum convertatur : qui tanquam populus ejus *Christiani* propter Christum nuncupantur.

ΨΑΛΜΟΣ ΞΗ'.

« Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης. »

Καὶ πῶς τις ἐλπίζων ἐπὶ τὸν Θεὸν τοὺς ὀφθαλμοὺς ἐκλείπει, καὶ οὐχὶ μᾶλλον νευροῦται καὶ ἰσχυρότερος γίνεται; Ἀλλ' ὀφθαλμοὺς ἑαυτοῦ τοὺς ἀποστόλους λέγει· περὶ ὧν ἐν Ἄσμασι λέγει· *Οἱ ὀφθαλμοί σου περιστεραὶ, ἐπὶ πληρώματα ὑδάτων*, εἰς τὴν δωρεὰν τοῦ βαπτίσματος· ἐκεῖ γὰρ τὴν μετουσίαν τοῦ Πνεύματος παρέσχε τοῖς πιστεύουσιν. Οὕτω κατὰ τὸν καιρὸν τοῦ πάθους ἐξέλιπόν τε καὶ ἐσκορπίσθησαν, ὁρῶντες Χριστὸν ἐπὶ τὸν Θεὸν τὸν Πατέρα τὸν οἰκεῖον ἐλπίζοντα, καὶ λέγοντα· *Ἐλωΐ, Ἐλωΐ, λαμασαβαχθανή*· ἠγνόουν γὰρ ὅτι τὴν δύναμιν τὴν οἰκείαν ὁ Θεὸς συνέστελλεν, ὥστε καιρὸν γενέσθαι τοῖς παθήμασιν.

« Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας. »

Τρίχας ἑαυτοῦ τοὺς πιστοὺς λέγει. Ὥσπερ γὰρ ἡ κεφαλὴ ἐπὶ ταῖς θριξὶν, οὕτω καὶ ὁ Χριστὸς ἐπὶ τοῖς πιστοῖς σεμνύνεται.

« Ἀπηλλοτριωμένος ἐγενήθην. »

Ξένος γέγονε κατὰ τὸν καιρὸν τοῦ πάθους, ὅτε πάντες οἱ μαθηταὶ αὐτοῦ ἀφέντες αὐτὸν ἔφυγον. Μητέρα δὲ νοήσεις τὴν τῶν Ἰουδαίων Συναγωγὴν, καὶ πᾶσαν τὴν κατὰ σάρκα συγγένειαν τῶν ἐκ περιτομῆς· υἱοὺς δὲ ταύτης, τοὺς ἀρνησαμένους αὐτὸν, καὶ εἰρηκότας· *Τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί.* Ξένον δὲ πάλιν ἡγοῦντο λέγοντες· *Οὐ καλῶς λέγομεν, ὅτι Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις;* Οὕτω ξένος γέγονε τοῖς υἱοῖς τῆς μητρὸς αὐτοῦ.

« Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον. »

Σάκκον γὰρ ἀληθῶς τὸ τραχὺ τῆς ἡμετέρας ἁμαρτίας ἐνεδύσατο.

« Κατ' ἐμοῦ ἠδολέσχουν. »

Τοὺς Ἰουδαϊκοὺς ἄρχοντας λέγει. Ἐν τῇ πύλῃ γὰρ ἔθος ἦν τὴν τῶν Ἰουδαίων γερουσίαν καθέζεσθαι· ὡς ἐκ τῆς ἱστορίας τῆς κατὰ τὴν Ῥοὺθ καὶ τὸν Βοὸζ κειμένης εὑρήσομεν.

« Καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες. »

Ποῖον οἶνον; Τὸν μυστικόν. Ἐκεῖνοι γὰρ οὐκ ἠδολέσχουν, ἀλλ' ἔψαλλον· ὡς περὶ Θεοῦ τοῦ Χριστοῦ τοὺς ὕμνους τοὺς προφητικοὺς λέγοντες.

Ἔτι περὶ τῶν Ἰουδαίων λέγει, οἵτινες αὐτὸν ἐμίσουν, ὡς εἰς πρόσωπον αὐτῶν ἐλέγχοντα τὴν ὑπόκρισιν· ἐν βάθει δὲ τὸ ὕδωρ τῆς κακίας ἐκέκτηντο, ὥστε ποτὲ μὲν αὐτὸν Ῥαββὶ, ποτὲ δὲ ἀληθῆ καὶ ἀπὸ Θεοῦ προσαγορεύειν ἄνθρωπον, τὴν πονηρίαν ἐν τῷ βάθει τῆς καρδίας ἀποκρύπτοντες.

PSALMUS LXVIII.

Vers. 3. « Veni in altitudinem maris. »

Et quomodo quis sperans in Deum oculis deficiat, et non potius corroboretur ac fortior evadat? Verum oculos suos vocat apostolos; de quibus in Canticis ait : *Oculi tui columbæ, super plenitudines aquarum*[58], [alludens] ad donum baptismatis : ibi enim Spiritus participationem præbuit credentibus. Sic tempore passionis defecerunt, et dissipati sunt, videntes Christum in Deum Patrem suum sperantem et dicentem : *Eloï, Eloï, lamma sabachthani*[59] : nesciebant nempe Deum virtutem propriam contraxisse, ut opportunitas daretur patiendi.

Vers. 5. « Multiplicati sunt super capillos. »

Capillos suos vocat fideles. Sicut enim caput in capillis, ita etiam Christus in fidelibus glorificatur.

Vers. 9. « Alienatus factus sum. »

Peregrinus factus est tempore passionis, quando omnes discipuli ejus dimittentes ipsum fugerunt. Matrem autem intelliges Synagogam Judæorum, et omnem secundum carnem cognationem eorum qui sunt de circumcisione; filios vero hujus, illos qui ipsum negaverunt et dixerunt : *Hunc autem nescimus unde sit*[60]. Rursus autem peregrinum arbitrati sunt dicentes : *Nonne bene dicimus, quia Samaritanus es tu, et dæmonium habes*[61]? Ita peregrinus factus est filiis matris suæ.

Vers. 12. « Et posui vestimentum meum cilicium. »

Cilicium vere asperum peccati nostri induit.

Vers. 13. « Adversum me loquebantur. »

Principes Judaicos dicit. Siquidem moris erat ut Judæorum seniores in porta sederent, sicut in historia Ruth et Booz reperiemus.

Vers. 15. « Et in me psallebant qui bibebant. »

Quale vinum? Mysticum. Illi enim non nugabantur, sed psallebant : nempe de Deo Christo hymnos propheticos recitantes.

Adhuc de Judæis agit, qui ipsum oderant, tanquam qui in faciem ipsorum hypocrisin redarguebat : in profundo autem aquam malitiæ recondebant, ita ut nonnunquam quidem ipsum Rabbi[62], aliquando vero veracem et hominem a Deo missum dicerent[63], malignitatem in fundo cordis abscondentes.

[57] Isa. XLV, 15. [58] Cant. V, 12. [59] Marc. XV, 34. [60] Joan. IX, 29. [61] Joan. VIII, 48. [62] Joan. III, 2. [63] Matth. XXII, 16.

Digitized by Google

VERS. 17. « Exaudi me, Domine. »

Et quid opus Unigenito exauditione, cum Patri par sit et æqualis? Ipsemet causam reddidit : *Quoniam benigna est misericordia tua.* Id est, Ideo opus habeo exaudiri, quia propter benignitatem tuam homo factus sum, et pro omnibus hominibus, cum jure Deus essem, hæc etiam suscipio.

VERS. 19. « Intende animæ meæ. »

Quid est *intende?* Vide, inquit, ipsam, quod non sit solum hominis, sed etiam Dei incarnati : quoniam non pro sua, sed pro communi libertate passiones assumpsit. Quia *potestatem habeo ponendi eam, et potestatem habeo iterum sumendi eam*[64]. Te autem simul pro ipsa deprecor propter carnis subjectionem.

Quoniam non pro meipso ista, sed pro tota natura humana sustinui; cujus cum peccata geram, necessario etiam eorumdem pudorem sustinui.

VERS. 22. « Et dederunt in escam meam fel. »

Hoc etiam crucis tempore impletum reperiemus[65] : nam Judæi tunc ei acetum et fel obtulerunt.

VERS. 29. « Deleantur de libro viventium. »

Etsi enim, inquit, inscripti sint primi propter patres suos qui apud Deum vivunt (unde etiam ipsis factæ sunt promissiones), verum cum talia fuerint ausi, deleantur, neque a Deo, inquit, inscribantur cum justis electis, et qui apud ipsum vita digni sunt, utpote qui auctorem salutis rejecerint.

VERS. 30. « Pauper et dolens sum ego. »

Laudem vocat laudationem, quæ ipsi ab universa creatura naturalibus motibus ipsum laudante profertur. Ecclesia igitur non solum communem illam cum creatura laudationem se oblaturam pollicetur, sed cum cantico celebraturam, id est, spiritalem atque intellectualem hymnodiam oblaturam. Hoc enim proprie est cantare Deo.

VERS. 31. « Laudabo nomen Dei cum cantico. »

Rationalis enim laudatio præ cultu legali Deo placet.

PSALMUS LXIX.

VERS. 2. « Deus, in adjutorium meum. »

Beatum est cum tanta fiducia Deum orare, ut etiam ipsum urgeamus ad nobis opitulandum. Primum autem Deum ut intenderet, et postmodum ut acceleraret, rogavit : si enim omnino intenderit quanam vel quali ope indigeamus, illico commiseretur; misertus autem accelerat, et non differt.

VERS. 3. « Confundantur, et revereantur. »

Qui animas nostras perdere quærunt, sunt maxime dæmones : sunt tamen etiam homines perversi aliqui, qui ad pravas actiones et absurdas voluptates nos provocent; verum neutri prædictorum possunt, nisi a nobis, unde nos prodant, acceperint, nisi ligatis animæ manibus obsecuti ipsis fuerimus. Ipsi

A « Εἰσάκουσόν μου, Κύριε. »

Καὶ τί χρῄζει ὁ Μονογενὴς εἰσακουσθῆναι, ἴσος ὢν τῷ Πατρὶ καὶ ὁμότιμος; Αὐτὸς τὴν αἰτίαν λέγει· *Ὅτι χρηστὸν τὸ ἔλεός σου.* Τουτέστι, Διὰ τοῦτο εἰσακουσθῆναι χρῄζω, ἐπειδὴ ἄνθρωπος διὰ τὴν σὴν φιλανθρωπίαν γέγονα, καὶ ὑπὲρ πάντων ἀνθρώπων, εἰκότως Θεὸς ὤν, καὶ ταῦτα ἀναδέχομαι.

« Πρόσχες τῇ ψυχῇ μου. »

Τί, *πρόσχες;* Ἴδε, φησὶν, αὐτὴν, ὅτι οὐκ ἔστι μόνον ἀνθρώπου, ἀλλὰ καὶ σαρκωθέντος Θεοῦ· ὅτι οὐχ ὑπὲρ αὐτῆς, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας τὰ πάθη κατεδέξατο. Ὅτι *Ἐξουσίαν ἔχω θεῖναι αὐτήν· καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.* Σοὶ δὲ ὅμως ὑπὲρ αὐτῆς διὰ τὴν ὑποταγὴν τῆς σαρκὸς προσεύχομαι.

B Ὅτι οὐχ ὑπὲρ ἐμαυτοῦ ταῦτα, ὑπὲρ δὲ ὅλης τῆς ἀνθρωπίνης ὑπέμεινα φύσεως· ἧς τὰς ἁμαρτίας ἔχων, ἀναγκαίως καὶ τὴν ὑπ' αὐτῶν αἰσχύνην ἐδάσταζον.

« Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. »

Κατὰ τὸν καιρὸν καὶ τοῦτο τοῦ σταυροῦ εὑρήσομεν πεπληρωμένον· ὄξος γὰρ καὶ χολὴν αὐτῷ τότε προσήνεγκαν οἱ Ἰουδαῖοι.

« Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων. »

Εἰ γὰρ καὶ πρῶτοι, φησὶν, ἐνεγράφησαν διὰ τοὺς παρὰ Θεῷ ζῶντας πατέρας αὐτῶν· ὡς καὶ αὐτοῖς δεδόσθαι τὰς ἐπαγγελίας· ἀλλ' οὖν τοιαῦτα τετολμηκότες, ἐξαλειφθήτωσαν, μηδὲ παρὰ Θεῷ, φησὶν, ἐγγραφήτωσαν μετὰ τῶν ἐκλελεγμένων δικαίων, καὶ τῆς παρ' αὐτῷ ζωῆς ὄντων ἀξίων, ὡς τὸν ἀρχηγὸν τῆς

C σωτηρίας παραιτησάμενοι.

« Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ. »

Αἶνον τὴν δοξολογίαν καλεῖ, ἥτις αὐτῷ παρὰ τῆς κτίσεως ὅλης φυσικοῖς κινήμασιν αὐτὸν δοξολογούσης προσφέρεται. Ἡ Ἐκκλησία τοίνυν οὐ μόνον τὴν μετὰ τῆς κτίσεως δοξολογίαν προσφέρειν ἐπαγγέλλεται, ἀλλὰ μετ' ᾠδῆς δοξάζειν, τουτέστι πνευματικὴν καὶ νοερὰν ὑμνῳδίαν προσφέρειν. Τοῦτο γάρ ἐστιν ἐπὶ Θεοῦ κυρίως τὸ ᾄδειν.

« Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς. »

Ἡ γὰρ λογικὴ αἴνεσις ὑπὲρ τὴν νομικὴν λατρείαν ἀρέσκει τῷ Θεῷ.

ΨΑΛΜΟΣ ΞΘ'.

« Ὁ Θεὸς, εἰς τὴν βοήθειαν. »

Μακάριον σὺν τοσαύτῃ παῤῥησίᾳ τῷ Θεῷ προσεύ-D χεσθαι, ὥστε καὶ κατεπείγειν αὐτὸν εἰς ἡμετέραν βοήθειαν. Πρῶτον δὲ προσέχειν τὸν Θεὸν, καὶ μετὰ τοῦτο ταχῦναι, προσηύξατο· ἐὰν γὰρ ὅλως πρόσῃ τίνος ἢ ποίας βοηθείας χρῄζομεν, παραχρῆμα σπλαγχνίζεται· σπλαγχνισθεὶς δὲ ταχύνει, καὶ οὐκ ἀναβάλλεται.

« Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν. »

Οἱ ζητοῦντες ἡμῶν τὰς ψυχὰς διαφθεῖραι, οἱ δαίμονές εἰσι μάλιστα· ζητοῦσι δὲ καὶ πρὸς τὰς φαύλας πράξεις, ἡδονάς τε ἀτόπους ἡμᾶς ἐρεθίζοντες ἄνθρωποι· ἀλλ' οὐδέτεροι τῶν εἰρημένων δύνανται, ἐὰν μὴ παρ' ἡμῶν τὴν καθ' ἡμῶν προδοσίαν παραλάβωσιν, ἐὰν μὴ τὰς χεῖρας τῆς ψυχῆς δήσαντες, οὕτως αὐτοῖς

[64] Joan. x, 18. [65] Matth. XXVII, 34.

Digitized by Google

ἀκολουθήσωμεν. Οὗτοι τοίνυν αἰσχύνονται, ὅταν ἡμᾶς ὑψηλοτέρους πολὺ τῆς παρ' αὐτῶν ἐπιβουλῆς καὶ κατορθοῦντας θεάσωνται.

« Ἀποστραφείησαν παραυτίκα. »

Παραυτίκα, τουτέστιν εὐθέως, καὶ ἀναβολῆς χωρίς. Τίνας δὲ ἐν τάχει καταισχυνθῆναι βούλεται; Τοὺς λέγοντας· *Εὖγε, εὖγε*· τουτέστι τοὺς ἐγγελῶντας, τοὺς κολακεύοντας, τοὺς ἀπατῶντας, τοὺς ἀποδεχομένους ὡς ἀγαθὰ τὰ βλαβερὰ καὶ θανάσιμα. Πλὴν ὅτι τοὺς μὲν νοητοὺς ἐχθροὺς καταισχυνθῆναι καὶ ἀποστραφῆναι μόνον, τοὺς δὲ αἰσθητοὺς διὰ τάχους προσεύχεται· εὐκολώτεροι γὰρ οὗτοι, ὡς ἀδελφοὶ τῇ φύσει, καὶ ὁμογενεῖς, καὶ ὁμόφυλοι.

« Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν. »

Σωτήριον τοῦ Πατρὸς ὁ Χριστὸς ὀνομάζεται· ἐν αὐτῷ γὰρ τοῦ γένους τῶν ἀνθρώπων ἡ σωτηρία πέπρακται. Ὅθεν καὶ Συμεὼν ἀπολαβὼν τὸν Χριστὸν ἐν ταῖς ἀγκάλαις ἔλεγε· *Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριόν σου.* Οἱ τοίνυν τοῦτο ἀγαπῶντες τὸ σωτήριον, διαπαντὸς τὸν Θεὸν μεγαλύνουσι, τουτέστι δοξάζουσιν· ὅτι, τὰ εἰδώλα καταλιπόντες, τὸν Θεὸν ἠγάπησαν, τὸν ὄντως σώζοντα καὶ λυτρούμενον.'

« Βοηθός μου καὶ ῥύστης μου εἶ σύ. »

Ὅτε γὰρ πάσης ἀνθρωπίνης βοηθείας ἐκπέσωμεν, τότε τὸν Θεὸν ἀντὶ πάντων εὑρήσομεν. Ἴσως δὲ καὶ ἐκ προσώπου ταῦτα τοῦ λαοῦ τῶν ἐθνῶν διαλέγεται· ᾧ καὶ πᾶς ὁ ψαλμὸς πρέπει· παρακαλοῦντος καὶ ἐπιταχύνοντος τοῦ Χριστοῦ τὴν βοήθειαν, καὶ καταισχυνθῆναι τοὺς νοητοὺς ἐχθροὺς, δηλαδὴ τοὺς δαίμονας, πολὺν τετυραννηκότας χρόνον, καθ' ἡμῶν ἱκετεύοντος. Οὗτος ὁ λαὸς πτωχὸς καὶ πένης· πτωχὸς διὰ τὴν ἁμαρτίαν, πένης διὰ τὴν ἀσέβειαν.

Βοηθὸς, ὡς ἰσχυρὸς ῥύστης, ὡς αὐτὸς ἐνέχυρον ὑπὲρ ἡμῶν τῷ θανάτῳ πρὸς μικρὸν, ὥστε ῥυσθῆναι τὴν ἡμετέραν αἰχμαλωσίαν διδόμενος. *Μὴ χρονίσῃς.* Ἀπέγνωσται γὰρ παρὰ πάντων ἰατρῶν ὁ ἄῤῥωστος. Διόπερ καὶ ὁ Ἀμβακοὺμ ἔλεγεν· Ἔτι μικρὸν, *Ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονίσει·* τοῦ Σωτῆρος ἐπιταχύνων τὴν ἄφιξιν.

ΨΑΛΜΟΣ Ο'.

« Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με. »

Καλῶς πρὸς τὸ, *μὴ καταισχυνθείην, ἐν τῇ δικαιοσύνῃ σου.* Εἰ γὰρ καὶ εἰς σὲ ἥμαρτον, ἀλλὰ τούτων με δικαίως ἀπαλλάξεις· ὅτι τε οὐδεμίαν ἔχουσι γνῶσιν τῆς σῆς ἰσχύος, καὶ ὅτι μάτην ἡμᾶς ἀδικοῦσι.

« Κλῖνον πρός με τὸ οὖς σου. »

Τουτέστιν, ὡς ἀσθενεῖ συγκατάβηθι. Κλῖνον τὸ οὖς σου ὡς ἁμαρτωλῷ, καὶ μὴ δυναμένῳ σὺν παῤῥησίᾳ προσεύξασθαι· ἢ, τὸ γοῦν ἀληθέστερον, ἔγγισον. Οὐδὲ γὰρ ἡμεῖς ἐγγίσαι τῷ Θεῷ χωροῦμεν, ἐὰν μὴ, ὁ πανταχοῦ παρὼν, ἐγγὺς ἡμῶν γένηται τῇ συμπαθείᾳ.

itaque confunduntur, quando nos insidiis suis longe superiores et recte agere conspexerint.

VERS. 4. « Avertantur statim. »

Statim, id est illico, et sine dilatione. Quos autem confestim vult erubescere? Qui dicunt : *Euge, euge*; id est, irrisores, adulatores, impostores, qui tanquam bona, ea quæ noxia et mortalia sunt, suscipiunt. Verumtamen spiritales quidem inimicos erubescere duntaxat et averti, sed sensibiles illos cum festinatione averti rogat : hi enim magis lubrici, utpote natura fratres, et ejusdem generis, et contribules.

VERS. 5. « Exsultent et lætentur. »

Salutare Patris nuncupatur Christus : in ipso enim generis humani salus facta est. Unde et Simeon Christum in ulnas excipiens dixit : *Nunc dimittis servum tuum, Domine, secundum verbum tuum, in pace, quia viderunt oculi mei salutare tuum* [66]. Qui igitur salutare hoc diligunt, semper Deum magnificant, id est glorificant; quoniam, relictis idolis, Deum dilexerunt, qui vere Salvator est ac Redemptor.

VERS. 7. « Adjutor meus et liberator meus es tu. »

Quando enim omni humana ope exciderimus, tunc Deum pro omnibus reperiemus. Fortassis vero etiam ex persona populi gentium hæc edisserit; cui etiam totus hic psalmus convenit; Christo nimirum invocante et accelerante auxilium, atque spiritales inimicos, scilicet dæmonas, qui longo tempore tyrannice nos oppresserant, confundi postulante. Hic populus egenus et pauper est : egenus quidem propter peccatum, pauper vero propter impietatem.

Adjutor, tanquam fortis liberator, ut qui semetipsum parvo tempore pro nobis in pignus morti dederit, ut captivitatem nostram redimeret. *Ne tardaveris.* Infirmus enim ab omnibus medicis depositus est. Propter quod etiam Habacuc dicit : Adhuc modicum, *quia veniens veniet, et non tardabit* [67]; Salvatoris adventum accelerans.

PSALMUS LXX.

VERS. 2. « In justitia tua libera me. »

Pulchre ad illud, *non confundar*, addit, *in justitia tua.* Etsi enim in te peccaverim, tamen ab his me juste liberabis : quia nullam habent fortitudinis tuæ notitiam, et temere nobis injuriam faciunt.

« Inclina ad me aurem tuam. »

Id est, tanquam infirmo condescende. Inclina aurem tuam tanquam peccatori, et non valenti orare cum fiducia; vel, quod verius est, appropinqua. Neque enim nos ad Deum appropinquare possumus, nisi is, qui omnibus præsens adest, propinquus nobis fiat per compassionem.

[66] Luc. II, 29. [67] Habac. II, 3.

Digitized by Google

VERS. 3. « Esto mihi in Deum protectorem. »

Peccatorem iniquum et injustum vocat diabolum; atque ex ejus manu (scilicet peccati, quod in insidiis latet voluptatum) postulat liberari. Quod si vero etiam a peccatoribus liberari petat, etiam hoc beatum est. Nam si quidem inimicus peccator sit, minime parcit; si vero amicus, etiam sic gravis est : nam qualia ipse nimirum comminiscitur, talia etiam amicis suadet. A peccatore igitur tam inimico quam amico etiam nos oremus liberari; cum hic quidem per amicitiam, ille vero per potentiam seu violentiam, uterque autem nequiter et inique noceat.

VERS. 8. « Repleatur os meum laude. »

Nemo Deum vel ea quæ Dei sunt laudare potest, nisi ab ipso sapientia et laude repletus fuerit. Quid porro laudare cupit? Dei gloriam et magnificentiam; id est magnalia Dei, et miracula valde glorificata, de quibus dixit : *Quam magnificata sunt opera tua, Domine! omnia in sapientia fecisti* [68].

« Ut cantem gloriam tuam. »

Magnificentiam vocat Spiritum : in ipso enim magna Dei miracula operaque fiunt. Totam vero diem vocat hanc vitam nostram.

VERS. 10. « Quia dixerunt inimici mei mihi. »

Dæmones custodiunt animas nostras non ad bonum, sed ad malum, observantes eas, et ut illaqueent insidiantes : hi namque, quando nobis insidias struxerint per peccatum, et ad bonum operandum debiles conspexerint, quasi derelictos a Deo, non solum nos persequi facta conspiratione volunt, sed etiam comprehendere satagunt; putant enim non esse qui nos liberet.

VERS. 12. « Deus meus, ne elongeris a me. »

Et quomodo Deus super omnes et in omnibus elongatur, nisi quando nos ejus præsentia indigna gesserimus? sicut per propheticam linguam ad Judæos dixit : Peccata vestra dividunt inter vos et Deum [69].

VERS. 21. « Multiplicasti super me magnificentiam. »

Magnificentia Dei est ejus ad nos condescensio : sicut enim maximus manet magnus, et pusillis condescendit. Quomodo autem suam ad nos condescensionem multiplicavit? Quando nimirum homo factus, ita nos ex errore reducens non terruit ut servos, sed consolatus est ut filios.

VERS. 22. « Nam et ego confitebor. »

Non tam in sensilibus instrumentis quam in corde puro et lingua temperata, et nil a sanctitate alienum proferente. Hæc enim revera vasa psalmi merito appellantur.

PSALMUS LXXI.

VERS. 6. « Descendet sicut pluvia in vellus. »

Dicit Unigeniti in Deipara Virgine exinanitionem : vellus autem uterum ejus merito nuncupavit; quia Dei Verbi adventum quiete ac sine strepitu, non

[68] Psal. CIII, 24. [69] Isa. LIX, 2

A « Γενοῦ μοι εἰς Θεὸν ὑπερασπαστήν. »

Ἀμαρτωλὸν παράνομόν τε καὶ ἄδικον καλεῖ τὸν διάβολον· ἐκ χειρός τε αὐτοῦ ῥυσθῆναι (δηλαδὴ τῆς ἁμαρτίας, ἣν ἐν ταῖς μεθοδείαις ἔχει τῶν ἡδονῶν) προτείνεται. Εἰ δὲ καὶ ἀνθρώπων ἁμαρτωλῶν λέγει ῥυσθῆναι, καὶ τοῦτο μακάριον. Εἰ μὲν γὰρ ἐχθρὸς ὁ ἁμαρτωλός, οὐ φείδεται· εἰ δὲ φίλος, βαρὺς καὶ οὕτως· οἷα γὰρ αὐτὸς ἄρα συμβουλεύει, τοῖς φίλοις καὶ προτρέπεται. Ἁμαρτωλοῦ τοίνυν ἐχθροῦ τε καὶ φίλου ῥυσθῆναι καὶ ἡμεῖς προσευξώμεθα· τοῦ μὲν διὰ φιλίας, τοῦ δὲ δυναστείας, ἑκατέρας ἀδίκου καὶ παρανόμου βλάπτοντος.

« Πληρωθήτω τὸ στόμα μου αἰνέσεως. »

B Οὐδεὶς ὑμνῆσαι τὸν Θεὸν οὐδὲ τὰ τοῦ Θεοῦ, ἐὰν μὴ πληρωθῇ παρ' αὐτοῦ σοφίας καὶ αἰνέσεως, δύναται. Τί δὲ ὑμνῆσαι βούλεται; Δόξαν Θεοῦ καὶ μεγαλοπρέπειαν· τουτέστι τὰ μεγάλα τοῦ Θεοῦ, καὶ λίαν δεδοξασμένα θαύματα, περὶ ὧν ἔλεγεν· *Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας.*

« Ὅπως ὑμνήσω τὴν δόξαν σου. »

Μεγαλοπρέπειαν τὸ Πνεῦμα καλεῖ· ἐν αὐτῷ γὰρ τὰ μεγάλα τοῦ Θεοῦ θαύματα καὶ τὰ κατορθώματα γίνεται. Ἡμέραν δὲ ὅλην τὸν βίον τὸν ἡμέτερον.

« Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί. »

Φυλάσσουσιν ἡμῶν τὰς ψυχάς, οὐκ εἰς ἀγαθόν, ἀλλ' εἰς κακὸν οἱ δαίμονες, ἐπιτηροῦντες αὐτάς, ὥστε καὶ παγιδεῦσαι ἐνεδρεύοντες· οὗτοι γάρ, ὅταν ἡμᾶς τηρήσαντες διὰ τὴν ἁμαρτίαν, καὶ πρὸς ἀγαθοεργίας C ἀσθενήσαντας ἴδωσιν, ὡς καταληφθέντων ὑπὸ Θεοῦ, ἐν ὁμονοίᾳ βούλονται οὐ μόνον καταδιῶξαι, ἀλλὰ καὶ καταλαβεῖν σπουδάζοντες· δοκοῦσι γὰρ οὐκ εἶναι τὸν ῥυόμενον.

« Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ. »

Καὶ πῶς ὁ Θεὸς ἐπὶ πάντων καὶ ἐν πᾶσι μακρύνεται, ἀλλ'[ἢ] ὅταν ἡμεῖς τῆς αὐτοῦ παρουσίας ἀνάξια πράξωμεν; ὥσπερ διὰ τῆς προφητικῆς γλώττης πρὸς Ἰουδαίους ἔλεγεν· Αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀναμέσον ὑμῶν καὶ τοῦ Θεοῦ.

« Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην. »

Μεγαλωσύνη Θεοῦ ἡ πρὸς ἡμᾶς συγκατάβασις· ὡς γὰρ μέγιστος μένει μέγας, καὶ τοῖς μικροῖς συγκατέρχεται. Πῶς δὲ τὴν πρὸς ἡμᾶς συγκατάβασιν D ἐπλεόνασεν; Ὅταν δηλονότι γενόμενος ἄνθρωπος, οὕτω τε ἡμᾶς ἐκ τῆς πλάνης ἐπιστρέψας οὐκ ἐφόβησεν ὡς δούλους, ἀλλ' ὡς υἱοὺς παρεκάλεσεν.

« Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι. »

Οὐ τοσοῦτον τοῖς αἰσθητοῖς ὅσον ἐν καρδίᾳ καθαρᾷ, ἐν γλώττῃ σωφρονούσῃ, καὶ μηδὲν φθεγγομένῃ ἀγιωσύνης ἀλλότριον. Ταῦτα γὰρ ἀληθῶς σκεύη ψαλμοῦ δικαίως ὀνομάζεται.

ΨΑΛΜΟΣ ΟΑ'.

« Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. »

Τὴν κένωσιν τοῦ Μονογενοῦς τὴν εἰς τὴν Θεοτόκον Παρθένον λέγει· πόκον δὲ αὐτῆς τὴν γαστέρα δικαίως ἐκάλεσεν· ἐπειδὴ τοῦ Θεοῦ Λόγου τὴν ἐπιδημίαν

Digitized by Google

ἡσυχῇ καὶ ἀψοφητί, καθάπερ πόκος τὸν ὑετὸν, ἐδέ- A secus ac vellus pluviam, suscepit. Hoc ipsum autem etiam de stillicidiis dicens.

Vers. 9. « Coram illo procident Æthiopes. »

Νῦν μὲν ἑκόντες, ἐν δὲ τῷ μέλλοντι καὶ ἄκοντες. Οὔπω γὰρ, κατὰ τὸν Ἀπόστολον, ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Ἀλλὰ *τότε κάμψει αὐτῷ πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.* Ἐχθροὶ δὲ αὐτοῦ λείχοντες χοῦν, οἱ τὰς τῆς σαρκὸς ἡδυπαθείας τιμῶντες.

Nunc quidem voluntarii; in futuro autem sæculo etiam inviti. Nondum enim, secundum Apostolum, videmus ipsi omnia subjecta. Sed tunc *flectetur ipsi omne genu, cœlestium, terrestrium et infernorum*[70]. Inimici autem ejus qui pulverem lingunt, sunt illi qui carnis voluptatibus dediti sunt.

« Ἐκ τόκου καὶ ἐξ ἀδικίας. »

Vers. 14. « Ex usura et iniquitate. »

Πείσει τοίνυν, φησὶ, τοὺς ἀδικίᾳ καὶ πλεονεξίᾳ χαίροντας, ἐλέῳ καὶ φιλανθρωπίᾳ κεχρῆσθαι. Τοῦτο δὲ ἦν ὅπερ ἐπεσημήνατο ἡ τοῦ Εὐαγγελίου Γραφὴ φήσασα· *Τούτους τοὺς δώδεκα ἐξελέξατο ὁ Ἰησοῦς, οὓς καὶ ἀποστόλους ὠνόμασεν.*

Permittet igitur, inquit, eos qui injustitia et avaritia gaudebant misericordia et clementia frui. Hoc autem erat id quod insinuabat evangelica Scriptura dicens : *Elegit duodecim ex ipsis Jesus, quos et apostolos nominavit*[71]. B

« Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν. »

« Et honorabile nomen eorum. »

Ποῖον ὄνομα; Ὁ Χριστὸς, ἀφ' οὗ Χριστιανοὶ κεκλήμεθα. Οὕτω γὰρ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον τῶν δι' αὐτοῦ σωθέντων καὶ πιστευσάντων καθέστηκεν· ὥστε τοὺς μὲν πλούτου, τοὺς δὲ ἀξίας, τοὺς δὲ καὶ αὐτῆς τῆς ζωῆς καταφρονῆσαι, ἵνα μὴ τὸ τῶν Χριστιανῶν ἀρνήσασθαι ὑπομείνωσιν ὄνομα.

Quale nomen? Christus, a quo Christiani appellati sumus. Tam enim honorabile est nomen ejus in conspectu eorum qui per ipsum servati sunt, ac crediderunt; ut alii quidem divitias, alii vero dignitates, alii denique vitam ipsam contempserint, ne Christianorum nomen negasse putarentur.

« Καὶ προσεύξονται περὶ αὐτοῦ. »

Vers. 15. « Et adorabunt de ipso. »

Οὐδὲ γὰρ ἐν ἐκκλησίαις μόνον, ἀλλὰ καὶ ἐν ἀγοραῖς καὶ ἐν οἴκοις διηνεκῶς ἡ τοῦ Χριστοῦ εὐλογία, τουτέστι δοξολογία, παρὰ τῶν εἰς αὐτὸν πεπιστευκότων κηρύττεται.

Non solum enim in ecclesiis, sed etiam in compitis et in domibus assidue Christi benedictio, id est honorifica prædicatio, fit a credentibus in ipsum.

« Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. »

Vers. 17. « Et benedicentur in ipso omnes tribus terræ. » C

Πᾶσαι γὰρ φυλαὶ, πᾶσαι γλῶσσαι καὶ χῶραι, πρότερον ἐν τῇ πλάνῃ διάγουσαι, νῦν συμφώνως τὴν εὐλογίαν ἐδέξαντο· ὅθεν αὐτὸν καὶ μακαριοῦσι· ποῖον μακαρισμὸν, ἢ πάντως τὸν ἐν τοῖς Εὐαγγελίοις κείμενον· *Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας;*

Omnes enim tribus, omnes linguæ ac regiones, quæ prius in errore versabantur, nunc concorditer benedictionem receperunt : unde ipsum quoque beatum prædicant : quali beatitudine? nisi omnino illa quæ in Evangeliis habetur : *Beatus venter qui te portavit, et ubera quæ suxisti*[72].

« Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ. »

Vers. 18. « Benedictus Dominus Deus Israel. »

Διὰ τί δὲ διπλασιάζει τὸ, *Γένοιτο;* Ἐπιταχῦναι τὴν ἡμετέραν ἐλευθερίαν βουλόμενος καὶ τὴν τῶν δικαίων ἐλπίδα. Ὅταν γὰρ ἡ γῆ πληρωθῇ τῆς δόξης τοῦ Χριστοῦ, τότε ὁ παρὼν κόσμος συντελεῖται, καὶ ἡ βασιλεία τῶν οὐρανῶν ἐμφανίσεται.

Cur autem geminat illud *Fiat?* Nempe accelerari cupiens nostram libertatem ac spem justorum. Quando enim terra Christi gloria fuerit adimpleta, tunc præsens mundus consummabitur, ac regnum cœlorum manifestabitur.

ΨΑΛΜΟΣ ΟΒ'.

PSALMUS LXXII.

« Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ! »

Vers. 1. « Quam bonus Deus Israel! »

Πόδας καὶ διαβήματα τὰς πρακτικὰς πορείας καὶ τὰ τῆς διανοίας προσαγορεύων κινήματα, ὡς αὐτὸς ἡμᾶς ἐν ἑτέρῳ μέρει τῆς τῶν Ψαλμῶν προφητείας ἐδίδαξε, *Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου,* λέγων. Καὶ πάλιν· *Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου.* Οὐ μὴν ἐσαλεύθη τοὺς πόδας· τουτέστι, τὴν πολιτείαν ἐπὶ τὸ χεῖρον οὐκ ἔτρεψεν, οὐδὲ ἐξεχύθη τὰ διαβήματα· οὐδὲ γὰρ τὰς ὁρμὰς τῆς ψυχῆς εἰς ἀσωτίαν ἔτρεψεν. D

Pedes ac gressus vocat practicos progressus ac mentis motiones, prout ipse nos in alia prophetiæ Psalmorum parte docuit dicens : *Lucerna pedibus meis lex tua* [Vulgata *verbum tuum*], *et lumen semitis meis.* Et iterum : *Gressus meos dirige secundum eloquium tuum*[73]. Haud sane moti sunt pedes; id est, vitæ institutum ad malum non divertit, neque effusi sunt gressus : nam animi impetus non laxavit ad intemperantiam.

« Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ. »

Vers. 4. « Quia non est respectus in morte. »

Οὐ γὰρ ἔστιν ἀνάνευσις ἐκ τοῦ θανάτου τῆς ἁμαρτίας, σαφῶς δὲ τὸ εἰρημένον ἐν Παροιμίαις· πάσχου-

Non enim est respectus ex morte peccati. Perspicue autem patiuntur id quod in Proverbiis dictum

[70] Philip. II, 10. [71] Luc. VI, 13. [72] Luc. XI, 27. [73] Psal. CXVIII, 105.

Digitized by Google

est. *Impius cum inciderit* [Vulgata *venerit*] *in profundum malorum, contemnit* [74].

Neque humana pati sustinent. Cernis quantum ad claritatem conferat etiam unica dictio rei apposita. Poterat enim dixisse, In laboribus non sunt; *in laboribus hominum* adjunxit. Hominem autem hic intellige qui custodit dignitatem partis rationalis, et virtutibus est præditus; vel eum qui, quando aberraverit, per pœnitentiam iterum dirigitur ad Deum. In hisce hominum laboribus non sunt peccatores, neque cum hominibus flagellantur: id est, cum justis non laborant et operantur; de quibus etiam dicitur: *Unusquisque propriam mercedem accipiet secundum suum laborem* [75]. Neque cum labentibus et spem salutis habentibus flagellantur: ad quos scriptum est: *Quem diligit Dominus castigat; flagellat autem omnem filium quem suscipit* [76].

Vers. 6. « Circumamicti sunt iniquitate. »

De quibus oportuerat erubescere, in his gloriantur, ita ut quasi tegumentis et umbraculo delictis utantur. Pulchre autem sibi mutuo hæc delicta conjunxit: quoniam homines ut plurimum ex superbia in iniquitatem et in avaritiam prolabuntur.

Non possunt autem hæreticorum vel maledicorum verba diu prævalere; sed terram pertranseunt, cum paucos aliquos per transennam læserint. Fideles hoc intelligentes, licet seducti fuerint, revertuntur: de quibus sequentia cecinit Psalmista.

Vers. 13. « Et dixi: Ergo sine causa justificavi. »

Id est, Ergo frustra cogitationes, frustra actiones emundavi, et cor quidem justificavi, nihil in eo injustum cogitans; manus autem inter innocentes lavi, in bonis nimirum actionibus, quæ non habent vitam ex peccato: id est, damnum non reputavi: siquidem damnum revera animæ est peccatum, quod Dei amicitiam lædit, quæ est bonum præstantissimum.

Vers. 14. « Et fui flagellatus. »

Qui enim seipsum flagellat pro delictis suis, et propriam reprehensionem in matutinis, scilicet in lumine, et non in tenebris, collocat, hic in cogitationibus et actionibus purus exsistit. Reprehenditur autem in lumine, qui libertatem præbet increpantibus, sapiens illud oraculum observans, quod in Proverbiis dicitur: *Argue sapientem, et diliget te* [77]. In tenebris vero versatur is qui monentes fugit; in quem alter versiculus Proverbii quadrat: *Argue stultum, et adjiciet ut oderit te.*

Vers. 21. « Quoniam inflammatum est cor meum. »

Ipsemet, inquit, etiam ad nihilum redigor; id est, fragilis effectus sum; quandoquidem inflammatum est cor meum in avaritiam, manifestum quoque est renes meos immutatos esse; intellige autem ad libidinem. Quando enim aliquis peccatorum felicitate

A σιν· Ἀσεβὴς ἐμπεσὼν εἰς βάθη κακῶν, καταφρονεῖ.

Οὐδὲ τὰ ἀνθρώπινα παθεῖν ὑπομένουσιν. Θεωρεῖς ἡλίκον εἰς σαφήνειαν δύναται καὶ λέξις μία προστεθεῖσα τῷ πράγματι. Ἐξὸν γὰρ εἰπεῖν, Ἐν κόποις οὐκ εἰσὶν, Ἐν κόποις ἀνθρώπων, προσέθηκεν. Ἄνθρωπον δὲ ἐνταῦθα νόει τὸν φυλάττοντα τοῦ λογικοῦ τὸ ἀξίωμα, τόν τε ἐν ἀρεταῖς ὄντα· ἢ τὸν, ὅταν πταίσῃ, διὰ μετανοίας τῆς ἐπιφερομένης παρὰ Θεοῦ διορθούμενον. Ἐν τούτοις τούτων κόποις οὐκ εἰσὶν οἱ ἁμαρτωλοὶ, οὐδὲ μετὰ ἀνθρώπων μαστίζονται· τουτέστιν, οὐ μετὰ δικαίων κοπιῶσι καὶ ἐργάζονται· καὶ περὶ ὧν εἴρηται· *Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται καὶ τὸν ἴδιον κόπον.* Οὐδὲ μετὰ τῶν ὀλισθησάντων καὶ ἐλπίδα σωτηρίας ἐχόντων μαστίB ζονται· εἰς οὓς γέγραπται· *Ὃν ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.*

« Περιεβάλοντο ἀδικίαν. »

Ἐφ' οἷς ἐχρῆν αἰσχύνεσθαι, ἐπὶ τούτοις σεμνύνονται, ὥστε καθάπερ περιβολαίοις καὶ σκέπῃ τοῖς πλημμελήμασι χρήσασθαι. Καλῶς δὲ ἀλλήλοις ταῦτα συνῆψε τὰ πλημμελήματα· ἀπὸ γὰρ τῆς ὑπερηφανίας εἰς ἀδικίαν ὡς τὰ πολλὰ καὶ εἰς πλεονεξίαν ἄνθρωποι πίπτουσι.

Οὐ δύναται δὲ τῶν αἱρετικῶν ἢ τῶν βλασφήμων ἐπικρατεῖν ἄχρι πολλοῦ τὰ ῥήματα· διέρχονται δὲ τὴν γῆν, ὀλίγους τινὰς κατὰ πάροδον βλάπτοντα. Τοῦτο συνιέντες οἱ πιστοὶ, κἂν τύχωσι πλανηθέντες, C ἐπιστρέφουσι· περὶ ὧν τὰ ἑξῆς ὁ Ψαλμῳδὸς ἐμελῴδησε.

« Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα. »

Τουτέστιν, Ἄρα μάτην τοὺς λογισμοὺς, μάτην τὰς πράξεις ἐκάθηρα, καὶ τὴν καρδίαν μὲν ἐδικαίωσα, μηδὲν ἐν αὐτῇ λογιζόμενος ἄδικον· τὰς χεῖρας δὲ ἐν ἀθώοις ἔπλυνα, ἐν ἀγαθαῖς δηλαδὴ πράξεσι ταῖς οὐκ ἐχούσαις τὴν ἐξ ἁμαρτίας ζωήν. Τουτέστι, Ζημίαν οὐ διελογιζόμην· ζημία γὰρ ὄντως ψυχῆς ἡ ἁμαρτία, Θεοῦ φιλίαν αὐτὴν ζημιοῦσα, τῶν ἀγαθῶν τὸ κάλλιστον.

« Καὶ ἐγενόμην μεμαστιγωμένος. »

Ὁ γὰρ ἑαυτὸν μαστιγῶν ἐφ' οἷς ἐπλημμέλησε, καὶ τὸν οἰκεῖον ἔλεγχον εἰς τὰς πρωΐας, ἐν φωτὶ δηλαδὴ, καὶ οὐκ ἐν σκότῳ, τιθέμενος, οὗτος ἐν λογισμοῖς καθαρεύει καὶ πράξεσιν. Ἐλέγχεται δὲ ἐν φωτὶ μὲν D ὁ παῤῥησίας μεταδιδοὺς τοῖς ἐλέγχουσιν, ὁ τὸ σοφὸν ἐκεῖνο λόγιον ἐπιτηρῶν, ὅπερ ἐν Παροιμίαις εἴρηται· *Ἔλεγξαι σοφὸν, καὶ ἀγαπήσει σε.* Ἐν σκότῳ δὲ ὁ φεύγων τοὺς ἐντρέποντας· εἰς ὃν ὁ δεύτερος στίχος τῆς Παροιμίας ἥρμοσεν· *Ἔλεγχε τὸν ἄφρονα, καὶ προσθήσει τοῦ μισῆσαί σε.*

« Ὅτι ἐξεκαύθη ἡ καρδία μου. »

Ἐξουδένωμαι, φησὶ, καὶ αὐτός· τουτέστιν, Ἐν εὐτελείᾳ γέγονα· ἐπειδὴ ἐξεκαύθη ἡ καρδία μου εἰς πλεονεξίαν, εὔδηλον καὶ οἱ νεφροί μου ἠλλοιώθησαν· εἰς ἡδονὰς δὲ νόησον. Ὅταν γάρ τις ὑπὸ τῆς τῶν ἁμαρτωλῶν εὐθηνίας δολωθεὶς, ἐρεθισθῇ πρὸς τὴν

[74] Prov. XVIII, 3. [75] I Cor. III, 8. [76] Hebr. XII, 6. [77] Prov. IX, 8.

Digitized by Google

ἐκείνων μίμησιν, παραχρῆμα ἐξουθενεῖται, καὶ φαυλίζεται, ἐκ τοῦ οἰκείου μεταπεσὼν ἀξιώματος. Σφόδρα δὲ ἁρμοδίως προστέθεικε τὸ, *Οὐκ ἔγνων*· ἐπειδήπερ ἀγνοοῦσιν οἱ πολλοὶ τὴν συμβαίνουσαν αὐτοῖς ἐκ τῶν ἁμαρτημάτων εὐτέλειαν· οἱ μὲν ὡς ἱερεῖς, οἱ δὲ ὡς ἄρχοντες, ἐκ τοῦ περικειμένου σχήματος ἀπατώμενοι.

« Κτηνώδης ἐγενήθην παρὰ σοί. »

Κτήνους γὰρ ἴδιον τὸ πλανᾶσθαι, καὶ πάλιν ἀπὸ τῆς πλάνης ῥάβδῳ τυχὸν ἢ χαλινῷ μετατίθεσθαι. Εἰ; καιρὸν δὲ τὸ *παρὰ σοὶ* καὶ *μετὰ σοῦ* προσέθηκε, τὸν λόγον ἀσφαλιζόμενος· ἐπειδή τινές εἰσι, τῷ διαβόλῳ κτηνῶν δίκην ἀνοήτων ἑπόμενοι· περὶ ὧν εἴρηται, *Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς*. Ἀλλὰ πῶς εἶναι διαπαντὸς μετὰ τοῦ Θεοῦ, ὁ τὴν ὁρμὴν ὅλως εἰ καὶ πρόσκαιρον ἐσχηκὼς ἐπὶ τὸ χεῖρον δύναται; Ἢ δῆλον, ὡς οὐχ ἁμαρτάνων τῇ προθέσει, ἀπατώμενος δὲ πέπονθε· διόπερ ἀνακοπεὶς τῷ χαλινῷ τῷ νόμῳ παραχρῆμα ἐπέστρεψε.

« Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; »

Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ἀπὸ τῶν βιωτικῶν δηλαδὴ καὶ ἀνθρωπίνων πραγμάτων. Ὅταν γὰρ ἐκεῖθεν ἐκλίπῃ, τουτέστιν, ὅταν ἀπ' αὐτῶν ἀναχωρήσῃ καὶ παύσηται, τότε μερίδα τὸν Θεὸν ἕξει εἰς τὸν αἰῶνα· κτῆμα δὲ αὐτοῦ τῆς καρδίας ἐξαίρετον γίνεται, ὥστε Θεὸς αὐτῆς διὰ τὴν κτῆσιν καὶ τὴν ἐνοίκησιν λέγεσθαι.

ΨΑΛΜΟΣ ΟΓ'.

« Ὡς ἐν δρυμῷ ξύλων. »

Ἀξίνας τὰς βλασφήμους τῶν Ἰουδαίων νοήσεις γλώσσας, τὰς δὲ αὐτὰς πέλυκα καὶ λαξευτήριον· καὶ θαυμαστὸν οὐδέν· ἀλλαχοῦ γὰρ μάχαιραν ὀξεῖαν αὐτὰς προσηγόρευσεν. Αὗται τοίνυν ἐξέκοψαν, φησὶ, καὶ κατέῤῥαξαν τὰς θύρας αὐτῆς, δηλαδὴ τὰς εἰσόδους τῆς εἰς Χριστὸν πίστεως.

Ὄνομα δὲ τοῦ Πατρὸς ὁ Υἱός, ὡς αὐτὸς γνωρίζων τὸν Πατέρα, καὶ δι' αὐτοῦ γνωριζόμενος. Τούτου τὸ σκήνωμα (φησὶ δὲ τὴν οἰκονομίαν) εἰς γῆν τοῖς πάθεσιν ἐβεβήλωσαν· ἐν οὐρανῷ γὰρ δεδοξασμένος καὶ κατὰ τὸν καιρὸν τῶν παθημάτων ἔμεινεν.

« Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν. »

Ποίας δὲ ἑορτάς; δῆλον ὡς ἐκείνας, αἵτινες ἀπὸ τῆς ἐπιδημίας τοῦ Σωτῆρος ἠλπίζοντο, οἷον ἀῤῥωστημάτων ἴασις, πλάνης ἀπαλλαγὴ, θεογνωσίας εἴσοδος. Αὗται γὰρ ἀληθῶς ἑορταὶ Θεοῦ, χαίρειν ἀτελεύτητα τὸν ἄνθρωπον, καὶ πανηγυρίζειν διαπαντὸς παρέχουσαι. Ταύτας τοίνυν διὰ τῆς εἰς αὐτὸν ἐπιβουλῆς ἀνελεῖν ἐφαντάσθησαν.

« Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου. »

Δράκοντα καθόλου πᾶσαν ἀντικειμένην προσαγορεύει δύναμιν· τοῦτο μὲν, ὡς ἰὸν ἀναιρετικὸν ἔχουσαν· τοῦτο δὲ πρὸς ἀνάμνησιν τοῦ γεγονότος ἐν παραδείσῳ δράματος, ὅτε τὸν ὄφιν ὑπεισελθὼν ὁ ἐχθρὸς ἠπάτησε τὸν πρωτόπλαστον ἄνθρωπον. Τούτων τὰς κεφαλὰς συνέτριψεν ὁ Χριστὸς ἐν τῷ ὕδατι, αὐτός τε

deceptus, ad eorum imitationem fuerit incitatus, illico ad nihilum redigitur, et depravatur, a propria dignitate decidens. Valde autem accommodate adjunxit istud, *Et nescivi;* quia plurimi ignorant vilitatem quæ ipsis accidit ex peccatis; alii quidem tanquam sacerdotes, alii vero tanquam principes, ex adjacenti specie decepti.

Vers. 23. « Ut jumentum factus sum apud te. »

Jumenti enim proprium est errare, et rursum ab errore sive virga sive freno revocari. Opportune autem istud, *apud te*, et, *tecum* addidit, sermonem confirmans : quandoquidem aliqui sunt qui diabolo, instar jumentorum insipientium, adhærent : de quibus dicitur : *Comparatus est jumentis insipientibus, et similis factus est illis*[78]. Sed quomodo cum Deo semper esse possit, qui affectum omnino temporalem aut ad malum habuit? Unde manifestum, quod non ex animi destinatione peccarit, sed ex deceptione hoc passus sit; quare freno legis revocatus illico resiliit.

Vers. 25. « Quid enim mihi est in cœlo? »

Defecit cor meum et caro mea, a sæcularibus nimirum et humanis negotiis. Quando enim inde defecerit, id est, quando ab iis recesserit atque cessaverit, tunc partem suam habebit Deum in sæcula; cordis autem ejus possessio fit eximia, ita ut per possessionem et inhabitationem Deus ejus appelletur.

PSALMUS LXXIII.

Vers. 6. « Quasi in silva lignorum. »

Secures blasphemas Judæorum linguas intelliges, easdem vero etiam esse securim et asciam : et nihil hoc mirum est : alibi enim illas appellavit gladium acutum[79]. Hæ igitur, inquit, exciderunt et confregerunt januas ejus, scilicet ingressus fidei ad Christum.

Nomen autem Patris est Filius, utpote qui Patrem notificet, et per ipsum notus fiat. Hujus tabernaculum (ait autem dispensationem) in terra passionibus polluerunt : in cœlo enim etiam tempore passionis gloriosum permansit.

Vers. 8. « Dixerunt in corde suo. »

Quales autem solemnitates? Clarum est quod illas, quæ post adventum Salvatoris sperabantur, verbi gratia, infirmitatum curationes, erroris depulsio, divinæ cognitionis accessio. Hæ siquidem revera solemnitates Dei sunt, quæ hominem faciunt sine fine gaudere, et continuam solemnitatem celebrare. Has itaque per insidias ipsi structas e medio tollere cogitabant.

Vers. 13. « Tu confirmasti in virtute tua. »

Draconem universim omnem adversariam appellat potestatem : partim quidem, eo quod venenum mortiferum contineat; partim vero in recordationem ejus quod in paradiso gestum est, quando inimicus serpentem subingressus protoplastum hominem decepit. Horum capita Christus contrivit in

[78] Psal. XLVIII, 13. [79] Psal. LVI, 5.

Digitized by Google

aqua, cum ipse baptizatus fuit, et hominibus baptismum tradidit. Porro spiritualium draconum caput est peccatum.

VERS. 15. « Tu dirupisti fontes et torrentes. »

Quemadmodum enim ipse per Spiritum sanctum gratias infundit, ita exsiccat et aufert errores, quos utique etiam fluvios Etham jure merito appellavit. Etham enim rubus seu sentis interpretatur, ista planta autem in divina Scriptura propter malos fructus perstringitur.

VERS. 16. « Tuus est dies, et tua est nox. »

Creatorem creaturæ suæ memorem reddit, nequaquam quidem ejus oblitum, sed volens illam in omnibus confiteri, quod ejus creatura sit, cum tam multiplicem ac varium ordinem habeat, ut dies quidem nocti succedat, æstati vero ver cedat, terminis quoque terra circumscribatur, licet propter magnitudinem videatur immensa. Quorum unumquodque Deum Creatorem suum, qui hæc scite disposuit, manifestat.

VERS. 19. « Ne tradas bestiis. »

Pauperes vocat peccatores, qui nullas habent divitias justitiæ, sed omnem paternam substantiam devorarunt : horum Deus, uti par est, oblitus esse putatur, dum longanimitate utitur, et supplicium ipsorum differt.

PSALMUS LXXIV.

VERS. 2. « Confitebimur tibi, Deus. »

Adverte clare, quod confessio quidem plurimorum sit, enarratio vero mirabilium Dei, unius fuerit e multis, confitentis atque invocantis; quare priora quidem in persona plurali posuit. Verumtamen duplicem etiam confessionem Deo oblaturi, ipsum invocare debemus; unam quidem verbis, alteram vero operibus exhibentes : verbis quidem in oratione, operibus vero ab iis recedentes, pro quibus confiteri ac pœnitere nos dicimus. Sic enim Deus nostram, utpote mundorum, invocationem admittit. Cæterum monet quoque ut enarremus propria mirabilia, quæ in Scripturis divinitus inspiratis continentur.

VERS. 3. « Cum accepero tempus. »

Tempus vocat sæculum futurum. Nunc enim non habet tempus nos judicandi, cum multi peccatores et multi item justi in alterutrum convertantur.

VERS. 7. « Quoniam neque ab exitibus. »

Hoc, inquit, est ex probatione atque judicio Dei exaltantis et humiliantis quemcunque voluerit: *Dominus* enim *pauperem facit et ditat, humiliat et exaltat* [80]; non tamen absque ratione : sed illos quidem per divitias, illos vero per paupertatem probantis.

PSALMUS LXXVI.

VERS. 5. « Anticipaverunt vigilias oculi mei. »

Optimum ad contemplandum tempus est noctis, cum non ad alia distrahit neque auditus, neque visus, quorum alterutrum mentem ad se allicit,

βαπτισθεὶς, καὶ παραδοὺς τοῖς ἀνθρώποις βαπτίζεσθαι. Κεφαλὴ δὲ τῶν νοητῶν δρακόντων ἡ ἁμαρτία.

« Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους. »

Ὥσπερ γὰρ αὐτὸς ἐνεργεῖ διὰ τοῦ ἁγίου Πνεύματος τὰ χαρίσματα, οὕτω ξηραίνει καὶ ἀναιρεῖ τὰ τοῦ πλάνου, ἅπερ δὴ καὶ τὸ ποταμοὺς Ἐθὰμ εἰκότως προσηγόρευσεν. Ἠθὰμ γὰρ *βάτος* ἑρμηνεύεται. Ἐπὶ φαύλοις δὲ τοῦτο καρποῖς παρὰ τῇ θείᾳ Γραφῇ τὸ φυτὸν διαβάλλεται.

« Σή ἐστιν ἡ ἡμέρα, σή ἐστιν ἡ νύξ. »

Ἀναμιμνήσκει τῆς ἑαυτοῦ δημιουργίας τὸν κτίσαντα, ἐκλελησμένον μὲν οὐδαμῶς, ὁμολογεῖσθαι δὲ αὐτὴν παρὰ πάντων, ὡς αὐτοῦ κτίσμα τυγχάνει, βουλόμενος, πολλὴν οὕτω τάξιν καὶ παντοδαπὴν ἔχουσαν, ὡς τὴν μὲν ἡμέραν τῇ νυκτὶ παραχωρεῖν, τῷ θέρει δὲ τὸ ἔαρ ὑπεξίστασθαι, ὅροις μετρεῖσθαι τὴν γῆν, καίτοιγε διὰ τὸ μέγεθος δοκοῦσαν ἀμέτρητον. Ὧν ἕκαστον Δημιουργὸν τὸν Θεὸν, ἐπιστημόνως αὐτὰ διαταξάμενον, δείκνυσιν.

« Μὴ παραδῷς τοῖς θηρίοις. »

Πένητας τοὺς ἁμαρτωλοὺς καλεῖ, τοὺς μηδένα πλοῦτον δικαιοσύνης ἔχοντας, πᾶσαν δὲ τὴν πατρῴαν καταφαγόντας ὕπαρξιν· τούτων ὁ Θεὸς εἰκότως ἐπιλελῆσθαι νομίζεται μακροθυμῶν, καὶ τὴν ἐπ' αὐτοῖς δίκην ὑπερτιθέμενος.

ΨΑΛΜΟΣ ΟΔ'.

« Ἐξομολογησόμεθά σοι, ὁ Θεός. »

Πρόσχες σαφῶς, ὅτι τὸ μὲν ἐξομολογεῖσθαι πολλῶν, τὸ δὲ διηγεῖσθαι σοῦ τοῦ Θεοῦ τὰ θαυμάσια, ἑνὸς ἐκ πολλῶν ἦν, ἐξομολογουμένου καὶ ἐπικαλουμένου· διὸ πληθυντικῷ μὲν προσώπῳ τὰ πρότερα. Πλὴν ἀλλὰ καὶ διπλῆν ἐξομολόγησιν τῷ Θεῷ προσφέρειν οἱ μέλλοντες, αὐτὸν ἐπικαλεῖσθαι χρῄζομεν· τὴν μὲν τοῖς λόγοις, τὴν δὲ τοῖς ἔργοις· λόγοις μὲν ἐν προσευχῇ, ἔργοις δὲ ἀναχωροῦντες ἐκείνων ἐφ' οἷς ἐξομολογεῖσθαι καὶ μεταμελεῖσθαι λέγομεν. Οὕτω γὰρ ἡμῶν ὁ Θεὸς, ὡς καθαρθέντων, τὴν ἐπίκλησιν δέχεται. Ἐπιτρέπει δὲ καὶ διηγεῖσθαι τὰ οἰκεῖα θαυμάσια, ὅσα ταῖς Γραφαῖς ταῖς θεοπνεύστοις ἐμφέρεται.

« Ὅταν λάβω καιρόν. »

Τὸν καιρὸν λέγει τὸν αἰῶνα τὸν μέλλοντα. Νῦν γὰρ οὐκ ἔχει καιρὸν ἡμῶν ἡ κρίσις, πολλῶν μὲν ἁμαρτωλῶν, πολλῶν δὲ δικαίων μεταβαλλομένων εἰς θάτερον.

« Ὅτι οὔτε ἀπὸ ἐξόδων. »

Ἐκ τῆς τοῦ Θεοῦ, φησὶ, δοκιμασίας καὶ κρίσεως ὑψοῦντος καὶ ταπεινοῦντος ὃν βούλεται· *Κύριος* γὰρ *πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ*, οὐ μὴν ἀλόγως· ἀλλὰ τοὺς μὲν διὰ πλούτου, τοὺς δὲ διὰ πενίαν δοκιμάζοντος.

ΨΑΛΜΟΣ ΟΣΤ'.

« Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. »

Ἄριστος εἰς θεωρίαν ὁ τῆς νυκτὸς καιρὸς, οὐκ ἀφελκούσης πρὸς ἕτερα οὔτε τῆς ἀκοῆς, οὔτε τῆς ὄψεως, ὧν ἑκάτερα τὸν νοῦν εἰς αὐτὴν περισπᾷ, τῆς

[80] I Reg. xxiii, 7.

Digitized by Google

θεωρίας ἀφέλκουσα· ἐν ταύτῃ τοίνυν ἠδολέσχησε, περὶ τὰς θεωρητικὰς κινήσεις ἀσχολούμενος. Τοῦτο γὰρ ἀδολεσχίαν ἐπὶ τοῦ παρόντος εἰρῆσθαι προλαβόντες ἐδείξαμεν. Ἐσκαλλε δὲ νῦν αὐτοῦ τὸ πνεῦμα· τουτέστιν, ἐδυσχεραίνεν, οὔπω καταλαβεῖν περὶ τούτων δυνάμενον. Ὁ παρὼν βίος, δι' ἄγνοιαν νύξ, ἐν ᾧ, φησὶν, οὐχ ὕπνῳ παρέδωκα κατ' ἄλλους τινὰς ἐμαυτὸν (*Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν*)· νήφων δὲ μετὰ τοῦ νόμου περὶ τῶν πρακτέων διελεγόμην. Πρόσκαιρα γὰρ εἶναι τὰ παρόντα μαθὼν, καὶ τέλος ἕξειν, κατέλαβον τὰ περιεστηκότα δεινά. Γεωργικῶς δὲ τὸ ἐμὸν ἐσκάλευον πνεῦμα, ἵνα σπείρας ἐν αὐτῷ θερίσω ζωὴν αἰώνιον. *Ὁ σπείρων γὰρ εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.* Ἀνωτέρω μὲν οὖν πνεῦμα ἔλεγε τὴν ψυχήν· ἐνταῦθα δὲ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, μεθ' οὗ ἡ ψυχὴ σκάλλει τε καὶ ἀδολεσχεῖ· οὐ γὰρ δήπου τὸ σῶμα μετὰ τῆς ψυχῆς. Ἡ οὖν κυρίως ἀνθρώπου ψυχὴ ἀδολεσχεῖ μετὰ τοῦ νοῦ, καὶ σκάλλει τὸ πνεῦμα συνεζευγμένον τῷ νῷ. *Προσεύξομαι γὰρ τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ.*

« Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. »

Ἡ δεξιὰ δὲ τοῦ Πατρὸς ὁ Μονογενὴς ἀντικρυς, ὥσπερ εἰς τὸ κρεῖττον ἡμᾶς ἠλλοίωσεν.

« Ἐμνήσθην τῶν ἔργων Κυρίου. »

Θαυμάσια τοῦ Θεοῦ μὲν πολλὰ περὶ τὴν κτίσιν καὶ ἕτερα· ἐξαίρετον δὲ, ὅτι, χοῦν λαβὼν, ζῶον ἔθετο λογικὸν, καὶ οἰκείαν εἰκόνα κατέστησε. Ταῦτα περὶ ἡμᾶς ἀπ' ἀρχῆς τοῦ Θεοῦ θαυμάσια, ἅπερ ἡμῶν χάριν εἰργάσατο· φαίνεται γὰρ παράδεισον φυτεύσας, εἶτα πάλιν ἀποκλείσας, κατακλυσμὸν ἐπαγαγὼν, δι' οὗ καὶ τιμωρεῖται, καὶ σώζει, τὸ ἡμέτερον φύραμα συγχέας τῶν πυργοποιούντων τὰς γλώσσας. Ἀλλὰ καὶ δι' ἡμᾶς φαίνεται, ἐπὶ τῷ φυσικῷ νόμῳ, νόμον γραπτὸν εὑρὼν, ἐπὶ τούτῳ τὴν προφητείαν. Ἐπιτηδεύματα γὰρ ταῦτα τοῦ Θεοῦ, σῶσαι μηχανωμένου τὸ γένος τὸ ἡμέτερον· ἐν οἷς ὁ προφήτης ἀδολεσχεῖ, ἐν τούτοις ζητῶν ἐπὶ πολὺ καὶ λογιζόμενος, τί σώζει τῶν εἰρημένων τὸν ἄνθρωπον. Ἕτερον δὲ παρὰ ταῦτα εὑρὼν, εὐθέως τοῦτο ἐπήγαγεν·

« Τίς μέγας ὡς ὁ Θεὸς ἡμῶν; »

Οὐ συγκρίνων λέγει (σύγκρισιν γὰρ ὁ ἀπειρομεγέθης οὐκ ἐπιδέχεται), ὑμνῶν δὲ καὶ θαυμάζων· ἐπειδὴ μέγας μὲν ὄντως καὶ τὴν ἰσχὺν, μέγας δὲ καὶ τὴν συγκατάβασιν, μέγας διὰ δυναστείαν, μέγας διὰ τὴν φιλανθρωπίαν, ὡς δείκνυσι τὰ ἐπαγόμενα.

« Ὡδήγησας ὡς πρόβατα τὸν λαόν. »

Οὐ μάτην ἐνταῦθα τῇ εἰκόνι τῶν προβάτων ἐχρήσατο· ἀλλ' ἐπειδὴ ῥάβδῳ ταῦτα ὑπὸ τῶν ποιμένων εὐθύνεται, ὥσπερ καὶ ἡμεῖς τῷ σταυρῷ παρὰ Χριστοῦ ποιμαινόμεθα. Ὅθεν καὶ τοῦ Μωσέως, ἔτι δὲ καὶ τοῦ Ἀαρὼν ἐμνημόνευσεν, οἵτινες τύπον τοῦ σταυροῦ ῥάβδον ἐκόμιζον, τῶν ἐν Αἰγύπτῳ καὶ κατὰ

eam abstrahens a contemplatione: in hac igitur exercitabar, anxius circa contemplativas motiones. Hoc enim in præsentiarum exercitationem appellari superius ostendimus. Nunc autem spiritum suum scopebat, seu sarriebat: id est, ægre ferebat, quod necdum hæc concipere valeret. Præsens hæc vita propter ignorantiam nox est, in qua, inquit, non, ut aliqui alii, somno me tradidi (*Qui enim dormiunt, nocte dormiunt; et qui ebrii sunt, nocte ebrii sunt*[81]); sed sobrius cum lege de rebus agendis disserebam. Cum enim præsentia didicissem esse temporaria et finem habitura, instantia mala suscepi. Ad modum autem agriculturæ spiritum meum sarriebam, ut in eo seminans meterem vitam æternam. Nam *qui seminat in spiritu, de spiritu metet vitam æternam*[82]. Superius siquidem spiritum vocavit animam; hic autem spiritum hominis qui in ipso est, cum quo anima scopit seu fodit et se exercet (non enim corpus cum anima hoc facit). Proprie igitur anima hominis exercet se cum mente, et sarrit spiritum menti conjunctum. *Orabo* enim *spiritu, orabo et mente*[83].

Vers. 11. « Hæc mutatio dexteræ Excelsi. »

Dextera autem Patris est Unigenitus, qui quasi e diverso nos in melius immutavit.

Vers. 12. « Memor fui operum Domini. »

Multa quidem et varia Dei mirabilia circa creationem acciderunt; sed hoc eximium, quod, pulverem accipiens, animal rationale condiderit, et propriam imaginem constituerit. Hæc sunt ab initio Dei circa nos mirabilia, quæ nostri causa operatus fuit: apparet enim paradisum plantasse, deinde iterum destruxisse, diluvium inducens, per quod massam nostram et punit et servat, confundens linguas turrificum. Cæterum propter nos quoque videtur, præter legem naturalem, scriptam legem adinvenisse, et post hanc, prophetiam. Hæc enim sunt opera Dei, genus nostrum servare satagentis: in quibus propheta exercitatur, seu meditatur, hæc inquirens et recogitans, quid ex prædictis hominem servet. Cum autem præter hæc aliud aliquid reperisset, statim illud subjunxit:

Vers. 14. « Quis magnus sicut Deus noster? »

Non comparando hæc dicit (siquidem is qui infinitæ magnitudinis est comparationem non admittit), sed laudando, et admirando: quoniam revera magnus quidem est per fortitudinem, magnus vero etiam per condescensionem, magnus per benignitatem, sicut sequentia declarant.

Vers. 11. « Deduxisti sicut oves populum. »

Non temere hic usus est figura ovium, sed quia istæ a pastoribus virga diriguntur, sicut etiam nos cruce a Christo pascimur. Unde etiam adhuc Moysis, quin et Aaronis mentionem fecit, qui crucis figuram gestabant virgam, tot miraculorum in Ægypto et in deserto genitricem. Quemadmodum

[81] I Thess. v, 7. [82] Galat. vi, 8. [83] II Cor. xiv, 15.

Digitized by Google

enim illi virga inimicorum in Israelis beneficium, sic etiam Christus cruce contra dæmones ad nostram conversionem usus est.

PSALMUS LXXVII.

Vers. 5. « Et suscitavit testimonium in Jacob. »

Testimonium appellatum fuit tabernaculum testimonii, in quo reposita erat arca testamenti, et in arca lex, et Cherubim, et propitiatorium, et candelabra, et mensa, et propositio panum.

Vers. 6. « Ut cognoscat generatio altera. »

Vides quod de gentibus dicat: nondum enim hæ natæ erant ad pietatem, siquidem per baptismum erant generandæ; unde merito dicebantur *filii qui nascentur*. Hæc vera Dei notitia est, alios etiam participes facere cognitionis, et filios efficere per doctrinam mandatorum: quod manifesto fecerunt qui in Christum crediderunt. Nemini enim divinam cognitionem invidebant, neque ut præcedentes credebant aliis introitum occludere volentes; sed hortantur ut in Deum spem habeant.

Vers. 7. « Ut ponant in Deo spem.

Hæc omnibus domesticis et externis in ecclesia prædicantur, in qua Paulus ad universos clamat: *Filioli mei, quos iterum parturio, donec formetur Christus in vobis*[84].

Vers. 8. « Et non est creditus cum Deo spiritus ejus. »

Nam omnino sola lingua fidem annuntiarunt, non autem toto corde et mundo spiritu.

Vers. 15. « Dirupit petram in eremo. »

Fortassis aliqui putant prophetam idem signum bis exposuisse: verum non ita se res habet, sed secundo ipsis Moyses aquam de petra eduxit; semel quidem in deserto Choreb, altera vero vice in Cades, ubi Maria post obitum sepulta fuit. Utraque vero ad satietatem data, ita ut in abysso multa dicatur, quandoquidem non uni fluvio, sed plurimis aquæ suppeditandæ sufficiebat. Hæc enim erat confirmatio, quod secundum veritatem, non per imaginationem ista miracula ipsis contigissent. Acerbam autem increpationem populi Judæorum exposuit; eo quod, cum tanta miracula accepissent, et a pristinis peccatis abstinere debuissent, alia desuper istis adjecerint, non simpliciter peccantes, sed *ipsi*, id est, contra ipsum delinquentes, qui hæc signa præbuerat.

Vers. 21. « Et ira ascendit in Israel. »

Irascebatur enim ipsis Dominus, quia videbat illos nequaquam fidelem erga se animum habere, sed semper quidem datis muneribus ingratos, non datis vero incredulos exsistere. Idcirco dicit, *Nec speraverunt in salutari ejus*, Christum dicens: quem salutare suum plurimi prophetæ nominarunt; et

[84] Galat. IV, 19.

A τὴν ἔρημον ἐγκύμονα θαυμάτων. Καθάπερ γὰρ ἐκεῖνοι τῇ ῥάβδῳ τῶν ἐχθρῶν εἰς τὴν τοῦ Ἰσραὴλ εὐεργεσίαν, οὕτω καὶ ὁ Χριστὸς τῷ σταυρῷ κατὰ τῶν δαιμόνων ἐπιστροφῆς ἕνεκα τῆς ἡμετέρας κέχρηται.

ΨΑΛΜΟΣ ΟΖ'.

« Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ. »

Μαρτύριον ἐκαλεῖτο ἡ σκηνὴ τοῦ μαρτυρίου, ἐν ᾗ ἀπέκειτο ἡ κιβωτὸς τῆς διαθήκης, καὶ ὁ ἐν κιβωτῷ νόμος, τά τε Χερουβίμ, καὶ τὸ ἱλαστήριον, καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων.

« Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα. »

Θεωρεῖς ὅτι περὶ τῶν ἐθνῶν λέγει· οὔπω γὰρ ταῦτα τεχθέντα ὑπῆρχεν εἰς εὐσέβειαν· ἔμελλε γὰρ διὰ B βαπτίσματος τίκτεσθαι· ὅθεν *υἱοὶ τεχθησόμενοι* δικαίως ἐλέγοντο. Τοῦτο γνῶσις ἀληθῶς Θεοῦ, τὸ μεταδοῦναι καὶ ἄλλοις τῆς γνώσεως, καὶ υἱοὺς τῇ μαθητείᾳ τῶν ἐντολῶν ἐργάσασθαι· ὅπερ σαφῶς πεποιήκασιν οἱ εἰς Χριστὸν πιστεύσαντες. Οὐδενὶ γὰρ τῆς θεογνωσίας ἐβάσκηναν, οὐδὲ ὡς οἱ προλαβόντες ἐπίστευσαν, ἀποκλεῖσαι τοῖς ἄλλοις τὴν εἴσοδον βουλόμενοι· ἀλλὰ παρεγγυῶσιν ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα ἔχειν.

« Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα. »

Ταῦτα πᾶσι τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις ἐπὶ ἐκκλησίας κηρύττεται, ἐν ᾗ Παῦλος πᾶσι βοᾷ· *Τεκνία μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν*.

« Καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα C αὐτῆς. »

Γλώττῃ γὰρ πάντως μόνῃ τὴν πίστιν ἐπηγγείλαντο, οὐχὶ δὲ ὅλῃ καρδίᾳ καὶ καθαρῷ τῷ πνεύματι.

« Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ. »

Τάχα πού τινες δοκοῦσιν ὅτι δὶς αὐτὸ τὸ σημεῖον ὁ προφήτης ἐξέθετο· ἔχει δὲ οὐχ οὕτως, ἀλλὰ δεύτερον αὐτοῖς ὕδωρ ἐκ πέτρας ὁ Μωσῆς ἐξήγαγεν· ἅπαξ μὲν ἐν τῇ ἐρήμῳ Χωρήβ, τὸ δεύτερον δὲ ἐν Κάδης, ἔνθα Μαριὰμ ἐτάφη τελευτήσασα. Εἰς πλησμονὴν δὲ ἑκάτερον, ὥστε τὸ ἐν ἀβύσσῳ λέγεσθαι πολλῇ, ἐπειδὴ οὐκ ἐν ποταμῷ, ἀλλ' ἐν πολλοῖς διὰ τὸ πλῆθος ἦν ἱκανὸν τὸ ὕδωρ παραβάλλεσθαι. Τοῦτο γὰρ ἦν σύστασις, ὅτι πρὸς ἀλήθειαν, οὐχὶ διὰ φαντασίαν αὐτοῖς ἐγεγόνει τὰ θαύματα. Δεινὴν δὲ κατηγο- D ρίαν τοῦ λαοῦ τῶν Ἰουδαίων ἐξέθετο· ὅτι, τηλικαῦτα δεχόμενοι θαύματα, δέον τῶν ἀρχαίων ἁμαρτημάτων ἀπέχεσθαι, ἕτερα ὁμοίως ἐπ' ἐκείνοις προσέθηκαν, οὐχ ἁπλῶς ἁμαρτάνοντες, ἀλλ' *αὐτῷ*, τουτέστιν, εἰς αὐτὸν πλημμελοῦντες, τὸν τὰ σημεῖα παρέχοντα.

« Καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ. »

Ὠργίσθη γὰρ κατ' αὐτῶν ὁ Δεσπότης, ἐπειδὴ ἑώρα αὐτοὺς οὐδέποτε πιστὴν ἔχοντας περὶ αὐτὸν τὴν γνώμην, ἀλλ' ἀεὶ μὲν τοῖς δοθεῖσιν ἀχαριστοῦντας, περὶ δὲ μὴ δοθέντων ἀμφιβάλλοντας. Διό φησιν· *Οὐδὲ ἤλπισαν ἐπὶ τὸ Σωτήριον αὐτοῦ*, τὸν Χριστὸν λέγων· ὅπερ Σωτήριον αὐτοῦ πολλοὶ μὲν τῶν

Digitized by Google

προφητῶν, σαφῶς δὲ καὶ Συμεών, λαβὼν ἐν ταῖς ἀγκάλαις, ὠνόμασε.

« Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν. »

Νεφέλας ὑπεράνωθεν τὰς ἐν ὑψηλῷ λέγει· διόπερ αὐτὰς καὶ θύρας οὐρανοῦ, ὡς προβεβλημένας τοῦ οὐρανοῦ προσηγόρευσεν. Εἰσὶ γάρ τινες τῶν νεφελῶν περίγειοι, ὥστε καὶ τῶν ὀρῶν αὐτὰς κατωτέρας εὑρίσκεσθαι.

« Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας. »

Οὐκοῦν καὶ τοῦτο πολὺ πλῆθος νόησον λαοῦ· τοσούτου μὲν τὸν ἀριθμόν, οὕτω δὲ γαστριμάργου κορεσθέντος· οὐ πρὸς ἡμέραν μίαν, ἀλλὰ πρὸς τριάκοντα, ὡς δυνήσῃ μαθεῖν τὴν βίβλον τῶν Ἀριθμῶν μετερχόμενος.

« Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. » B

Καὶ συμποδίσας οὐ τοὺς ἐκλεκτοὺς ἐν ἀρεταῖς λογάδας, ἀλλὰ τοὺς ἐν κακίᾳ· εἰσὶ γάρ τινες ἐν πονηρίᾳ ἐξαίρετοι.

« Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν. »

Τούτοις ὅμοια καὶ Ἡσαΐας τοὺς Ἰουδαίους ἐμέμψατο· *Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ.* Πῶς δὲ τοῦτο ἐλέγχεται; Πολλοὺς γὰρ καὶ νῦν μόνῃ τῇ γλώσσῃ θεοσεβεῖς εὑρίσκομεν, ὅταν, ὥς φησιν ὁ προφήτης, ἐν τῇ διαθήκῃ αὐτοῦ μὴ πιστωθῶσιν.

« Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ. »

Χεῖρα πάλιν Θεοῦ, δηλαδὴ τοῦ Πατρός, τὸν Χριστὸν εἰκότως καλεῖ· ἐπειδή, *Δι' αὐτοῦ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·* ὥστε καὶ ἕτερον προφήτην λέγειν· *Ἡ γὰρ χεὶρ Κυρίου ἐποίησε ταῦτα πάντα.* Τούτου τοίνυν οὐκ ἐμνήσθησαν ὅστις αὐτοὺς ἐλυτρώσατο ἐκ χειρὸς θλίβοντος, λέγει δὲ τοῦ Φαραώ, κατὰ τὴν ἡμέραν τῆς ἐξόδου. C

« Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. »

Οὐ τὴν φύσιν πονηρῶν, τὸν δὲ σκοπόν· οὐδὲ γὰρ τοιούτοις ἀγγέλοις ὁ Θεὸς εἰς διακονίαν κέχρηται· ἀλλὰ πονηροὺς προσηγόρευσεν, ἐπειδὴ πόνους καὶ κακώσεις κελευθέντες ἐπέφερον· ὡς καὶ πονηρὰν τὴν ἡμέραν τῆς κρίσεως, ὡς ἀναγκῶν καὶ πόνων τοῖς ἁμαρτωλοῖς γέμουσαν, αὐτὸς οὗτος ὁ Ψαλμῳδὸς ὀνομάζει· φησὶ γὰρ οὕτως· *Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.* Πολλῇ καὶ περὶ τοὺς παιδευομένους ὁ Θεὸς φιλανθρωπίᾳ κέχρηται, ἀπὸ τῶν ἐλαττόνων ἀρχόμενος, ὥστε σωφρονισθέντας κερδᾶναι τὰ μείζονα. Διὰ τοῦτο τὰ κτήνη πρότερα τῶν Αἰγυπτίων συνέκλεισεν εἰς θάνατον· ἀναισθήτους δὲ εὑρὼν, ἐπέταξε τὰ πρωτότοκα, ὥστε οὐκ ἂν τὴν τῶν πρωτοτόκων ἐπήγαγε πληγὴν, εἰ τῷ θανάτῳ τῶν κτηνῶν σωφρονισθέντες ἀνένηψαν. D

« Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι. »

Ἐλπίδι, ποίᾳ; Τῆς πρὸς τοὺς πατέρας γενομένης

A diserte Symeon, quando ipsum in ulnas excepit.

Vers. 23. « Et mandavit nubibus desuper. »

Nubes desuper intelligit eas quæ in excelso exsistunt : quare ipsas etiam cœli januas appellat, tanquam cœlo prætensas. Siquidem sunt etiam aliquæ nubes terræ vicinæ, ita ut etiam montibus inferiores inveniantur.

Vers. 27. « Et pluit super eos sicut pulverem carnes. »

Igitur copiosam quoque hanc multitudinem considera ; quod cum tanto esset numero, adeoque ventri dedita, fuerit tamen saturata ; idque non ad unum diem aliquem, sed ad triginta, uti poteris cognoscere librum Numerorum pervolvendo.

Vers. 30. « Adhuc esca eorum erat in ore ipsorum. »

Et compedivit non in virtutibus eximios ac selectos, sed in malitia : siquidem sunt aliqui nequitia præcellentes.

Vers. 36. « Et dilexerunt eum in ore suo. »

Hisce similia etiam Isaias Judæis objecit : *Populus iste labiis me honorat, cor autem eorum longe abest a me*[65.66]. Quomodo autem hoc exprobrat? Quia scilicet etiamnum plurimos reperimus qui sola lingua pii sint, cum, ut ait propheta, in testamento ejus non sint stabiliti.

Vers. 42. « Non sunt recordati manus ejus. »

Manum iterum Dei, scilicet Patris, Christum merito vocat : quia, *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil*[67]; ita ut etiam alius propheta dicat : *Manus enim Domini fecit hæc omnia.* Igitur non sunt recordati ejus qui ipsos liberaverat de manu tribulantis, dicit autem Pharaonem, in die egressionis.

Vers. 49. « Immissiones per angelos malos. »

Non natura mali, sed intentione : nam istiusmodi angelis Deus nequaquam usus fuisset ad ministerium : sed pravos appellavit, quia labores et molestias jussi inferebant ; uti et malum judicii diem, quippe peccatoribus refertum malis et miseriis, idem hic Psalmista nuncupavit : ait enim : *Beatus qui intelligit super egenum et pauperem, in die mala liberabit eum Dominus.* Multa etiam circa castigatos benevolentia usus est Deus, a minoribus inchoans, ut emendati majora evaderent. Idcirco primum jumenta Ægyptiorum in morte conclusit ; sed cum insensibiles reperiret, percussit primogenita, nequaquam primogenitorum plagam illaturus, si morte pecorum ad frugem adducti resipuissent.

Vers. 53. « Et deduxit eos in spe. »

Quali spe? Manifestum quod promissionis ad

[65.66] Isa. XXIX, 13. [67] Joan. I, 3.

Digitized by Google

patres factæ. Ait enim Abrahæ : *Sciendo scies, quia peregrinum erit semen tuum in terra non propria, et in servitutem redigent eos, et humiliabunt, et affligent eos quadringentis annis : gentem autem cui servierint judicabo ego, et exibunt huc cum apparatu multo*[88]. Hac igitur spe ducti, non timebant, dum mare Rubrum pedites pertransirent, quod inimicos eorum cooperuit, atque aqua superveniens sepulchrum Ægyptiis exstitit.

A ἐπαγγελίας, εὔδηλον. Φησὶ γὰρ τῷ Ἀβραάμ· *Γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτούς, καὶ ταπεινώσουσι, καὶ κακώσουσιν αὐτοὺς ἔτη τετρακόσια· τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ, καὶ ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.* Ταύτῃ τοίνυν τῇ ἐλπίδι ὁδηγούμενοι, οὐκ ἐδειλίασαν, τὴν Ἐρυθρὰν πεζεύοντες θάλασσαν, ἥτις αὐτῶν τοὺς ἐχθροὺς ἐπεκάλυψε, καὶ τάφος τὸ ὕδωρ ἐπιδραμὸν τοῖς Αἰγυπτίοις ἐγένετο.

Vers. 63. « Juvenes eorum comédit ignis. »

Juvenes vocat in lege potentes, verbi gratia, Scribas et Pharisæos, qui in virtute litteraturæ præfidebant : hos devoravit ignis, qui est zelus in nos, videntes quod sine jugo legali justificemur. Quare etiam ad ipsos Isaias dixit : *Zelus apprehendet populum ineruditum ; et nunc ignis adversarios comedet*[89].

« Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ. »

Νεανίσκους λέγει τοὺς ἐν τῷ νόμῳ δυνατούς, οἷον τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους, οἵτινες ἐθάρρουν τῇ ἰσχύϊ τοῦ γράμματος· τούτους κατέφαγε πῦρ, ὁ πρὸς ἡμᾶς ζῆλος, ὁρῶντας ὅτι χωρὶς B ζυγοῦ νομικοῦ δικαιούμεθα. Διὸ καὶ πρὸς αὐτοὺς ὁ Ἡσαΐας ἔλεγε· *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον· καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἕδεται.*

Vers. 65. « Tanquam potens crapulatus a vino. »

Crapula autem qualis ? A vino, quæ potentibus congruit ; qui post vinum exsurgentes magis impetuosi exsistunt. Sic etiam Deum post longanimitatem adversus eos qui hanc non animadverterunt vehementiorem fore speramus : quod utique etiamnum fecit.

« Ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου. »

Κραιπάλη δὲ ποία ; Ἡ ἐξ οἴνου τοῖς δυνατοῖς συμβαίνουσα· ἀλλὰ μετὰ τὸν οἶνον ἐγερθέντες, ὁρμητικώτεροι γίνονται. Οὕτω καὶ τὸν Θεὸν σφοδρότερον μετὰ τὴν μακροθυμίαν ἔσεσθαι κατὰ τῶν αὐτῆς οὐκ αἰσθανομένων ἐλπίζομεν· τί γὰρ δὴ καὶ νῦν ἐποίησεν ;

Vers. 68. « Et élegit tribum Juda. »

Verumtamen non tribus Juda, sed Benjamin erat Sion et Jerusalem antiqua. Sed Judam vocat confitentem (hoc enim Judas interpretatur) : hujus tribus est Ecclesia ; nam per pœnitentiam et confessionem servatur in ipsa mons Sion, quem nimirum etiam dilexit. Omnis enim quicunque Deum spectat, hic mons Sion nominatur ; quia Sion specula interpretatur.

« Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα. »

Καὶ μὴν οὐ τῆς φυλῆς τοῦ Ἰούδα, ἀλλὰ τῆς τοῦ Βενιαμὶν αὕτη τε ἡ Σιὼν καὶ Ἱερουσαλὴμ ἀρχαία ἐτύγχανεν. Ἀλλὰ Ἰούδαν λέγει τὸν ἐξομολογούμενον (τοῦτο γὰρ ὁ Ἰούδας ἑρμηνεύεται)· τούτου φυλὴ ἡ C Ἐκκλησία· διὰ γὰρ μετανοίας καὶ ἐξομολογήσεως σώζεται παρ' αὐτῇ τὸ ὄρος τὸ Σιών, ὅπερ δὴ καὶ ἠγάπησε. Πᾶς γὰρ εἴ τις σκοπεύει Θεὸν, οὗτος Σιὼν ὀνομάζεται· ἐπειδὴ *σκοπευτήριον* Σιὼν ἑρμηνεύεται.

Utique dices : Si mysteriorum ecclesiasticorum meminerit, cur Davidem in medium attulit his multo antiquiorem exsistentem ? Quia nimirum pater et imago Christi erat. Quapropter de gregibus ovium assumptus fuit, non de uno grege. Christo enim plurimi greges sunt cum hominum tum angelorum, tum aliarum rationalium et invisibilium virtutum, quæ et prolificant, id est, uterum gerunt : gregem enim sterilem non habet, sed omnes per timorem ipsius concipientes parientesque salutem. Quapropter etiam Isaias dixit : *A timore tuo, Domine, in utero accepimus, et parturivimus, et peperimus spiritum salutis tuæ, quem fecimus super terram*[90].

Πάντως ἐρεῖς· Εἰ τῶν κατὰ τὴν Ἐκκλησίαν μυστηρίων ἐμέμνητο, τίνος χάριν εἰς μέσον ἤγαγε τὸν Δαβὶδ ἀρχαιότερον τούτων πολὺ τυγχάνοντα ; Ἐπειδὴ Πατὴρ καὶ εἰκὼν ἦν τοῦ Χριστοῦ. Ὅθεν ἐκ τῶν ποιμνίων τῶν προβάτων ἀνείληπται, οὐκ ἐκ τοῦ ποιμνίου. Πολλαὶ γὰρ τῷ Χριστῷ τοίμναι, αἱ μὲν ἀνθρώπων, αἱ δὲ ἀγγέλων, αἱ δὲ λογικῶν ἄλλων καὶ ἀοράτων δυνάμεων, αἵτινες καὶ λοχεύονται, τουτέστιν, ἐγκυμονοῦσι· ποίμνην γὰρ ἄκαρπον οὐκ ἔχει, ἀλλὰ D πάσας διὰ τὸν αὐτοῦ κυοφορούσας φόβον καὶ τικτούσας σωτηρίαν. Διόπερ καὶ Ἡσαΐας ἔλεγεν· *Ἀπὸ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ἐποιήσαμεν ἐπὶ τῆς γῆς.*

Vers. 71. « Pascere Jacob servum suum. »

Populum nimirum ex gentibus. Hic enim Jacob est, quia cum Judæos supplantasset, accepit eorum primogenita ; atque insuper etiam Israel : spectat enim Deum tempore mysteriorum quasi facie ad faciem. Quod autem Deus pascat, audi Davidem dicentem : *Dominus pascit me* [Vulgata *regit*], *et nihil mihi deerit*[91]. Audi etiam Christum : *Ego sum pastor bonus*[92].

« Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ. »

Τὸν ἐξ ἐθνῶν δηλαδὴ λαόν. Ἰακὼβ γὰρ οὗτος, ἐπειδὴ πτερνίσας τοὺς Ἰουδαίους, ἔλαβεν αὐτῶν τὰ πρωτοτόκια· ἔτι δὲ καὶ Ἰσραήλ· ὁρᾷ γὰρ τὸν Θεὸν κατὰ τὸν καιρὸν τῶν μυστηρίων πρόσωπον ὥσπερ εἰς πρόσωπον. Ὅτι δὲ ποιμαίνει ὁ Θεὸς, ἄκουε τοῦ Δαβὶδ τοῦτο λέγοντος· *Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.* Ἄκουε καὶ τοῦ Χριστοῦ· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.*

[88] Gen. xv, 13. [89] Isa. xxvi, 11. [90] Ibid. 18. [91] Psal. xxii, 1. [92] Joan. xi, 14.

Digitized by Google

ΨΑΛΜΟΣ ΟΗ'.

« Ἔθεντο Ἰερουσαλὴμ εἰς ὀπωροφυλάκιον. »

Τίνος χάριν εἰς ὀπωροφυλάκιον; Ἐπειδὴ τὸ πνεῦμα τοῦ νόμου καὶ τῶν προφητῶν λαβόντες, μόνην κατέλιπον αὐτοῖς φυλάττειν τὴν ὀπώραν τοῦ γράμματος. Τοῦτο δὲ ἦν οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ βουλομένου παρὰ τοῖς ἐχθροῖς τὰς ἀποδείξεις τῆς πίστεως τῆς ἡμετέρας σώζεσθαι. Ὀπώρα δὲ τὸ γράμμα, ὡς μὴ γνησίαν τροφὴν, ἀλλὰ πρόσκαιρον ἔχον, εἰκότως προσηγόρευται.

« Ἐξέχεαν τὸ αἷμα αὐτῶν. »

Αἷμα αὐτῶν τὰ ψυχικὰ πλημμελήματα, ὧν εἰς αἷμα ἡ ἐκδίκησις γίνεται· ταῦτα ὡς ὕδωρ ἐξεχύθη, ὥστε μηκέτι ἀναληφθῆναι, ὥσπερ οὐδὲ τὸ ὕδωρ μετὰ τὴν ἔκχυσιν δύναται. *Κύκλῳ Ἰερουσαλήμ*· τουτέστιν, ἐπ' αὐτὴν, καὶ τοὺς ἐξ αὐτῆς. Τὸ γὰρ αἷμα αὐτῶν ἐπ' αὐτοὺς, καὶ ἐπὶ τὰ τέκνα αὐτῶν, ὡς αὐτοὶ τὸν Χριστὸν συκοφαντοῦντες ἔλεγον. *Καὶ οὐκ ἦν ὁ θάπτων*. Διὰ τί; Ἐπειδὴ αὐτοὶ μὲν, ὡς νεκροὶ, θάπτειν ἀλλήλους οὐκ ἴσχυον· ἡ Ἐκκλησία δὲ θάπτειν αὐτοὺς οὐκ ἐπίσταται, τουτέστιν, οὐ συσκιάζειν αὐτῶν τὰ ἁμαρτήματα. Τί δὲ τὸ κωλύον; Ἡ τοῦ Χριστοῦ ἀπόφασις; ἡ λέγουσα· *Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς*. Διὰ τί; Ἐπειδὴ ἁμαρτωλοὺς συσκιάζειν πειρώμενοι, γυμνοτέρας ἑαυτῶν τὰς πράξεις, καὶ πᾶσιν ἐπονειδίστους ἐργάζονται.

« Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. »

Πόθεν γὰρ ἀρκέσαι πρὸς ἀρχαῖα κακὰ καὶ νέα συνηθησόμεθα; Ἴσως δὲ ὁ προφήτης ἀνομίας ἀρχαίας τὰς ἐν τῇ ἐρήμῳ λέγει, ἐπειδὴ πολλὰς ἐπ' αὐταῖς ὁ Θεὸς ἀπειλὰς καὶ διαφόρους ἔθετο· διόπερ αὐτῶν εὐλαβεῖται τὴν ἀνάμνησιν. Οὐδὲν οὕτω πτωχὸν τὸν ἄνθρωπον ὡς αἱ ἁμαρτίαι δείκνυσι· πτωχότερος δὲ προστεθείσης ἀσεβείας τῇ ἁμαρτίᾳ γίνεται. Διόπερ αὐτοῖς ταχῦναι τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ἐπρεσβεύσαντο, μήπως τῇ σφοδροτέρᾳ πτωχείᾳ ἀπογνωσθέντες ἀπόλωνται· οὕτως οὖν χάρισαι τὴν σὴν βοήθειαν.

« Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτήρ. »

Ταῦτα πρὸς τὸν Χριστὸν πρεσβεύεται· αὐτὸς γὰρ οὐ μόνον Θεὸς, ἀλλὰ καὶ Σωτὴρ ἀντικρὺς ἐπωνόμασται· αὐτὸς καὶ δόξα τοῦ ὀνόματος τοῦ Θεοῦ, δηλαδὴ τοῦ Πατρός· ὅθεν αὐτὸν καὶ ὁ Παῦλος ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς προσηγόρευσε. Καὶ τίνος χάριν; Διὰ τὸ ὄνομα, φησὶ, τοῦ Θεοῦ, δηλαδὴ Χριστοῦ, ὃς διὰ τοῦτο ἱλαστήριον κέκληται· οὗτος ταῖς τῶν Ἰουδαίων ἁμαρτίαις ἱλασμὸν ἐπορίσατο, ἡνίκα σταυρούμενος πρὸς τὸν Πατέρα ἔλεγε· *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ ἴσασι τί ποιοῦσι*. Τίνος χάριν γνωστὴν γενέσθαι τὴν ἐκδίκησιν τοῖς ἔθνεσι βούλεται; Ἐπειδὴ κατὰ δαιμόνων ἔμελλε, τῶν τὸ αἷμα (δηλαδὴ τὰς ψυχὰς) τῶν δούλων τοῦ Θεοῦ (φησὶ δὲ τῶν Ἰουδαίων) διὰ τῆς εἰδωλολατρείας, λυμηναμένων γενέσθαι. Τίς δὲ ἦν ἐκδίκησις; Ἡ τῶν εἰδώλων καταστροφὴ, ὁ τῶν διαβολικῶν ναῶν ἐμπρησμός.

PSALMUS LXXVIII.

Vers. 1. « Posuerunt Jerusalem in pomorum custodiam. »

Quare in pomorum custodiam? Quia cum spiritum legis ac prophetarum sustulissent, solum litteræ pomum ipsis custodiendum reliquerunt. Hoc autem non erat ex hominibus, sed ex Deo volente ab inimicis argumenta fidei nostræ servari. Pomum autem littera merito appellatur, eo quod minime solidum, sed temporaneum duntaxat cibum contineret.

Vers. 3. « Effuderunt sanguinem eorum. »

Sanguis eorum sunt animæ delicta, quorum in sanguine fit ultio: hæc tanquam aqua effusa sunt, ut resumi amplius non possint, sicut nec aqua post effusionem. *In circuitu Jerusalem;* id est, super ipsam, et eos qui ex ea sunt. Sanguis enim illorum super ipsos, et super filios ipsorum[93]; sicut ipsi Christo maledicentes dicebant: *Et non erat qui sepeliret.* Qui sic? quia nimirum ipsi, utpote mortui, se mutuo sepelire minime valebant: Ecclesia autem nescit ipsos sepelire, id est, eorum peccata contegere. Quid porro prohibet? Christi nimirum sententia dicentis: *Dimitte mortuos sepelire mortuos suos*[94]. Quid ita? Quia qui peccatores protegere conantur, ipsorum actiones magis denudant, et omnibus abominabiles reddunt.

Vers. 8. « Ne memineris iniquitatum nostrarum antiquarum. »

Unde enim ad antiqua et nova mala sufficere poterimus? Fortassis vero propheta veteres iniquitates vocat illas quæ in deserto contigerunt, quoniam plurimas ipsis Deus easque varias minas intentavit; quare jam earum pie recolit memoriam. Nihil hominem adeo pauperem declarat atque peccata: porro pauperior fit, cum ad peccatum impietas adjungitur. Quapropter rogarunt, ut miserationes Dei ipsis accelerarentur, ne præ nimia egestate desperantes pereant: sic igitur præbe auxilium tuum.

Vers. 9. « Adjuva nos, Deus salutaris. »

Hæc ad Christum orat: ipse enim non solum Deus, verum etiam Salvator per excellentiam nominatur: ipse etiam gloria nominis Dei, scilicet Patris: unde etiam Paulus ipsum splendorem gloriæ Patris nuncupavit[95]. Et cujus gratia? Propter nomen, inquit, Dei, scilicet Christi, qui idcirco propitiatio vocatur: hic peccatis Judæorum propitiationem elargitus est, quando cruci affixus ad Patrem dixit: *Pater, dimitte illis; non enim sciunt quid faciunt*[96]. Quam ob causam vult notam fieri gentibus ultionem? Quia contra dæmones futura erat, qui sanguinem (scilicet animas) servorum Dei (dicit autem Judæorum) per idololatriam corruperant. Quænam autem erat ista ultio? Utique idolorum eversio, diabolicorum templorum succensio.

[93] Matth. XXVII, 25. [94] Matth. VIII, 22. [95] Hebr. I, 3. [96] Luc. XXIII, 34.

Digitized by Google

VERS. 12. « Redde vicinis nostris septuplum. »

Non jam vicinos homines appellavit: neque enim ipsis septuplum retribui postulasset, cum sciret hæc judicem non admissurum. Vel quomodo ad ipsum psallisset: *Quia tu reddes unicuique secundum opera sua*[97] ? Utique ergo de dæmonibus dicit: Hi enim septuplum merito recipiunt, utpote cum nobis natura præstantiores exsistentes, e cœlo deturbati sint, et ne sic quidem meliores effecti: siquidem terram machinationibus suis perturbant, et ne soli peccent, nos quoque ad peccandum inducunt, atque insuper Deum, dum imago ejus corruit, quodammodo lacessunt. Universam dicit humanitatem. Nos enim superne dejectis dæmonibus opponens, populum Dei et ovem pascuæ ejus hominem appellat. Et cur pascuæ ejus oves? Quia nimirum nos fideles ipso pascimur, dum sacramenta sumimus.

A « Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα. »

Οὐδὲ νῦν γείτονας ἀνθρώπους προσηγόρευσεν· οὐ γὰρ ἂν αὐτοῖς ἑπταπλασίονα γεγενῆσθαι ἐπηύξατο, εἰδὼς τούτων τὸν κριτὴν οὐκ ἀνεχόμενον. Ἢ πῶς πρὸς αὐτὸν ἔψαλλεν· *Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ;* Ἆρα τοίνυν περὶ δαιμόνων λέγει· οὗτοι γὰρ ἑπταπλασίονα δικαίως ἀπολαμβάνουσιν, ὡς κρείττονος μὲν ἢ καθ' ἡμᾶς ὑπάρχοντας φύσεως, ῥιφέντες δὲ ἐξ οὐρανοῦ, καὶ μηδὲ οὕτως γεγονότες σωφρονέστεροι· ἀλλὰ τὴν γῆν μὲν ταῖς ἐπινοίαις ταράσσοντες, μὴ μόνοι δὲ ἁμαρτάνοντες, ἀλλὰ καὶ ἡμᾶς ἁμαρτάνειν ἐνάγοντες, καὶ πρὸς τούτοις τὸν Θεὸν, ὡς τῆς αὐτοῦ παραπεσούσης εἰκόνος, ὀνειδίζοντες. Πᾶσαν λέγει τὴν ἀνθρωπότητα. Ἀντιτάττων γὰρ ἡμᾶς πρὸς τοὺς ἄνωθεν καταρα-

B χθέντας δαίμονας, λαὸν Θεοῦ καὶ πρόβατον νομῆς αὐτοῦ προσαγορεύει τὸν ἄνθρωπον. Καὶ τίνος χάριν νομῆς αὐτοῦ πρόβατα ; Ἐπειδὴ αὐτὸν οἱ πιστοὶ τῇ μεταλήψει τῶν μυστηρίων νεμόμεθα.

PSALMUS LXXIX.

ΨΑΛΜΟΣ ΟΘ'.

VERS. 2. « Qui regis Israel, intende. »

Pastor hic Israelis non alius est quam is qui dicit: *Ego sum pastor bonus*[98], pascens eos qui mentem habent Deum videntem.

« Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες. »

Ὁ ποιμὴν οὗτος τοῦ Ἰσραὴλ οὐκ ἄλλος ἐστὶν τοῦ εἰπόντος· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς*, ὁ ποιμαίνων τοὺς ἔχοντας νοῦν βλέποντα τὸν Θεόν.

VERS. 3. « Excita potentiam tuam, et veni. »

Propheta hunc sermonem in progressu reddidit manifestiorem, declarans quomodo et quam ob causam venturus esset Christus: nos enim sumus causa adventus ejus, ut nos converteret atque emendaret. Modus autem apparitionis manifestus est, ut facie ad faciem ipsum videamus, non aliter utique salvandi, nisi hanc faciem nobis manifestaverit.

« Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθέ. »

Τοῦτον τὸν λόγον προϊὼν ὁ προφήτης διεσάφησε πλεῖον, δηλῶν πῶς καὶ διὰ τί μέλλει παραγίνεσθαι ὁ Χριστός. Ἡμεῖς γὰρ αἰτία ἐσμὲν τῆς παρουσίας αὐτοῦ, ἵνα ἐπιστρέψῃ καὶ διορθώσῃ ἡμᾶς. Ὁ δὲ τρό-

C πος τῆς παρουσίας δῆλός ἐστιν, ἵνα βλέπωμεν αὐτὸν πρόσωπον πρὸς πρόσωπον, οὐκ ἄλλως δηλαδὴ σωθέντες, εἰ μή περ τοῦτο ἡμῖν τὸ πρόσωπον ἐνεφανίζετο.

VERS. 7. « Posuisti nos in contradictionem vicinis. »

Eidem insistit precationi, ut ostendat quanta ejus sit necessitas; simulque nos erudiat, ne animum despondeamus, quando non consequimur id quod petimus; sed perseveremus; omnino enim obtinebimus.

« Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν. »

Τῆς αὐτῆς ἔχεται πρεσβείας, ἵνα πόσον αὐτῆς τὸ ἀναγκαῖον ἐνδείξηται· ὁμοῦ δὲ καὶ ἡμᾶς παιδεύων, μὴ ὀλιγωρεῖν ἀποτυχόντας εὐχῆς· ἀλλ' ἐπιμένειν· πάντως γὰρ ὅτι τευξόμεθα.

VERS. 15. « Deus virtutum, convertere. »

Quandoquidem enim neque lex neque prophetæ Israelem converterint, necessario ipsummet Christum rogat ut convertatur.

« Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον. »

Ἐπειδὴ γὰρ οὔτε ὁ νόμος τὸν Ἰσραὴλ οὔτε προφῆται ἐπέστρεψαν, ἀναγκαίως αὐτὸν ἐπιστρέψαι παρακαλεῖ τὸν Χριστόν.

D « Visita vineam istam. »

Quandoquidem Judæorum Synagogam vineæ comparaverat, necessario etiam partitur orationem, quandoque quidem ad imaginem referens, quandoque vero ad illos propter quos imaginem assumpsit. Judæorum igitur vinea, id est Synagoga, igni succensa fuit, illo nempe de quo Christus dixit: *Ignem veni mittere in terram: et quid volo, nisi ut accendatur*[99]? Idcirco ignis injectus, et suffossa est; ut per suffossionem detegeretur in illa latens fundamentum, de quo Isaias ait: *Ecce ego immittam in fundamenta Sion lapidem pretiosum, electum,*

« Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. »

Ἐπειδὴ ἀμπέλῳ τὴν τῶν Ἰουδαίων Συναγωγὴν συνέκρινεν, ἀναγκαίως καὶ μερίζει τὸν λόγον, ποτὲ μὲν πρὸς τὴν εἰκόνα, ποτὲ δὲ πρὸς τούτους ἐφ' οἷς τὴν εἰκόνα παρέλαβεν. Ἐνεπυρίσθη τοίνυν πυρὶ ἡ τῶν Ἰουδαίων ἄμπελος, τουτέστιν ἡ τῶν Ἰουδαίων Συναγωγὴ, ἐκείνῳ δὲ περὶ οὗ ὁ Χριστὸς ἔλεγε· *Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν· καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη ;* Τούτου δὲ χάριν ἐβλήθη τὸ πῦρ, καὶ ἀνεσκάφη, ἵνα ἀνασκαφείσης αὐτῆς γυμνωθῇ ὁ ἐν αὐτῇ κεκρυμμένος θεμέλιος, περὶ οὗ Ἡσαΐας ἔλεγεν· *Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλιά*

[97] Psal. LXI, 13. [98] Joan. X, 14. [99] Luc. XII, 49.

Digitized by Google

σου Σιὼν λίθον πολυτελῆ, ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.

A *summum, angularem, honorabilem: et qui crediderit in eo non confundetur*[1].

« Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. »

Ζωώσεις, φησὶ, τῷ ὕδατι τῷ ζῶντι τοῦ βαπτίσματος· τότε γὰρ αὐτοῦ τὸ ὄνομα ἐπικαλεσόμεθα, ἀπὸ Χριστοῦ Χριστιανοὶ λεγόμενοι.

Vers. 19. « Vivificabis nos, et nomen tuum invocabimus. »

Vivificabis, inquit, aqua viva baptismi : tunc enim nomen ejus invocabimus, qui a Christo Christiani nominamur.

ΨΑΛΜΟΣ Π'.

« Ἰσραὴλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος. »

Τὸ ἐὰν τῆς ἀκοῆς τοῦτον χάριν προσέταξεν, ἵνα θείξῃ προειδὼς μὲν αὐτῶν τὴν παρακοὴν, οὐ μὴν δὲ τοῦτο ἀναιρεῖν αὐτοῖς τὸ μεταθέσθαι· ἐξῆν γὰρ, εἴπερ ἐβούλοντο. Καὶ ἡ τοῦ Θεοῦ πρόγνωσις οὐ βλάπτει τὴν μετάνοιαν· ἐπειδὴ καὶ τοῦτο προγινώσκει, ὅτι τοῖς ἁμαρτωλοῖς ἔξεστι μετατίθεσθαι, εἰ βούλοιντο. Οὐκ ἦν ὁ Χριστὸς πρόσφατος Θεὸς, οὐδὲ ἀλλότριος· αὐτὸς γὰρ ἦν ὁ ἀναγαγὼν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· αὐτὸς ἦν ἀπ' ἀρχῆς, αὐτὸς καὶ μετὰ ταῦτα· ὡς διὰ τῆς Ἡσαΐου προφητείας ἐδήλωσε· φησὶ γάρ· *Ἐγὼ εἰμι Θεὸς πρῶτος· καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι.* Καὶ πάλιν· *Ἐγὼ ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ δίκαιος, καὶ Σωτὴρ οὐκ ἔστι παρὲξ ἐμοῦ.* Σωτὴρ δὲ χωρὶς πάσης ἀντιλογίας ὁ σαρκωθείς, ἵνα σώσῃ τὸ γένος τὸ ἡμέτερον, λέγεται.

B *obest pœnitentiæ : quandoquidem etiam hoc præ-noverit, quod peccatoribus liceat resipiscere, si voluerint. Non erat Christus Deus recens neque alienus : ipse enim erat qui eduxit illos de terra Ægypti: ipse erat ab initio, idem et post hæc; sicut per Isaiæ vaticinium significavit : ait enim : Ego sum Deus primus; et in ea quæ ventura sunt ego sum*[2]. Et rursus: *Ego Deus, et non est alius præter me justus, et Salvator non est præter me*[3]. Salvator autem extra omnem controversiam is qui incarnatus est, ut genus nostrum servaret, hic intelligitur.

« Καὶ οὐκ ἤκουσεν ὁ λαός μου. »

Οὐδὲ γὰρ διδάσκοντος, οὐδὲ εὐαγγελιζομένου ἀκοῦσαι ἐκαρτέρησαν, οὐδὲ θαυματουργοῦντος προσέχειν ἐβουλήθησαν· ἐβάρυναν δὲ τὰ ὦτα αὐτῶν, ἵνα μὴ τοῦ Κυρίου τὰς ἐντολὰς ἀκούσωσιν· ἐκάμμυσάν τε ὀφθαλμοὺς, ὡς Ἡσαΐας ἔλεγεν, ἵνα μὴ τὰ σημεῖα θεάσωνται. Τί τοίνυν ἀντὶ τούτων πεπόνθασι, τὰ ἑξῆς δηλοῖ.

C

Vers. 12. « Et non audivit populus meus. »

Nam neque docentem neque evangelizantem audire sustinuerunt, neque miracula facienti attendere voluerunt; sed aggravaverunt aures suas, ne mandata Domini audirent; et occluserunt oculos suos (ut ait Isaias) ne signa viderent. Quid igitur pro his passi fuerint, exinde declarat.

« Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν. »

Vers. 13. « Et dimisi eos secundum affectiones cordium eorum. »

Ἐπιτηδεύματα τῶν καρδιῶν τὰς ἐννοίας τὰς ποικίλας λέγει καὶ τὰς μεθόδους τῶν λογισμῶν, οἷς ὁ τῶν Ἰουδαίων λαὸς ἐπιβουλεύων τῷ Κυρίῳ ἐκέχρηντο, λέγοντες· *Τί ποιήσομεν; ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ· ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸν τόπον καὶ τὸ ἔθνος.* Κατὰ τοῦτο τοίνυν τὸ ἐπιτήδευμα, καὶ κατὰ ταύτην τὴν βουλὴν, ἐξαπεστάλησαν, καὶ ἐπορεύθησαν. Ῥωμαῖοι γὰρ αὐτῶν καὶ τὸν τόπον καὶ τὴν πόλιν κατέλαβον· αὐτοὶ δὲ αἰχμάλωτοι ᾠχοντο.

Affectiones cordium vocat varias cogitationes et machinationes consiliorum, quibus Judæorum populus usus est cum Domino insidiaretur, dicentes: *Quid faciemus, quia hic homo multa signa facit? si dimittimus eum sic, omnes credent in eum, et venient Romani, et tollent nostrum locum et gentem*[4]. Secundum hanc igitur machinationem, et secundum hoc consilium, dimissi sunt, et ambulaverunt: nam Romani et locum ipsorum et civitatem destruxerunt; ipsi autem in captivitatem abducti fuerunt.

D

« Καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. »

Μέλι ἐκ πέτρας τοὺς προφήτας λέγει· ἐπειδήπερ ἀπὸ Χριστοῦ, ὃς χρηματίζει πέτρα, τὴν προφητείαν ἔχουσιν, ἧς αὐτοὺς ἐχόρτασεν ὁ Θεός· οὐχ ἕνα προφήτην οὐδὲ δεύτερον, πολλοὺς δὲ, καὶ ἐπὶ πολλαῖς αὐτοὺς γενεαῖς χαρισάμενος.

Vers. 17. « Et de petra melle saturavit eos. »

Mel de petra vocat prophetas; quandoquidem a Christo, qui petra dicitur, prophetiam obtinent, qua Deus ipsos saturavit; non unum alterumve prophetam, sed multos, et in multis generationibus illos concedens.

ΨΑΛΜΟΣ ΠΑ'.

« Κρίνατε ὀρφανῷ καὶ πτωχῷ. »

Οὐ λέγει, Κρίνατε δικαίῳ, οὐδὲ προφήτῃ, οὐδὲ

PSALMUS LXXXI.

Vers. 3. « Judicate pupillo et egeno. »

Non dicit, Judicate justo, neque prophetæ, neque

[1] Isa. XXVIII, 16. [2] Isa. XLI, 4. [3] Isa. XLIII, 11. [4] Joan. XI, 47.

Digitized by Google

sacerdoti; quorum in aliis tantam rationem habet, ut etiam mandet, ne ullum ipsis damnum inferatur, dicens : *Nolite tangere christos meos, et in prophetis meis nolite malignari*[5]; sed pupillo et egeno, humili ac pauperi. Ad quid? Quia illis quidem expedit injuriam pati; his vero injuriam fieri ob ætatis et paupertatis urgentem imbecillitatem intolerabile est : unde hac in parte legislator ipsis magis favet.

Vers. 4. « Eripite pauperem et egenum. »

Tanquam de feris agrestibus ad injustitiam vel avaritiam inhiantibus disserit. Itaque qui pauperem servat, is pastoris dignitatem ac mercedem refert, illius scilicet, qui semetipsum pro nobis tradens a spiritualibus nos feris liberavit. Qui vero rapit, jampridem ut insanus inter feras computatur.

Vers. 7. « Vos autem sicut homines morimini. »

Insinuans diabolum : principis enim potestatem inter angelos sortitus erat. Quapropter Paulus ait : *Non est nobis colluctatio adversus carnem et sanguinem, sed adversus principes ac potestates*[6]. Elatus autem et majora concupiscens corruit.

Vers. 8. « Exsurge, Deus, judica terram. »

Non igitur præsentem hæreditatem, sed futuram Propheta insinuat : unde rogat Deum ut resurgat, et terram judicet, scilicet hominem; ut, postquam resurrexerit, omnibus gentibus decernat hæreditatem : omnibus enim sortem convenientem assignat illam quidem humilibus, aliam vero temperantibus, aliam vero misericordibus, aliam vero superbis, atque aliam avaris. Nam in præsentiarum non linguarum, sed vitarum diversitatem gentes appellavit.

PSALMUS LXXXII.

Vers. 2. « Ne sileas, neque compescaris, Deus. »

Id est : Ne ad longum tempus longanimiter agas. Judicis enim silentium appellavit longanimitatem ejus erga peccatores.

Vers. 9. « Facti sunt in adjutorium filiis Lot. »

Id est, in subsidium ipsorum accurrerunt. Observa igitur interiores inimicos : ipsi enim etiam exteriores armant : et noli fidere cognationi; siquidem et hæc ut plurimum in inimicitiam convertitur. Cæterum considera quoque imprecationem quam ipsis irrogavit diapsalma proponens, quoniam sermonem in orationem transtulit, dicens :

Vers. 14. « Deus meus, pone illos ut rotam. »

Rogat ut nullibi consistant, sed ubique status eorum abolcatur, projicientis impetu dissipatus.

Vers. 16. « Ita persequeris illos in tempestate tua. »

Tempestatem appellat repentinam et vehementissimam Dei in peccatores commotionem, qua ipsos insectari et conturbari cupit.

[5] Psal. civ, 15. [6] Ephes. vi, 12.

A ἱερεῖ· ὧν τοσοῦτον ποιεῖται ἐν ἄλλοις λόγον, καὶ μὴ παραβλάπτεσθαι αὐτοὺς παρεγγυᾷ λέγων· *Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε*· ἀλλ' ὀρφανῷ καὶ πτωχῷ, ταπεινῷ καὶ πένητι. Διὰ τί; Ὅτι ἐκείνοις μὲν τὸ ἀδικεῖσθαι πρέπει· τούτοις δὲ οὐ φορητὸν ἀδικηθῆναι διὰ τὴν ἐπικειμένην ἐξ ἡλικίας ἢ πτωχείας ἀσθένειαν· ὅθεν αὐτῶν σφοδρότερον ὁ νομοθέτης ἀντέχεται.

« Ἐξέλεσθε πένητα καὶ πτωχόν. »

Ὡς περὶ θηρίων ἀγρίων τῶν πρὸς ἀδικίαν ἢ πλεονεξίαν χαινόντων διαλέγεται. Οὐκοῦν ὁ μὲν σώζων τὸν πτωχὸν, ποιμένος ἀξίαν καὶ μισθὸν ἀποφέρεται, ἐκείνου δηλαδὴ, ὅστις ἑαυτὸν ὑπὲρ ἡμῶν δεδωκὼς ἐκ τῶν νοητῶν ἡμᾶς θηρίων ἐρ-
B ῥύσατο· ὁ δὲ ἁρπάζων, ἤδη μαινόμενος ἐν τοῖς θηρίοις τέτακται.

« Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε. »

Αἰνιττόμενος τὸν διάβολον· ἄρχοντος γὰρ ἐξουσίαν ἐν τοῖς ἀγγέλοις κεκλήρωτο· διό φησι Παῦλος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ πρὸς τὰς ἐξουσίας. Ἐπαρθεὶς δὲ καὶ μειζόνων ἐπιθυμήσας κατέπεσεν.

« Ἀνάστα, ὁ Θεὸς, κρῖνον τὴν γῆν. »

Οὐκ ἄρα κληρονομίαν παροῦσαν, ἀλλὰ μέλλουσαν ὁ Προφήτης αἰνίττεται· ὅθεν τὸν Θεὸν ἀναστῆναι παρακαλεῖ, καὶ κρῖναι τὴν γῆν, δηλαδὴ τὸν ἄνθρωπον· ὡς ὅταν ἀναστῇ, πᾶσι κατακληρονομεῖ τοῖς
C ἔθνεσι· πᾶσι γὰρ κλῆρον ἐπιβάλλει τὸν ἁρμόττοντα, τὸν μὲν τοῖς ταπεινοῖς, τὸν δὲ τοῖς σώφροσι, τὸν δὲ τοῖς ἐλεήμοσιν, ἄλλον τοῖς ὑπερηφάνοις, τοῖς πλεονέκταις ἕτεραν. Ἔθνη γὰρ κατὰ τὸ παρὸν, οὐ τῶν γλωσσῶν τὰς διαφορὰς, ἀλλὰ τῶν βίων ἐκάλεσεν.

ΨΑΛΜΟΣ ΠΒ'.

« Μὴ σιγήσῃς, μηδὲ καταπαύσῃς, ὁ Θεός. »

Τοοτέστι· Μὴ ἐπὶ πολὺ μακροθυμήσῃς. Σιγὴν γὰρ τοῦ κριτοῦ τὴν πρὸς τοὺς ἁμαρτωλοὺς μακροθυμίαν ἐκάλεσεν.

« Ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. »

Τουτέστιν, εἰς τὴν ἐκείνων ἐπικουρίαν ἀφήντησαν. Φυλάττου τοίνυν τοὺς ἔνδον ἐχθρούς· αὐτοὶ γὰρ καὶ τοὺς ἐκτὸς ὁπλίζουσι· καὶ μὴ θάῤῥει συγγενείᾳ· ἐπειδήπερ εἰς ἔχθραν ὡς τὰ πολλὰ μεταβάλλεται.
D Κατανοεῖ δὲ καὶ τὴν ἀρὰν ἣνπερ αὐτοῖς ἐπήγαγε διάψαλμα προθεὶς, ἐπειδὴ τὸν λόγον εἰς προσευχὴν μετέστησε, λέγων·

« Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν. »

Ὥστε μηδαμοῦ στῆναι, πανταχοῦ δὲ ἀφανῆ αὐτῶν γενέσθαι τὴν ὑπόστασιν ἐξέτασε, σκεδασθεῖσαν τῇ ῥύμῃ τοῦ ῥιπίζοντος.

« Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου. »

Καταιγίδα καλεῖ τὴν ἀθρόαν τοῦ Θεοῦ καὶ σφοδροτάτην ἐπὶ τοὺς ἁμαρτάνοντας κίνησιν, ᾗ τε αὐτοὺς διωχθῆναι καὶ καταῤῥαχθῆναι βούλεται.

Digitized by Google

ΨΑΛΜΟΣ ΠΓ'.

« Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου. »

Καὶ μάλα. Κἂν γὰρ ᾖ πεπτωκὼς, ἵσταται· κἂν ἁμαρτωλὸς ὑπάρχῃ, καθαίρεται· κἂν ἀπογνωσθῇ, θάνατον ὅμως οὐκ ὄψεται.

« Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον. »

Ἴδε, φησὶν, ὅτι τῆς σῆς ἐπιστρέψεως χρῄζομεν· ἴδε ὅτι τὸ τραῦμα φαρμάκοις ἀνθρωπίνοις οὐ παύεται· ἴδε ὅτι τὸ συντετριμμένον ἀγγεῖον σῶμα σὸν, οὐκ ἀλλότριον· καὶ οὕτως *ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου*· τουτέστιν, ἐν τῷ προσώπῳ τοῦ Χριστοῦ· ἵνα ἐν τῷ Υἱῷ πάντως ἡμᾶς καὶ ὁ Πατὴρ ἐπισκέψηται, καὶ εὐδοκίᾳ τοῦ Πατρὸς τελεσθῇ τὸ καθ' ἡμᾶς μυστήριον.

« Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος. »

Τουτέστιν, οὐ τὰς δι' αἱμάτων θυσίας, ἀλλὰ τὸ ποιεῖν ἔλεον, καὶ ἀγαπᾷν τὴν ἀλήθειαν, τουτέστι Χριστὸν τὸν Θεόν.

« Οὐ στερήσει τὰ ἀγαθά. »

Οἱ γὰρ κακίας βεβιωκότες χωρὶς καὶ ἐν δικαιοσύνῃ, ὅπερ ἐστὶν ἀκακίᾳ πολιτευσάμενοι, οὐκ ἀποστεροῦνται τῶν ἀγαθῶν, ἀναλόγως δὲ τοὺς στεφάνους ὑποδέξονται· *Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον.*

ΨΑΛΜΟΣ ΠΕ'.

« Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου. »

Οὐ τῷ πτωχὸς εἶναι τῷ πνεύματι θαῤῥῶν, καὶ πένης καὶ ὅσιος, προσάγω τὴν αἴτησιν, ἐλεηθῆναι δὲ μόνον ζητῶν. Διὸ, κατὰ Σύμμαχον, *Πρὸς σὲ*, φησὶ, *βοῶ καθ' ἑκάστην ἡμέραν*. Τὸν πάντα βίον σημαίνει, καὶ ὡς ἐπ' οὐδενὶ τῶν ἀνθρωπίνων θαῤῥῶν, τὴν κατὰ Θεῶν εὐφροσύνην αἰτεῖ τῇ ψυχῇ. Τὸ σῶμα γὰρ καὶ τὴν σάρκα τοῖς σωματικοῖς χαίρειν εἰώθασι. Τὸν μὴ μακρυνθέντα δὲ τούτων, ἐκείνης οὐκ ἔστι τυχεῖν. Ὅθεν ἐπήγαγεν· *Ὅτι πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου.*

ΨΑΛΜΟΣ ΠΖ'.

« Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον. »

Λέγει τὸν Ἰούδαν καὶ τοὺς Ἰουδαίους ἀπὸ ταλαιπωρίας, ἣν αὐτὸς ἀνεδέξατο, ἣν οὐ δι' αὐτὸ ταλαιπωροῦσιν ἁμαρτηκότες. Ἀνέλαβε δὲ ταλαιπωρίαν Ἰησοῦς, τὸ πρόσωπον φέρων τοῦ λέγοντος ἀνθρώπου· *Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τούτου;* Γνωστοὶ δὲ ἦσαν οἱ ἐκ περιτομῆς, ὡς ἔφην, αὐτοῦ. Ἰούδας δὲ φίλος ἐξ ὧν τῶν ἀκουσάντων παρ' αὐτοῦ· *Ὑμῖν δὲ λέγω τοῖς φίλοις μου.* Καί· *Ὑμᾶς δὲ εἰρηκα φίλους, ὅτι πάντα τοῦ Πατρός ἐγνώρισα ὑμῖν.*

ΨΑΛΜΟΣ ΠΗ'.

« Ὤμοσα Δαβὶδ τῷ δούλῳ μου. »

Καὶ ποῦ ὤμοσεν, ἢ ἐν τῷ εἰπεῖν πρὸς αὐτόν· *Καὶ ἔσται, ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, ἀναστήσεται ἐκ τοῦ σπέρματός σου ἄλλος ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω εἰς τὸν αἰῶνα τὴν*

A

PSALMUS LXXXIII.

Vers. 5. « Beati qui habitant in domo tua. »

Idque frequenter. Etsi enim quis ceciderit, erigitur : etsi peccator fuerit, mundatur : etsi desperaverit, mortem tamen minime videbit.

Vers. 9. « Domine, Deus virtutum, exaudi. »

Vide, inquit, quod tua protectione opus sit : vide quod vulnus humanis medicinis non mitigetur : vide quod vas contritum sit corpus tuum, non alienum : atque ita *respice in faciem Christi tui* ; id est, in facie Christi ; ut in Filio nos omnino etiam Pater respiciat, et Patris beneplacito pro nobis mysterium perficiatur.

B

Vers. 12. « Quia misericordiam et veritatem diligit Dominus. »

Id est, non cruentas hostias, sed facere misericordiam, et diligere veritatem, hoc est Christum Deum.

Vers. 13. « Non privabit bonis. »

Qui enim absque malitia et injustitia vitam duxerunt, hoc est innocenter conversati sunt, non privantur bonis, sed convenientes coronas suscepturi sunt : *Quia unusquisque propriam mercedem accipiet secundum suum laborem* [7].

PSALMUS LXXXV.

Vers. 4. « Lætifica animam servi tui. »

Non quod spiritu pauperem me esse confidam, et egenus ac sanctus sim, postulationem hanc affero, sed quod solummodo quæram misericordiam. Idcirco, C juxta Symmachum, *Ad te*, inquit, *clamo per singulos dies*. Omnem vitam significat, et quomodo in nulla re humana confidens, eam quæ secundum Deum est lætitiam animæ suæ postulet. Corpus enim et caro rebus corporeis gaudere solent. Qui autem ab his minime elongatus est, illam consequi non potest. Unde subjunxit : *Quoniam ad te, Domine, levavi animam meam.*

PSALMUS LXXXVII.

Vers. 19. « Elongasti a me amicum. »

Dicit Judam et Judæos a miserin, sive quam ipse sustinuit, sive qua ipsimet peccatores afficiuntur. Cæterum Jesus miseriam assumpsit, cum personam gereret hominis dicentis : *Infelix ego homo, quis me liberabit de corpore mortis hujus* [8] ? Noti autem ejus, ut dixi, erant illi de circumcisione. Judas vero amicus erat unus ex illis qui ab ipso audiverant : *Dico autem vobis vinculis meis* [9]. Item : *Vos autem dixi amicos, quia omnia Patris mei nota feci vobis* [10].

D

PSALMUS LXXXVIII.

Vers. 4. « Juravi David servo meo. »

Et ubi juravit, nisi cum dixit ad eum : *Et erit, cum impleti fuerint dies tui, et dormieris cum patribus tuis : et suscitabitur ex semine tuo alius qui erit ex ventre tuo, et præparabo in æternum regnum ejus, et ædificabit domum nomini meo, et erigam regnum*

[7] I Cor. III, 8. [8] Rom. VII, 24. [9] Luc. XII, 4. [10] Joan. XV, 15

Digitized by Google

ejus in sæculum. Ego ero ei in Patrem, ipse erit mihi in filium [11].

Vers. 10. « Tu dominaris potestati maris. »

Veritas tua, inquit, est apud illos qui te ambiunt ; nos autem qui procul a te absumus, ex providentia circa terram et mare magnificentiam tuam cernentes, confitemur, quia potens es, et veritas tua in circuitu tuo. Tantum enim mare mitigas, ostia et littora illi circumponens, et ut Domino serviens incurvatum fremit, et in semetipso conturbatur, quod non totam terram inundet.

Vers. 16. « Beatus populus qui scit jubilationem. »

Sanctos ejus apostolos beatos pronuntiat, quia nimirum in nomine ac virtute ipsius fecerunt mirabilia quæcunque fecerunt.

Vers. 20. « Tunc locutus es in visione filiis tuis. »

Quando Deus exsistens Verbum natus est de muliere, et processit homo, manens uti erat Deus ; tunc unctionem propter te accipiens, nominatus est Christus. Cum enim Verbum esset Deus, et rex ante sæcula exsisteret, nostra sibi appropriavit, ut et nos ea quæ ipsius sunt adipisceremur.

Vers. 27. « Ipse invocabit me, Pater meus es tu. »

Rursus hic per dispensationem incarnatus Deum suum Patrem appellat, dicens : *Vado ad Patrem meum et Patrem vestrum, et Deum meum et Deum vestrum* [12]. Propheta enim de ipso vaticinans ait : Puerum qui natus est esse Deum fortem, Patrem futuri sæculi [13].

Vers. 34. « Neque nocebo in veritate mea. »

Semel vocat decreti certitudinem, ut quod non admittat mutationem. Illud autem : *Juravi in sancto meo*, id est, juravi per sanctitatem meam. Cum enim non haberet per quid majus jurare, per sanctitatem suam juravit.

Vers. 40. « Profanasti in terra sanctuarium tuum. »

Omni securitate ipsum spoliasti : nam mœnibus civitatum quibus confidebat eversis, fiduciam amittens, in pusillanimitatem incidit.

Vers. 47. « Usquequo, Domine, avertis in finem ? »

Memento, inquiunt qui hæc dicunt, quoniam natura mutabiles sumus, cum simus libero præditi arbitrio, ne ad impietatem exorbitemus. Possis etiam dicere naturam, eamque talem, secundum quam quis possit aliquid molestiæ sustinere.

PSALMUS XC.

Vers. 2. « Deus meus, sperabo in eum. »

Vides quantam habeat apud Deum fiduciam ? Totum enim semetipsum quodammodo ipsi dedicans, in eo omnem salutis spem habet. Ter beatus autem quisquis est istiusmodi ; et omni felicitate plenus erit. Canit igitur beatus David, et ait : *Domine Deus virtutum, beatus homo qui sperat in te* [14].

βασιλείαν αὐτοῦ· καὶ οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὴν βασιλείαν αὐτοῦ εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.

« Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης. »

Ἡ ἀλήθειά σου, φησὶ, παρὰ τοῖς κυκλοῦσί σε· ἡμεῖς δὲ μακράν σου τυγχάνοντες, τὴν σὴν μεγαλουργίαν ἀπὸ τῆς κατὰ γῆν τε καὶ θάλατταν προνοίας ὁρῶντες, ὁμολογοῦμεν, ὅτι δυνατὸς εἶ, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. Καταπραΰνεις γὰρ τοσαύτην οὖσαν τὴν θάλατταν, περιθεὶς αὐτῇ πύλας καὶ ὅρια, καὶ ὡς Δεσπότῃ δουλεύουσα κυρτουμένη πτήσσει, καὶ εἰς ἑαυτὴν καταράσσεται, πρὸς τὸ μὴ πᾶσαν ἐπικλῦσαι τὴν γῆν.

« Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. »

Τοὺς ἁγίους αὐτοῦ ἀποστόλους μακαρίζει, ὅτι δὴ τῷ ὀνόματι αὐτοῦ καὶ τῇ δυνάμει αὐτοῦ ἐποίουν ὅσα ἐποίουν παράδοξα.

« Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου. »

Ὅτε Θεὸς ὢν ὁ Λόγος ἐγεννήθη κατὰ σάρκα ἐκ γυναικὸς, καὶ προῆλθεν ἄνθρωπος, μένων ὡς ἦν Θεός· τότε τὴν χρίσιν διὰ σὲ λαβὼν, ὠνομάσθη Χριστός. Θεὸς γὰρ ὢν ὁ Λόγος, καὶ βασιλεὺς πρὸ αἰώνων ὑπάρχων, ἰδιοποιήσατο τὰ ἡμέτερα, ἵνα καὶ ἡμεῖς τὰ αὐτοῦ πλουτήσωμεν.

« Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σύ. »

Πάλιν ἐνταῦθα οἰκονομικῶς ὁ σεσαρκωμένος Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλεῖ, λέγων· *Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.* Ὁ γὰρ προφήτης φησὶ περὶ αὐτοῦ, παιδίον γεννώμενον προφητεύων, Θεὸν ἰσχυρὸν ἔλεγεν αὐτὸν, Πατέρα τοῦ μέλλοντος αἰῶνος.

« Οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. »

Ἅπαξ καλεῖ τὸ βέβαιον τῆς ἀποφάσεως, ὡς οὐ δεχομένης παρατροπήν. Τὸ δέ· Ὤμοσα ἐν τῷ ἁγίῳ μου, ἀντὶ τοῦ, Ὤμοσα κατὰ τῆς ἁγιωσύνης μου. Ἐπειδὴ γὰρ οὐκ εἶχε κατὰ μείζονος ὀμόσαι, κατὰ τῆς ἁγιωσύνης ὤμοσε τῆς αὐτοῦ.

« Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. »

Πάσης αὐτὸν ἀσφαλείας ἐγύμνωσας· ἐφ' οἷς γὰρ ἐθάρρει τῶν πόλεων περιβόλοις, παυσάμενος τοῦ θαρρεῖν, ἐπὶ δειλίαν ἐκπέπτωκεν.

« Ἕως πότε, Κύριε, ἀποστρέφῃ εἰς τέλος; »

Μνήσθητι, φασὶν οἱ ταῦτα λέγοντες, ὅτι τρεπτοὶ τὴν φύσιν ὑπάρχομεν, ὄντες αὐτεξούσιοι, μήπως εἰς ἀσέβειαν ἐξοκείλωμεν. Λέγοις δ' ἂν ὑπόστασιν, καὶ τὴν καθ' ἣν ὑποστῆναί τις δύναταί τι τῶν ἐπιπόνων.

ΨΑΛΜΟΣ ϙ'.

« Ὁ Θεός μου, ἐλπίζω ἐπ' αὐτόν. »

Ὁρᾷς ὅσην ἔχει παῤῥησίαν παρὰ Θεοῦ ; Ὅλον γὰρ ἑαυτὸν ὥσπερ ἀναθεὶς αὐτῷ, ἐπ' αὐτῷ πᾶσαν ἔχει τοῦ σώζεσθαι τὴν ἐλπίδα. Τρισμακάριος δὲ ὁ τοιοῦτος· καὶ ἀπάσης εὐημερίας ἔσται μεστός. Ψάλλει γοῦν ὁ μακάριος Δαβὶδ, καὶ φησι· *Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.*

[11] II Reg. VII, 12. [12] Joan. XX, 17. [13] Isa. IX, 6. [14] Psal. LXXXIII, 13.

Digitized by Google

« Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. »

Ὁ πάντα γενναίως φέρων αὐτὰ, τὰ αὐτὰ τῷ Ἰὼβ λέγει· *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Ὡς τῷ Κυρίῳ ἔδοξεν οὕτως καὶ ἐγένετο.* Ὁ οὖν ἐν τοσούτοις κατορθώμασιν εὑρεθεὶς, οὐδὲ τὸν μετασχηματιζόμενον εἰς ἄγγελον φωτὸς διάβολον φοβεῖται, ὄντα δαιμόνιον μεσημβρινόν, καὶ ἀκμαῖον φῶς ἐπαγγέλλεται διὰ φιλοσοφίας καὶ κενῆς ἀπάτης. Αὐτὸ τοῦτο ὅλον ἐστὶ δαιμόνιον μεσημβρινόν. Οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ οἱ διάκονοι αὐτοῦ, μετασχηματιζόμενοι εἰς διακόνους δικαιοσύνης, δαιμόνια μεσημβρινά εἰσιν. Ἀλλ' εἰ καὶ προσποιεῖται τούτων ἕκαστος μεσημβρινὸς εἶναι, οὐ διαμένουσι τοιοῦτοι οἷοι εἶναι προσποιοῦνται, σβεσθησομένου τοῦ φωτὸς τῶν ἀσεβῶν, ὅταν ὁ Χριστὸς ἔλθῶν, *Φωτίσῃ τὰ κρυπτὰ τοῦ σκότους, καὶ τὰς βουλὰς τῶν καρδιῶν φανερώσῃ.*

« Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς. »

Αἱ μυριάδες ὡς ἂν κραταιοτέροις καὶ ἰσχυροτέροις τοῖς δεξιοῖς ἐπεβούλευον. Ἀλλὰ καὶ πλείους εἰσὶν οἱ διὰ τῶν δοκούντων εἶναι δεξιῶν πίπτοντες, ἤπερ οἱ προφανῶς ἁμαρτάνοντες. Δικαιώματα γάρ τινα προβαλλόμενοι περιπείρονται ἁμαρτίαις τῶν ἀνθρώπων οἱ πλείους.

ΨΑΛΜΟΣ ϟΖ'.

« Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ. »

Καὶ τί τοῦτο θαυμαστὸν ἔχει; ἐπεὶ πάντως διὰ κακίας ὑπερβολὴν ἀπαγορευθεὶς ὑπῆρχεν ὁ ἄνθρωπος· διὸ τῆς τοῦ Θεοῦ δεξιᾶς καὶ τοῦ βραχίονος ἀναγκαίως ἐδέησε, δηλαδὴ τοῦ Μονογενοῦς αὐτοῦ· αὐτὸν γὰρ χαρακτηρίζει τῶν εἰρημένων ἑκάτερον. Περὶ οὗ καὶ Ἡσαΐας φησὶν· *Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ὁ βραχίων αὐτοῦ συνάξει ἄρνας.* Ὃν οὐ μάτην ὁ Ψαλμῳδὸς νῦν προσηγόρευσεν ἅγιον, ἀλλ' ἐν ἰδίᾳ δεῖξαι τοῦτον ὑποστάσει βουλόμενος. Αὐτὸς τοίνυν τὸ πλάσμα τὸ ἀπολωλὸς ἔσωσεν. Οὐδὲ γὰρ ἦλθε κρῖναι κόσμον, ἀλλὰ σῶσαι τὸν κόσμον.

« Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ. »

Ἀνθ' ὅτου τὸν Ἰακὼβ εἰπὼν, οὐκ ἠρκέσθη, ἀλλὰ καὶ τὴν τοῦ Ἰσραὴλ οἰκίαν προσέθηκεν, ἵνα πάντως δηλώσῃ ὡς πράξας τὰ νῦν προφητευόμενα, οὗτος ἦν ὁ τὸν Ἰακὼβ καὶ τὸν Ἰσραὴλ ἐπονομάσας· διόπερ καὶ μετ' αὐτοῦ ἐπάλαιε· προτυπῶσαι τὸ μυστήριον βουληθεὶς τῆς σαρκώσεως· σαρκὸς γὰρ τὸ παλαίειν καὶ περιπλέκεσθαι ἴδιον. Ἐμνήσθη τοίνυν τῶν πρὸς τὸν Ἰακὼβ καὶ τὸν Ἰσραὴλ ἐπαγγελμάτων, καὶ χάριτι μυστήριον τῇ πρὸς ἐκεῖνον ἐπλήρωσεν. Τοῖς μὲν γὰρ Ἰουδαίοις ὡς Ἰουδαῖος ἐπεδήμησεν· ἐκείνων δὲ τοὺς ὀφθαλμοὺς μυσάντων (ἐκάμμυσαν γὰρ, φησὶν ὁ Ἡσαΐας, τοὺς ὀφθαλμοὺς αὐτῶν ἵνα μὴ ἴδωσιν), ἀντ' ἐκείνων *τὰ πέρατα τῆς γῆς* (πάντα δηλαδὴ τὰ ἔθνη) *ἐθεάσαντο τοῦ Θεοῦ τὸ σωτήριον*, καίτοι μὴ βλέποντα τὸ πρότερον.

« Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ. »

A Vers. 5. « Scuto circumdabit te veritas ejus. »

Qui illa omnia generose sustinet, eadem cum Jobo dicit: *Si bona suscepimus de manu Domini, mala cur non sustinebimus? Sicut Domino placuit, ita factum est* [15-16]. Qui igitur in tantis probis factis inventus fuerit, neque diabolum in angelum lucis transformatum metuit, cum sit dæmonium meridianum, et fervens lux annuntietur propter philosophiam et inanem fallaciam. Id ipsum totum est dæmonium meridianum. Non solus autem ipse, verum etiam ministri ejus, qui transformati sunt in ministros justitiæ, dæmonia meridiana sunt. Cæterum, etsi quilibet horum simulet se meridianum B esse, non manent tamen tales quales se esse simulant, lumine impiorum exstincto; quando Christus advenerit, *qui illuminabit abscondita tenebrarum, et manifestabit consilia cordium* [17].

Vers. 7. « Cadent a latere tuo mille. »

Decem millia dextris tanquam potentioribus ac fortioribus insidiata sunt. Verumtamen plures sunt qui cadant eo quod a dextris esse videantur, quam qui manifeste peccant. Plurimi enim homines dum justitias aliquas præ se ferunt, peccatis transfiguntur.

PSALMUS XCVII.

Vers. 1. « Salvavit sibi dextera ejus. »

Ecquid hoc miri continet? quandoquidem propter excessum malitiæ omnino rejectus fuerit homo; quapropter Dei dextera ejusdemque brachio necessario indiguit, scilicet Unigenito ejus: ipsum enim utraque appellatione designat, de quo etiam Isaias ait: *Sicut pastor pascit gregem suum, et brachium ejus congregabit agnos* [18]. Quem non frustra Psalmodus modo sanctum appellavit, quia in propria ipsum hypostasi exhibere volebat. Ipse ipitur figmentum perditum servavit. Non enim venit ut judicet mundum, sed ut salvificet mundum [19].

Vers. 3. « Memor fuit misericordiæ suæ Jacob. »

Quapropter cum Jacob dixisset, non satis illi fuit, sed etiam domum Israel adjunxit, ut omnino declararet illum qui ea quæ modo prædicta sunt fecerat, eumdem esse qui Jacob quoque Israel nominaverat; eo quod cum ipso luctatus fuisset; per hoc volens præfigurare mysterium incarnationis; siquidem carnis proprium est luctari et circumplecti. Memor igitur fuit promissionum ad Jacob et Israel factarum, et in ejus gratiam mysterium implevit. Ad Judæos siquidem tanquam Judæus advenit; ipsis autem oculos occludentibus (clauserunt enim, inquit Isaias, oculos suos ne viderent) pro ipsis *fines terræ* (scilicet omnes gentes) *viderunt salutare Dei*, licet antea non viderent.

Vers. 4. « Jubilate Deo, omnis terra. »

[15-16] Job I, 21; II, 10. [17] Coloss. II, 8; I Cor. IV, 5. [18] Isa. XL, 11. [19] Joan. III, 17.

Digitized by Google

Et jure merito, quandoquidem communia bona sunt. Non amplius enim unius regionis, v. gr. Judææ aut gentis unius, sed totius humanæ naturæ mysterium est id quod perficitur, pro quo etiam vult nos jubilare, ut qui commune bellum vicerimus. Terram enim totum humanum genus appellavit. Itaque non de arido elemento, sed de hominibus ipsi verba facere propositum est : ideirco tanquam ad multitudinem dirigit sermonem. Jubet autem primum canere, ac deinde exsultare ; denique psallere subjunxit, ut ejus glorificationem divini gaudii principium et finem habeamus.

Vers. 5. « Psallite Domino in cithara. »

Citharam appellat Vetus Testamentum : in illa enim psalmodia præcepta fuit. Tubas vero vocat Evangelia, in quibus jubilare in conspectu Regis, scilicet Christi, tanquam qui per evangelicum vivendi institutum spiritales hostes devicerimus, merito jubemur. Tubarum ideirco multarum et unius mentionem fecit ; quandoquidem Evangelium quoque, cum virtute unum sit, per expositores ejus fuerit quadripartitum.

Vers. 8. « Flumina plaudent manu. »

Dices quidem vires spiritus esse, quæ quasi in unum congregatæ adventus Christi tempore manu plaudere dictæ sunt, de quibus ait : *Qui credit in me, sicut dicit Scriptura, flumina de ventre ejus fluent aquæ vivæ* [20]. Quin et sensibiles fluvios dices manibus plausisse et tripudiasse, quando Jordanis Christum baptizandum excepit [21]. Siquidem gaudium hoc fluminibus et aquis commune fuit.

Vers. 9. « Montes exsultabunt. »

Montes superius propter contemplationis sublimitatem prophetas esse diximus : hi Christi adventu merito exsultant, quandoquidem ipsorum vaticinium in opus egreditur. Gaudent enim justi Judice adveniente, propter retributiones quas ab ipso exspectant.

PSALMUS XCVIII.

Vers. 1. « Dominus regnavit. »

Judæos dicit. Illos enim Christi regnum ad iram et indignationem provocavit, ita ut Pilato dicerent : *Noli dicere quia Rex es Judæorum* [22]. et iterum : *Non habemus regem nisi Cæsarem* [23].

Vers. 3. « Confiteantur omnes nomini tuo. »

Quod enim opus judicii ? absolvere innocentes, reos propalare. *Quia regis honor* (id est principatus et potestas) *judicium diligit.* Quapropter cæteri interpretes alii quidem pro honore *fortitudinem*, alii vero *imperium* ediderunt.

Vers. 4. « Tu parasti directiones. »

Quomodo paravit ? præmittens legem, in qua præcepta posuit directiones. Rectam enim vitæ viam tenere potest, qui secundum illas ambulat. Lex enim quæ in Jacob (intelligit autem genus Israel)

Καὶ μάλα εἰκότως, ἐπειδὴ κοινὰ τὰ ἀγαθά. Οὐκέτι γὰρ χώρας μιᾶς, οἷον τῆς Ἰουδαίας, ἢ ἔθνους ἑνὸς, ἀλλὰ τῆς ἀνθρωπότητος ὅλης τὸ πεπραγμένον μυστήριον, ἐφ' ᾧ καὶ ἀλαλάζειν, ὡς πόλεμον κοινὸν νενικηκότας, βούλεται. Γῆν γὰρ τὸν καθόλου προσηγόρευσεν ἄνθρωπον. Οὐκοῦν οὐ περὶ τοῦ στοιχείου τῆς ξηρᾶς, ἀλλὰ περὶ τῶν ἀνθρώπων εἰπεῖν αὐτῷ πρόκειται· διόπερ ὡς πρὸς πλῆθος διαλέγεται. Κελεύει δὲ πρότερον ᾄδειν, καὶ μετὰ ταῦτα ἀγαλλιᾶσθαι· εἶτα τὸ ψάλλειν ἐπήγαγεν, ἵνα τῆς τοῦ Θεοῦ χαρᾶς τὴν εἰς αὐτὸν δοξολογίαν ἀρχὴν καὶ τέλος ἔχωμεν.

« Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ. »

Κιθάραν τὴν Παλαιὰν Διαθήκην καλεῖ· ἐν αὐτῇ γὰρ ἡ ψαλμῳδία προστέτακται. Σάλπιγγας δὲ τὰ Εὐαγγέλια, ἐν οἷς ἀλαλάζειν ἐνώπιον τοῦ Βασιλέως, δηλαδὴ τοῦ Χριστοῦ, ὡς διὰ τῆς εὐαγγελικῆς πολιτείας νενικηκότες τοὺς νοητοὺς ἐχθροὺς, εἰκότως κελευόμεθα. Σαλπίγγων δὲ τούτου χάριν πολλῶν καὶ μιᾶς ἐμνημόνευσεν, ἐπειδὴ καὶ τὸ Εὐαγγέλιον ἓν ὑπάρχον τῇ δυνάμει, τέτταρα διὰ τοὺς ἐκθεμένους γεγένηται.

« Ποταμοὶ κροτήσουσι χειρί. »

Ἐρεῖς μὲν τὰς ἐνεργείας τοῦ πνεύματος, αἵτινες χεῖρα κροτεῖν ὡς εἰς ἓν συνελθοῦσαι κατὰ τὸν καιρὸν τῆς Χριστοῦ ἐπιδημίας ἐλέγοντο. Περὶ ὧν ἔλεγεν· *Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.* Ἐρεῖς δὲ καὶ τοὺς αἰσθητοὺς ποταμοὺς κροτεῖν χεῖρας καὶ χορεύειν, ἡνίκα βαπτιζόμενον τὸν Χριστὸν ὁ Ἰορδάνης ἐδέξατο· κοινὴ γὰρ τοῦτο χαρὰ τῶν ποταμῶν καὶ τῶν ὑδάτων ἐτύγχανεν.

« Τὰ ὄρη ἀγαλλιάσονται. »

Ὄρη τοὺς προφήτας διὰ τὸ ὕψος τῆς θεωρίας προλαβόντες εἰρήκαμεν· οὗτοι τῇ παρουσίᾳ τοῦ Χριστοῦ εἰκότως ἀγαλλιῶνται, ἐπειδήπερ αὐτῶν εἰς ἔργον ἡ προφητεία ἐξέρχεται. Χαίρουσι γὰρ οἱ δίκαιοι τοῦ Κριτοῦ παραγινομένου, διὰ τὰς ἀμοιβὰς ἃς παρ' αὐτοῦ προσδέχονται.

ΨΑΛΜΟΣ ΡΗ'.

« Ὁ Κύριος ἐβασίλευσεν. »

Τοὺς τῶν Ἰουδαίων λέγει. Τούτους γὰρ εἰς ὀργὴν καὶ θυμὸν ἡ Χριστοῦ βασιλεία κεκίνηκεν, ὥστε τῷ Πιλάτῳ λέγειν· *Μὴ λέγε ὅτι βασιλεύς ἐστι τῶν Ἰουδαίων.* Καὶ πάλιν· *Οὐκ ἔχομεν βασιλέα, ἀλλ' ἢ Καίσαρα.*

« Ἐξομολογησάσθωσαν πάντες τῷ ὀνόματί σου. »

Τί γὰρ ἔργον τῆς κρίσεως ; Ἀπολύειν τοὺς ἀθώους, φανεροῦν τοὺς ὑπευθύνους. *Διόπερ κρίσιν ἀγαπᾷ ἡ τοῦ βασιλέως τιμὴ* (τουτέστιν ἡ ἀρχὴ καὶ ἐξουσία). Ὅθεν οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἀντὶ τῆς τιμῆς, οἱ μὲν *ἰσχὺν*, οἱ δὲ *κράτος* ἐκδεδώκασιν.

« Σὺ ἡτοίμασας εὐθύτητας. »

Πῶς ἡτοίμασε ; Προαποστείλας τὸν νόμον, ἐν ᾧ τὰς ἐντολὰς εὐθύτητας ἔταξεν. Ὀρθοτομεῖν γὰρ τοῦ βίου τὴν ὁδὸν ἔξεστι, κατ' ἐκείνας ὁδεύοντα. Ὁ γὰρ νόμος ὁ δοθεὶς ἐν Ἰακὼβ (λέγει δὲ τὸ γένος τοῦ

[20] Joan. VII, 38. [21] Matth. III, 16. [22] Joan. XIX, 21. [23] ibid. 15.

Digitized by Google

Ἰσραὴλ), οὗτος καὶ τοῖς ἁμαρτάνουσι κρίσιν ἐπήγαγε τὴν κατάκρισιν, καὶ τοῖς ἀγαθὰ βιοῦσι τὴν δικαιοσύνην ὑπέδειξε, καθ' ἣν δεῖ πολιτεύεσθαι.

A data est, hæc etiam pro judicio peccatoribus damnationem interminavit, et probe viventibus justitiam ostendit, secundum quam vita sit dirigenda.

« Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. »

VERS. 5. « Et adorate scabellum pedum ejus. »

« Καὶ τίνος χάριν οὐ τῷ θρόνῳ τοῦ Θεοῦ προσκυνεῖν μᾶλλον, ἀλλὰ τῷ ὑποποδίῳ παρακελεύεται; ποίῳ δὲ ὅλως ὑποποδίῳ; ἆρα τῇ γῇ; Ὁ γὰρ *οὐρανός μοι, φησὶ, θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου.* Καὶ μὴν προσκυνεῖν ἡμῖν στοιχείοις οὐκ ἔξεστιν. Ἀλλὰ τοῦτον λέγει τὸν τόπον ὃν δι' ἑτέρου ψαλμοῦ ἐξέθετο τηλαυγέστερον· *Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.* Λέγει δὲ τὸν Γολγοθᾶν. Ἐκεῖνος γὰρ ὄντως ὑπὸ τοὺς πόδας αὐτοῦ τῆς σαρκὸς κατὰ τὸν καιρὸν τοῦ σταυροῦ γεγένηται.

At cur non thronum Dei potius quam scabellum adorare jubet? Et quale porro scabellum? Num terram? *Cœlum* enim, inquit, *mihi sedes est, terra autem scabellum pedum meorum*[34]. Verum nefas nobis adorare elementa. Dicit igitur illum locum quem in alio psalmo clarius exposuit: *Adoremus in loco ubi steterunt pedes ejus*[35]: intelligit autem Golgotha. Ille enim revera locus est, qui tempore crucifixionis fuit sub pedibus carnis ejus.

B

« Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν. »

VERS. 8. « Domine Deus noster, tu exaudiebas eos. »

Ὁ Θεὸς ἡμῶν. Τίνων; Τῶν διὰ πίστεως αὐτῷ στρατευσαμένων, καὶ κτησαμένων τὸν ἐπὶ πάντων Θεὸν διὰ τῆς υἱοθεσίας τοῦ βαπτίσματος ἴδιον. Ὅτι γὰρ Θεὸς κατ' ἐξαίρετον τῶν εἰς αὐτὸν πεπιστευκότων λέγεται, ὁ Θωμᾶς διδάξει· ἡνίκα γὰρ τῷ Χριστῷ ψηλαφήσας ἐπίστευσεν, *Ὁ Κύριός μου καὶ ὁ Θεός μου*, φησὶν, ἴδιον αὐτοῦ Κύριον καὶ Θεὸν καλῶν, τὸν ἐπὶ πάντων ἀνακέκραγεν.

Deus noster. Quorum? eorum qui per fidem ipsi militant, et qui omnium Deum per baptismatis adoptionem sibi proprium possident. Quod enim per excellentiam dicatur Deus eorum qui in ipsum crediderunt Thomas ipse docebit: quando enim Christum tangens credebat, *dixit ei, Dominus meus, et Deus meus*[36], proprium suum Dominum ac Deum vocans, eum qui super omnes est.

« Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. »

VERS. 9. « Exaltate Dominum Deum nostrum. »

Καὶ τί χρῄζει ὑψωθῆναι ὁ ὑψηλός; πῶς δὲ παρὰ ἀνθρώποις ὁ ἐν οὐρανοῖς ὑψωθήσεται; Ἀλλὰ ὑψηλὰ, φησὶ, περὶ αὐτοῦ διανοήθητε. Ὕψος ἄρα τοῦ Θεοῦ Λόγου ἡ ἐν τῷ ὄρει τῷ ἁγίῳ προσκύνησις. Ὥσπερ γὰρ δόξα βασιλεῖ τὰ ἐν πολέμῳ τρόπαια, οὕτω καὶ τῷ Χριστῷ ἡ διὰ τῶν παθημάτων κατόρθωσις, ἥτις ἐν τῷ ὄρει τῷ ἁγίῳ τῷ τὸν σταυρὸν δεξαμένῳ γεγένηται. Ἅγιον δὲ τὸ ὄρος οὐκ ἀφ' ἑαυτοῦ καλεῖ, ἀλλ' ἀπὸ τῆς τοῦ σταυρωθέντος ἐπιφοιτήσεως.

At quid exaltatione opus sit illi qui excelsus est? Quomodo autem is qui in cœlis est ab hominibus exaltabitur? verumtamen sublimia, inquit, de ipso cogitate. Dei Verbi igitur exaltatio est ejus in monte sancto adoratio. Quemadmodum igitur in bello gloriosa regi sunt trophæa, ita quoque Christo per passionem consummatio, quæ in monte sancto crucem excipienti contigit. Porro montem non a semetipso appellat sanctum, sed ab adventu crucifixi.

C

ΨΑΛΜΟΣ ϞΘ'.

PSALMUS XCIX.

« Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός. »

VERS. 3. « Scitote quoniam Dominus ipse est Deus. »

Τίνος ἐσμὲν πρόβατα, μάνθανε, τοῦ Μονογενοῦς λέγοντος· *Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει.* Αὐτοῦ καὶ λαός ἐσμεν, ὅστις ἡμῖν διὰ τῆς γλώσσης τῆς προφητικῆς ἔλεγεν· *Καὶ ἔσεσθέ μοι εἰς λαὸν, κἀγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.* Οὐκοῦν ὁ Κύριος αὐτός ἐστιν ὁ Θεός. Ἑκάτερον γὰρ ὁ Υἱὸς καθάπερ ὁ Πατὴρ ὀνομάζεται.

Cujus oves simus disce ex Unigenito dicente: *Oves meæ vocem meam audiunt*[37]. Ipsius etiam populus sumus, qui nobis per linguam propheticam dixit: *Et eritis mihi in populum, et ego ero vobis in Deum*[38]. Itaque Dominus ipse est Deus. Utrumque enim Filius æque ac Pater nominatur.

D

« Ἐξομολογεῖσθε αὐτῷ. »

VERS. 4. « Confitemini illi. »

Ὡς γὰρ χρηστὸς, τουτέστιν ὡς συμπαθὴς, ὡς φιλάνθρωπος, ἐν τῷ παρόντι αἰῶνι τὸ ἔλεος ἔδωκεν, ἵνα κἂν πλανηθῶμεν ἐκ ῥᾳθυμίας, ἀλλὰ διὰ τῆς αὐτοῦ φιλανθρωπίας πρὸς αὐτὸν ἐπιστρέψωμεν. Ἀπὸ γὰρ τῆς νῦν γενεᾶς ἀρξαμένη τοῦ Θεοῦ ἡ ἀλήθεια, εἰς τὴν γενεὰν φανεροῦται τὴν μέλλουσαν, ὅταν ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοῦτο γάρ ἐστιν ἡ ἄμαχος καὶ ἀψευδὴς ἀλήθεια.

Tanquam suavis enim, id est, tanquam compatiens, tanquam benignus in præsenti sæculo misericordiam dedit, ut, etiamsi ex socordia erraverimus, propter benignitatem tamen ipsius ad ipsum revertamur. Dei enim veritas ab hac generatione incipiens, in futuram generationem manifestatur, quando reddet unicuique secundum opera ejus. Hæc est enim veritas quæ vinci ac falli nescit.

[34] Isa. LXVI, 1. [35] Psal. CXXXI, 7. [36] Joan. XX, 28. [37] Joan. X, 27. [38] Jerem. XI, 4.

Digitized by Google

PSALMUS C.

VERS. 1. « Misericordiam et judicium cantabo tibi, Domine. »

Cum per præsentem psalmodiam totam vitam nostram ordinare velit, necessario meminit judicii. Oculus enim in ipsum intuens offendere non audebit, sed metu eorum quæ pro illo tempore intentantur asseeuratur. Cæterum cum judicio præponat misericordiam, misericors est Judex noster, non utique quando judicat, sed modo quando nondum exercet judicium, ita ut misericordia sit temporis præsentis, judicium vero sit temporis futuri. Hæc igitur cantantes, neque desperaturi, neque desides futuri sumus cum peccamus.

VERS. 2. Psallam et intelligam in via immaculata. »

Beatum est Dei adventum exspectare, atque ita assidue tanquam ad nos venturum præstolari : veniet autem ad nos, quando ejus mandata custodiemus. Ait enim Christus : *Si quis diligit me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus*[29].

VERS. 4. « Non adhæsit mihi cor pravum. »

Rectum enim curvo coagmentari nequit. Et sicut virga incurva cum recta conglutinari minime potest, ita innocenter viventi minime adhærent illi qui cor pravum habent.

« Declinantem a me malignum non cognoscebam. »

Qui enim apud nos alteri detrahit, is neque nobis apud alios detrahere desinet. Talis profecto tanquam communis hostis merito rejiciendus est, ut qui draconem in paradiso imitetur, qui Deo detrahens Evam supplantavit.

VERS. 5. « Superbo oculo. »

Non feriebam, inquit, cum illis fœdus amicitiæ. Siquidem mensa plerumque pro dilectionis pignore accipitur. Necessario autem corde insatiabilem, id est avarum, cum superbo conjunxit. Nemo enim ipsum sibi amicum habere poterit, quandoquidem superbus et avarus sui ipsius amans est.

VERS. 6. « Oculi mei ad fideles terræ. »

Non solum dicit se pravos aversari, verum etiam bonos sibi adeo placere, ut oculos in ipsos intendat : quod amantium erga amatos proprium est.

VERS. 8. « In matutinis interficiebam omnes. »

Civitas autem Dei est, in qua omnino sunt et habitant sancti, quibus expedit ut peccatores de medio fiant, sive aboleantur sive interficiantur, ne illorum consortio ullatenus lædantur.

PSALMUS CI.

VERS. 3. « Inclina ad me aurem tuam. »

Et quid sit quod urgeat? Quæ vero qualisve causa sit accelerationis, sequentia declarant.

[29] Joan. XIV, 23.

ΨΑΛΜΟΣ Ρ'.

A « Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. »

Ἀναγκαίως, ἐπειδὴ ῥυθμίζεται διὰ τῆς παρούσης ψαλμῳδίας ὅλον τὸν βίον τὸν ἡμέτερον βούλεται, μνημονεύει τῆς κρίσεως. Ὀφθαλμὸς γὰρ εἰς αὐτὴν ὁρῶν, προσκόπτειν οὐκ ἀνέξεται, φόβῳ δὲ τῶν κατ' ἐκεῖνον ἀπειλουμένων τὸν καιρὸν ἀσφαλίζεται. Ἀλλ' ἐπεὶ τῆς κρίσεως προτάττει τὸν ἔλεον, ἐλεήμων ἐστὶν ὁ Κριτὴς ὁ ἡμέτερος, οὐ μὴν ὅτε κρίνει, νυνὶ δὲ ὅτε μήπω τὴν κρίσιν ἐνεργεῖ, ὥστε τὸ ἔλεος τοῦ νῦν καιροῦ, ἡ δὲ κρίσις τοῦ μέλλοντος. Ταῦτα τοιγαροῦν ᾄδοντες, οὔτε ἀπαγινώσκειν, οὔτε καταφρονεῖν ἁμαρτάνοντες μέλλομεν.

« Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. »

B Μακάριον τοῦ Θεοῦ τὴν ἐνδημίαν προσδέχεσθαι, οὕτω τε διηνεκῶς ὡς ἥξοντα πρὸς ἡμᾶς εὐτρεπίζεσθαι· ἥξει δὲ πρὸς ἡμᾶς, ὅταν αὐτοῦ τὰς ἐντολὰς τηρήσωμεν. Φησὶ γὰρ ὁ Χριστός· *Ἐάν τις ἀγαπᾷ με, τὰς ἐντολάς μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα.*

« Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. »

Τὸ γὰρ εὐθὺ τῷ στρεβλῷ συναφθῆναι οὐ δύναται. Καὶ καθάπερ σκαμβὴ ῥάβδος κολληθῆναι πρὸς ὀρθὴν οὐ δύναται, οὕτως ἀκακίᾳ συζῶντι οἱ σκαμβὴν ἔχοντες καρδίαν οὐ συνάπτονται.

« Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. »

C Ὁ γὰρ ἐφ' ἡμῶν ἑτέρου καταλαλῶν, οὗτος οὐδὲ ἡμῶν καταλαλεῖν ἐφ' ἑτέρων ἀφέξεται. Καὶ χρὴ τὸν τοιοῦτον ὡς κοινὸν ἐχθρὸν εἰκότως ἐλαύνεσθαι, ὡς τὸν ἐν παραδείσῳ μιμούμενον δράκοντα, ὃς τοῦ Θεοῦ καταλαλήσας τὴν Εὔαν ἠπάτησεν.

« Ὑπερηφάνῳ ὀφθαλμῷ. »

Οὐκ ἐτιθέμην, φησί, πρὸς αὐτοὺς φιλίας συνάλλαγμα. Ἐπειδήπερ ἡ τράπεζα ἀγάπης ἐνέχυρον ὡς τὰ πολλὰ παραλαμβάνεται. Ἀναγκαίως δὲ τὸν ἄπληστον τῇ καρδίᾳ, δηλαδὴ τὸν πλεονέκτην, καὶ τὸν ὑπερήφανον συνέπλεξεν. Οὐδεὶς γὰρ αὐτὸν φίλον ἔχειν δυνήσεται, ἐπειδὴ φίλαυτος ὁ ὀλαζὼν καὶ ὁ πλεονέκτης.

« Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς. »

D Οὐ μόνον φησὶ τοὺς πονηροὺς ἀποστρέφεσθαι, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς τοσοῦτον ἀρέσκεσθαι, ὥστε τοὺς ὀφθαλμοὺς εἰς αὐτοὺς τείνειν· ὅπερ ἐραστῶν πρὸς ἐρωμένους ἴδιον.

« Εἰς τὰς πρωΐας ἀπέκτεννον πάντας. »

Πόλις δὲ Θεοῦ, ἐν ᾗ πάντως εἰσὶ καὶ κατοικοῦσιν ἅγιοι, οἷς συμφέρει ἁμαρτωλοὺς ἐκ μέσου γενέσθαι, ἢ καταργουμένους ἢ ἀναιρουμένους, ἵνα μηδαμῶς αὐτῶν τῇ κοινωνίᾳ βλάπτωνται.

ΨΑΛΜΟΣ ΡΑ'.

« Κλῖνον πρός με τὸ οὖς σου. »

Καὶ τί τὸ κατεπεῖγον, αἰτία δὲ τίς ἢ ποία τῆς ταχύτητος, τὰ ἑξῆς δηλοῖ.

Digitized by Google

« Καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγη- A σαν. »

Τί ἐστι *φρύγιον*, ὁ Σύμμαχος ἐδήλωσεν· ἐκδέδωκε γὰρ, *ἀπόκαυμα*. Ὥσπερ τοίνυν τὸ ἀποκαυθὲν, ἐὰν μὴ τύχῃ τοῦ ταχέως σβεννύντος, εὐκόλως θρύπτεται· οὕτως ψυχὴ τοῖς βιωτικοῖς συγκαιομένη πάθεσιν, ἐὰν μὴ τὸν Θεὸν φιλανθρωπίᾳ σβεννύντα τὴν ἔκκαυσιν κτήσηται, εὐκόλως διαφθείρεται· καὶ διὰ τοῦτο ταχὺ εἰσακουσθῆναι προσηύξατο. Ἄρτος δὲ ἡμῶν τῆς ψυχῆς, ὁ τοῦ Θεοῦ λόγος. Ὥσπερ γὰρ ὁ ἀπὸ γῆς ἄρτος τὸ σῶμα τρέφει, οὕτως ὁ ἐξ οὐρανοῦ λόγος τὴν οὐσίαν τῆς ψυχῆς. Καὶ τούτων χάριν ὁ Χριστὸς τὴν προσευχὴν παραδιδοὺς ἔλεγε τοῖς ἀποστόλοις· *Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*. Ὃς ἂν τοίνυν τοῦτον φαγεῖν ἐπιλάβηται, τουτέστιν ἐργάσασθαι (τοῦ γὰρ νοητοῦ ἄρτου B ἡ βρῶσις ἐργασία καθέστηκε· δηλοῖ δὲ οὕτως εἰπὼν τοῖς ἀποστόλοις ὁ Κύριος· *Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον*), τούτου ἡ καρδία δίκην χόρτου πληγεῖσα ξηραίνεται. Ὡς δὲ ὁ χόρτος πλήττεται καὶ ξηραίνεται, ὅταν ὑετὸς ἐπ' αὐτὸν σπανίσῃ· οὕτω καὶ ἡ καρδία, ὅταν ἔνδειαν νοσήσῃ τοῦ θείου λόγου, τότε πλήττεται καὶ ξηραίνεται, ἄνθος ἀρετῆς βλαστῆσαι οὐκ ἰσχύουσα.

« Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη. »

Τουτέστιν, ἐτάκη πᾶσα πιμελὴ καὶ εὐθηνία τοῦ σώματος. Ὁ γὰρ ἀληθὴς στεναγμὸς, ὃς καὶ φωνὴν ἔχει ἀκουομένην, τήκει τὸ σῶμα, καὶ τῆς σαρκὸς ἐργάζεται νέκρωσιν· ἐπειδὴ ὅσον ὁ ἔξω ἄνθρωπος C διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινίζεται.

« Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ. »

Θαυμαστὸν ἡμῖν καρπὸν τῆς ἀγρυπνίας ἔδειξεν· ποιεῖ γὰρ ἡμᾶς ὡς στρουθίον μονάζον ἐπὶ δώματι· ὅπερ εἶναι μὲν δοκεῖ τισιν εὐκαταφρόνητον, πολιτείαν δὲ ὅμως ἐκλεκτὴν καὶ μακαρίαν κέκτηται. Οὐ τροφῆς γὰρ, οὐκ ἐσθημάτων φροντίζει ὁ μονάζων ὡς στρουθίον, οὐκ ἐπιβουλὴν δέδοικε· κατοικεῖ γὰρ ἐν δώματι, καὶ τῶν ἐπιβουλευόντων ἐστὶν ὑψηλότερος. Νοήσεις δὲ πάντως ἐκεῖνο τὸ δῶμα καὶ τῷ Ψαλμῳδῷ λέγεσθαι, ὅπερ ὁ Κύριος περὶ συντελείας διηγούμενος ἔφρασε· φησὶ γάρ· *Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραι τὸ ἱμάτιον αὐτοῦ*.

D « Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με. »

Τουτέστιν, οἱ δοκοῦντες φίλοι χείρονα τῶν ἐχθρῶν διέπραττον· τοὺς γὰρ ἐπαίνους εἰς ὅρκους τοὺς κατ' ἐμοῦ μετεβάλλοντο· ἢ συνθήκας τινὰς εἰς ἐμὴν ταύτας ἐπιβουλὴν τιθέμενοι, καὶ τοσοῦτον τὴν ἐμὴν ταπείνωσιν ἐκτρεπόμενοι, ὥστε μὴ κατ' ἐμὲ γενέσθαι, μηδὲ συμβῆναι αὐτοῖς, οἷα ἐμοὶ, ἀπόμνυσθαι.

« Κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. »

Μὴ τοίνυν τοῖς βιωτικοῖς ἐπαιρώμεθα πράγμασι· τούτου γὰρ ἡμᾶς ἕνεκα σκιὰν καὶ χόρτον ὁ Προφήτης ἐκάλεσεν, ἵνα μηδενὶ τῶν παρόντων θαρσήσωμεν

Vers. 4. « Et ossa mea sicut cremium aruerunt. »

Quid sit *cremium* Symmachus declaravit : exposuit enim *incendium*. Quemadmodum igitur id quod accensum est, nisi illico exstinguatur, facile absumitur ; ita etiam anima sæcularibus affectionibus accensa, nisi Deum incendii sui clementissimum restinctorem nacta fuerit, facillime corrumpitur : atque idcirco velociter exaudiri postulavit. Panis porro animæ nostræ est verbum Dei. Quemadmodum enim terrenus panis corpus alit, ita Verbum cœleste substantiam animæ. Atque has ob causas Christus apostolis tradens orandi formam dixit : *Panem nostrum quotidianum da nobis hodie*[30]. Quisquis igitur hunc manducare, id est operari, oblitus fuerit (spiritalis panis manducatio est operatio, uti apostolis ipse Dominus declarat dicens : *Operamini non cibum qui perit, sed qui permanet in vitam æternam*[31]), hujus cor instar feni percussum exarescit. Sicut autem fenum percutitur et arescit, quando raro pluvia irrigatur ; ita etiam anima, quando divini Verbi penuria laboraverit, illico tunc percutitur et exarescit, cum flos virtutis germinare minime valeat.

Vers. 6. « A voce gemitus mei adhæsit. »

Id est, omnis adeps et felicitas corporis contabuit. Verus enim gemitus, qui et acutam vocem habet, corpus extenuat, et carnis mortificationem operatur ; quoniam quantum exterior homo corrumpitur, tantumdem interior innovatur.

Vers. 7. « Similis factus sum pellicano solitudinis. »

Admirabilem nobis vigiliarum fructum ostendit : faciunt enim nos instar passeris solitarii in tecto : quod quibusdam quidem videtur contemptibile, attamen electam simul et beatam vivendi rationem continet. Siquidem non cibum neque vestes curat is qui tanquam passer solitarius exsistit, insidias minime veretur ; quoniam in tecto habitat, et insidiantibus sublimior evasit. Cæterum intelliges etiam a Psalmista tectum illud dici, de quo Dominus verba fecit, cum orbis describit consummationem ; ait enim : *Qui in tecto, non descendat tollere tunicam suam*[32].

Vers. 9. « Tota die exprobrabant me. »

Id est, hi qui videbantur amici, deteriora hostibus irrogabant : laudes enim in detestationes adversum me mutabant : vel ad me decipiendum conspirabant, et in tantum humilitatem sive abjectionem meam aversabantur, ut obtestarentur, ne mihi similes evaderent, neque ipsis istiusmodi, qualia mihi, evenirent.

Vers. 12. « Et ego sicut fenum aru. »

Ne igitur rebus sæcularibus extollamur : idcirco enim Propheta nos umbram et fenum appellavit, ne in ulla rerum præsentium confideremus, fluxam et

[30] Matth. vi, 11. [31] Joan. vi, 27. [32] Matth. xxiv, 17.

Digitized by Google

cadacam earum conditionem considerantes. A nobis autem ad Dominum sermonem transtulit, quandoquidem mortalem carnem, quæ instar feni corruptibilis est, assumpsit, simul tamen ipse etiam incarnatus, utpote Deus, incorruptibilis et immortalis perseveravit.

τὸ σαθρὸν αὐτῶν εἰδότες καὶ τὸ πρόσκαιρον. Ἀφ' ἡμῶν δὲ τὸν λόγον εἰς τὸν Κύριον μετέστησεν, ἐπειδὴ τῆς θνητῆς μετέσχε σαρκὸς, τῆς φθειρομένης καθάπερ ὁ χόρτος, ἀλλ' ὅμως αὐτὸς καὶ σαρκωθεὶς ἄφθαρτος εἰς τὸν αἰῶνα, ὡς Θεὸς, καὶ ἀθάνατος ἔμεινε.

Vers. 14. « Tu exsurgens misereberis Sion. »

Exsurgens : unde? Manifestum quod ex mortuis. Sed quomodo miseretur Sion? nempe comminationem ipsi interminatam immutans : quæ autem erat ista? *Sion quasi ager arabitur, et Jerusalem ut custodia pomarii erit*[34]. Atque imprecatio quidem communis est, ejus immutatio vero minime communis. Et vides ut Jerusalem quidem etiamnum vastata sit, Sion vero in gloria exsistat, Christo ipsius secundum tempus, id est opportune, miserante. Quæ autem hæc opportunitas? mysteriorum quæ in ipsa sunt propositio.

« Σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιών. »

Ἀναστάς· πόθεν; Ἀπὸ τῶν νεκρῶν εὔδηλον. Ἀλλὰ πῶς οἰκτείρει τὴν Σιών; Τὴν ἐπ' αὐτὴν μεταβάλλων ἀπειλήν. Τίς δὲ ἦν αὕτη; *Σιὼν ὡς ἀγρὸς ἀρτριωθήσεται, καὶ Ἰερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται.* Καὶ ἡ μὲν κατάρα κοινὴ, ἡ μεταβολὴ δὲ οὐ κοινή. Καὶ θεωρεῖς ὅπως ἡ μὲν ἔτι καὶ νῦν πεπόρθηται, ἡ Σιὼν δὲ ἐν δόξῃ, οἰκτειρήσαντος αὐτὴν τοῦ Χριστοῦ κατὰ καιρὸν, τουτέστιν εὐκαίρως. Τίς δὲ ἡ εὐκαιρία; Ἡ τῶν ἐν αὐτῇ μυστηρίων ὑπόθεσις.

Vers. 16. « Et timebunt gentes nomen tuum. »

Horum causa est prædicatio, quæ ex Sion in universum orbem divulganda est. Recte autem dixit *timebunt*. Tunc enim gentes timorem ejus nondum habebant; sed ex quo apostolis præcepit : *Docete omnes gentes*[35]; quinimo etiam reges terræ, non aliquos, sed omnes. Quapropter dices una cum regibus etiam justos recenseri; siquidem hi per se consecrati sunt, quin potius a Deo in reges uncti, eo quod voluptatibus imperent, et regiam imaginem in se servent inviolatam.

« Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου. »

Αἴτιον τούτων τὰ ἀπὸ τῆς Σιὼν εἰς πᾶσαν γενόμενον τὴν οἰκουμένην κήρυγμα. Καλῶς δὲ, *φοβηθήσονται*, εἶπε. Τότε γὰρ αὐτοῦ τὸν φόβον τὰ ἔθνη οὐκ ἐκέκτηντο· ἀφ' οὗ δὲ τοῖς ἀποστόλοις προσέταξε, *Μαθητεύσατε πάντα τὰ ἔθνη*, ἀλλὰ μὴν καὶ οἱ βασιλεῖς τῆς γῆς, οὐ τινὲς, ἀλλὰ πάντες. Διόπερ ἐρεῖς μετὰ τῶν βασιλέων καὶ τοὺς δικαίους λέγεσθαι· αὐτοχειροτόνητοι γὰρ οὗτοι, μᾶλλον δὲ παρὰ Θεοῦ χειροτονηθέντες βασιλεῖς, διὰ τὸ δεσπόζειν τῶν ἡδονῶν, καὶ φυλάξαι τὴν βασιλικὴν εἰκόνα τυγχάνουσιν.

Vers. 17. « Quoniam ædificabit Dominus Sion. »

Vides ut regum subjectionis et gentium cognitionis causa sit ædificatio Sionis; quam ipsam non lapidibus, sed miraculis et gratiis spiritualibus atque mysteriis gloriosis ædificavit.

« Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών. »

Θεωρεῖς ὅπως αἴτιον τῆς τῶν βασιλέων ὑποταγῆς καὶ τῆς τῶν ἐθνῶν ἐπιγνώσεως ἡ τῆς Σιὼν οἰκοδομή· ἥνπερ αὐτὴν, οὐ λίθοις, ἀλλὰ θαύμασι καὶ χάρισι πνευματικοῖς καὶ μυστηρίοις ἐνδόξοις ᾠκοδόμησαν.

Vers. 18. « Respexit in orationem humilium. »

Humiles manifeste vocat eos qui humiliter sapiunt; de quibus Dominus ipsemet dixit : *Super quem respiciam, nisi super humilem, et quietum, et trementem sermones meos*[36]? ita ut apostolos insinuet.

« Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν. »

Ταπεινοὺς σαφῶς λέγει τοὺς ταπεινόφρονας· περὶ ὧν αὐτὸς ὁ Κύριος ἔλεγεν· *Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;* ὥστε τοὺς ἀποστόλους αἰνίττεται.

Vers. 19. « Scribantur hæc in generatione altera. »

Hæc : quæ? Sion in generationem alteram gentium. Cum enim Judæi eam rejecerint, quoniam mysterium ejus non susceperunt, mater gentium merito descripta est, quibus congruunt ea quæ subjunguntur.

« Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν.

Αὕτη· τίς; Ἡ Σιὼν εἰς γενεὰν ἑτέραν τὴν τῶν ἐθνῶν. Ἀπευδοκησάντων γὰρ αὐτὴν τῶν Ἰουδαίων, ἐπειδὴ τὸ ἐν αὐτῇ μυστήριον οὐκ ἐδέξαντο, μήτηρ εἰκότως τῶν ἐθνῶν καταγέγραπται, περὶ ὧν ἁρμόττει τὰ ἑπαγόμενα.

« Et populus qui creatur laudabit Dominum. »

Creatus est enim populus ex gentibus, qui aliud generationis principium accepit per lavacrum regenerationis : istiusmodi enim innovationem solet divina Scriptura creationem appellare. Hujus autem rei testis est Paulus, cum de Christo dicit : *Ut duos*

« Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. »

Ἐκτίσθη γὰρ ὁ ἐξ ἐθνῶν λαὸς, ἀρχὴν ἑτέραν γενέσεως τὴν τοῦ λουτροῦ παλιγγενεσίαν δεξάμενος· τὸν γὰρ τοιοῦτον ἀνακαινισμὸν, κτίσιν ἔθος ὑπὸ τῆς Γραφῆς τῆς θείας ὀνομάζεσθαι. Μαρτυρεῖ δὲ ὁ Παῦλος περὶ τοῦ Χριστοῦ λέγων· *Ἵνα τοὺς δύο κτίσῃ*

[34] Mich. III, 12. [35] Matth. XXVIII, 19. [36] Isa. LXVI, 2.

Digitized by Google

ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην.

condat in semetipso in unum novum hominem faciens pacem[36].

« Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου. »

Σαφῶς τῆς τοῦ Σωτῆρος ἐπιδημίας μέμνηται· οὕτως γὰρ ἐκκύψαι ἀπὸ τοῦ ὕψους κατὰ καιρὸν τῆς σαρκώσεως λέγεται, ὡς ἄνω μείνας, καὶ κάτω φανείς. Τοῦτο γὰρ τῶν ἐκκυπτόντων ἀπὸ τοῦ ὕψους ἴδιον· ἐξέκυψε δέ, ἵνα τὴν γῆν ἐπισκέψηται. Πότε γάρ αὐτὴν, ἐρεῖς, οὐκ ἐπεσκέψατο; Ἀλλὰ νῦν μείζων ὑπῆρχεν ἡ ἐπίσκεψις· οἰκονομίας γὰρ ἕνεκα τῆς διὰ τῶν ἑξῆς ἐμφερομένης ἐγίνετο.

Vers. 20. « Quoniam prospexit de excelso sancto. »

Manifeste mentionem fecit adventus Salvatoris : sic enim incarnationis tempore de excelso prospexisse dicitur, ut sursum manserit, et deorsum apparuerit. Hoc enim proprium est eorum qui ex alto prospiciunt. Prospexit autem ut terram inspiceret : at quando, inquies, illam non respexit ? Verum jam major exstitit inspectio : siquidem propter dispensationem accidit quæ deinde infertur.

« Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων. »

Vers. 21. « Ut audiret gemitus compeditorum. »

Δεδεμένοι πάντες ὑπὸ τῆς ἁμαρτίας ἐτύγχανον· σειραῖς ἕκαστος τῶν οἰκείων ἁμαρτημάτων σφιγγόμενος· ὧν τὴν ἐπιστροφὴν μηνύων ὁ Ἡσαΐας ἔλεγε· *Καί σοι ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσεύξονται, καὶ προσκυνήσουσί σοι.* Οἱ δὲ αὐτοὶ καὶ υἱοὶ τεθνατωμένων, τὸν βαρὺν καὶ χαλεπὸν τῆς εἰδωλολατρίας ὑπομεινάντων θάνατον. Οὗτοι τοίνυν ἐστέναζον, τῶν δεσμῶν ἀπολυθῆναι βουλόμενοι· διόπερ αὐτῶν ὁ Θεὸς εἰσακούσας, εἰς τὴν γῆν αὐτὸς ἐλθὼν ἐπεσκέψατο.

Omnes erant ligati peccato : unusquisque propriorum peccatorum vinculis stringebatur : quorum conversionem insinuans Isaias ait : *Et te sequentur vincti manicis, et in te orabunt et adorabunt te*[37]. Cæterum hi ipsi quoque sunt filii interemptorum, qui gravem ac molestam idololatriæ mortem subierunt. Hi itaque gemebant a vinculis absolvi cupientes : quapropter Deus ipses exaudiens, ipsemet in terram adveniens respexit.

« Τοῦ ἀναγγεῖλαι ἐν Σιών. »

Vers. 22. « Ut annuntient in Sion. »

Οὐχ ὥστε μέχρι τῶν ἐκεῖ στῆναι τοῦ Θεοῦ τὴν αἴνεσιν ἢ τὴν ἀγγελίαν, τουτέστι τὸ Εὐαγγέλιον, ἀλλ' ὥστε ἐκεῖθεν ἀρξάμενον εἰς πᾶσαν διαδοθῆναι τὴν γῆν. *Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον ἐθνῶν πολλῶν.*

Non ut illic Dei laus et annuntiatio, hoc est Evangelium, sistatur, sed ut inde incipiens in universum terrarum orbem propagetur. *Quia de Sion exibit lex, et verbum Domini de Jerusalem. Et judicabit inter gentes multas*[38].

« Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό. »

Vers. 23. « In conveniendo populos in unum. »

Οὐ περὶ ἑνὸς λαοῦ, περὶ πολλῶν δὲ συναχθέντων ἐκτίθεται. Διὰ δὲ τοῦ πλήθους τὰ ἔθνη αἰνίττεται.

Non de uno populo, sed de multis convenientibus exponitur. Per multitudinem autem gentes insinuat.

« Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ. »

Vers. 24. « Respondit ei in via virtutis suæ. »

Τί τοιοῦτο δηλῶν ὁ Χριστός φησιν· *Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου*· τοῦ σταυροῦ τὸν καιρὸν αἰνιττόμενος· ὅστις ὁδὸς ἰσχύος ἀναγκαίως ἐλέγετο. Ἰσχὺς γὰρ τοῦ σταυροῦ καὶ δύναμις ἀψευδὴς ἡ ἐκ νεκρῶν ἀνάστασις, ἣν ὡδοποίησε τοῦ σταυροῦ τὸ μυστήριον.

Christus quid simile declarans ait : *Venit hora, ut clarificetur Filius hominis*[39]; crucis tempus insinuans : quod necessario viam virtutis appellavit. Vis enim ac virtus crucis vera est e mortuis resurrectio, cui viam stravit mysterium crucis.

« Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν. »

Vers. 25. « Ne revoces me in dimidio dierum. »

Ἀναγωγὴν καλεῖ τὴν ἐντεῦθεν μετάστασιν. Τοῦτο γὰρ ψυχῆς ἄνοδος. Μὴ τοίνυν ἀτελὴς τὴν ἀρετὴν μεταστῆναι πρεσβεύεται, ὁλόκληρον βίον νομίζων τὸν ἐν ἀρετῇ τέλειον, ἥμισυ δὲ τὸ ἀτελὲς καὶ ἀπλήρωτον.

Revocationem vocat ex hac vita migrationem. Hic enim est animæ ascensus. Rogat itaque, ne imperfectus in virtute hinc emigret, integram vitam reputans quæ in virtute perfecta sit, dimidiam vero cui desit perfectio et plenitudo.

Τὸν λόγον πάλιν πρὸς τὸν Κύριον ἐπέτρεψεν· αὐτοῦ γὰρ τὰ ἔτη, ἃ ἐν σαρκὶ πεποίηκεν, ἐν γενεᾷ γενεῶν, ὡς ἀπηρτισμένην καὶ ὁλόκληρον τὴν πολιτείαν ἔχοντα. Ὅθεν καὶ ὁ Παῦλος τοὺς ἐν τελειότητι παραστῆσαι βουλόμενος ἔλεγεν· *Ἵνα καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος Χριστοῦ.*

Sermonem iterum convertit ad Dominum : ipsius enim anni, quos in carne egit, in generatione generationum perseverant, ut qui perfectam et integram contineant disciplinam. Unde etiam Paulus perfectos nos exhiberi volens dixit : *Ut occurramus omnes in virum perfectum, in mensuram ætatis plenitudinis Christi*[40].

« Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. »

Vers. 27. « Ipsi peribunt, tu autem permanes. »

[36] Ephes. II, 15. [37] Isa. LXV, 14. [38] Isa. II, 3. [39] Joan. XII, 23. [40] Ephes. IV, 13.

Digitized by Google

Pulchre Dei personam attribuit creationi, ne penitus intereat; quandoquidem sunt facturæ Dei, sed veterascant quidem tanquam omnino creatæ, mutentur vero tanquam a Deo conditæ. Quomodo autem veterascunt sicut vestimentum et sicut operto-rium? nempe ob assiduum usum.

A

Καλῶς τῇ δημιουργίᾳ τοῦ Θεοῦ τὸ πρόσωπον ἀπέδωκεν, ὥστε μὴ παντελῶς ἀπολέσθαι· ἐπειδὴ Θεοῦ τυγχάνει ποιήματα, ἀλλὰ παλαιοῦσθαι μὲν ὡς ὅλως κτισθέντα, ἀλλάσσεσθαι δὲ ὡς παρὰ Θεοῦ κτισθέντα. Πῶς δὲ παλαιοῦνται ὡς ἱμάτιον καὶ ὡσεὶ περιβόλαιον; τουτέστι διὰ τῆς συνεχεστέρας χρήσεως.

PSALMUS CII.

« Ipsi David. »

Neque psalmum, neque canticum, neque quid simile præsenti vaticinio præfixit, quia nimirum satis esse existimavit, quod proœmium mentionem faciat benedictionis : quapropter etiam tricesimum tertium psalmum neque canticum neque laudem inscripsit, cum illum etiam a benedictione inchoet.

ΨΑΛΜΟΣ ΡΒ'.

« Τῷ Δαυΐδ. »

Μήτε ψαλμὸν, μήτε ᾠδὴν, μήτε τι τοιοῦτον τὴν παροῦσαν προφητείαν ἐπέγραψεν, ἐπειδήπερ ἀρκὴν ᾠήθη, ὅτι τὸ προοίμιον εὐλογίας μέμνηται· διόπερ οὔτε τὸν τριακοστὸν τρίτον ψαλμὸν ἢ ᾠδὴν ἢ αἶνον ἐπέγραψεν, ἐξ εὐλογίας κἀκεῖνον ἀρχόμενος.

Vers. 3. « Qui propitiatur omnibus iniquitatibus. »

B

« Τὸν εὐϊλατεύοντα πάσαις ταῖς ἀνομίαις. »

Tam a præsenti quam a futura liberat corruptione : modo enim instat corruptio voluptatum, postmodum vero reposita est illa suppliciorum, e quibus ad se accedentes liberabit.

Καὶ τῆς νῦν καὶ τῆς μελλούσης ἀπαλλάττει φθορᾶς· νῦν μὲν γὰρ ἡ τῶν ἡδονῶν ἐπίκειται φθορὰ, ὕστερον δὲ ἡ τῶν τιμωριῶν ἀπόκειται, ἐξ ὧν τοὺς αὐτῷ προσερχομένους ῥύσεται.

Vers. 4. « Qui coronat te in misericordia. »

« Τὸν στεφανοῦντά σε ἐν ἐλέει. »

Si enim misertus fueris proximi tui, pro corona tibi regnum cœlorum largietur dicens : *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi. Esurivi enim, et dedistis mihi manducare; sitivi, et dedistis mihi bibere*[51], et quæ sequuntur. Hoc autem dicit miserendo : *Beati misericordes, quoniam ipsi misericordiam consequentur*[52].

Ἐὰν γὰρ ᾖς πρὸς τὸν πλησίον συμπαθὴς, στέφανόν σοι τὴν τῶν οὐρανῶν βασιλείαν χαρίσεται λέγων· *Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με*, καὶ τὰ τούτοις ἑπόμενα· ἐλεῶν δὲ τοῦτο λέγει· *Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.*

C

Vers. 5. « Qui replet in bonis. »

« Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς. »

Et quod est desiderium nostrum? ut vocemur dii : cum enim Adam hoc desideraret, vetitum cibum gustavit. Hoc igitur desiderium nostrum Dominus implevit bonis, sibi nos conformes reddens per donum baptismatis, ita ut etiam propterea dii gratia nuncupemur.

Καὶ τίς ἡμῶν ἡ ἐπιθυμία; Κληθῆναι θεούς· τούτου γὰρ ἐπιθυμήσας ὁ Ἀδὰμ, τῆς ἀπειρημένης ἐγεύσατο βρώσεως. Ταύτην τοίνυν ἡμῶν ὁ Κύριος τὴν ἐπιθυμίαν ἀγαθοῖς ἐπλήρωσε, συμμόρφους ἡμᾶς ἑαυτοῦ καταστήσας τῇ δωρεᾷ τοῦ βαπτίσματος, ὥστε καὶ θεοὺς διὰ τοῦτο προσαγορεύεσθαι χάριτι.

« Renovabitur ut aquilæ. »

« Ἀνακαινισθήσεται ὡς ἀετοῦ. »

Nam cum hæc avis longo tempore senuerit, rursus ad vigorem redit : dicitur autem fortis esse post senium. Cæterum tunc etiam juventus nostra renovatur, quando instar aquilæ in altum evolamus, non amplius quæ super terram, sed quæ sursum sunt sapientes; quemadmodum nobis quoque Paulus inculcavit. Qualis autem aquilæ? utique Christi; de quo Moyses ita canens insinuavit : *Sicut aquila tegit nidum suum, et super pullos suos desideravit* [Vulgata *volavit*[53].] Et quis hic fuerit subjunxit : *Dominus solus duxit eos : et non erat cum eis Deus alienus*[54].

Χρόνῳ γὰρ πολλῷ τοῦτο γηράσαν τὸ ζῶον, ἐπανέρχεται εἰς ἀκμήν· εἶναι δὲ καὶ ἰσχυρὸν μετὰ γῆρας λέγεται. Πλὴν τότε ἡ νεότης ἡμῶν εἰς ἀνακαινισμὸν ἔρχεται, ὅταν ὑψιπετοῦς ἀετοῦ δίκην γενώμεθα, μηκέτι τὰ τῆς γῆς, ἀλλὰ τὰ ἄνω φρονοῦντες· ὥσπερ ἡμῖν καὶ Παῦλος ὑπέθετο. Ἀετοῦ δὲ ποίου, ἀλλ' ἢ πάντως τοῦ Χριστοῦ, περὶ οὗ Μωσῆς οὕτως ᾄσων ἠνίττετο, *Ὡς ἀετὸς σκεπάζει νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε;* Καὶ τίς οὗτος ἐπήγαγε· *Κύριος μόνος ἦγεν αὐτούς· καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος.*

D

Vers. 7. « Notas fecit vias suas Moysi. »

« Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωσῇ. »

Olim, inquit, judicium faciet injuriam passis. Designatur autem lex, in qua vias suas, scilicet mandata, Moysi notificavit, et per ipsum filiis Israel voluntates suas. Voluntas enim Dei est, ut non fiat adulterium, neque homicidium, neque furtum, neque falsum testimonium; quoniam hoc modo salvamur.

Πάλαι, φησὶ, κρῖμα ποιεῖ τοῖς ἀδικουμένοις. Δηλαδὴ τάσδε ὁ νόμος, ἐν ᾧ τὰς ὁδοὺς αὐτοῦ, δηλαδὴ τὰς ἐντολὰς, τῷ Μωσῇ ἐγνώρισε, καὶ δι' αὐτοῦ τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Θέλημα γὰρ τοῦ Θεοῦ, τὸ μὴ μοιχεύειν, μὴ φονεύειν, μὴ κλέπτειν, μὴ ψευδομαρτυρεῖν· ἐπειδὴ διὰ τούτων σωζόμεθα.

Vers. 8. Miserator et misericors Dominus. »

« Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος. »

[51] Matth. xxv, 34. [52] Matth. v, 7. [53] Deut. xxxii, 11. [54] ibid. 12.

Digitized by Google

Οὐκοῦν οὔτε διαπαντὸς τῷ θυμῷ (τοῦτο γὰρ ἐστι τὸ, *εἰς τέλος*) χρήσεται, οὔτε τὸν ἔλεον διηνεκῶς τοῖς ἀναξίοις χαρίζεται· ἐπεὶ πῶς ὁ Θεὸς κριτὴς, καὶ δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος; πῶς *ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ*; Κιρνᾷ τοίνυν τῷ ἐλέῳ τὴν ὀργὴν, ὅτε μὲν ἐλέου καιρὸς, αὐτὸν προβαλλόμενος· ὅτε δὲ ὀργῆς, ἐπιφέρων ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας· ἐν ᾗ, φησὶν ὁ Παῦλος, ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Διόπερ, φησὶν, οὐκ εἰς τὸν αἰῶνα μηνιεῖ, τὸν παρόντα αἰῶνα· τῷ μέλλοντι γὰρ τὴν κρίσιν καὶ τὴν ὀργὴν ἐφύλαξεν. A

« Καθὼς οἰκτείρει πατὴρ υἱούς. »

Ἐν σκότῳ γὰρ εἰσι καὶ δεσμοῖς οἱ ἐν ἁμαρτίαις τυγχάνοντες ἄνθρωποι· ἀπαλλαγέντες δὲ τῶν πλημμελημάτων, ἐν φωτὶ δηλονότι μετατεθέντες γίνονται· ὥστε εἰκότως τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγὴν μετάβασιν τὴν ἀπὸ δυσμῶν εἰς ἀνατολὰς κέκληκεν· ὁμοῦ δὲ καὶ ἡμᾶς διδάξαι, τί μέσον ἁμαρτίας καὶ δικαιοσύνης βουλόμενος. B

« Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν.

Εἰκότως ἡμῖν, φησὶ, χρηστεύεται· οἶδε γὰρ ἡμῶν τοῦ πλάσματος τὴν ἀσθένειαν· πρῶτον μὲν, ὡς αὐτὸς πλάσας ἡμᾶς· ἔπειτα σαρκωθεὶς, καὶ καθ' ἡμᾶς γενόμενος ἄνθρωπος.

« Ἄνθρωπος ὡσεὶ χόρτος.

Ὁμοῦ μὲν ἡμῶν τὸ σαθρὸν, ὁμοῦ δὲ καὶ πρόσκαιρον τοῖς εἰρημένοις ἔδειξεν.

« Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος. »

Καλῶς δὲ διαθήκη ὁ νόμος τοῦ Θεοῦ προσηγόρευται, ἵνα κληρονομίαν ἐλπίζωμεν ἐξ αὐτῆς οἱ φυλάττοντες. C

« Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε. »

Βασιλεύσει γὰρ ἁπάντων, ἢ ἀκόντων, ἢ ἑκόντων· μακάριος δὲ ὃς ἑκὼν ὑποτάττεται· μισθὸν γὰρ τῆς ἑκουσίου δουλείας τὸ μετ' αὐτοῦ βασιλεῦσαι τοῦ Δεσπότου, ὁ τοιοῦτος δέχεται.

« Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα. »

« Φυσικαῖς δηλονότι κινήσεσιν. Εἰ δὲ πάντα τὰ ἔργα εὐλογεῖ τὸν Θεὸν, πῶς οὐ πολὺ μᾶλλον ἡμεῖς, οἱ πλειόνων μὲν παρ' αὐτοῦ καὶ μειζόνων ἀπολαύσαντες, ὄργανον δὲ τῆς εὐλογίας παρ' αὐτοῦ τὸν λόγον δεξάμενοι;

« Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. » D

Κἂν ἐν ἀγορᾷ τύχῃς, κἂν ἐν λουτρῷ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ἐν βασιλείοις, ἀναμνησθεὶς ὅτι τόπον πατεῖς τῆς τοῦ Θεοῦ δεσποτείας τυγχάνοντα, μὴ παύσῃ τὸν Δημιουργὸν εὐλογῶν, ἵνα σοι χωρίον ἕκαστον ἐκκλησία Θεοῦ καὶ ἀγγέλων συναγωγὴ καὶ οὐρανοῦ γειτόνημα γένηται.

ΨΑΛΜΟΣ ΡΓ.

« Κύριε ὁ Θεός μου, ὡς ἐμεγαλύνθης σφόδρα! »

Οὐχ ὅτι μεγέθει προσθήκην ἐδέξατο· ἀεὶ γάρ ἐστι, καὶ ὡσαύτως ἐστίν· ἀλλ' εἰκότως μεγαλυνθῆναι λέγει τοῦ μεγέθους αὐτοῦ τὴν φανέρωσιν, οὖσαν

Itaque non perpetuo (hoc enim est *in finem*) utetur indignatione, neque semper indignis misericordiam largitur : alioquin quomodo Deus judex, et justus, et fortis, et longanimis? quomodo *reddet unicuique secundum opera ejus*[45]? Iram igitur misericordia moderatur, quando quidem tempus miserendi, misericordiam proponens; quando vero tempus irascendi, iram irrogans in die iræ et justi judicii; in qua, inquit Paulus, reddet unicuique secundum opera ejus[46]. Quapropter, inquit, non in sæculum scilicet præsens comminabitur; futuro enim sæculo judicium et iram reservavit.

Vers. 13. « Quomodo miseretur pater filiorum. »

In tenebris enim et occasu versantur homines qui in peccatis exsistunt; a delictis vero liberati, in lucem utique translati sunt; ita ut peccatorum liberationem jure merito vocaverit ab occasu ad ortum translationem; simul quoque nos docere cupiens, quid inter peccatum et justitiam intersit.

Vers. 14. « Quoniam ipse cognovit figmentum nostrum. »

Merito, inquit, nobis benignus est : novit enim naturæ nostræ imbecillitatem : primum quidem, quoniam ipse nos formavit; deinde quia incarnatus fuit, et secundum nos homo factus est.

Vers. 15. « Homo, sicut fenum. »

His verbis simul et caducam et temporariam conditionem nostram demonstravit.

Vers. 16. « Misericordia autem Domini a sæculo. »

Recte autem lex Dei testamentum nuncupatur, ut eam custodientes speremus hæreditatem.

Vers. 19. « Dominus in cœlo paravit. »

Imperat enim omnibus sive nolint, sive velint : beatus autem qui volens ipsi subjicitur : talis enim pro mercede istius voluntariæ servitutis accipit, ut cum Domino suo regnet.

Vers. 22. « Benedicite Dominum, omnia opera. »

Naturalibus nempe motibus. Si autem omnia opera Deum benedicant, quanto potiori ratione nos, qui plura quidem ac majora ab ipso consecuti sumus, rationem vero velut benedicendi instrumentum ab ipso accepimus?

« In omni loco dominationis ejus. »

Etsi in foro fueris, etsi in balneo, etsi in carcere, etsi in regiis palatiis, recordatus te locum calcare dominationis Dei, ne cesses Conditorem benedicere, ut quilibet locus Ecclesia Dei, et angelorum congregatio cœlique vicinia tibi fiat.

PSALMUS CIII.

Vers. 1. « Domine Deus meus, quam magnificatus es vehementer! »

Non quod magnitudinis incrementum acceperit : semper enim est, et eodem modo se habet : sed merito magnificari dicit magnitudinis ejus manife-

[45] Matth. XVI, 27. [46] Rom. II, 6.

Digitized by Google

stationem, quæ antea quidem erat, sed postmodum magis inclaruit. Etsi enim angelorum conditio, cœlorum expansio, terræ fundatio, et cætera quæ Psalmista his subjunxit, satis essent ad Deum manifestandum; attamen his magis apta est Salvatoris incarnatio, quippe quod homo factus sit, et Deus permanserit; quod nostra passus sit, et propriam servaverit impassibilitatem: quocirca licet hæc ordine posteriora fuerint, Deus tamen ea cæteris præposuit, utpote virtute potiora. Hanc autem magnificentiam et confessionem ipsum indulsse ait, non quasi illam rursus depositurus sit, sed ut ostendatur, quod incarnatus minime sit in hominem commutatus, sed Deus permaneat, et homo fiat.

A μὲν καὶ πρότερον, σφοδροτέραν δὲ γενομένην εἰς ὕστερον. Εἰ γὰρ καὶ ἱκανὰ εἰς δήλωσιν τοῦ Θεοῦ ἡ τῶν ἀγγέλων δημιουργία, τῶν οὐρανῶν ἡ ἔκτασις, ἡ τῆς γῆς θεμελίωσις, καὶ ἕτερα ὅσα τούτοις ὁ Ψαλμῳδὸς ἐπήγαγεν· ἀλλὰ τούτων ἱκανωτέρα ἡ τοῦ Σωτῆρος σάρκωσις, τὸ γενέσθαι αὐτὸν ἄνθρωπον, καὶ μεῖναι Θεόν· παθεῖν τὰ ἡμέτερα, καὶ φυλάξαι τὴν οἰκείαν ἀπάθειαν· ὅπερ καίτοι δεύτερα ταῦτα τῇ τάξει τυγχάνοντα, πρότερα τῶν ἄλλων ὁ Θεὸς ἔταξεν, ὡς τῇ δυνάμει τυγχάνοντα πρότερα. Ἐνδύσασθαι δὲ ταύτην αὐτὸν τὴν μεγαλοπρέπειαν καὶ τὴν ἐξομολόγησίν φησιν, οὐχ ὡς πάλιν ἀποδύσεσθαι μέλλοντα, ἀλλ' ὥστε δειχθῆναι, ὅτι σαρκωθεὶς οὐ μετεβλήθη εἰς ἄνθρωπον, ἀλλὰ καὶ Θεὸς μένει, καὶ ἄνθρωπος γίνεται.

Vers. 2. « Amictus lumine sicut vestimento. »

De ipsamet incarnatione loquitur: illam enim Joannes quoque lucem appellavit. Sic autem ait: *Et lux in tenebris lucet, et tenebræ eam non comprehenderunt*[47]. *Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri*[48].

« Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. »

B Περὶ τῆς αὐτῆς οἰκονομίας λέγει· φῶς γὰρ αὐτὴν καὶ Ἰωάννης ἐκάλεσε. Λέγει δὲ οὕτως· *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.*

« Extendens cœlum sicut pellem. »

« Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. »

Manifeste prædicavit Creatorem incarnatum, eadem de ipso dicens quæ Joannes Theologus scripsit: cum enim de Deo dixisset: *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est*[49], postmodum subjungens, ait: *Verbum caro factum est, et habitavit in nobis*[50].

Σαφῶς τὸν σαρκωθέντα Δημιουργὸν ἐκήρυξε, ταῦτα περὶ αὐτοῦ λέγων ἅπερ Ἰωάννης ὁ Θεολόγος ἔγραψεν· εἰπὼν γὰρ ἐκεῖνος περὶ τοῦ Θεοῦ, *Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονε*, μετὰ τοῦτο κατιὼν, Ὁ Λόγος, φησὶν, *σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.*

Vers. 3. « Qui tegit aquis superiora ejus. »

Ostendit enim sublimia mysteria quæ in aquis baptismatis declarantur.

« Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα. »

Τὰ γὰρ ὑψηλὰ τῶν μυστηρίων ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος ἔδειξεν.

C

« Qui ponit nubes ascensum suum. »

« Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. »

Hoc contigit Unigenito secundum tempus in cœlos ascensionis, quando *nubes suscepit eum*[51].

Τοῦτο τῷ Μονογενεῖ κατὰ τὸν καιρὸν τῆς εἰς οὐρανοὺς ἀναλήψεως πέπρακται, ἡνίκα *νεφέλη αὐτὸν ὑπέλαβεν.*

Vers. 4. « Qui facit angelos suos spiritus. »

« Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. »

Apostolos intelligit: hi enim ubique Testamentum annuntiarunt: hi quoque ministri facti sunt mandatorum ipsius: illos spiritus, id est spirituales, quin et ignem urentem reddidit per Spiritus largitionem in forma linguarum ignitarum super ipsos descendentem.

Τοὺς ἀποστόλους λέγει· οὗτοι γὰρ αὐτοῦ παντοχοῦ τὴν διαθήκην ἀνήγγειλαν· οὗτοι καὶ λειτουργοὶ τῶν αὐτοῦ προσταγμάτων ἐγένοντο· τούτους πνεύματα, τουτέστι πνευματικοὺς, ἀλλὰ μὴν καὶ πῦρ φλέγον διὰ τὴν χορηγίαν τοῦ Πνεύματος τὴν ἐν εἴδει γλωσσῶν πυρίνων ἐπ' αὐτοὺς γενομένην ἐποίησεν.

Vers. 5. « Qui fundat terram super stabilitatem. »

Terram appellat hominem: hunc igitur super stabilitatem fidei fundat: qui non inclinabitur in sæculum sæculi, scilicet in futuro.

« Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν. »

Γῆν καλεῖ τὸν ἄνθρωπον. Τοῦτον τοίνυν ἐπὶ τὴν ἀσφάλειαν θεμελιοῖ τῆς πίστεως· ὅστις οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, δηλαδὴ ἐν τῷ μέλλοντι.

D

Vers. 6. « Super montes stabunt aquæ. »

Prophetas propter contemplationis altitudinem appellat montes: in ipsis sunt aquæ quibus potantur illi qui doctrina sitiunt.

« Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. »

Ὄρη τοὺς προφήτας διὰ τὸ ὕψος τῆς θεωρίας καλεῖ· ἐν αὐταῖς ὕδατά ἐστανται, οἷς οἱ διψῶντες τῆς διδασκαλίας ποτίζονται.

Vers. 7. « Ab increpatione tua fugient. »

Quali increpatione? nempe contra Judæos: Hoc enim alius propheta declarat: *Ut dabo ipsis non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini*[52]. Quando enim Deus iratus est, varas facit aquas prophetarum; quoniam non a semetipsis habent earum ubertatem. Vocem autem

« Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται. »

Ποίας ἐπιτιμήσεως; Τῆς κατὰ τῶν Ἰουδαίων. Τοῦτο γὰρ προφήτης ἕτερος δείκνυσι· *Καὶ δώσω αὐτοῖς οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.* Ὅταν γὰρ ὁ Θεὸς ὀργισθῇ, σπανίσει τὰ τῶν προφητῶν ὕδατα· ἐπειδήπερ οὐκ ἀφ' ἑαυτῶν τὴν χορηγίαν κέκτηνται. Φωνὴν δὲ βρον-

[47] Joan. I, 5. [48] ibid. 12. [49] ibid. I, 3. [50] ibid. 14. [51] Act. I, 9. [52] Amos VIII, 11.

Digitized by Google

ῆς τὴν τοῦ Εὐαγγελίου λέγει, ἣν οὐκ ἀποφεύγει, A tonitrui intelligit Evangelii, quam minime fugiunt, ἀλλὰ δειλιᾷ τὰ τῶν προφητῶν ὕδατα, διὰ τὸ ὑπερέχον τῆς ἐν ἐκείνῃ γνώσεως.

« Ἀναβαίνουσιν ὄρη. »

Ἀναβαίνουσι γὰρ οἱ προφῆται τῇ θεολογίᾳ, καταβαίνουσι δὲ τῇ δυνάμει τῶν ἀκουόντων ἁρμοττόμενοι· ἀλλ' ἑκάτερον ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. Τοῦτον γὰρ τῇ προφητείᾳ τόπον ὁ Θεὸς ἐθεμελίωσεν.

« Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν. »

Οὐ μόνον, φησὶ, τοῖς προφήταις οἵπερ εἰσὶν ὄρη, ἀλλὰ καὶ ταπεινοῖς ἀνθρώποις, οἵτινες φάραγγες εἶναι εἰκότως ὀνομάζονται, χάριν ὁ Θεὸς διδασκαλίας ἔδωκεν. Καθάπερ οὖν τὸ πῶν ὑδάτων πλῆθος ἀπὸ πλήθους ὀρῶν, οὕτω τὸ τῆς γνώσεως πλῆθος οὐκ ἐξ ἑνὸς προφήτου, ἀλλ' ἐξ ὅλου συλλέγεται τοῦ προφητικοῦ συστήματος. B

« Ποτιοῦσι πάντα τὰ θηρία τοῦ δρυμοῦ. »

Θηρία τοῦ δρυμοῦ οἱ δαίμονες ὀνομάζονται· θηρία δὲ τοῦ ἀγροῦ, τουτέστι τοῦ κόσμου, τοὺς ἁμαρτωλοὺς καλεῖ. Ἐπειδὴ καθάπερ τὰ ἐν ἀγρῷ θηρία χειροήθη γενέσθαι δύναται, οὕτω; καὶ οἱ ἁμαρτωλοὶ μεταβληθῆναι· διόπερ καὶ ποτίζεται τοῖς προφητικοῖς ὕδασιν. Ὀνάγρους δὲ τοὺς μηκέτι νωτοφοροῦντας τὴν ἁμαρτίαν ἐκάλεσεν, ἐλευθερωθέντας δὲ αὐτῆς· διόπερ αὐτοὺς καὶ διψῶντας τῶν νοητῶν ὑδάτων εἰσήγαγε. Τούτους ὁ Θεὸς πρὸς τὸν Ἰὼβ ἡνίξατο· *Τίς ἐστιν ὁ ἀφεὶς ὄναγρον ἐλεύθερον; δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν;*

« Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ. »

Οὐδὲ γὰρ ἀφ' ἑαυτῶν οἱ προφῆται, ἐξ οὐρανῶν δὲ, οὓς ὁ Θεὸς ὑπερῶα τῆς κτίσεως ἔθετο, ἔχουσι τὴν C χορηγίαν τοῦ Πνεύματος.

« Ἀπὸ καρποῦ τῶν ἔργων σου. »

Ἔργα τοῦ Θεοῦ οὐ μόνον τὰ δημιουργήματα, ἀλλὰ καὶ τὰ σημεῖα καὶ τὰ θαύματα· ὧν καρπὸς τὸ Εὐαγγέλιον, ἐξ οὗ τὸν ἄνθρωπον θεογνωσίᾳ ἐχόρτασεν.

« Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. »

Τοῦ Κυριακοῦ δηλαδὴ σώματος· ἐκεῖθεν γὰρ τὸν ἄρτον τὸν μυστικὸν ἐξήγαγεν.

ΨΑΛΜΟΣ ΡΓ.

« Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. »

Ὁ μυστικὸς, εὔθηλον· ὅθεν οὐδὲ σῶμα, ἀλλὰ καρδίαν εὐφραίνει. Ἔχει γὰρ ἀμαρτημάτων ἄφεσιν, ἐφ' ᾧ μάλιστα ἡ καρδία τῶν ἀνθρώπων εὐφραίνεται, D ἐν τῷ χαρίσματι τῆς χορηγίας τοῦ Πνεύματος· ἐν αὐτῷ γὰρ τὰ πρόσωπα τῶν πιστῶν ἱλαρύνεται. Ἐπειδὴ *ὁ καρπὸς τοῦ πνεύματος ἀγάπη, χαρὰ*, καθὼς ὁ Παῦλος ἔγραψεν. Θεωρεῖς ὅτι ἄρτον καὶ οἶνον τὸν μυστικὸν λέγει· διόπερ τροφὴν ἑκάτερον καρδίας ἔγραψεν. Πῶς δὲ αὐτὴν ὁ μυστικὸς ἄρτος στηρίζει, ἀλλ' ἢ πεποίθησιν αὐτῇ παρέχων; ὅτι σῶμα καὶ ἡμεῖς Χριστοῦ τῇ τοῦ μυστικοῦ σώματος μεταλήψει γινόμεθα.

« Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου. »

Τίνος χορτασθήσεται; Θεογνωσίας, εὔθηλον. Πῶς δὲ χορτάζονται; Τῇ μελέτῃ τοῦ λόγου. Τοιγαροῦν

Vers. 8. « Ascendunt montes. »

Prophetæ enim divino sermone ascendunt, descendunt vero virtute auditoribus sese accommodantes : utrumque autem fit pro hominum salute. Hunc enim locum Deus vaticinio fundavit.

Vers. 10. « Qui emittis fontes in convallibus. »

Non solum prophetis, inquit, qui montes sunt, sed etiam humilibus hominibus, qui jure merito valles appellantur, doctrinæ gratiam Deus dedit. Quemadmodum igitur aquarum multitudo ex montium multitudine, ita copia cognitionis non ex unico propheta, sed ex tota prophetarum congregatione colligitur.

Vers. 11. « Potabunt omnes bestiæ agri. »

Bestiæ silvæ nuncupantur dæmones : bestias vero agri, id est mundi, vocat peccatores. Quoniam sicut bestiæ quæ in agro versantur cicurari, ita quoque peccatores converti possunt : quapropter etiam propheticis aquis potantur. Onagros autem appellavit eos qui non amplius peccatum dorso gestant, seu ab illo liberati sunt ; quapropter ipsos spiritalium aquarum sitibundos induxit. Hos Deus apud Jobum insinuavit : *Quis est qui demisit onagrum liberum, et vincula ejus quis resolvit* [83] ?

Vers. 13. « Rigans montes de superioribus suis. »

Non enim prophetæ a semetipsis, sed e cœlis, quos Deus creaturæ superiora posuit, habent Spiritus largitionem.

« De fructu operum suorum. »

Opera Dei non solum sunt creaturæ, sed etiam signa et miracula ; quorum fructus est Evangelium, ex quo hominem divina notitia satiavit.

Vers. 14. « Ut educat panem de terra. »

Dominici videlicet corporis : inde enim panem illum mysticum eduxit.

PSALMUS CIII.

Vers. 15. « Et vinum lætificat cor hominis. »

Mysticum videlicet ; unde non corpus, sed cor lætificat. Habet enim remissionem peccatorum, qua cor hominum maxime recreatur, in munere donationis spiritus : siquidem in ipso facies fidelium exhilarantur. Quoniam *fructus spiritus est charitas, gaudium* [84], quemadmodum Paulus scripsit. Vides ut panem et vinum mysticum intelligat ; quapropter cibum utrumque cordis scripsit. Quomodo autem ipsum panis mysticus confirmat, nisi securitatem ei præbendo, nos etiam corpus Christi fieri per corporis mystici participationem ?

Vers. 16. « Saturabuntur ligna campi. »

Quanam re saturabuntur ? utique divina cognitione. Quomodo autem saturantur ? verbi medita-

[83] Job xxxix, 5. [84] Galat. v, 22.

Digitized by Google

tione. Ipsos nempe ligna Domini appellavit? quoniam qui meditantur in lege Domini die ac nocte, dicuntur lignum quod plantatum est secus decursus aquarum [55]. Etsi enim ex gentibus sint, quarum Libanus est symbolum ; plantati tamen a Deo per baptismi adoptionem, et legem meditantes, ipsi quoque Dei cognitione saturantur. Passeres vero vocat animas a diabolo et ipsius asseclis persecutionem passas ; quæ tamen ejus laqueos evadere valuerunt, de quibus David ait: *Anima nostra sicut passer erepta est de laqueo venantium* [56].

A αὐτοὺς καὶ ξύλα τοῦ Κυρίου ἐκάλεσεν· ἐπειδὴ οἱ μελετῶντες τὸν νόμον ἡμέρας καὶ νυκτὸς, ξύλον παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον λέγονται. Κἂν γὰρ ἐξ ἐθνῶν ὦσιν, ὧν Λίβανος σύμβολον, φυτευθέντες δὲ παρὰ Θεοῦ τῇ υἱοθεσίᾳ τοῦ βαπτίσματος μελετήσαντες, καὶ αὐτοὶ τὸν νόμον θεογνωσίας χορτάζονται. Στρουθία δὲ καλεῖ τὰς παρὰ τοῦ διαβόλου καὶ τῶν αὐτῷ συμπραττόντων διωκομένας ψυχὰς, δι' εὐσέβειαν δυνηθείσας τε αὐτοῦ τὰς παγίδας διαφυγεῖν, περὶ ὧν ὁ Δαβὶδ εἴρηκεν· *Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.*

Vers. 17. « Herodii domus dux est eorum. »

Non aberraveris, si Petrum dixeris herodium, quandoquidem Christum perpetuo secutus sit. Sicut enim herodius dicitur iis quæ possidet separari minime velle, sic etiam passerum dux exsistere. Ostendit enim eis, quomodo venatorum laquei sint transiliendi ; quandoquidem etiam ipse negatione illaqueatus per pœnitentiam laqueum effugerit.

« Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. »

Ἐρωδιὸν οὐκ ἂν ἁμάρτοις τὸν Πέτρον εἰπὼν, ἐπειδὴ τῷ Χριστῷ διηνεκῶς ἠκολούθει. Ὥσπερ γὰρ B ὁ ἐρωδιὸς οὐκ ἐθέλειν χωρίζεσθαι τῶν κεκτημένων λέγεται, οὕτω καὶ τῶν στρουθίων ἡγεῖσθαι. Δείκνυσι γὰρ αὐτοῖς, πῶς χρὴ τὰς τῶν θηρευτῶν παγίδας ὑπεράλλεσθαι· ἐπειδὴ καὶ αὐτὸς τῇ ἀρνήσει παγιδευθεὶς διὰ μετάνοιαν τὴν παγίδα ἐξέφυγε.

Vers. 18. « Petra refugium herinaciis. »

Symmachus *chirogryllis* exposuit. Erinacii et chirogrylli inter immunda et infirma animalia censentur. Etenim Salomon ait : *Chirogrylli gens invalida fecerunt in petris domos suas* [57]. Moyses autem ait : *Camelum, et suem, et dasypedem*, id est leporem, *non comedetis* [58]. Per hæc nimirum David gentes insinuat; hæ namque refugium spirituale habent petram, id est Ecclesiam : per hanc enim roborantur et expiantur. Cervi autem, cum munda sint animalia, necessario sunt animæ justorum, quæ legem servaverunt.

« Πέτρα καταφυγὴ τοῖς λαγωοῖς. »

Σύμμαχος, *τοῖς χοιρογρυλλίοις*, ἐξέδωκεν. Οἱ λαγωοὶ καὶ οἱ χοιρογρύλλιοι ἐν τοῖς ζώοις τοῖς ἀκαθάρτοις καὶ ἀσθενέσι τάττονται. Τοιγαροῦν ὁ Σολομὼν φησι· *Χοιρογρύλλιοι ἔθνος οὐκ ἰσχυρὸν ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους.* Μωσῆς δὲ· *Τὸν κάμηλον, καὶ τὸν ὗν, καὶ τὸν δασύποδα*, ὅπερ ἔστι λαγωὸς, *οὐκ ἔδεσθε.* Διὰ τούτων τοίνυν ὁ Δαβὶδ τὰ ἔθνη αἰνίττεται· οὗτοι γὰρ καταφυγὴν C τὴν νοητὴν πέτραν τὴν Ἐκκλησίαν ἔχουσι· καὶ δι' αὐτῆς δυναμοῦνται καὶ καθαίρονται. Ἔλαφοι δὲ, ἐπειδὴ καθαρὰ ζῶα τυγχάνουσιν, ἀναγκαίως αἱ ψυχαὶ τῶν δικαίων εἰσὶν, ὅσαι τὸν νόμον ἐφύλαξαν.

Vers. 19. « Fecit lunam in tempora. »

Cæterum non solam lunam, sed etiam solem et stellas, et dies ac menses, et tempora et annos constituit. Lunam autem hoc loco intelligit Judæorum Synagogam, quam usque ad tempora legis ac prophetarum instituit ; Solum vero Christum. Sic enim etiam Malachias ipsum appellavit : *Orietur vobis timentibus Dominum Sol justitiæ : et sanitas in pennis ejus. Qui cognovit occasum suum* [59]: siquidem tempus cognoscebat, quo passio erat dispensanda ? ita ut prius quidem quam illud advenisset diceret : *Nondum venit hora* [60] : quando autem tempus opportunum erat illam subeundi : *Venit*, inquit, *hora ut clarificetur Filius hominis.*

« Ἐποίησε σελήνην εἰς καιρούς. »

Καὶ μὴν οὐ μόνην τὴν σελήνην, ἀλλὰ καὶ τὸν ἥλιον καὶ τοὺς ἀστέρας, καὶ εἰς ἡμέρας καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτοὺς ἔθετο. Ἀλλὰ σελήνην ἐνταῦθα τὴν τῶν Ἰουδαίων λέγει Συναγωγὴν, ἥντινα μέχρι καιρῶν τοῦ νόμου καὶ τῶν προφητῶν ἔθετο· ἥλιον δὲ, τὸν Χριστόν. Οὕτω γὰρ αὐτὸν καὶ Μαλαχίας ἔλεγεν· *Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸν Κύριον Ἥλιος δικαιοσύνης· καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.* Ὅστις ἔγνω *τὴν αὐτοῦ δύσιν*· τὸν γὰρ D καιρὸν καθ' ὃν προσήκει τὸ πάθος οἰκονομῆσαι ἐγίνωσκεν· ὥστε πρὶν μὲν ἐλθεῖν τοῦτον λέγειν· *Οὔπω ἥκει ἡ ὥρα*· ὅτε δὲ ἐν τῷ προσήκοντι καταλαβὼν ἦν· *Ἐλήλυθεν ἡ ὥρα*, φησὶν, *ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.*

Vers. 20. « Posuisti tenebras, et facta est nox. »

Manifeste crucis tempus designat, quo sol noster occidit. Tunc enim ab hora sexta usque ad horam nonam tenebræ factæ sunt, quæ pro integra nocte acceptæ fuerunt, propter mysterium triduanæ resurrectionis.

« Ἔθου σκότος, καὶ ἐγένετο νύξ. »

Σαφῶς τὸν τοῦ σταυροῦ λέγει καιρὸν, ἐν ᾧ ἔδυνεν ὁ ἡμέτερος ἥλιος. Τότε γὰρ σκότος ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης ἐγένετο, ὅπερ εἰς ὁλόκληρον νύκτα, ἕνεκα τοῦ τριημέρου τῆς ἀναστάσεως μυστηρίου παρείληπται.

« In ipsa pertransibunt omnes bestiæ. »

« Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία. »

[55] Psal. I, 3. [56] Psal. CXXIII, 7. [57] Prov. XXX, 26. [58] Deut. XIV, 7. [59] Matth. IV, 2. [60] Joan. II, 4.

Digitized by Google

Θηρία τοῦ δρυμοῦ καὶ σκύμνους τοὺς δαίμονάς φησιν, οἵτινες ἐν τῷ καιρῷ τοῦ Δεσποτικοῦ πάθους ἀναγκαίως ὠρύοντο, νομίζοντες τότε θήρας ἔχειν καιρόν. Ἔβλεπον γὰρ Ἰούδαν προδεδωκότα, τὸν Πέτρον ἀρνούμενον, τοὺς λοιποὺς ἀποστόλους σκορπισθέντας. Ὠρύοντο τοίνυν, ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ τοὺς δικαίους ἐξαιτεῖν εἰς πειρατήρια. Ἢ οὐχὶ τὸν Ἰὼβ ἐξήτησεν ὁ διάβολος; Ἐξήτησε δὲ καὶ τοὺς ἀποστόλους παρὰ τοῦ Χριστοῦ, ὥστε τὸν Κύριον λέγειν· *Σίμων, Σίμων, ποσάκις ἐξήτησεν ὁ Σατανᾶς σινιᾶσαι ὑμᾶς ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.*

« Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν. »

Ἀναστάντος γὰρ Χριστοῦ ὑπεχώρησαν. Διὸ Σύμμαχος ἀντὶ τοῦ *συνήχθησαν*, *ὑποχωρήσουσιν* ἔγραψε. Ποῦ δὲ ὑπεχώρησαν; εἰς τὰς ἑαυτῶν μάνδρας· ἔνθα κατακοιτάζονται ἑρπετῶν δίκην φωλεύοντες. Καὶ μάλα εἰκότως, ἐπειδὴ τὸ θαρρεῖν τοῖς ὄντως ἀνθρώποις δέδωκεν ἡ τοῦ Χριστοῦ ἀνάστασις, καὶ προέτρεψε, μέχρις ἑσπέρας, δηλαδὴ τῆς τοῦ βίου συντελείας, τὸ ἔργον τὸ οἰκεῖον ἐργάζεσθαι, τουτέστι τὴν ἀρετήν· ταύτην γὰρ ἡμῖν ὁ Θεὸς εἰς ἐργασίαν ἔδωκεν.

« Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε. »

Ἐκπλήττεται τοῦ Θεοῦ τὰ εἰρημένα μυστήρια ἐν σοφίᾳ πολλῇ καὶ μεγάλῃ γενόμενα· ἣν ὡς ὑπερβάλλουσαν καὶ λίαν ἀπόκρυφον *οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*, καθά φησιν ὁ Παῦλος.

« Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. »

Τουτέστι τοῦ ἐγκαινισμοῦ καὶ τῆς ἀνανεώσεως. *Εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά.* Διὰ τί δὲ ἡ γῆ; ἐπειδὴ εἰς αὐτὴν ὁ κλίνας οὐρανοὺς καταβέβηκε. Πῶς δὲ αὐτὴν ἔκτισεν, ἀλλ' ἢ δι' ὑδάτων, ὥσπερ αὐτὴν καὶ ἀπ' ἀρχῆς παρήγαγε; δι' ὑδάτων δὲ τοῦ βαπτίσματος, εὔδηλον· μηνύει γὰρ τὸ ἑπόμενον.

« Αὕτη ἡ θάλασσα ἡ μεγάλη. »

Μεγάλη ἡ χάρις τοῦ βαπτίσματος, ὡς μεγάλα περιέχουσα μυστήρια. Εὐρύχωρος δὲ, ὡς ὅλην χωροῦσα τὴν ἐνέργειαν τοῦ πνεύματος. Ἑρπετά τε τοὺς ἁμαρτωλούς, διὰ τὸ ἕρπειν αὐτοὺς ἐπὶ τὰ γήϊνα νόησον· οἵπερ διὰ τὸ πλῆθος εἰκότως ὑπὲρ ἀριθμὸν λέγονται, ἢ ὅτι μόνοις τοῖς δικαίοις ἀριθμεῖσθαι πρέπει. Φησὶ γάρ· *Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός. Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.*

« Ζῶα μικρὰ μετὰ μεγάλων. »

Οἱ μετρίως δίκαιοι καὶ ἄγαν. Πάντας γὰρ τούτους τὸ βάπτισμα δέχεται, καὶ οὐ μόνον ἁμαρτωλοὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, ἀλλὰ καὶ οἱ δίκαιοι χρῄζουσιν. Ἐπειδὴ *ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.*

Bestias silvæ et catulos leonum appellat dæmones, qui tempore Dominicæ passionis necessario rugiebant, existimantes tunc bestias habere tempus. Videbant enim Judam prodentem, Petrum negantem, reliquos apostolos dissipatos. Rugiebant igitur, ut raperent et quærerent a Deo justos ad tentandum expostulare. Nunquid etiam Jobum diabolus exquisivit? Expetiit autem apostolos a Christo, ita ut etiam Dominus diceret: *Simon, Simon, quotics Satanas expetivit vos ut cribraret sicut triticum? ego autem rogavi pro te, ut non deficiat fides tua* [61].

Vers. 22. « Ortus est sol, et congregati sunt.

Christo enim resurgente recesserunt. Quapropter Symmachus pro *congregati sunt* scripsit *recedent*. Quo autem recesserunt? in lustra **sua**: ibi cubant serpentium instar latitantes. Et jure meritissimo, quandoquidem iis qui revera homines sunt Christi resurrectio fiduciam dedit, et adhortata est ut usque ad vesperam, scilicet vitæ hujus consummationem, proprium opus agerent, nempe virtutem: hanc enim nobis Deus ad operandum dedit.

Vers. 24. « Quam magnificata sunt opera tua, Domine. »

Obstupescit dicta Dei mysteria in multa magnaque sapientia facta: quam utpote eximiam et valde arcanam *nemo principum hujus sæculi cognovit. Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent* [62], uti Paulus ait.

« Impleta est terra creatura tua. »

Id est instauratione et innovatione. *Si qua ergo in Christo nova creatura; vetera transierunt, ecce facta sunt omnia nova* [63]. Ad quid autem terra? quandoquidem ad illam cœlos inclinans descendit. Quomodo autem illam creavit, nisi super aquas, quemadmodum ab initio eam produxerat? Clarum autem quod per aquas baptismatis. Hoc enim id quod sequitur insinuat.

Vers. 25. « Hoc mare magnum. »

Magna est baptismatis gratia, utpote magna continens mysteria. Lata autem, quia totam spiritus complectitur inoperationem. Reptilia autem intellige peccatores, eo quod ad terrena repant: qui ob multitudinem merito dicuntur esse supra numerum, vel quia solis justis convenit, ut numerentur. Ait enim: *Mihi autem valde honorificati sunt amici tui, Deus. Dinumerabo eos, et super arenam multiplicabuntur* [64].

« Animalia pusilla cum magnis. »

Mediocriter et valde justi. Hos enim omnes baptisma suscipit, et non solum peccatores, sed etiam justi lavacro regenerationis opus habent. Nam *nisi quis renatus fuerit ex aqua et spiritu, non potest introire in regnum Dei* [65].

[61] Luc. XXII, 31. [62] I Cor. II, 8. [63] II Cor. V, 17. [64] Psal. CXXXVII, 18. [65] Joan III, 5.

Digitized by Google

VERS. 27. « Omnia a te exspectant. »

Omnia enim bona manu Dei continentur, ut cum eam aperuerit, omnia repleat, ac saturet bonitate. Porro manuum ejus apertionem etiam in cruce expansionem intelligere oportet; unde omnia impleta sunt bonitate, id est benignitate; quandoquidem omne peccatum per crucem remissum est.

A « Πάντα πρὸς σὲ προσδοκῶσι. »

Πάντα γὰρ τὰ ἀγαθὰ τῇ χειρὶ τοῦ Θεοῦ περιέσφιγκται, ἵν' ὅταν ἀνοίξῃ, πάντα πληροῖ καὶ χορτάζῃ χρηστότητος. Ἄνοιξιν δὲ αὐτοῦ χειρῶν καὶ τὴν ἔκτασιν τὴν ἐπὶ τοῦ σταυροῦ προσήκει λογίζεσθαι· ἀφ' ἧς πάντα ἐπλήσθη χρηστότητος, τουτέστι φιλανθρωπίας· ἐπειδὴ πᾶσα ἁμαρτία διὰ σταυροῦ συγχεχώρηται.

VERS. 30. « Emittes spiritum tuum. »

Illud de mortuorum resurrectione dici potuisset tanquam de humano spiritu in terram emisso, ut humana natura renovaretur, nisi Propheta dixisset *Spiritum tuum*, manifeste Dei Spiritum sanctum declarans; cujus missione omnis terra, id est omnes gentes creatæ sunt, et renovatæ; scilicet per prædicationem apostolorum. Nam *in omnem terram* B *exivit sonus eorum, et in fines terræ verba eorum* [66].

« Ἐξαποστελεῖς τὸ πνεῦμά σου. »

Ἦν ἂν τοῦτο περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως λέγεσθαι, ὡς ἐπὶ τὴν γῆν ἀποστελλομένου τοῦ ἀνθρωπίνου πνεύματος, ὥστε ἀνακαινισθῆναι τὴν ἀνθρωπότητα, εἰ μὴ τὸ *Πνεῦμά σου* ὁ Προφήτης εἶπε, σαφῶς τὸ τοῦ Θεοῦ Πνεῦμα τὸ ἅγιον δηλῶν· οὗ τῇ ἀποστολῇ πᾶσα ἡ γῆ, τουτέστι πάντα τὰ ἔθνη ἐκτίσθη, καὶ ἐκαινίσθη· διὰ τοῦ κηρύγματος τῶν ἀποστόλων, εὔδηλον. *Εἰς πᾶσαν* γὰρ *τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.*

VERS. 32. « Qui respicit super terram. »

Tanta enim virtus Conditoris est, ut vel solus ejus aspectus satis sit ad terram, quæ inconcussa videtur, concutiendam.

« Ὁ ἐπιβλέπων ἐπὶ γῆν. »

Τοσαύτη γὰρ ἡ τοῦ Δημιουργοῦ δύναμις, ἱκανὸν αὐτοῦ καὶ τὸ βλέμμα εἶναι, σαλεῦσαι τὴν δοκοῦσαν ἀσάλευτον.

VERS. 33. « Cantabo Domino in vita mea. »

Promissum bonum et vitam æternam implenti tribuens, scilicet pro quadam vitæ meta Dei laudem ponere. Talis enim ad angelorum ordinem conscendit.

« Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου. »

Ὑπόσχεσις ἀγαθὴ καὶ ζωὴν αἰώνιον τῷ πληροῦντι παρέχουσα, ὅρον τοῦ βίου τινὰ τὴν τοῦ Θεοῦ δοξολογίαν τίθεσθαι. Εἰς ἀγγέλων γὰρ τάξιν ὁ τοιοῦτος ἀνέρχεται.

VERS. 34. « Jucundum sit ei eloquium meum. »

Cum enim Deo orationes nostræ placuerint, tunc etiam nos merito in ipso lætamur; quia partim C quidem bona ab ipso accepimus, partim etiam exspectamus; atque illud, *Gaudete in Domino semper* [67], implere possumus.

« Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. »

Ἐὰν γὰρ ὁ Θεὸς ἐπὶ ταῖς ἡμετέραις ἀρεσθῇ λέξεσι, τότε καὶ ἡμεῖς εἰκότως ἐπ' αὐτῷ εὐφραινόμεθα, ἀγαθὰ παρ' αὐτοῦ τὰ μὲν ἤδη λαμβάνοντες, τὰ δὲ προσδεχόμενοι· καὶ τὸ, *Χαίρετε ἐν Κυρίῳ πάντοτε*, ἀποπληρῶσαι δυνάμεθα.

VERS. 35. « Deficiant peccatores a terra. »

Proœmio finem convenientem imposuit. Decebat enim ut qui de tantis mysteriis verba facturus erat, principium et finem sermonis statueret Dei benedictionem, cui etiam nos diligenter attendamus. Assidua enim Dei benedictio vitam nostram recte disponit.

« Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς. »

Ἑοικὸς τῷ προοιμίῳ καὶ τὸ τέλος ἐπέθηκεν. Ἐχρῆν γὰρ περὶ τηλικούτων μυστηρίων ἐνθέμενον, ἀρχὴν καὶ τέλος τοῦ λόγου τὴν εἰς Θεὸν εὐλογίαν ποιήσασθαι, ἧς καὶ ἡμεῖς μετὰ σπουδῆς ἐχώμεθα. Εὐλογία γὰρ Θεοῦ διηνεκὴς εἰς εὐζωΐαν ῥυθμίζει τὸν βίον τὸν ἡμέτερον.

PSALMUS CIV.

ΨΑΛΜΟΣ ΡΔ'.

VERS. 1. « Confitemini Domino. »

Non frustra primum confiteri ac deinde invocare jubet; sed ut per confessionem a peccatis nostris D emundati, ex sancto templo puroque organo hymnum afferamus.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ. »

Οὐ μάτην ἐξομολογεῖσθαι πρότερον, καὶ δεύτερον ἐπικαλεῖσθαι βούλεται· ἀλλ' ἵνα καθαροὶ διὰ τῆς ἐξομολογήσεως τῶν ἡμετέρων ἁμαρτημάτων γενόμενοι, ἐξ ἁγίου ναοῦ καὶ ὀργάνου καθαροῦ τὸν ὕμνον προσενέγκωμεν.

« Annuntiate inter gentes. »

Quam ob causam? quia nimirum populo Judæorum immorigero et inobedienti annuntiatio illa prodesse non poterat. Itaque Propheta hic manifeste prædicit legis ac prophetarum transitum ad gentes.

« Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι. »

Τίνος χάριν; ἐπειδὴ τὸν Ἰουδαίων λαὸν ἀνήκοον ὄντα καὶ ἀπειθῆ ἡ ἐπαγγελία ὠφελεῖν οὐκ ἠδύνατο. Ὥστε σαφῶς ὁ Προφήτης προαγορεύει τὴν τοῦ νόμου καὶ τῶν προφητῶν εἰς τὰ ἔθνη μετάβασιν.

VERS. 3. « Lætetur cor quærentium Dominum. »

Vult eum qui Dominum quærit fortitudinem animi assumere per continentiam voluptatum. Faciem

« Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. »

Ἰσχὺν ἀναλαβεῖν τῇ ψυχῇ τῇ τῶν ἡδονῶν ἐγκρατείᾳ βούλεται τοῦτον ὅστις ζητεῖ τὸν Κύριον. Πρόσ-

[66] Psal. XVIII, 5. [67] Phil. IV, 4.

Digitized by Google

ωπον δὲ, οὐ τὸ τῆς οὐσίας λέγει (τοῦτο γὰρ οὐδεὶς A δψεται, φησὶ πρὸς Μωσέα, καὶ ζήσεται), ἀλλὰ πρόσωπον τοῦ Θεοῦ ἡ εἰς αὐτὸν γνῶσις.

« Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν. »

Καὶ μὴν εἰς τὴν Ἰουδαίαν δοθεὶς ὁ νόμος ἐτύγχανεν· ἀλλ' ἐπειδὴ τῶν ἐθνῶν αὐτὸν λαμβανόντων εἰς ὅλην διαβαίνειν τὴν οἰκουμένην ἔμελλε· τὸ γενόμενον ὁ Προφήτης αἰνίττεται, καὶ δείκνυσιν, ὡς αὐτὸς Θεὸς, ὁ τότε μόνῃ τῇ Ἰουδαίᾳ τὸν νόμον καὶ τοὺς προφήτας δεδωκὼς, εἰς πᾶσαν αὐτοὺς ὕστερον τὴν γῆν ἐφανέρωσεν.

« Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης. »

Αἰῶνα μὲν καὶ χιλίας γενεὰς τὸν παρόντα βίον λέγει· οὐ χιλίας πάντως γενεὰς ἀριθμούμενος, ἀλλ' ἔθος τῇ θείᾳ Γραφῇ τὸν τῶν χιλίων ἀριθμὸν ἐπὶ τοῦ B πλήθους ἐκδέχεσθαι· ὡς ὅταν Πέτρος λέγῃ· *Ἡμέρα μία παρὰ Κυρίου ὡς χίλια ἔτη.* Καὶ πάλιν Δανιήλ· *Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ.* Διαθήκην δὲ ἐνταῦθα τὴν Παλαιὰν ἐννόησον, καὶ λόγον ὃν ἐν αὐτῇ περὶ τοὺς πατριάρχας ἐξεβόησεν.

« Ὃν διέθετο τῷ Ἀβραάμ. »

Ἄλλος φησίν· *Ὃν συνετέλεσε μετὰ τοῦ Ἀβραάμ.*

« Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος. »

Πολλὰ γὰρ ἔθνη μετῆλθον, μέχρις ὅτε τῆς ἐπαγγελθείσης αὐτοῖς γῆς τὸν κλῆρον παρέλαβον.

« Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς. »

Ἐρεῖς ταυτὸ καὶ περὶ τοῦ Λάβαν· τούτῳ γὰρ C οὐ συνεχώρησε τὸν Ἰακὼβ ἀδικῆσαι, καὶ ταῦτα βουλομένῳ.

« Μὴ ἅπτεσθε τῶν χριστῶν μου. »

Χριστοὶ δὲ οἱ πατριάρχαι, οὐκ ἐλαίῳ χρισθέντες, ἀλλὰ τῇ μετουσίᾳ τοῦ Πνεύματος· ἀφ' ἧς καὶ προφῆται ἐλέγοντο. Ἀκήκοας γὰρ ὅπως τὸν Ἀβραὰμ ὁ Θεὸς ἐν τοῖς πρὸς Ἀβιμέλεχ λόγοις προφήτην προσηγόρευσεν.

« Πᾶν στήριγμα ἄρτου συνέτριψεν. »

Τουτέστι, Πᾶσαν ὑπόστασιν τροφῆς συντριβῆναι ὁ Προφήτης ἱστόρησεν. Ἕτερος ἑρμηνευτὴς φησι *βακτηρίαν*, τουτέστιν *ἰσχύν*.

« Ἐξαπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον. »

Δείκνυσιν ὅτι τὰ τοῖς ἁγίοις συμβαίνοντα, οἰκονο- D μίας τινὸς θαυμαστῆς καὶ δοξαζούσης αὐτόν τε Θεὸν καὶ τοὺς πάσχοντα γίνεται. Ἰδοὺ γὰρ καὶ ὁ Ἰωσὴφ εἰς δουλείαν ἐπράθη, ὥστε ἔμπροσθεν τοῦ λοιποῦ γένους ἀποσταλῆναι· τουτέστιν, ὥστε προλαβεῖν καὶ εὑτρεπίσαι αὐτοῖς τὴν εἰς Αἴγυπτον κάθοδον· ἀφ' ἧς τηλικαῦτα ἠκολούθησε θαύματα.

« Εἰς δοῦλον ἐπράθη Ἰωσήφ. »

Τὸ στερρὸν τῶν πειρασμῶν καὶ τὸ ἰσχυρὸν προσηγόρευσε σίδηρον, ὅπερ διὰ τῆς ὑπομονῆς ὁ Ἰωσὴφ διέβαινε· καὶ πάροδος αὐτῷ τὰ λυπηρὰ διὰ μακροθυμίαν ἐγίνετο.

autem non substantiæ dicit (hanc enim nemo videbit, inquit ad Moysem, et vivet); sed facies Dei est ejus cognitio.

Vers. 7. « Ipse Dominus Deus noster. »

Etenim pro Judæa data erat lex : sed quoniam gentibus illam suscipientibus in universum orbem transitura erat : id quod factum est Propheta insinuat, et ostendit, quomodo idem Deus, qui soli Judææ legem et prophetas dederat, postmodum ipsos in omnem terram manifestaverit.

Vers. 8. « Memor fuit in sæculum testamenti. »

Sæculum quidem ac mille generationes appellat vitam præsentem ; non quod mille generationes numeret, sed quia mos est Scripturæ millenarium numerum pro multitudine accipere : ut cum Petrus ait : *Unus dies apud Dominum sicut mille anni* [68]. Et rursus Daniel : *Millia millium ministrabant ei* [69]. Testamentum autem hoc loco vetus intellige, et verbum quod in eo de patriarchis pronuntiavit.

Vers. 9. « Quod disposuit ad Abraham. »

Alius ait : *Quod consummavit cum Abraham.*

Vers. 13. « Et pertransierunt de gente in gentem. »

Multas enim gentes peragrarunt, donec terræ ipsis promissæ hæreditatem acciperent.

Vers. 14. « Non permisit hominem nocere eis. »

Idem dices etiam de Laban : nam et huic, quantumvis volenti, minime permisit ut Jacobo noceret.

Vers. 15. « Nolite tangere christos meos. »

Christi autem sunt patriarchæ non oleo uncti, sed participatione Spiritus : unde etiam prophetæ vocabantur. Audivisti enim quomodo Deus etiam Abraham in suis ad Abimelechum sermonibus prophetam appellaverit [70].

Vers. 16. « Et omne firmamentum panis contrivit. »

Id est, Omnem cibi substantiam contritam fuisse Propheta narravit. Alius interpres ait *baculum*, id est *robur*.

Vers. 17. « Misit ante eos hominem. »

Ostendit illa quæ sanctis accidunt admirabilis cujusdam esse dispensationis, quæ tam ipsum Deum quam eos qui ista patiuntur gloriosos efficiat. Ecce enim Joseph etiam venditus est in servitutem, ut ante reliquum genus præmitteretur : id est, ut anticiparet et præpararet ipsis descensum in Ægyptum : unde talia tantaque miracula sunt consecuta.

« In servum venumdatus est Joseph. »

Duritiam rigoremque tentationum appellavit ferrum, quod per tolerantiam Joseph pertransivit ; et res tristes propter ejus longanimitatem ipsi transitus fuerunt.

[68] I Pet. III, 8. [69] Dan. VII, 1. [70] Gen. XX, 7.

Digitized by Google

Vers. 19. « Donec veniret verbum ejus. »

Id est, verbum quod circa ipsius dispensationem Deus constituerat. Cum enim verbo omnia dispenset, verbo quoque aliquo tentationum nostrarum finem ac liberationem definivit: quod cum nos prius ignoremus, postmodum eventu ipso discimus. Etenim lex data nondum erat conscripta, sed unicuique ratione utenti lex naturalis oraculum erat a Deo, per quod etiam rationales existimus.

Vers. 25. « Convertit cor eorum. »

Convertit, id est, *converti permisit*. Sic enim Scriptura loqui solet, cum permittit illa quæ poterat impedire, non sine ratione tamen, sed quædam alia dispensando.

Vers. 28. « Et non exacerbaverunt sermones ejus. »

Id est, promissiones suas minime violarunt, neque dicta signa fefellerunt. Quid enim falsitate acerbius? Quocirca non fallere, sed omnia præcepta mirabilia implere, non exacerbare merito appellatum est. Dicit autem de Moyse et Aarone, uti manifestum est.

Vers. 29. « Convertit aquas eorum. »

Non dixit aquam, sed *aquas*; quandoquidem omnem aquæ congregationem non solum in fluminibus et stagnis, verum etiam in lignis et lapidibus in sanguinem convertit: unde etiam pisces aquarum natura immutata moriebantur.

Vers. 30. « Edidit terra eorum ranas. »

Etenim ranæ ubique adrepentes decurrebant. Verumtamen regiorum penetralium meminit, ut miraculi magnitudinem declararet; quod neque famulorum militumve turba, quæ in regiis degere solet, ranas arcere minime valuerit. Non solum, inquit, aquam in grandinem commutando condensavit, verum etiam ex ea ignem eduxit, vel eum ea connexuit. Utrumque enim demonstrat magnam miraculorum opificis in elementa potestatem.

Vers. 36. « Et percussit omne primogenitum. »

Cum dixit *omne primogenitum*, duas plagas pecoribus et hominibus irrogatas demonstravit. Pulchre autem primogenita omnis laboris primitias appellavit. Etsi enim hæc plaga fuerit posterior, illa tamen maxime perculsi fuerunt; et quasi cæterorum flagellorum compendium quoddam iis exstitit. Quin simul etiam insinuatur, quomodo hæc plaga fuerit quædam retributio necis Israelitarum pueris illatæ, quam Pharao veluti primitias infidiarum contra Judæos exhibuit.

Vers. 37. « Et eduxit eos in argento. »

Non inferens injuriam Ægyptiis (indignum enim Deo cum injuria aliorum aliis beneficia conferre): sed dum illos a Judæis spoliari præcipit, mercedem ipsis pro laterum fabricatione debitum retribuit.

« Et non erat in tribubus eorum infirmus. »

A « Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ. »

Τουτέστι, τὸν περὶ αὐτοῦ λόγον ὄνπερ ὁ Θεὸς ἐπὶ τῆς κατ' αὐτὸν οἰκονομίας ἔθετο. Λόγῳ γὰρ πάντα οἰκονομῶν, λόγῳ τινὶ καὶ τῶν ἐφ' ἡμῖν πειρασμῶν τὴν ἀπαλλαγὴν καὶ τὸ τέλος ἀπένειμε· καὶ ἡμεῖς ἀγνοοῦντες πρότερον, ὕστερον τῇ ἐκβάσει μανθάνομεν. Καὶ μὴν οὔπω νόμος δοθεὶς ὑπῆρχεν ἔγγραφος, ἀλλ' ἑκάστῳ λογικῷ λόγιον παρὰ Θεοῦ ὁ φυσικὸς νόμος, δι' ὃν καὶ λογικοὶ γινόμεθα.

« Μετέστρεψε τὴν καρδίαν αὐτῶν. »

Μετέστρεψε, τουτέστι, *μεταστραφῆναι συνεχώρησεν*. Οὕτω γὰρ ἔθος τῇ θείᾳ Γραφῇ λέγειν, ὅσα ἐξὸν κωλῦσαι συγχωρεῖ, οὐ δίχα δὲ λόγου τινός, ἀλλ' οἰκονομῶν ἕτερα.

B « Καὶ οὐ παρεπίκραναν τοὺς λόγους αὐτοῦ. »

Τουτέστιν, οὐ παρῆλθον τὰς ἑαυτῶν ὑποσχέσεις, οὐδὲ τὰ ἐπαγγελθέντα σημεῖα ἐψεύσαντο. Τί γὰρ τοῦ ψεύδους πικρότερον; διότι μὴ ψεύσασθαι, ἀλλὰ πάντα ἐπιτελέσαι τὰ προσταχθέντα θαύματα, μὴ παραπικρᾶναι δικαίως προσηγόρευται. Λέγει δὲ περὶ Μωσέως καὶ Ἀαρών, εὔδηλον.

« Μετέστρεψε τὰ ὕδατα αὐτῶν. »

Οὐκ εἶπε τὸ ὕδωρ, ἀλλὰ τὰ ὕδατα· ἐπειδὴ πᾶσαν ὕδατος συναγωγὴν οὐ μόνον τὴν ἐν ποταμοῖς καὶ λίμναις, ἀλλὰ καὶ τὴν ἐν ξύλοις καὶ λίθοις εἰς αἷμα μεταβέβληκεν· ἀφ' ὧν καὶ οἱ ἰχθύες τῆς φύσεως τῶν ὑδάτων ἀλλοιωθείσης ἀπέθνησκον.

C « Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους. »

Καὶ μὴν πανταχοῦ διέτρεχον οἱ βάτραχοι ἕρποντες. Ἀλλὰ τῶν βασιλικῶν ταμείων ἐμνημόνευσεν, ὥστε δηλῶσαι τὸ τοῦ θαύματος μέγεθος· ὅτι μηδὲ πλῆθος οἰκετῶν ἢ στρατιωτῶν, οὗσπερ εἰκὸς ἐν τοῖς βασιλείοις διάγειν, ἀποσοβῆσαι τοὺς βατράχους ἐδύνατο. Οὐ μόνον, φησὶ, τὸ ὕδωρ εἰς χάλαζαν μεταβαλὼν συνέπηξεν, ἀλλὰ καὶ πῦρ ἐξήγαγεν ἐξ αὐτοῦ, ἢ συνέπλεξεν αὐτό. Ἑκάτερον γὰρ πολλὴν τὴν κατὰ τῶν στοιχείων ἐξουσίαν τοῦ θαυματουργοῦντος συνίστησιν.

« Καὶ ἐπάταξε πᾶν πρωτότοκον. »

Πᾶν *πρωτότοκον* εἰπὼν, τὰς δύο πληγὰς τὰς ἐπὶ τῶν κτηνῶν καὶ τῶν ἀνθρώπων γενομένας παρέστησε. Καλῶς δὲ πόνου παντὸς ἐκάλεσεν ἀπαρχὴν D τὰ πρωτότοκα. Εἰ γὰρ καὶ ὑστέρα πληγὴ ἐγένετο, ἀλλ' ὅμως ἐπ' αὐτῇ πλέον ἐπλήγησαν· καὶ ὥσπερ ἀνακεφαλαίωσις αὐτοῖς τῶν ἄλλων μαστίγων ἐγένετο. Ὁμοῦ δὲ καὶ αἰνίττεται, ὡς ἡ πληγὴ αὕτη ἀντάποδοσις ἦν τῆς τῶν Ἰσραηλιτικῶν βρεφῶν ἀναιρέσεως, ἥντινα ἀπαρχὴν ἐπιβουλῆς κατὰ τῶν Ἰουδαίων ὁ Φαραὼ ἐνεδείξατο.

« Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ. »

Οὐκ ἀδικῶν τοὺς Αἰγυπτίους (Θεοῦ γὰρ ἑτέρους εὐεργετεῖν ἑτέρων ἀδικουμένων ἀνάξιον)· ἀλλ' ὅταν σκυλεῦσαι αὐτοὺς τοῖς Ἰουδαίοις ἐντέλλεται, τὸν μισθὸν ὄνπερ αὐτοῖς τῆς πλινθοποιίας ἐπώφειλον εἰσεπράττετο.

« Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. »

Digitized by Google

Ἀπόδειξις σαφὴς ὅτι χειρ Θεοῦ ὑπῆρχεν ἐξ Αἰγύπτου τὸν Ἰσραὴλ ἐξάγουσα. Πῶς γὰρ ἐν τοσαύταις μυριάσιν οὐδεὶς ἀσθενεῖν ἔμελλε, καὶ ταῦτα κακῶς αὐτῶν πασχόντων, καὶ ταλαιπωρουμένων τοῖς ἔργοις ὁσημέραι;

« Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ. »

Τοσαύτην τοῦ Θεοῦ μεταβολὴν δεδωκότος τοῖς πράγμασιν, ὥστε τοὺς πρότερον πρὸς βίαν κατέχοντας αὐτοὺς, παρακαλεῖν ἀπᾶραι καὶ κατεπείγειν. Διόπερ οὐδὲν τῆς δυνάμεως τῶν ἐχθρῶν ὅταν ἔχωμεν ὑπερμαχοῦντα, τὸν Θεὸν φροντίζειν ὀφείλομεν.

« Ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα. »

Τὸ μάννα λέγει οὐχ ὡς ἐξ αὐτοῦ τοῦ οὐρανοῦ, ἀλλ' ἐκ τοῦ ὑπὲρ κεφαλῆς ἀέρος (ὅνπερ οὐρανὸν ἡ θεία Γραφὴ πολλάκις προσαγορεύει) φερόμενον, ἅμα δὲ καὶ ὡς εἰκόνα τοῦ οὐρανίου ἄρτου τοῦ δοθέντος ἐν μυστηρίῳ τῇ Ἐκκλησίᾳ φέροντα.

« Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα. »

Οὐκ ἄρα τὸ ὑπάρχον ὕδωρ ἐν τῇ πέτρᾳ ἡ πληγὴ τῆς ῥάβδου καὶ ἡ ῥῆξις ἐπήγαγεν· ἀλλὰ τὰ τοῦ Θεοῦ προστάγματα, καὶ ῥαγῆναι τὴν πέτραν ὑπὸ τῆς ῥάβδου, καὶ ὕδωρ ῥεῦσαι ὃ πρότερον οὐκ ἦν ἐν αὐτῇ, παρεσκεύασε. Τοῦτο γὰρ ὁ Προφήτης μαρτυρούμενος, *Ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοὶ*, ἐξεβόησεν χάριν· ἵνα τῆς γῆς ἐκείνης τὸ ξηρὸν ἀνικμον καὶ ἄγονον τῶν ὑδάτων αἰνίξηται. Ταῦτα δὲ τίνος ἐθαυματουργεῖτο χάριν; *Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ.*

« Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα. »

Καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι, δηλονότι τὸ Εὐαγγέλιον. Τί γὰρ ἔμελλον ζητεῖν ὅπερ ἅπαξ εἶχον; Οὐκοῦν τὴν διαθήκην πάντως τὴν δευτέραν αἰνίττεται.

ΨΑΛΜΟΣ ΡΕ'.

« Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ. »

Οὐδὲ γὰρ ἁφὴ τῆς ῥάβδου, ἀλλὰ τὸ πρόσταγμα τοῦ Θεοῦ χέρσον ἐποίει τὸ πέλαγος.

« Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισούντων. »

Οὐ μάτην ταῦτα λέγει, τὴν δὲ τῶν Ἰουδαίων ἀχαριστίαν τραγῳδῆσαι βουλόμενος, ὅτι τοιαύτης εὐεργεσίας ἀπολαύοντες, ἀγνώμονες ὅμως περὶ τὸν εὐεργέτην τὸν οἰκεῖον γεγόνασι, τὸν ὕδατι τοὺς θλίβοντας αὐτοὺς καὶ τοὺς ἐπηρεάζοντας θάπτοντα. Ὅπερ ἐπιφέρει·

« Ἐτάχυναν, ἐπελάθοντο. »

Ἀπίστων τοῦτο καὶ ὀλιγώρων ἴδιον, μὴ ἀναμένειν τὴν τοῦ Θεοῦ βουλὴν, ὅταν μετὰ μακροθυμίας οἰκονομῆσαι ἐκεῖνος βούληται ἅπαντα, ἀλλ' ἀπογινώσκειν, λήθην παθόντας τῶν θαυμάτων τῶν ἔμπροσθεν.

« Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ. »

Δύο τῶν Ἰουδαίων συνῆψεν ἁμαρτήματα· ἓν μὲν, ὅτι σαρκικὴν ἐπιθυμίαν ἐπεθύμουν ἐν τῇ ἐρήμῳ, ἐν ᾗ φιλοσοφεῖν ἔδει, καὶ ἀπὸ πάσης τοιαύτης ἐπιθυμίας ἐγκρατεύεσθαι· δεύτερον δὲ, ὅτι δεηθέντες

A Hoc utique manifestum est argumentum, Dei manum fuisse quæ Israelem ex Ægypto eduxit. Quomodo enim inter tot millia nemo ægrotasset; idque cum pessime haberentur, et quotidianis laboribus affligerentur.

Vers. 38. « Lætata est Ægyptus in profectione. »

Deo nimirum tantam rerum mutationem largiente, ut qui prius ipsos vi detinebant, hortarentur et urgerent discessum. Quapropter inimicorum vis nil nobis curanda est, quando Deum habemus defensorem.

Vers. 40. « Petierunt, et venit coturnix. »

Manna dicit quod non ex ipsomet cœlo, sed ex B aere supra caput nostrum exsistente (quem Scriptura divina sæpe cœlum appellat) deferebatur, et simul etiam imaginem referebat panis illius cœlestis qui Ecclesiæ datus est in sacramento.

Vers. 41. « Dirupit petram, et fluxerunt aquæ. »

Haud utique aquam in petra exsistentem virgæ percussio et petræ scissio produxit; sed mandata Dei tam petram ipsam a virga findi, quam aquam in ipsa prius minime exsistentem effluere fecit. Hoc enim Propheta testatus exclamavit, *Transierunt in siccis flumina* : ut terræ illius ariditas et siccitas sterilitasque aquarum innueretur. Hæc autem miracula cur contigerunt? *Quoniam memor fuit verbi* C *sancti sui.*

Vers. 45. « Ut custodiant justificationes. »

Et legem ejus exquirant, scilicet Evangelium. Quorsum enim quærerent id quod absolute habebant? Itaque alterum omnino testamentum insinuat.

PSALMUS CV.

Vers. 9. « Et deduxit eos in abysso. »

Non enim attactus virgæ, sed mandatum Dei pelagus fecerat terram incultam.

Vers. 10. « Et salvavit eos de manu odientium. »

Non temere hæc dicit, sed ut Judæorum ingratitudinem exaggeraret, quod tanta beneficia consecuti, tamen erga benefactorem suum ingrati D exstiterint, qui aquis sepeliverat eos qui ipsos affligebant ac divexabant. Unde subdit : *Operuit aqua tribulantes eos.*

Vers. 13. « Festinaverunt, obliti sunt. »

Incredulorum et negligentium hoc est proprium, ut minime exspectent Dei sententiam, quando cum longanimitate cuncta dispensare decreverit, sed desperent, præterita miracula oblivioni tradentes.

Vers. 14. « Et concupierunt concupiscentiam in deserto. »

Duo Judæorum peccata conjunxit : unum quidem quod carnalem concupiscentiam concupiverint in deserto, ubi philosophari oportuerat, et ab omni simili concupiscentia sibi temperare : alterum vero,

Digitized by Google

quod aqua egentes illam minime petiverint, sed Deum tentaverint. Verumtamen Deus a miraculis minime cessavit. Non enim distulit, neque in alium locum migrare jussit, ut aquæ copiam reperirent, sed terram desertam et sitibundam de petra fontem aquæ producere fecit.

A ὕδατος οὐκ ἤτουν, ἀλλ' ἐπείραζον. Πλὴν θαυματουργῶν ὁ Θεὸς οὐκ ἐπαύετο. Οὐδὲ γὰρ ἀνεβάλετο, οὐδὲ εἰς ἕτερον μεταστῆναι τόπον, ὥστε ὕδατος εὑρεῖν χορηγίαν ἐκέλευσεν, ἀλλὰ τὴν ἔρημον καὶ διψάδα ἔνυδρον πηγὴν προαγαγὼν ἀπὸ τῆς πέτρας ἔδειξεν.

Vers. 17. « Aperta est terra. »

« Ἠνοίχθη ἡ γῆ. »

Quando tumultuabantur contra Moysem et Aaronem, facta voragine absorpti sunt. Merito autem ipsis hoc genus supplicii accidit. Cum enim eos qui mare Rubrum pertransiverant subsannassent, ipsi terra absorpti perierunt.

Ἡνίκα συστάντες κατὰ Μωϋσέως καὶ Ἀαρών, χάσματος γενομένου κατεπόθησαν. Εἰκότως δὲ αὐτοῖς τοῦτο τῆς τιμωρίας τὸ εἶδος συνέβαινεν. Ἐπειδὴ γὰρ τοὺς τὴν Ἐρυθρὰν θάλασσαν διελθόντας ἐφαύλισαν, αὐτοὶ τῆς γῆς συλληφθείσης ἀπώλοντο.

Vers. 24. « Et pro nihilo habuerunt terram desiderabilem. »

« Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν. »

Terram promissam intelligit, quando labore fessos miserant, et multa magnaque de ista terra encomia audientes, in Ægyptum reverti voluerunt.

Τὴν ἐπαγγελθεῖσαν λέγει, ἡνίκα τοὺς κατασκόπους B πέμψαντες, καὶ πολλὰ δσα τῆς γῆς ἀκηκοότες ἐγκώμια, εἰς Αἴγυπτον ἐπιστρέφειν ἐβούλοντο.

Vers. 32. « Et irritaverunt eum ad aquam. »

« Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος. »

Hæc verba declarant contemptum terræ : *Audite me, increduli; nunquid ex petra hac educemus vobis aquam* [11]? Distinctionem vero in labiis non dicit verborum ambiguitatem, quam Moyses e petra miraculum faciens sustinuit, sed id quod, uti par erat, Judæorum populo contigerat expendit; quandoquidem assidue inobedientes et tentantes fecerant ut ipse contemptui haberetur.

Δηλοῖ τὴν ἀπὸ τῆς γῆς ὀλιγωρίαν τὰ ῥήματα· *Ἀκούσατέ μου, οἱ ἀπειθεῖς· Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ*; Διαστολὴν δὲ ἐν τοῖς χείλεσιν οὐ τὴν τῶν ῥημάτων ἀμφιβολίαν λέγει, ἣν ὁ Μωσῆς ἀπὸ τῆς πέτρας θαυματουργῶν ὑπέμεινεν, ἀλλὰ τὸ συμβὰν, εἰκότως τῷ λαῷ τῶν Ἰουδαίων λογίζεται· ἐπειδὴ συνεχῶς ἀπειθοῦντες καὶ πειράζοντες, εἰς ὀλιγωρίαν αὐτὸν κατασταῖναι ἐποίησαν.

Vers. 35. « Et commisti sunt inter gentes. »

« Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι. »

Non solum impiis pepercerunt, verum etiam cum ipsis communionem impiam exercuerunt. C

Οὐ μόνον ἐφείσαντο τῶν ἀσεβῶν, ἀλλὰ καὶ ἀσεβῆ πρὸς αὐτοὺς κοινωνίαν εἰργάσαντο.

Vers. 39. « Et fornicati sunt in adinventionibus. ».

« Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν. »

Fornicationem igitur hic vocat defectionem a Deo.

Πορνείαν οὖν ἐνταῦθα τὴν ἀπὸ τοῦ Θεοῦ ἀποστασίαν καλεῖ.

Vers 41. « Et tradidit eos in manus inimicorum. »

« Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν. »

Simul et Dei clementiam laudavit, et illorum malitiam tragice deploravit : siquidem ipse non destitit illis beneficia conferre et a rebus tristibus eos liberare, ipsi vero similiter perseverarunt illum irritare.

Ὁμοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὕμνησε, καὶ τὴν ἐκείνων κακίαν ἐτραγῴδησεν· ὁ μὲν γὰρ εὐεργετῶν καὶ ῥυόμενος αὐτοὺς τῶν λυπηρῶν οὐκ ἐπαύετο, οἱ δὲ καὶ παροργίζοντες αὐτὸν, καὶ παραπικραίνοντες ὁμοίως ἐπέμενον.

Vers 46. « Et dedit eos in misericordias. »

« Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς. »

Viden' quanta sit Dei benevolentia; quandoquidem etiam inimicos nobis placabiles reddit, eosque non aliquos, sed omnes; et quidem illos qui tanquam hostes captivos ceperant : hi nempe paterna viscera erga captos induunt, ut clarum sit illud quidem iræ divinæ, hoc autem benignitatis esse : utrisque enim ad correctionem opus habemus. D

Ὁρᾷς ἡλίκον ἐστὶν εὐμένεια Θεοῦ· ὅπως ἡμῖν καὶ τοὺς ἐχθροὺς εὐμενεῖς ἐργάζεται, καὶ οὐδέ τινας, ἀλλὰ πάντας· καὶ οἱ λαβόντες αἰχμαλώτους ὡς πολέμιοι, οὗτοι σπλάγχνα πατέρων περὶ τοὺς αἰχμαλωτισθέντας ἀναλαμβάνουσιν, ὥστε δῆλον εἶναι τὸ μὲν ὀργῆς Θεοῦ, τὸ δὲ φιλανθρωπίας· ἀμφοῖν γὰρ εἰς διόρθωσιν χρῄζομεν.

Vers. 47. « Salvos nos fac, Domine Deus noster. »

« Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν. »

Hoc est enim revera salvari, scilicet congregari ex gentibus, et earum errore minime aspersum esse. Modo enim gentes appellat illos, qui ambulant in impietate quæ gentes prius occupabat.

Τοῦτο γάρ ἐστιν ὄντως σωθῆναι, τὸ ἐπισυναχθῆναι ἐκ τῶν ἐθνῶν, καὶ μὴ διεσπάρθαι εἰς τὴν ἐκείνων πλάνην. Λέγει γὰρ ἔθνη νῦν, τοὺς ἐν ἀσεβείᾳ πορευομένους, ἥτις τῶν ἐθνῶν ἐκράτει τὸ πρότερον.

[11] Num. xx, 10.

Digitized by Google

« Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ. »

Μέχρι τῶν ἐνταῦθα τὴν τετάρτην βίβλον τῶν Ψαλμῶν Ἑβραῖοι παῖδες ὁρίζονται· εἰς πέντε γὰρ τὴν τοῦ Δαβὶδ προφητείαν διελόντες (καθὰ καὶ πρότερον ἔφαμεν), ἕκαστον ψαλμὸν, ᾧ τοῦτο τέλος πρόσκειται Ἀμὴν, ἀμὴν, συμπλήρωσιν εἶναι μιᾶς βίβλου νομίζουσιν.

A

Vers. 48. « Benedictus Dominus Deus Israel. »

Huc usque quartum Psalmorum librum definiunt Hebræi : in quinque enim libros universam Davidis prophetiam dividentes (uti prius dicebamus) quemlibet psalmum, cui finis est, *Amen, amen*, unius libri complementum esse arbitrantur.

ΨΑΛΜΟΣ ΡϚ'.

PSALMUS CVI.

« Ἀλληλούϊα. »

Παραπλησίως τοῖς προτέροις καὶ οὗτος ἐπιγέγραπται· τῆς γὰρ αὐτῆς ὑποθέσεως ἔχεται, ἱστορῶν ἐν μέρει τὰ γενόμενα τοῖς Ἰουδαίοις θαύματα.

« Alleluia. »

Eodem modo quo præcedentes hic etiam inscriptus est : ejusdem enim est argumenti, cum enarret miracula quæ in parte Judæis acciderunt.

« Πεινῶντες καὶ διψῶντες. »

Ὅταν γὰρ ψυχὴ λιμώξῃ καὶ διψήσῃ ἀκοὴν λόγου τοῦ Θεοῦ, διδασκαλίας οὐκ ἔχουσα, ἀναγκαίως ἐκλείπει καὶ ἐλαττοῦται· ἐπειδὴ τροφὴ ψυχῆς ὁ τῆς θεογνωσίας ἄρτος.

B

Vers. 5. « Esurientes et sitientes. »

Quando enim anima perpessa fuerit famem sitimque audiendi verbum Dei, cum doctrinam non habeat, necessario deficit et extenuatur; quandoquidem cibus animæ sit panis divinæ cognitionis.

« Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ. »

Ἔλεη καὶ θαυμάσια τοῦ Θεοῦ τὰ αὐτοῦ προσηγόρευσεν. Ὅσα γὰρ ἐθαυματούργησεν, οὐκ ἐνδείξεώς τινος ἢ φιλοτιμίας παρήγαγεν ἕνεκα, ἐλέους δὲ πάντως καὶ φιλανθρωπίας· χάριν τὴν πρὸς ἐκείνους ὑπὲρ ὧν ἐπράχθη καὶ τὰ θαύματα.

Vers. 8. « Confiteantur Domino. »

Misericordias et mirabilia appellavit ea quæ Dei sunt. Quæcunque enim miracula patravit, non ad ostentationem aut gloriæ studio peregit, sed omnino propter misericordiam et benignitatem suam in eos pro quibus hæc miracula patrata sunt.

« Ὅτι ἐχόρτασε ψυχὴν κενήν. »

Καὶ μὴν τὴν αὐτὴν καὶ πεινῶσαν εἰπὼν, ἔδειξεν ὡς ἁμαρτωλοί τινες ἦσαν οἱ λιμώττοντες. Τὸ γὰρ κενὸν ἀντὶ τοῦ ματαίου παρείληπται.

Vers. 9. « Quia satiavit animam inanem. »

Etenim cum eamdem quoque esurientem dixerit, ostendit quomodo peccatores aliqui sint famelici. Inanem enim pro vano accepit.

« Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας. »

Ὁδὸν ἀνομίας ἀναγκαίως προσαγορεύει τὸν θάνατον. Αἰτία γὰρ τῷ θανάτῳ ἡ παρακοὴ τοῦ νόμου τοῦ δοθέντος ἐν παραδείσῳ γεγένηται. Ἀλλ' ὅμως Χριστὸς ἡμᾶς ἐκ τοῦ θανάτου ἀντελάβετο, μέσον τῶν νεκρῶν ἡ ζωὴ, ἵνα λύσῃ τοῦ θανάτου τὴν τυραννίδα γενομένος.

C

Vers. 17. « Suscepit eos de via iniquitatis. »

Viam iniquitatis necessario appellat mortem. Causa enim mortis fuit prævaricatio legis datæ in paradiso. Verumtamen Christus nos de morte suscepit, factus vita in medio mortuorum, ut mortis tyrannidem dissolveret.

« Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχή. »

Βρῶμα τὴν τροφὴν ἐνταῦθα τὴν λογικὴν νοήσομεν· περὶ ἧς ὁ Κύριος τοῖς ἀποστόλοις ἔλεγεν· *Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον*. Ταύτης πᾶν εἶδος ὁ ἄνθρωπος ἐβδελύξατο. Οὔτε γὰρ φυσικὸν νόμον οὔτε γραπτὸν ἐφύλαξαν, καὶ διὰ τοῦτο ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Πύλαι δὲ θανάτου τὰ ἁμαρτήματα οἷς δέον αὐτοὺς μακρύνεσθαι. Ὅσον γὰρ ταύταις ἤγγισαν, τοσοῦτον πόρρω τῶν πυλῶν τῆς ζωῆς ἀναγκαίως ἐγένοντο. Ἀλλ' ὁ Χριστὸς αὐτοὺς καὶ μακρὰν ὄντας ἐγγὺς διὰ τοῦ αἵματος τοῦ οἰκείου πεποίηκεν.

D

Vers. 18. « Omnem escam abominata est anima. »

Escam hoc loco intelligimus cibum rationalem; de qua Dominus apostolis dixit : *Operamini non cibum qui perit, sed qui permanet in vitam æternam* [72]. Omnem hujus speciem homo abominabatur. Nam neque legem naturalem neque scriptam observaverant, et idcirco appropinquaverant usque ad portas mortis. Portæ autem mortis sunt peccata a quibus oportuerat eos elongari. Quantum enim his appropinquaverunt, tantumdem necessario a portis vitæ longe facti sunt. Verum Christus ipsos etiam elongatos per sanguinem suum propinquos reddidit.

« Καὶ ἐκέκραξαν πρὸς Κύριον. »

Κραυγὴν ὁ Θεὸς οὐ τὴν διὰ φωνῆς γενομένην, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας λογίζεται· ἐπεὶ καὶ Μωϋσέως σιωπῶντος ἔλεγε, *Τί βοᾷς πρός με;*

Vers. 19. « Et clamaverunt ad Dominum. »

Deus æstimat clamorem non qui per vocis, sed per mentis affectum emittitur; quandoquidem Moyse etiam silente dixerit : *Quid clamas ad me* [73] ?

« Ἀπέστειλε τὸν Λόγον αὐτοῦ. »

Τί τούτου σαφέστερον πρὸς ἔνδειξιν τῆς τοῦ Σωτῆρος σαρκώσεως; ἀποσταλέντα γὰρ Λόγον τὸν

Vers. 20. « Misit Verbum suum. »

Quid hoc manifestius ad demonstrandam Salvatoris incarnationem? Missum enim intelligit Ver-

[72] Joan. VI, 27. [73] Exod. XIV, 15.

Digitized by Google

bum incarnatum, quod ait : *Qui me suscipit, suscipit eum qui me misit* [75]. Hic dum genus nostrum curaret, de interitionibus scilicet peccatorum nos liberavit. Interitus enim universi hominis sunt peccata. Quoniam si quis templum Dei violaverit, perdet eum Deus.

VERS. 23. « Qui descendunt in mare. »

Hoc loco mare intelligere oportet vitam nostram, naves Ecclesias : de quibus Deus talia ad Job ait : *Omne autem navigans conveniens non ferent pellem navim caudæ ejus : et in navigiis piscatorum caput ejus* [76]. Intelligit autem diabolum, quomodo nimirum omnis hominum industria circa ipsum eludatur, ita ut neque pellem caudæ ejus ferre vel sustinere valeant : verumtamen ipsum caput ejus, scilicet idololatriam, quæ omnis nequitiæ ipsius caput exstitit, in navibus Ecclesiarum apostoli interfecerunt. Hi operationem in aquis multis, id est in multitudine hominum salutem præstiterunt. Cæterum Dei quoque opera viderunt, id est creaturas et mirabilia, id est signa, quæ salutem nostram dispensans posuit in profundo, hoc est in sapientia : cum qua Deus res nostras administrat. Profundum enim est Dei sapientia, propter suam incomprehensibilitatem et immensitatem. Intelligit tentationes (iis enim scatet vita humana) : illas autem suscitat spiritus procellæ, scilicet spiritus adversarius ; non tamen ex privata sua auctoritate, sed Deo hoc ad justorum exercitationem ac manifestationem permittente. Cæterum Deus ipsemet hoc declarat, quando permisit diabolo ut Jobum tentaret. Pulchre autem tentationes vocavit fluctus ; quandoquidem sicut tranquillitas post fluctus, ita post tentationes pax succedit.

VERS. 26. « Ascendunt usque ad cœlos. »

Mala autem hoc loco non vitia, sed afflictiones intelligit. Unde Amos ait : *Si erit malitia in civitate quam Dominus non fecit* [76] ? intelligens castigationes quas Dominus ad correctionem hominibus infligit. In his anima necessario tabescebat. Quod enim est auro ignis, hoc animabus sunt tentationes, quæ ipsas tabescere faciunt, non ut corrumpantur, sed ut appareat quantum splendoris habeant. Tentationes enim arguunt virtutes hominum. Quapropter Dominus dixit : *Orate ut non intretis in tentationem* [77]. Quin et Petrus in tantum turbatus et conquassatus fuit tentatione negationis, ut de Domino diceret : *Non novi hominem hunc* [78]. Ebrii autem proprium est non novisse, etiam alioqui notum. Tunc etiam omnis ejus sapientia absorpta fuit.

« VERS. 28. Et clamaverunt ad Dominum. »

Igitur quemadmodum naturæ in tempestate omnem ipsorum industriam et artem superante per invocationem Dei salvantur ; ita oportet eos qui

σαρκωθέντα λέγει, τὸν λέγοντα· *Ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.* Ὅσπερ ἡμῶν τὸ γένος ἰασάμενος, ἐκ τῶν διαφθορῶν ἡμᾶς δηλαδὴ τῶν ἁμαρτημάτων ἐρρύσατο. Φθορὰ γὰρ παντὸς ἀνθρώπου τὰ ἁμαρτήματα. Ἐπειδὴ εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός.

« Οἱ καταβαίνοντες εἰς θάλασσαν. »

Ἐνταῦθα θάλασσαν νοῆσαι χρὴ τὸν βίον τὸν ἡμέτερον, πλοῖα τὰς Ἐκκλησίας· περὶ ὧν ὁ Θεὸς τοιαῦτα πρὸς τὸν Ἰὼβ διαλέγεται· *Πᾶν δὲ πλωτὸν συναλθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ· καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴ αὐτοῦ.* Λέγει δὲ τὸν διάβολον, ὡς πρὸς αὐτὸν πᾶσα μὲν ἀνθρώπων ἠττᾶται μηχανὴ, ὥστε μηδὲ βύρσαν οὐρᾶς αὐτοῦ βαστάζειν ἢ ὑφίστασθαι· ἀλλ' ὅμως αὐτοῦ τὴν κεφαλὴν, δηλαδὴ τὴν εἰδωλολατρίαν, ἥτις πάσης αὐτοῦ τῆς πονηρίας ὑπῆρχε κεφάλαιον, ἐν τοῖς πλοίοις τῶν Ἐκκλησιῶν ἐνέκρωσαν οἱ ἀπόστολοι. Οὗτοι ἐργασίαν ἐν ὕδασι πολλοῖς, ἐν τῷ πλήθει δηλαδὴ τὴν τῶν ἀνθρώπων σωτηρίαν πεποίηνται. Ἴδοσαν δὲ καὶ τοῦ Θεοῦ τὰ ἔργα, τουτέστι τὰ δημιουργήματα καὶ τὰ θαυμάσια, δηλαδὴ τὰ σημεῖα, ὅσα τὴν σωτηρίαν οἰκονομῶν τὴν ἡμετέραν ἔθετο ἐν τῷ βυθῷ, τουτέστιν ἐν τῇ σοφίᾳ· μεθ' ἧς ὁ Θεὸς οἰκονομεῖ τὰ ἡμέτερα. Βάθος γὰρ ἡ τοῦ Θεοῦ σοφία, διὰ τὸ ἀνείκαστον αὐτῆς καὶ ἀμέτρητον. Τοὺς πειρασμοὺς λέγει (γέμει γὰρ αὐτῶν ὁ βίος ὁ ἀνθρώπινος)· ἐγείρει δὲ αὐτοὺς καὶ τὸ πνεῦμα τῆς καταιγίδος, δηλαδὴ τὸ πνεῦμα τὸ ἀντικείμενον· οὐ μὴν ἀπὸ τῆς οἰκοθεν ἐξουσίας, ἐπιτρέψαντος δὲ τοῦ Θεοῦ εἰς τὴν τῶν δικαίων γυμνασίαν καὶ φανέρωσιν· δηλοῖ δὲ αὐτὸς ὁ Θεὸς [ἡνίκα] τῷ διαβόλῳ πειρᾶσαι τὸν Ἰὼβ ἐπιτρέψας. Καλῶς δὲ κύματα τοὺς πειρασμοὺς ἐκάλεσεν· ἐπειδὴ καθάπερ γαλήνη τὰ κύματα, οὕτως καὶ τοὺς πειρασμοὺς εἰρήνη διαδέχεται.

« Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν. »

Τὰ κακὰ δὲ ἐνταῦθα οὐ φαῦλα, ἀλλὰ τὰ κακωτικὰ λέγει. Ὅθεν Ἀμὼς φησιν· *Εἰ ἔσται κακία ἐν πόλει ἣν Κύριος οὐκ ἐποίησε;* τὰς παιδείας λέγων ἃς ἐπιφέρει τοῖς ἀνθρώποις εἰς διόρθωσιν. Ἐν τούτοις ἡ ψυχὴ ἀναγκαίως ἐτήκετο. Ὅπερ γάρ ἐστι τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ταῖς ψυχαῖς οἱ πειρασμοὶ τυγχάνουσι, τήκοντες αὐτὰς, οὐχ ὥστε διαφθαρῆναι, ἀλλ' ὥστε φανερωθῆναι πῶς λαμπρότητος ἔχουσι. Ἐλέγχουσι γὰρ οἱ πειρασμοὶ τὰς ἀνθρώπων δυνάμεις. Διόπερ ὁ Κύριος ἔλεγε· *Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.* Ἀλλὰ μὴν καὶ Πέτρος εἰς τοσοῦτον ἐταράχθη καὶ ἐσαλεύθη τῷ πειρασμῷ τῆς ἀρνήσεως, ὥστε περὶ τοῦ Κυρίου λέγειν· *Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον.* Μεθύοντός δὲ ἴδιον οὐκ εἰδέναι καὶ τὸν τυχόντα γνώριμον. Τότε καὶ πᾶσα αὐτοῦ σοφία κατεπόθη.

« Καὶ ἐκέκραξαν πρὸς Κύριον. »

Οὐκοῦν καθάπερ οἱ ναῦται ὑπὸ χειμῶνος ἀπολῃφθέντες πάσης τέχνης καὶ ἐπινοίας κρείττονος διὰ τῆς εἰς τὸν Θεὸν ἐπικλήσεως σώζονται· οὕτω χρὴ καὶ

[75] Matth. IX, 37. [76] Job XL, 26. [76] Amos III, 6. [77] Matth. XXVI, 41. [78] Matth. XXVI, 72.

Digitized by Google

τοὺς πειραζομένους οἰκείᾳ μὲν δυνάμει μὴ θαρρεῖν, μόνῃ δὲ τῇ πρὸς τὸν Θεὸν πεποιθήσει χρῆσθαι. A

« Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν. »

Ἐπειδὴ τὸ εὐαγγελικὸν, καθάπερ ἔφημεν, ἠνίξατο κήρυγμα, ἀναγκαίως Ἐκκλησίας ἠνίξατο, οὐ *λαοῦ*, μήποτε δόξῃς τὴν Συναγωγὴν λέγεσθαι, *λαῶν* δὲ τῶν ἐθνῶν ἐμνημόνευσεν· ἐν οἷς καὶ καθέδρα πρεσβυτέρων, αἰνούντων τὸν Θεὸν ταῖς διδασκαλικαῖς γλώσσαις· περὶ ὧν Παῦλος ἔλεγεν· *Οἱ πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ.*

« Ἔθετο ποταμοὺς εἰς ἔρημον. »

Τὴν παρ' Ἕλλησιν ἐνταῦθα σοφίαν ἠνίξατο. Ἐζήλουν γὰρ ποταμοὺς διὰ τὴν ῥέουσαν γλῶτταν φιλόσοφοι, καὶ σοφισταὶ, καὶ ῥήτορες· ἀλλ' ἔρημον τούτοις ἐλέγξας αὐτῶν τὸ ψεῦδος καὶ πεπλασμένον, ἔθετο καὶ τὰς διεξόδους τῶν λόγων (τούτους γὰρ διὰ τὴν βιαίαν ὁρμὴν προσηγόρευσεν ὕδατα) εἰς δίψαν. Ἀκυρώσας γὰρ αὐτῶν τὴν χρῆσιν μεταβέβληκεν. B

« Τὴν καρποφόρον εἰς ἅλμην. »

Τοῦτο σαφῶς εἰς τὴν Ἰουδαίαν γῆν καρποφόρον γινομένην διὰ τοὺς ἐξ αὐτῆς προφήτας καὶ τοὺς δικαίους εἴρηται, ἥτις εἰς ἅλμην ἀπὸ κακίας τῶν ἐν αὐτῇ κατοικούντων Γραμματέων καὶ Φαρισαίων, καὶ πάντων τῶν ἀσεβησάντων εἰς Χριστὸν μεταβέβληται. Οὐκέτι γὰρ ἐν αὐτοῖς ἱερεὺς, οὐ προφήτης· ἀλλ' οὐδὲ καρπὸς ἕτερος τῆς ἀρχαίας πολιτείας εὑρίσκεται.

« Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων. » C

Εἰπὼν ὅσα τοῖς ἀπίστοις Ἕλλησιν, ἔτι δὴ καὶ Ἰουδαίοις ἔμελλε συμβαίνειν (ἔβλεπε γὰρ αὐτὰ τοῖς ὀφθαλμοῖς τοῦ πνεύματος), ἰδοὺ νῦν τὰ περὶ τῆς Ἐκκλησίας συμφώνως τῷ Ἡσαΐᾳ ἐκτίθεται· φησὶ γὰρ κἀκεῖνος· *Θήσω τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν εἰς ὑδραγωγούς.* Οὗτος δὲ λίμνην ὑδάτων τὰς κολυμβήθρας ἐνόησε τοῦ βαπτίσματος· ὥσπερ αὐτὰς καὶ Σολομὼν ἐν τοῖς Ἄσμασιν, ἡνίκα τὸν Χριστὸν πρὸς τὴν ἑαυτοῦ νύμφην εἰσήγαγε τὴν Ἐκκλησίαν λέγοντα· *Οἱ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβὼν ἐν πύλαις θυγατρὸς πολλῶν·* θυγατέρα πολλῶν τὴν Ἐκκλησίαν νενοηκώς· οὐ γὰρ μόνων τῶν ἀποστόλων, ἀλλὰ καὶ προφητῶν θυγάτηρ ἐγένετο. D Οὐκ ἦν δὲ ἐν αὐτῇ πρότερον Λόγος Θεοῦ, νῦν δὲ τοσοῦτον πλουτεῖ· ὥστε εἰς πᾶσαν αὐτῆς τὴν οἰκουμένην διαβαίνειν τὰ δόγματα· ἐν οἷς φυτευθῆναι μακάριον. Ξύλον γάρ τι εὑρίσκεται ἐν καιρῷ τὸν καρπὸν ποιοῦν, καὶ μήποτε τὸ φύλλον ἀποβάλλον, ὡς ἐν τοῖς προοιμίοις τῶν Ψαλμῶν ἀναγέγραπται.

« Καὶ συνεστήσαντο πόλεις κατοικεσίας. »

Οὐ πόλιν, ἀλλὰ πόλεις. Διαφόρους γὰρ πολιτείας ὁ ἐξ ἐθνῶν λαὸς ἔχει, ἐν αἷς κατοικίαι τῶν ἀρετῶν, αἵτινες τὸν ἔσωθεν ἡμῶν ἄνθρωπον σκέπουσι, κέκτηται.

tentantur propriæ quidem virtuti minime fidere, sed sola Dei fiducia niti.

Vers. 30. « Et lætati sunt, quia siluerunt. »

Quandoquidem, uti dicebamus, evangelica prædicatio fuerat insinuata, necessario etiam Ecclesias innuit, non *populi*, ne forte putes Synagogam intelligi, sed *populorum*, id est gentium, mentionem fecit : in quibus etiam est cathedra seniorum, linguis doctrinalibus laudantium Deum : de quibus Paulus ait : *Presbyteri duplici honore digni habeantur*; *maxime qui laborant in verbo et doctrina* [79].

Vers. 33. « Posuit flumina in desertum. »

Græcorum hic innuit sapientiam. Philosophi enim sophistæque ac rhetores ob linguæ affluentiam fluvios æmulabantur : sed ipsorum mendacium ac fictionem arguens desertum illis posuit et exitus sermonum (hos enim propter vehementem impetum aquas appellavit) in sitim. Illorum enim usum abrogans immutavit.

Vers. 34. « Terram fructiferam in salsuginem. »

Hoc perspicue dictum est in terram Judæam fructiferam propter prophetas et justos ex illa oriundos, quæ in salsuginem commutata est a malitia inhabitantium in ea Scribarum ac Pharisæorum, et omnium erga Christum impiorum. Non amplius enim in illis sacerdos, non propheta; sed neque fructus alius antiquæ reipublicæ reperitur.

Vers. 35. « Posuit desertum in stagna aquarum. »

Cum dixisset illa quæ incredulis gentibus et quæ insuper Judæis eventura erant (illa enim spiritalibus oculis cernebat), ecce nunc ea quæ ad Ecclesiam pertinent conformiter cum Isaia exponit; nam et ille ait : *Ponam desertum in paludes, et sitientem terram in aquæductus* [80]. Hic autem stagnum aquarum fontes baptismatis sive baptisteria intellexit; prout etiam Salomon in Canticis, quando Christum ad sponsam suam Ecclesiam introduxit dicentem : *Oculi tui tanquam stagna in Esebon in portis filiæ multorum* [81]; filiam multorum Ecclesiam intelligens : siquidem non solorum apostolorum, sed etiam prophetarum filia exstitit. Verum non erat in ea prius Verbum Dei, sed nunc illud possidet; ita ut omnem terrarum orbem ejus dogmata penetrent; in quibus institutum esse beatum est. Talis enim reperitur lignum quod in tempore fructum facit, et cui nunquam folium decidit, ut in principiis Psalmorum scriptum est.

Vers. 36. « Et constituerunt civitates habitationis. »

Non civitatem, sed civitates. Diversas enim respublicas habet populus ex gentibus, in quibus possidet virtutum habitationes, quæ interiorem nostrum hominem protegunt.

[79] I Tim. v, 17. [80] Isa. xli, 18. [81] Cant. vii, 4.

Digitized by Google

Vers. 37. « Et seminaverunt agros. »

Ager siquidem est philosophia illa quæ ad regnum cœlorum adducit. Sic enim ait Dominus : *Simile est regnum cœlorum thesauro abscondito in agro : quem qui invenit homo abscondit, et præ gaudio illius vadit et vendit universa quæ habet, et emit agrum illum* [82]. Idem per parabolam operariorum mercede conductorum ostendit esse vineam [83]; fructum vero geniminis tam tricesimum quam sexagesimum et centesimum [84] eos referre clarum est qui Christi philosophiam excolunt, et virtutes in ea plantant.

A « Καὶ ἔσπειραν ἀγρούς. »

Ἀγρὸς μὲν οὖν ἐστιν ἡ φιλοσοφία ἡ πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν ἀπάγουσα. Φησὶ γὰρ οὕτως ὁ Κύριος· *Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ ἐν ἀγρῷ κεκρυμμένῳ· ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πωλεῖ πάντα ὅσα ἔχει, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.* Τὴν αὐτὴν καὶ ἀμπελῶνα διὰ τῆς παραβολῆς τῶν ἐργατῶν τῶν μισθωθέντων ἔδειξε. καρπὸν δὲ γεννήματος τὸν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἑκατὸν εὐδηλον ὡς γεωργοῦσιν οἱ τὴν ἐν Χριστῷ φιλοσοφίαν μελετήσαντες, καὶ ἀρετὰς ἐν αὐτῇ καταφυτεύσαντες.

Vers. 38. « Et benedixit eos, et multiplicati sunt. »

Scilicet ex duodecim vel forte septuaginta in tria millia, deinde quinque, deinde in tot centena millia quot videmus profecerunt; quæ uti par est jumenta apostolorum appellavit, utpote ab ipsis instituta.

« Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν. »

B Ἀπὸ γὰρ δώδεκα ἢ τυχὸν ἑβδομήκοντα εἰς χιλιάδας τρεῖς, εἶτα πέντε, εἶτα μυρίας ὅσας ὁρῶμεν προέκοψαν· οὕστινας κτήνη τῶν ἀποστόλων εἰκότως, ὡς ὑπ' αὐτῶν μαθητευθέντας, ἐκάλεσεν.

Vers. 40. « Effusa est contemptio super principes eorum. »

Qui nempe martyres ad impietatem instigabant. Illis enim instantibus zelo fidei, principum contemptio, id est despectio ac vilitas, effusa est, et exundavit. Impiorum principum propositum non erat via : neque enim per Christum ambulabant, qui erat revera via, et veritas, et vita. Quapropter scopus eorum erat invius : siquidem spinis impietatis ac tribulis opplebatur : in quo Deus ipsos C decepit. Existimantes enim se per martyrum cædem jam dilatatam ac currentem fidem incisuros, aberrarunt; quandoquidem ipsi ad gloriam et incrementum mysterii zelus martyrum exstiterit.

« Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν. »

Τοὺς ἀσεβεῖν προτρεπομένους τοὺς μάρτυρας. Ἐνισταμένων γὰρ αὐτῶν τῷ ζήλῳ τῆς πίστεως, ἡ τῶν ἀρχόντων ἐξουδένωσις, τουτέστιν ὁ φαυλισμὸς καὶ ἡ εὐτέλεια, ἐξεχεῖτο, καὶ ἐπλεόναζεν. Οὐκ ἦν ὁδὸς ἡ τῶν ἀσεβῶν ἀρχόντων πρόθεσις· οὐδὲ γὰρ Χριστὸν τὴν ὄντως ὁδὸν, καὶ ζωὴν, καὶ ἀλήθειαν, ὡδευον. Διόπερ ἄβατος αὐτῶν ὁ σκοπὸς ὑπῆρχεν· ἀκανθῶν γὰρ τῶν ἐξ ἀσεβείας καὶ τριβόλων πεπλήρωτο· ἐν ᾗ ὁ Θεὸς αὐτοὺς ἐπλάνησεν. Οἰόμενοι γὰρ πλατυνομένην τὴν πίστιν καὶ τρέχουσαν ἀνακόπτειν διὰ τῆς τῶν μαρτύρων ἀναιρέσεως, ἐπλανῶντο· ἐπειδὴ πρὸς δόξης αὐτῇ καὶ προκοπῆς τοῦ μυστηρίου ὁ ζῆλος τῶν μαρτύρων ἐγένετο.

Vers. 41. « Et adjuvit pauperem de inopia. »

Pauperem, id est, populum qui persecutionem patiebatur. Pauper enim erat qui nullum habebat in hominibus præsidium : verum ex hac paupertate ipsi opem tulit. Cum hominum favorem minime haberet, sed omnes, tam populi quam reges et principes, ipsum oppugnarent, Deus erat ei adjutor : in quo etiam omnes inimicos superavit.

« Καὶ ἐβοήθησεν πένητι ἐκ πτωχείας. »

Πένητι, τουτέστι, τῷ διωκομένῳ λαῷ. Πένης γὰρ ἦν οὐδεμίαν ἔχων ἐν ἀνθρώποις ἐπικουρίας ὕπαρξιν· ἀλλ' ἐκ ταύτης αὐτῷ τῆς πτωχείας ἐβοήθησεν. Ἐπειδὴ γὰρ ἀνθρώπων οὐκ εἶχε ῥοπὴν, πάντες δὲ αὐτὸν ἐπολέμουν, δῆμοι καὶ βασιλεῖς καὶ ἄρχοντες, ὁ Θεὸς ἦν βοηθός· ἐφ' ᾧ καὶ πάντας τοὺς πολέμους ἐνίκησεν.

« Et posuit sicut oves familias. »

Congregationes martyrum appellavit; quandoquidem ex variis facinoribus generosis vel meritis exstiterint. Hos tanquam oves posuit, mortem ipsorum pro sacrificio suscipiens.

« Καὶ ἔθετο ὡς πρόβατα πατριᾶς. »

D Τὰ συστήματα τῶν μαρτύρων ἐκάλεσεν· ἐπειδήπερ ἐκ διαφόρων ἐπιτηδευμάτων ἢ ἀξιωμάτων ἐτύγχανον. Τούτους ὡς πρόβατα ἔθετο, τὸν θάνατον αὐτῶν ἀντὶ θυσίας δεξάμενος.

Vers. 43. « Quis sapiens et custodiet hæc? »

Uno sapiente ista custodiente multa per ipsum scientia cognitioque exsistit. Tu igitur cum scias ipsum legis custodem appellasse sapientem, si sapientiam desideres, legem operare : actio enim proficua est intelligentibus. Haud parvum autem hinc emanat emolumentum, quandoquidem te legem custodiente reliqui misericordias Domini intellecturi sint.

« Τίς σοφὸς, καὶ φυλάξει ταῦτα ; »

Ἑνὸς σοφοῦ ταῦτα φυλάττοντος πολλὴ σύνεσις δι' αὐτοῦ καὶ ἐπίγνωσις γίνεται. Σὺ τοίνυν μαθὼν ὅτι σοφὸν τὸν φύλακα τοῦ νόμου προσηγόρευσεν, εἰ σοφίας ἐπιθυμεῖς, ἐργάζου τὸν νόμον· προκοπὴ γὰρ τοῖς συνετοῖς ἡ πρᾶξις. Τὸ κέρδος δὲ οὐ μικρὸν, ἐπειδὴ σοῦ τὸν νόμον φυλάττοντος ἕτεροι τὰ ἐλέη τοῦ Θεοῦ συνήσουσιν.

[82] Matth. XIII, 44. [83] Matth. XX, 1. [84] Matth. XIII, 8.

Digitized by Google

ΨΑΛΜΟΣ ΡΖ'.

« Ὠδὴ ψαλμοῦ τῷ Δαυΐδ. »

Ὠδὴν ψαλμοῦ τὴν ἐν συνέσει δοξολογίαν λέγει· τοῦτο γὰρ καὶ τοῖς ἑξῆς δειχθήσεται.

« Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. »

Μακάριον ἑτοιμάζειν Θεῷ τὴν καρδίαν· ἕξει γὰρ αὐτὸν ὁ ἑτοιμάζων ἔνοικον. Ἐπειδὴ δὲ τὸν Λόγον ὁ Προφήτης δίεσωσεν, ἆρα διπλῆν αὐτῷ τὴν ἑτοιμασίαν προσφέρειν ὀφείλομεν. Καὶ καθάπερ οἱ βασιλέα μέλλοντες ὑποδέχεσθαι ἑτοιμάζουσι τὸν οἶκον, πρῶτον μὲν ἐκκαθαίροντες, δεύτερον δὲ σκεύη ἐν αὐτῷ τὰ πρὸς τὴν χρείαν ἀποτιθέμενοι· οὕτω καὶ ἡμεῖς διπλῆν ἑτοιμασίαν τῷ Θεῷ παρασκευάζειν χρῄζομεν· μίαν μὲν, καθαίροντες τὸν τῆς καρδίας ναόν· δεύτερον δὲ, ἀρετὰς αὐτῇ καὶ πράξεις ἀγαθὰς ἐπεισφέροντες. Οὕτω γὰρ ἡμῖν ὁ Θεὸς οὐκ ἐνδημήσει μόνον, ἀλλὰ καὶ ἐγχρονίσει. Δόξαν ἑαυτοῦ ὁ Προφήτης τὸν Χριστὸν προσηγόρευσεν· ἐπειδὴ συμμόρφους ἡμᾶς τῆς δόξης τῆς οἰκείας, ἀναλαβὼν τὰ ἡμέτερα, πεποίηκεν. Ἐν τούτῳ τοίνυν ᾄδειν καὶ ψάλλειν φησὶ, τοντέστι, σὺν αἰνέσει δοξολογεῖν. Τί δὲ ἐν τῷ Χριστῷ δοξολογεῖν καὶ ψάλλειν; τὰ περὶ αὐτοῦ δηλονότι μυστήρια.

« Ἐξεγέρθητι, ἡ δόξα μου. »

Πόθεν; ἐκ τῶν ταπεινῶν τῆς ἀνθρωπότητος μυστηρίων, ἐκ τῶν νεκρῶν οὓς κατελθὼν ὁ Χριστὸς ἐπεσκέψατο· ἐκεῖθεν αὐτὸν ἐξαναστῆσαι, ἵνα καὶ ἀναληφθῇ, ὡς μελλόντων ἡμῶν κοινωνεῖν αὐτῷ τῆς δόξης τῆς εἰς οὐρανοὺς βούλεται. Οὐδὲ γὰρ μόνον συνήγειρεν ἡμᾶς, ἀλλὰ καὶ συνεκάθισεν ἐν δεξιᾷ ἑαυτοῦ ἐν τοῖς ἐπουρανίοις. Παλαιὰν ἐνταῦθα καὶ Καινὴν Διαθήκην ἐξεγερθῆναι, εἰς τὰς περὶ Θεοῦ μαρτυρίας παρακαλεῖ, ὥστε δι' αὐτῶν πιστευθῆναι τοῦ Χριστοῦ τὴν ἀνάστασιν. Ἡ μὲν γὰρ προλέγει τοὺς καιροὺς καὶ τοὺς τόπους· ἡ δὲ ἐπὶ τῆς ἱστορίας τὰ προλεχθέντα δείκνυσιν.

« Ἐξεγερθήσομαι ὄρθρου. »

Ἀπόκρισιν εἰσήγαγε τοῦ Χριστοῦ τῇ δεήσει τοῦ Προφήτου συμβαίνουσαν· ὁ μὲν γὰρ αὐτὸν ἐξεγερθῆναι ἱκέτευσεν εἰπών, *Ἐξεγέρθητι, ἡ δόξα μου.* Ὁ δὲ καὶ τὸν καιρὸν, καθ' ὃν οἰκονομεῖν μέλλει τοῦτο, κατήγγειλεν· *Ἐξεγερθήσομαι* γὰρ, φησὶν, *ὄρθρου.* Ἐξ αὐτῆς λέξεως τὸ τῷ Λουκᾷ περὶ τῆς ἀναστάσεως ἱστορημένον φθεγξάμενος· *Ὄρθρου βαθέος ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα*· οἷς καὶ τὰ ἄλλα τῆς ἀναστάσεως τοῦ Σωτῆρος ἐπήγαγεν.

« Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν. »

Ἔλεος καὶ ἀλήθεια τῆς οἰκονομίας τοῦ Χριστοῦ τὸ μυστήριον· ὥστε τὸν Προφήτην τοῦτον ἀλλαχόσε λέγει· *Ἔλεος καὶ ἀλήθεια συνήντησαν.* Εἰς ἓν γὰρ ἡ τοῦ Χριστοῦ θεότης καὶ ἀνθρωπότης τῇ τοῦ λόγου σαρκώσει κατήντησαν. Ἀλλὰ τὸ μὲν ἔλεος ἁρμόττει τῇ τοῦ σαρκωθέντος λόγου θεότητι (αὐτὴ γὰρ τὸ πλάσμα τὸ οἰκεῖον ἐλέησεν), ἡ ἀλήθεια δὲ τῇ σαρ-

A

B

C

D

PSALMUS CVII.

Vers. 1. « Canticum psalmi ipsi David. »

Canticum psalmi vocat collaudationem in scientia: hoc enim etiam per sequentia demonstrabitur.

Vers. 2. « Paratum cor meum, Deus. »

Beatum est præparare cor Deo: nam qui hoc parat habebit ipsum incolam. Cum autem Propheta Verbum hoc servaverit, utique duplicem ei præparationem afferre debemus. Et quemadmodum illi qui regem hospitio excepturi sunt domum parant, primum quidem eam expurgantes, deinde vero vasa ad usum necessaria in eadem collocantes; sic etiam nos duplicem præparationem Deo exhibere debemus: unam quidem templum cordis emundando; alteram vero virtutes ac probas actiones illi inferendo. Sic enim Deus non solum ad nos diversabitur, verum etiam in nobis commorabitur. Gloriam suam hic Propheta Christum appellavit; quandoquidem cum nostra assumpsit, conformes nos gloriæ suæ reddidit. In eo igitur cantandum et psallendum ait, id est, cum laude celebrandum. Quid porro in Christo celebrandum et psallendum? utique mysteria ipsius.

Vers. 3. « Exsurge, gloria mea. »

Unde? Ex humilibus humanitatis mysteriis, ex ipsis mortuis quos descendens Christus visitaverat: inde vult ipsum exsurgere, ut etiam ascendat, quo et nos quoque cœlestis ejus gloriæ participes evadamus. Non solum enim nos consuscitavit, sed etiam consedere fecit in dextera sua in cœlestibus. Provocat hoc loco Vetus ac Novum Testamentum, ut exsurgat ad testimonia de Deo proferenda, ut per ea Christi resurrectio confirmetur. Illud enim prædicit tempora et loca; hoc vero in historia quæ prædicta fuerant ostendit.

« Exsurgam diluculo. »

Responsionem Christi introduxit Prophetæ petitioni congruentem: hic enim illum rogaverat, ut exsurgeret dicens, *Exsurge, gloria mea.* Ipse autem etiam tempus annuntiavit, quo istud erat dispensaturus: *Exsurgam* enim, inquit, *diluculo.* Iisdem fere verbis quibus Lucas historiam resurrectionis commemorat dicens: *Valde diluculo venerunt mulieres ad monumentum, portantes quæ paraverant aromata* [85]: quibus etiam reliqua de resurrectione Salvatoris subjunxit.

Vers 5. « Quia magna est super cœlos. »

Misericordia et veritas sunt dispensationis Christi mysterium; ita ut Propheta etiam alibi dicat: *Misericordia et veritas obviaverunt* [86]. Per Verbi enim incarnationem Christi divinitas et humanitas in unum convenerunt. Verumtamen misericordia quidem incarnati Verbi divinitati congruit (ipsa enim figmenti sui miserta fuit), veritas vero

[85] Luc. XXIV, 1. [86] Psal. LXXXIV, 11.

Digitized by Google

carni. (Siquidem non secundum imaginationem, ut quidam hæretici sentiunt, sed secundum veritatem Deus Verbum carnem assumpsit.) Hoc enim ad explicationem et confirmationem David iterum dixit, *Veritas de terra orta est* [87], humanitatem Domini intelligens; quæ de terra nostra, scilicet humanæ naturæ, orta est. Magna igitur supra cœlos est Christi divinitas propter gloriam, qua a propriis virtutibus glorificatus fuit : in terra enim minime noscebatur, et carne obumbrabatur.

VERS. 6. « Exaltare super cœlos, Deus. »

Viden' ut David Christi ascensionem prædicens, prius nubium fecerit mentionem? Ecce enim etiam nunc quid simile proponitur, nempe ut exaltetur Deus super cœlos celebratus; licet semper in sublimibus exsistat, uti ait Isaias : *Sanctus Dominus qui in altis habitat* [88]. David vero sic : *Tu solus Altissimus super omnem terram* [89]. Verumtamen exaltationem vocat Unigeniti cum carne in cœlos ascensum.

VERS. 7. « Ut liberentur dilecti tui. »

Dilecti Dei sunt illi homines qui per ejus in genus nostrum dilectionem servati sunt, quos etiam in cœlum exaltatus ab antiqua captivitate liberavit; quemadmodum Paulus ait : *Ascendens in altum captivam duxit captivitatem, dedit dona hominibus* [90]. Dexteram vero Dei non quis aberraverit Spiritum sanctum intelligens; quandoquidem hic quoque Dei digitus nominatur, quippe Trinitate unam substantiam et virtutem et operationem habente. Rogat igitur propheta ut nos salvemur et a Spiritu exaudiamur, quo spiritales gratiæque inde promanantis participes evadamus. Prædicta enim rogat ex communi hominum persona.

VERS. 8. « Deus locutus est in sancto suo. »

Christus nempe in choro apostolorum. Hoc vero sequentia declarant, in quibus descripsit Dominum ex tempore petitioni Prophetæ respondentem. Hisce nominibus designat donum Spiritus : quod quidem vallis est tabernaculorum, scilicet Ecclesiarum; quandoquidem spiritalium aquarum congregationem, baptismatis, inquam, in valle hac spiritu suppeditante possideant. De quo alibi David ait, *Et valles abundabunt frumento* [91]; cum hic sit salutis nostræ fructus. Cæterum *Sicima* interpretatur *humeratio*, id est excellentia : hoc enim humerus in divina Scriptura significat; unde de Saule ait, *Ab humero et supra excelsus* [92]. Quid autem Spiritu sublimius? vel qualis celsitudo par aut æqualis reperiri possit muneri isti, quod Christus exaltatus distribuit? Sed et metitur, id est, ad mensuram dividit. Nam unicuique manifestatio Spiritus tribuitur prout conducit.

VERS. 10. « Moab lebes spei meæ. »

κί. (Οὐδὲ γὰρ κατὰ φαντασίαν, ὥς τινες τῶν αἱρετικῶν δοκοῦσιν, ἀλλὰ κατ' ἀλήθειαν ὁ Θεὸς Λόγος σεσάρκωται.) Τοῦτο γὰρ εἰς ἑρμηνείαν καὶ σύστασιν ὁ Δαβὶδ πάλιν ἔλεγεν, *Ἡ ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε*, τὴν ἀνθρωπότητα τοῦ Κυρίου λέγων· τὴν ἀπὸ τῆς ἡμετέρας γῆς, δηλαδὴ τῆς ἀνθρωπίνης φύσεως, ἀνατείλασαν. Μέγα τοίνυν ἐπάνω τῶν οὐρανῶν ἡ τοῦ Χριστοῦ θεότης διὰ τὴν δόξαν, ἣν παρὰ τῶν οἰκείων δυνάμεων ἐδοξάζετο· ἐπὶ γῆς γὰρ ἠγνοεῖτο, καὶ τῇ σαρκὶ συνεσκιάζετο.

« Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός. »

Θεωρεῖς ὅτι τοῦ Χριστοῦ τὴν ἀνάληψιν ὁ Δαβὶδ προφητεύων, τῶν νεφελῶν ἔμπροσθεν ἐμνημόνευσεν; Ἰδοὺ γὰρ καὶ νῦν ὅμοιον ὑποτίθεται, ὑψωθῆναι τὸν Θεὸν ἐπὶ τοὺς οὐρανοὺς πρεσβευόμενος· καίτοι διαπαντὸς ἐν ὑψηλοῖς ὄντα, καθά φησιν ὁ Ἡσαΐας· *Ἅγιος Κύριος ὁ ἐν ὑψηλοῖς κατοικῶν.* Καὶ Δαβὶδ δὲ οὕτως· *Σὺ μόνος ἐπὶ πᾶσαν τὴν γῆν.* Ἀλλ' ὕψωσιν ἐπὶ τοὺς οὐρανοὺς τοῦ Θεοῦ, καλεῖ τὴν εἰς οὐρανὸν τοῦ Μονογενοῦς μετὰ σαρκὸς ἄνοδον.

« Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. »

Ἀγαπητοὶ τοῦ Θεοῦ οἱ σωθέντες αὐτοῦ διὰ τῆς ἀγάπης τῆς πρὸς τὸ γένος τὸ ἡμέτερον ἀνθρωποι· οὕσπερ καὶ ἀνυψωθεὶς εἰς οὐρανὸν ἀπὸ τῆς ἀρχαίας αἰχμαλωσίας ἐῤῥύσατο· καθά φησιν ὁ Παῦλος, *Ἀναβὰς εἰς ὕψος ἠχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα ἐν ἀνθρώποις.* Δεξιὰν δὲ τοῦ Θεοῦ οὐκ ἔν τις ἁμάρτοι τὸ Πνεῦμα προσαγορεύων τὸ ἅγιον· ἐπειδὴ καὶ Θεοῦ δάκτυλος ὀνομάζεται, ὡς τῆς Τριάδος μίαν ἐχούσης οὐσίαν δύναμίν τε καὶ ἐνέργειαν. Σωθῆναι τοίνυν ἡμᾶς ὁ Προφήτης καὶ ἐπακουσθῆναι παρακαλεῖ τῷ Πνεύματι, ἵνα πνευματικοὶ γενώμεθα καὶ τῆς χάριτος τῆς ἐκεῖθεν κατερχομένης μέτοχοι. Ἀπὸ γὰρ κοινοῦ τῶν ἀνθρώπων προσώπου τὰ εἰρημένα πρεσβεύεται.

« Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ. »

Ὁ Χριστὸς ἐν τῷ χορῷ τῶν ἀποστόλων, εὔδηλον. Δηλοῖ δὲ τὰ ἑπόμενα, ἐν οἷς τὸν Κύριον περὶ πάντα τῆς τοῦ Προφήτου δεήσεως ἀποκρινόμενον ἐγραψεν. Τούτοις τοῖς ὀνόμασι τὴν δωρεὰν χαρακτηρίζει τοῦ Πνεύματος· κοιλάδα μὲν τῶν σκηνῶν, τῶν Ἐκκλησιῶν δηλονότι, τυγχάνουσαν· ἐπειδὴ τὴν τῶν νοητῶν ὑδάτων συναγωγὴν, φημὶ δὴ τοῦ βαπτίσματος, ἐν τῇ κοιλάδι ταύτῃ τῇ χορηγίᾳ τῇ τοῦ Πνεύματος κέκτηνται· περὶ οὗ ἀλλαχοῦ φησιν ὁ Δαβὶδ, *Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον*· ἐπειδὴ τῆς ἡμετέρας σωτηρίας ὁ καιρός. *Σίκιμα* δὲ *ὠμίασις* ἑρμηνεύεται, τουτέστιν ἐξοχή· τοῦτο γὰρ ὁ ὦμος παρὰ τῇ θείᾳ Γραφῇ δηλοῖ· ὅθεν περὶ τοῦ Σαούλ φησιν, *Ὑψηλὸς ὑπερωμίαν καὶ ἐπάνω.* Τί δὲ τοῦ Πνεύματος ὑψηλότερον; ἢ ποία τις ὑπεροχὴ κατὰ τὴν δωρεὰν τὴν ἐκεῖθεν εὑρίσκεται, ἣν ὑφούμενος ὁ Χριστὸς διαμερίζει; Ἀλλὰ μὴν καὶ διαμετρεῖ, τουτέστι, πρὸς μέτρον διαιρεῖ. Ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον δίδοται.

« Μωὰβ λέβης τῆς ἐλπίδος μου. »

[87] Psal. LXXXIV, 12. [88] Isaiæ XVIII, 5. [89] Psal. LXXXII, 19. [90] Ephes. IV, 8. [91] Psal. LXIV, 14. [92] Reg. IX, 2.

Digitized by Google

Διὰ τοῦ Μωὰβ τὰ ἔθνη αἰνίττεται· λέβητα δὲ ἐλπίδος αὐτὰ καλεῖ, τουτέστι θερμαίνοντας καὶ ἀναζωπυροῦντας τὴν εἰς αὐτὸν ἐλπίδα. Πῶς δὲ θερμαίνοντας; τῷ νοητῷ πυρὶ τῆς ἐνεργείας τοῦ Πνεύματος. Πυρὶ γὰρ ὁρᾷς τὸν λέβητα θερμαινόμενον.

« Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημα. »

Δείκνυσιν ὁ Χριστὸς ὅπως τὴν τῶν ἐθνῶν Ἐκκλησίαν ἔμπροσθεν ἐξ Ἰσραὴλ ὑποταγεῖσαν ἐποίησεν, ἐκτείνας καὶ μέχρις αὐτῶν τὸ ὑπόδημα, δηλαδὴ τὸ Εὐαγγέλιον· ὅπερ μηνύων Ἰωάννης ὁ Βαπτιστὴς ἔλεγεν, *Ἔρχεται μετ' ἐμέ, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ*. Οὕπω γὰρ εἶχε καιρὸν ἐκφρασθῆναι τὸ Εὐαγγέλιον. Οὕτω δὲ αὐτὸ καλεῖ καὶ Παῦλος· φησὶ γάρ· *Ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης*. Διὰ τοῦτο τοίνυν αὐτῷ τοὺς ἀλλοφύλους, δηλαδὴ τοὺς ἐξ ἐθνῶν, ὁ Ἰησοῦς ὑπέταξε, καὶ ὡς ὑποταγέντας εἰς τὴν τοῦ Ἰσραὴλ κληρονομίαν συνήγαγεν.

« Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; »

Πόλιν περιοχῆς τὴν Ἐκκλησίαν καλεῖ· ἐν ταύτῃ γὰρ ὅλα περιέχεται τοῦ Χριστοῦ τὰ μυστήρια· καὶ νόμος καὶ προφῆται διὰ τῆς αὐτῆς πολιτείας περιέχονται. Τὴν αὐτὴν δὲ καὶ Ἰδουμαίαν καλεῖ. Μόνου τοῦ Χριστοῦ τὸν Ἰσραὴλ πρὸς τὴν Ἐκκλησίαν ὁδηγῆσαι καθέστηκεν, ὃς ἀπώσατο τοὺς Ἰουδαίους ὡς εἰς αὐτὸν μὴ πιστεύσαντας· ἀλλ' οὐ πάντας· οὐδὲ ἐξῆλθεν αὐτῶν ἐν ταῖς δυνάμεσιν· τουτέστι, τοὺς ἐν αὐτοῖς δυνατοὺς, δηλαδὴ τοὺς μὴ πιστεύσαντας, οὐκ ἀπέβαλε διὰ τοὺς πιστεύσαντας.

« Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως. »

Βοήθειαν ἐκ θλίψεως τῷ λαῷ τῶν Ἰουδαίων πίστιν ἐξ ἀπιστίας πρεσβεύεται. Σωτηρίαν δὲ ἀνθρώπου τὴν ἐξ ἀνθρωπίνης διδασκαλίας προσδοκωμένην νόησον· οἵα τις ἦν ἡ τῶν Ἰουδαίων διδασκαλία. Πρὸς γὰρ τὸ αὐτοῖς δοκοῦν ἐγίνετο.

ΨΑΛΜΟΣ ΡΗ'.

« Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ. »

Ἀναγκαίως τὸν ψαλμὸν *Εἰς τὸ τέλος* τὸν παρόντα ἔγραψεν· ἔχει γὰρ ὅσα τῷ τέλει τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνανθρωπήσεως, δηλαδὴ πρὸς αὐτῷ τῷ πάθει τῷ Δεσποτικῷ, πέπρακται· διόπερ καὶ τὸν ψαλμὸν ἐμελῴδησεν. Εἰκόνα γὰρ φέρειν τοῦ Χριστοῦ τὸν Δαβὶδ εἰρήκαμεν φθάσαντες.

« Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς. »

Τὸν Ἰούδαν αἰνίττεται· περὶ γὰρ αὐτοῦ τῆς ψαλμῳδίας τὸ πλεῖστον τῆς προκειμμένης γέγραπται· οὗ τὸ στόμα πρότερον ὡς ἁμαρτωλοῦ, δεύτερον δὲ ὡς δολίου κατὰ τοῦ Κυρίου ἀνοιγῆναι εὑρήσομεν· ὡς γὰρ ἁμαρτωλὸς καὶ παράνομος τοῖς Ἰουδαίοις ἔλεγε· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν*; ὡς δόλιος *Χαῖρε, Ῥαββί*, πρὸς Ἰησοῦν εἶπε, *καὶ κατεφίλησεν αὐτόν*· ἀρραβῶνα τοῖς λαμβάνουσι δεδωκὼς τῆς προδοσίας τὸ φίλημα.

« Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ. »

A Per Moab gentes insinuat : lebetem vero spei ipsas vocat, id est calefacientes et resuscitantes spem in ipsum. Quomodo autem calefacientes? utique spiritali igne inoperationis Spiritus sancti. Lebetem enim vides igne calefieri.

« In Idumeam extendam calceamentum. »

Christus ostendit quomodo gentium Ecclesiam coram Israel sibi subjectam fecerit, usque ad illas quoque calceamentum suum extendens, id est Evangelium : quod insinuans Joannes Baptista dixit, *Venit post me, cujus non sum dignus ut solvam ejus corrigiam calceamenti* [92]. Nondum enim aderat tempus enuntiandi Evangelium. Sic vero etiam Paulus illud appellat, ait enim : *Calceati pedes in præparationem Evangelii pacis* [93]. Idcirco igitur B alienigenas, scilicet eos qui sunt ex gentibus, Jesus sibi subjecit, et tanquam subditos in Israelis hæreditatem introduxit.

Vers. 11. « Quis adducet me in civitatem circumstantiæ? »

Civitatem circumstantiæ vocat Ecclesiam : in illa enim continentur universa Christi mysteria; et lex et prophetæ in eadem quoque politia comprehenduntur. Eamdem vero etiam appellat Idumæam. Constituit solius Christi esse Israelem adducere ad Ecclesiam, qui Judæos repulit tanquam non credentes in eum; verum non omnes : neque egressus fuit in virtutibus eorum, id est, eos qui C inter ipsos potentes erant, scilicet infideles, non repulit propter fideles.

Vers. 13. « Da nobis auxilium de tribulatione. »

Auxilium de tribulatione populo Judæorum fidem ex infidelitate annuntiat. Salutem vero hominis intellige illam quæ ex humana doctrina exspectatur : qualis erat illa doctrina Judæorum : ad placitum enim ipsorum fiebat.

PSALMUS CVIII.

Vers. 1. « In finem psalmus David. »

Necessario præsentem psalmum inscripsit *In finem* : continet enim quæcunque Salvatoris nostri incarnationis fini acciderunt, scilicet ea quæ in ipsa Dominica passione gesta sunt : propter quam etiam D hunc psalmum cecinit. Davidem enim Christi imaginem referre superius diximus.

Vers. 2. « Deus, laudem meam ne tacueris. »

Judam insinuat; de ipso enim maxima pars hujus psalmi scripta est; cujus os prius tanquam peccatoris, deinde vero tanquam dolosi contra Dominum apertum fuisse reperiemus : nam tanquam peccator et iniquus Judæis dixerat : *Quid vultis mihi dare, et ego vobis eum tradam* [94]? tanquam dolosus *Ave Rabbi* ad Jesum dixit, *et osculatus est eum* [95], osculum in signum proditionis donans capientibus eum.

Vers. 3. « Locuti sunt adversum me lingua. »

[92] Joan. I, 27. [93] Ephes. VI, 15. [94] Matth. XXVI, 15. [95] ibid. 49.

Digitized by Google

Cum enim nullum haberent inimicitiæ vel odii argumentum, oderunt tamen ipsum morti tradere volentes : et sermonibus odii circumdederunt, quando in synedrio aulæ Caiaphæ astantes falsos testes concitarunt. Locuti sunt autem adversus ipsum lingua dolosa, quando summus sacerdos surgens dixit ad eum : *Adjuro te per Deum vivum, ut dicas nobis, si tu es Christus Filius Dei* [97]. Non enim ut discerent sed ut blasphemiæ crimen ipsi impengerent istiusmodi sciscitabantur.

A Οὐδεμίαν γὰρ ἔχοντες ἔχθρας ἢ μίσους ὑπόθεσιν, ἐμίσουν ὅμως αὐτὸν θανατῶσαι βουλόμενοι· καὶ λόγοις μίσους ἐκύκλωσαν, ἡνίκα ἐν τῷ συνεδρίῳ τῆς αὐλῆς τοῦ Καϊάφα περιστάντες ἤγειραν ψευδομαρτυρίας. Ἐλάλησαν δὲ κατ' αὐτοῦ γλώσσῃ δολίᾳ, ὅτε ὁ ἀρχιερεὺς ἀναστὰς ἔλεγε πρὸς αὐτόν· *Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ.* Οὐδὲ γὰρ βουλόμενοι μαθεῖν, ἀλλὰ βλασφημίας, ὡς ἐδόκουν, ἔγκλημα πλέξαι, τοιαῦτα ἐπύνθανον.

Vers. 4. « Pro eo ut diligerent me detrahebant mihi. »

« Ἀντὶ τοῦ ἀγαπᾷν με ἐνδιέβαλλόν με. »

Æquum enim erat ut ipsum diligerent, eo quod morbos eorum curasset, esurientes sæpenumero cibasset; verumtamen illa ipsa beneficentiæ pignora quæ exhibuerat ipsimet apud Pilatum traduxerunt.

Δίκαιον γὰρ αὐτὸν ἀγαπᾷν, ὑπὲρ ὧν αὐτῶν τὰς νόσους ἴᾶτο, πεινῶντας πολλάκις ἐθρεψεν· ἀλλ' ἅτινα παρέσχεν εὐεργεσίας ἐνέχυρα αὐτοὶ πρὸς τὸν Πιλᾶτον διέβαλον.

Vers. 6. « Constitue super eum peccatorem. »

« Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν. »

Quemadmodum Deus appellatus est justus, et justitia gaudere perhibetur (*Quoniam justus Dominus, et justitias dilexit* [98]; ita diabolus peccator est, utpote amans peccatum; et non solum ipse peccans, sed etiam peccatum admittentibus ducatum præbens. Hunc vult Judæ præficere, ut ipsi non secus atque dæmonibus imperet; quandoquidem proditor ipsius æque ac illorum partis fuerit.

Ὥσπερ ὁ Θεὸς δίκαιος προσηγόρευται, καὶ χαίρειν δικαιοσύνῃ λέγεται (*Δίκαιος γὰρ Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν*)· οὕτως ἁμαρτωλὸς ὁ διάβολος, ὡς φιλαμαρτήμων· καὶ οὐ μόνον αὐτὸς ἁμαρτάνων, ἀλλὰ καὶ τοῖς ἀνεχομένοις εἰσηγούμενος. Τοῦτον ἐπὶ τὸν Ἰούδαν καταστῆναι βούλεται, ὥστε ἄρχειν αὐτοῦ καθάπερ καὶ τῶν δαιμόνων· ἐπειδὴ τῆς αὐτοῦ μερίδος καθάπερ ἐκείνων ὁ προδότης ἐγίνετο.

« Et diabolus stet a dextris ejus. »

« Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. »

Non solum cum discipulus esset præceptorem prodidit, sed neque affectum pecuniæ prætexere potuit : nam Christus infirmitati ejus condescendens marsupium ipsi concrediderat, ita ut proditor nequaquam pecuniæ penuria laboraret.

Οὐ μόνον μαθητὴς ὢν προέδωκε τὸν διδάσκαλον, ἀλλ' οὐδὲ τῆς φιλαργυρίας προβαλέσθαι τὸ πάθος ἠδύνατο· αὐτῷ γὰρ τὸ γλωσσόκομον ὁ Χριστὸς συγκαταβαίνων αὐτοῦ τῇ ἀσθενείᾳ ἐπίστευσεν, ὥστε οὔτε ἐνδεὴς χρημάτων ὁ προδότης ἐτύγχανε.

Vers. 8. « Fiant dies ejus pauci. »

« Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι. »

Cum enim inauguratus esset ut in sæculum Apostolus foret sicut et cæteri apostoli, pancis diebus usque ad proditionem servavit dignitatem.

Χειροτονηθεὶς γὰρ δι' αἰῶνος ἀπόστολος ὥσπερ καὶ οἱ λοιποὶ ἀπόστολοι, ἡμέρας ὀλίγας τὰς μέχρι τῆς προδοσίας ἐφύλαξε τὸ ἀξίωμα.

Vers. 10. « Nutantes transferantur. »

« Σαλευόμενοι μεταναστήτωσαν. »

A divina enim cognitione nutantes, ab antiqua sua patria Hierosolymis exsules facti sunt; et ubique terrarum mendicant, locum habitationis minime reperientes : quod proprium est mendicorum.

Σαλευθέντες γὰρ ἀπὸ τῆς τοῦ Θεοῦ γνώσεως, μετανάσται τῆς ἀρχαίας Ἱερουσαλὴμ τῆς ἑαυτῶν πατρίδος ἐγένοντο· καὶ πανταχοῦ γῆς ἐπαιτοῦσι, τόπον οὐδαμοῦ κατοικίας εὑρίσκοντες· ὅπερ ἐπαιτῶν ἴδιον.

Vers. 12. « Nec sit qui misereatur. »

« Μηδὲ γενηθήτω οἰκτίρμων. »

Deo enim miseratore ipsos aversante et dicente : *Quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas, et noluisti ? Ecce relinquetur vobis domus vestra deserta* [99]. Quis ipsorum amplius misereri, quis iis compati poterit ?

Θεοῦ γὰρ αὐτοὺς ἀποστραφέντος τοῦ οἰκτίρμονος καὶ εἰπόντος· *Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.* Τίς αὐτοὺς οἰκτείρειν ἔτι, τίς συμπάσχειν ἔμελλεν ;

Vers. 15. « Et dispereat de terra. »

« Καὶ ἐξολοθρευθείη ἐκ γῆς. »

Quali terra ? utique viventium : de qua David ipse dixit : *Credo videre bona Domini in terra viventium* [1].

Ποίας γῆς ; τῆς τῶν ζώντων· περὶ ἧς αὐτὸς ὁ Δαβὶδ ἔλεγε· *Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.*

Vers. 16. « Pro eo quod non est recordatus facere misericordiam. »

« Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος. »

[97] Matth. xxvi, 63 [98] Psal. x, 8. [99] Matth. xxiii, 37. [1] Psal. xxvi, 13

Digitized by Google

Τίνι; δῆλον ὡς ἑαυτῷ· οὐδὲ γὰρ εἰς μετάνοιαν A εἶδεν, ὅθεν ἐλέους τυχεῖν καὶ φιλανθρωπίας ἀπολαῦσαι ἠδύνατο. Ὁ δὲ ἑαυτὸν μὴ ἐλεήσας, πῶς παρὰ τοῦ Κριτοῦ ἐλεηθῆναι δύναται;

« Καὶ κατεδίωξεν ἄνθρωπον πένητα. »

Πένης καὶ πτωχὸς ὁ Κύριος· ἐπειδὴ πλούσιος ὢν, ὑπὲρ ἡμῶν ἐπτώχευσεν· οὐ μόνον δὲ ἐπτώχευσεν, ἀλλὰ καὶ εἰς τοσοῦτον διὰ τὴν τῶν Ἰουδαίων ἀντικοΐαν πένης ἐγένετο, ὥστε λέγειν· *Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.* Ὅπερ ἐστὶ πενίας ὑπερβαλλούσης ἀπόδειξις.

« Καὶ κατανενυγμένον τῇ καρδίᾳ. »

Ὁ δὲ αὐτὸς καὶ τῇ καρδίᾳ δι' ἡμᾶς κατανενυγμέ- B νος· διόπερ ἔλεγε· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.*

« Καὶ ἠγάπησε κατάραν. »

Ποίαν τὴν τοῦ Μονογενοῦς ἤκουσεν, ἡνίκα τὴν προδοσίαν ἐμελέτησε λέγοντος· *Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.*

« Καὶ οὐκ ἠθέλησεν εὐλογίαν. »

Εὐλογίαν τὴν τῶν ἀποστόλων λέγει, ἣν αὐτοῖς ὁ Χριστὸς ἐξεφώνησεν· *Ἀμὴν λέγω ὑμῖν, ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.*

« Καὶ ἐνεδύσατο κατάραν. »

Ταῦτα γὰρ τοῦ ἀνθρώπου τυγχάνει τὰ ἐνδόσθια· C ὥστε καὶ δυνάμεις τῆς ψυχῆς εἶναι τὰ μὲν ἔγκατα τὰς λογικὰς, ἐπειδὴ τὰ ἔγκατα οὐ τὴν αὐτὴν κατέχει τροφὴν, ἀλλὰ καὶ νῦν μὲν δέχεται, νῦν δὲ ἐκβάλλει· ὥσπερ καὶ οἱ λογισμοὶ οὐκ ἐπὶ τῶν αὐτῶν ἑστήκασι· συνεχῶς γὰρ μεταβάλλονται. Τὰ δὲ ὀστᾶ, τὰς πρακτικὰς, ὡς ἰσχυρὰ, νοήσωμεν. Ἐπειδὴ δὲ τὸ μὲν ὕδωρ τοῖς ἐγκάτοις (ὡς ἐν ὑγρότητι τρεφομένοις) κατάλληλον, τὸ δὲ ἔλαιον τοῖς ὀστέοις (σφόδρα γὰρ χαίρει τῇ δι' ἐλαίου ἀλοιφῇ)· εἰκότως τὸ ὕδωρ τοῖς ἐγκάτοις, τὸ ἔλαιον τοῖς ὀστέοις ἀποδέδωκεν, ὡς δεῖξαι ὅτιπερ αὐτῷ τὰ τῆς κατάρας ἥρμοσεν, ὡς κατάλληλον αὐτῇ πονηρίαν μεταδιώξαντι.

« Καὶ σὺ, Κύριε, ποίησον μετ' ἐμοῦ. »

Εἴρηται πολλάκις, ὅτι τῷ προσώπῳ τοῦ Χριστοῦ D ἁρμόττει τὰ ταπεινὰ διὰ τὴν ἀνθρωπότητα· ἀλλὰ καὶ οὕτω τὰ ὑψηλὰ τοῖς ταπεινοῖς συνέζευκται. Εἰπὼν γὰρ, *Ποίησον μετ' ἐμοῦ*, προσέθηκεν *ἕνεκεν τοῦ ὀνόματός σου*, ἕνεκεν τῆς ἐμῆς ἀξίας. Ὄνομα γὰρ τοῦ Πατρὸς ὁ Υἱός· διόπερ καὶ, *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου* λέγεται, ὡς ἴσος αὐτῷ τυγχάνων καὶ ἀπαράλλακτος, καὶ διὰ τοῦτο τοῦ Πατρὸς ἀναλαμβάνων τὸ ὄνομα. Καὶ εἰ οὕτως ἀξίας ἔχεται, τίνος χάριν προσεύχεται; Ὅτι χρηστόν, φησὶ, τὸ ἔλεός σου· ἔλεος πάλιν τοῦ Πατρὸς ἑαυτὸν καλῶν· ἔλεος μὲν ἐπειδὴ διὰ τῆς αὐτοῦ παρουσίας ἠλεήθημεν· ἔλεος δὲ τοῦ Πατρὸς εἰκότως· γνώμῃ γὰρ αὐτοῦ ἡ σωτηρία ἡμῶν πέπρακται. Ἐπειδὴ

Cui? utique manifestum quod sibi ipsi: neque enim ad pœnitentiam respexit, unde misericordiam atque clementiam consequi potuisset. Quem autem sui ipsius non miseret, quomodo a Judice misericordiam consequi possit?

Vers. 17. « Et persecutus est hominem inopem. »

Egenus et inops Dominus; quia cum esset dives, pro nobis egenus factus est: et non solum pauper fuit, verum etiam propter Judæorum contumaciam ad tantam redactus est egestatem, ut diceret: *Vulpes foveas habent et volucres cæli nidos; Filius vero hominis non habet ubi caput reclinet* [3]. Quod signum est extremæ egestatis.

« Et compunctum corde. »

Idem autem propter nos quoque corde compunctus fuit; quapropter dixit: *Tristis est anima mea usque ad mortem* [4].

Vers. 18. « Et dilexit maledictionem. »

Qualem nempe audivit, quando ipsi proditionem meditanti Unigenitus dixit, *Filius quidem hominis traditur: bonum autem erat ei, si natus non fuisset homo ille* [5].

« Et noluit benedictionem. »

Benedictionem intelligit apostolorum, quam Christus ipsis promisit: *Amen dico vobis, quod vos, qui secuti estis me, sedebitis super sedes duodecim, judicantes duodecim tribus Israel* [6].

« Et induit maledictionem. »

Hæc enim hominis interiora sunt; ita ut intestina quidem sint rationales animæ virtutes, quandoquidem intestina non eumdem cibum retinent, sed modo quidem illum suscipiunt, modo vero ejiciunt; sicut etiam cogitationes iisdem rebus minime insistunt, sed assidue mutantur. Ossa vero, utpote quæ firma sint, virtutes practicas intelligemus. Quoniam aqua quidem intestinis (ut quæ humore nutriantur) oleum vero ossibus quadrat (hæc enim olei unctione plurimum gaudent); merito aquam intestinis, oleum vero ossibus attribuit, ad ostendendum ipsi competere exsecrationes, utpote hisce convenientem malitiam consectanti.

Vers. 21. « Et tu, Domine, fac mecum. »

Sæpenumero dictum est, personæ Christi humilia congruere propter humanitatem; verumtamen ut sic etiam sublimia cum humilibus conjuncta sunt. Nam cum dixisset *Fac mecum*, adjunxit *propter nomen tuum*, propter meam dignitatem. Nomen enim Patris est Filius; quapropter etiam dicitur, *Benedictus qui venit in nomine Domini* [7]; utpote ipsi æqualis et incommutabilis exsistens, atque idcirco Patris nomen assumens. Atqui si tantæ dignitatis sit, cur orat? *Quia*, inquit, *suavis est misericordia tua*: rursus semetipsum Patris misericordiam appellans; misericordiam quidem, quia per ejus præsentiam consecuti sumus misericordiam; Patris autem misericordiam, quia nimirum ejus voluntate

[3] Matth. VIII, 20 et Lucæ IX, 58. [4] Matth. XXI, 38. [5] Matth. XXVI, 24. [6] Matth. XIX, 28. [7] Matth. XXIII, 34.

Digitized by Google

salus nostra peracta est. Cum igitur tam benignus sim, ut etiam propter hominum commiserationem homo factus fuerim, fac mecum. Decet enim incarnatum quodammodo orare, et auxilium a Deo postulare, atque humilia assumere, quæ competunt humanitati.

VERS. 22. « Libera me, quia egenus et pauper sum. »

Egestatem suam voluntariam appellat, scilicet humiliationem; paupertatem rursus propriam, Judæorum inobedientiam. Cum enim ipsius figmentum essent propter carnem ex iis assumptam, necessario illorum errorem suam reputat paupertatem.

VERS. 23. « Sicut umbra cum declinat. »

Sole ad occasum vergente, umbra ejus plurimum declinat; ipso autem occumbente, hæc etiam simul abit. Quando igitur malitia redundavit, ita ut genus humanum etiam adversus ipsum Deum, scilicet Christum, manus elevaret, tunc Christus e medio tollitur, et mortem sustinet, ut malitia et peccatum mortificaretur, ut Paulus ait; *Quia vetus homo noster simul crucifixus est*[7], etc.

VERS. 24. « Genua mea infirmata sunt. »

Cum fatigatus ex itinere [8], ut inquit Joannes, sederit Christus, nil mirum, si etiam ex jejunio genua ejus infirmentur: ad carnis enim quam assumpserat probationem humana sustinuit absque peccato [9].

VERS. 25. « Et ego factus sum opprobrium illis. »

Hæc ad litteram accidisse Matthæus tradidit: *Prætereuntes autem blasphemabant eum, moventes capita sua, et dicentes: Vah qui destruis templum Dei, et in triduo illud reædificas, salva temetipsum: Si Filius Dei es, descende de cruce, ut videamus, et credamus* [10].

VERS. 26. « Adjuva me, Domine, Deus meus. »

Nostram opem ac salutem suam reputat, utpote mediator et pontifex noster ad Patrem factus: quapropter Patrem vocat etiam Dominum ac Deum suum: quod nostris etiam personis congruit. Hoc autem mediatoris atque pontificis proprium est, ut assumat personas eorum pro quibus sacrificat et interdit.

VERS. 27. « Et sciant quia munus tua hæc. »

Qualem vero manum dicit? Utique dispensationem crucis ac resurrectionis per manum hoc loco significat. Cum enim magna miracula soleat appellare digitum Dei, et comparatione eorum quæ dicta sunt, cum maximum sit miraculum crucis ac resurrectionis, necessario illud manum ipsam vocat. Hoc utique vult etiam homines agnoscere, ut sciant quoniam ipse fecit eam: id est, quod voluntate et beneplacito ejus facta sit, ut Patris Filiique consentionem discentes, divinæ cognitionis mysterium percipiant.

A τοίνυν οὕτω χρηστός εἰμι, ὥστε καὶ ἄνθρωπος διὰ τὴν πρὸς ἀνθρώπους γενομένην συμπάθειαν, ποίησον μετ' ἐμοῦ. Πρέπει γάρ πως σαρκωθέντι καὶ προσεύχεσθαι, καὶ βοήθειαν αἰτεῖν παρὰ Θεοῦ, καὶ τὰ ταπεινὰ ἀναλαμβάνειν, ὅσα τῇ ἀνθρωπότητι πρέποντα.

« Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμί. »

Πτωχείαν αὐτοῦ τὴν ἑκούσιον προσαγορεύει, δηλονότι ταπείνωσιν· πενίαν πάλιν ἰδίαν, τὴν τῶν Ἰουδαίων παρακοήν. Εἰ γὰρ αὐτοῦ πλάσμα ἦσαν διὰ τὴν ἐξ αὐτῶν ληφθεῖσαν σάρκα, ἀναγκαίως αὐτοῦ πενίαν τὴν ἐκείνων πλάνην λογίζεται.

« Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλίνειν αὐτήν. »

Ἡ τοῦ ἡλίου σκιὰ πρὸς δυσμαῖς αὐτοῦ γεγονότος, ἐπὶ πολὺ κλίνεται· δύναντος δὲ αὐτοῦ, καὶ αὐτὴ συναπέρχεται. Ὅτε τοίνυν ἡ κακία ἐπλεόνασεν, ὥστε καὶ κατ' αὐτοῦ τοῦ Θεοῦ, δηλαδὴ τοῦ Χριστοῦ, χεῖρας ἐπᾶραι τὸ γένος τὸ ἀνθρώπινον, τότε ἀνταναιρεῖται ὁ Χριστὸς, καὶ ὑπομένει θάνατον, ἵνα ἡ κακία καὶ ἡ ἁμαρτία νεκρωθῇ, καθάπερ Παῦλός φησιν *Ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη*, καὶ τὰ ἑξῆς.

« Τὰ γόνατά μου ἠσθένησαν. »

Εἰ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ὡς φησι Ἰωάννης, κάθηται ὁ Χριστὸς, οὐδὲν θαυμαστὸν, καὶ ὑπὸ νηστείας αὐτοῦ ἀσθενῆσαι τὰ γόνατα· εἰς βεβαίωσιν γὰρ τῆς σαρκὸς ἣν ἐσαρκώθη ὑπέμεινε χωρὶς ἁμαρτίας τὰ ἀνθρώπινα.

« Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς. »

Ταῦτα τῇ λέξει γεγονότα Ματθαῖος παραδέδωκεν· *Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Οὐαὶ ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτὸν, σῶσον σεαυτόν· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν.*

« Βοήθησόν μοι, Κύριε, ὁ Θεός μου. »

Ἑαυτοῦ βοήθειαν καὶ σωτηρίαν τὴν ἡμετέραν τίθεται, ὡς μεσίτης ἡμῶν καὶ ἀρχιερεὺς πρὸς τὸν Πατέρα γενόμενος· διόπερ φησὶν ἑαυτοῦ καὶ Κύριον καὶ Θεὸν τὸν Πατέρα· ὃ τοῖς προσώποις ἁρμόττει τοῖς ἡμετέροις. Τοῦτο δὲ μεσίτου καὶ ἀρχιερέως οἰκεῖον ἀναλαμβάνειν, τούτων ὑπὲρ ὧν ἱερουργεῖ καὶ μεσιτεύει τὰ πρόσωπα.

« Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη. »

Ποίαν δὲ χεῖρα λέγει; Δῆλον ὅτι τὴν οἰκονομίαν τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως διὰ τῆς χειρὸς ἐνταῦθα σημαίνει. Ἐπειδὴ γὰρ τὰ μεγάλα τῶν θαυμάτων ἔθος δάκτυλον Θεοῦ προσαγορεύεσθαι, ἀναγκαίως πρὸς σύγκρισιν τῶν εἰρημένων, ἐπειδὴ μέγιστον ὑπῆρχε τὸ θαῦμα τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, χεῖρα αὐτὴν καλεῖ. Ὃ δὴ καὶ γνῶναι τοὺς ἀνθρώπους βούλεται, καὶ ὅτι αὐτὴν ἐποίησε· τοῦτ' ἔστιν, αὐτοῦ γνώμῃ καὶ εὐδοκίᾳ πέπραχται, ἵνα συμφωνίαν Πατρὸς καὶ Υἱοῦ μαθόντες, τὸ τῆς θεογνωσίας παιδευθῶσι μυστήριον.

[7] Rom. VI, 6. [8] Joan. IV, 6. [9] Hebr. IV, 15. [10] Matth. XXVII, 39.

Digitized by Google

« Καταράσονται αὐτοί. »

Κατάραν ἐνταῦθα τὸν σταυρὸν καλεῖ· ἐπειδὴ ἐν τῷ νόμῳ γεγραμμένον ἦν· *Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.* Διόπερ αὐτὸν οὐδὲ ἄλλως ἀναιρεθῆναι, ἀλλὰ διὰ τοῦ σταυροῦ ἐζήτησαν, ὑβρίσαι τῇ κατάρᾳ τῇ γεγραμμένῃ ἐν τῷ νόμῳ βουλόμενοι· ἀλλ' ὅμως ὁ Πατὴρ αὐτὸ εἰς εὐλογίαν ἐξέλαβεν. Οὐδὲ γὰρ ἄλλως εἰ μὴ διὰ σταυροῦ ἀνέχεται προσκυνεῖσθαι, ἢ ὅλως πιστεύεσθαι.

« Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν. »

Αἰσχυνθήτωσαν, φησὶν, οἱ Ἰουδαῖοι, τὸν παρ' αὐτῶν σταυρωθέντα παρὰ πάντων ὁρῶντες προσκυνούμενον. Αὐτὸς δὲ οὐ τοσοῦτον διὰ τὴν τῶν Ἰουδαίων αἰσχύνην, ὅσον διὰ τὴν σωτηρίαν τῆς οἰκουμένης εὐφραίνεται.

« Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν. »

Ἐντροπὴν λέγει τῶν Ἰουδαίων τῶν διαβαλλόντων καὶ βλασφημούντων τὸν Χριστὸν, ὅτι τὸν ἐξ αὐτῶν ὄντα κατὰ σάρκα, καὶ σῶσαι αὐτοὺς ἐλθόντα ἐσταύρωσαν. Ἀλλ' ὅμως ταύτην τὴν ἐντροπὴν ἐνδύονται· οὐδὲ γὰρ ἀρνοῦνται τὸ γεγονὸς, ἀλλὰ καὶ σφόδρα οἰκειοῦνται τοῦ σταυροῦ τὸ τόλμημα. Τὴν γοῦν εἰρημένην αἰσχύνην ὡς διπλοΐδα περιβάλλονται· ἐπὶ γὰρ τῷ τολμήματι τοῦ σταυροῦ, ὅπερ ἱμάτιον κέκληται, ἀρνοῦνται τὸν διὰ τῆς οἰκείας ἐγέρσεως τὴν οἰκουμένην ἐγείραντα. Τοῦτο δὲ αὐτοῖς ὡς αἰσχύνη διπλῆ διπλοΐδος αὐτοῖς εἰκότως περιβόλαιον γίνεται.

« Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου. »

Στόμα τοῦ Χριστοῦ ἡ Ἐκκλησία· ἐπειδὴ καὶ αὐτὸς αὐτῆς κεφαλὴ ἀναγκαίως καθέστηκε· διὰ ταύτης τοίνυν ἐξομολογήσασθαι τῷ Πατρὶ ἐπαγγέλλεται. Τοῦτο γὰρ εἰς σαφήνειαν ἐπήγαγε τὸ ἑπόμενον.

« Ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. »

Οὐκοῦν τὴν ἡμετέραν δοξολογίαν, οἰκείαν ἐξομολόγησιν, τουτέστιν εὐχαριστίαν, ἀναγκαίως κατὰ λόγον ὡς ποιμὴν ποίμνης, καὶ ὡς ἀπαρχὴ φυράματος τίθεται.

« Ὅτι παρέστη ἐκ δεξιῶν πένητος. »

Ἐν γὰρ τοῖς Ἰουδαίοις αὐτὸν διὰ τὴν ἐκείνων ἀπιστίαν πενόμενον πλουτεῖν πεποίηκεν ἐν τοῖς ἔθνεσιν, ἐκ δεξιῶν αὐτοῦ παραστάς· ὅπερ σὺ μὲν δοκεῖς εἶναι ταπεινὸν, ἔστι δὲ σφόδρα ὑψηλὸν, καὶ περὶ μόνου Υἱοῦ ὡς Θεοῦ καὶ ὁμοουσίου δυνάμενον λέγεσθαι. Ὥσπερ γὰρ Υἱὸς οὐ μόνον ἐκ δεξιῶν κάθηται τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ δεξιῶν ἵσταται. (φησὶ γὰρ ὁ Στέφανος· *Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως*)· οὕτω καὶ ὁ Πατὴρ ἐκ δεξιῶν ἵστασθαι λέγεται τοῦ Υἱοῦ, ἵνα μίαν ἡμεῖς ἀξίαν Υἱοῦ καὶ Πατρὸς μάθωμεν.

ΨΑΛΜΟΣ ΡΘ'.

« Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. »

Ἵνα δειχθῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ ἐν πᾶσιν ὁμότιμον, καὶ ὅτι οὐκ αὐτὸς ἑαυτῷ ὁ Υἱὸς ἁρπάζει βασιλείας ἢ θεότητος ἀξίαν (διό φησιν ὁ Παῦλος,

A Vers. 28. « Maledicent illi. »

Maledictum hoc loco appellat crucem; quandoquidem in lege scriptum erat : *Maledictus omnis qui pendet in ligno* [11]. Idcirco ipsum non aliter quam per lignum interimere quærebant, maledicto in lege scripto ipsum affligere volentes : verumtamen Pater illud in benedictionem ordinavit. Neque enim aliter quam per crucem sustinet adorari, vel omnino credi.

« Qui insurgunt adversus me confundantur. »

Confundantur, inquit, Judæi, eum qui ab ipsis crucifixus fuerat ab omnibus adoratum cernentes. Ipse autem non tantum propter Judæorum confusionem, quantum ob totius orbis salutem lætatur.

B Vers. 29. « Induantur qui detrahunt mihi pudore. »

Pudorem ait Judæorum detrahentium et maledicentium Christo, quod nimirum ipsum cruci affixerint, qui ex illis erat secundum carnem, et ad ipsos servandos advenerat. Verumtamen hunc pudorem induunt; non enim factum negant, sed crucis facinus sibi proprium vindicant. Dictum itaque pudorem tanquam diploidem induunt : nam supra facinus crucis, quod vestis nuncupatur, negant illum per propriam resurrectionem universum orbem excitasse. Hoc autem tanquam duplex pudor jure merito ipsis diploidis indumentum exsistit.

Vers. 30. « Confitebor Domino nimis in ore
C meo. »

Os Christi est Ecclesia; quandoquidem ipse quoque necessario ejus caput constitutus est : per hanc igitur Patri confiteri perhibetur. Hoc enim id quod sequitur declaravit.

« In medio multorum laudabo eum. »

Nostram igitur glorificationem, propriam confessionem, id est gratiarum actionem, juxta sermonem hunc necessario ponit tanquam pastor gregis, et tanquam primitiæ conspersionis.

Vers. 31. « Quia astitit a dextris pauperis. »

Ipsum enim inter Judæos ob illorum incredulitatem penuria laborantem abundare fecit inter gentes, a dextris ipsius assistens : quod tu quidem humile esse arbitraris, sed est valde sublime, et de solo
D Filio tanquam Deo et consubstantiali dici potest. Quemadmodum enim Filius non solum sedet a dextris Patris, verum etiam a dextris stat. Ait enim Stephanus : *Ecce video cælos apertos, et Jesum stantem a dextris virtutis.* Sic etiam Pater a dextris Filii stare dicitur, ut nos discamus unam eamdemque esse Patris Filiique dignitatem.

PSALMUS CIX.

Vers. 1. « Dixit Dominus Domino meo. »

Ut Patris Filiique in omnibus æqualitas ostenderetur, et ut non ipse sibi ipsi Filius regni aut divinitatis rapiat dignitatem (propter quod Paulus ait:

[11] Deut. xxi, 23.

Digitized by Google

Non rapinam arbitratus est esse se æqualem Deo [12]), sed Patris de Filii dignitate gaudentis beneplacito æquale cum Patre regnum obtineat. Cæterum cum istud *a dextris* propter ejus ad nos condescensionem dicatur (nam si Deus dextra haberet, haberet et sinistra); hæc autem de individuo et infigurabili omniaque replente opportune dici nequeant; dicantur autem, quia nos modo aliter de Patris Filiique gloria erudiri minime possumus, necessario adjunxit: *Donec ponam inimicos tuos scabellum pedum tuorum.* Id est, Donec præsens hæc vita fuerit consummata. Nam in præsenti vita et Pater subjicit Filio, et Filius subjicit Patri humanitatem. Cum autem præsens hoc sæculum fuerit terminatum, et Deus in omnibus proficientibus omnia factus fuerit, tunc ad perfectam contemplationem et notitiam pervenientes, Patrem in Filio, et Filium in Patre videbimus. Quapropter etiam Dominus dixit se tunc in gloria Patris venturum esse.

A

B

C

Vers. 2. « Virgam virtutis emittet. »

Virga virtutis est Salvator: de quo etiam alibi subjungit: *Reges eos in virga ferrea* [13]. Cum autem virga duplex manus obeat, siquidem et castigat et manu ducit; crux vero nos quoque manu ducat, et dæmones plectat, necessario etiam virga virtutis dicta est, utpote istiusmodi perficiens. Hanc autem unde Christo emisit? Ex Sion inquit. Illic enim semetipsum Unigenitus immolavit: illic passioni initium dedit: illic ab ipso in rememorationem passionis tradita sunt mysteria.

Vers. 3. « Tecum, principium in die virtutis. »

Principatum quidem Christi hoc loco appellat crucem; utpote in qua princeps et rex hujus mundi superatus fuit: diem vero virtutis ejus merito intelligit diem crucis; idque propter signa in ea peracta, ut motum terræ, solis recessum, tenebras ab hora sexta usque ad nonam: deinde quod in ea diabolo debellato obumbratum sit peccatum. In hac igitur die principatum, id est crucem, secum habuit, non solum ut in ea suffixus, verum etiam tanquam illam humeris gestans. Hoc enim clarius exponens Isaias dixit: *Cujus principatus super humerum ejus.*

Vers. 5. « Dominus a dextris tuis. »

Vides illud *Sede a dextris meis* non locum aliquem demonstrare, sed Filii cum Patre unitatem, et secundum omnia æqualitatem. Si enim Filius a dextris sedeat, quomodo rursus Pater dicitur esse a dextris ipsius? Hic in die iræ suæ confringet reges terræ, et principes qui convenerunt in unum adversus Dominum et adversus Christum ejus [14]; Herodem et Pilatum, Annam et Caiapham, et eos qui cum ipsis erant Reges appellans.

[12] Phil. II, 6. [13] Psal. II, 9. [14] Psal. II, 2.

Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' εὐδοκοῦντος τοῦ Πατρὸς καὶ χαίροντος τῇ τοῦ Υἱοῦ ἀξίᾳ τὴν βασιλείαν τὴν ὁμότιμον πρὸς τὸν Πατέρα κέκτηται. Ἐπειδὴ τὸ *ἐκ δεξιῶν* τῆς πρὸς ἡμᾶς ἕνεκα συγκαταβάσεως λέγεται (εἰ γὰρ ἔχει δεξιὰ ὁ Θεός, ἔχει καὶ ἀριστερά)· ταῦτα δὲ ἐπὶ τοῦ ἀμεροῦς καὶ ἀσχηματίστου καὶ πάντα πληροῦντος καιρὸν οὐκ ἔχει λέγεσθαι· λέγεται δὲ, ἐπειδήπερ νῦν ἡμεῖς ἄλλως ἀκούειν καὶ παιδεύεσθαι τὴν περὶ Πατρὸς καὶ Υἱοῦ δοξολογίαν οὐ δυνάμεθα, ἀναγκαίως προσέθηκεν· *Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Τουτέστι, Μέχρις ἂν ὁ παρὼν συντελεσθῇ βίος. Ἐν γὰρ τῷ παρόντι βίῳ καὶ ὁ Πατὴρ ὑποτάττει τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ὑποτάττει τῷ Πατρὶ τὴν ἀνθρωπότητα. Ἐπὰν δὲ οὗτος ὁ αἰὼν συντελεσθῇ, καὶ ὁ Θεὸς πάντα ἐν πᾶσι προκόπτουσι γένηται, τότε εἰς τέλειον θεωρίας ἀνελθόντες καὶ γνώσεως, τὸν Πατέρα ἐν τῷ Υἱῷ, καὶ τὸν Υἱὸν ἐν τῷ Πατρὶ ὀψόμεθα. Διόπερ καὶ τότε ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἥξειν ἑαυτὸν ὁ Κύριος ἔλεγεν.

« Ῥάβδον δυνάμεως ἐξαποστελεῖ. »

Ῥάβδος δυνάμεως; ὁ Σωτήρ· περὶ οὗ καὶ ἀλλαχοῦ ἐπάγει· *Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ.* Ἐπειδὴ δὲ ἡ ῥάβδος διπλῆν ἐνέργειαν κέκτηται· καὶ γὰρ μαστίζει καὶ χειραγωγεῖ· καὶ ὁ σταυρὸς δὲ ἡμᾶς χειραγωγεῖ, καὶ μαστίζει τοὺς δαίμονας· ἀναγκαίως καὶ ῥάβδος δυνάμεως, ὡς τοιαῦτα ἐνεργήσασα εἴρηται. Ταύτην δὲ τῷ Χριστῷ πόθεν ἐξαπέστειλεν; Ἐκ τῆς Σιών, φησίν. Ἐκεῖ γὰρ ἑαυτὸν ὁ Μονογενὴς ἔθυσεν· ἐκεῖ τῷ πάθει δέδωκεν ἀρχήν· ἐκεῖ τὰ παρ' αὐτοῦ πρὸς ἀνάμνησιν τοῦ πάθους παραδοθέντα μυστήρια.

« Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεως. »

Ἀρχὴν μὲν ἐνταῦθα τοῦ Χριστοῦ τὸν σταυρὸν καλεῖ· ὡς ἐν αὐτῷ τῆς οἰκουμένης ἄρχοντος καὶ βασιλεύοντος ἡττηθέντος· ἡμέραν δὲ δυνάμεως αὐτοῦ τὴν ἡμέραν εἰκότως τοῦ σταυροῦ· τοῦτο δὲ διὰ τὰ ἐν αὐτῇ πραχθέντα σημεῖα, τὸν σάλον τῆς γῆς, τὴν ἀναχώρησιν τοῦ ἡλίου, τὸ ἀπὸ ὥρας ἕκτης μέχρις ἐννάτης σκότος· ἔπειτα ὡς ἐν αὐτῇ τῆς ἁμαρτίας σκιασθείσης τοῦ διαβόλου καταγωνισθέντος. Ἐν ταύτῃ τοίνυν τὴν ἀρχὴν, τουτέστι τὸν σταυρὸν, μεθ' ἑαυτοῦ εἶχεν, οὐ μόνον ὡς ἐν αὐτῷ καταπαγείς, ἀλλὰ καὶ ὡς ἐπὶ τῶν ὤμων βαστάσας. Τοῦτο γὰρ σαφέστερον Ἡσαΐας ἐκθέμενος ἔλεγεν· *Οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ.*

« Κύριος ἐκ δεξιῶν σου. »

Ὁρᾷς ὅτι τὸ, *Κάθου ἐκ δεξιῶν μου*, οὐ τόπου τινός ἐστι δηλωτικὸν, ἀλλὰ τῆς πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ ἑνώσεως, καὶ κατὰ πάντα ἰσότητος. Εἰ γὰρ ὁ Υἱὸς ἐκ δεξιῶν καθέζεται, πῶς αὐτοῦ πάλιν ὁ Πατὴρ εἶναι ἐκ τῶν δεξιῶν λέγεται; Ὃς ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ συνθλάσει βασιλεῖς τῆς γῆς, καὶ τοὺς ἄρχοντας οἳ συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· Ἡρῴδην καὶ Πιλάτον, Ἄνναν καὶ Καϊάφαν, καὶ τοὺς σὺν αὐτοῖς βασιλεῖς λέγων.

Digitized by Google

« Κρινεῖ ἐν τοῖς ἔθνεσι. »

Οὐκ εἶπε, Κρινεῖ τὰ ἔθνη, ἀλλὰ, *Κρινεῖ* (τουτέστι κατακρινεῖ) *ἐν τοῖς ἔθνεσι*, δηλαδὴ τὸν διάβολον· περὶ οὗ αὐτὸς ὁ Κύριος μέλλων σταυροῦσθαι τοῖς ἀποστόλοις ἔλεγεν· *Ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.* Κατέκρινε τοίνυν αὐτὸν, ἐλέγξας αὐτοῦ τὴν δύναμιν ἐν τοῖς ἔθνεσι· καὶ ἐπλήρωσε πτώματα τῶν δαιμόνων· σὺν αὐτῷ γὰρ καὶ τὴν αὐτοῦ στρατιὰν καταβέβληκεν. Γενόμενος γὰρ εἰς γῆν διὰ τοῦ ἰκείου θανάτου, καὶ καταργήσας τὸν θάνατον, τῶν νοητῶν δρακόντων τὰς κεφαλὰς συνέθλασεν.

ΨΑΛΜΟΣ ΡΙ'.

« Ἀλληλούϊα. »

Λαμπρὰ μὲν καὶ ἡ τοῦ ψαλμοῦ ἐπιγραφή. Τὸ γὰρ *Ἀλληλούϊα* « Θεοῦ αἶνος » ἑρμηνεύεται. Ἔχει δέ τι καὶ ἄλλο λαμπρότερον, ὅτι κατὰ στοιχεῖα τοῖς ἀνθρώποις τοῖς Ἑβραίοις συγγέγραπται· τοιγαροῦν εἴκοσι καὶ δύο στίχοι τῷ ψαλμῷ, ὅσα Ἑβραῖοι στοιχεῖα, παραδεδώκασιν.

« Ἐξομολογήσομαί σοι, Κύριε. »

Ἵνα μὴ πάντως τὸ μὲν ἡμῶν ἐξομολογῆται, τὸ δὲ ῥέπῃ πρὸς ἁμαρτίαν, ἀφ' ἧς ἐξομολογούμεθα, μηδὲ τὸν ἕνα πόδα τῆς ψυχῆς πρὸς δικαιοσύνην κινήσαντες, τὸν ἕτερον ἐν τῷ βαρβόρῳ τῆς ἁμαρτίας ἐάσωμεν· ὅλην δὲ τὴν καρδίαν αὐτῷ ἀναθῶμεν ὅλης Δημιουργῷ καὶ Ποιητῇ τυγχάνοντι, καὶ δῶρον ἡμιτελὲς οὐκ ἀξιοῦντι δέξασθαι.

« Ἐξομολόγησις καὶ μεγαλοπρέπεια. »

Ἔργον τοῦ Θεοῦ ἡ ἡμετέρα σωτηρία καθέστηκε. Περὶ οὗ ὁ Χριστὸς πρὸς τὸν Πατέρα ἔλεγεν· *Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον τελειώσα ὃ δέδωκάς μοι ἵνα ποιήσω.* Τοῦτο τὸ ἔργον διπλῆν τινα τὴν κατασκευὴν, τὴν μὲν ἀπὸ τῆς ἡμετέρας προθέσεως, τὴν δὲ ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας κέκτηται. Ἡμῶν γὰρ τὸ αἰτῆσαι, αὐτοῦ δὲ τὸ δοῦναι· ἡμῶν τὸ κροῦσαι, αὐτοῦ δὲ τὸ ἀνοῖξαι. Θὐκοῦν ἡ μὲν ἐξομολόγησις ἡμῶν· τῷ γὰρ ἐξομολογεῖσθαι ἀναχώρησιν τῆς πονηρᾶς πολιτείας, ἐπιθυμίαν δὲ τῆς ἀγαθῆς ἐνδεικνύμεθα· ἡ μεγαλοπρέπεια δὲ τοῦ Θεοῦ. Μεγάλῳ γὰρ ὄντι πρέπει τοὺς μικροὺς οἰκτεῖραι, καὶ τοὺς ταπεινοὺς ὑψῶσαι, καὶ τοὺς πλανηθέντας προσδέξασθαι. Ὥστε ἐξ ἑκατέρου τὸ ἔργον τοῦ Θεοῦ, ἀπὸ τῆς αὐτοῦ μεγαλοπρεπείας δηλαδὴ, καὶ τῆς ἐξομολογήσεως τῆς ἡμετέρας γίνεται.

« Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ. »

Ταύτῃ δὴ τῇ ἰσχύϊ θαρρήσαντες οἱ ἀπόστολοι, εἰς πάντα τὰ ἔθνη κηρύττοντες ἐπορεύοντο, καὶ κληρονομίαν τὴν γῆν ὅλην ἐπιστρέψασαν, λόγοις τοῖς αὐτῶν καὶ πόνοις ἐδέξαντο.

« Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. »

Τὴν διὰ τοῦ Σωτῆρος γενομένην, εὐδήλον. Περὶ ἧς καὶ Ζαχαρίας, ἤδη τοῦ Χριστοῦ συλληφθέντος, προφητεύων αὐτοῦ τὴν γέννησιν ἔλεγεν· *Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.*

A Vers. 6. « Judicabit in nationibus. »

Non dixit, Judicabit gentes, sed, *Judicabit* (id est condemnabit) *in gentibus*, scilicet diabolum : de quo ipse Dominus cum cruci affigendus erat apostolis dicebat : *Quia princeps hujus mundi jam judicatus est* [15]. Ipsum itaque condemnavit arguens potentiam ejus in gentibus : et dæmonum ruinas implevit : nam cum ipso exercitum quoque ipsius dejecit. Cum enim in terra esset, per propriam mortem, mortem ipsam delens spiritualium draconum capita confregit.

PSALMUS CX.

« Alleluia. »

Illustris quidem et hæc psalmi inscriptio. Nam vox *Alleluia Dei laus* interpretatur. Habet vero B etiam aliud aliquid illustrius, quod nimirum secundum elementa ab hominibus Hebræis conscriptus sit : siquidem viginti et duos versiculos, quot apud Hebræos litterarum elementa sunt, huic psalmo assignarunt.

Vers. 1. « Confitebor tibi, Domine. »

Ne omnino pars quidem nostra confiteatur, pars vero vergat ad peccatum, dum confitemur, ne unum pedem animæ ad justitiam moventes, alium in cœno peccati relinquamus ; sed totum cor ipsi offeramus qui totius Conditor et Creator est, et munus mutilum non dignatur acceptare.

Vers. 3. « Confessio et magnificentia. »

C Opus Dei erat salus nostra. De quo Christus ad Patrem dicebat : *Ego te clarificavi super terram : opus consummavi quod dedisti mihi ut faciam* [16]. Hoc opus duplicem quamdam compagem habet, unam quidem a nostro proposito, alteram vero a clementia Dei. Nostrum enim est postulare, ipsius autem est dare : nostrum est pulsare, ipsius vero aperire. Itaque confessio quidem nostra est; nam dum confitemur recessum quidem a pravo vivendi instituto, probæ vero vitæ desiderium demonstramus : magnificentia vero Dei est ; revera enim magnum decet parvorum misereri, et humiles exaltare, et errabundos suscipere. Itaque ex utroque Dei opus exsistit, scilicet ex ipsius magnificentia et ex nostra confessione.

D Vers. 6. « Virtutem operum suorum annuntiavit populo. »

Hac utique virtute freti apostoli, ad omnes gentes prædicando profecti sunt, atque universam terram acceperunt in hæreditatem, ipsorum sermonibus laboribusque conversam.

Vers. 9. « Redemptionem misit populo suo. »

Illam nempe quæ per Salvatorem facta est : de qua etiam Zacharias, Christo jampridem concepto, nativitatem ejus vaticinans dixit : *Benedictus Dominus Deus Israel, quia visitavit et fecit redemptionem plebis suæ* [17].

[15] Joan. XVI, 11. [16] Joan. XVII, 4. [17] Lucæ I, 68.

Digitized by Google

« Sanctum et terribile nomen ejus. »

Sanctum quidem, quia unctus nominatur. Ista autem Domini unctio est omnis sanctimoniæ consummatio, de quo Joannes ait : *Et vos unctionem habetis a sancto* [18]. Terribile autem, quia etiam Judex dicitur, ait enim : *Pater non judicat quemquam ; sed omne judicium dedit Filio* [19].

A « Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. »

Ἅγιον μὲν, ὅτι Χριστὸς ὀνομάζεται. Τὸ δὲ τοῦ Κυρίου χρίσμα, πάσης ἐστὶν ἁγιωσύνης πλήρωμα. Περὶ οὗ φησιν Ἰωάννης · *Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου.* Φοβερὸν δὲ, ὅτι καὶ κριτὴς λέγεται. Φησὶ γάρ · *Ὁ Πατὴρ οὐδένα κρίνει · ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ.*

PSALMUS CXI.

ΨΑΛΜΟΣ ΡΙΑ.

Etiam hic psalmus secundum alphabetum elementare conscriptus est. Sed præcedens quidem doxologiæ, hic vero politiæ elementationem continet ; sic ut Hebræi necessario utrique elementa accommodaverint.

Καὶ οὗτος ὁ ψαλμὸς κατὰ στοιχεῖον γέγραπται. Ἀλλ' ὁ μὲν φθάσας, δοξολογίας ἔχει στοιχείωσιν, πολιτείας δὲ οὗτος· ὥσπερ τε ἀναγκαίως ἑκατέρῳ παῖδες Ἑβραίων τὰ στοιχεῖα ἐνήρμοσαν.

Vers. 1. « Beatus vir qui timet Dominum. »

Quia qui Deum timet omnem exercet malorum abstinentiam, non subjicitur mammonæ, amicitiam cum mundo minime amplectitur, judicem quasi sibi præsentem habet. Ac merito beatus invenitur qui Deo gubernante totam vitam suam dirigit.

« Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. »

Ἐπειδὴ τὸν Θεὸν ὁ φοβούμενος πᾶσαν ἀσκεῖ κακῶν ἀποχὴν, οὐχ ὑποτάττεται τῷ μαμμωνᾷ, φιλίαν πρὸς τὸν κόσμον οὐκ ἀσπάζεται, ὡς παρόντα τὸν κριτὴν ἔχει. Καὶ μακάριος εἰκότως ὅλον αὐτοῦ τὸν βίον τοῦ Θεοῦ διοικοῦντος εὑρίσκεται.

Vers. 2. « Potens in terra erit semen ejus. »

Semen justorum sunt hi qui disciplinas eorum suscipiunt, sive secundum carnem proprii sint, sive alieni.

« Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. »

Σπέρμα τῶν δικαίων οἱ τὰς αὐτῶν μαθητείας λαμβάνοντες, κἂν οἰκεῖοί τινες ὦσι τὴν σάρκα, κἂν ἀλλότριοι.

Vers. 4. « Exortum est in tenebris lumen. »

Ad quid autem *rectis* ? Quia qui male agunt oderunt lucem, eo quod ab illa arguantur [20], nec illi oculos suos præstare velint.

« Ἐξανέτειλεν ἐν σκότει φῶς. »

Διὰ τί δὲ τοῖς *εὐθέσιν* ; ἐπειδὴ οἱ τὰ φαῦλα πράττοντες μισοῦσι τὸ φῶς, ὡς ὑπ' αὐτοῦ ἐλεγχόμενοι, καὶ παρέχειν αὐτῷ τοὺς ὀφθαλμοὺς οὐ βούλονται.

Vers. 5. « Suavis vir qui miseretur et commodat. »

Non eum qui simpliciter commodat, sed in miserendo benignum merito Propheta exposuit. Siquidem ille lucri spe, hic vero lege commiserationis commodat tribuitque. Perspicue igitur hoc loco describit pauperum amatorem. Hic Deo fenerator, dum pauperis miseretur [21] ; uti Salomon in Proverbiis ait.

« Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. »

Οὐ τὸν ἁπλῶς κιχρῶντα, ἀλλ' ἐν τῷ οἰκτῳ χρηστὸν εἰκότως ὁ Προφήτης ἐξέθετο. Ὁ μὲν γὰρ ἐλπίδι κέρδους, ὁ δὲ νόμῳ συμπαθείας κιχρᾷ καὶ μεταδίδωσι. Σαφῶς τοίνυν ἐνταῦθα ὑπογράφει τὸν φιλόπτωχον. Οὗτος δανείζει Θεῷ, οἰκτείρων τὸν πτωχόν · ὡς Σολομὼν ἐν Παροιμίαις λέγει.

Vers. 7. « In memoria æterna erit. »

Cum divitum, vel regum, vel aliam quampiam in hac vita dignitatem habentium memoriæ hic sint temporariæ, declaravit non ita esse justorum memorias, sed has æternas exsistere.

« Εἰς μνημόσυνον αἰώνιον ἔσται. »

Ἐπειδὴ τῶν ἐνταῦθα πλουτούντων, ἢ βασιλευόντων, ἢ καὶ ἄλλην κτησαμένων τοῦ βίου περιφάνειαν πρόσκαιροί τινες αἱ μνεῖαι τυγχάνουσιν · ἐδήλωσεν ὅτι τῶν δικαίων οὐχ οὕτως, ἀλλ' αἰώνιοι.

« Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. »

Sive de morte dixeris, sive cognatorum aut liberorum perditione, sive facultatum jactura, nihil, inquit, horum pertimescet. Testabitur hoc Job, qui in omnibus dicebat : *Nudus egressus sum de utero matris meæ, et nudus revertar illuc* [22], etc.

Εἴτε περὶ θανάτου λέγοις, εἴτε συγγενῶν ἢ τέκνων ἀπολῆς, εἴτε χρημάτων ἐκπτώσεως, οὐδὲν, φησὶ, τῶν εἰρημένων φοβηθήσεται. Μαρτυρήσει δὲ Ἰὼβ, ἐπὶ πάσαις εἰπών· *Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι*, καὶ τὰ ἑξῆς.

Vers. 9. « Dispersit, dedit pauperibus. »

Pauperes hoc loco etiam intelliges eos qui divini Verbi penuria laborant, scilicet gentes, quibus apostoli agricolarum instar spiritale verbum disseminarunt. Nihil enim prohibet hoc etiam historice accipere. Eleemosynam insinuat esse sementem ; et idcirco dicit misericordiam dispergi, ut messis collectionem sementi respondentem accipiamus. Nam *qui seminat in benedictionibus, de benedictionibus et*

« Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν. »

Πένητας κἀνταῦθα τοὺς ἐνδεεῖς νοήσεις τοῦ θείου Λόγου, τὰ ἔθνη δηλονότι, οἷς οἱ ἀπόστολοι γεωργῶν δίκην τὸν νοητὸν κατέσπειραν λόγον. Οὐδὲν γὰρ κωλύει καὶ ἱστορικῶς αὐτὸ δέξασθαι. Σπόρον εἶναι τὴν ἐλεημοσύνην αἰνίττεται · καὶ διὰ τοῦτό φησι σκορπίσαι τὸν ἔλεον, ἵνα τὴν συναγωγὴν τοῦ θέρους ἀναλόγως τῷ σπόρῳ δεχώμεθα. *Ὁ γὰρ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.* Ὅστις καὶ

[18] I Joan. II, 20. [19] Joan. V, 22. [20] Joan. III, 20. [21] Prov. XIX, 17. [22] Job I, 21.

Digitized by Google

σκορπίζειν εἰκότως λέγεται, τῆς δεξιᾶς φιλοτίμως προϊεμένης τὸν ἔλεον. Κέρας τῶν δικαίων ἡ εἰς Θεὸν πεποίθησις· ταύτῃ γὰρ ἐπιόντας τοὺς ἐχθροὺς κερατίζομεν. Τοῦτο καὶ νῦν μέν ἐστιν ὑψηλόν, ἀλλὰ τοὺς πολλοὺς λέληθεν. Ὑψοῦται τοίνυν ἐν δόξῃ, κατὰ τὸν αἰῶνα δηλονότι τὸν μέλλοντα πῶς ἔχει μεγέθους καὶ δόξης φανερούμενον.

« Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται. »

Βρύχει τοὺς ὀδόντας ὁ διάβολος· αὐτοῦ γὰρ τὸ βρύχεσθαι ἴδιον, ὡς ἀνημέρου λέοντος· ἀλλὰ καὶ οὗτος τακήσεται τῷ πυρὶ τῆς γεέννης, ὑφ' ὃν ἀπεκληρώθη τηκόμενος. *Ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων*, ὡς ὁ Κύριος ἔλεγε.

ΨΑΛΜΟΣ ΡΙΒ'.

« Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη, ὁ Κύριος. »

Κἂν γὰρ ἐνταῦθα δοξάζηται, ἀλλ' εἰς τὸν οὐρανὸν ἡ δόξα τρέχει, ἔνθα τὸ ἀχειροποίητον θυσιαστήριον κέκτηται, ἔνθα διηνεκῶς αὐτὸν αἱ στρατιαὶ τῶν ἀγγέλων δοξάζουσιν· ὧν εἰς μίμησιν ἡμεῖς δοξολογίαν ἐμάθομεν.

« Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; »

Ἐν ὑψηλοῖς ὁ Θεὸς κατοικεῖ, οὐ μόνον διὰ τὸν οὐρανὸν ὡς ὑψηλὸν ὄντα, καὶ αὐτοῦ οἰκητήριον λεγόμενον, ἀλλ' ἐπειδὴ τοῖς ἁγίοις ἐνοικεῖ. Ὑψηλοὶ δὲ οὗτοι, διὰ τὸ μηδὲν γήϊνον μεταδιώκειν τυγχάνουσι· περὶ ὧν Ἡσαΐας φησίν· *Ἅγιος Κύριος ὁ ἐν ὑψηλοῖς κατοικῶν*· ὑψηλοὺς τοὺς ἁγίους εἰπών.

« Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ. »

Στεῖραν εἴτε τὴν φύσιν ὅλην, εἴτε τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν λέγοις, ἑφ' ἑκατέρας ἁρμόσει τὸ λεγόμενον· διὰ γὰρ τὴν εἰδωλολατρίαν ἐστείρωντο. Ταύτην τοίνυν ἔξω ῥεμβομένην εἰς τὸν οἶκον τὸν ἑαυτοῦ τὸν νόμον ἐξήγαγε, καὶ μητέρα τέκνων τῶν υἱοθετηθέντων τῷ Θεῷ εὐφραινομένην ἔδειξεν· ἧς οὕτως σαφῶς τὸ πρόσωπον ὁ Ἡσαΐας ἐξήγαγεν· *Ἐρεῖς γάρ*, φησὶν, *ἐν τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ ἄτεκνος, καὶ χήρα πάροικος καὶ ἐγκεκλεισμένη. Καὶ τούτους τίς ἐξέτρεψέ μοι; Ἐγὼ δὲ κατελείφθην μόνη· οὗτοι δέ μοι ποῦ ἦσαν;*

ΨΑΛΜΟΣ ΡΙΓ'.

« Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν. »

Ταῦτα μὲν ἴσως κατὰ τὸ αἰσθητὸν ἐπὶ τῆς ἐξόδου τοῦ λαοῦ τῶν Ἰουδαίων ἐγένετο, καίτοι οὐδὲ φυγοῦσαν ἐκεῖ τὴν θάλασσαν, ἀλλὰ γὰρ διαιρεθεῖσαν ἔγνωμεν. Εἰ δὲ καὶ ταῦτα γεγένηται, ἀλλ' οὐκέτι τὰ ἑπόμενα. Πότε γὰρ ὄρη ὑψωθέντα παρ' αὐτοῖς ἢ βουνοὺς ἠκούσαμεν; ὥστε δῆλον, ὅτι καὶ ἅπερ αὐτοῖς συνέβαινε θαύματα, μερικὰ μὲν ἦν, εἰς ἐκτύπωσιν δὲ τῶν ἡμετέρων συνέβαινε. Θάλασσαν γὰρ τὴν πονηρὰν τοῦ βίου πολιτείαν, ὡς ἄστατον, ναυάγιά τε ποιοῦσαν καὶ χειμῶνα τοῖς ἐν αὐτῇ προσήκει νομίζεσθαι· Ἰορδάνην δέ γε τὴν χάριν τοῦ βαπτίσματος. Φεύγει τοίνυν ἡ τοῦ βίου θάλασσα τὸν ἐξομολογούμενον, ἁλμυρά τις οὖσα, καὶ μὴ δυναμένη πρὸς

A *metet* [23]. Qui etiam merito dicitur dispergere, cum ejus dextera liberaliter misericordiam porrigat. Cornu justorum est fiducia in Deum : hac enim insurgentes hostes cornu ventilamus. Illud quidem etiamnum sublime est, sed plurimos latet. Exaltatur igitur in gloria, quando nimirum in futuro sæculo quantæ magnitudinis gloriæque fuerit manifestabitur.

Vers. 10. « Peccator videbit, et irascetur. »

Diabolus fremit dentibus : ipsius enim proprium est fremere, utpote leonis truculenti : verumtamen ipse etiam colliquescet igne gehennæ; cui deputatus est tabescens. *Ubi erit stridor dentium* [24], ut Dominus ait.

B

PSALMUS CXII.

Vers. 4. « Excelsus super omnes gentes Dominus. »

Etsi enim hic glorificetur, attamen in cœlum gloria tendit, ubi habet altare non manu factum, in quo exercitus angelorum perpetuo ipsum glorificant; ad quorum imitationem nos glorificare didicimus.

Vers. 5. « Quis sicut Dominus Deus noster? »

In excelsis Deus habitat, non solum propter cœlum quod excelsum est, ejusque habitaculum nuncupatur, sed quia in sanctis habitat. Hi autem etiam excelsi sunt, eo quod nihil terrenum consectentur : de quibus Isaias ait : *Sanctus Dominus qui in excelsis habitat* [25-27], excelsos appellans sanctos.

C Vers. 9. « Qui habitare facit sterilem in domo. »

Sive naturam universam, sive Ecclesiam ex gentibus sterilem dixeris, utrique quadrabit id quod dictum est, quoniam per idololatriam steriles evaserant. Illam enim foris vagantem in domum suam, scilicet legem introduxit, et matrem filiorum a Deo adoptatorum lætantem demonstravit : cujus personam hoc modo clare introduxit Isaias : *Dices* enim, inquit, *in corde tuo : Quis genuit mihi istos? Ego autem absque liberis, et vidua transmigrata et captiva. Et istos quis enutrivit mihi? Ego autem derelicta sum sola; et isti mihi ubi erant* [28]?

PSALMUS CXIII.

Vers. 3. « Mare vidit, et fugit. »

D Hæc forte quidem secundum sensum in exitu populi Judæorum contigerunt, licet illic mare non fugisse, sed diffissum fuisse cognoverimus. Verum ut ista etiam contigerint, nequaquam tamen sequentia. Ubi enim apud ipsos montes vel colles exaltatos fuisse intelleximus? unde manifestum fit, illa miracula quæ ipsis evenerunt, particularia quidem fuisse, sed ad nostratia exprimenda contigisse. Mare enim existimandum est pravum vivendi institutum, utpote inconstans, naufragiaque ac tempestates in eo versantibus excitans; Jordanem vero esse gratiam baptismatis. Hujus igitur vitæ mare fugit eum qui confitetur, cum sit salsum,

[23] II Cor. IX, 6. [24] Matth. VIII, 12. [25-27] Isaiæ LVII, 15. [28] Isa XLIX, 21.

Digitized by Google

et non possit cum illo commisceri qui semel deseruit salsuginem peccatorum. Jordanis autem non fugit, sed confitentibus retrorsum vertitur, dum ad pœnitentiæ lacrymas convertuntur ; quandoquidem in virtute baptismatis pœnitentia operetur, et nullum fructum pœnitentiæ percipere quis possit, nisi prius fuerit baptizatus, vel saltem sub idem tempus pœnitentiæ baptizetur. Quapropter lex omnem sordium liberationem per aquam præstabat. Sed et Joannes cum pœnitentiam prædicaret, simul eum pœnitentia baptismum subinferebat.

A τὸν ἅπαξ ἀναχωρήσαντα τῆς τῶν ἁμαρτημάτων ἅλμης ἐγκαταμίγνυσθαι. Ὁ Ἰορδάνης δὲ οὐ φεύγει, ἀλλ' εἰς τὸ ὀπίσω τοῖς ἐξομολογουμένοις στρέφεται, εἰς τὸ τῆς μετανοίας μεταβαλλομένοις δάκρυον· ἐπειδὴ τῇ δυνάμει τοῦ βαπτίσματος ἐνεργεῖται ἡ μετάνοια, καὶ οὐδὲν ὠφεληθείη τις μετανοῶν, εἰ μὴ τύχοι πρότερον βαπτισθείς, ἢ καὶ κατ' αὐτὸν τὸν καιρὸν τῆς μετανοίας βαπτιζόμενος. Διόπερ ὁ νόμος πᾶσαν μολυσμῶν ἀπαλλαγὴν δι' ὕδατος ἔπραττεν.

Vers. 4. « Montes exsultaverunt sicut arietes. »

Prophetæ namque omnes gaudent cernentes conversionem confitentis : quorum alii quidem dicuntur montes et arietes, utpote majoris gratiæ participes ; alii vero colles et agni, ut minorem quidem, sed ejusdem tamen generis gratiam cum majoribus participantes.

Ἀλλὰ μὴν καὶ Ἰωάννης μετάνοιαν κηρύξας, ἐπέφερε τῇ μετανοίᾳ τὸ βάπτισμα.

« Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί. »

Χαίρουσι γὰρ προφῆται πάντες τοῦ ἐξομολογουμένου τὴν ἐπιστροφὴν βλέποντες· ὧν οἱ μὲν ὄρη καὶ κριοί, ὡς μείζονος χάριτος μεταλαβόντες· οἱ δὲ βουνοὶ καὶ ἀρνία, ὡς ἐλάττονος μέν, ἀλλὰ συγγενοῦς τοῖς μεγάλοις μετεσχηκότες λέγονται.

Vers. 5. « Quid est tibi, mare, quod fugisti? »

Propheta admiratur in spiritu prævidens mysteria quæ in cruce contigerunt, eorum quidem prophetas gaudere et exsultare, qui prius humanam sortem defleverant, et idcirco lamentationibus suum vaticinium repleverant ; Jordanem vero retrorsum esse conversum, ut pœnitentiæ lacrymas suppediteret. Ad quid autem retrorsum vertitur? Quia nimirum is qui peccaverat retro recurrit, priorem cursum deserens.

« Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες ; »

Θαυμάζει προθεωρῶν ὁ Προφήτης τῷ πνεύματι τὰ ἐπὶ τοῦ σταυροῦ γεγονότα μυστήρια, χαίροντας μὲν τοὺς προφήτας ὁρῶν καὶ σκιρτῶντας, οἵτινες ἐπένθουν ἀνθρωπότητα πρότερον, καὶ τῶν ἐκ' αὐτοῖς θρήνων τὴν προφητείαν ἐπλήρωσαν· τὸν Ἰορδάνην δὲ εἰς τὰ ὀπίσω στρεφόμενον, ἵνα χορηγήσῃ τῇ μετανοίᾳ δάκρυον. Διὰ τί δὲ εἰς τὰ ὀπίσω στρέφεται ; Ἐπειδὴ ὁ ἡμαρτηκὼς εἰς τὰ ὀπίσω τρέχει, τὸν δρόμον καταλιπὼν τὸν ἔμπροσθεν.

Vers. 7. « A facie Domini mota est terra. »

Hic iterum commotionem, consternationem et miraculum exstasin appellat, ut rerum gestarum magnitudinem ostenderet. Deinde demonstrans quanta sit viri unius virtus, a servo (Jacob, inquam) Dominum nuncupavit. Christus semetipsum in stagna fontesque aquarum immutavit : lancea enim latus aperiens [28*], ex eo stagna baptismatis atque insaper mysterii fontes eduxit : quoniam aqua et sanguis, hic quidem symbolum mysterii, illa vero character baptismatis, effluxit.

« Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ. »

Ἐνταῦθα πάλιν σάλον τὴν ἔκπληξιν λέγει, καὶ τὸ θαῦμα τὴν ἔκστασιν, ὥστε δεῖξαι τὸ μέγεθος τῶν γεγενημένων. Εἶτα δεικνὺς ὅσον ἐστὶν ἑνὸς ἀνδρὸς ἀρετὴ, ἀπὸ τοῦ δούλου, φησὶ, τοῦ Ἰακώβ, τὸν Δεσπότην ἐκάλεσε. Εἰς λίμνας ἑαυτὸν καὶ εἰς πηγὰς ὑδάτων μετέβαλεν ὁ Χριστός· ἀνοίξας γὰρ τῇ λόγχῃ τὴν πλευρὰν, ἐξήγαγεν ἐξ ἑαυτοῦ τὰς λίμνας τοῦ βαπτίσματος, ἔτι δὲ καὶ τὰς τοῦ μυστηρίου πηγάς· ἐπειδὴ ὕδωρ καὶ αἷμα, τὸ μὲν συμβολον τοῦ μυστηρίου, τὸ δὲ χαρακτὴρ τοῦ βαπτίσματος, ἔῤῥευσεν.

Vers. 9. « Non nobis, Domine, non nobis. »

Super misericordia tua, inquit, id est in Christo. Quod enim veritas sit ipsemet ait : *Ego sum via, et veritas, et vita* [29]. Quod vera misericordia, sic cecinit Psalmista : *Ostende, nobis, Domine, misericordiam tuam* [30]. Gloriam igitur sibi ipsi dedit in incarnatione Unigeniti, cum per ipsum glorificatus et manifestatus sit. Hoc est enim quod in Evangeliis Dominus dixit : *Pater, clarifica nomen tuum super terram* [31]. Quomodo autem clarificavit? utique nos servando.

« Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν. »

Ἐπὶ τῷ ἐλέει σου, φησὶ· τουτέστιν ἐπὶ τῷ Χριστῷ. Ὅτι μὲν γάρ ἐστι καὶ ἀλήθεια, αὐτός φησιν· Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. Ὅτι δὲ ἔλεος, οὕτως ὁ Ψαλμῳδὸς ἐψαλλεν· Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου. Δόξαν τοίνυν ἑαυτῷ ἐπὶ τῇ σαρκώσει τοῦ Μονογενοῦς ἔδωκε, δοξασθεὶς δι' αὐτοῦ καὶ ἐμφανερωθείς. Τοῦτο γὰρ ἐν Εὐαγγελίοις ὁ Κύριος ἔλεγε· Πάτερ, δόξασόν σου τὸ ὄνομα ἐπὶ τῆς γῆς. Πῶς δὲ ἐδόξασεν; Ἡμᾶς σώσας.

Vers. 11. « Deus autem noster in cœlo. »

Est autem in cœlo et in terra non solum ut omnia implens, verum etiam tanquam in terra per carnem natus, non simplici autem ratione, sed dæmones subjiciens; creaturam vere ingemiscentem liberans, suam gloriam manifestans, et ante hæc

« Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ. »

Ἔστι δὲ ἐν τῷ οὐρανῷ καὶ τῇ γῇ οὐ μόνον ὡς πάντα πληρῶν, ἀλλὰ καὶ ὡς ἐν τῇ γῇ διὰ σαρκὸς γενόμενος, οὐχ ἁπλῶς δὲ, ἀλλ' ὑποτάξας τοὺς δαίμονας· ἐλευθερώσας δὲ τὴν κτίσιν στενάζουσαν, τὴν ἑαυτοῦ δόξαν φανερώσας, καὶ πρό γε τούτων διασώ-

[28*] Joan. XIX, 34. [29] Joan. XIV, 6. [30] Psal. LXXXIV, 8. [31] Joan. XI, 28.

Digitized by Google

σας τὸν ἄνθρωπον. Τοῦτο γὰρ ὑπὲρ πάντας ὡς φιλάνθρωπος βούλεται.

« Κύριος μνησθείς ἡμῶν. »

Πότε γὰρ ὁ Θεὸς λήθην ἀνθρώπων ἐδέξατο; Ἀλλὰ τοῦτό ἐστιν ὃ διὰ τῶν εἰρημένων αἰνίττεται. Ἐπειδὴ γὰρ ὑπὸ κατάραν ὄντες, οὐκ ἄλλως αὐτῆς ἀπολυθῆναι καὶ λαβεῖν εὐλογίαν ἠδυνάμεθα, εἰ μὴ Χριστὸς ἐπὶ ξύλου κρεμασθεὶς τὴν κατάραν τὴν ἡμετέραν ἐβάστασεν, εἰκότως μνησθῆναι τὸν Κύριον πρότερον, καὶ οὕτως ἡμᾶς εὐλογῆσαί φησι.

« Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ. »

Θεωρεῖς ὅπως τὴν δημιουργίαν ὁ Ποιητὴς πρὸς ἡμᾶς μερίζεται· καὶ ὥσπερ αὐτὸς ἀόρατος ὢν ἔχει τὸν οὐρανὸν τοῦ οὐρανοῦ τὸν ἀόρατον, οὕτως ἡμῖν τὴν κτίσιν τὴν ὁρατὴν ἀπένειμεν.

ΨΑΛΜΟΣ ΡΙΑ'.

« Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος. »

Ὁ πάλαι φοβούμενος τὸν Κύριον, ἤδη προκόψας ἀπὸ τοῦ φόβου, καὶ μεταβὰς ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ, εἶποι ἂν, *Ἠγάπησα*· τίνα δὲ, ἢ δηλαδὴ Κύριον τὸν Θεὸν ἐξ ὅλης καρδίας, καὶ δυνάμεως, καὶ ψυχῆς, ὥστε ἕνεκεν αὐτοῦ καὶ μέχρι θανάτου ἀγωνίζεσθαι ὑπὲρ ἀληθείας, πάντα τε ὑπομεῖναι πειρασμὸν, καὶ πάντα κίνδυνον ὑποστῆναι προθύμως διὰ τὴν πρὸς Θεὸν ἀγάπην;

« Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. »

Τουτέστι, Παντὶ τῷ χρόνῳ τῆς ζωῆς μου ἐπεκαλεσάμην· ἐν ταῖς ἡμέραις μου ὑπὸ τοῦ Ἡλίου τῆς δικαιοσύνης γενομέναις, ἀεὶ πεφωτισμένος ὢν, ἐπεκαλεσάμην.

« Θλῖψιν καὶ ὀδύνην εὗρον. »

Θλῖψιν καὶ ὀδύνην ἐκάλεσε τὴν μετάνοιαν· θλῖψιν μὲν, ὡς ἀνάμνησιν τῆς ἁμαρτίας ἔχουσαν· ὀδύνην δὲ, ἕνεκα τῶν πόνων μεθ' ὧν κατορθοῦσθαι, σάκκου, τυχὸν, καὶ σποδοῦ καὶ ἀγρυπνίας, πέφυκε. Ταύτην εὑρὼν, τουτέστιν, ἐπιδραμὼν αὐτῇ, τὸ ὄνομα Κυρίου εἰκότως ἐπεκαλεῖτο. Εὐχὴ γὰρ, τῆς μετανοίας ὑπόστασις.

« Φυλάσσων τὰ νήπια ὁ Κύριος. »

Οὐκ εἶπεν, Ὅτι οὐκ εἴασεν εἰς κινδύνους ἐμπεσεῖν, ἀλλὰ, μετὰ τὸ ἐμπεσεῖν, διέσωσεν.

ΨΑΛΜΟΣ ΡΙΕ'.

« Ποτήριον σωτηρίου λήψομαι. »

Σωτηρίου γὰρ ὄντως ἐστὶ ποτήριον, τὸ ὑμνολογεῖν τὸν τῶν ὅλων Σωτῆρα Θεόν. Τούτῳ Θεὸς ἐφήδεται, τοῦτο δέχεται παρ' ἡμῶν τὸ θυμίαμα. Ὡς γὰρ αὐτὸς ἔφη Χριστός· *Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.*

« Σοὶ θύσω θυσίαν αἰνέσεως. »

Ἐπειδὴ τὰς τῶν ἀλόγων θυσίας ὁ Χριστὸς ἐνδημήσας κατέπαυσε, τὴν λογικὴν δὲ αὐτὸς ὡς Λόγος εἰσήγαγεν· εἰκότως τὴν δι' αἰνέσεως προσφέρειν ὁ Προφήτης ὑπέσχετο, προσφέρειν δὲ αὐτὴν ἐν ὀνόματι Κυρίου, δηλαδὴ ἐν τῷ Χριστῷ. Ἐπειδὴ καὶ οὕτω προσεύχεσθαι τοῖς ἀποστόλοις ἐντέλλεται· *Ἐάν τι αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.*

[33] Joan. IV, 24. [33] Joan. XVI, 23.

hominem servans. Hoc enim tanquam hominis amator vult super omnia. A

Vers. 20. « Dominus memor fuit nostri. »

Quando enim Deus hominum oblitus fuit? Sed hoc est quod per dicta innuitur. Quandoquidem enim sub maledicto exsistentes, haud aliter ab illo absolvi et benedictionem recipere poteramus, nisi Christus in ligno suspensus maledictum nostrum abstulisset, merito dicit Dominum prius nostri meminisse, atque ita demum nobis benedixisse.

Vers. 25. « Cœlum cœli Domino. »

Vides quomodo rerum Auctor propter nos creaturam partiatur: et sicut ipse inaspectabilis exsistens habet cœlum cœli inaspectabile, sic nobis creaturam visibilem distribuit.

PSALMUS CXIV. B

Vers. 1. « Dilexi, quoniam exaudiet Dominus. »

Qui olim Dominum timuerat, ubi jam a timore profecerit, et ad dilectionem Dei transierit, recte dixerit *Dilexi*: quem autem, nisi scilicet Dominum Deum ex toto corde, ac virtute atque anima, ut propter ipsum etiam ad mortem usque decertet pro veritate, omnemque sustineat tentationem, et omne periculum alacri animo subeat per amorem erga Deum.

Vers. 2. « Et in diebus meis invocabo. »

Id est, Omni tempore vitæ meæ invocabam: in diebus meis sub Sole justitiæ transactis, cum semper illuminarer, invocavi.

C

Vers. 3. « Tribulationem et dolorem inveni. »

Tribulationem et dolorem appellavit pœnitentiam: tribulationem quidem, utpote quæ habeat peccati recordationem; dolorem vero propter labores quibus peragi solet, verbi gratia, sacco et cinere atque vigilia. Hanc qui reperit, id est, qui ad eam accurrit, nomen Domini jure merito invocet. Oratio enim est substantia pœnitentiæ.

Vers. 6. « Custodiens parvulos Dominus. »

Non dixit, Quia non permisit in pericula incidere, sed postquam in ea incideram, servavit.

PSALMUS CXV.

Vers. 4. « Calicem salutaris accipiam. »

Nam calix revera salutaris est, hymnis celebrare Deum salvatorem universorum. Isto Deus delectatur, istud incensum a nobis accipit. Quemadmodum enim ipsemet Christus dicebat: *Spiritus est Deus: et eos qui adorant eum, in spiritu et veritate oportet adorare* [32]. D

Vers. 17. « Tibi sacrificabo hostiam laudis. »

Quandoquidem brutorum sacrificia Christus huc adveniens aboleverat, ipse vero tanquam Verbum rationale sacrificium induxerat; jure merito Propheta promisit se hostiam laudis oblaturum, idque in nomine Domini, scilicet in Christo. Quoniam sic etiam apostolis intimatur ut orent: *Si quid petieritis Patrem in nomine meo, dabit vobis* [33].

Digitized by Google

PSALMUS CXVI.

VERS. 2. « Quoniam confirmata est misericordia ejus. »

Misericordia scilicet super nos confirmata simul cum veritate perennante. Frequenter autem hæc nomina, *misericordia ejus et veritas*, de Salvatore dicuntur: uti etiam in isto: *Misit Deus misericordiam suam et veritatem suam, et eripuit animam meam de medio catulorum leonum* [34]. Hæc nempe veritas erat etiam *expectatio gentium* [35]; quapropter etiam humano generi illucescens, omnes gentes omnesque populos ad laudem invitat, docens gratias referre Patri qui confirmavit misericordiam suam, et permanere fecit veritatem usque in sæculum.

PSALMUS CXVII.

VERS. 1. « Confitemini Domino quoniam bonus. »

David assidue canit confessionem, sciens hoc maximum esse præsidium peccatoribus, et vulnerum animæ medicinam.

VERS. 10. « Omnes gentes circumdederunt me. »

Et quomodo unum omnes gentes circumdent? Sed omnes gentes appellavit diversas hominum vitas, quandoquidem gentibus sint vivendi genera diversa, quibus et ab invicem distinguuntur. Justum igitur etiam mali circumdant, ut avari, et invidi, et superbi, et hypocritæ, communem inimicum ipsum reputantes, propter reprehensionem quam ex ipsius proba vita sustinent: verumtamen hic se de turba illa vindicat per nomen Dei. Nomen autem ipsi Christus, quod ad omnes insidias vindicandas satis est: illud enim et armatura, et scutum et custodia est illi qui gerit ipsum.

VERS. 13. « Impulsus eversus sum ut caderem. »

Impellunt nos in peccatum cogitationes quæcumque vergunt ad voluptates, et a firma legis statione avertentes, expeditos nos reddunt ut a dæmonibus dejiciamur. Verum si sobrii vigilantesque fuerimus, habebimus Deum protectorem: ipse enim et animam nostram confirmare eamque dejicere volentes persequi potest.

VERS. 15. « Vox exsultationis et salutis. »

Quando enim Deus universum consummaverit, hi qui victoria fruuntur gaudent, exsultant, duplici lætitia affecti, et quod servati sint, et quod per Deum servati. Lætitiæ causa est is qui trophæum erexit. Deinde ostendens quidnam eum impulerit ad hoc auxilium ferendum subjunxit, *In tabernaculis justorum*. Non dixit in domibus, sed in tabernaculis, volens ostendere extemporalem eorum habitationem.

VERS. 16. « Dextra Domini fecit virtutem. »

Hoc est maxime vita ipsum laudare, et omnibus annuntiare miracula ejus. Quæ opera, dic mihi? Hæc quæ enarraturus est

VERS. 20. « Hæc porta Domini. »

Portæ olim erant lex et prophetæ, per quas

[34] Psal. LVI, 5. [35] Gen. XLIX, 10.

A

ΨΑΛΜΟΣ ΡΙΣ'.

« Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ. »

Συνδιαιωνίζοντος δηλαδὴ τῇ ἀληθείᾳ τοῦ κραταιωθέντος ἐφ' ἡμᾶς ἐλέους. Πολλαχοῦ δὲ τὰ ὀνόματα ταῦτα, *τὸ ἔλεος αὐτοῦ καὶ ἡ ἀλήθεια*, ἐπὶ τοῦ Σωτῆρος λέγεται· ὥσπερ καὶ ἐν τῷ· *Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.* Αὕτη τοίνυν ἡ ἀλήθεια καὶ *προσδοκία τῶν ἐθνῶν* ἦν· διὸ καὶ ἐπιλάμψασα τῷ τῶν ἀνθρώπων γένει, εἰς αἶνον πάντα τὰ ἔθνη καὶ πάντας τοὺς λαοὺς καλεῖ, εὐχαριστεῖν διδάσκουσα τῷ Πατρὶ τῷ κραταιώσαντι τὸ ἔλεος αὐτοῦ, καὶ μένειν ποιήσαντι τὴν ἀλήθειαν ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΡΙΖ'.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός. »

Συνεχῶς ᾄδει τὴν ἐξομολόγησιν ὁ Δαβίδ, εἰδὼς ὅτι τοῦτο μέγιστον τοῖς ἁμαρτωλοῖς εἰς βοήθειαν, καὶ τραυμάτων τῶν κατὰ ψυχὴν φάρμακον.

« Πάντα τὰ ἔθνη ἐκύκλωσάν με. »

Καὶ πῶς τὸν ἕνα πάντα κυκλοῖ τὰ ἔθνη; ἀλλὰ πάντα ἔθνη τοὺς διαφόρους βίους τῶν ἀνθρώπων ἐκάλεσεν, ἐπειδὴ διάφοροι βίοι τοῖς ἔθνεσιν, ὅθεν δὴ καὶ ἀπ' ἀλλήλων μερίζονται. Τὸν δίκαιον τοίνυν καὶ οἱ πονηροὶ κυκλοῦσι, καὶ οἱ φιλάργυροι, καὶ οἱ βάσκανοι, καὶ ὑπερήφανοι, καὶ ὑποκριταί, κοινὸν ἐχθρὸν τὸν διὰ τὸν ἔλεγχον, τὸν ἐκ τῆς ἐκείνου εὐζωΐας, νομίζοντες· ἀλλ' οὗτος τοῦτο τὸ πλῆθος ἀμύνεται τῷ ὀνόματι τοῦ Θεοῦ. Ὄνομα δὲ αὐτῷ ὁ Χριστός, ὅπερ εἰς ἄμυναν πάσης ἐπιβουλῆς ἀρκεῖ· αὐτὸ γὰρ ὅπλον καὶ ἀσπὶς καὶ φρούριον τοῦ φοροῦντος αὐτὸ γίνεται.

« Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν. »

Ὠθοῦσιν ἡμᾶς εἰς ἁμαρτίαν ὅσοι τῶν λογισμῶν πρὸς τὰς ἡδονὰς ῥέπουσι, καὶ ἀπὸ τῆς ἑδραίας τῆς ἐν τῷ νόμῳ στάσεως ἀνατρέψαντες, εὐχερεῖς εἰς τὸ καταβληθῆναι παρὰ δαιμόνων ἐργάζονται. Ἀλλ' ἐὰν νήψωμεν, ἕξομεν τὸν Θεὸν εἰς ἀντίληψιν· οὗτος γὰρ ἡμῶν καὶ τὴν ψυχὴν στηρίξαι, καὶ τοὺς ἐθέλοντας καταβαλεῖν, ἀποδιῶξαι δύναται.

« Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας. »

Ὅταν γὰρ Θεὸς κατορθώσῃ τὸ πᾶν, οἱ τῆς νίκης ἀπολαύοντες χαίρουσι, σκιρτῶσι, διπλῇ γαννύμενοι, καὶ τοῦ διασωθῆναι, καὶ τοῦ διὰ Θεοῦ σωθῆναι. Τοῦτο ποιεῖ τὴν εὐφροσύνην ὅτε τὸ τρόπαιον ἀτήσας. Εἶτα δεικνὺς τῆς συμμαχίας τῆς τοιαύτης τὴν ἀφορμὴν, φησὶν, *Ἐν σκηναῖς δικαίων.* Οὐκ εἶπεν οἰκίαις, ἀλλὰ σκηναῖς, τὸ ἐσχεδιασμένον τῆς οἰκήσεως αὐτῶν παραστῆσαι βουλόμενος.

« Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. »

Τοῦτο μάλιστα ζωὴ τὸ καὶ αὐτὸν αἰνεῖν, καὶ εἰς ἅπαντας ἐξαγγέλλειν αὐτοῦ τὰ θαύματα. Ποῖα ἔργα, εἰπέ μοι; Ταῦτα ἃ μέλλει διηγεῖσθαι.

« Αὕτη ἡ πύλη τοῦ Κυρίου. »

Πύλαι πάλαι ὁ νόμος καὶ οἱ προφῆται, δι' ὧν εἰσ-

Digitized by Google

ἦει πρὸς Θεὸν ὁ Ἰσραήλ. Πύλη δὲ νῦν ἡ πίστις, δι' A Israel ad Deum ingrediebatur. Modo autem porta est fides, per quam magis proprie nunc adducimur, legis ac prophetarum testimonio suffulti.

ἧς οἰκειότερον νῦν προσαγόμεθα, μαρτυρούμενοι ὑπὸ τοῦ νόμου καὶ προφητῶν.

« Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. »

Ἐνταῦθα τοίνυν ὁ Προφήτης τὴν σάρκωσιν θαυμάζει, ὅτι Θεὸς ὢν καὶ Κύριος ὢν, καὶ τῆς οὐσίας ἐκείνης, κατηξίωσεν ἐπιφανῆναι. Ὅταν δὲ εἴπῃ, *Ἐπέφανε*, τὴν οἰκονομίαν λέγει, τὸ εἰς μήτραν ἐλθεῖν παρθενικὴν, καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι. Διὰ δὴ τοῦτο, *Εὐλογήκαμεν ὑμᾶς*, φησὶν, ὅτι τοιαύτης ἀπηλαύσατε δωρεᾶς· ὃ καὶ ὁ Χριστὸς ἔλεγε· *Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ εἴδετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.*

Vers. 27. « Deus Dominus, et illuxit nobis. »

Hoc loco igitur Propheta incarnationem admiratur, quod cum Deus esset ac Dominus, et illius naturæ exsisteret, dignatus fuerit apparere. Quando autem dicit *Illuxit*, dispensationem intelligit, ut quod in uterum virgineum venerit, et cum hominibus conversatus sit. Quocirca dicit, *Benedeximus vobis*, quod tale donum sitis consecuti. Hoc etiam Christus dixit: *Multi prophetæ et justi cupierunt videre quæ videtis et non viderunt, et audire quæ auditis et non audierunt* [36].

« Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν. »

« Constituite diem solemnem in condensis. »

Τὸ, *ἐν τοῖς πυκάζουσιν*, ἀντὶ τοῦ πεπυκνωμένοις B τέθεικε· τὸ γὰρ πεπυκασμένον, πεπυκνωμένον καὶ οἱ ἔξω τοῦ καθ' ἡμᾶς λόγου καλοῦσιν.

Illud *in condensis* posuit pro constipatis : nam quod condensatum est, hi quoque qui a sermone nostro extranei sunt constipatum vocant.

« Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι. »

Vers. 28. « Deus meus es tu, et confitebor tibi. »

Τίνι δὲ ταῦτα λέγει, ἢ τῷ ἀνωτέρω δεδηλωμένῳ Κυρίῳ; τῷ ἐκ θλίψεως ῥυσαμένῳ αὐτὸν, τῷ καὶ τοὺς ἐχθροὺς αὐτοῦ ταπεινώσαντι, τῷ καὶ τὸν λίθον τὸν ἀποβληθέντα πρὸς τῶν οἰκοδόμων ὑψώσαντι, τῷ καὶ εὐοδώσαντι καὶ σώσαντι τοὺς εἰς αὐτὸν πιστεύοντας.

Cui porro hæc dicit, nisi Domino superius declarato? qui de tribulatione ipsum liberaverat, et inimicos ejus humiliaverat : qui lapidem quoque ab ædificantibus reprobatum exaltavit, qui et bene prosperavit, et servavit credentes in ipsum.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός. »

Vers. 29. « Confitemini Domino quoniam bonus. »

Ὅθεν ὁ Προφήτης τοῦ νῦν ψαλμοῦ τῆς μελῳδίας ἤρξατο, ἐκεῖθεν αὐτῷ καὶ τὸ τέλος ἐπέθηκεν, ἵνα τὴν ἐξομολόγησιν μέχρι παντὸς τοῦ βίου φυλάξωμεν.

Unde Propheta hujus psalmi melodiam orsus fuerat, identidem quoque illi finem imposuit, ut confessionem per omnem vitam custodiamus.

C

ΨΑΛΜΟΣ ΡΙΗ'.

PSALMUS CXVIII.

« Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια. »

Vers. 2. « Beati qui scrutantur testimonia. »

Οἱ δεύτεροι, ὡς ἐπὶ κρείττονα καὶ ἀνώτερον ἀναβαίνοντες βαθμὸν, ἄλλως γίνονται μακάριοι, διὰ τὸ μὴ μόνον κατορθοῦν τὸν ἠθικὸν τρόπον, ἀλλ' ἤδη καὶ ἐξερευνᾷν τὰ βάθη τῶν μαρτυρίων αὐτοῦ.

Secundi tanquam ad præstantiorem et sublimiorem gradum ascendentes aliter beati fiunt, quia non solum moralem modum recte teneant, sed etiam testimoniorum ejus profunda rimentur.

« Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδόν; »

Vers. 9. « In quo corriget adolescentior viam? »

Νεώτερος, ὁ ἀπὸ τῶν ἐθνῶν λαὸς, ὁ σκολιῶς πρὸ τῆς πίστεως ὁδεύσας, ἐν τίνι κατορθώσει τὴν ὁδὸν, ἢ τῷ φυλάσσεσθαι τοὺς λόγους τοῦ Θεοῦ; Ἡ γὰρ ἔννοια τοῦ θείου νόμου καθαρτικὴ καὶ φυλακτικὴ πάντων ἐστί. Τὸ, *Ἐν τίνι δὲ κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;* ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· *Διὰ τίνος λαμπρυνεῖ νέος τὴν ὁδὸν αὐτοῦ;* Ἐδίδαξεν δὲ ὅτι πολλῆς ἐστιν ἀκαθαρσίας D καὶ ῥυπαρίας ἡ νεότης μεστὴ· διὸ καὶ δεῖται καθάρσεως. Τοῦτο οὖν ἐπιζητήσας, εὑρηκέναι φησὶ τὸν τρόπον, *Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.*

Adolescentior ille populus ex gentibus, qui ante fidem oblique ambulabat, in quo corriget viam suam, nisi custodiendo sermones Dei? Divinæ enim legis consideratio purgatrix et conservatrix est omnium. Illud autem, *In quo corriget adolescentior viam suam?* Symmachus hoc modo interpretatus est, *In quo mundabit adolescens viam suam?* Docuit nempe multis sordibus adolescentiam esse plenam? quapropter etiam indiget purgatione. Cum igitur hoc inquireret, ait se modum reperisse, *In custodiendo sermones tuos.*

« Ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. »

Vers. 22. « Quia testimonia tua exquisivi. »

Διὰ τοῦτο μηκέτι με κρίνῃς ἄξιον τοῦ ὀνειδίζεσθαι καὶ τοῦ ἐξουδενεῖσθαι· καὶ γὰρ τὰ μαρτύριά σου ἐξεζήτησα· περὶ ὧν ἔφην, *Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ.*

Idcireo ne amplius me judices dignum opprobrio et contemptu, etenim testimonia tua exquisivi; de quibus dicebam, *Beati qui scrutantur testimonia ejus* [37].

« Ἐνύσταξεν ἡ ψυχή μου. »

Vers. 28. « Dormitavit anima mea. »

Ὥσπερ ἀρχὴ κοιμήσεώς ἐστι νυσταγμὸς, οὕτως ποτὲ καὶ ἡ ψυχὴ ἐν ἀρχῇ γενομένη ἁμαρτημάτων λέγεται νυστάζειν, καθελκομένη μὲν ὥσπερ εἰς

Quemadmodum dormitatio principium est obdormitionis, sic etiam anima quandoque dum in principio peccatorum versatur dormitare dicitur,

[36] Matth. XIII, 17. [37] Psalm. CXVIII, 2.

Digitized by Google

attracta quidem quasi in somnum peccatum, renovata vero et excitata per memoriam rerum meliorum.

VERS. 39. « Amputa opprobrium meum. »

Omnis vir justus suspectos habet peccatores de opprobrio quo solent ipsis exprobrare, quando vel minimum quid a virtute aberraverint. Verum Deus clementibus ac benignis judiciis utens, minime despicit opprobrium eorum, sed illud amputat corrigendo, si quid etiam modicum aberraverint.

VERS. 68. « Bonus es tu, Domine. »

Opus justi est, in omnibus quæ accidunt contentum a providentia hilariter accipiendo, etiam in iis quæ acerbiora reputantur Deo dicere illud, *Bonus es tu;* item illud, *Benedicam Dominum in omni tempore* [36], idem animi propositum retinendo.

[36] Psalm. XXXIII, 1.

A Ὕπνον τὸ ἁμάρτημα, ἀνανεοῦσα δὲ καὶ ἐγειρομένη διὰ τῆς τῶν κρειττόνων μνήμης.

« Περίελε τὸν ὀνειδισμόν μου. »

Ὀνειδισμὸν τὸν ὑπὸ τῶν ἁμαρτωλῶν ὑποπτεύει πᾶς δίκαιος, ὅπερ αὐτοὺς ὀνειδίζειν, ὅταν τι καὶ μικρὸν ἀποσφαλῶσι τῆς ἀρετῆς, εἰώθασιν. Ἀλλ' ὁ Θεὸς χρηστοῖς κρίμασι καὶ φιλανθρώποις χρώμενος, οὐ περιορᾷ τὸν ὀνειδισμὸν αὐτῶν, περιαιρεῖ δὲ διορθούμενος, εἴ τι καὶ μικρὸν ἀποσφαλέντες ἔτυχον.

« Χρηστὸς εἶ σὺ, Κύριε. »

Δικαίου ἔργον ἐστὶν, ἐπὶ πᾶσι συμβαίνουσιν εὐαρεστούμενον ἀπὸ τῆς Προνοίας ἱλαρῶς δεχόμενον λέγειν, καὶ ἐπὶ τοῖς πικροτέροις εἶναι νομιζομένοις τῷ Θεῷ τὸ, *Χρηστὸς εἶ σὺ·* καὶ τὸ, *Εὐλογήσω τὸν* B *Κύριον ἐν παντὶ καιρῷ*, τῆς αὐτῆς ἐχόμενον προαιρέσεως.

ΗΣΥΧΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ (1)

ΣΤΙΧΗΡΟΝ (2) ΤΩΝ ΙΒ' ΠΡΟΦΗΤΩΝ, ΚΑΙ ΗΣΑΙΟΥ [ΚΑΙ ΔΑΝΙΗΛ], ΕΧΟΝ ΕΝ ΠΑΡΑΘΕΣΕΣΙ ΤΑΣ ΤΩΝ ΔΥΣΧΕΡΕΣΤΕΡΩΝ ΕΡΜΗΝΕΙΑΣ *.

HESYCHII PRESBYTERI JEROSOLYMITANI

EPITOME DUODECIM PROPHETARUM ET ISAIÆ IN VERSICULOS DIGESTA, APPOSITIS DIFFICILIORUM LOCORUM INTERPRETATIONIBUS.

Illud quidem antiquum est apud vates studium, scilicet in versiculis, ut plurimum, ad rerum quæ tractantur dilucidationem, prophetias exponere. Ita enim videas quidem David cithara canentem, auctorem Proverbiorum suas parabolas, et Ecclesiasten suas prophetias exponentem; ita scriptum de Job librum, ita in versiculos divisa Cantica canticorum. Insuper et apostolicum librum cum ita a quodam conscriptum invenissem, non immerito in duodecim libris prophetarum et ego ipse sum secutus. Sed quoniam multa quidem obscura illustrat versiculorum divisio, docet autem et ubi ordinanda sint pleraque punctorum dubiorum, ut et inscius pariter et peritus aliquam omnino sive parvam sive magnam percipiant laboris utilitatem,

C Ἔστι μὲν ἀρχαῖον τοῦτο τοῖς θεοφόροις τὸ σπούδασμα, στιχηδὸν ὡς τὰ πολλὰ, πρὸς τὴν τῶν μελετωμένων σαφήνειαν, τὰς προφητείας ἐκτίθεσθαι. Οὕτω τοιγαροῦν ὄψει μὲν τὸν Δαυὶδ κιθαρίζοντα, τὸν Παροιμιαστὴν δὲ τὰς παραβολὰς, καὶ τὸν Ἐκκλησιαστὴν τὰς προφητείας ἐκθέμενον. Οὕτω συγγραφεῖσαν τὴν ἐπὶ τῷ Ἰὼβ βίβλον· οὕτω μεριστθέντα τοῖς στίχοις τὰ τῶν ᾀσμάτων Ἄσματα· πλὴν ἀλλὰ καὶ τὴν ἀποστολικὴν βίβλον οὕτω τινὶ συγγραφεῖσαν εὑρὼν, οὐ μάτην ἐν ταῖς δυώδεκα βίβλοις τῶν προφητῶν καὶ αὐτὸς ἠκολούθησα· ἀλλ' ἐπειδὴ πολλὰ μὲν τῶν ἀσαφῶν ἡ τῶν στίχων σαφηνίζει διαίρεσις, διδάσκει δὲ καὶ τῶν στιγμῶν τῶν ἀπόρων ποῦ δεῖ τάττειν τὰς πλείονας, ὥστε καὶ τὸν ἰδιώτην καὶ τὸν ἄγαν ἐπιστήμονα τρυγῆσαί τι πάντως ἢ μικρὸν ἢ μέγα τοῦ πο-

NOTÆ.

(1) Ἡσυχίου. *Presbyter Hierosolymitanus* dicitur ad discrimen alterius Constantinopolitani. Utriusque autem fit mentio in Photii nostri Myriobiblo, illius etiam in F. Sixti Senensis Bibliotheca, ubi Gregorii Naz. auditor fuisse et anno Domini 400, sub Augusto, claruisse scribitur.

(2) Στιχηρόν. Hinc apparet illam in capita et versus seu paragraphos distinctionem non ita recentem esse, ut quidam sunt arbitrati, cum antiquitus viris sanctis usurpatam Hesychius quoque testetur.

* Joann. PEARSONIUS, *Critici Sacri*, t. VIII, col. 25.

Digitized by Google

νήματος χρήσιμον. Δεδωκότος δὲ καὶ παρ' ἀξίαν τοῦ Πνεύματος, ὅπερ ἐστὶν ἄγαν ἀναγκαῖον τῷ μελετῶντι, προσέθηκα σύντομον ὅσην τὴν τῶν ἀπόρων ἢ τυχὸν ἀσαφῶν ἢ καὶ ὅλως ἀμφιβόλων ἐξήγησιν, παραθεὶς αὐτὴν τοῖς στίχοις, ὥστε ἅμα τῇ ἀναγνώσει ἐπιλαβέσθαι τῆς γνώσεως· ὅτι δὲ τὰ πλεῖστα πρὸς ἀναγωγὴν εἴρηται, θαυμάζειν οὐ χρή· προφητεία γὰρ τὸ σύγγραμμα. Μέλει δὲ τοῖς προφήταις, τῷ λαλοῦντι δὲ μᾶλλον ἐν αὐτοῖς, μηδὲν λέγειν, οἷον καὶ τοῖς ἄλλοις εὐχερὲς ὑπάρχει, τοῖς μὴ τετυχηκόσιν ἁγίου Πνεύματος, διαλέγεσθαι· τὰς περὶ Θεοῦ δὲ [ἴσ. δὴ] προῤῥήσεις, καὶ ὧν οἰκονομεῖ συγγεγραμμένων θαυμάτων τὴν ἐξήγησιν· καὶ μυστήρια, τὰ χρόνοις πολλοῖς αὐτῶν ὕστερον τῶν αὐτὰ φθεγγομένων ἐσόμενα· ἅπερ οὐ χρὴ ταπεινῶς νοεῖν. Ὕβρις γὰρ τοῦτο ὅπου τοῦ γνωρίσαντος πνεύματος· ἀλλ' οὐδὲ δυνατὴν εὑρήσεις τῶν προφητῶν τὴν ἐξήγησιν, γυμνῶσαι ταύτην ἐπιχειρῶν τῆς θεωρίας τοῦ πνεύματος. Τί μὲν γὰρ ἐρεῖς Ὡσηὲ ταῦτα βούλεσθαι τὰ ῥήματα, « Ὁ δὲ Ἐφραΐμ, πονηρὸν πνεῦμα; » τίνος χάριν καὶ, « Ἔλαιον εἰς Αἴγυπτον ἐνεπορεύετο; » καὶ ποίας τοῦτο μέμψεως, τίνος ἐγκλήματος ἄξιον; τί δὲ τοῦ ἰξευτοῦ τὸ ἄγγος, ὅπερ Ἀμὼς παρέδωκε; τί τὸν λίθον τὸν κασσιτέρινον, ἑπτὰ ὀφθαλμοὺς, ὡς Ζαχαρίας γέγραφεν ὁ προφήτης, βαστάζοντα; καὶ πολλὰ τούτοις ἕτερα παραπλήσια· ἐφ' οἷς αὐτὸς ὁ ταῦτα τοῖς καλάμοις τῶν προφητῶν φθεγξάμενος, εἰπεῖν ταῦτα τὸν Ὡσηὲ προβάλλεται· « Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. » Τούτου δὲ οὕτως ἐκεῖνο συντόμως ὁ λόγος παραδίδωσιν, ὡς οἱ τινὲς τῶν προφητῶν τοὺς βασιλεῖς, ἐφ' ὧν ἐξέθεντο τὴν προφητείαν, ἔκρυψαν· ἢ παρ' ἔθνεσι προφητεύσαντες, ἢ ἐξ ἐθνῶν ὁρμηθέντες ἐτύγχανον· εἰ γὰρ καὶ πρωτοτύπως ἡ προφητεία τῷ Ἰσραὴλ ἀπέσταλτο, ἀλλ' ὅμως προφητῶν τινων τινὰ τῶν ἐθνῶν ὑπῆρξεν ἀκροάσασθαι· ἢ οὐχὶ τοῦτο Ἰωνᾶ; ἡμῖν μάλιστα παρασκευάζει στοχάσασθαι, αὐτός τε ἐξ ἐθνῶν γεγονὼς, καὶ προφητεύσας ἐν ἔθνεσι; Νινευΐταις μὲν γὰρ κηρύξων ὁ προφήτης ἀπέσταλτο, ἀπὸ δὲ τῆς Γὲθ αὐτὸν τῶν Βασιλειῶν ἡ βίβλος, ἥτις ἦν μία τῶν ἐν τοῖς ἀλλοφύλοις σατραπιῶν, ἐκδίδωσι· φησὶ γάρ· « Ῥῆμα Κυρίου Θεοῦ Ἰσραὴλ, ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἰωνᾶ, υἱοῦ Ἀμαθὶ, τοῦ προφήτου ἐκ Γὲθ Χοφέρ. » Καὶ τούτου χάριν ἄχρονον ἄρα τὴν προφητείαν ἐκθέμενος· ἀλλὰ καὶ Ἰωὴλ, γράψας οὕτω καὶ αὐτὸς τὸ προοίμιον· « Ἀκούσατε ταῦτα, οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν γῆν. » Τὸ δὲ αὐτὸ καὶ Ἀβδιού· « Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν. » Ἔτι καὶ Ναούμ· « Ἆβμα Νινευὶ λέγων, ὁμοια στοχάζεσθαι περὶ σφῶν ἀναγκάζουσιν. » Ἀμβακοὺμ γὰρ, εἰ μὲν οὗτός ἐστιν ὃν ἐς τὴν Βαβυλωνίων ἁρπάσας ἀπεκόμισεν ἄγγελος, εἰπεῖν τὸ σαφὲς οὐκ ἔχω· πλὴν οὐδὲ αὐτὸς ἐν προοιμίῳ τῆς βίβλου, τῆς Ἰουδαίας, τυχὸν, ἢ Σαμαρείας, ἢ τοῦ Ἰσραὴλ μέμνηται, ἀλλὰ [καὶ] τῆς γῆς ὅλης· οὐχὶ γὰρ μόνης τῆς Ἰουδαίας ἐν ὅλῃ τῇ προφητικῇ βίβλῳ κατηγορίαν εἰσέρχεται· ζητῶν δὲ τὸν Μαλαχιὴλ, εὑρήσεις τοῖς ἔθνεσι τὸ κεφάλαιον τῆς προφητείας νέμοντα. Ὅς εἰ καὶ ἄγγελος

A juvante autem ultra meritum Spiritu, quod est operanti summopere necessarium, adjeci brevem aliquantulam dubiorum aut forte obscurorum, aut etiam omnino ambiguorum explanationem, quam subjunxi versiculis, ita ut ipsa lectione acquiratur simul et intelligentia. Plurima autem mystico sensu dicta esse non mireris: prophetia enim est ille liber. Est autem prophetarum, seu potius loquentis in ipsis, nihil dicere quod aliis pervium sit, scilicet Spiritus sancti expertibus, tractare nempe de Deo prædictiones, et narrationem miraculorum quæ dispensat, et mysteria longe post narrantium ætatem futura; quæ non sunt vulgari modo cogitanda; id enim esset revelantis Spiritus contumelia. Nequaquam
B autem prophetarum explanationem assequi poterit, qui eam a Spiritus visione segregare tentaverit. Quid enim dices velle ista Osee verba: « Ephraim, malus spiritus, » ad quid « oleum in Ægyptum ferebat. » Quænam ista objurgatio? quid hic reprehensione dignum? quid hoc aucipis vas, quod Amos tradit? quid dices hunc lapidem stanneum, septem oculos ferentem, ut scripsit Zacharias propheta? et alia multa his similia; de quibus ille ipse qui hæc per prophetarum calamum locutus est: perhibet hæc Osee dixisse: « Ego visiones multiplicavi, et in manibus prophetarum assimilatus sum. » Hujus autem verbum illud breviter tradit, scilicet quosdam prophetarum reges latuisse, quibus regnantibus prophetias ediC derunt, sive quod apud gentes prophetaverunt, sive quod de gentibus ipsi prodierunt. Si enim præcipue prophetia ad Israel directa est, nihilominus quosdam prophetas contigit a quibusdam gentibus auditos fuisse. Nonne hoc Jonas nobis præsertim indicare videtur, cum ipse esset ex gentibus et apud gentes prophetaret: Ninivitis enim prædicaturus propheta missus est: liber autem Regum illum de Geth, quæ est una ex alienis satrapiis, tradit. Dixit enim: « Verbum Domini Dei Israel, quod locutus est in manu servi sui Jonæ, filii Amathi, prophetæ de Geth et Opher. » Et propterea absque tempore prophetiam exposuit. Sed et Joel, cum scripsisset sic ipse quoque proœD mium: « Audite hoc, senes, et auribus percipite, omnes inhabitantes terram. » Idem autem et Abdias: « Auditum audivi a Domino et legatum ad gentes misit. » Et etiam Nahum Ninive titulum dicens: Omnes similia intendere de ipsis cogunt. De Habacuc enim, si ille quidem est quem in Babyloniam raptum reportavit Angelus, non est mihi quod dicam clarum, nisi quod ipse in proœmio libri non modo de Judæa, sive de Samaria, sive de Israel mentionem facit, sed etiam de tota terra. Non enim solius Judææ in toto prophetico libro accusationem introducit. Malachiam autem si quæras, invenies distribuentem gentibus præcipuam prophetiæ partem, qui, cum angelus Domini nominetur, homo tamen erat: Dei enim angeli prophetæ dicebantur; quod

Digitized by Google

demonstrat Aggæus sic quidem seipsum sic etiam et alios prophetas vocans, quibus prophetiæ suæ ministris utebatur. Dicit enim: « Et dixit Aggæus angelus Domini inter angelos Domini populo. » Forte etiam et hoc nomen proprium propheta sortitus est. Sed insuper illud adjiciendum et ad sinceriorem librorum propheticorum intelligentiam, scilicet antiquam esse prophetiæ gratiam: quippe quæ ab ipsa primitus hominum creatione incipiat; ita ut Adam de Eva dixerit prophetico plane dono: « Propter hoc derelinquet homo patrem suum et matrem suam, et adhærebit ad uxorem suam; et erunt duo in carnem unam. » Abraham propheta ab ipso Deo hæc dicente ad Abimelech, nuncupatus est: « Redde uxorem viro, quia propheta est. Non igitur hi soli prophetæ sunt, quorum nomine inscribitur prophetia. Nam quomodo Samuel princeps prophetarum vocabatur? Quomodo filii prophetarum dicebantur qui juxta Eliam congregabantur? Prophetia enim ulla nec horum nec illorum nomine inscripta refertur. Quotquot igitur erant philosophiæ forsan ante alios periti, hi quoque prophetico studio illustres facti, sive quod historicis libris inspiratæ Scripturæ quæcunque prophetico spiritu dixerunt aut fecerunt conscripta sunt, sicut Samuel, Elias et Elizæus; sive quod libros ipsi propheticos, afflante Spiritu, condiderunt, quales fuere duodecim, et Isaias, et Jeremias, et Ezechiel, et Daniel. Inter quos Ezechiel quidem et Daniel, Aggæus et Zacharias, captivitati populi Judaici apud Assyrios posteriores prophetant. Jeremias autem hanc ipsam captivitatem vaticinatur. Sophonias non toto tempore suæ prophetiæ, sed parte tantum, floruit regnante Josia; quo etiam regnante Jeremias vaticinari incipiebat. Cæteri autem Isaiæ quidem contemporanei, sed Samuele, Elia et Elisæo recentiores. Id ex eo patet quod Elisæo morienti adfuit Joas, rex Israel. In diebus autem Jeroboam, non filii Nabath, sed filii Joas, Osee prophetiam edit. Simul cum eo floruerunt Amos, Michæas et Isaias; sicut enumerati in fronte singulorum prophetiæ reges studiose quærenti et scrutanti indicare possunt. Quod autem deest prologo necessario addemus: scilicet, Amos et Osee apud Judæam et Samariam prophetaverunt: et ideo inter reges Judæ Jeroboam, qui decem tribuum Israel separatarum tenuit sceptrum, annumerant. Patet autem Amasiam sacerdotem Bethel hæc ad Amos dixisse: « Trasmigra in terram Juda et ibi vive, et ibi prophetabis: In Bethel autem non adjicias. » Quotquot autem futuræ Judææ prophetiam prædicaverunt, hi solum reges in eam regnantes commemorant.

A Θεοῦ ἑρμηνεύεται, ἄνθρωπος; ὅμως; ἦν. Ἄγγελοι γὰρ Θεοῦ οἱ προφῆται ἐλέγοντο· δηλοῖ δὲ Ἀγγαῖος οὕτω μὲν ἑαυτὸν, οὕτω δὲ καὶ τοὺς ἄλλους προφήτας κεκληκὼς οἷς ὑπηρέταις τῆς ἑαυτοῦ προφητείας ἐκέχρητο. Φησὶ γάρ· « Καὶ εἶπεν Ἀγγαῖος ἄγγελος Κυρίου ἐν ἀγγέλοις Κυρίου τῷ λαῷ. » Ἴσως δὲ καὶ ὄνομα τοῦτο κύριον ὁ προφήτης ἐκέκτητο. Ἀλλὰ μὴν κἀκεῖνο προσθεῖναι πρὸς ἀκριβεστέραν γνῶσιν τῶν βίβλων τῶν προφητικῶν ἄξιον, ὡς ἀρχαῖον μὲν ἦν τῆς προφητείας τὸ χάρισμα, ἐξ αὐτῆς ἄνωθεν τῆς τῶν ἀνθρώπων δημιουργίας ἀρξάμενον. Ὥστε τὸν Ἀδὰμ περὶ τῆς Εὔας λέγειν, προφητικῷ δηλονότι χαρίσματι· « Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς B σάρκα μίαν. » Ἀβραὰμ δὲ προφήτης παρ' αὐτοῦ τοῦ Θεοῦ, ταῦτα πρὸς τὸν Ἀβιμέλεχ εἰπόντος, προσηγόρευται· « Ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστίν. » Οὐ μόνοι τοίνυν προφῆται γεγόνασιν, ὧν ἔγγραφος ἡ προφητεία φέρεται· ἐπεὶ πῶς μὲν ὁ Σαμουὴλ προφητῶν ἔξαρχος ἐπωνόμαστο; πῶς δὲ υἱοὶ προφητῶν οἱ συναγόμενοι παρὰ τὸν Ἐλισαῖον ἐλέγοντο; Προφητεία γὰρ ἔγγραφος οὐ τούτων μὲν οὖν, οὐδὲ ἐκείνων φέρεται. Ὅσοι τοίνυν ἦσαν τὴν φιλοσοφίαν ἴσως ὑπὲρ τοὺς ἄλλους ἐξαίρετοι, οὗτοι καὶ τὴν προφητικὴν θεωρίαν γεγονότες ἐπίσημοι, ἢ ταῖς C ἱστορικαῖς βίβλοις τῆς θεοπνεύστου Γραφῆς, ὅσα προφητικῷ Πνεύματι εἰπόντες ἢ πράξαντες ὑπῆρχον, ἀνεγράφησαν, ὥσπερ Σαμουὴλ, Ἠλίας τε καὶ Ἐλισσαῖος· ἢ βίβλους, ἐπιτραπέντες παρὰ τοῦ Πνεύματος, αὐτοὶ προφητικὰς συνέταξαν· οἷοί τινες οἱ δώδεκα, Ἡσαΐας τε, καὶ Ἰερεμίας, καὶ Ἰεζεκιὴλ, καὶ Δανιὴλ γεγόνασιν· ὧν Ἰεζεκιὴλ μὲν καὶ Δανιὴλ, Ἀγγαῖός τε καὶ Ζαχαρίας, τῆς ἁλώσεως τῆς ἐξ Ἀσσυρίων τῷ λαῷ συμβάσης τῶν Ἰουδαίων, ὕστεροι προφητεύουσιν. Ἱερεμίας δὲ ταύτην προφητεύει τὴν ἅλωσιν· ὁ Σοφονίας οὐ πάντα τὸν καιρὸν τῆς προφητείας, ἀλλ' ἀπὸ μέρους συνήκμασεν, ἐπὶ τῆς Ἰωσίου βασιλείας προφητεύσας· ἐφ' οὗ τῆς προφητείας Ἱερεμίας ἤρξατο· οἱ λοιποὶ δὲ Ἡσαΐου μὲν σύγχρονοι, ἀλλὰ καὶ Σαμουὴλ, καὶ Ἠλίου, καὶ Ἐλισσαίου νεώτεροι. Δῆλον γὰρ ἀφ' ὧν τῷ μὲν Ἐλισσαίῳ παρῆν Ἰωᾶς ὁ τοῦ Ἰσραὴλ βασιλεὺς, τὸν βίον μεταλλάττει· ἐν ἡμέραις δὲ Ἱεροβοὰμ, οὐ τοῦ υἱοῦ Ναυὰτ, ἀλλὰ τοῦ υἱοῦ Ἰωᾶς, D Ὠσηὲ τὴν προφητείαν ἐκτίθεται· τούτῳ δὲ καὶ Ἀμὼς καὶ Μιχαίας καὶ Ἡσαΐας συνήκμασαν· ὡς οἱ προτεταγμένοι τῆς ἑκάστου προφητείας βασιλεῖς παιδεῦσαι τὸν ἀπὸ σπουδῆς μελετῶντά τε καὶ ψηλαφῶντα δύνανται. Ὅπερ δὲ λοιπόν ἐστι τῷ προλόγῳ, ἀναγκαίως προσθήσομεν· ὡς Ἀμὼς καὶ Ὠσηὲ κατὰ τὴν Ἰουδαίαν καὶ Σαμάρειαν προφητεύσαντες ἔτυχον, καὶ τούτου χάριν τοῖς βασιλεῦσι τῆς Ἰουδαίας τὸν Ἱεροβοὰμ τὸν τὰ δέκα σκῆπτρα τῆς ἀφορισθείσης τῷ Ἰσραὴλ βασιλείας ἰσχηκότα συνέταξαν· δῆλον δὲ ὅτι Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ τοιαῦτα πρὸς τὸν Ἀμὼς ἐφθέγξατο· « Ἐχώρησον εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις. » Εἰς δὲ Βαιθὴλ οὐκέτι προσθῆς· ὅσοι δὲ τῆς Ἰουδαίας ἐσομένης τὴν προφητείαν ἐκήρυξαν, οὗτοι μόνον τῶν ἐν αὐτῇ βασιλευσάντων μέμνηνται.

Digitized by Google

ΚΕΦΑΛΑΙΑ (3) ΩΣΗΕ ΠΡΟΦΗΤΟΥ.

α'. Εἰκὼν τῆς τῶν Ἰουδαίων συναγωγῆς, ἐξ ἧς ὁ Χριστὸς τὸ κατὰ σάρκα τίκτεται· καὶ λαοῦ τὸ μὲν ἐν ἀπιστίᾳ ἔμεινεν, τὸ δὲ ὕστερον ἐπιστρέφει καὶ σώζεται.

β'. Ἀπειλὴ κατὰ τῆς συναγωγῆς, ὅτι πάντων τῶν δοθέντων αὐτῇ παρὰ Θεοῦ ἀγαθῶν, ἀλλὰ καὶ ὧν ἔδοξεν ἐκ τῶν εἰδώλων ἔχειν, γυμνωθήσεται.

γ'. Πρόῤῥησις, ὅπως ἡ μὲν Συναγωγὴ τῶν Ἰουδαίων ταπεινοῦται, καὶ τῆς δουλείας τῆς τῶν εἰδώλων παύεται· οἱ ἐξ αὐτῆς δὲ πιστεύσαντες κοινωνήσουσι τῆς νέας διαθήκης, καὶ τῶν ἐν Χριστῷ μυστηρίων τοῖς ἔθνεσι.

δ'. Κατηγορία τῆς Συναγωγῆς, ὅτι παρὰ Θεοῦ ἀγαπωμένη τοῖς εἰδώλοις προσέδραμε· καὶ πρόῤῥησις, ὅπως ὁλοκλήρως αὐτῇ τὰ τῆς ἀρχαίας πολιτείας ἀργήσῃ, αὐτὴ δὲ ἐπιστρέψῃ πρὸς τὸν Χριστὸν εἰς ὕστερον.

ε'. Διήγησις ὧν ὁ λαὸς τῶν Ἰουδαίων καὶ οἱ τούτου ἱερεῖς ἠσέβουν καὶ ἡμάρτανον.

ς'. Κατηγορία τῶν Ἰουδαϊκῶν ἀρχόντων· ὅτι παρὰ τὴν αὐτῶν αἰτίαν ὁ λαὸς ἐξημάρτανε· καὶ γνησίως μὲν πρὸς τὸν Θεὸν οὐκ ἐπέστρεφον, μετὰ θυσιῶν δὲ αὐτὸν ἀλόγων ἐζήτει, καὶ διὰ τοῦτο οὐχ ηὕρισκε.

ζ'. Πρόσταγμα, κηρυχθῆναι οἷα ὁ λαὸς μὲν τῶν Ἰουδαίων ἐξήμαρτεν· ὁ Χριστὸς δὲ διὰ τοῦ μυστηρίου καὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως τῆς εἰς οὐρανοὺς ἔπραξεν.

η'. Ἔνδειξις τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῆς τῶν Ἰουδαίων ἀγνωμοσύνης· καὶ παραίνεσις πρὸς αὐτούς, ἵνα τοῖς ἔθνεσι τῆς ἐπιστροφῆς καὶ τῆς ἐξομολογήσεως τῷ λῃστῇ τῷ κατὰ τὸν καιρὸν τοῦ σταυροῦ σωθέντι κοινωνήσωσι.

θ'. Κατηγορία τοῦ αἰσθητοῦ Ἰσραὴλ, ὅσα εἰς τὸν Χριστὸν διαφόρως ἐξήμαρτε· καὶ ὅτι παλαιωθείσης αὐτῶν τῆς πολιτείας οὐκ ἠσθάνοντο, ἐζήλωσαν δὲ τῶν ἐθνῶν τὴν ἀρχαίαν ἀσέβειαν, ἀνθ' ὧν αὐτοῖς ταπείνωσιν ἠπείλησε.

ι'. Θρῆνος τοῦ λαοῦ τῶν Ἰουδαίων, οἷα μὲν εἰς τὸν Θεὸν ἐξήμαρτεν, οἷα δὲ παρ' αὐτοῦ ἐπαιδεύθησαν· καὶ ὅπως διὰ τὴν πλάνην τῶν εἰδώλων ἀπόληται αὐτῶν ὁ ναὸς καὶ ἡ χώρα· καὶ ἅπερ ἔλαβον παρὰ τοῦ Θεοῦ νόμιμα.

ια'. Ἀπόγνωσις τῆς Ἰουδαϊκῆς χαρᾶς, ἀνθ' ὧν μιμησάμενοι τῶν ἐθνῶν τὴν ἀσέβειαν, τὰς θυσίας τοῦ Θεοῦ καὶ τὰς σπονδὰς ἐμόλυναν, καὶ τὴν τῶν εἰδώλων πλάνην εἰς τὸν ναὸν εἰσήγαγον.

ιβ'. Ὅπως τὸν Ἰσραὴλ ἀγαπητῶς ὁ Θεὸς ἐξελέξατο, αὐτοὶ δὲ εἰδώλοις προσέδραμον, καὶ τοῦ Θεοῦ τῆς δουλείας ἀπέστησαν, καὶ οὐδὲ ἐξ αὐτῶν τὸν Χριστὸν σαρκωθέντα ἠδέσθησαν· ὅθεν αὐτοῖς ἀρὰ ἀκαρπίας, καὶ τῆς εἰς τὰ ἔθνη διασπορᾶς ἐπάγεται.

CAPITA OSEE PROPHETÆ.

I. Effigies Synagogæ Judæorum ex qua Christus secundum carnem nascitur, et populi [qui] primum quidem in incredulitate permansit, postea vero se convertit et salvatur.

II. Minæ adversus Synagogam, scilicet omnibus a Deo acceptis bonis, quin etiam iis quæ ab idolis obtinere sibi visa est, nudatam iri.

III. Prædictio quomodo Judæorum Synagoga humiliatur, et a servitute idolorum liberatur. Qui ex ea crediderint communicabunt cum gentibus novum fœdus et in Christo mysteria.

IV. Accusatio Synagogæ, quod, cum a Deo diligeretur, ad idola se contulerit. Et prædictio quomodo suum illi antiquum regimen omnino irritum fiet; ipsa vero se convertet postea ad Christum.

V. Narratio eorum in quibus Judæorum populus et ejus sacerdotes impie egerunt et peccaverunt.

VI. Accusatio Judæorum principum, quod per eorum culpam populus peccavit, nec ingenue quidem ad Deum se convertit; sed eum cum illegitimis victimis quærit et propterea non invenit.

VII. Jussio ut denuntietur quæ populus Judæorum peccaverit; quæ autem Christus per resurrectionis et ascensionis mysterium effecerit.

VIII. Demonstratio divini in homines amoris Judæorumque immemoris animi. Et ad ipsos exhortatio ut gentium conversionis et latronis in tempore crucis salvati participes fiant.

IX. Accusatio adversus sensualem Israel scilicet quot et quanta in Christum peccaverit, et quod antiquatum suum regimen non senserit, sed æmulatus sit gentium antiquam impietatem, pro quibus criminibus humiliationem ipsis minatur.

X. Lamentatio populi Judæorum, quanta quidem in Deum peccaverit, quantis vero ab ipso multatus sit, et quomodo propter idololatriæ errorem perierint eorum templum et locum, et quæ a Deo acceperint legalia.

XI. Defectio Judæorum gaudii, et ex quod gentium impietatem imitati, Dei sacrificia et oblationes contaminaverint et idolorum errorem in templum introduxerint.

XII. Quomodo Israel Deus unice sibi elegerit; ipsi vero ad simulacra cucurrerunt, et a Dei servitute desciverunt, nec inter eos Christum incarnatum reveriti sunt; unde ipsis imprecatio sterilitatis et in gentes dispersionis inducitur.

NOTÆ.

(3) *Κεφάλαια.* Cum his conferri possunt illa Eusebii, quæ Procopio Parisiis edito in Isaiam sunt præfixa.

Digitized by Google

XIII. Accusatio sensualis Israel, quod, cum prius pietatem coluerit, postea non solum idolis (servierit), sed etiam Christi regnum detrectaverit. Et minæ in eos quantis puniendi sint.

XIV. Antiquo populo exhortatio ad pietatem; et minæ contra eos pro eo quod Christum incarnatum abjecerint. Et vaticinium quomodo ex Ægypto, parvulus cum esset, a Patre suo vocatus fuerit.

XV. Accusatio idololatriæ Judæorum, et quod, cum a Deo correpti fuissent, non se converterint, sed contempta illius denuntiatione, eum ad iracundiam in civitatem et templum provocaverint.

XVI. Quæ Judæis Christus beneficia contulerit, ipsi vero in sua impietate perstiterunt. Propterea ipsos puniendos, Christum vero a Patre vindicandum fore eo quod illum non audierint, denuntiatur.

XVII. Exhortatio quomodo ad Deum converti oporteat, et accusatio eorum quæ Judæorum populus transgrediendo cogitabat. Et narratio eorum quæ tum per legem et prophetas, tum per suam ipsius præsentiam Christus benefecit.

XVIII. Quomodo Judæorum populus, cum Christo conviciatus fuisset, vicem receperit, et idolorum servituti insistens deletus fuerit. Et quanta quidem a Deo beneficia acceperit, postea vero immemor factus corripitur.

XIX. Objurgatio in Judæos, quod Christi regnum ipsi detrectaverint; ille vero diabolum irritum effecit, mortique finem imposuit, abolitionem autem Synagogæ et ejus regiminis minatus est.

XX. Exhortatio ad confessionem, et promissio veniæ et participationis mysteriorum quibus gentium populus potitus est.

Osee significat *salvatus*. Ille erat ex Belemoth, de tribu Issachar; et dedit signum venturum, Dominum scilicet cum hominibus in terra conversatum. Et quercus Sillom dividetur in duodecim partes, et sicut duodecim quercus quæ audiant et sequantur Deum in terris visum. Et per ipsum salvabitur omnis terra. Et mortuus sepultus est in terra sua.

CAPITA JOELIS PROPHETÆ.

I. Accusatio Judæorum, et vaticinium eorum quæ gentium populus facturus est populo Judæorum.

II. Lamentatio Judæorum sacerdotum propter sterilitatem populi, et legalium sacrificiorum destructionem.

III. Exhortatio Israeli ad pœnitentiam propter mala quæ ipsis nunc accidunt, et quæ ventura sunt in die judicii.

IV. Vaticinium evangelicæ prædicationis, et

ιγ'. Διαβολὴ τοῦ αἰσθητοῦ Ἰσραήλ, ὅτι πρότερον εὐσεβῶν, ὕστερον οὐ μόνον ἐν τοῖς εἰδώλοις, ἀλλὰ καὶ τοῦ Χριστοῦ τὴν βασιλείαν ἠρνήσατο· καὶ ἀπειλὴ κατ' αὐτῶν ὅσα παιδεύεσθαι μέλλουσι.

ιδ'. Παραίνεσις τῷ ἀρχαίῳ λαῷ θεοσεβείας· καὶ ἀπειλὴ κατὰ τῶν αὐτῶν, ἀνθ' ὧν τὸν Χριστὸν σαρκωθέντα ἀπέῤῥιψαν· καὶ προφητεία, ὅπως ἐξ Αἰγύπτου βρέφος ὢν παρὰ τοῦ Πατρὸς κέκληται.

ιε'. Κατηγορία τῆς εἰδωλικῆς τῶν Ἰουδαίων πλάνης· καὶ ὅτι παρὰ τοῦ Θεοῦ διορθωθέντες οὐκ ἐπέστρεψαν, ἀργὸν δὲ αὐτοῦ πεποιηκότες τὸ κήρυγμα, ὀργισθῆναι κατὰ τῆς πολιτείας καὶ τοῦ ναοῦ παρεσκεύασαν.

ις'. Οἷα τοῖς Ἰουδαίοις ὁ Χριστὸς φιλανθρωπεύεται, αὐτοὶ δὲ ἀσεβοῦντες ἐπέμειναν· διόπερ αὐτοὺς μὲν τιμωρήσεσθαι, ἐκδικήσειν δὲ τὸν Χριστὸν ὁ Πατὴρ ὡς παρακουσθέντα παρ' αὐτῶν ἐπαγγέλλεται.

ιζ'. Παραίνεσις πῶς δεῖ πρὸς τὸν Θεὸν ἐπιστρέφειν καὶ κατηγορία ὧν ὁ τῶν Ἰουδαίων λαὸς παρανομῶν ἐλογίζετο. Καὶ διήγησις ὅσα διὰ νόμου καὶ προφητῶν καὶ διὰ τῆς οἰκείας αὐτοῦ παρουσίας ὁ Χριστὸς εὐηργέτησεν.

ιη'. Ὅπως ὁ τῶν Ἰουδαίων λαὸς τὸν Χριστὸν ὀνειδίσας τὴν ἀμοιβὴν ἀπέλαβε, καὶ τῇ δουλείᾳ τῶν εἰδώλων ἐπιμείνας ἠφάνισται· καὶ ὅσα παρὰ τοῦ Θεοῦ εὐηργετήθη πρότερον, ἀγνωμονήσας δὲ μετὰ ταῦτα παιδεύεται.

ιθ'. Ὀνειδισμὸς κατὰ τῶν Ἰουδαίων, ὅτι τοῦ Χριστοῦ μὲν αὐτοὶ τὴν βασιλείαν ἠρνήσαντο, αὐτὸς δὲ τὸν μὲν διάβολον κατήργησε, καὶ τὸν θάνατον ἔπαυσεν· ἀφανισμὸν δὲ τῆς Συναγωγῆς καὶ τῆς ἐν αὐτῇ πολιτείας ἀπείληφε.

κ'. Παραίνεσις ἐξομολογήσεως, καὶ συγγνώμης ὑπόσχεσις, καὶ μυστηρίων κοινωνίας, ὧν ὁ λαὸς ὁ ἐξ ἐθνῶν ἀπήλαυσεν.

Ὡσηὲ (4) ἑρμηνεύεται *σωζόμενος*· οὗτος ἦν ἐκ Βελεμὼθ [Βελελεμὼθ Theophylact.] τῆς φυλῆς Ἰσάχαρ. καὶ ἔδωκε τέρας ἥξειν Κύριον ἐπὶ γῆς ἀνθρώποις συναναστρεφόμενον· καὶ ἡ δρῦς ἡ ἐν Σιλὼμ μερισθήσεται [εἰς] δώδεκα μέρη· καὶ γενήσονται δώδεκα δρύες ἑπακουσαι καὶ ἀκολουθῆσαι αὐτῷ ἐπὶ [τῷ ἐπὶ] γῆς φανέντι Θεῷ, καὶ δι' αὐτοῦ σωθήσεται πᾶσα ἡ γῆ· καὶ οὕτως [οὗτος] θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

ΚΕΦΑΛΑΙΑ ΙΩΗΛ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

α'. Κατηγορία τῶν Ἰουδαίων, καὶ προφητεία ὧν ὁ ἐξ ἐθνῶν λαὸς ποιεῖν τὸν λαὸν τῶν Ἰουδαίων ἔμελλεν.

β'. Θρῆνος τῶν Ἰουδαϊκῶν ἱερέων διὰ τὴν ἀκαρπίαν τοῦ λαοῦ, καὶ τῶν νομικῶν θυσιῶν τὴν καθαίρεσιν.

γ'. Παραίνεσις τῷ Ἰσραὴλ μετανοίας ἕνεκα τῶν ἐνταῦθα συμβάντων αὐτοῖς κακῶν, καὶ τῶν προσδοκωμένων ἐν ἡμέρᾳ τῆς κρίσεως.

δ'. Προφητεία τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ

NOTÆ.

(4) *Ὡσηέ.* Illa in codice Augustano, et ut reliquorum prophetarum XII vitæ, litteris majusculis exarata, sed ἀνωνύμως, visuntur. De auctore non injuria dubites, cum et in Epiphanii libro περὶ τῶν προφητῶν, et in Theophylacti Hermeneia, eadem legantur; pleraque etiam apud Dorotheum; Joelis item Vita in Cyrillo Alexandrino ms. non aliter quam hic describatur.

Digitized by Google

τῆς τοῦ νέου λαοῦ πολιτείας, καὶ τῶν μελλόντων κατὰ τὸν καιρὸν τῆς συντελείας ἔσεσθαι.

ε'. Διδασκαλία τῶν τῆς μετανοίας τρόπων, καὶ Θεοῦ συμπαθείας ὑπόσχεσις, καὶ προφητεία μυστηρίων δι' ὧν ἡ δυναστεία τοῦ διαβόλου πέπαυται.

ς'. Πρόρρησις τῆς διὰ σταυροῦ σωτηρίας, καὶ τῆς τῶν μυστηρίων τῶν νέων παραδόσεως, ἅπερ ὁ Χριστὸς ἐνανθρωπήσας εἰς ἀποτροπὴν τῶν ἔμπροσθεν κακῶν τῷ Ἰσραὴλ μάλιστα τῷ νοητῷ δεδώρηται.

ζ'. Ὑπόσχεσις τῆς καθολικῆς δωρεᾶς καὶ καθόλου τοῦ Πνεύματος· καὶ πρόρρησις τίνα ἐν τῷ καιρῷ τῆς συντελείας ἔσται, καὶ τίνες οἱ τότε σωζόμενοι.

η'. Ἀπειλὴ κρίσεως κατὰ δαιμόνων μάλιστα, ἀνθ' ὧν τοῦ Θεοῦ τὸν λεὸν εἰς ἡδονῶν δουλείαν καὶ λατρείαν εἰδώλων Ἑλληνικῶν ἀπέδοντο, καὶ τῆς ἐπιστροφῆς τῶν ἀσεβῶν ὑπόσχεσις.

θ'. Προτροπὴ θείου ζήλου, καὶ ἀπειλὴ τῆς παγκοσμίου κρίσεως, καὶ παραίνεσις ἀρετῶν κατορθώσεως.

ι'. Προφητεία τῶν κατὰ τὸν καιρὸν γεγονότων τοῦ σταυροῦ, καὶ ἁγιασμοῦ τῆς νέας Ἱερουσαλὴμ, καὶ τῆς τῶν ἀποστόλων καὶ προφητῶν συμφωνίας καὶ μυστικῆς πηγῆς, ἥτις ἐξ οἴκου Κυρίου τῆς πλευρᾶς τῆς Δεσποτικῆς ἔῤῥευσε· καὶ ἀφανισμοῦ δαιμόνων· καὶ ἐκδικήσεως τοῦ Ἀδάμ· καὶ ὑπόσχεσις διαβόλου κρίσεως· καὶ τῆς ἐν τῇ Σιὼν τῇ νοητῇ κατοικήσεως.

Ἰωὴλ (5) ἑρμηνεύεται *ἀγαπητὸς Κυρίου*, ἢ *ἀρχή*. Οὗτος ἦν ἐκ τῆς φυλῆς Ῥουβὴν, ἀγροῦ μεθομόρων· ἐν εἰρήνῃ ἀπέθανε, καὶ ἐτάφη ἐκεῖ.

ΚΕΦΑΛΑΙΑ ΑΜΩΣ ΠΡΟΦΗΤΟΥ.

α'. Προφητεία τῆς ἀποφανθείσης παρὰ τοῦ Χριστοῦ τοῖς Ἰουδαίοις ἐρημώσεως.

β'. Ἀπειλὴ κατὰ τῶν γειτονούντων τῷ Ἰσραὴλ ἐθνῶν, ἀνθ' ὧν εἰς αὐτόν τε ποικίλως ἐπλημμέλησαν, καὶ εἰς Θεὸν ἠσέβησαν.

γ'. Ἀπειλὴ κατὰ τοῦ Ἰούδα καὶ τοῦ Ἰσραὴλ, ἀνθ' ὧν τὸν μὲν νόμον παρέδησαν, καὶ τὸν Χριστὸν ἀπέδοντο, καὶ εἰς τοὺς αὐτοῦ μαθητὰς ἐπλημμέλησαν· ἐν τῷ ναῷ δὲ ἠσέλγαινον, καὶ ἐνεργεῖν τοὺς ἐν αὐτοῖς πνευματοφόρους ἐκώλυον.

δ'. Ὅτι παρὰ τοῦ Θεοῦ Ἰσραὴλ ἐπιλεχθεὶς, ἠθέτησε· καὶ διὰ τοῦτο μαστίζεται· καὶ ὅτι πᾶσα παρὰ Θεοῦ παιδεία ἐπιφέρεται, καὶ παρ' αὐτοῦ τοῖς προφήταις γνωρίζεται.

ε'. Κατηγορία τῶν ἐν τῇ Σαμαρείᾳ πλημμεληθέντων, καὶ ἀπειλὴ τῆς νοητῆς Τύρου, καὶ πρόρρησις ὅτι ὁ Ἰσραὴλ ἀπὸ μέρους σωθήσεται.

ς'. Προφητεία τῶν συμβησομένων τῇ Ἱερουσαλὴμ καὶ τῇ λοιπῇ Ἰουδαίᾳ, ἀνθ' ὧν τὸν νόμον, πρὸς τοῖς ἄλλοις θύοντες ἔξω τοῦ τόπου τοῦ προσταχθέντος, παρέβαινον.

ζ'. Διήγησις ὧν ἔμελλεν ὁ λεὸς τῶν Ἰουδαίων πείσεσθαι, καὶ ὧν πέπονθε πρότερον· καὶ προφητεία τῆς τοῦ Σωτῆρος ἀφίξεως.

novi populi regiminis, et futurorum in tempore consummationis.

V. Documentum de pœnitentiæ rationibus et divinæ compassionis promissio et prophetia mysteriorum per quæ imperium diaboli deletur.

VI. Prædictio salutis per crucem, et traditionis novorum mysteriorum quæ Christus factus homo, ad avertenda priora mala, Israeli præsertim spiritali donavit.

VII. Promissio catholici doni et universi spiritus, et prædictio futurorum in tempore consummationis; et qui sint tunc salvati.

VIII. Minæ judicii præsertim in dæmones, eo quod populum Dei tradiderint in voluptatum servitutem, et gentilium simulacorum cultum vendiderint, et conversionis impiorum promissio.

IX. Incitatio divinæ æmulationis, et minæ universalis judicii; et exhortatio ad virtutum cultum.

X. Vaticinium eorum quæ facta sunt in tempore crucis; et sanctificationis novæ Jerusalem; et concordiæ apostolorum et prophetarum; et mystici fontis, qui ex domo Domini, latere scilicet Dominico, effluxit; et abolitionis dæmonum, et pœnæ Adami; et promissio judicii diaboli et habitationis in spiritali Sion.

Joel significat *dilectus Deo* sive *principium*. Erat ex tribu Ruben, ex agro vicinorum. In pace mortuus est et sepultus ibidem.

CAPITA AMOS PROPHETÆ.

I. Vaticinium manifestatæ a Christo Judæis vastationis.

II. Minæ in vicinas Israeli gentes, eo quod in illum varie peccaverint et in Deum impie egerint.

III. Minæ adversus Judam et Israelem eo quod legem transgressi sint, Christum vendiderint et in ipsius discipulos peccaverint, et templum contaminaverint, et in ipsis spiritu plenos prohibuerint quin agerent.

IV. Quod Israel a Deo electus desciverit, et propterea castigatur; et quod omnis correctio a Deo inducitur et ab ipso prophetis significatur.

V. Accusatio peccatorum in Samariæ commissorum, et minæ spiritalis Tyri, et prædictio Israelem parte salvatum iri.

VI. Vaticinium eorum quæ superventura sunt Jerusalem et reliquæ Judææ pro eo quod legem, præter cætera sacrificantes extra locum præscriptum transgressi sunt.

VII. Narratio eorum quæ passurus est populus Judæorum, et quæ passus est prius. Et vaticinium adventus Salvatoris.

NOTÆ.

(5) Ἰωὴλ οὗτος ἦν ἐξ ἀγροῦ Βηθώρ, Epiph.; *vicinus agro Bethoron*, Doroth.

Digitized by Google

VIII. Vaticinium ad synagogam Judaicam integri casus. Et exhortatio ut ad Deum convertatur ; et prophetia eorum quæ in Christum delinquentes passuri sunt.

IX. Consilium de culto divino et promissio lamentationis Judæorum, et eorum quæ eventura sunt peccatoribus in die judicii.

X. Repudiatio sacrificiorum Judaicorum, et accusatio quod servierint idolis vicinarum gentium, licet numero et viribus majores, et quomodo propter multitudinem voluptatum, conversi sunt ad luxuriam.

XI. Minæ vastationis Israel, et narratio eorum quæ adversus legem et Deum peccaverunt, propter quæ Babylonis se inducturum minatur.

(3) *Μὴ ἀπόρως.* Aut geminandum μὴ aut potius C scribendum εὐπόρως, ex solemni in scriptis exemplaribus affinitate inter α, ευ, εν, quam pluribus exemplis alibi firmavi, quæque plurimas peperit in libris editis cum variæ lectiones, tum mendas. Sic in Joanne Philopono, *De mundi creatione*, περὶ κοσμοποιΐας. ex Corderio, aut juxta Lambecium, τῶν εἰς τὴν Μωυσέως κοσμογονίαν ἐξηγητικῶν, lib. I, cap. 16, p. 34, extrema, ἀσώματοι vice ἐνσώματοι, lib. VI, cap. 10, p. 218, ἐννοοῦντες qui εὐνοοῦντες. Catena Marci XIV, 12, ἀπροσφόρως loco εὐπροσφόρως. Isidorus Pelusiota epist. 199, lib. II, ὁ κατὰ ἀντίφρασιν τῆς ἀσεβείας (imo εὐσεβείας, ut epist. 122, in textu) Εὐσέβιον ἑαυτὸν καλέσας. Et vice versa, Libelli Synodici cap. 56 *De Acacio et Eudoxio Arianis*, ὁ δὲ βασιλεὺς τῇ δυάδι τῆς εὐσεβείας φαιδρυνόμενος. corrig. ἀσεβείας. Atque per eam similitudinem solvitur quæstio quam annis superioribus proponebant viri Græce, Latine et Gallice docti, quæ et eruditorum hujusce urbis ingenia exercuit; locus D videlicet Ducæ Historiæ, cap. 20 : ὁ δὲ βασιλεὺς Ἰωάννης ἦν μὴ στέργων τὴν σύνοικον. Ἡ κόρη γὰρ τῷ μὲν σώματι καὶ μάλα εὐάρμοστος· τράχηλος εὐειδὴς, θρὶξ ὑποξανθίζουσα, καὶ τοὺς πλοκάμους ὡς ῥύακας χρυσαυγίζοντας, μέχρι τῶν ἀστραγάλων καταρεομένους ἔχουσα, ὤμους πλατεῖς, καὶ βραχίονας, καὶ στέρνα καὶ χεῖρας ἐμμέτρους, καὶ δακτύλους χρυσταλλοειδεῖς, καὶ τὴν πᾶσαν ἡλικίαν τοῦ σώματος ἀνωρεπῆ, καὶ πολὺ εἰς τὸ ὀρθιον ἱσταμένη· ὄψις δὲ καὶ χεῖλη, καὶ ῥινὸς κατάστασις, καὶ ὀφθαλμῶν καὶ ὀχρύων σύνθεσις εὐειδεστάτη παντάπασιν· ὡς ἔπος γοῦν εἰπεῖν· ἀπ' ἐμπρὸς Τεσσαρακοστὴ, καὶ ὄπισθεν Πάσχα. *Verum imperator Joannes uxorem aversabatur, quamvis decenti esset corpore, formoso collo, flavisque crinibus; capillos cincinnatos ad instar radiantis auri ad talos usque defluentes gestabat; lati illi erant humeri, brachia, pectus et manus egregia proportione compositæ; digiti ipsius crystalli nitorem ac splendorem imitabantur, corporis statura erecta ac mediocri procerior. Cæterum formosissimo erat vultu, naso, oculis et superciliis; ita ut juxta vulgare proverbium, anterius Quadragesimæ, pone vero Paschati similis esse videretur.* Ac merito quidem non satisfaciebat præstantissimi Bullialdi interpretatio, Sophiam eximia et absoluta pulchritudine nitentem ironice describi; ejusque partes anteriores Quadragesimæ, posteriores Paschati comparatas fuisse, quod facie macilenta nec florida deformisque esset. Mihi vero post aliquantam meditationem in mentem venit id quod res est, legi debere ἀειδεστάτη non εὐειδεστάτη, sensu serio et aperto, ut puella facie deformis, Quadragesimæ, a tergo scita et elegans, Paschati similis vulgo diceretur. Unde Laonicus lib. IV, p. 109 B. ἀηδῆ τὴν ὄψιν nuncupat, Phrantzes vero lib. I, cap. ult. deformem facit, a potiori parte. Nec minus faceto adagio joculatores nostrates de hujusmodi feminis dictitant, *Tentation par derrière, repentance par devant.*

(4) *Ἠλίας* [εἶ;] *εἶπεν·* Syllabam supplevi quæ omissa fuerat ob similem consequentem. Idque genus vitii frequenter occurrit. Ea ad manum documenta. Philoponus *De mundi creatione* VI, 15, extremo; καὶ τί δέον ἐστὶν ἐκ συλλογισμοῦ τοῦτο λαμβάνειν, ἐπ' αὐτῆς αὐτὸ λέξεως γέγραφεν pro ἐπεὶ ἐπ' αὐτῆς. In Catena ad Jeremiam Ghisleriana, cap. II, vers. 23, Victor presbyter; πολυάνδριον δέ φησιν

Digitized by Google

Solutio.

Non absolute Christus de illo dixit: *Hic est Elias qui venturus est*; sed præposuit: *Si vultis recipere, hic est Elias.* Hoc autem elocutus est, quod is ministerium Eliæ adimpleverit. Exstitit quippe Joannes Præcursor primi Christi adventus, sicut Elias erit secundi.

Difficultas III.

Quo modo Joannes evangelista inducit Baptistam de Christo dicentem sic: *Ego nesciebam eum* [8]? Nam si nesciebat, quare illum baptizari cupientem prohibebat [9], dicens quæ a Matthæo referuntur.

Solutio.

Cum sint quatuor cognitiones; per visum, per prophetiam, per auditum, et per experientiam; tribus quidem prioribus non dicit se nesciisse, sed quarta, per experientiam videlicet. Hac enim ipsum usque ad baptismum, et spiritus contemplationem, ignorabat. Sicut et Adam bonum et malum [10] nesciebat cognitione experimenti. Si enim omnino ignorasset, bonum esse obedire Deo, malum non obtemperare, non pœnas dedisset.

Difficultas IV.

Quam ob rem evangelistæ vocationem apostolorum diverse exposuerunt? Ait siquidem Matthæus dixisse Dominum: *Venite post me, et faciam vos piscatores hominum* [11]. Lucas autem post piscium capturam retulit Dominum dixisse Petro [12]: *Ex hoc jam homines eris capiens* [13].

Solutio.

Utraque vocatio vera est, diversis nempe facta temporibus. Nam verbis Andreæ inductus Petrus, et profectus est ad Dominum; audiensque ab illo: *Tu vocaris Cephas* [14], adhuc piscationem exercuit; deinde, ut Matthæo placet; *reficientes retia* [15], ipse et Andreas, Jacobus et Joannes, a Christo vocati sunt.

A

B

C

Λύσις.

Οὐκ ἀπροσδιορίστως ὁ Χριστὸς περὶ αὐτοῦ εἶπεν· *Οὗτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι· ἀλλὰ προέταξεν τὸ, Εἰ θέλετε δέξασθαι, οὗτός ἐστιν Ἠλίας.* Τοῦτο δὲ εἶπε, διὰ τὸ τὴν διακονίαν αὐτὸν τοῦ Ἡλιοῦ πεπληρωκέναι. Πρόδρομος γὰρ τῆς τοῦ Χριστοῦ παρουσίας· Ἰωάννης γεγένηται, καθὰ Ἠλίας τῆς δευτέρας γενήσεται.

Ἀπορία.

Πῶς Ἰωάννης ὁ εὐαγγελιστὴς ἐκτίθεται τὸν Βαπτιστὴν (5) περὶ τοῦ Χριστοῦ λέγοντα, ὅτι *Ἐγὼ οὐκ ἤδειν αὐτόν;* Εἰ γὰρ οὐκ ἤδει, πῶς βαπτισθῆναι θέλοντα διεκώλυεν αὐτὸν, λέγων ἅπερ τῷ Ματθαίῳ ἱστόρηται.

Λύσις.

Τεσσάρων γνώσεων οὐσῶν· τῆς δι' ὄψεως, τῆς διὰ προφητείας, τῆς δι' ἀκοῆς, τῆς διὰ πείρας· ταῖς μὲν τρισὶν οὐ λέγει αὐτὸν ἠγνοηκέναι, ἀλλὰ τῇ τετάρτῃ τῇ διὰ πείρας. Ταύτῃ γὰρ αὐτὸν μέχρι τοῦ βαπτίσματος, καὶ τοῦ Πνεύματος θεωρίας, ἠγνόει. Καθάπερ καὶ Ἀδὰμ, τὸ καλὸν καὶ πονηρὸν οὐκ ἤδει τῇ διὰ πείρας γνώσει. Εἰ γὰρ παντελῶς ἠγνόει, ἀγαθὸν μὲν τὸ ἀκοῦσαι Θεοῦ, κακὸν δὲ τὸ παρακοῦσαι, οὐκ ἂν ἐκολάζετο.

Ἀπορία.

Τίνος χάριν τὴν τῶν ἀποστόλων κλῆσιν διαφόρως οἱ εὐαγγελισταὶ ἐκτίθενται; Ὁ μὲν Ματθαῖός φησι εἰρηκέναι τὸν Κύριον· *Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.* Λουκᾶς δὲ μετὰ τὴν τῶν ἰχθύων ἄγραν ἱστόρησε τὸν Κύριον εἰπεῖν τῷ Πέτρῳ· *Ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.* Ἰωάννης δὲ ἑτέρως.

Λύσις.

Ἑκατέρα κλῆσις ἀληθὴς, ἐν διαφόροις γενομένη καιροῖς. Τοῖς γὰρ Ἀνδρέου λόγοις ἐναχθεὶς ὁ Πέτρος, καὶ ἀπῆλθεν πρὸς τὸν Κύριον, καὶ ἀκούσας παρ' αὐτοῦ· *Σὺ κληθήσῃ Κηφᾶς*, καὶ τὰ ἑξῆς, πάλιν τῇ ἁλίᾳ ἐσχόλαζεν· εἶτα, καθὼς Ματθαίῳ δοκεῖ, *καταρτίζοντες τὰ δίκτυα*, αὐτός τε καὶ Ἀνδρέας,

[8] Joan. I, 51. [9] Matth. III, 14. [10] Gen. III, 5, 22. [11] Matth. IV, 19. [12] Luc. V, 10. [13] Joan. I, 39. [14] ibid. 42. [15] Matth. IV, 21.

NOTÆ.

ἐνταῦθα, τὰς νεκυομαντίας ἀπείρων. Add. ἔνθα ante τάς. Alia Catena; Joan. V, 21, ex Didymo: Οὐ γὰρ ἕτερα κτίζοντος τοῦ Πατρὸς, ἕτερα οὐσιοῖ ὁ Υἱός. Ἠκολούθει γὰρ τούτῳ, δύο ἡλίους, καὶ ἕκαστον τῶν ὄντων εἶναι· ἀλλ' οὐ φαίνεται οὕτω ἔχοντα τὰ κτίσματα. Insigni mendo, atque sic sanande, ἕκαστον ὄντων. « Non enim alia creante Patre, aliis dat esse Filius. Sequeretur enim hinc, duos soles, et unumquodque eorum quæ sunt duplex esse: verum non sic sese res creatæ habere videntur. » Ad Leonem Isaurum Gregorius R. P. ὃν αἱ πᾶσαι βασιλεῖαι τῆς Δύσεως [ὡς] Θεὸν ἐπίγειον ἔχουσι. *Quem omnia Occidentis regna velut Deum terrestrem habent.* In synodo Photiana, Oxoniensis synodici, II, 11, 282, E: ἵνα κωρωθῇ pro ἵνα ἀκυρωθῇ. Canone 6 Gregorii Nysseni, etiam apud Matthæum monachum litt. II, c. 11, τρίτης loco τριττῆς, e mss. quoque. Et apud Latinos, epistola 38 inter Bonifacianas: « Accusamur apud eum ab his qui nobis invident. » Imo *apud Deum* epist. 73. « Interdum enim et juxta meritum plebium, eligun-

D tur personæ electorum. Unde noverunt populi meriti sui regimen præversi suscepisse pontifices. » Ubi tria errata tollas velim, rescribendo: « Noverint populi meritis sui, regimen perversi suscepisse pontifices. » Idem Bonifacius Moguntinus *De sancto Livino*, p. 249: « Sed non ita ininjuriatus emigrabit. » Male editum *injuriatus*. Denique Philastrii Hæresi antepenult.: « Credentium recte atque paucorum perfecte lectio (electio) nuntiabatur per angelum affutura; ut dictum est: Multi vocati, pauci electi. »

(5) *Τὸν Βαπτιστήν*. Agens de Joanne Baptista Anonymus Vaticanus citaverat Clementis Alexandrini *Stromateum* V, loco qui habetur edit. Paris. p. 575, priusquam librario placuisset nobis obtrudere *Stromatum* librum XLV, immani et ridiculo post veterum testimonia augmento. Ponatur itaque in Catena pro ἐν μὲ στρώματι, ἐν ε' στρώματι, vel στρωματεῖ Marc. I. VII.

Digitized by Google

Ἰάκωβος καὶ Ἰωάννης, ὑπὸ Χριστοῦ ἐκλήθησαν. Εἶτα, καθὼς Λουκᾶς ἱστορεῖ, μετὰ τὴν τῶν ἰχθύων ἄγραν, ἔργοις τῆς δυνάμεως αὐτοῦ πεῖραν, εἰληφότες, καὶ *θάμβους* πλησθέντες, ὁλοκλήρως αὐτῷ ἠκολούθησαν.

Ἀπορία.

Τίνος χάριν ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς ἐνηλλαγμένως τοὺς πειρασμοὺς προσενεχθῆναι ὑπὸ τοῦ διαβόλου τῷ Κυρίῳ ἐξέθεντο, ἐν τῷ πτερυγίῳ καὶ ἐν τῷ ὑψηλῷ ὄρει (6) ἀναχθέντι ;

Λύσις.

Οὐκ ἐναντιολογία τοῦτο· διά τε τὸ ἐν στιγμῇ χρόνου ἑκάτερον γεγενῆσθαι, διά τε τὸ συμπεπλεγμένον τῆς κενοδοξίας, ὑπερηφανίας τε καὶ φιλαργυρίας, ἅπερ ὑπέλαβεν αὐτῷ ὁ ἐχθρός· ὧνπερ τό τε πτερύγιον, τό τε ὑψηλὸν ὄρος, ὑπῆρχε σύμβολον· τῷ μὲν εἰπεῖν, *Βάλε σεαυτὸν κάτω*, εἰς κενοδοξίαν αὐτὸν ἐρεθίζων· τῇ δὲ ὑποσχέσει τῆς δόσεως τῆς δειχθείσης αὐτῷ ἀπατηλῆς δόξης, εἰς φιλαργυρίαν καὶ τύφον αὐτὸν προτρεπόμενος. Ἀλλ' ἐν ἑκατέρᾳ πάλῃ πτωματισθεὶς κατῃσχύνθη.

Ἀπορία.

Τίνος χάριν παρηλλαγμένως τοὺς μακαρισμοὺς Ματθαῖός τε καὶ Λουκᾶς ἀνεγράψαντο ;

Λύσις.

Ὅτι διαφόροις καιροῖς ἐλέχθησαν. Οἱ μὲν ἐν τῷ ὄρει καθημένου τοῦ Κυρίου, καὶ τῶν μαθητῶν αὐτοῦ περιεστώτων, καὶ τοῦ λοιποῦ ὄχλου κάτω ἑστηκότος καὶ ἀκροωμένου. Οἱ δὲ ἐν τόπῳ πεδινῷ παρὰ τοῦ Κυρίου πρὸς τοὺς ἀποστόλους ἐξεφώνησαν.

Ἀπορία.

Διατί Ματθαῖος μὲν μετὰ τοὺς μακαρισμοὺς καὶ τὸν ἑκατόνταρχον, φησὶ τὸν Κύριον εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Πέτρου, καὶ θεραπεῦσαι τὴν πενθερὰν αὐτοῦ· Λουκᾶς δὲ προλεχθῆναι τοὺς μακαρισμούς, πρὶν προσελθεῖν τὸν ἑκατόνταρχον, φησὶ τὸν Κύριον ἰάσασθαι αὐτήν ; Τίνος δὲ χάριν καὶ τὸν παράλυτον, Ματθαῖος μὲν εἰς τὴν ἰδίαν πόλιν τῆς Ναζαρὲτ, Μάρκος δὲ καὶ Λουκᾶς εἰς Καπερναοὺμ, Ἰωάννης δὲ ἐν Ἱεροσολύμοις λέγει τὸν Κύριον ἰάσασθαι ;

Λύσις.

Ἐκ τούτων δείκνυται μὴ μόνον τοὺς μακαρισμοὺς ἐκ δευτέρου ἐκθέσθαι τὸν Κύριον, ἀλλὰ διαφόρους

Postea, quemadmodum narrat Lucas, post piscium capturam, cum ex operibus experientiam cepissent virtutis illius, ac *stupore* repleti fuissent [16], omnino secuti sunt eum.

Difficultas v.

Qua de causa Matthæus et Lucas diverso ordine tentationes Domino per diabolum illatas fuisse retulerunt, in pinnaculum et in excelsum montem adducto [17] ?

Solutio.

Non hoc est contradictio, tum quia utrumque momento temporis contigit; tum ob connexionem inanis gloriæ, superbiæ et avaritiæ, quæ vitia ipsi suggessit inimicus, quorumque symbolum erat pinnaculum et mons excelsus; dicendo, *Mitte te deorsum*, ad vanam gloriam eum incitans, promissione autem doni ostensæ illi fallacis gloriæ, in avaritiam et fastum inducens. Verum in utraque lucta dejectus ignominia affectus est.

Difficultas VI.

Quare permutato ordine beatitudines Matthæus et Lucas conscripserint [18].

Solutio.

Quia variis temporibus dictæ fuerunt. Illæ quidem Matthæi, cum Dominus sedisset in monte, discipulique ejus circumstarent, et reliqua turba infra staret atque audiret. Hæ vero Lucæ, in loco campestri pronuntiatæ sunt a Domino ad apostolos.

Difficultas VII.

Cur Matthæus quidem post beatitudines et centurionem, ait Dominum intrasse in domum Petri, et curasse socrum ejus [19]; Lucas vero, antequam beatitudines prolatæ fuissent, antequam accessisset centurio, dicit Dominum eam sanasse [20] ? Quare etiam paralyticum a Domino sanatum fuisse [21] dicit Matthæus in sua civitate Nazareth, Marcus et Lucas in Capernaum, Joannes Hierosolymis [22] ?

Solutio.

Ex his patet non modo Dominum bis protulisse beatitudines, sed et diversis leprosis ac paralyticis sanitatem contulisse. Siquidem illas apud Mat-

[16] Luc. v, 9. [17] Matth. IV, 1, etc.; Luc. IV, 1, etc. [18] Matth. v, 3; Luc. VI, 20. [19] Matth. VIII, 14. [20] Luc. IV, 38. [21] Matth. IX, 1. [22] Joan. v, 2.

NOTÆ.

(6) *Ἐν τῷ ὑψηλῷ ὄρει.* Petrum Possinum, hominem non indoctum, immerito turbaverunt verba Catenæ in Marcum, circa tentationem Dominicam, non adeo sane obscura : Διὰ τοῦτο δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀναβαίνει· ἵνα τῇ ἐρημίᾳ τοῦ τόπου θαρρήσας, θρασύτερον προσβάλῃ αὐτῷ ὁ διάβολος. Εἰώθε γὰρ μεμονωμένους ἡμῖν οὖσιν ἀεὶ ἐπιτίθεσθαι. Hoc est, *Propterea vero ut plurimum ascendit ;* seu, Christus plerumque in montem ascendisse refertur ab evangelistis : *Ut loci solitudine fretus diabolus, auducius cum ipso congrederetur. Solet enim in nos semper irruere, cum ab aliis segregati ac soli sumus.* Accipe locum notabilem orat. 117, t. V. Chrysostomi Saviliani p. 755, extrema, quem non examino : Ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. Οὐδαμοῦ εὑρίσκεις καταβαίνοντα. Ἀνέβαινεν ἀπὸ Ἰεριχὼ εἰς Ἱεροσόλυμα, ἀνέβη εἰς τὸ ὄρος. Ὅπου γὰρ Θεὸς, ἐκεῖ καὶ ἀνάβασις. Μακάριος ἀνὴρ, οὗ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ, Κύριε, αἱ ἀναβάσεις σου ἐν τῇ καρδίᾳ αὐτοῦ. Ὅπου ἀρετὴ, ἀνάβασις, ὅπου κακία, κατάβασις. Ῥῦσαί με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Id est, *Ascendit Jesus in templum. Nusquam invenies illum descendere. Ascendit a Jericho Hierosolymam. Ascendit in montem. Ubi enim Deus, ibi et ascensio. Beatus vir cujus est auxilium abs te, Domine ; ascensiones tuæ in corde ipsius. Ubi virtus, ascensio ; ubi vitium, descensus. Eripe me a descendentibus in lacum.*

Digitized by Google

thæum [13], ante electionem duodecim apostolorum præ cæteris, elocutus est? Unde et universalius eas exposuit. Post quas descendens de monte, leprosum purgavit, curavitque puerum centurionis et Petri socrum. Lucas vero post electionem duodecim [14] et nominum eorum manifestationem, narrat Christum Dominum stantem in loco campestri, beatitudines ipsis promulgasse. Quocirca in eorum persona effert. Consimili modo et centurionum uterque, ille a Matthæo et ille a Luca scriptus [15], diversi fuerunt, quamvis ambo essent habitatores Capernaum. Ille namque per se Dominum rogavit; hic vero per seniores; et hic pro servo, ille pro filio. Solet enim Scriptura filio dare nomen pueri. Sed et ex paralyticis, alius est ille qui a Luca et Marco [16] refertur per tegulas submissus, et alius per Matthæum inter suam e telonio vocationem descriptus [17], et alter qui in probatica piscina Hierosolymis a Joanne narratur [18].

A λεπρούς καὶ παραλυτικούς ἰάσασθαι. Τοὺς μὲν γὰρ παρὰ τῷ Ματθαίῳ, πρὸ τῆς ἐκλογῆς τῶν δώδεκα ἀπὸ τῶν λοιπῶν, προσεφώνησεν. Ὅθεν καὶ καθολικώτερον τούτους ἐξέθετο· μεθ' οὓς κατελθὼν ἐκ τοῦ ὄρους, τὸν λεπρὸν ἐκάθηρε, καὶ τὸν τοῦ ἑκατοντάρχου παῖδα, καὶ τὴν Πέτρου πενθεράν. Λουκᾶς δὲ μετὰ τὴν ἐκλογὴν τῶν δώδεκα, καὶ τὴν τῶν ὀνομάτων αὐτῶν φανέρωσιν, ἐπὶ τόπου πεδινοῦ στάντα τὸν Κύριον ἐκτίθεται τὸν Χριστὸν, τοὺς μακαρισμοὺς, αὐτοῖς ἐκφωνῆσαι. Ὅθεν καὶ εἰς τὸ αὐτῶν πρόσωπον ἀποτείνεται. Ὡσαύτως δὲ καὶ τῶν ἑκατοντάρχων ἑκάτερος, ὅ τε παρὰ τῷ Ματθαίῳ, ὅ τε παρὰ τῷ Λουκᾷ γεγραμμένος, ἕτερος ἦν, εἰ καὶ τῆς Καπερναοὺμ ὑπῆρχον ἑκάτεροι οἰκήτορες. Ὁ μὲν γὰρ δι' ἑαυτοῦ παρακαλεῖ τὸν Κύριον· ὁ δὲ διὰ τῶν πρεσβυ- B τέρων· καὶ ὁ μὲν περὶ δούλου [a], ὁ δὲ περὶ υἱοῦ· παῖδα γὰρ τῇ Γραφῇ σύνηθες τὸν υἱὸν ὀνομάζεσθαι. Καὶ τῶν παραλύτων δὲ, ἕτερος μὲν ὁ παρὰ Λουκᾷ καὶ Μάρκῳ (7) ἱστορηθεὶς διὰ τῶν κεράμων χαλασθῆναι· καὶ ἕτερος ὁ παρὰ τῷ Ματθαίῳ μετὰ τὴν αὐτοῦ (8) ἐκ τοῦ τελωνίου κλῆσιν ἀναγραφείς· καὶ ἕτερος ὁ ἐν τῇ προβατικῇ κολυμβήθρᾳ (9) ἐν Ἱερουσαλὴμ ὑπὸ Ἰωάννου ἐκτεθείς.

Difficultas VIII.

Qua ratione Matthæus scripsit duos dæmoniacos occurrisse Domino in regione Gergesenorum [19], Marcus autem et Lucas unum retulerunt [20]?

Ἀπορία.

Πῶς ὁ Ματθαῖος (10) δύο δαιμονιῶντας συναντῆσαι τῷ Κυρίῳ ἐν τῇ Γεργεσηνῶν (11), ἔγραψεν, ἕνα δὲ ὁ Μάρκος καὶ Λουκᾶς ἱστόρησαν;

Solutio.

Quia cum multæ curationes, sermonem et mentem superantes, a Domino editæ fuerint, utrumque

Λύσις.

Ὅτι πολλῶν ἰάσεων, λόγον καὶ νοῦν ὑπερβαινουσῶν, παρὰ τοῦ Κυρίου γεγενημένων, ἑκάτερον τῶν

[13] Matth. v, 3 seqq. [14] Luc. VI, 17. [15] Matth. VIII, 5; Luc. VII, 2. [16] Luc. V, 19; Marc. II, 4. [17] Matth. IX, 2. [18] Joan. V, 2. [19] Matth. VIII, 28. [20] Marc. V, 1; Luc. VIII, 26.

VARIÆ LECTIONES.

[a] *Al.* δούλου.

NOTÆ.

(7) *Καὶ Μάρκῳ.* Mendum occupat interpretem Victorem Antiochenum οἰκονομίζοντες pro οἱ κομίζοντες. Hoc per se patebit cuilibet legenti. Unde nec scriptos codices versare, nec locum proferre volui.

(8) *Μετὰ τὴν αὐτοῦ.* Vel erratum memoriæ est, si nempe μετὰ sit *post*, vel μετὰ accipi debet in eodem sensu ac κατὰ, *inter*, *cum*, vel denique ipsum κατὰ substituendum est. Sæpe enim confunduntur, maxime quando per compendium exarantur. Sic Procemio Catenæ in Job legas hæc Olympiodori: Οἱ μὲν γὰρ τοῦ ἁγίου ὑπεραπολογούμενοι, λέγουσιν ὅτι πρὸ τῆς χάριτος γεγονὼς, καὶ μηδὲν ἐλπίζων ἔσεσθαι κατὰ τόνδε τὸν βίον, ἐπειδὴ τῆς τῶν ὁρωμένων εὐδαιμονίας ἀφῃρέθη, χρημάτων καὶ παίδων, καὶ τῇ ἀνηκέστῳ περιεβέβλητο νόσῳ, εἰκότως ἐδυσχέραινεν. At cum ipse contextus, tum loca alia ejusdem Catenæ p. 87, 98, 187, 279, 340 et 341, postulant μετὰ τόνδε τὸν βίον. *Alii enim, hominis sancti defensionem suscipientes, non immerito eum, qui gratiam ætate præcesserat, et nihil post præsentem vitam fore sperabat, postquam visibilium omnium, divitiarum ac liberorum, felicitate orbatus esset, et in morbum immedicabilem incidisset, calamitatem ægre tulisse dicunt.* Sect. 4, cap. 17 Historiæ concilii Florentini Syropulanæ, κατὰ τὸ Σάββατον τῆς τυροφάγου. Apud Lambecium *Biblioth. Cæsar.* lib. VIII, pag. 509, sub nomine Gennadii Scholarii, μετὰ τὸ *Σάββατον τῆς τυροφάγου.*

(9) *Πολυμβήθρᾳ.* In Vita Silvestri Papæ per Combefisium edita p. 273: ὀφείλει γενέσθαι κόλυβος, ἤγουν κολυμβήθρα, omnino scribendum, κόλυμβος. Euchologii p. 449, 451, κολύμβιον. Κολυμβεῖον.

(10) *Πῶς ὁ Ματθαῖος.* Historia Evangelica pessime accepta jacet in Pauli Orosii *Apologetico de arbitrii libertate*, p. 742: « Qui (dæmones) propria damnati conscientia vociferantur ad Dominum: Quid tibi et nobis, Fili Dei? Quid venisti ante tempus perdere nos? Quos cum intelligas de constitutione judicii confidentes, cape certissimum ipsius contra te exemplum. Si illos in oppressione miserit homines comprehensos, ultimo tunc judicio intelligis esse damnatos. » Quis explicet hæc? Tu me vindice legito, « confitentes, » et « miseri hominis. » Sensus fiet aptus ac perspicuus.

(11) *Γεργεσηνῶν.* Evangelicos textus nequaquam expendo; quippe qui suos habeant satis diffusos interpretes; sed si quæ inter legendum observatu digna occurrerunt, ea non extra rem appono. Cujusmodi sunt verba Epiphanii, hæresi 66, cap. 33: Ἐλθὼν εἰς τὰ μέρη τῆς Γεργεσηνῶν, ὡς ὁ Μάρκος λέγει, ἢ ἐν τοῖς ὁρίοις τῶν Γεργεσηνῶν, ὡς ὁ Λουκᾶς φησι, ἢ Γαδαρηνῶν, ὡς ὁ Ματθαῖος, ἢ Γεργεσαίων, ὡς ἀντίγραφά τινα ἔχει· τῶν γὰρ τριῶν κλήρων ὁ τόπος ἀνὰ μέσον ἦν. Primo siquidem temere arguitur sanctus doctor, in tanta exemplarium omnis ætatis varietate. Deinde verisimilius fit scripsisse eum secundo Γερασηνῶν, ut tres sortes faceret, Gergesenorum, Gerasenorum, et Gadarenorum, quam bis Γεργεσηνῶν, quasi Gergeseni a Gergesæis distinguerentur, idque id eodem confinio.

Digitized by Google

σημείων τούτων πέπραχται. Καὶ τοῦ μὲν ἑνὸς, Μάρκος καὶ Λουκᾶς ἐμνημόνευσαν, τοῦ ἐν τῇ χώρᾳ τῶν Γεργεσηνῶν ὑπ' αὐτοῦ ἰαθέντος· τῶν δὲ δύο τῶν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν ἰαθέντων, ὁ Ματθαῖος. Ὅθεν οἱ μὲν μετὰ τὴν ἴασιν οὐ μνημονεύσονται, δεηθέντες τοῦ Κυρίου ὥστε συνεῖναι αὐτῷ· ὁ δὲ ἱστόρηται τοῦτο πεπραχώς.

A horum miraculorum perpetratum est. Et unius quidem Marcus et Lucas mentionem fecerunt de illo qui in regione Gergesenorum ab ipso sanatus est; duos vero in eadem regione sanatos Matthæus commemorat. Proinde hi non memorantur post sanitatem deprecati Dominum ut essent cum illo; at ille hoc fecisse narratur.

Ἀπορία.

Τίνος χάριν Ματθαῖος καὶ Λουκᾶς φησιν εἰρηκέναι, τὴν εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου ἁμαρτίαν συγχωρεῖσθαι, τὴν δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον μὴ συγχωρεῖσθαι· τοῦ Κυρίου λέγοντος περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, *Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν;*

Difficultas IX.

Quam ob causam Matthæus et Lucas aiunt dixisse Dominum, peccatum in Filium hominis condonari, in Spiritum sanctum non condonari [31.32]; cum de Spiritu sancto dixerit Dominus, *Quia de meo accipiet et annuntiabit vobis* [33]?

Λύσις.

Τὴν εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου βλασφημίαν, ὡς κατὰ ἄγνοιαν διὰ τὰ πάθη τῷ ἀνθρωπίνῳ τοῦ Κυρίου συγκρίματι προσαγομένην, εἶπεν διὰ μετανοίας συγχωρεῖσθαι· τὴν δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν ἢ εἰς τὴν αὐτοῦ θεότητα, καθ' ὃ *Πνεῦμα ὁ Θεός*, ἢ εἰς τὴν οὐσίαν τοῦ ζωοποιοῦ Πνεύματος, μετὰ τὴν τῶν θεοπρεπῶν σημείων καὶ τεράτων ἐπίδειξιν, εἰκότως ἀσυγχώρητον ἔφη, ὡς οὐκ ἔτι κατ' ἄγνοιαν· διὰ τὸ παρεσχηκέναι αὐτοῖς πεῖραν τῆς αὐτοῦ δυνάμεως· ἔπειτα δὲ διὰ τὸ καὶ ἐν τῇ Παλαιᾷ τετρανῶσθαι τὴν γνῶσιν τὴν περὶ τοῦ Πνεύματος. Δυσχερὲς γὰρ, εἰ [b] καὶ ἀδύνατον, τοὺς ἑκουσίως ἐν γνώσει ἀσεβοῦντας, ἅτε ποιωθέντας τῇ θεομάχῳ γνώμῃ, τὸ μεταβάλλεσθαι, κατὰ τὸ ἐν τῷ Ἱερεμίᾳ γεγραμμένον· *Εἰ ἀλλάξεται* (12) *Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς.* Τούτους ὁ Θεολόγος, ἁμαρτάνοντας πρὸς θάνατον κέκληκε. Τὸ δὲ μὴ ἐν τῷ παρόντι, μήτε ἐν τῷ μέλλοντι (13) συγχωρεῖσθαι, δείκνυσι, τινὰ μὲν τῶν ἁμαρτημάτων ἐνταῦθα συγχωρεῖσθαι διὰ τῶν λαβόντων ἐξουσίαν δεσμεῖν καὶ λύειν, τινὰ δὲ ἐν τῷ μέλλοντι, ὅτε *τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων*, τὴν νικῶσαν ψῆφον ὁ κριτὴς δωρήσεται τοῖς ἄξια ταύτης πράξασιν.

Solutio.

Blasphemiam in Filium hominis, veluti ex ignorantia ob perpessiones humano Domini composito illatam, dixit per pœnitentiam condonari; blasphemiam vero in Spiritum sanctum, hoc est, aut in ipsius divinitatem, in quantum *Spiritus est Deus* [34], aut in substantiam vivifici Spiritus, post signorum prodigiorumque Deo dignorum ostensionem, merito venia carere inquit, eo quod illis exhibuerit specimen virtutis suæ; deinde etiam quia in Veteri Testamento patefacta est cognitio de Spiritu sancto. Difficile enim est, vel et impossibile, eos qui sponte circa cognitionem impie agunt, utpote in sententia contra Deum pugnante infectos, mutari, juxta illud quod apud Jeremiam scriptum est: *Si mutabit Æthiops pellem suam, et pardus varietates suas* [35]. Ilos Theologus vocavit, peccantes ad mortem [36]. Illud autem, Neque in præsenti neque in futuro condonari, ostendit, quædam peccata hic dimitti per eos qui acceperunt potestatem ligandi et solvendi, alia vero in futuro sæculo, quando *cogitationibus accusantibus, aut etiam defendentibus* [37], victoriæ calculum judex donabit iis qui digna eo calculo fecerint [38].

[31.32] Matth. XII, 32; Luc. XII, 10. [33] Joan. XVI, 14. [34] Joan. IV, 24. [35] Jerem. XIII, 23. [36] I Joan. V, 16. [37] Rom. XI, 15. [38] Apocal. II, 17.

VARIÆ LECTIONES.

[b] *An* ἤ.

NOTÆ.

(12) *Ἀλλάξεται.* Nullius bonæ frugi Philoponiana I, de mundi creatione, 1: Τίς ἡ τῶν οὐρανῶν οὐσία, καὶ εἰ τῶν ὑπὸ σελήνην ἑτέρα, καὶ εἰ ταῖς κινήσεσιν αὐτῶν ἡ οὐσία συνεξελάσσονται. *Quænam sit substantia cœlorum; et an alia sit rerum sublunarium, et an una cum motibus eorum substantia simul expellatur.* Pretio suo reditus hac ratione: Αἱ οὐσίαι συνεξαλλάσσονται. *Substantiæ simul immutentur.* Ut cap. 6, extremo, de cœlo, τῆς μεταβολῆς τῶν ἀπὸ φύσεως γινομένων ὑπάρχει τῇ κινήσει συναίτιος. *Motu suo simul quoque causa mutationis rerum naturalium exsistit.* Lib. III, cap. 12, συνεξαλλάττεσθαι, non συνεξαλάττεσθαι.

(13) *Τινὰ δὲ ἐν τῷ μέλλοντι.* Leo Allatius in opere *De purgatorio*, pag. 929, 930, profert locum ex Pachomii Vita, huc pertinentem, hicque afferendum, ut corrigatur: Πηγὴ γὰρ ὑπάρχων ἀγαθότητος ὁ Θεὸς, ζητεῖ προφάσεις, δι' ὧν πράξασθαι δύναται, τοῦ πηγάζειν δαψιλῶς τὴν ἑαυτοῦ χρηστότητα ἐφ' ἡμᾶς, καὶ ἀφιέναι ἁμαρτήματα, μὴ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Εἰπὼν γὰρ περὶ τῶν βλασφημούντων εἰς τὸ Πνεῦμα τὸ ἅγιον, μὴ νῦν, μὴ ἐν τῷ μέλλοντι αἰῶνι συγχωρήσεως ἀπολαύειν, κατὰ τὸ σιωπώμενον ἔδωκε νοεῖν, ὡς εἰ ἦν τις ὀφείλουσα (scribe meo periculo, ὀφελοῦσα vel ὠφελοῦσα) ἐπέκεινα τοῦ παρόντος βίου συγγνώμη, ἔδωκεν ἄν. Id est: *Deus enim cum sit fons bonitatis, occasiones quærit per ea quæ facere potest, ut benignitatem suam super nos abundanter effundat, remittatque peccata, non solum in hoc sæculo, sed etiam in futuro. Nam dum dicit eos qui blasphemaverint in Spiritum sanctum, neque nunc, neque in futuro sæculo veniam consecuturos, tacite intelligendum tradit, quod si quæpiam esset ultra præsentem vitam utilis indulgentia, eam utique concessisset.*

Digitized by Google

Difficultas x.

Cujus rei gratia Matthæus introducit principem Synagogæ Christo loqui de filia sua quasi jam defuncta [39]; Marcus vero et Lucas, tanquam in periculo mortis constituta [40]? Et cur de muliere quæ sanguinis fluxum patiebatur [41] narrat Matthæus, absque ullo negotio interposito illam per Christum fidei ergo beatam prædicatam fuisse; at Marcus et Lucas, sanatam esse simul ac tetigit, beatam vero postea prædicatam [42]?

Solutio.

Scire oportet, non unum signum, sed diversa per evangelistas conscripta fuisse. Qui etenim simpliciter princeps vocatur [43], erat verisimiliter ethnicus, ille apud Matthæum; unde et tibicinibus ad luctum utebatur; quod Judæis non licebat. In Luca vero et Marco Synagogæ princeps et Jairus nominatur. Et illic quidem Christus cum solummodo manum tetigisset, suscitavit; hic autem etiam inclamavit puellam, sicque exsuscitavit. Pari modo miraculum circa mulierem fluxu sanguinis laborantem, relatum a Marco et Luca, aliud est ab eo quod in Matthæo positum est. Illa enim mulier, *in medicos erogaveras omnem substantiam suam*, ut scriptum est [44]; hæc vero nihil tale fecisse narratur.

Difficultas xi.

Qua de causa Matthæus et Marcus, post dies sex, Lucas autem post dies octo, a promissione discipulis facta, transfiguratum esse Dominum aiunt [45]?

Solutio.

Quoniam illi medios duntaxat exponunt dies inter promissum et transfigurationem; at Lucas cum illis sex, et alios duos, quorum primo promiserat, secundo transfiguratus est.

Difficultas xii.

Quo pacto Lucas [46] discipulum a telonio vocatum, Levin Alphæi nuncupat, cum nullus e duodecim eo nomine donetur?

Solutio.

Vero simile est hunc esse e numero 70 discipulorum. Neque enim unicum publicanum, quin multos ad discipulatum vocavit Christus. Quocirca ut publicanorum amicus infamabatur. Nihil autem mirum, iisdem verbis Christum ad utrumque discipulum usum fuisse [47].

Difficultas xiii.

Cujus gratia Matthæus cum dixisset, Dominum, quando beatitudines proposuit, in montem ascendisse, solisque discipulis fuisse locutum, subjecit: *Cum consummasset verba hæc, admirabantur turbæ super doctrina ejus* [48], quæ ab eo dicta non audierant?

A

Ἀπορία.

Τίνος χάριν Ματθαῖος τὸν ἀρχισυνάγωγον ἱστορεῖ περὶ τῆς θυγατρὸς, ὡς ἤδη τελευτησάσης, τῷ Χριστῷ διαλέγεσθαι· Μάρκος δὲ καὶ Λουκᾶς, ὡς κινδυνευούσης; ὅτι Ματθαῖος ἀπραγμόνως αὐτὴν ἱστορεῖ παρὰ Χριστοῦ ἐπὶ τῇ πίστει μακαρισθῆναι· Μάρκος δὲ καὶ Λουκᾶς, ἰαθῆναι ἅμα τῇ ἁφῇ, μακαρισθῆναι δὲ ὕστερον;

Λύσις.

Εἰδέναι χρὴ, ὅτι οὐχ ἓν σημεῖον, διάφορα δὲ οἱ εὐαγγελισταὶ συνεγράψαντο. Ὁ μὲν γὰρ ἄρχων ἁπλῶς, ἦν εἰκότως ἐθνικὸς, παρὰ τῷ Ματθαίῳ· ὅθεν καὶ αὐληταῖς πρὸς τὸ πένθος ἐκέχρητο· ὅπερ
B οὐκ ἐξῆν Ἰουδαίοις. Ὁ δὲ παρὰ τῷ Λουκᾷ καὶ Μάρκῳ, συναγωγῆς ἄρχων, Εἷαρος [c] λεγόμενος. Καὶ ἐκεῖ μὲν ἁψάμενος τῆς χειρὸς μόνον, ἐξήγειρεν· ἐνταῦθα δὲ καὶ φωνήσας τὸ κοράσιον ἀνέστησεν. Ὡσαύτως δὲ τὸ σημεῖον τὸ ἐπὶ τῆς αἱμορροούσης, ἱστορηθὲν ὑπὸ Μάρκου καὶ Λουκᾶ, ἕτερον ἦν παρὰ τὸ ἐν τῷ Ματθαίῳ κείμενον. Ἡ μὲν γὰρ, τὸν βίον *αὐτῆς ἰατροῖς προσαναλωκέναι* γέγραπται· ἡ δὲ οὐδὲν τοιοῦτον πεπραχέναι ἱστόρηται.

Ἀπορία.

Διατί Ματθαῖος καὶ Μάρκος μεθ' ἡμέρας ἓξ, Λουκᾶς δὲ μεθ' ἡμέρας ὀκτὼ, τῆς πρὸς τοὺς μαθητὰς
C ὑποσχέσεως, μεταμορφωθῆναι τὸν Κύριον λέγουσιν;

Λύσις.

Ὅτι οἱ μὲν τὰς ἐν μέσῳ μόνας ἐκτίθενται τῆς ὑποσχέσεως καὶ τῆς μεταμορφώσεως· ὁ δὲ Λουκᾶς, σὺν ταῖς ἓξ, καὶ τὰς δύο, ὧν τῇ μὲν ὑπέσχετο, τῇ δὲ μετεμορφώθη.

Ἀπορία.

Πῶς τὸν ἀπὸ τοῦ τελωνίου κληθέντα μαθητὴν, Λευῒν Ἀλφαίου ὁ Λουκᾶς καλεῖ, μηδενὸς τῶν δώδεκα οὕτω καλουμένου;

Λύσις.

Εἰκὸς τοῦτον ἐκ τῶν ο' εἶναι. Οὐ γὰρ ἕνα τελώνην, ἀλλὰ καὶ πολλοὺς εἰς μαθητείαν ὁ Χριστὸς ἐκάλεσεν. Ὅθεν καὶ ὡς τελωνῶν φίλος ὠνειδίζετο. Οὐδὲν δὲ ξένον, τοῖς αὐτοῖς ῥήμασι τὸν Χριστὸν πρὸς ἑκάτε-
D ρον μαθητὴν χρήσασθαι.

Ἀπορία.

Τίνος χάριν Ματθαῖος εἰπὼν τὸν Κύριον, ἡνίκα τοὺς μακαρισμοὺς ἐξέθετο, εἰς τὸ ὄρος ἀναβῆναι, καὶ μόνοις διαλέγεσθαι τοῖς μαθηταῖς, ἐπήγαγεν, *Ὅτι ὅτε ἐτέλεσε τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ*, τῶν λεγομένων οὐκ ἀκούοντες;

[39] Matth. IX, 18. [40] Marc. V, 23; Luc. VIII, 42. [41] Matth. IX, 20. [42] Marc. V, 29; Luc. VIII, 44. [43] Matth. IX, 23. [44] Luc. VIII, 43. [45] Matth. XVII, 1; Marc. IX, 1, Luc. IX, 28. [46] Luc. V, 27. [47] Matth. XI, 19; IX, 9. [48] Matth. V, 1; VII, 28.

VARIÆ LECTIONES.

[c] Ἰάειρος.

Digitized by Google

Λύσις.

Ὅτι οὐκ ἀποκρύψαι τὸν ὄχλον τὴν διδασκαλίαν ἐβούλετο ὁ Χριστὸς, ἀλλ' εὐλαβεστέρους καταστῆσαι καὶ προσεχεστέρους τῷ τῆς γῆς ἀναστήματι· οὐδὲ γὰρ ὑψηλὸν ἦν τὸ ὄρος, ὥστε κωλύειν τὴν ἀκρόασιν, ἀλλὰ πρόσγειον· ἐξ οὗ καταβὰς, ἑτέρους μακαρισμοὺς ἐν ἄλλῳ καιρῷ, τοὺς παρὰ τῷ Λουκᾷ, ἐν τόπῳ πεδινῷ ἐξέθετο.

Ἀπορία.

Τίνος χάριν ὁ μὲν τῶν εὐαγγελιστῶν ἄλλους, οἱ δὲ ἄλλους ἐκλεγῆναι παρὰ τοῦ Χριστοῦ εἰς μαθητείαν ἐξέθεντο;

Λύσις.

Οὐδαμοῦ διεφώνησαν πρὸς ἀλλήλους οἱ εὐαγγελισταί· ἀλλὰ πάντων τῶν ἀποστόλων συμφώνως τὰ ὀνόματα ἐκθέμενοι, ἑνὶ μόνῳ διαφόρους προσηγορίας ἐξέθεντο. Ματθαῖος μὲν καὶ Μάρκος Θαδδαῖον τοῦτον προσηγόρευσαν· Λουκᾶς δὲ Ἰούδαν Ἰακώβου, ἑτέρωθι δὲ Λεβαῖον· διὰ τὸ εἶναι αὐτὸν τριώνυμον· καθάπερ καὶ ἡ Χεβρὼν (14), Δαβὴρ καὶ πόλις γραμμάτων, καὶ Ἀργὼβ ὠνομάζετο. Ὅθεν καὶ Σίμωνα, οἱ μὲν Καναναῖον ἐκ τῆς πατρίδος, Λουκᾶς δὲ ζηλωτὴν ἐκ τῆς ἀρετῆς προσηγόρευσεν.

Ἀπορία.

Πῶς εἰπὼν τοῖς ἀποστόλοις ὁ Κύριος, *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε*, αὐτὸς ἐν Σαμαρείᾳ γενόμενος, πιεῖν ἐζήτει παρὰ Σαμαρείτιδος, καὶ πλήθει Σαμαρειτῶν πρὸς αὐτὸν ἐξελθόντι διελέγετο;

Λύσις.

Τοῖς Ἰουδαίοις πᾶσαν ἀφορμὴν ἐγκόψαι βουλόμενος, τὴν ἐντολὴν ταύτην πρὸ τοῦ σταυροῦ τοῖς μαθηταῖς ἔδωκε· μετὰ δὲ τοῦτο, φησί· *Μαθητεύσατε πάντα τὰ ἔθνη*, καὶ τὰ ἑξῆς· ἵνα μὴ ὡς παροφθέντες δόξωσιν αὐτῷ χαλεπαίνειν. Ἔπειτα ἡ ὁδὸς, οὐκ ἐθνῶν μόνον, ἀλλὰ καὶ Ἰουδαίων καὶ πάντων εἶναι δύναται. Οὐ γὰρ ἐν αὐτῇ ἔθνη μόνον ἀποκληρωμένως ὁδεύει. Ὁδὸς δὲ τροπικῶς ἐθνῶν, εἰδωλολατρεία καὶ ἐπαοιδία καὶ ἀστρολογία. Τὴν δὲ πόλιν τῶν Σαμαρειτῶν, παρόδῳ κεχρημένος εἰσῆλθεν. Οὐ γὰρ

Solutio.

Quia nolebat Christus celare turbas doctrinam, sed cautiores eos reddere atque attentiores per terræ tumulum. Neque enim excelsus erat mons, ut impediret auditum, sed paulum elatus e terra; e quo postquam descendit, alias beatitudines altero tempore, illas quæ apud Lucam leguntur, in loco campestri provulgavit [48].

Difficultas XIV.

Quare unus quidem evangelistarum alios, alii vero alios a Christo ad discipulorum dignitatem fuisse electos enarrarunt [49]?

Solutio.

Nullatenus inter se dissonant evangelistæ, sed cunctorum apostolorum nomina concorditer edentes, uni tantum diversas dederunt appellationes; quem Mathæus et Marcus Thaddæum nuncupaverunt, Lucas Judam Jacobi, alibi Lebæum dictum; quod trinominis exstiterit. Ut et Hebron, Dabir et civitas litterarum, et Argob nominabatur. Unde et Simonem cæteri Cananæum a patria, Lucas zelotem ex virtute vocavit.

Difficultas XV.

Quo modo Dominus qui dixit apostolis: *In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis* [50], ipse Samariam profectus, potum a Samaritana petiit, et cum multitudine Samaritanorum ad ipsum egressa collocutus est [51]?

Solutio.

Judæis omnem prætextum præcidere cupiens, præceptum hoc ante crucem dedit discipulis suis; postea vero dicit, *Docete omnes gentes* [52], et cætera; ne tanquam despecti gentiles, ei infensi esse deprehenderentur. Deinde via, non gentium solummodo, sed et Judæorum, cunctorumque esse potest. Non enim solæ in ea gentes speciatim incedunt. At via gentium, per tropum idololatria est, et incantatio, et astrologia. Civitatem vero Samaritanorum transeundo ingressus est. Neque enim ipsius misericor-

[48] Luc. VI, 17. [49] Matth. X, 2; Marc. III, 16; Luc. VI, 13. [50] Matth. X, 5. [51] Joan. IV, 9, 30. [52] Matth. XXVIII, 19.

NOTÆ.

(14) *Ἡ Χεβρὼν*, etc. Aliter sciscunt geographorum filii. Malo certe exemplo per Nostrum Cariath-Arbe confunditur cum Cariath-Sepher. Circa Hebronem autem corrigas velim Eusebium, *De locis*, in Ἀρκώ. Ἡ δρῦς Ἀβραάμ, inquit, καὶ τὸ μνῆμα αὐτόθι θεωρεῖται, καὶ θρησκεύεται ἐπιφανῶς πρὸς τῶν ἐχθρῶν ἡ Τερέβινθος, ὅτι ὑπ' αὐτῆς πάλαι τῷ Ἀβραὰμ ἐπιξενωθέντες οἱ ἄγγελοι, legasque τῶν ἐθνῶν, ut habetur in Δρυσμαβρῆ, utque ubique Hieronymus scriptum invenit, et confirmatur per Sozomenum lib. II, cap. 4; Chebronensis, τοῦ Χεβρῶν episcopi mentio fit apud Socratem, *Hist. eccles.* lib. VII, cap. 22, ubi vir bene doctus ignotam sibi esse urbem fatetur. Sed forsan Eleutheropolis intelligitur, episcopatus primæ Palæstinæ. Eleutheropolim quippe Hebronem esse Syncellus, Cedrenus et alii crediderunt. Legito Eugesippum qui ab Allatio in Symmictis editus fuit, hæcque verba ipsius observa: « Juxta Hebron mons Mambre, ad radicem cujus Terebinthus, quæ * din vocatur, id est, ilex, aut quercus; secus quam per multum temporis spatium mansit Abraham: sub qua quidem tres angelos vidit, et unum adoravit, hospitioque susceptos, dignus, prout potuit, fovit et pavit: unde primus comedendi * viadictus est. Ilex prædicta ex tunc usque ad tempus Theodosii imperatoris, testante Hieronymo, suum esse dilatavit, et ex illa hæc fuisse perhibetur, quæ in præsenti ab illic præsentibus videtur, et caro tenetur. Quæ licet arida, medicabilis tamen esse probatur in hoc, quod si de ea quis equitans aliquid secum detulerit, animal suum non * infendit. » Ac pone quidem in primo asterisco *Drys*, in secundo vero *credendi* (an *comedentis via ductus est?*) in tertio demum lege aut intellige *offendit*. Nisi malis *intendit*.

Digitized by Google

diam decebat, ut Judæos quidem repellentes eum attraheret, Samaritanos autem credentes et attrahentes illum rejiceret.

Difficultas XVI.

Cur Joannes introduxit Dominum Judæis de Patre dicentem : *Neque vocem ejus unquam audistis, neque speciem ejus vidistis* [58], cum Moyses dicat : *Si audivit gens vocem Dei viventis, sicut tu audisti et vixisti* [59] ?

Solutio.

Auditus et visus, non adeo aurium et oculorum exteriorum vis dicitur, quam mentis comprehensio. Proinde ait Isaias : *Quis cæcus, nisi pueri mei ; et surdi, nisi qui dominantur eorum* [60]. Per quæ inobedientiam eorum qui nunc sunt, et incredulitatem Judæorum designavit. Alioqui et Moysi ipsi respondens Deus, *Nemo*, inquit, *videbit faciem meam et vivet.*

Difficultas XVII.

Quam ob rationem Joannes, aliquando ait Christum Judæis dixisse : *Et me scitis et unde sim scitis*, aliquando autem iisdem : *Nescitis unde venio, et quo vado.* Et : *Neque me scitis, neque Patrem meum* [61].

Solutio.

Cum duplex sit in Christo mysterium, diverse ad eos loquitur ; juxta id quod homo est, dicens eos scire, ipsius tum patriam tum matrem ; juxta divinam vero substantiam, ignorare, quod sit Filius æqualis Patri ; ignorare etiam Patrem, Filii unigeniti Patrem esse.

Difficultas XVIII.

Quemadmodum Joannes dicit : *Nondum erat Spiritus, quia Jesus nondum erat glorificatus* [62], siquidem in specie columbæ super Christum descenderat Spiritus sanctus tempore Baptismi [63] ?

Solutio.

Quandoquidem Spiritum hoc in loco, non substantiam, sed efficacitatem Spiritus vocat : quo modo Paulus, cum dicit ; *Spiritum nolite exstinguere* [64] : qui Spiritus, antequam primitiæ nostræ in cœlos ascenderent, descensurus non erat, nec diversas multiplicesque virtutes operaturus, de quibus ait Christus, flumina de ventre fluitura aquæ vivæ [65] ; de ventre nimirum corde illorum qui in ipsum credunt. Porro gloriam hic vocavit crucem, juxta id dictum ; *Venit hora, ut glorificetur Filius hominis* [66].

Difficultas XIX.

Quem patrem habere potest diabolus ? Ait quippe Joannes dixisse Dominum ; A se *cum loquitur men-*

ἔπρεπεν τῇ αὐτοῦ ἀσπλαγχνίᾳ, Ἰουδαίους μὲν ἀπωθουμένους αὐτὸν ἐφέλκεσθαι, Σαμαρείτας δὲ πιστεύσαντας καὶ ἐφελκομένους αὐτὸν ἀπώσασθαι.

Ἀπορία.

Τίνος χάριν Ἰωάννης εἰσήγαγε τὸν Κύριον τοῖς Ἰουδαίοις περὶ τοῦ Πατρὸς λέγοντα· *Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε* · Μωυσέως λέγοντος · *Εἰ ἀκήκοεν ἔθνος φωνὴν Θεοῦ ζῶντος, ὃν τρόπον ἀκήκοας σὺ καὶ ἔζησας;*

Λύσις.

Ἀκοὴ καὶ ὅρασις, οὐ τῶν ὤτων ἢ τῶν ὀφθαλμῶν τῶν ἔξωθεν ἡ ἐνέργεια τοσοῦτον, ὅσον τῆς διανοίας ἡ κατανόησις λέγεται. Ὅθεν καὶ Ἡσαΐας φησίν· *Τίς τυφλὸς· ἀλλ' ἢ οἱ παῖδές μου· καὶ κωφοί, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν;* Τὸ ἀνήκοον τῶν νῦν καὶ ἀπειθὲς τῶν Ἰουδαίων, διὰ τούτων ἠνίξατο. Ἄλλως τε αὐτῷ τῷ Μωυσῇ χρηματίζων ὁ Θεὸς, φησίν · *Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται.*

Ἀπορία.

Τίνος χάριν Ἰωάννης, ποτὲ μέν φησιν τὸν Χριστὸν εἰρηκέναι · *Κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί* · ποτὲ δὲ τοῖς αὐτοῖς· *Οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.* Καὶ, *Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου;*

Λύσις.

Ὅτι διπλοῦ (15) τοῦ μυστηρίου τοῦ κατὰ Χριστὸν τυγχάνοντος, διαφόρως πρὸς αὐτοὺς διαλέγεται· κατὰ μὲν τὸ ἀνθρώπινον εἰδέναι αὐτοὺς λέγων, αὐτοῦ τε τήν τε πατρίδα καὶ τὴν μητέρα· κατὰ δὲ τὴν θείαν οὐσίαν ἀγνοεῖν, Υἱὸν ὄντα ἴσον τῷ Πατρί· ἀγνοεῖν δὲ καὶ τὸν Πατέρα, ὄντα Πατέρα Υἱοῦ μονογενοῦς.

Ἀπορία.

Πῶς Ἰωάννης λέγει· *Οὔπω ἦν Πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη* · καταβάντος ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Χριστὸν ἐν τῷ βαπτίσματι τοῦ ἁγίου Πνεύματος ;

Λύσις.

Ὅτι Πνεῦμα ἐνταῦθα, οὐ τὴν οὐσίαν, ἀλλὰ τὴν ἐνέργειαν τοῦ Πνεύματος καλεῖ καθάπερ καὶ Παῦλος, εἰπών· *Τὸ Πνεῦμα μὴ σβέννυτε* · ὅπερ οὐκ ἔδει πρὶν τὴν ἀπαρχὴν ἡμῶν εἰς οὐρανοὺς ἀνελθεῖν καταβῆναι, καὶ τὰς διαφόρους καὶ πολυτρόπους ἐνεργῆσαι δυνάμεις, περὶ ὧν φησιν ὁ Χριστὸς, ποταμοὺς ἐκ τῆς κοιλίας ῥεύσειν ὕδατος ζῶντος ἐκ τῆς κοιλίας δηλαδὴ τῆς καρδίας τῶν εἰς αὐτὸν πιστευόντων. Δόξαν δὲ ἐνταῦθα τὸν σταυρὸν ἐκάλεσεν, κατὰ τὸ εἰρημένον· *Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.*

Ἀπορία.

Τίνα πατέρα ἔχειν ὁ διάβολος δύναται ; Φησὶ γὰρ ὁ Ἰωάννης, παρ' ἑαυτοῦ, εἰρηκέναι τὸν Κύριον,

[58] Joan v, 37. [59] Deut. iv, 33. [60] Isa. xlii, 19. [61] Exod. xxxiii, 20. [62] Joan. vii, 28 ; viii, 14, 19. [63] Joan. vii, 39. [64] Matth. iii, 16. [65] 1 Thess. v, 19. [66] Joan. vii, 38. [66] Joan. xii, 23.

NOTÆ.

(15) *Διπλοῦ τοῦ μυστηρίου τοῦ κατὰ Χριστὸν τυγχάνοντος.* In Epistola Photii 180, ἐπιδιπλοῦς ἦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. Malim, ἐπὶ διπλοῦς.

Digitized by Google

Ὅταν λαλῇ, τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶν, καὶ ὁ πατὴρ αὐτοῦ.

dacium ex propriis loquitur; quia mendax est, et pater ejus [68].

A

Λύσις.

Διάβολον ἐνταῦθα, ἢ τὸν Ἀντίχριστον [d] λαλεῖ (16), τὸν υἱὸν τῆς ἀπωλείας κατὰ Παῦλον, ὃς ὅτ' ἂν λέγῃ τὸ ψεῦδος, διαβάλλων τὸν Χριστὸν ὡς ἀντίθεον, καὶ ἑαυτὸν συνιστῶν ὡς Θεὸν, ἐκ τῶν ἰδίων λαλεῖ, ψεύστης ὢν, καθάπερ ὁ πατὴρ αὐτοῦ ὁ Σατανᾶς· ἢ τὸν Κάϊν, οὗ τέκνα δικαίως τοὺς Ἰουδαίους ἐκάλεσεν, εἰρηκότας, υἱοὺς εἶναι τοῦ Ἀβραάμ· διὰ τὸ μιμητὰς γεγενῆσθαι τῶν τοῦ Κάϊν τρόπων, τοῦ ψευσαμένου μὲν τὸν Θεὸν, ἐν τῷ εἰπεῖν· *Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου;* πρῶτου δὲ φθόνον καὶ φόνον τεκόντος ἐν ἀνθρώποις (17), καθάπερ καὶ ὁ τούτο πατὴρ ὁ Σατανᾶς.

Solutio.

Hoc loco diabolum vocat, vel Antichristum, *filium perditionis* [66], ex Paulo; qui mendacium cum dixerit, calumnians Christum ut Deo adversum, et semetipsum commendans quasi Deum, ex propriis loquitur, utpote mendax, sicut pater ejus Satanas; vel Cainum, cujus filios jure merito Judæos appellavit, cum dixissent se esse filios Abrahæ; quod mores Caini imitarentur, qui ad Deum mendaciter dixit: *Num custos fratris mei sum* [67]? quique primus inter homines invidiam et homicidium edidit, quemadmodum et ipsius pater Satanas.

Ἀπορία.

Διατί Λουκᾶς φησὶ, τοῖς ἑβδομήκοντα εἰρηκέναι τὸν Κύριον· *Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων*, καὶ τὰ ἑξῆς· Ματθαῖος δὲ τοῖς δώδεκα; Καὶ τίνος χάριν ὁ Λουκᾶς τῶν ἑβδομήκοντα μέμνηται μόνον;

Difficultas XX.

Quare Lucas ait, septuaginta illis dixisse Dominum: *Ecce ego mitto vos sicut agnos inter lupos* [68], et quæ sequuntur: Matthæus vero illis duodecim? Et quare solus Lucas mentionem facit eorum septuaginta [67]?

B

Λύσις.

Ὅτι πολλάκις τὴν αὐτὴν διδασκαλίαν ἐξέθετο ὁ Κύριος, οὐ λόγων ἀπορῶν, ἀλλὰ τοὺς ἀκροατὰς βεβαιῶν. Ὅθεν καὶ τοῖς ιβ' καὶ τοῖς ο' ἐν διαφόροις καιροῖς τὰ αὐτὰ ἐξέθετο.

Solutio.

Quia sæpe Dominus eamdem doctrinam protulit, non inopia sermonum, sed ut auditores confirmaret. Quapropter et duodecim et septuaginta per varia tempora eadem exposuit.

Ἀπορία.

Τίνος χάριν φησὶν ὁ Κύριος πρὸς Νικόδημον, ὅτι *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ;* Εἰ μὲν γὰρ Υἱὸν ἀνθρώπου προσήκει νοεῖσθαι τὴν ἀνθρωπότητα, αὕτη ἐξ οὐρανοῦ οὐ κατέβη· εἰ δὲ ὅλον τὸν σαρκωθέντα λόγον, πῶς μήπω ἀναληφθεὶς ἀναληφθῆναι εἰς οὐρανοὺς ἐλέγετο;

Difficultas XXI.

Cujus rei causa ad Nicodemum ait Dominus; *Nemo ascendit in cœlum, nisi qui descendit de cœlo, Filius hominis, qui est in cœlo* [68]? Si enim per Filium hominis intelligi debeat humana natura, ipsa de cœlo non descendit; sin vero totum Verbum incarnatum, quonam modo, qui nondum assumptus fuerat, in cœlos assumptus dicebatur?

C

Λύσις.

Τὸν Νικόδημον ἐκ τῆς Ἰουδαϊκῆς ταπεινότητος εἰς τὸ τῶν δογμάτων ὕψος ἀναγαγεῖν ὁ Κύριος βουλόμενος, καὶ περὶ τῆς πνευματικῆς ἀναγεννήσεως τοῦτον μυσταγωγῆσαι, ὡς εἶδε πρὸς τὸ ὕψος ἰλιγγιῶντα, φησὶν· *Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ*

Solutio.

Volens Dominus Nicodemum ex Judaica humilitate in dogmatum sublimitatem evehere, eique mysterium aperire spiritualis regenerationis, ut vidit eum ad altitudinem quasi vertigine laborare, *Si*, inquit, *terrena dixi vobis, et non creditis* [69]. Unde as-

[66] Joan. VIII, 44. [67] II Thess. II, 3. [68] Gen. IV, 9. [68] Luc. X, 3. [67] Matth. X, 16. [68] Joan. III, 13. [69] Joan. III, 12.

VARIÆ LECTIONES.

[d] *f.* καλεῖ.

NOTÆ.

(16) Ἀντίχριστον. Objicient procul dubio nonnulli, me necessariis observationibus prætermissis, externas minusque utiles notas procudere. Neque inficias iero; spero tamen veniam impetraturum me ab æquo lectore, quo cum morbo assiduo conflictans, cum non possim nova investigare, veteres animadversiones velut protrudere contendo, ne funditus pereat quantuluscunque meus in litteris labor. Itaque nunc, occasione, vix occasione, Antichristi, fœdum errorem e Catena in Marcum tollam, cap. 13, vers. 20: Φασὶ γάρ τινες τρία ἔτη γενήσεσθαι τὴν ἐπικράτειαν τοῦ Ἀντιχρίστου, διὰ τὸ εἰρῆσθαι τῷ Δανιὴλ, καιρὸν καὶ καιροὺς καὶ ἥμισυ κρατήσειν καιροῦ τὸ ἐν τῷ κεράτῳ· ὃ δηλοῖ τὸν Ἀντίχριστον. Monstrum lectionis τὸ ἐν τῷ κεράτῳ. Verum nullo negotio domabile. Quis enim non substituat ἓν τῶν κεράτων? « Aiunt enim quidam triennio duraturam tyrannidem Antichristi; quod a Daniele dictum sit, per tempus et tempora et dimidium temporis prævaliturum unum e cornibus, illud quod significat Antichristum. » Dan. VII, 25.

D

(17) Ἀνθρώποις. Ostendit mihi aliquando in magno magni viri Glossario charissimus et clarissimus amicus communis hanc vocem: « Antopius Anonymus Barensis in Chron. ann. 1046. » Et ceciderunt Græci et, multi antopii, etc. « Expressit, ni fallor vocem Græc. ἄνθρωποι, viri. » Dixitque posse etiam legi *entopii*, ἐντόπιοι. Ego vero, ut varietas opinionum delectat, retinebam *antopii*, hoc est ἀντώπιοι.

Digitized by Google

serit neminem ascendisse in cœlum, nisi eum qui de cœlo descendit; ipsum se significans, per ascensum et descensum, eo quod sejungi non possit ab humana natura, quo dicit devenisse. Ascensum itaque, non illum intelligit qui hic cum carne contigit, sed illum qui pro variis antiquis dispensationibus; de quibus ait Scriptura: *Ascendit Deus ab Abraham* [70], postquam cessavit ad eum loqui; et quæ hujusmodi. Quod si Filium hominis appellet post incarnationem Deum Verbum, mirum videri non debet, quando et rex et præfectus bello, qui emit agrum, aut matrimonium contraxit ante regnum et præfecturam, non minus postea audit, quod rex vel præfectus agrum acquisivit.

A πιστεύετε. Ὅθεν φησὶ μηδένα ἀναβεβηκέναι εἰς τὸν οὐρανὸν, εἰ μὴ τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, ἑαυτὸν σημαίνων, διά τε τῆς ἀναβάσεως καὶ καταβάσεως, διὰ τὸ μὴ δύνασθαι διαζευχθῆναι τῆς ἀνθρωπότητος τὸν Θεὸν Λόγον, οὗ φησιν κατεληλυθέναι (18). Ἀνάβασιν μέν τοι, οὐ τὴν μετὰ σαρκὸς ἐνταῦθα λέγει, ἀλλὰ τὴν ὑπὲρ διαφόρων ἀρχαίων οἰκονομιῶν, περὶ ὧν φησιν ἡ Γραφή· Ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ, ἡνίκα ἐπαύσατο λαλεῖν αὐτῷ, καὶ ὅσα τοιαῦτα. Εἰ δὲ Υἱὸν ἀνθρώπου καλεῖ μετὰ τὴν σάρκωσιν (19), τὸν Θεὸν Λόγον, οὐ θαυμαστόν· ἐπειδὴ καὶ βασιλεὺς καὶ στρατηγὸς, ἀγρὸν ἠγορακὼς, ἢ γάμῳ συναλλάξας πρὸ τῆς βασιλείας καὶ τῆς στρατηγίας, ὅμως μετὰ ταῦτα λέγεται, ὅτι βασιλεὺς τὸν ἀγρὸν ἐκτήσατο ἢ ὁ στρατηγός.

Difficultas XXII.

Quem in modum retulit Joannes dixisse Dominum ad Judæos: *Ego et Pater unum sumus* [71]; cum idem dixerit, postremum diem neque angelos, neque Filium scire, sed solum Patrem [72].

Solutio.

Quod fieri nequeat ut sæculorum opifex diem aut horam extremam ignoret, id cunctis liquet. Quocirca tribus modis ostenditur suam doctrinam explicasse Dominum, et alia quidem tanquam hominem disserere; ut præpositum capitulum; et illud: *Tristis est anima mea usque ad mortem* [73]. Itemque hoc: *Nunc anima mea turbata est* [74]. Interdum vero loqui ut Deum; quando nempe ait: *Ego et Pater unum sumus.* Et: *Quæcunque habet Pater, mea sunt* [75], cæteraque similia. Interdum uti Deum et hominem, sicut cum dicit: *Ego sum panis, qui de cœlo descendi* [76]. Panis enim, corpus est, et Deus, qui descendit. Et cum dicit: *Potestatem habeo ponendi* animam, *et iterum sumendi eam* [77]. Etenim ex postestate ponere et sumere, divinitatis est; anima autem, humanitatis. Hoc porro in loco ignorantiam præ se tulit, quo discipulorum curiositatem compesceret; ne ægre ferrent; quod non soli, sed et cum angelis diem illum ignorarent.

B Ἀπορία.

Πῶς τὸν Κύριον εἰρηκέναι τοῖς Ἰουδαίοις, Ἔλεγεν Ἰωάννης· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· αὐτοῦ εἰρηκότος, τὴν ἐσχάτην ἡμέραν μηδὲ τοὺς ἀγγέλους, μηδὲ τὸν Υἱὸν εἰδέναι, ἀλλὰ μόνον τὸν Πατέρα;

Λύσις.

Ὅτι τὸν τῶν αἰώνων ποιητὴν ἡμέραν ἢ ὥραν ἀγνοῆσαι ἀμήχανον, τοῦτο πᾶσι δῆλον. Ὅθεν δείκνυται κατὰ τρεῖς τρόπους τὴν αὐτοῦ διδασκαλίαν ἐκθέσθαι τὸν Κύριον. Καὶ τὰ μὲν ὡς ἄνθρωπον διαλέγεσθαι· ὡς τὸ προτεθὲν κεφάλαιον· καὶ τὸ, *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου*· καὶ τὸ, *Νῦν ἡ ψυχή μου τετάραχται.* Ποτὲ δὲ ὡς Θεόν· ὅτ' ἂν φησιν· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ, C *Ὅτι ὅσα ἔχει ὁ Πατὴρ, ἐμά εἰσι*· καὶ ὅσα τοιαῦτα. Ποτὲ δὲ ὡς Θεὸν καὶ ἄνθρωπον· ὡς ὅτ' ἂν λέγει· Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἄρτος γὰρ τὸ σῶμα, Θεὸς δὲ ὁ καταβάς. Καὶ ὅτ' ἂν λέγει· Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχὴν, καὶ *πάλιν λαβεῖν αὐτήν.* Τὸ γὰρ κατ' ἐξουσίαν θεῖναι καὶ λαβεῖν, θεότητος· ἡ δὲ ψυχὴ, ἀνθρωπότητος. Ἐνταῦθα μὲν τὴν ἄγνοιαν, τῶν μαθητῶν τὸ περίεργον ἀναστεῖλαι βουλόμενος, προσεβάλλετο· ἵνα μὴ ἀσχαλῶσιν· ὡς οὐ μόνοι, ἀλλὰ καὶ μετὰ ἀγγέλων τὴν ἡμέραν ἐκείνην ἀγνοοῦντες.

Difficultas XXIII.

Propter quid Judæis dixit Dominus: *Omnes quotquot venerunt ante me, fures et latrones sunt* [78]? An igitur Moses et prophetæ latrones erant?

Ἀπορία.

Διατί τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Κύριος· *Πάντες ὅσοι ἦλθον πρό ἐμοῦ, κλέπται καὶ λῃσταί εἰσιν*; Ἆρα οὖν λῃσταὶ Μωϋσῆς καὶ οἱ προφῆται ἐτύγχα- D νον;

[70] Gen. XVII, 22. [71] Joan. X, 30. [72] Matth. XXIV, 36. [73] Matth. XXVI, 38. [74] Joan. XII, 27. [75] Joan. XVI, 15. [76] Joan. VI, 41. [77] Joan. X, 18. [78] ibid. 8.

NOTÆ.

(18) *Οὗ φησιν κατεληλυθέναι.* In ms. scriptum erat οὑ φησιν, quod mutatione accentus correxi; simulque recordatus sum loci Plutarchi libro *De malignitate Herodoti*, quem ante aliquot annos ex professionis meæ officio legebam, Ἔτι τοίνυν τοῖς ἀπ' εὐθείας οὐ βούλονται κακῶς λέγουσι δυσκολίαν ἐπικαλεῖν καὶ θρασύτητα καὶ μανίαν, ἐὰν μὴ μετριάζωσιν. Ubi interpres: *Porro qui aperte maledicere volunt* * *morositatem exprobrare, ferociam, insaniam, nisi modum servent.* Conjectabam vero ego scribi debere ἔστι et οὗ, hoc est: « Licet igitur iis qui recta ubi volunt maledicunt, etc., si modum non servent. » Eamque conjecturam, quia non displicet, hic ex occasione proponere operæ pretium duxi.

(19) *Μετὰ τὴν σάρκωσιν.* Sensus est, post incarnationem peractam, dum de Verbo nondum incarnato sermo habetur, nomen Filii hominis ipsi inditum. Vide si vacat Origenem in principio Homiliæ nonæ in Jeremiam.

Digitized by Google

Λύσις.

Καταστοχασάμενος διάβολος τῆς Χριστοῦ παρουσίας, ἤγειρε πρὸ ὀλίγου τῆς αὐτοῦ ἐπιδημίας, στασιαστάς τινας, τοὺς περὶ Θευδᾶν καὶ Ἰούδαν, ἑαυτοῖς δόξαν ἁρπάσαντας, καὶ τοὺς πεισθέντας αὐτοῖς ἀναστώσαντας· οἱ καὶ *διελύθησαν*, καθὰ τῷ Γαμαλιὴλ εἴρηται. Τούτοις τοίνυν διὰ τούτων αἰνίττεται, καὶ ὅσοι τούτων ζηλωταὶ γεγόνασιν. Μωυσέως μέν τοι καὶ τῶν προφητῶν, *ἤκουσαν τὰ πρόβατα.*

Ἀπορία.

Τίνος χάριν Ματθαῖος τὴν μητέρα τῶν υἱῶν Ζεβεδαίου αἰτῆσαι τὴν ἐκ δεξιῶν καθέδραν τοῖς υἱοῖς τὸν Κύριον ἱστόρησε· Μάρκος δὲ οὐκ αὐτὴν, ἀλλὰ τοὺς υἱοὺς τοῦτο αἰτῆσαι ἐξέθετο;

Λύσις.

Ματθαῖος λεπτομερεστέρως τὴν ἅμα τοῖς υἱοῖς τῆς μητρὸς πρεσβείαν ἐξέθετο· Μάρκος δὲ βραχυλογίας πάνυ πεφροντικὼς, μόνον τῶν υἱῶν ἐμνημόνευσεν· ὅπερ ἐναντιολογία οὐκ ἔστιν.

Ἀπορία.

Πῶς; ὁ Λουκᾶς τὸν Κύριον εἰπεῖν τοῖς Ἰουδαίοις ἐκθέμενος· *Οὐ μή με ἴδητε ἀπάρτι ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· συγγενέσθαι τοῖς Ἰουδαίοις, συμφαγεῖν τε αὐτὸν καὶ διαλεχθῆναι καὶ θαυματουργῆσαι ἐπὶ πλεῖστον ἐξέθετο; Πῶς δὲ ἀπαγγέλλαι τῷ Ἡρῴδῃ τοὺς Φαρισαίους ἐκέλευσεν, *Ἰδοὺ ἐγὼ ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι.* Μεθ' ἡμέρας γὰρ πλείονας, τὸν σταυρὸν ὑπέμεινε.

Λύσις.

Omnis profecto memoria justorum totis votis est celebranda, et omnis solemnitas amicorum Dei gloriosa. Cuncti enim religionis ergo fortiter fecerunt, cuncti pro confessione vera susceperunt labores: cuncti, ut coronas veritatis consequerentur, veluti numine divino ducti, periculis sese objecerunt. Hic autem dies festus qui nunc agitur, omnem gloriam superat, utpote qui contineat B solemnitatem Virginis, quæ usque adeo omnibus antecellit, ut ipsum Deum Verbum volentem susceperit, quem ipsa citra ullam loci angustiam comprehendit. Ad quam ante omnia Gabriel archangelus primus exclamavit, *Ave gratia plena, Dominus tecum: ecce enim concipies in utero, et paries Filium, et vocabis nomen ejus Emmanuel*[1]. Fausta Gabrielis nuntia fuerunt illi mox initium lætitiæ. Cum enim prima virgo concluderetur molestiis per sententiam condemnatoriam ob transgressionem inflictis, et ab ea gemitus plurimi prodirent, omnisque mulier, illius causa, in dolore esset constituta, et partus omnis propter eam acerbitatem pateretur, secunda virgo ex denominatione etiam angelica miseriam omnem feminei sexus repulit, omnemque C tristitiæ fontem qui inter pariendum adesse solet, obstruxit, et nubem desperationis, qua premuntur mulieres in partu, dissipavit: et lumina lætitiæ apud contribules coruscare fecit. Dum audiret itaque a Gabriele, *Ave gratia plena, Dominus tecum*, non excepit salutationem tranquillo animo, sed cum talem vocem exaudisset, et Gabrielem archangelum intuita domi ex insperato, et ob vocem de pariendo, cogitatione perturbata esset, tales quasdam (ut verisimile est) abjiciebat Gabrielis locutiones: Omnia, inquiens, præter opinionem, et peregrina video in te hodie. Et istud: Quo pacto ausus es temere accedere ad virginem non desponsatam, et incredibilia verba prædicare? Ais enim me pariturum D puerum absque semine, concepturam dixisti nullis nuptiis intervenientibus: loculum uteri absque ulla cum viro cohabitatione et conversatione editurum fructum. Quis vidit, quis audivit fertilium agrorum naturæ peritus, antea agrum incultum produxisse spicam, aut terram non plantatam germinasse uvam, vinum sine vite, aut fluvium absque fonte

[1] Luc. I, 28, 30.

NOTÆ.

sicque existimant auctorem hujus Homiliæ ex presbytero Hierosolymitano factum ejusdem ecclesiæ episcopum, esseque illum Hesychium qui in ordine Hierosolymitanorum Antistitum numeratur quinquagesimus nonus in Chronologia sancti Nicephori, floruisseque tempore sancti Gregorii Magni: ad quem exstat ejusdem Epistola, quæ est 40 libri IX Registri. Consule apparatum Possevini.

Digitized by Google

prodeuntem? Quod quidem nemo ex primis sæculis audivit auribus, aut oculis conspexit arcidisse. Qua ratione tibi fidem habebo me suggillanti? Quid ergo Gabriel ei hæsitanti respondit? Dixi quod didici, quod audivi loquor: *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi. Ideoque quod nascetur ex te sanctum, vocabitur Filius Dei*[2]; tanquam is sit a quo, et velut is ad quem omnis creatura, tanquam Creator et Opifex omnium, tanquam sæculorum Pater, tanquam sæculi parens, tanquam omnium conditor, tanquam cœlis antiquior, tanquam angelorum opifex, et humanitatis formator, tanquam denique eorum, qui alioqui perituri essent, Salvator: præter hæc nihil possum denuntiare. Non enim, o Virgo, mandatum habeo, ut per singula dicam, quo pacto: sed ut earum rerum minister sim quæ faciunt ad faustum erga te nuntium. Admirare igitur mecum mysterium, et bona nuntia absque dubitatione excipe. Illa vero ait: *Ecce ancilla Domini, fiat mihi secundum verbum tuum*[3]. Nos igitur nativitatem Dominicam edocti archangelicis sermonibus Gabrielis, incedamus a tergo semitis ejus. Ego, quemadmodum ille, vim partus, citra disquisitionem curiosam, divinam agnosco et censeo: didicimus a Magis[4], imo vero instructi sumus, ut eam rem religiose colamus. Qui quidem inquirentes infantem, stella duce, non dixerunt his quos interrogabant, Quomodo fit conceptio divina? quomodo uterus sine semine, quomodo partus incorruptus, Quomodo mater post partum est virgo, quomodo subjicitur annis, qui prior illis est? quomodo est in tempore, qui est ante sæcula? quomodo natura uteri comprehendere potuit eum, qui est incomprehensus? quomodo is qui est incorporeus, sine conversione factus est caro? quomodo Deus Verbum seipsum exinanicns in utero virgineo[5], cum esset insignis et gloriosus, instar servi, modo indicibili ex eo incarnatus est? quomodo id quod est perfectum, infans esse potest? quomodo lac sugit is qui nutrit? quomodo is qui tegit et complectitur universa, continetur in ulnis? quomodo Pater futuri sæculi, fit infans? quomodo sursum et deorsum est? quomodo is qui est in cœlis est etiam in terra? quomodo pannis involvitur, qui auriga est Cherubicorum curruum? quomodo jacet in præsepio, qui est in sinu Patris? quomodo fasciis continetur, qui educit vinctos in fortitudine[6]? et cuncta alia quæ vel referre horrescimus: sed cum taciturni pervenissent ad stabulum, ubi inquisierunt, decentem cultum exhibuerunt Regi et Deo cum muneribus, cupientes cum gaudio reverti in suam regionem, qui declarati sunt erga gentes esse primitiæ cognitionis divinæ: quos gentes quidem æmulatæ sunt, Judæi autem inflexibiles, vel potius obdurata cervice, eos qui ministerio stellæ e longinquis regionibus erant adducti, neglexerunt imitari, ut cognoscere possent Solem

A Τί οὖν ὁ Γαβριὴλ πρὸς αὐτὴν δυσπιστοῦσαν; Ὅπερ ἔμαθον, εἶπον, ὅπερ ἤκουσα, λέγω· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ*· ὥσπερ ὑπάρχων πρὸς οὗ, ὡς πρὸς ὃν πάσης κτίσεως, ὡς Κτίστης καὶ Δημιουργὸς τῶν ἁπάντων, ὡς τῶν αἰώνων Πατὴρ, ὡς τοῦ κόσμου Γεννήτωρ, ὡς τοῦ Παντὸς ποιητὴς, ὡς τῶν οὐρανῶν ἀρχαιότερος, ὡς τῶν ἀγγέλων δημιουργὸς, ὡς τῆς ἀνθρωπότητος πλάστης, ὡς τῶν ἀπολυμένων Σωτὴρ· οὐδὲν πλέον τούτων ἀπαγγέλλειν ἰσχύω. Οὐ γὰρ τὸ πῶς λέγειν προσετάχθην, Παρθένε· ἀλλὰ τοῦ εὐαγγελισμοῦ πρὸς σὲ διακονῆσαι τὰ πράγματα. Θαύμαζε οὖν σὺν ἐμοὶ τὸ μυστήριον, καὶ ἀνενδοιάστως δέχου τὰ εὐαγγέλια. Ἡ δέ φησιν, *Ἰδοὺ ἡ* B *δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.* Τοῖς ἀργαγγελικοῖς τοίνυν καὶ ἡμεῖς μαθητεύσωμεν λόγοις τοῦ Γαβριὴλ περὶ τῆς Δεσποτικῆς γεννήσεως, ταῖς ἐκείνου τρίβοις κατόπιν ὁδεύσωμεν. Ὡς ἐκεῖνος ἐκθειάζω ἀπεριέργως τοῦ τόκου τὴν δύναμιν· παρὰ τῶν μάγων εὐσεβεῖν διδαχθῶμεν, μᾶλλον δὲ παιδευθῶμεν, εἴ τινες ζητοῦντες τὸ βρέφος, ποδηγοῦντος ἀστέρος, οὐκ εἶπαν πρὸς τοὺς ἐρωτωμένους, Πῶς ἡ σύλληψις θεία, πῶς ἄσπορος ἡ νηδὺς, πῶς ἄφθορος ὁ τόκος, πῶς μετὰ τὸν τόκον ἐν παρθένοις ἡ μήτηρ, πῶς ὑπὸ ἐνιαυτοὺς ὁ προὼν, πῶς ἐν χρόνοις ὁ πρὸ τῶν αἰώνων, πῶς ἡ τῆς μήτρας τὸν ἀχώρητον ἐχώρησε φύσις, πῶς γέγονε σὰρξ, μὴ τραπεὶς ὁ ἀσώματος· πῶς ὁ Θεὸς Λόγος ἐν τῇ παρ- C θενικῇ κενώσας ἑαυτὸν νηδύϊ πανεύφημος, πρὸς δούλου μορφὴν ἀῤῥήτως ἐξ αὐτῆς ἐσαρκώθη, πῶς τὸ τέλειον βρέφος, πῶς ὁ τρέφων θηλάζει, πῶς ὁ πάντα περιέπων ἀγκάλαις περιέχεται, πῶς ὁ τοῦ μέλλοντος αἰῶνος πατὴρ, νήπιον, πῶς ὁ ἄνω καὶ κάτω, πῶς ὁ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς, πῶς ἐν σπαργάνοις ὁ τῶν χερουβικῶν ἁρμάτων ἡνίοχος, πῶς ὁ ἐν κόλποις τοῦ Πατρὸς, ἐν φάτνῃ, πῶς ἐν σπαργάνοις, ὁ ἐξάγων πεπεδημένους ἐν ἀνδρίᾳ; καὶ τὰ ἄλλα πάντα, ἅπερ καὶ λαλεῖν φρικτόν· ἀλλὰ μετὰ δώρων σιγῇ καταλαβόντες σπήλαιον, μετὰ τὴν ἐρώτησιν, τῷ βασιλεῖ καὶ Θεῷ πρεπῶδες προσκομίσαντες σέβας, πρὸς τὴν ἐνεγκαμένην μετὰ χαρᾶς ἦσαν φιλυπόστροφοι, ἀπαρχὴ θεογνωσίας ἀναδειχθέντες τοῖς ἔθνεσιν· οὓς τὰ μὲν ἔθνη ἐζήλωσαν· Ἰουδαῖοι δὲ ἀκαμπεῖς, μᾶλλον δὲ σκληροτράχηλοι D ὄντες, οὔτε εἰς Ἥλιον τῆς δικαιοσύνης ἐν τοῖς οἰκείοις τόποις φανέντα πρὸς ἐπίγνωσιν ἐσπούδασαν μιμήσασθαι τοὺς ὑπὸ πρὸς ἀστέρος μακρόθεν ὁδηγηθέντας. Ἐγὼ δὲ, ἀγαπητοὶ, πρὸς τὸ πρόθυμον ὑμῶν τῆς ἀκροάσεως τῶν θείων λογίων ὁρῶν, καὶ τὸ περὶ τοὺς ἐξηγουμένους φιλόστοργον, τῇ φιλητικῇ ὑμῶν νικώμενος πρὸς τὸν τῆς διδασκαλίας διανίσταμαι πόθον· τῇ τῆς ἀγάπης ὑμῶν συγκρατήσει τερπόμενος. Ὑμεῖς γὰρ τοὺς λέγοντας, ὡς πολυΐστορες μαθηταὶ, συνεχῶς συγκροτεῖτε, ὑμεῖς τὸν κυβερνήτην ὡς ἐπιβάται ῥυθμίζετε· ὑμεῖς τὰ τῆς γλώττης πηδάλια προσευχαῖς διακρατεῖτε. Τίς τὸ ζήλου ὑμῶν

[2] ibid. 35. [3] ibid. 38. [4] Matth. II, 1 seqq. [5] Philipp. II, 6, 7. [6] Psal. LXVII, 6.

Digitized by Google

ἀπαγγεῖλαι ἐπαξίως δυνήσεται; Τίς τὸ καθ' Ἑλλήνων ὑμῶν ἐξηγήσεται μῖσος; Τίς τὸ καθ' αἱρετικῶν ὑμῶν ἀναπετάσει θράσος; Τίς τὸ πρὸς Ἰουδαίους ὑμῶν δυσμενὲς δυνήσηται ἀναγγεῖλαι; βδελυκτοὶ γὰρ μετὰ τῶν ἄλλων ἀληθῶς Ἰουδαῖοι, οὐδὲν πεινῶντες καὶ διψῶντες ἀεί, ἀλλ' ἢ φόνους ἀθώους, οὐδενὶ χαίροντες, ἢ τὸ λάκκοις ἐρρίπτειν τοὺς προφήτας, τὸ κατ' ἐδάφους ἕλκειν, καὶ λιθάζειν δικαίους, τὸ μαχαίρας ἐκκεντεῖν, καὶ μερίζειν πρίοσι τοὺς τῆς εὐσεβείας κήρυκας, τὸ κόπτειν χειρῶν καὶ ποδῶν μέρη τῶν εὐσεβῶν, καὶ ταῖς χερσὶν ἡμαγμέναις κρατεῖν τὰ πρὸς ἄμυναν ὄργανα, τὸ τὰς παλάμας φοινίσσειν τῇ συνεχεῖ ἀναιρέσει τῶν δικαίων· οἵτινες τοσοῦτον πρὸς δυσσεβεστάτην κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐληλάκασι τόλμαν, ὡς ἀναίδην ἐπὶ τοῦ παρόντος πρὸς αὐτὸν ἀνακράζειν· *Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.* Ὦ τῶν τολμηρῶν πραγμάτων! ὦ μίσους πρὸς Ἰουδαίους πρὸς φυγὴν ἀτενοῦντος! Ὁσάκις γὰρ ἂν τὴν πρὸς αὐτοὺς δραπετεῦσαι βουληθῶ βδελυρίαν, τοσαυτάκις μοι φανερῶς ἀπαντῶσιν, ἢ προφητῶν ἐγκαλούμενοι λόγοις, ἢ ταῖς τοῦ νόμου συλλαβαῖς ὑβριζόμενοι, ἢ ταῖς τῶν προσκυνουμένων Εὐαγγελίων ἐνηλούμενοι βίβλοις, ὡς καινὴν αἱ θεῖαι σελίδες ὑποψιν ἡμῖν παρήγαγον αὐτοὺς, τὰς ἀναισχύντους περὶ τὸν Δεσπότην τῶν ὅλων προβαλλομένους φωνὰς, καὶ λέγοντας τολμηρῶς, ἅπερ ἠκούσατε, *Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.* Ὦ τῆς φανερᾶς ἀναιδείας! ὦ τῆς ἀνακεκαλυμμένης τῶν λῃστῶν γλωσσαλγίας! ὦ τῆς τυφλῆς τῶν λόγων ἐναντιότητος! Ὅτε μὲν γὰρ Ἡρῴδης παρ' αὐτῶν ἐπυνθάνετο, *Ποῦ ὁ Χριστὸς γεννᾶται; παῤῥησιέστερον* ἔλεγον, *Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας·* καὶ τὴν τῆς προφητείας ἐπεδείκνυον κλῆσιν, καὶ τὸν ἱεροφάντην μαρτυροῦντα παρῆγον, *Προφήτης μέγας ἐγήγερται ἐν τῷ Ἰσραήλ·* καὶ νῦν κεκαλυμμένῳ προσώπῳ κεκράγασι, *Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.* Ὕντως οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. Ἀληθῶς οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός. Εἰκότως ὁ Χριστὸς πρὸς αὐτοὺς ἀνεβόα, *Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε.* Τίς πρὸς τὴν οὕτως κατ' αὐτῶν παρατάξηται ἀγνώμονα γνώμην; Τίς τὴν φιλόνεικον αὐτῶν δυσμενῆ διελέγξει; Τοσαύτας αὐτοὺς θαυματουργίας ὁ Χριστὸς περιήντλησε, τοὺς παραλελυμένους νευρῶν, τοὺς λεπροὺς καθαρίζων, τοὺς κακωμένους ὑγιάζων, τοὺς δαιμονιῶντας ἰώμενος, ἀνοίγων τῶν ὀμμάτων τὰ βλέφαρα, τοὺς νεκροὺς αὐτῶν ἀνιστῶν ἐκ τάφων, ὕδωρ εἰς οἶνον μεταποιῶν, καὶ ἄλλα μυρία παρέχων, ἅπερ ἐργῶδες λαλεῖν· καὶ πίστεως παρ' αὐτοῖς οὐδαμοῦ κἂν βραχύ. Ἔστω ὑμῶν, οὐχ ἡμῖν πείθῃ, ὦ Ἰουδαῖε, τοὺς ἱεροφάντας ἀνάγνωθι, τὰς παρὰ σοὶ κειμένας σελίδας ἀνάπτυξον, μηδὲ ξηρὸν Πέτρον, μηδὲ τὸν Παῦλον, τοὺς εὐαγγελιστὰς ἀφοσίωσαι. Ἄκουσον γοῦν καὶ Μωϋσέως. Τί

justitiæ in propriis eorum locis apparentem. Ego vero, charissimi, animadvertens vestram animi promptitudinem ad audienda eloquia divina, et intimum amorem erga illorum interpretes, vestro audiendi studio victus, excitor ad docendi desiderium, congratulatione charitatis vestræ delectatus. Vos enim continenter cum plausu excipitis eos qui sermonem habent, perinde ac discipuli, multarum rerum enarratores : vos velut vectores, gubernatorem ipsi componitis : vos gubernacula linguæ, precibus continetis. Quis zelum vestrum pro dignitate poterit enarrare? quis verbis explicabit vestrum adversus Græcos infideles odium? quis contra hæreticos vestram patefaciet animosam fiduciam? quis vestras in Judæos inimicitias commemorare poterit? Exsecrandi enim cum reliquis revera sunt Judæi, qui nihil aliud perpetuo esuriunt et sitiunt nisi cædes innocentium, nulla re magis oblectati, quam ut prophetas in foveas projiciant, in terram protrahant, lapident justos, gladios exserant in religionis præcones, serris in frusta concidant, partes manuum ac pedum piorum virorum amputent, et cruentis manibus teneant instrumenta ad supplicium idonea, continua justorum interfectione palmas sanguine perfundant : qui quidem adversus Salvatorem nostrum tantam et tam impiam effutierunt audaciam, ut impudenter eo præsente exclamarent in illum: *Nos scimus quod Moysi locutus est Deus, hunc autem nescimus unde sit* [7]. O res audacter gestas! O odium in Judæos, quod me declinare non sinit. Quoties enim abominationem eorum effugere desidero, toties palam mihi occurrunt, vel prophetarum verba calumniantes, aut in syllabas legis contumeliosi, aut libros adorandorum Evangeliorum perturbantes, ita ut chartæ divinæ novam suspicionem nobis ingesserint, ipsos impudentes voces objecisse in Dominum omnium, et audacter dixisse quæ audistis : *Moysi locutus est Deus, hunc autem nescimus unde sit.* O manifestam imprudentiam! O ægritudinem linguæ latronum detectam! O cæcam sermonum contrarietatem! Nam cum Herodes percunctaretur eos, *ubi Christus nasceretur*, cum fiducia dicebant, *in Bethleem Judæ* [8], et ostendebant conclusionem prophetiæ adducentes sacrarum rerum interpretem, testificantem his verbis : *Propheta magnus excitatus est in Israel* [9]. Nunc autem velata facie clamant : *Moysi locutus est Deus, hunc autem nescimus unde sit.* Haud dubie non cognoverunt neque intellexerunt, in tenebris ambulant. Vere populus iste stultus et minime sapiens, unde merito Christus exclamat in eos : *Cecinimus vobis, et non saltastis : lamentati sumus vobis, et non planxistis* [10]. Quis contra eos ex adverso stabit ad impugnandam tam iniquam sententiam? Quis arguet contentiosas eorum inimicitias? Tot apud eos Christus miraculosas operationes circumquaque exhibuit, corroborans paralyticos, mundans leprosos, male habentes

[7] Joan. IX, 29. [8] Matth. II, 2, 5. [9] Luc. VII, 16. [10] Matth. XI, 17.

Digitized by Google

sanans, curans vexatos a dæmonio, aperiens palpebras oculorum, mortuos illorum excitans e sepulcris, aquam in vinum mutans, et alia præstans infinita, quæ laboriosum esset recensere. Et tamen nusquam apud eos est vel tantillum fidei. Esto, non credis nobis, o Judæe, lege sacros antistites, evolve libros qui sunt apud te : neque velis leviter detestari sanctos, Petrum aut Paulum evangelistas. Audi saltem vel Moysen quid præscripserit in lege : *Prophetam suscitabit Dominus Deus de fratribus vestris, ipsum tanquam me audietis* [11]. Intuere quid Isaias prophetans inclamet : *Ecce virgo in utero habebit, et pariet filium, et vocabitur nomen ejus Emmanuel* [12]. Audi Jeremiam vociferantem ingentia : *Hic est Deus noster, non reputabitur alius præter eum : et descendam*, inquit : *post hæc in terris visus est, et cum hominibus conversatus est* [13]. Vide rursum quid innuat Zacharias : *Ecce vir, nomen ei Sol justitiæ, et sanitas in pennis ejus* [14]. Et mulier quæ fluxu sanguinis laborans multos post annos sanata est, una cum aliis sermonem confirmavit, et sigillo notavit, solo fimbriæ tactu recipiens sanitatem. Quid? lege studiose Ezechielem, et virum desideriorum, quo pacto ille quidem dicebat : *Hæc est porta Domini, et ingredietur Dominus per eam et egredietur, et erit porta clausa* [15]. Daniel autem inquit : *Et ecce in nubibus cœli velut Filius hominis veniens* [16]. Asta ipsi Jacob, et disce quid dicat in benedictionibus emittendis : *Non deficiet princeps de Juda, et dux de femoribus ejus, donec veniat qui repositus est, et ipse expectatio gentium* [17]. Pulsa citharam sancti Spiritus, et perspice quid David accurate decantaverit : *Mater Sion dicet : Homo, et homo natus est in ea, et ipse fundavit eam Altissimus* [18]. Virgo enim est mater, et post partum permansit sigillum virginitatis, quod natura indidit, inconcussum custodiens. Rursum inspice quid ait David : *Orietur in diebus ejus justitia, et deinde dominabitur a mari usque ad mare, et a fluminibus usque ad terminos terræ* [19]. Num quis præceptorum nostrorum hæc pronuntiavit? Num quis discipulorum Salvatoris in tabulis aut chartis talia circumscripsit? Nonne quicunque de eo antea prædicarunt, ii erant filii circumcisionis qui hæc præcinebant? His forte non tibi libet credere : reverere dæmones exclamantes his verbis, *Quid nobis et tibi, Fili Dei viventis* [20]? Reverere angelorum, hominum, dæmonum, ac simul universæ creaturæ confessionem de Christo Domino. Sin etiam hæc aversaris, excipe testatricem Patris vocem, illius gratia e superis instar tonitrui resonantem, *Hic est Filius meus dilectus in quo mihi bene complacui* [21]. Ipsi gloria in sæcula sæculorum. Amen.

ἐν νόμῳ προέγραψε ; *Προφήτην ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ, αὐτοῦ ἀκούσετε.* Βλέπε τί προφητεύων Ἡσαΐας βοᾷ, *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Ἄκουσον Ἱερεμίου κεκραγότος μεγάλα· *Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, καὶ ὑποκαταβαίνω, φησί· μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη.* Ὅρα πάλιν τί Ζαχαρίας ἐσήμανεν· *Ἰδοὺ ἀνὴρ, ὄνομα αὐτῷ Ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.* Καὶ τὸν λόγον αἱμόῤῥους γυνὴ μετὰ πολλὰ ἔτη ἰαθεῖσα, σὺν καὶ ἄλλοις ἐβεβαίωσε καὶ ἐσφράγισε, τῇ ἁφῇ τοῦ κρασπέδου δεξαμένη τὴν ἴασιν. Τί ; τὸν Ἰεζεκιὴλ, καὶ τὸν ἄνδρα τῶν ἐπιθυμιῶν φιλολόγως ἀνάγνωθι. Πῶς ὁ μὲν, *Αὕτη ἡ πύλη τοῦ Κυρίου, ἔλεγε, καὶ εἰσελεύσεται Κύριος δι' αὐτῆς καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη.* Ὁ δὲ Δανιὴλ, *Ἐθεώρουν*, φησὶ, καὶ *ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος.* Παράτηθι τῷ Ἰακὼβ, καὶ τί λέγει μεταξὺ τῶν εὐλογιῶν κατάμαθε. *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν.* Ἆψαι τῆς κιθάρας τοῦ Πνεύματος, καὶ θέασαι τί Δαβὶδ ἀκριβῶς ἐμελῴδησε, *Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.* Παρθένος γὰρ ἡ μήτηρ, καὶ μετὰ τόκον διέμεινε τῆς παρθενίας σφραγὶς, ἣν ἡ φύσις ἐπέθηκεν ἀπαρασάλευτον φυλάττουσα. Πάλιν ὅρα τί λέγει Δαβὶδ, *Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη* · καὶ ἑξῆς *Κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.* Μὴ ταῦτά τις τῶν διδασκάλων τῶν ἡμετέρων προεμήνυσε ; μή τις τῶν μαθητῶν τοῦ Σωτῆρος ἐν δέλτοις, ἢ χάρταις τὰ τοιαῦτα συνέγραψεν; Οὐχ ὅσοι περὶ αὐτοῦ προεκήρυξαν τὰ τῆς περιτομῆς, ταῦτα περιεσάλπισαν τέκνα ; Οὐχ οἱ τοῦ Ἀβραὰμ ἔγγονοι ταῦτα ἀνεκήρυξαν ; ἐν τούτοις οὐ χαίρει πιστεύειν, ἐντράπηθι τοὺς δαίμονας ἀναβοῶντας, καὶ λέγοντας, *Τί ἡμῖν καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος ;* Αἰδέσθητι ἀγγέλων καὶ ἀνθρώπων καὶ δαιμόνων, καὶ πάσης ὁμοῦ τῆς κτίσεως τὴν περὶ τοῦ Δεσπότου Χριστοῦ ὁμολογίαν. Εἰ δὲ καὶ τούτοις παραιτῇ, δέξαι τὴν τοῦ Πατρὸς ἐπ' αὐτῷ μαρτυρίαν οὐρανόθεν βροντῶσαν, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.* Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

V.

Ejusdem de eadem.

Jure procul dubio omnis grati animi lingua salu-

Ε'.

Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν.

Πᾶσα μὲν εὐγνώμων γλῶττα τὴν Παρθένον εἰκό-

[11] Deut. XVIII, 15. [12] Isa. VII, 14. [13] Baruch. III, 37, 38. [14] Malach. IV, 2. [15] Ezech. XLIV, 2. [16] Dan. X, 16. [17] Gen. XLIX, 10. [18] Psal. LXXXVI, 5. [19] Psal. LXXI, 7, 8. [20] Matth. VIII, 29 [21] Matth. XVII, 5.

Digitized by Google

τως καὶ Θεοτόκον ἀσπάζεται, καὶ τὸν Γαβριὴλ μιμεῖται τὸν ἄρχοντα τῶν ἀγγέλων εἰς δύναμιν. Καὶ ὁ μὲν αὐτῇ *χαῖρε* λέγει· ὁ δὲ, *Κύριος ἐκ σοῦ*, προσφωνεῖ, διὰ τὸν ἐξ αὐτῆς τεχθέντα, καὶ μετὰ σαρκὸς τῷ γένει τῶν ἀνθρώπων ἐπιφανέντα Κύριον. Οὗτος αὐτὴν Μητέρα φωτὸς ἐπονομάζει· ἐκεῖνος Ἀστέρα ζωῆς· ἄλλος Θρόνον προσαγορεύει Θεοῦ, ἄλλος Ναὸν οὐρανοῦ μείζονα· ἕτερος Καθέδραν τῆς τῶν χερουβικῶν καθέδρας οὐκ ἐλάττονα· ἕτερος πάλιν, Κῆπον ἄσπορον, εὔφορον, ἀγεώργητον, ἄμπελον εὔβοτρυν, εὐθαλῆ, ἀψηλάφητον, τρυγόνα καθαρὰν, περιστερὰν ἀμίαντον, νεφέλην τῶν ὑετῶν χωρὶς φθορᾶς συλλαμβάνουσαν· πῆραν, ἧς ὁ μαργαρίτης τοῦ ἡλίου λαμπρότερος· μέταλλον ἐξ οὗ ὁ λίθος ὅλην καλύπτων τὴν γῆν, οὐδενὸς αὐτὸν λατομοῦντος προέρχεται· ὁλκάδα φορτίου γέμουσαν, καὶ κυβερνήτου μὴ χρῄζουσαν, θησαυρὸν πλουτοποιόν· ἄλλοι δὲ ὁμοίως ἄστομον λύχνον ἀφ' ἑαυτῆς ἄπτουσαν, Κιβωτὸν τὴν τοῦ Νῶε πλατυτέραν, εὐμηκεστέραν, ἐνδοξοτέραν. Ἐκείνη ζώων κιβωτὸς, αὕτη δὲ ζωῆς· ἐκείνη ζώων φθαρτῶν, αὕτη δὲ ἀφθάρτου ζωῆς· ἐκείνη τὸν Νῶε, αὕτη δὲ τοῦ Νῶε τὸν ποιητὴν ἐβάστασεν· ἐκείνη διόροφα καὶ τριόροφα ἐκέκτητο, αὕτη δὲ ὅλον τῆς Τριάδος τὸ πλήρωμα. Ἐπειδήπερ καὶ τὸ Πνεῦμα ἐπεδήμει, καὶ ὁ Πατὴρ ἐπεσκίασε, καὶ ὁ Υἱὸς ἐνεσκήνου κυοφορούμενος. *Πνεῦμα γὰρ ἅγιον*, φησὶν, *ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ.* Ὁρᾷς ὅσον τὸ τῆς Θεοτόκου Παρθένου καὶ πηλίκον ἄξίωμα; Ὁ γὰρ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ τοῦ κόσμου ποιητὴς, ὡς βρέφος παρ' αὐτῆς ἐβαστάζετο, καὶ τὸν Ἀδὰμ ἀνέπλασε, καὶ τὴν Εὔαν ἡγίασε, καὶ κατήργει τὸν δράκοντα, καὶ τὸν παράδεισον ἤνοιγε, καὶ τὴν σφραγῖδα τῆς γαστρὸς ἠσφαλίζετο. Εἰκότως σφόδρα καὶ κατὰ λόγον, ἑκάτερον. Τὸν γὰρ παράδεισον ἤνοιγεν, ἐπειδὴ λῃστὴν εἰσφέρειν, καὶ πάντας εἰς αὐτὸν χειραγωγεῖν τοὺς κληρονόμους τῆς βασιλείας ἤμελλε. Τὴν σφραγῖδα τῆς γαστρὸς ἠσφαλίζετο, Θεὸς καὶ Λόγος ὑπάρχων ὁ σαρκούμενος, οὐδαμῶς θύρας πρὸς τὴν εἴσοδον ἢ τὴν ἔξοδον ἔχρῃζε. Σοὶ μὲν οὖν, ὦ Παρθένε, τοὺς ἐπαίνους οἱ προφῆται μερίζονται, καὶ λέγει τὴν Θεοφόρον ἕκαστος, ὃς τῶν θαυμάτων ἐπιστεύθη μυστήρια. Καὶ ὁ μὲν σε *ῥάβδον* Ἰεσσαὶ καλεῖ, ἵνα τὸ ἄτρωτον καὶ ἀκαμπὲς τῆς παρθενίας αἰνίξηται. Ὁ δὲ βάτῳ προβάλλει καιομένῃ, καὶ μὴ κατακαιομένῃ, ἵνα τὴν σάρκα τοῦ Μονογενοῦς καὶ τὴν Παρθένον τὴν Θεοτόκον αἰνίξηται. Ἡ μὲν γὰρ ἐκαίετο, καὶ οὐ κατεκαίετο, ἐπειδήπερ ἔτεκε, καὶ τὴν γαστέρα οὐκ ἤνοιξε· συνέλαβε, καὶ τὴν μήτραν οὐκ ἔφθειρεν· ἐξήγαγε τὸ βρέφος, καὶ τὴν κοιλίαν ἐσφραγισμένην κατέλιπεν· ἐχορήγησε γάλα, καὶ τοὺς μασθοὺς ἀψηλαφήτους ἐφύλαξεν· ἐβάστασε παιδίον, καὶ τοῦ παιδίου πατέρα οὐκ ἐγίνωσκεν· ἐγέ-

A tat Virginem et Deiparam, ac pro viribus Gabrielem angelorum principem imitatur. Itaque hic quidem dicit ei, *Ave*, ille vero acclamat, *Dominus ex te* [23], eo quod Dominus editus assumpta carne apparuerit humano generi. Iste cognominat eam, matrem lucis : ille, Stellam vitæ : alius Dei Thronum appellat : alius, Templum majus cœlo : alius, Cathedram non inferiorem cathedra cherubica : alius item, Hortum non seminatum, fertilem, incultum [24], vitem uvarum feracem, valde florentem, intactam : turturem mundam, columbam impollutam, nubem pluvias incorruptas continentem, specimen cujus gemma sole splendidior, fodinam unde prodit lapis totam terram tegens, a nullo incisus [25] : navem mercibus refertam, nulloque egen-
B tem gubernatore : thesaurum locupletantem ; alii similiter lucernam oris expertem, quæ a se ipsa jugiter ardeat ; arcam arca Noe latiorem, longiorem, illustriorem. Illa erat animalium arca, hæc autem arca vitæ : illa corruptibilium animalium, ista vero vitæ incorruptibilis : illa ipsum Noe, hæc vero ipsius Noe factorem portavit : illa duas et tres contignationes et mansiones habebat, hæc autem universum Trinitatis complementum, quandoquidem et Spiritus sanctus adveniebat atque hospitabatur, et Pater obumbrabat, et Filius utero gestatus inhabitabat. *Spiritus enim sanctus*, ait, *superveniet in te, et virtus Altissimi obumbrabit tibi. Ideoque quod nascetur ex te sanctum, vocabitur Filius Dei* [26]. Vides quanta et qualis est Deiparæ Virginis dignitas? Unigenitus
C enim Dei Filius mundi conditor, velut infans gestabatur ab ea, et Adamum reformabat, Evamque sanctificabat, excludebat draconem, et paradisum aperiebat, sigillum uteri muniens [27]. Merito sane utrumque et justa ratione. Aperiebat enim paradisum, quoniam latronem introducturus erat in eum, cunctosque regni hæredes deducturus. Sigillum uteri muniebat, eo quod is qui carnem assumebat, esset Deus et Verbum, nequaquam opus habens portis ingrediendi causa aut egrediendi. Tibi igitur, o Virgo, prophetæ tribuunt laudes [28*], et quisque Deiferam dicit, qui miraculorum mysteriis fidem habuerit. Et ille quidem te virgam Jesse vocitat [27], ut obscure declaret virginitatem, quæ nullo modo vulnerari aut incurvari potuerit. Iste vero com-
D parat cum rubo ardente, qui tamen non exuritur [28] : ut subindicet carnem Unigeniti, et Virginem Deiparam. Hæc enim ardebat, et non consumebatur : peperit siquidem, et uterum non aperuit [29] : concepit, et vulvam non corrupit ; eduxit infantem, et uterum signatum reliquit ; lac suppeditavit, ubera tamen intacta conservavit : portabat puerum, pueri tamen patrem non agnoscebat : mater effecta est,

[23] Luc. I, 28. Editio vulgata, *tecum* : non, *ex te*, habet. [24] Cant. v. *Incultum* dicit, quia præter humanam cohabitationem. [25] Dan. II, 45. [26] Luc. I, 35. [27] Claustra virginei pudoris non aperuit Christus. [28*] Ezech. XXIV et XXVI. [27] Isa. II, 1. [28] Exod. III, 2 seqq. [29] Caute lege, vere siquidem sponsa et conjux fuit, quoad veritatem et essentiam conjugii, non quoad thorum vel conjugii consummationem, ut docent theologi. *Vide* S. Thom., III part., quæst. 29, art. 2.

Digitized by Google

quæ minime sponsa fuit : nutriebatur filius, et non inveniebatur pater : ager fructum edebat, et fructus carebat cultore : messis reddebat quæ semen non acceperat : currebat fluvius, et fons quacunque ex parte clausus erat, ut perspicuum fieret te matrem esse factam, et tamen non esse passam ea quæ mulieribus accidunt. Peperisti tanquam mulier, non tamen ut mulier corrupta es : juxta legem naturalem gestabas in utero, quoniam tempus pariendi præscriptum exspectabas : verumtamen concepisti præter legem naturalem ; alius te appellavit portam clausam in oriente sitam [30], quæ introduxit clausarum portarum regem : necnon etiam portam emittentem te vocavit, quoniam porta præsentis vitæ Unigenito effecta es. Portam in oriente sitam, quia lux vera, quæ illuminat omnem hominem venientem in mundum [31], ex utero tuo processit, velut e quodam thalamo regio. Tu regem portarum clausarum introduxisti, atque iterum eduxisti. Nequaquam enim Rex gloriæ, dum conciperetur aut ederetur, vulvæ tuæ portas prorsus aperuit, neque virginitatis vincula laxavit. Vocavit te hortum conclusum, et fontem signatum, is qui ex te ortus est sponsus, prædixit in Canticis [32]. Hortum conclusum, ob id quod falx corruptionis, au vindemia te non attigit: florem autem, qui ex radice Jesse hominum generi pure exhibetur, excultus tibi a puro et intemerato Spiritu. Fontem conclusum, quia flumen vitæ ex te prodiens replevit terram, alioqui ramus nuptialis fontem tuum nequaquam exhausit. David sine intermissione cithara celebrat eum qui ex te natus est : *Surge, Domine, in requiem tuam, tu et arca sanctificationis tuæ* [33]. Surge : unde? E sinu Patris, non ut a Patre separeris (hoc enim dicere vel cogitare nefas est) : sed ut dispensationem peragas, vel quidpiam e cœlis ante sæcula et ante generationes tibi præfinitum. Surge, ut lapsos erigas, ut claudicantes recta incedere facias, ut possessionem tuam recipias, quæ ab hoste ad hoc usque tempus tyrannico modo occupatur. *Surge, Domine, in requiem tuam*, quam super terram præscripsisti, et in Bethleem constituisti, utpote stabulum, præsepe, et fascias. Non enim eges in cœlis requie, sed ipse es requies universæ creaturæ : at in terra, nostra causa pateris quæ ad carnem pertinent. Non enim erat esuries aut sitis vera quam habebas ; quinimo esuriens, panis es vitæ : et sitiens ipse es consolatio laborantium siti, cum sis fluvius incorruptionis : et dum fatigabaris obambulando terram, per fluctus maris iter pedibus faciebas absque labore. *Surge, Domine, in requiem tuam, tu et area sanctificationis tuæ*, quæ est haud dubie Virgo Deipara. Si enim tu es gemma, merito illa est arca. Et quia Sol exsistis, necessario Virgo vocabitur cœlum. Cum sis flos immarcescibilis, profecto Virgo erit planta incorruptionis, et paradisus immortalitatis : in quam Isaias hæc

A νετο μήτηρ, καὶ οὐκ ἐγένετο νύμφη. Υἱὸς ἐτρέφετο, καὶ πατὴρ οὐχ εὑρίσκετο· ὁ ἀγρὸς ἐκαρποφόρει, καὶ ὁ καρπὸς γεωργὸν οὐκ ἐκέκτητο· θέρος ἀπέδωκε, καὶ σπόρον οὐκ ἐδέξατο· ποταμὸς ἔτρεχε, καὶ ἡ πηγὴ πανταχόθεν ἐκέκλειστο εἰς ἔνδειξιν, ὅτι καὶ μήτηρ ἐγένου, καὶ τὰ μητέρων οὐκ ἔπαθες· ἔτεκες ὡς γυνή, καὶ οὐκ ἐφθάρης ὡς γυνή· κατὰ νόμον ἐκυοφόρεις τῆς φύσεως, ἐπειδὴ τὸν τεταγμένον καιρὸν τῶν ὠδίνων ἀνέμενες. Ἀλλὰ γὰρ καὶ συνέλαβες παρὰ νόμον τῆς φύσεως. Ἕτερός σε πύλην κεκλεισμένην, ἐν ἀνατολαῖς δὲ κειμένην, προσηγόρευσε, καὶ τὸν βασιλέα τῶν θυρῶν κεκλεισμένων εἰσάγουσαν· οὕτω δὴ καὶ ἐκφέρουσαν πύλην σε κέκληκεν, ἐπειδὴ θύρα τοῦ παρόντος βίου τῷ Μονογενεῖ γέγονας· πύλην ἐν ἀνατολαῖς κειμένην, ἐπειδὴ τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον

B πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἐκ τῆς σῆς γαστρὸς καθάπερ ἔκ τινος παστάδος βασιλικῆς προέρχεται. Σὺ τὸν βασιλέα τῶν θυρῶν κεκλεισμένων εἰσήγαγες, ἀλλὰ πάλιν ἐξήγαγες. Οὔτε γὰρ συλλαμβανόμενος, οὔτε ὅλως τικτόμενος ὁ βασιλεὺς τῆς δόξης τὰς θύρας τῆς σῆς μήτρας ἠνέῳξεν, οὔτε τῆς παρθενίας τοὺς συνδέσμους ἐχαύνωσε· σὲ Κῆπον κεκλεισμένον ὠνόμαζε, καὶ Πηγὴν ἐσφραγισμένην ὁ ἐκ σοῦ νυμφίος, καὶ προεῖπεν ἐν τοῖς Ἄσμασι. Κῆπον κεκλεισμένον· ἐπειδὴ σοῦ μὲν, δρεπάνη φθορᾶς ἢ τρυγητὸς οὐχ ἥψατο. Ἄνθος δὲ, τὸ ἐκ τῆς ῥάβδου τοῦ Ἰεσσαὶ καθαρῶς τῷ γένει τῶν ἀνθρώπων, καὶ καθαρῶς παρίστησιν, ὑπὸ μόνου γεωργηθέν σοι τοῦ καθαροῦ καὶ ἀχηράτου Πνεύματος. Πηγὴν ἐσφραγισμέ-

C νην, ὅτι ποταμὸς ζωῆς ἐκ σοῦ προελθὼν τὴν οἰκουμένην ἐπλήρωσεν. Ἀλλὰ κλάδος γαμικὸς τὴν σὴν πηγὴν οὐκ ἤντλησε. Περὶ σοῦ Δαβὶδ ἐκ σοῦ κιθαρίζων οὐ παύεται· *Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.* Ἀνάστηθι, πόθεν; Ἐκ τῶν κόλπων τοῦ Πατρὸς, οὐχ ἵνα χωρισθῇς τοῦ Πατρὸς (τοῦτο γὰρ οὐ θέμις ἢ νοεῖσθαι ἢ λέγεσθαι), ἵνα δὲ τὴν οἰκονομίαν πράξῃς, ἥ τι ἀνωθέν σοι πρὸ αἰώνων καὶ πρὸ τῶν γενεῶν προώριστο. Ἀνάστηθι, ἵνα τοὺς πεσόντας ἐγείρῃς, ἵνα τοὺς σκελισθέντας ὀρθώσῃς, ἵνα τὸ σὸν ἀναλάβῃς κτῆμα, παρὰ τοῦ ἐχθροῦ μέχρι τοῦ νῦν τυραννούμενον. *Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου,* ἣν ἐπὶ τῆς γῆς ὥρισας, καὶ εἰς τὴν Βηθλεὲμ ἔταξας, τὸ σπήλαιον καὶ τὴν φάτνην καὶ τὰ σπάργανα· ἐν οὐ-

D ρανοῖς γὰρ οὐ χρῄζεις ἀναπαύσεως. Αὐτὸς δὲ ἀνάπαυσις ὑπάρχεις ὅλης τῆς κτίσεως. Ἐπὶ γῆς δὲ δι' ἡμᾶς τὰ τῆς σαρκὸς πάσχεις. Ἡ γὰρ οὐχὶ καὶ πεῖνη καὶ δίψη, ἣν ἔσχου. Ἀλλὰ γὰρ καὶ πεινῶν ἄρτος ὑπάρχεις ζωῆς, καὶ διψῶν αὐτὸς εἶ τῶν διψώντων παράκλησις. Ποταμὸν γὰρ ἀφθαρσίας καθέστηκας· καὶ κοπιῶν τοῖς περιπάτοις τῆς ξηρᾶς, πεζεύεις κόπου χωρὶς τῆς θαλάσσης τὰ κύματα. *Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου,* ἡ Παρθένος, ἡ Θεοτόκος, εὔδηλον. Εἰ γὰρ σὺ μαργαρίτης, εἰκότως ἐκείνη κιβωτός· ἐπειδὴ σὺ τυγχάνεις Ἥλιος, οὐρανὸς ἀναγκαίως ἡ Παρθένος κληθήσεται· ἐπειδὴ σὺ ἄνθος τυγχάνεις

[30] Ezech. XLIV, 2. [31] Joan. I, 9. [32] Cant. IV, 12. [33] Psal. CXXXI, 8.

Digitized by Google

ἀμάραντον, ἆρα ἡ Παρθένος ἀφθαρσίας φυτὸν, ἀθανασίας παράδεισος. Εἰς ἦν Ἡσαΐας ταῦτα θεῶν ἀρτίως προανεφώνησε λέγων· *Ἰδοὺ, ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Ἰδοὺ ἡ Παρθένος· ποία; Ἡ τῶν γυναικῶν ἔγκριτος, ἡ τῶν παρθένων ἐξαίρετος, τὸ σεμνὸν τῆς ἡμετέρας φύσεως ἐγκαλλώπισμα, τὸ τοῦ πηλοῦ ἡμετέρου καύχημα, ἡ τῆς αἰσχύνης τὴν Ἕβαν, καὶ τῆς ἀπειλῆς τὸν Ἀδὰμ ἀπαλλάξασα, ἡ τὴν παρρησίαν ἀποτεμοῦσα τοῦ δράκοντος· ἧς κάπνὸς ἐπιθυμίας οὐχ ἥψατο, οὐδὲ σκώληξ αὐτὴν ἡδυπαθείας ἔβλαψεν. *Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται·* πόθεν, ὦ προφῆτα; Οὐ λέγω, φησί. Τοῦτο γὰρ τῷ Γαβριὴλ πεφύλακται. Πολλοὶ τῆς Θεοτόκου διαιροῦνται τὰ θαύματα, πολλὰ δὲ ὅμως καὶ ἐξ αὐτῶν παραλέλειπται· πλὴν ἐγὼ τὸν τόκον τῆς Ἀειπαρθένου πεπίστευμαι· Μιχαίας, τὸν χῶρον ἐν ᾧ τὸ θαῦμα πέπρακται· Δαβὶδ, τὸν καιρόν. Αὐτὸς γὰρ τὸ, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε,* τῇ τῶν Ψαλμῶν προφητείᾳ ἐνέθηκε. Γαβριὴλ τοίνυν ἐρεῖ τὸ, πόθεν. Ἐκεῖνος γὰρ ἐξ οὐρανοῦ κατέρχεται· ἐκεῖνος ἐπ' αὐτὸ τοῦτο ἐπὶ τὴν Παρθένον πέμπεται· ἐκεῖνος ἐν καιρῷ τοῦ τόκου παραγίνεται, καὶ τοῦ τόκου τὴν ὑπόστασιν ἀναγκαίως ἑρμηνεῦσαι πιστεύεται. Εἰ δὲ καὶ παρ' ἐμοῦ μανθάνειν θέλεις, τὰ ἑξῆς τῆς προφητείας ἔπελθε· *Καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Τί δέ ἐστιν Ἐμμανουήλ; *Μεθ' ἡμῶν ὁ Θεός.* Μὴ τοίνυν Θεὸς ἀπὸ γάμου καὶ φθορᾶς συλλαμβάνεται, καὶ ἐξ ἀνδρὸς καὶ κοίτης τεχθῆναι ἢ σαρκωθῆναι δύναται; Οὐδαμῶς, ἀλλ' ἐξ ἐνεργείας Θεοῦ, ἐξ ἐπιφυτεύσεως Ὑψίστου, ἐκ παρουσίας Πνεύματος. Τί γὰρ οὖν ἠνίκα ἡ Παρθένος πρὸς τὸν Γαβριὴλ ἔλεγε· *Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;* τοῦτ' ἔστιν, Ἐκπλήττει με τὸ θαῦμα, καταπλήττει με τὸ ῥῆμα, καὶ ὁ τοῦ ἀγγέλου χρηματισμὸς τὴν Παρθένον ἐξίστησι, θαυμαστὰ λέγεις, ἐμοὶ δὲ διὰ τὸ ξένον ὕποπτα. Δέδοικα τοῦ εὐαγγελισμοῦ τὸ καινὸν, θορυβοῦμαι πρὸς τὸ λίαν τῶν λεγομένων ἄηθες. *Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;* πῶς ἔσομαι μήτηρ, μὴ γενομένη νύμφη; οὐκ ἐφθάρη τὸ τῆς ὥρας ἄνθος, τὸν ζωστῆρα τῆς παρθενίας οὐκ ἔλυσα, τὸν δεσμὸν τῆς μήτρας οὐκ ἐχαύνωσα, τὴν σφραγῖδα τῆς γαστρὸς οὐ παρέλυσα. Ὁ δὲ ἄγγελος παραχρῆμα ἐπήγαγε· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι·* τοῦτ' ἔστιν, Εἰ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν ἔτεκες Θεὸν, δούλου μορφὴν λαβεῖν ἐκ σοῦ δὲ σὲ χωρὶς φθορᾶς εὐδοκήσαντα, οὐκ ἂν ὄργανον ἐγίνου τῆς τοῦ πάντα παραγαγόντος σαρκώσεως. Ἀλλ' ἐπειδὴ καθαρὰ τυγχάνεις κοίτης γαμικῆς, ἐπειδὴ τὸν ναὸν ἄφθαρτον, καὶ τὴν σκηνὴν ῥύπου παντὸς ἐλευθέραν ἐτήρησας, καὶ ὁ Πατὴρ ἐπιδημεῖ σοι, καὶ τὸ Πνεῦμα ἐπισκιάζει, καὶ μετὰ σαρκὸς ἐκ σοῦ ὁ Μονογενὴς τίκτεται. Σὺ οὖν μηδαμῶς διακριθῇς τὰ ἑξῆς μυστήρια, μὴ διακριθῇς ἐν σπηλαίῳ τίκτουσα τὸν ὅλης τῆς κτίσεως Δημιουργὸν, μὴ διακριθῇς ἐν φάτνῃ καθίζουσα τὸν ἐπὶ τῶν νώτων τῶν

A prospiciens nuper acclamabat dicens : *Ecce virgo in utero concipiet, et pariet filium, et vocabunt nomen ejus Emmanuel* [35]. Ecce virgo, quænam? Mulierum egregia, e virginibus electa, præclarum naturæ nostræ ornamentum, gloria luti nostri, quæ Evam pudore, et Adamum comminatione liberavit, audaciam draconis abscidit : quam concupiscentiæ fumus non attigit, neque vermis voluptatis eam læsit. *Ecce virgo in utero concipiet*, undenam, o propheta? Non dico, ait. Hoc enim reservatum est Gabrieli. Permulti distincte declarare nituntur miracula Virginis, pleraque tamen eorum prætermissa sunt. Cæterum ego de partu semper Virginis, fidem facio : Micheas, de regione et loco in quo miraculum peractum est : David, de tempore. Ipse enim B Prophetiæ Psalmorum inseruit istud : *Ex utero ante luciferum genui te* [36]. Gabriel igitur dicturus est unde. Ille enim de cœlo descendit, ille ad hoc ipsum mittitur ad Virginem, ille tempore partus adest, et substantiam partus creditur necessario declarasse. Sin cupis et a me discere, quæ sequuntur in propheta percurre : *Et pariet filium, et vocabunt nomen ejus Emmanuel.* Quid porro est Emmanuel? *Nobiscum Deus.* Nunquid ergo Deus ex nuptiis et corruptione concipitur, et ex viro atque concubitu editus aut incarnatus esse potest? Nequaquam, sed operatione divina, seminatione superna, et adventu Spiritus sancti. Quamobrem cum Virgo Gabrieli diceret : *Quomodo fiet istud apud me, quia virum non cognosco* [36]? percellit me : miraculum quod dixisti, me perterret : C et oraculum angeli Virginem obstupefacit, miranda dicis, ideoque mihi dubia, quia peregrina, extimesco nuntii fausti novitatem : perturbor ob ea quæ dicuntur a te admodum insolita. *Quomodo mihi fiet istud, quia virum non cognosco?* qua ratione fiam mater, quæ non fui sponsa? flos ætatis vigentis non est corruptus : cingulum virginitatis non solvi : vincula vulvæ non laxavi : uteri non dissolvi sigillum. Angelus confestim subjunxit : *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi* [37]; hoc est, si cognosceres virum, non pareres Deum, cui visum est ex te, propter te citra corruptionem, servi formam sumere : nunquam D fieres instrumentum incarnationis ejus qui omnia produxit. Verum quia munda es a concubitu nuptiali, quia templum incorruptum, et tabernaculum ab omni sorde liberum conservasti : et Pater hospitatur apud te, et Spiritus sanctus obumbrat, et assumpta carne Unigenitus ex te nascitur : eam ob rem, ne dubites ullo modo, de reliquis mysteriis ne sis anxia, si parias in stabulo universæ creaturæ opificem : ne hæsites, si sedere facias in præsepio eum qui sedet in dorso Cherubim, si non habeas locum in diversorio, cum sis mater regis eorum quæ sursum sunt et deorsum. Libens enim qui ex te natus est, pauper efficitur, ut divites refrenet, et

[35] Joa. VII, 14. [36] Psal. II, 7. [36] Luc. I, 34. [37] ibid. 35.

Digitized by Google

egenis patientiæ sit argumentum, et gratiarum actionis magister. Libens reconditur in præsepi, ut qui sunt pecuini accurrant, et reperiant λόγον, id est, sermonem et rationem in præsepi constitutam : ut ex eo recipiant dignitatem rationalem : ut qui currunt ad paleas, frumentum nanciscantur : ut bestiarum more festinent, arbitrantes se inventuros in præsepi manipulos hordei, et panem verum manducaturos, alimentum vitæ, cœnam lucis, escam lætitiæ, incorruptionis dulcedinem, unde oritur notitia regni, arrha adoptionis filiorum, cœlorum hæreditas, societas cum Patre et Filio et Spiritu sancto. Ipsi gloria in sæcula sæculorum. Amen.

A Χερουβίμ καθεζόμενον, οὐκ ἔχουσα τόπον ἐν τῷ καταλύματι· καὶ μήτηρ βασιλέως τῶν ἄνω καὶ τῶν κάτω τυγχάνουσα. Ἐκὼν γὰρ ἐκ σοῦ πτωχεύει, ἵνα καὶ τοὺς πλουσίους χαλινώσῃ, καὶ τοῖς πτωχοῖς ὑπόθεσις ὑπομονῆς, καὶ διδάσκαλος εὐχαριστίας γένηται. Ἐκὼν ἐπὶ τῆς φάτνης τίθεται, ἵνα οἱ κτηνώδεις προσδράμωσι, καὶ τὸν λόγον εὕρωσιν ἐπὶ τῆς φάτνης καθήμενον, ἵνα ἀναλάβωσιν ἐξ αὐτοῦ τὸ λογικὸν ἀξίωμα, ἵνα σῖτον εὕρωσι προσδοκήσαντες ἄχυρα, ἵνα ὡς κτῆνη προσδράμωσι, δράγματα κριθῆς ἐπὶ τῆς φάτνης εὑρεῖν οἰόμενοι, καὶ τὸν ἄρτον τὸν ἀληθινὸν φάγωσι, τὴν τροφὴν τῆς ζωῆς, τὸ δεῖπνον τοῦ φωτός, τὴν βρῶσιν τῆς χαρᾶς, τῆς ἀφθαρσίας τὸ γλύκασμα, ἐξ οὗ τῆς βασιλείας ἡ γνῶσις, τῆς υἱοθεσίας ὁ ἀρραβών, ὁ τῶν οὐρανῶν κλῆρος, ἡ κοινωνία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

VI.

B

Ϛ'.

Hesychii presbyteri Jerosolymitani in præsentatione Domini et Salvatoris nostri Jesu Christi.

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Hæc quidem festivitas dicitur purificationum, et non erraret quis illam festivitatum dicens festivitatem, Sabbatorum Sabbatum, sanctarum sanctam vocans. Totum enim recolligitur incarnationis Christi mysterium, et describitur unigeniti Domini : in illa puer Christus exaltatus fuit et Deus confessus, et super brachia præsentatur velut super thronum nostræ naturæ conditor sedens. Et par turturum legalium Simeoni et Annæ obtulit. Ipsis autem, si placet, evangelicis stabimus dictis, Dei enim ibi manifestationem videbimus. Sic porro nobis festivitatis Lucas historiam posuit : *Et postquam completi sunt dies purificationis eorum secundum legem Moysi, tuleruni illum in Jerusalem ut sisterent Domino, sicut scriptum est in lege Domini, quia omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur : et ut darent hostiam secundum quod dicitur in lege Domini, par turturum aut duos pullos columbarum* [87]; oportebat eum qui propter nos servus factus est offerre pro nobis purificationem, qui proprio sanguine non pepercit, nec pari turturum parcere; ecce quidem secundum legem, supra legem ut legislator operatur : et libertatem ipse concedens spiritus, servitutem simul non repudiat litteræ; non abrogat Moysen ut in tempore testis fidelis inveniatur.

Ἡ μὲν ἑορτὴ λέγεται καθαρσίων, ἣν οὐκ ἂν τις ἁμάρτοι, ἑορτῶν εἰπὼν ἑορτήν, Σαββάτων Σάββατον, ἁγίων ἁγίαν προσαγορεύσας· ὅλον γὰρ ἀνακεφαλαιοῦται τῆς σαρκώσεως τοῦ Χριστοῦ μυστήριον, ὅλον διαγράφεται τῆς τοῦ μονογενοῦς Κυρίου· ἐν ᾗ βρέφος ὁ Χριστὸς ἐδοξάσθη, καὶ Θεὸς ὡμολογήθη, καὶ ἐν ἀγκάλαις προσηνέχθη ὡς ἐπὶ θρόνου ὁ τῆς ἡμετέρας φύσεως Ποιητὴς καθήμενος· καὶ ζεῦγος τρυγόνων λογικῶν τῷ Συμεὼν καὶ Ἄννᾳ προσέφερεν· αὐταῖς δὲ, εἰ δοκεῖ, ταῖς εὐαγγελικαῖς παρεμβάλωμεν λέξεσι· Θεοῦ γὰρ ἐκεῖ παρεμβολὴν ὀψόμεθα· οὕτω τοίνυν ἡμῖν τῆς ἑορτῆς ὁ Λουκᾶς τὴν ἱστορίαν ἐξέθετο· *Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται· καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν·* ἐχρῆν τὸν δουλεύσαντα δι' ἡμᾶς προσφέρειν ὑπὲρ ἡμῶν καθάρσια, τὸν αἵματος οἰκείου μὴ φεισάμενον ζεύγους τρυγόνων μὴ φείσασθαι· ἰδοὺ τοίνυν κατὰ τὸν νόμον, ὑπὲρ νόμον ὡς νομοθέτης ἐργάζεται· καὶ τὴν ἐλευθερίαν αὐτὸς παρέχων τοῦ Πνεύματος, τὴν δουλείαν ὅμως οὐ παραιτεῖται τοῦ γράμματος· οὐκ ἀθετεῖ Μωϋσέα, ἵνα κατὰ καιρὸν μάρτυς ἀξιόπιστος γένηται.

Et postquam impleti sunt dies purificationis eorum, secundum legem. Moysi Quorum eorum? Joseph equidem neque pater erat, neque purificationi subditus, sed neque Mariæ, neque puero purificationibus opus erat; sic enim lege dicitur : *Mulier quæ susceplo semine pepererit masculum, septem diebus immunda erit.* Sed Maria non suscepit semen, nec igitur purificatione indigebat. *Mulier quæ susceplo semine pepererit masculum septem diebus immunda erit.* Quare? Quia Adam secundum in vitam

Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, κατὰ τὸν νόμον Μωσέως. Αὐτῶν, τίνων; Ἰωσὴφ μὲν γὰρ οὔτε πατὴρ ἦν, οὔτε ὑπεύθυνος καθαρσίων, ἀλλ' οὔτε Μαρία, οὔτε τὸ βρέφος τῶν καθαρσίων ἐδέοντο· λέγεται γὰρ οὕτως· *Γυνὴ τις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται·* ἀλλ' ἡ Μαρία οὐκ ἐσπερματίσθη, οὐκοῦν καθαρσίων οὐκ ἐδέετο· *Γυνὴ ἥτις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται·* διὰ τί; Ἐπειδὴ Ἀδὰμ δεύτερον εἰς τὸν βίον ἤγαγεν. Ἐὰν

[87] Luc. II, 22, 24.

Digitized by Google

δὲ τέκῃ θῆλυ, δὶς ἑπτὰ ἀκάθαρτος ἔσται. Τίνος χάριν ἐνταῦθα τὰς ἡμέρας διπλασίονας ἔταξεν; Ἐπειδὴ Εὔα πάλιν ἀπὸ τῆς Εὔας τίκτεται, τὸ σαθρὸν σκεῦος, τὸ ἀσθενὲς ἀγγεῖον, τὸ συντετριμμένον κεράμιον, ἡ χειραγωγὸς τῆς παρακοῆς, ἡ τοῦ δράκοντος σύμβουλος· ἀλλ' ὥσπερ ἤκουσας γυναικὸς τὰ ἐγκλήματα, δεῦρο καὶ τὸ ἐξ αὐτῆς κατόρθωμα μάνθανε. Γυνὴ παρθενίαν τῷ βίῳ εἰσήγαγεν, ἐχώρησεν ἐν τῇ γαστρὶ τὸν Θεὸν ὃν ἡ κτίσις χωρῆσαι οὐ δύναται· ἔτεκεν ἐν σαρκὶ τοῦτον, ὅστις ἡμῶν τὸ γένος ἀνέπλασεν· πρώτη τὸν Ἰησοῦν ἐκ νεκρῶν ὑπεδέξατο, πρώτη τοῦ κηρύγματος τῆς ἀναστάσεως ἦρξατο, πρώτη τὴν χαρὰν τοῖς μαθηταῖς ἐμήνυσεν. *Γυνὴ ἥτις*, φησὶν, *σπερματισθῇ*· ἡ Θεοτόκος δὲ γυνὴ μὲν ἦν, τὰ γυναικῶν δὲ οὐ πέπονθεν· σπέρμα γὰρ ἀνδρὸς ἡ γαστὴρ οὐκ ἐδέξατο, οὐκ εἶδεν ἄροτρον ὁ τῆς Μαρίας ἀγρὸς, ὁ παρθενικὸς ἀμπελὼν οὐχ ὑπέμεινεν δίκελλαν, ὥστε οὐχ ὑπὲρ αὐτῆς ἡ προσφορὰ, ὑπὲρ ὅλου τοῦ γένους ἐγένετο· ἡμῶν γὰρ ἕνεκα περιτέμνεται Χριστὸς, ὑπὲρ ἡμῶν καὶ βαπτίζεται, ἐφ' ἡμῖν τελεῖται τὰ νοῦ νόμου καθάρσια· ἐὰν δακρύσῃ, τὴν φύσιν ἐκπλύνει· ἐὰν ῥαπισθῇ, τὴν ἡμετέραν αἰχμαλωσίαν ἐλευθεροῖ· ἐὰν βαστάσει τὸν σταυρὸν, ἡμᾶς κουφίζει τοῦ ζυγοῦ τῆς ἁμαρτίας· ἐὰν ἐμπτυσθῇ, τὸν Ἀδὰμ ἀπαλλάττει τοῦ τῆς κατάρας ἐμπτύσματος.

Ὅτε ἐπλήσθησαν, φησὶν, *αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται*· ταῦτα ὁ νόμος ἔχει. Ὁ Χριστὸς δὲ, καθὰ ἔφημεν, ὡς νομοθέτης τὸν ἑαυτοῦ νόμον ὑπὲρ νόμον ἐπλήρωσεν· οὐδὲ γὰρ ἤνοιξεν, ἀλλὰ κεκλεισμένην τὴν πύλην τῆς Παρθένου κατέλιπεν· οὐκ ἐσύλησεν τὴν σφραγῖδα τῆς φύσεως· οὐκ ἐζημίωσεν τὴν τεκοῦσαν· ἀκέραιον γὰρ αὐτῇ τὸ σχῆμα τῆς παρθενείας κατέλιπεν· εἰ δὲ ἀπιστεῖς, παρὰ τοῦ Ἰεζεκιὴλ μάνθανε· *Καὶ ἀπέστρεψέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη· καὶ εἶπεν Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται κεκλεισμένη. — Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται*· οὗτος δὲ οὐ μόνον ἅγιος. Ὅσον τοίνυν ὑπερέχει τῷ ἁγιασμῷ, τοσοῦτον καὶ τῷ τόκῳ πλεονεκτεῖ, καὶ τοῦ νόμου τὴν ἐντολὴν ἀναβέβηκεν· πλὴν δὲ ὅμως, *Τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν*, ἀτελεῖ τὸν νόμον ὁ Λουκᾶς; Οὐκ ἀγνοίᾳ κρατηθεὶς, σοφίᾳ δὲ ὁδηγηθεὶς, ἐξέθετο. Ὁ μὲν νόμος ἔλεγεν ἀμνὸν καὶ νεοσσόν· οὐκ εὐπορούντος δὲ τοῦ προσφέροντος, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ σεμίδαλιν προσέταττεν· ὁ Λουκᾶς δὲ τὴν τοῦ πλουτοῦντος ἀφῆκεν προσφοράν· πτωχοῦ γὰρ ἐμνημόνευσεν τοῦ

A adduxit. *Si autem pepererit feminam, bis septem impura erit.* Cujus rei gratia hic dierum numerum duplicem statuit? Quia Eva rursum ab Eva gignitur, fragile instrumentum, debile vas, contrita testa, manuductrix inobedientiæ, per quam suasit serpens. Sed sicut audisti mulieris improperia, hic quoque et mulieris merita disce; mulier virginitatem sæculo induxit, contulit in gremio Deum quem creatio continere non potest, generavit in carne illum qui nostram generationem fabricavit; prima Jesum ex mortuis solutum accepit, prima proclamatæ resurrectionis primitias accepit; prima gaudium discipulis annuntiavit. *Mulier*, inquit, *quæ susceperit semen.* Deipara autem mulier quidem erat, muliebria vero non passa est; semen enim viri venter non suscepit, neque novit aratrum Mariæ ager, virgineum vinetum pastinum non toleravit, ita ut non pro se oblationem, sed pro omni humano genere fecerit; propter nos enim circumciditur Christus, propter nos et baptizatur, pro nobis perficit legis purificationes; si fleverit, naturam lavat; si alapas pertulerit, nostra nos captivitate liberat; si crucem sustinuerit, nos allevat jugo iniquitatis; si sputa induraverit, Adamum liberat maledictionis sputo.

Postquam impleti sunt, inquit, *dies purificationis eorum, tulerunt illum in Jerusalem, sicut scriptum est in lege Domini, quia omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur.* Talia lex habet: Christus autem, ut jam diximus, qua legislator suam ipsius legem supra legem implevit. Neque enim adaperuit, sed clausam portam Virginis reliquit; non fregit sigillum naturæ; non defloravit genitricem; integrum enim illi signum virginitatis reliquit. Si vero non credis, ab Ezechiele docere: *Et convertit me ad viam portæ sanctorum exterioris quæ respiciebat ad orientem, et ipsa erat clausa; et dixit Dominus ad me: Porta hæc clausa erit, non aperietur et nemo transibit per eam; quia Dominus Deus Israel ingressus est et egressus est, et erit clausa*[18]. — *Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur.* Iste autem non solum sanctus; quantum enim sanctitate extollitur, tantum præcellit nativitate et superabunde legis præcepta complet. In hoc autem: *Ut darent hostiam, secundum quod dicitur in lege Domini, par turturum, aut duos pullos columbarum:* nonne legem obtruncat Lucas? Non ignorantia captus sed sapientia ductus, ita enuntiavit. Lex enim dicit agnum et columbam; si autem dives non fuerit ille qui offert, par turturum aut duos pullos columbarum, et florem farinæ apponet; Lucas vero divitis omisit oblationem, humilitatemque commemoravit illius qui voluntarie propter nos semetipsum humiliavit. Non erat illi, dicitur, ubi reclinaret caput, unde agnum comparasset? in præsepio pannis in-

[18] Ezech. XLIV, 2.

Digitized by Google

volutus unde obtulisset agnum? imo non opus habebat agno. ipse enim erat agnus Dei, verus agnus; ipse semetipsum pro mundo immolavit. Idcirco quod quidem lex præcipiebat ostendit, quod autem Christus præparat significavit.

Deinde sequitur: *Et ecce homo*, inquit, *in Jerusalem, cui nomen Simeon, et homo iste justus et timoratus, exspectans consolationem Israel, et Spiritus sanctus erat in eo, et responsum acceperat a Spiritu sancto non visurum se mortem, nisi prius videret Christum Domini* [39]. Magna Simonis divitia, varia ducis arma; redundat fructibus arbor, redundat racemis vitis; non solum erat homo, sed et Simeon vocabatur; præterea justus, sed et timoratus, sed et consolationem exspectabat Israel, sed et Spiritus sanctus erat in eo, sed *et responsum acceperat non visurum se mortem, nisi prius videret Christum Domini*. Ecce homo, ubi? in Jerusalem; stuporem hoc dictum habet, plenum est hoc verbum admiratione; in Jerusalem homo de qua Sophonias propheta Deum ipsum inducit dicentem: *Scrutabor Jerusalem in lucerna nec inveniam* [40]; et lucerna opus est luci? non dicitur, sed lucernam vocat legem. *Et ecce homo in Jerusalem cui nomen Simeon:* et quæ interpretatio manifestati nominis? Auditus Dei; quia conveniens moribus nomen ex Spiritus administratione acquisivit; ubi enim auditus Dei, ibi omnimoda obedientia legi, observatio præceptorum, bonæ vitæ cursus, meta salutis in finem perseverans; in his verus depingitur homo cui hæc quæ dicta sunt imputantur.

Et homo iste justus et timoratus exspectans consolationem Israel. Hoc justum propositum, non quærere quod suum, sed quod alterius et plurimorum; communi saluti, non propriæ liberationi curam impendere. *Et Spiritus*, inquit, *sanctus erat in eo:* sedes factus est Dominica Simeon, thronus Dei, et præterea inter brachia regem sæculorum suscepit. *Et ei responsum fuerat non visurum se mortem, nisi prius videret Christum Domini.* Certe responsum, de vita ad vitam transire, de luce incedere ad lucem, de die in diem salire; non senescere, sed renovari, in tempore consummationis regenerationem accipere. *Ipse venit in Spiritu in templum:* fons sitientem ad fontem adduxit. *Et cum inducerent parentes puerum Jesum ut facerent illi secundum quod consuetum erat pro illo, et ipse accepit eum in ulnas suas.* Portabat in manibus enim qui in manu et in undum et deserta tenet, qui ponderat manu aquas et cœlum palma, et universam terram pugillo. Et quomodo Simeon sacrificium quod ipsi non competebat obtulit? non enim erat sacerdos, non quidem hoc dicitur; neque Levita, neque tem-

[39] Luc. II, 25, 26. [40] Sophon. I, 12.

A δι' ἡμᾶς ἑκουσίως πτωχεύσαντος. Οὐκ ἦν αὐτῷ, φησὶν, κατάλυμα, πόθεν ἀμνὸν ἐκέκτητο; ἐπὶ φάτνης σπαργανωθείς, πόθεν προσέφερε πρόβατον; μᾶλλον δὲ οὐκ ἔχρηζεν ἀμνοῦ· αὐτὸς γὰρ ἦν ὁ ἀμνὸς τοῦ Θεοῦ, τὸ ἀληθινὸν πρόβατον· αὐτὸς ἑαυτὸν ὑπὲρ τοῦ κόσμου ἔθυεν· διὰ τοῦτο τί μὲν ὁ νόμος προσέταττεν ἐξηγόρευσεν, τί δὲ ὁ Χριστὸς οἰκονομεῖ ἐσήμανε.

Εἶτα ἑξῆς· *Καὶ ἰδοὺ ἄνθρωπος*, φησὶν, *ἐν Ἰερουσαλὴμ, ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τῷ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου.* Πολὺς ὁ τοῦ Συμεὼν πλοῦτος, ποικίλα τοῦ στρατηγοῦ τὰ ὅπλα· γέμει καρπῶν τὸ φυτὸν, γέμει βοτρύων ἡ ἄμπελος· οὐ μόνον ἦν ἄνθρωπος, ἀλλὰ καὶ Συμεὼν ὠνομάζετο· πρὸς τούτοις δίκαιος, ἀλλὰ καὶ εὐλαβὴς, ἀλλὰ καὶ παράκλησιν ἐζήτει τῷ Ἰσραὴλ, ἀλλὰ καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, ἀλλὰ *καὶ χρηματισθεὶς ὑπῆρχεν μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου.* Ἰδοὺ ἄνθρωπος, ποῦ; ἐν Ἰερουσαλήμ· ἔκπληξιν ἡ λέξις ἔχει, γέμει τὸ ῥῆμα θαύματος· ἐν Ἰερουσαλὴμ ἄνθρωπος περὶ ἧς Σοφονίας ὁ προφήτης τὸν Θεὸν αὐτὸν εἰσήγαγεν λέγοντα, *Ἐξερευνήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου, καὶ οὐ μὴ εὕρω.* Καὶ λύχνον χρῄζει τὸ φῶς; Οὔ, φησὶν· ἀλλὰ λύχνον καλεῖ τὸν νόμον. *Καὶ ἰδοὺ ἄνθρωπος ἐν Ἰερουσαλὴμ ᾧ ὄνομα Συμεών·* καὶ τίς ἡ ἑρμηνεία τοῦ δηλωθέντος ὀνόματος; *Ἀκοὴ Θεοῦ·* ὥστε πρέπουσαν τῇ πολιτείᾳ τὴν προσηγορίαν, ἐκ τῆς τοῦ Πνεύματος οἰκονομίας ἐκτήσατο· ὅπου γὰρ ἀκοὴ Θεοῦ, ἐκεῖ πάντως ὑπακοὴ νόμου, τήρησις ἐντολῶν, ἀγαθοῦ βίου δρόμος, σκοπὸς σωτηρίας εἰς τέλος προερχόμενος· ἐν οἷς ὁ ἀληθινὸς χαρακτηρίζεται ἄνθρωπος, περὶ οὗ ταῦτα κατὰ λόγον ἐπήγαγεν.

Καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· τοῦτο δίκαιος σκοπὸς, μὴ ζητεῖν τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ ἑτέρου καὶ τῶν πολλῶν· τῆς κοινῆς σωτηρίας, μὴ τῆς ἰδίας ἀπολαύσεως γίνεσθαι. *Καὶ Πνεῦμα*, φησὶν, *ἅγιον ἦν ἐπ' αὐτῷ·* ὄχημα ὑπῆρχεν Δεσποτικὸν ὁ Συμεὼν, θρόνος Θεοῦ, καὶ διὰ τοῦτο μετὰ χεῖρας τὸν βασιλέα τῶν αἰώνων ἐδέξατο. *Καὶ ἦν αὐτῷ κεχρηματισμένον μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου·* οὐκοῦν ὁ χρηματισμὸς, ἀπὸ ζωῆς εἰς ζωὴν μεταβῆναι, ἀπὸ φωτὸς ὁδεῦσαι πρὸς φῶς, ἀπὸ ἡμέρας εἰς ἡμέραν μεταπηδῆσαι· μὴ παλαιωθῆναι, ἀλλὰ ἀνακαινισθῆναι, ἐν τῷ καιρῷ τῆς συντελείας τὴν ἀνανέωσιν δέξασθαι. *Οὗτος ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν·* ἡ πηγὴ τὸν διψῶντα πρὸς τὴν πηγὴν ἀπήγαγεν. *Καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτῷ κατὰ τὸ ἐθισμένον περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸν ἐν ταῖς ἀγκάλαις αὐτοῦ.* Ἔφερεν ἐν ταῖς χερσὶν τὸν ἐν τῇ χειρὶ τὴν οἰκουμένην καὶ τὴν ἀοίκητον ἔχοντα, τὸν μετρήσαντα τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί.

Digitized by Google

Καὶ πῶς ὁ Συμεὼν θυσίαν τὴν αὐτῷ μὴ προσήκουσαν ἀνήνεγκεν; οὐδὲ γὰρ ἦν ἱερεύς· οὐ γὰρ τοῦτο εἴρηται· οὐδὲ Λευΐτης, οὐδὲ νεωκόρος· ἐπειδὴ μόνῃ τῇ φυλῇ τοῦ Λευΐ τὸ λειτουργικὸν κεκλήρωται· οὐκ ἦν ἱερεὺς, ἦν δὲ δίκαιος· ἡ δικαιοσύνη δὲ τὴν ἱερωσύνην ὑπὸ τοὺς πόδας κέκτηται· οὐκ ἦν Λευΐτης, ἀλλ' εὐλαβής· ὁ δέ γε εὐλαβὴς ἀφ' ἑαυτοῦ τὸ χρίσμα ἔχει.

A pli minister, siquidem soli tribu Levi res sacræ sorte distribuebantur; non erat sacerdos, erat autem justus: justitia vero sacerdotium sub pedibus habet; non erat levita, sed timoratus: vir autem timoratus a seipso unctionem habet.

Καὶ βαστάζων τὸ βρέφος ἔφη· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. Νῦν ἀπολύεις· ἦλθεν γὰρ ὁ καιρὸς τῆς ἀφέσεως· ἀπήντησεν τῶν αἰχμαλώτων ἡ λύτρωσις, τῶν χρεῶν ἡ συγχώρησις· ἐγεννήθη βασιλεὺς, τοὺς ἐν φυλακαῖς ἐλευθερῶν, τοὺς ἐν δεσμοῖς ἀπαλλάττων, τοὺς ἐν θανάτῳ εἰς ζωὴν ἀναλούμενος, κουφίζων τὸν φόρον τῆς γῆς. *Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα.* Πῶς οἶδας; Ὁρῶ τὸν Δεσπότην, φησὶν, σχῆμα δούλου περικείμενον· οὐκ ἂν δεσπότης ὢν, δούλου μορφὴν ἐφόρεσεν, εἰ μὴ τὸν δοῦλον ἐνδύσαι τοῦ Δεσπότου τὴν μορφὴν ἐλογίσατο· οὐκ ἂν τὴν τάξιν ἐνήλλαξεν, οὐδ' ὑψηλὸς ὢν ἐταπεινώθη, εἰ μὴ τὸ ταπεινὸν εἰς ὕψος ἀναγαγεῖν ἠβουλήθη. Ἀλλὰ πῶς αὐτὸν ἀπολύεις; *Κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ*· εἰ γὰρ ῥήματι τὴν κτίσιν παρήγαγες, ῥήματι πάντως ἐλευθεροῖς τὸν τῆς κτίσεως ἄρχοντα. *Ἐν εἰρήνῃ*· ποίᾳ; τῇ τοῦ σταυροῦ· ἐκείνη γὰρ ἡ μάχαιρα τοῦ τυράννου τὴν κεφαλὴν ἀπέτεμεν, καὶ εἰρήνην τοῖς μετὰ Χριστοῦ στρατευομένοις ἔδωκεν. *Ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ὃ ἡτοίμασας.* Ἴδον δὲ πολλοὶ ἐπεθύμησαν ἰδεῖν, καὶ οὐκ εἶδον, Θεὸν ἐν σαρκὶ, ἥλιον ἐν νεφέλῃ φωτίζοντα. *Ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου*· τοῦτ' ἔστιν· Ἴδον σου τὴν ἐνσάρκωσιν δι' ἧς τὴν σωτηρίαν τῶν ἀνθρώπων ᾠκονόμησας· οὐ γὰρ ἴδον γυμνὴν θεότητα, ἐπειδὴ τὸν Θεὸν καθὼς ἐστιν οὐσία οὐδεὶς ἀνθρώπων ὄψεται. *Ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.* Κοινὰ τοῖς Ἰουδαίοις καὶ τοῖς ἔθνεσιν τὰ ἀγαθὰ καὶ ἀμέριστα· μὴ τοίνυν φθονείτω ὁ Ἰουδαῖος, μήτε στενοχωρείσθω ὁ Φαρισαῖος, μήτε πειραζέτω ὁ Γραμματεύς· μὴ εὐλαβείσθω περὶ τῆς αὐτοῦ βασιλείας ὁ Ἡρώδης· μὴ δειλιάτω περὶ τῆς ἱερωσύνης Ἄννας καὶ Καϊάφας· ὁ ἐλθὼν πᾶσι δίδωσι, παρ' οὐδενὸς λαμβάνει· ἀφθόνως φιλοτιμεῖται, χωρὶς μέτρου χαρίζεται.

Et elevans puerum dixit: Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Nunc dimittis, jam enim venit tempus liberationis; occurrit captivorum redemptio, debitorum remissio; natus est rex, carcere detentos liberans, vincula rumpens, mortuos ad vitam revocans, allevans tributo terram. *Nunc dimittis servum tuum, Domine.* Quomodo tu scis? Video Dominum, inquit, forma servi indutum: Dominus cum sit, formam servi non portasset, nisi servum vestire forma Domini cogitasset; nunquam ordines intervertisset, neque altissimus ipse semetipsum humiliasset, nisi humilem in altum elevare voluisset. Sed quomodo illum dimittis? *Secundum verbum tuum in pace:* si enim verbo creationem producis, verbo plane liberabis eum qui caput est creationis. *In pace:* quæ pax? Pax crucis: ipsa enim gladius est qui tyranni caput obtruncavit, et pacem cum Christo militantibus dedit. *Quia viderunt oculi mei salutare tuum quod parasti.* Viderunt quod multi desideraverunt videre, et non viderunt, Deum in carne, solem in nube radiantem. *Viderunt oculi mei salutare tuum*: id est, viderunt tuam incarnationem per quam salutem hominum ordinasti; non enim viderunt nudam divinitatem, siquidem Deum sicut est in substantia nullus hominum videbit. *Quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum; lumen ad revelationem gentium, et gloriam plebis tuæ Israel.* Communia sunt Judæis et gentibus bona, et indivisa. Non jam invideatur Judæus, neque comprimatur Pharisæus, neque tentetur Scriba; non præcaveat pro regno suo Herodes, nec timeant pro sacerdotio Anna et Caiphas; qui venit dat omnibus, nullius personam accipit. Abunde magnificus est, absque mensura dona tribuit.

Ἀλλὰ Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ ἀκούσαντες τὰ παρὰ τοῦ Συμεῶνος λαληθέντα, ἐθαύμασαν, πῶς ὁ Χριστὸς ἀνέχεται υἱὸς ἀνθρώπου γενέσθαι· ἐθαύμασεν ἡ Μαρία πῶς γαστὴρ γυναικὸς ἐχώρησε Θεὸν, πῶς ἡ δούλη τὸν ἐλευθεροῦντα τὴν κτίσιν ἐγέννησεν· *καὶ φησιν, Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον.* Εἰς πτῶσιν τῶν ἐπιμενόντων τῇ ἀπιστίᾳ, εἰς ἀνάστασιν τῶν ἐξ ἀπιστίας εἰς πίστιν μετατιθεμένων. Λίθος ἦν ὁ Χριστὸς εἰς οἰκοδομὴν κείμενος, ἀλλὰ προσέκοπτον οἱ τυφλοὶ τοὺς ὀφθαλμοὺς ῥεμβόμενοι· οὐ τοίνυν αὐτῷ τὴν πτῶσιν τῶν πεπτωκότων, ἀλλὰ τὴν ἀνάστασιν λογίζεσθαι χρή· εἰ μὲν γὰρ ἔπιπτον μόνον, οὐχὶ δὲ καὶ ἀνίσταντο, δικαίως αὐτῶν τῆς πίστεως ὑποπτεύεις αἴτιον· εἰ δὲ

Sed Joseph et mater ejus audientes quæ per Simeonem dicebantur, mirabantur, quomodo Christus dignatus est filius hominis fieri; mirabatur Maria quomodo venter mulieris continuit Deum, quomodo ancilla liberatorem creationis generavit. *Et dixit: Iste positus est in ruinam et in resurrectionem multorum in Israel, et in signum cui contradicetur.* In ruinam perseverantium in infidelitate, in resurrectionem ex infidelitate in fidem transeuntium. Petra erat Christus in fundamentum posita, sed offenderunt cæci oculis errantes; non tamen illi ruinam cadentium, sed resurrectionem tribuere oportet; enimvero si ceciderunt tantum, non autem et surrexerunt, juste eorum fidem suspectaberis causam; sed si ex eis qui debilitate ceciderunt, qui vo-

Digitized by Google

lunt resurgunt, ruina negligentiæ est, Christi resurrectio. Nonne ceciderunt Judas simul et Petrus? ille quidem sic dicens : *Quid mihi vultis dare, et ego vobis tradam illum?* hic autem sic dicens : *Animam meam pro te ponam* [45]. Oportebat enim illum scire quod mortalis animam pro immortalitate non dat; et adhuc : *Etiamsi oportuerit me mori tecum, non te negabo* [46]; dicere poterat : Si sustinueris me, non te negabo; si confortaveris me, debilis non timeo naufragium; si socius es in bello, non præcaveo mortem; sed iste lingua, ille autem corde peccavit; propter quod quidem Petrus lapsus surrexit, et dux eorum qui ciderunt factus est; Judas autem de abysso in abyssum ductus, projecit argentum, et funem accipiens se suspendit.

A τῶν ἐκ ῥαθυμίας πιπτόντων οἱ βουληθέντες ἀνίστανται, τὸ πτῶμα τοῦ ῥαθυμοῦντος γίνεται, τοῦ Χριστοῦ ἡ ἀνάστασις. Οὐκ ἔπεσον Ἰούδας ἅμα καὶ Πέτρος; ὁ μὲν ὡς εἰπών, *Τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν*; ὁ δὲ ὡς εἰπών, *Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.* Ἔχρῆν γὰρ αὐτὸν εἰδέναι ὅτι θνητὸς τὴν ψυχὴν ὑπὲρ ἀθανασίας οὐ δίδωσι· καὶ πάλιν, *Ἐὰν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι·* ἐξὸν εἰπεῖν, Ἐάν με ἰσχύσῃς, οὐ μή σε ἀπαρνήσωμαι· ἐὰν ἀσφαλίσῃ με, ὁ ἀσθενὴς οὐ δέδοικα τὸ ναυάγιον· ἐὰν τῷ πολέμῳ κοινωνῇς, οὐκ εὐλαβοῦμαι θάνατον· ἀλλὰ τὸ μὲν γλώττης ὑπῆρχεν, τὸ δὲ καρδίας ἁμάρτημα· διὰ τοῦτο μὲν Πέτρος πεσὼν ἀνέστη, καὶ χειραγωγὸς ἑτέρων πεπτωκότων ἐγένετο· ὁ δὲ ἀπὸ βάθους πρὸς βόθρον ὁδηγηθείς,
B ἔῤῥιψεν τὸ ἀργύριον, καὶ τὸ σχοινίον λαβὼν ἀπήγξατο.

Signum cui contradicetur crux; a Judæis enim crucifigentibus, refugit sol; et Synagoga calumniabatur, et terra commovebatur; populus clamabat *Crucifige eum* [47], sed petræ non sustinentes gravitatem blasphemiæ scindebantur; sacerdotes et scribæ dicebant : *Recordamur quod seductor ille dixit adhuc vivens, Post tres dies resurgam* [48]; centurio vero clamabat, *Vere Filius Dei erat iste* [49]. Sed et usque nunc verbum crucis Judæis quidem scandalum, gentibus vero stultitia, nobis autem vocatis a Christo Dei virtus et Dei sapientia [50]. *Et tuam ipsius animam pertransibit gladius, ut revelentur ex multis cordibus cogitationes.* Gladius diversitas opinionum dicitur, quoniam sicut et gladius scindit ac partitur corpora, ita et animas per indecisionem contradictio; si enim et virgo erat, sed et mulier; si quoque Deipara, sed nostro compacta limo; gladius jam ipsius animam pertransivit, ut manifestentur ex multis cordibus cogitationes : de Christo in tempore passionis dissensiones; nunc illum prophetam, nunc vero Salvatorem Israel non subscribentes, multam quoque in his diversitatem, propter agitationem ex ipsa passione sustinentes; ita ut cum Cleopha discipuli iter facientes et ad ipsum dicerent : *Tu solus advena es in Jerusalem, et ignoras quæ facta sunt in diebus istis?* deinde interrogati, quæ? addiderunt : *De Jesu Nazareno qui fuit vir propheta* [51], et quæ sequuntur. Ergo sicut de prophetæ sentiebant et de Salvatore Israel, propter autem passionem et varias emissas opiniones quod redempturus esset Jerusalem incerti videbantur. Quæ quidem non in vanum evenerunt, sed ad manifestandum, quia *Quod stultum est Dei, sapientius est hominibus* [52]. Etenim in passione crucis omnes cribrati sunt et agitati, non solum simplices discipuli, sed et electi et mater ejus, et hæc passio universum orbem confirmavit, in Christo Jesu Domino nostro, per quem et cum quo Patri

Σημεῖον ἀντιλεγόμενον ὁ σταυρός· τῶν γὰρ Ἰουδαίων σταυρούντων, ἀνεχώρει ὁ ἥλιος· καὶ συναγωγὴ ἐσυκοφάντει, καὶ ἡ γῆ ἐσαλεύετο· ὁ λαὸς ἔβόα, *Σταύρωσον αὐτόν*, ἀλλ' αἱ πέτραι μὴ φέρουσαι τὸν ὄγκον τῆς βλασφημίας ἐῤῥήγνυντο· οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς ἔλεγον· *Ἐμνήσθημεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι*· ὁ δὲ ἑκατόνταρχος ἔβόα, *Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος*· ἀλλὰ καὶ μέχρι νῦν ὁ λόγος ὁ τοῦ σταυροῦ Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρία, ἡμῖν δὲ τοῖς κλητοῖς Χριστοῦ, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ρομ-*
C *φαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* Ῥομφαία ἡ διχόνοια λέγεται, ἐπειδὴ καθάπερ ἡ ῥομφαία σχίζει καὶ μερίζει τὰ σώματα, οὕτως καὶ τὰς ψυχὰς πρὸς ἀμφιβολὴν ἡ διχόνοια· εἰ γὰρ καὶ παρθένος ἦν, ἀλλὰ γυνή· εἰ καὶ Θεοτόκος, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος. Ῥομφαία τοίνυν αὐτῆς τὴν ψυχὴν διέβαινεν, ὅπως ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, οἱ περὶ τοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους διάφοροι, ποτὲ μὲν αὐτὸν προφήτην, ποτὲ δὲ λυτρωτὴν τοῦ Ἰσραὴλ οὐχ ὑπογράφοντες, πολλὴν καὶ ἐπὶ τούτοις ἀμφιβολίαν διὰ τὸν σάλον τὸν ἐκ τοῦ πάθους ὑπομένοντες· ὥστε τοὺς περὶ Κλεόπαν μαθητὰς περιόντας,
D καὶ πρὸς αὐτὸν λέγειν· *Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν ταῖς ἡμέραις ταύταις*; εἶτα ἐρωτηθέντες, ποῖα; ἐπήγαγον, *Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης*, καὶ τὰ ἑξῆς. Οὐκοῦν ὡς περὶ προφήτου μὲν εἶχον καὶ λυτρουμένου τὸν Ἰσραὴλ· διὰ δὲ τὸ πάθος καὶ ταύτην ἐμβάλλειν περὶ αὐτοῦ τὴν ὑπόληψιν, ὅτι λυτροῦται τὸν Ἰσραὴλ ἐκινδύνευον· τοῦτο δὲ οὐ μάτην ἐγίνετο, ἀλλ' ὥστε δεῖξαι, ὅτι *Τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστίν.* Τὸ γὰρ τοῦ σταυροῦ πάθος, οἱ πάντες ἐσινιάνθησαν καὶ ἐσαλεύθησαν, οὐ μόνον οἱ ἁπλῶς μαθηταὶ, ἀλλὰ καὶ οἱ ἐκλεκτοὶ καὶ ἡ μήτηρ

[45] Joan. XIII, 37. [46] Matth. XXVI, 35. [47] Joan. XIX, 6. [48] Matth. XXVII, 63. [49] ibid. 54. [50] I Cor. I, 23, 24. [51] Luc. XXIII, 19, 20. [52] I Cor. I, 25.

Digitized by Google

αὐτοῦ· τοῦτο πᾶσαν τὴν οἰκουμένην ἐστήριξεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A gloria, cum sancto Spiritu, nunc et semper et per omnia sæcula sæculorum. Amen.

VII.

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων ἐκ τοῦ εἰς τὸν ἅγιον Θωμᾶν ἐγκωμίου.

Σάλπιγξ ἡμᾶς ἱερατικὴ πρὸς πανήγυριν ἤθροισεν Ἀνδρέας, ὁ τοῦ χοροῦ τῶν ἀποστόλων πρωτότοκος, ὁ πρωτοπαγὴς τῆς Ἐκκλησίας στύλος, ὁ πρὸ Πέτρου Πέτρος, ὁ τοῦ θεμελίου θεμέλιος, ὁ τῆς ἀρχῆς [a] ἀπαρχή, B ὁ πρὶν κληθῆναι καλῶν, ὁ πρὶν προσαχθῆναι προσάγων. Εὐαγγέλιον κηρύττει δ μήπω πεπίστευται· πρὶν μαθεῖν, τῷ ἀδελφῷ ἀποκαλύπτει τὴν ζωήν· τοσοῦτον αὐτῷ πλοῦτον ἡ τοῦ, Ποῦ μένεις; ἀπόκρισις [b] ἐχαρίσατο. Καίτοι τι μέγα εἶχεν ἡ ἀπόκρισις, οἷον Ἀνδρέας ἐμβαθύνων τὸν νοῦν ἐθεώρησεν. Ἔρχου γάρ, φησὶ, καὶ ἴδε. Πῶς [γὰρ] γέγονας προφήτης; πόθεν θεοφόρος ἀθρόον; τί θορυβεῖς τοῦ Πέτρου τὰς ἀκοάς; τί φθάσαι σπεύδεις, ὃν οὐ δύνῃ φθάσαι; ὁ πανταχοῦ παρὼν, πῶς εὑρεθῆναι δύναται; Ἀλλὰ γὰρ οἶδεν ὁ Ἀνδρέας ὃ λέγει, Εὑρήκαμεν ὃν ἀπώλεσεν ὁ Ἀδὰμ, ὃν ἐζημιώθη ἡ Εὔα, ὃν ἡ νεφέλη τῆς ἁμαρτίας ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ἔκρυψεν, ὃν ἐχώρισεν ἡμῶν ἡ παρακοὴ, ὃν ἐζήτει Δαβίδ· *Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα.* Καὶ, *Ζητήσατε* [τὸν] *Κύριον*, Σοφονίας βοᾷ, *πάντες ταπεινοὶ γῆς.* Πέπαικεν ἡμᾶς ὁ Θεὸς, ἡνίκα τοῦ Ἀδὰμ κατεδίκασε θάνατον καὶ βίον ἐπίπονον· *Ἴάσατο δὲ, καὶ πατάξας ἐμώτωσεν*· ὅτε σταυρωθεὶς ὑπὲρ τοῦ γένους, τῷ μώλωπι αὐτοῦ, κατὰ τὸν Ἡσαΐαν, καὶ τῇ ἀναστάσει πάντας ἰάσατο. Γυμνὸς ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἀνήγετο· ἁμαρτίαν γὰρ οὐκ ἔχων, ἱμάτιον [c] οὐκ ἔχρῃζεν. Ἄμωμος ἦν καὶ λανθάνειν οὐκ ὤφειλεν. Οὐθὲν ἦν ἄσχημον αὐτῷ· αὐτὸς γὰρ ἡμῶν τὰ ἀσχήμονα εὐσχήμονα δείκνυσιν. Εὗρον αἱ μυροφόροι, ὅπερ διὰ τῆς Εὔας ἀπώλεσαν· εὗρε τὸ κέρδος ἡ παρασχοῦσα τῆς ζημίας τὴν ὑπόθεσιν. *Ἔξει ἡμῖν, ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος τῇ γῇ.* Ὅρα τοίνυν τὸν Κύριον μετὰ τὴν ἀνάστασιν πρώϊμον ταῖς γυναιξὶν, ὄψιμον τοῖς ἀποστόλοις φαινόμενον. Πρωῒ μὲν γὰρ ταῖς γυναιξὶ, Χαίρετε· ὀψὲ δὲ ἐν τῇ Σιὼν εἰρήνην τοῖς μαθηταῖς προσεφώνησε· ταῖς μὲν, ἵνα λύσῃ τὴν ἀπόφασιν τῆς λύπης· τοῖς δὲ, ἵνα καταλύσῃ τὴν ἔχθραν, ἣν ὁ δράκων ἐκακούργησε. *Σὺ κληθήσῃ Κηφᾶς*· πρὸ τῆς ὁμολογίας ὁ μισθός· πρὶν ἐργάσῃ τὸν ἀμπελῶνα, τὸ δηνάριον ἔλαβες· πρὶν ἂν ἄψῃς τὸν βωμὸν, τὴν θυσίαν προσδέδεξαι· πρὶν κηρύξεις, ἐστεφανώθης. Πτωχοὺς καὶ

Z'.

Ex Hesychii presbyteri Hierosolymitani Encomio in beatum Thomam [Andream] (1) [Dominica in Albis forte pronuntiato. Joan. 20].

Sacra illa tuba Andreas, primus apostolorum fœtus, prima Ecclesiæ columna, ante Petrum petra, fundamenti fundamentum, initii primitiæ, vocans antequam vocaretur, adducens antequam adduceretur, nos ad conventum hunc solemniter agendum incitavit. Evangelium cui nondum credebatur prædicavit, et fratri prius quam disceret, vitam revelavit. Tantas illi divitias illa interrogatio attulit : Ubi habitas? Quanquam magnum aliquid responsio habuit, ut Andreas menti alte infigens, viderit. Veni, inquit, et vide [49]. Quomodo factus es Propheta? unde adeo divinus? quid Petri auribus obstrepis? quid consequi illum conaris, quem nequis comprehendere? Qui ubique est, quomodo inveniri potest? Etenim scivit Andreas quid diceret : Invenimus quem perdidit Adam, cui Eva damnum attulit, quem peccati nebula ab oculis nostris abscondit, quem inobedientia a nobis alienavit, quem quæsivit David : *In die tribulationis meæ Deum exquisivi* [50]. Et Sophonias clamat : *Quærite Deum, omnes mansueti terræ* [51]. Percussit nos Deus, quando Adamum ad mortem molestamque vitam condemnavit : *Sanavit nos, percussit, et curavit nos* [52], quando crucifixus pro populo, languore et resurrectione omnes sanavit [53]. Nudus in cruce Christus pependit, insons, veste non indigens. Innocens fuit, et multam manifesto dependit. In eo fœdum nihil fuit : ipse enim nostram fœditatem in ornatum convertit. Invenerunt unguenta ferentes mulieres, quod per Evam amiserant. Invenit lucrum quæ pœnæ causam dederat : *Veniet nobis, ut ros matutinus et serotinus terræ* [54]. Aspice igitur Dominum, post resurrectionem mane mulieribus, vespere apostolis apparentem. Mane quidem mulieribus, Avete, vespere in civitate Sion pacem discipulis denuntiavit. Illis quidem ut mœrorem detergeret : his vero ut solveret inimicitias, quas serpens invexit. *Tu vocaberis Cephas* [55] : ante confessionem merces, antequam in vinea laboraris denarium accepisti. Antequam aram tetigeris, sacrificium Deus suscepit : antequam prædicares, coronam accepisti. Mendicos et indoctos Christus elegit. Ipsa sapientia patronos non quærit, sed ministros. Nemo

[49] Joan. I, 39. [50] Psal. LXXVI, 2. [51] Soph. II, 3. [52] Osee VI, 1. [53] Isa. LIII. 6. [54] Osee VI. 3. [55] Joan. I.

VARIÆ LECTIONES.

[a] Al. ἡ τῆς ἀρχῆς. [b] ἐρώτησις. [c] Ισ. ἱματίων.

NOTÆ.

(1) PHOTII *Bibliotheca* edit. Genevæ, 1612, p. 1486.

Digitized by Google

vat quidquam illi, ab ipsa autem omnes omnia A ἀγραμμάτου; ὁ Χριστὸς ἐξελέξατο· ἡ σοφία γὰρ οὐ
accipimus. χρῄζει συνηγόρων, ἀλλ' ὑπηρετῶν· οὐδεὶς γὰρ οὐ-
δὲν αὐτῇ παρέχει, παρ' αὐτῆς δὲ πάντες καὶ πάντα
λαμβάνομεν.

VIII.

Hesychii Hierosolymitani Presbyteri, in Jacobum fratrem Domini, et Davidem Christi patrem (1).

Nisi Salvator *humiliasset semetipsum, factus pro nobis obediens usque ad mortem* [56], non domestici cognati dicerentur, non lutum Pater figuli diceretur. In Sion Bethleem ut præsentem saluto, in filia matrem video. In te tædifera stella una eluxit, in hac multæ. Illa magos duxit: hæc Parthos, et Medos, et Elamitas, et omnes gentes luminis fulgore illustravit. Tu lac trahis ex uberibus virgineis, hæc Spiritum ex sinu trahit paterno. Tu panem fermentasti, sed Sion cœnam ostendit. Tu vitulum in præsepio nutrivisti, sed Sion ad aram duxit. Tu Jesum fasciis involvisti, hæc latus Thomæ attrectare volenti nudavit. Tu virginem habes parientem, clausis naturæ organis: hæc thalamum clausis ostiis intus sponsum et accipientem et habentem. Quomodo prædicabo servum Christi, et fratrem, novæ Jerusalem summum ducem, sacerdotum principem, apostolorum caput, in capitibus verticem, in lampadibus supersplendentem, et inter astra maxime illustrem. Petrus prædicat, Jacobus decernit, et paucæ voces magnitudinem quæstionis comprehenderunt. *Ego judico non inquietari eos qui ex gentibus convertuntur ad Deum* [57], etc. Ego judico eum, cujus judicium abrogare non licet, neque depravare decreta. In me enim omnium judex vivorum e mortuorum loquitur meo organo, sed artifex supra me est. Ego linguam præbeo, sed vocis opifex vocem suppeditat. Attende non calamo, sed scribenti: auditui obedientia succedat.

Π'.

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ Δαυὶδ θεοπάτορα.

Εἰ μὴ *ἐταπείνωσεν ἑαυτὸν, γενόμενος* ὁ Σωτὴρ ἡμῶν *ὑπήκοος μέχρι θανάτου*, οὐκ ἂν οἰκεῖαι συγγενεῖς ἐχρημάτιζον, οὐκ ἂν ὁ πηλὸς Πατὴρ τοῦ κεραμέως ἐλέγετο. Ἐν τῇ Σιὼν τὴν Βηθλεὲμ ὡς παροῦσαν ἀσπάζομαι, ἐν τῇ θυγατρὶ τὴν μητέρα βλέπω. Ἐν σοὶ ἀδροῦχος ἀστὴρ εἷς ἀνήφθη· ἐν ταύτῃ δὲ πολλοί· ἐκεῖνος τοὺς Μάγους; ὡδήγησεν, αὕτη Πάρθους καὶ Μήδους καὶ Ἐλαμίτας καὶ τοὺς ἐξ ἐθνῶν πάντων τῷ φωτὶ τῆς ἀστραπῆς ἐδραδούχησε. Σὺ γάλα ἕλκεις ἐκ μαστῶν παρθενικῶν, αὕτη Πνεῦμα ἐκ κόλπων κατάγει πατρικῶν· σὺ τὸν ἄρτον ἐζύμωσας, ἀλλ' ἡ Σιὼν δεῖπνον ἀνέδειξε· σὺ τὸν μόσχον ἐπὶ τῇ φάτνῃ ἔθρεψας, ἀλλ' ἡ Σιὼν εἰς τὸν βωμὸν ἀνήγαγε· σὺ τὸν Ἰησοῦν ἐν τοῖς σπαργάνοις ἐκρυψας, αὕτη δὲ τὴν πλευρὰν τῷ Θωμᾷ [d] βουληθέντι ψηλαφῆσαι ἐγύμνωσε. Σὺ παρθένον ἔχεις τίκτουσαν κεκλεισμένων τῶν ὀργάνων τῆς φύσεως· αὕτη παστάδα κεκλεισμένων τῶν θυρῶν ἔνδον τὸν νυμφίον δεχομένην καὶ ἔχουσαν. Πῶς ἐγκωμιάσω τὸν τοῦ Χριστοῦ δοῦλον καὶ ἀδελφὸν, τὸν τῆς νέας Ἱερουσαλὴμ ἀρχιστράτηγον, τὸν τῶν ἱερέων ἡγεμόνα, τῶν ἀποστόλων τὸν ἔξαρχον, τὸν ἐν κεφαλαῖς κορυφὴν, τὸν ἐν λύχνοις ὑπερλάμποντα, τὸν ἐν ἄστροις ὑπερφαίνοντα; Πέτρος δημηγορεῖ, ἀλλ' Ἰάκωβος νομοθετεῖ, καὶ ὀλίγαι λέξεις τὸ τοῦ ζητήματος συνέστειλαν μέγεθος. *Ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν*, καὶ ἐξῆς. Ἐγὼ κρίνω οὖ τὴν κρίσιν ἀθετεῖν οὐ θέμις, οὔτε φαυλίζειν τὸ ψήφισμα. Ἐν ἐμοὶ γὰρ ὁ πάντων κριτὴς καὶ νεκρῶν καὶ ζώντων φθέγγεται ἐμὸν τὸ ὄργανον· ἀλλ' ὁ τεχνίτης ὑπὲρ ἐμέ. Ἐγὼ τὴν γλῶσσαν παρέχω· ἀλλ' ὁ δημιουργὸς Λόγος τὸν λόγον χορηγεῖ. Μὴ τῷ καλάμῳ, τῷ δὲ γράφοντι πρόσεχε. Τὴν ἀκοὴν [e] ὑπακοὴ διαδεχέσθω.

HESYCHII PRESBYTERI

Ad Theodulum sermo compendiosus animæ perutilis, de Temperantia et Virtute: quæ dicuntur ἀντιῤῥητικὰ καὶ εὐκτικὰ, *hoc est, de ratione reluctandi atque precandi.*

CENTURIA PRIMA.

1. Temperantia methodus est spiritalis: quæ sive cunctetur, sive pergat alacriter, hominem a conceptibus et sermonibus affectionum plenis, ac

ΗΣΥΧΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

Πρὸς Θεόδουλον λόγος ψυχωφελὴς περὶ Νήψεως καὶ Ἀρετῆς κεφαλαιώδης, τὰ λεγόμενα ἀντιῤῥητικὰ καὶ εὐκτικά.

ΠΡΩΤΗ ΕΚΑΤΟΝΤΑΣ.

α'. Νῆψίς ἐστι μέθοδος πνευματικὴ, ἐμπαθῶν νοημάτων καὶ λόγων καὶ πονηρῶν ἔργων πάμπαν τὸν ἄνθρωπον σὺν Θεῷ ἀπαλλάττουσα, χρονίζουσα,

[56] Philipp. II, 8. [57] Act. XV, 19.

VARIÆ LECTIONES.

[d] τῷ Θωμᾷ τὴν πλευράν. [e] ὑπακοὴν H. St.

NOTÆ.

(1) Photii Bibliotheca, edit. Genevæ, p. 1522.

Digitized by Google

καὶ προθύμως ὁδευομένη· γνῶσίν τε ἀσφαλῆ Θεοῦ τοῦ ἀκαταλήπτου ὁδευομένη χαρίζεται, καθ' ὅσον ἐφικτὸν, καὶ μυστηρίων θείων καὶ ἀποκρύφων ἀποκρύψως λύσιν· ὑπάρχει τε πάσης ἐντολῆς Θεοῦ Παλαιᾶς καὶ Νέας Διαθήκης ποιητική, καὶ παντὸς ἀγαθοῦ τοῦ μέλλοντος αἰῶνος παρεκτική. Αὕτη δὲ κυρίως ἐστὶν, ἡ τῆς καρδίας καθαρότης· ἥτις διὰ τὸ μέγεθος καὶ τὴν καλλονὴν αὐτῆς, ἢ κυριωτέρως εἰπεῖν, διὰ τὴν ἀπροσεξίαν καὶ ἀμέλειαν ἡμῶν, σπανίζει σήμερον πάνυ ἐν μοναχοῖς· ἣν ὁ Χριστὸς μακαρίζει λέγων· *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.* Τοιαύτη οὖν οὖσα, πολλοῦ ἀγοράζεται. Νῆψις ἐν ἀνθρώπῳ χρονίζουσα, ὀρθοῦ καὶ θεαρέστου βίου ὁδηγὸς γίνεται. Τούτου καὶ ἐπίβασις, θεωρίαν καὶ τὸ τριμερὲς τῆς ψυχῆς δικαίως κινεῖν ἡμᾶς ἐκδιδάσκει, τὰς αἰσθήσεις τε ἀσφαλῶς τηρεῖ, καὶ τὰς γενικὰς τέσσαρας ἀρετὰς ἐν τῷ μετόχῳ αὐτῆς καθ' ἡμέραν αὔξει.

β'. Ὁ μέγας νομοθέτης Μωσῆς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον, ὑποδεικνύων τὸ ἀμέμπτον καὶ καθαρὸν, καὶ περιεκτικὸν, καὶ ὑψοποιὸν τῆς τοιαύτης ἀρετῆς, καὶ διδάσκων ἡμᾶς, ὅπως ταύτης ἄρχεσθαι καὶ ἐκτελεῖν δεῖ, Πρόσεχε σεαυτῷ, φησὶ, μὴ γένηται ῥῆμα κρυπτὸν, τὴν μονολόγιστον ἐμφάνειαν ὀνομάζων πράγματός τινος μισουμένου πονηροῦ ὑπὸ Θεοῦ· ἣν δὴ καὶ προσβολὴν λέγουσιν οἱ Πατέρες, προσαγομένην τῇ καρδίᾳ σου παρὰ τοῦ διαβόλου, ἣ ἐπακολουθοῦσιν οἱ ἡμῶν λογισμοὶ, εὐθὺς παραφανείσῃ τῷ νῷ, ἐμπαθῶς τε αὐτῇ προσδιαλέγονται.

γ'. Νῆψίς ἐστιν ὁδὸς πάσης ἀρετῆς καὶ ἐντολῆς Θεοῦ, ἥτις καὶ καρδία καὶ ἡσυχία, καὶ ἀφάνταστος τελειωθεῖσα φυλακὴ νοὸς ἡ αὐτή.

δ'. Οὐχ ὁρᾷ φῶς ἡλίου ὁ γεννηθεὶς τυφλός· οὕτως οὐδὲ ὁ μὴ νήψει ὁδεύων ὁρᾷ πλουσίως τὰς μαρμαρυγὰς τῆς ἄνωθεν χάριτος· οὔτε δὲ ἐλευθερωθήσεται ἐκ πονηρῶν καὶ μισητῶν Θεῷ ἔργων τε καὶ λόγων καὶ ἐννοιῶν, ὃς οὐκ ἐλευθερίῳ τρόπῳ ἐν τῇ ἐξόδῳ τοὺς ταρταρίους παρελεύσεται ἄρχοντας.

ε'. Προσοχή ἐστι, καρδιακὴ ἀδιάλειπτος ἡσυχία ἀπὸ παντὸς λογισμοῦ, Χριστὸν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἀεὶ καὶ ἀεννάως καὶ ἀδιαλείπτως μόνον αὐτὸν ἀναπνέουσα, καὶ ἐπικαλουμένη, καὶ ἀνδρείως πρὸς τοὺς ἐχθροὺς συντασσομένη αὐτῷ, αὐτῷ τε ἐξομολογουμένη τῷ ἐξουσίαν ἔχοντι συγχωρεῖν ἁμαρτήματα. Περιπτυσσομένης γὰρ συνεχῶς Χριστῷ δι' ἐπικλήσεως κρυπτῶς μόνῳ τῷ τὰς καρδίας ἐξεταζομένῳ, τοὺς ἀνθρώπους τε πάντας παντοίως λαθεῖν πειρωμένης τῆς ψυχῆς τὴν γλυκύτητα αὐτῆς, καὶ τὸν ἔνδον ἀγῶνα, μήτε ὁ πονηρὸς λαθὼν εὐοδώσει κακίαν, καὶ ἀφανίσει καλλίστην ἐργασίαν.

ς'. Νῆψίς ἐστιν, ἔμμονος λογισμοῦ πῆξις, καὶ στάσις αὐτοῦ ἐν πύλῃ καρδίας, ἢ τοὺς ἐρχομένους

pravis operibus, opitulante Deo, prorsus liberat. certam etiam de Deo incomprehensibili notitiam largitur, quantum assequi licet: necnon divinorum et occultorum mysteriorum secretam præbet solutionem: suppeditat vires implendi cuncta Dei mandata, tam Veteri quam Novo Testamento comprehensa: et tandem universa bona præstat futuri sæculi. Hæc autem proprie est puritas cordis quæ quidem propter excellentiam et bonitatem suam, vel (ut magis proprie loquar) ob ignaviam et negligentiam nostram, hodie profecto rara est in monachis: quam Christus beatam prædicat, his verbis, *Beati mundo corde, quoniam ipsi Deum videbunt*[88]. Cum ergo sit ejusmodi, magno redimitur. Temperantia quæ perdurat in homine, rectæ Deoque placentis vitæ dux efficitur: cujus progressus nos edocet, ut juste moveamus speculationem, et triplicem animæ facultatem: sensus in tuto conservat: quatuor etiam generales virtutes participio sui auget quotidie.

2. Magnus ille legislator Moses, imo vero Spiritus sanctus, dum hujusce virtutis facultatem irreprehensibilem, puram, capacem, et magnificam subindicat, instrues nos qua ratione ducendum sit ab ea initium, atque complementum: Attende tibi ipsi, ait, ne verbum fiat occultum: singularem appellans ostentationem cujusdam rei pravæ Deo odiosæ, quam sane Patres etiam nominant suggestionem, quæ cordi tuo obtruditur a diabolo. Quam, statim ut sese exhibuerit menti, sequuntur cogitationes nostræ, et cum ea colloquia miscent affectibus plena.

3. Temperantia est via virtutum omnium, et mandatorum Dei, quæ quidem etiam est cor, et quies: eademque ad vacuitatem imaginationum perfecte redacta, mentis est custodia.

4. Qui excæcatus est, non videt solis lumen: ita qui non ambulat temperanter, pretiosos gratiæ supernæ splendores nequit perspicere: neque a malis et Deo odiosis operibus, sermonibus, et cogitationibus liberabitur. Et is tempore exitus, nulla libere evadendi ratione perpensa, tartareorum principum manus non effugiet.

5. Attentio est continua cordis requies, ab omnibus cogitationibus libera: quæ solum Jesum Christum Dei Filium et Deum perpetuo ac sine intermissione spirat et implorat, stat cum eo viriliter in acie adversus hostes, eique confitetur, nempe qui possit remittere peccata. Cum enim anima invocationibus assiduis circumplectitur Christum, qui solus secreto scrutatur corda, omnemque dat operam, ne ulli hominum notæ sint dulcedines suæ internique conflictus, nullo pacto improbus ille clam nequitiam promovere poterit, et operationes optimas delere.

6. Temperantia est perseverans cogitationum constantia: quando scilicet sistuntur ipsæ pro

[88] Matth. v.

Digitized by Google

foribus cordis, perspicit et audit illa quid dicant, quidve faciant furtim obrepentes cogitationes exitiales: quænam etiam sit forma, quæ a dæmonibus insculpitur et imprimitur: ac per seipsam imaginationibus dissolvere nititur animum. Hæc enim diligenter exculta, si velimus, admodum scite nos docent belli intellectualis experientiam.

A λογισμοὺς λεπτῶς ὁρᾷ καὶ ἀκούει, τί μὲν λέγουσι, τί δὲ ποιοῦσιν οἱ φῶτοι, καὶ τίς ἐστιν ἡ ἐγγλυφεῖσα καὶ στηλωθεῖσα μορφὴ παρὰ τῶν δαιμόνων, καὶ πειρωμένη δι' ἑαυτῆς φανταστικῶς καταλῦσαι τὸν νοῦν. Ταῦτα γὰρ φιλοπονούμενα τὴν πεῖραν τοῦ νοητοῦ πολέμου ἐπιστημόνως ἄγαν ἡμῖν, ἐὰν θέλωμεν, δεικνύουσιν.

7. Quando deserimur a Deo, quando item occurrunt tentationes ad erudiendum aptæ, duplex ille metus attentionis magistram continuationem parere solet in mente hominis: qui pravarum cogitationum operumque conatur obturare fontem. Unde et desertiones et insperatæ a Deo tentationes ad emendationem vitæ nostræ obveniunt nobis præcipue, qui recreationem hujus boni gustavimus, et tamen negligimus. Continuatio vero gignit habitum: habitus autem, naturalem quamdam temperantiæ frequentiam: hæc tandem, pro qualitate rei, sensim producit contemplationem belli: quam excipit perseverans erga Jesum precatio, suavis tranquillitas animi imaginationibus vacua, et stabilitas in Jesu fundata.

ζ'. Οἵδε γεννᾷν φόβος ὁ διττὸς καὶ αἱ ὑπὸ Θεοῦ ἐγκαταλείψεις, καὶ αἱ παιδευτικαὶ τῶν πειρασμῶν συμβάσεις, συνέχειαν ἐπιστατικὴν προσοχῆς ἐν τῷ ἡγεμονικῷ τοῦ ἀνθρώπου πειρωμένου τὴν πηγὴν φράξαι τῶν κακῶν λογισμῶν καὶ ἔργων, δι' ἣν καὶ ἐγκαταλείψεις, καὶ οἱ ἀδόκητοι ἀπὸ Θεοῦ πειρασμοὶ πρὸς τὴν ἡμῶν τοῦ βίου διόρθωσιν, καὶ μάλιστα τοῖς γευσαμένοις τὴν ἀνάπαυσιν τοῦ καλοῦ τούτου καὶ ἀμελοῦσιν. Ἡ δὲ συνέχεια γεννᾷ ἕξιν· ἡ δὲ, φυσικήν τινα πυκνότητα νήψεως· ἡ δὲ, θεωρίαν τέως τοῦ πολέμου ἠρέμα κατὰ ποιότητα γεννᾷ, ἣν δέχεται ἐπίμονος Ἰησοῦ εὐχή, ἡ ἀφάνταστος νοὸς γλυκεῖα ἠρεμία, καὶ ἡ κατάστασις ἐξ Ἰησοῦ συνεστῶσα.

8. Constans animus, qui Christum invocat adversus hostes, ad illumque perfugit, est velut fera quædam a canibus non paucis circumdata, quæ seipsam ex adverso collocat in tuto. Cum autem procul mente prævideat hostium invisibilium intellectuales insidias, quia continenter adversum illos stat cum Jesu pacifico, permanet illæsus ab illis.

η'. Ἱσταμένη καὶ ἐπικαλουμένη ἡ διάνοια Χριστὸν κατὰ τῶν πολεμίων, καὶ καταφεύγουσα ἐπ' αὐτὸν, οἷον θήρ τις κυκλωθεὶς ὑπὸ κυνῶν πολλῶν, καὶ ἀντιστήσας ἑαυτὸν ἐν ὀχυρώματι, πόρρωθεν δὲ νοητῶς τοὺς νοητοὺς λόχους τῶν ἀοράτων ἐχθρῶν προβλέπουσα, καὶ διὰ τὸ συνεχῶς ἐντυγχάνειν τῷ εἰρηνοποιῷ Ἰησοῦ κατ' αὐτῶν, ἄτρωτος ἐξ αὐτῶν διαμένει.

9. Si præes, ac tibi datum est, ut assistas et specteris horarum matutinarum tempore, concessum est utique, ut sis etiam spectator. Sin minus, vigila, et consequeris.

θ'. Εἰ ἐπίστασαι καὶ ἐδόθη σοι εἰς τὰς πρωΐας παρεστάναι, καὶ ἐποπτεύεσθαι, ἀλλὰ καὶ ἐποπτεύειν, οἷδας ὃ λέγω· εἰ δὲ οὔ, νῆφε, καὶ λήψῃ.

10. Corpus maris consistit in aquarum multitudine: compages autem et firmamentum sobrietatis, abstinentiæ, et profundissimæ quietis animæ, abyssus item contemplationum tam quam arcanorum, exploratricis etiam humilitatis, rectitudinis ac dilectionis, est summa temperantia et deprecatio Jesu Christi carens cogitationibus: idque cum frequentibus suspiriis et continuo labore, citra tamen offensionem sui.

ι'. Συστήματα θαλασσῶν ὕδωρ πολύ· σύστημα δὲ καὶ κραταίωμα νήψεως, καὶ νηφαλιότητος, καὶ ψυχικῆς κατὰ βάθους ἡσυχίας, καὶ ἄβυσσος θεωριῶν καὶ ἐξα .. τε καὶ ἀπορρήτων, καὶ ἐπιγνωμονικῆς ταπεινώσεως, καὶ εὐθύτητος, καὶ ἀγάπης, νῆψις ἄκρα καὶ Ἰησοῦ Χριστοῦ χωρὶς λογισμῶν εὐχὴ, καὶ τοῦτο στενῶς, καὶ πυκνῶς, καὶ διηνεκῶς, καὶ πονητικῶς, καὶ μὴ περικακεῖν.

11. *Non omnis qui dicit mihi: Domine, Domine, intrabit in regnum cœlorum*, inquit: *sed qui facit voluntatem Patris mei* [59]. Voluntas autem patris ejus hæc est, nempe: *Qui diligitis Dominum, odite mala* [60]. Accedentibus ergo precibus erga Jesum Christum, prosequamur odio cogitationes malas, et ecce voluntatem Dei fecimus.

ια'. *Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται*, φησὶν, *ἐν τῇ βασιλείᾳ, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου.* Θέλημα δὲ τοῦ Πατρὸς αὐτοῦ ἐστι τοῦτο, τὸ, *Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά.* Οὐκοῦν σὺν τῇ εὐχῇ Ἰησοῦ Χριστοῦ, μισήσωμεν καὶ πονηροὺς λογισμοὺς, καὶ ἰδοὺ πεποιήκαμεν τὸ θέλημα τοῦ Θεοῦ.

12. Omnium virtutum typus, exemplar humani generis, ac numen invocandum pro veteri lapsu, Dominus noster ac Deus incarnatus, ut picturam vivam proposuit nobis suam, quam in carne transegit, vitam, omni virtutum genere splendentem. Præter illa vero bona quæ nobis exhibuit, post baptismum susceptum rediens in desertum, cum jejunasset, pugnam intellectualem cœpit inire cum

ιβ'. Ἀρετῆς πάσης ὑπογραμμὸς καὶ ὑπόδειγμα γένους ἀνθρώπων, καὶ ἀνάκλησις τοῦ παλαιοῦ πτώματος, ὁ Δεσπότης ἡμῶν καὶ Θεὸς σαρκωθεὶς, προέθηκεν ἡμῖν, ζωγραφήσας τὸν ἐν σαρκὶ αὐτοῦ πανάρετον βίον. Σὺν πᾶσι δὲ τοῖς καλοῖς οἷς ἡμῖν ὑπέδειξε, μετὰ τὸ βάπτισμα ἀνελθὼν εἰς τὴν ἔρημον, μετὰ νηστείας ἄρχεται πάλης νοητῆς τοῦ διαβόλου, ὡς ἀνθρώπῳ ψιλῷ αὐτῷ προσελθόντος, καὶ διὰ τοῦ

[59] Matth. VII, 21. [60] Psal. XCVI, 10.

Digitized by Google

τρόπου τῆς νίκης ἐδίδαξε καὶ ἡμᾶς τοὺς ἀχρείους A δούλους ὁ Δεσπότης πρὸς τὰ πνεύματα τῆς πονηρίας, ὅπως χρὴ τὴν πάλην ἐνεργεῖν, τουτέστιν ἐν ταπεινώσει καὶ νηστείᾳ, καὶ εὐχῇ καὶ ψήφει, ὁ μὴ χρῄζων τῶν τοιούτων, καθὸ Θεὸς, καὶ Θεὸς τῶν θεῶν.

diabolo, illum, ut purum hominem aggrediente. Et ea vincendi ratione etiam nos inutiles servos docuit Dominus, quo pacto confligendum sit cum spiritibus nequitiæ, hoc est, in humilitate, jejunio, precibus, et temperantia: qui tamen, ut Deus, ac deorum Deus, talibus non habebat opus.

ιγ'. Τὸ δὲ, πόσοι τρόποι εἰσὶ κατ' ἐμὲ τῆς νήψεως, καθαρίζειν ἀπὸ λογισμῶν ἐμπαθῶν τὸν νοῦν κατ' ὀλίγον, ἰδοὺ σημάναι σοι αὐτοῦ ἀκομψεύστῳ λέξει καὶ ἀποικίλῳ οὐκ ὀκνήσω· οὐ γὰρ ἔκφυνα ὥσπερ ἐν τοῖς τοῦ πολέμου διηγήμασιν, ἐν τῷδε τῷ λόγῳ κρύψαι τὴν ὠφέλειαν διὰ τῶν λέξεων, καὶ μάλιστα τοῖς ἁπλουστέροις. Σὺ δὲ, τέκνον Τιμόθεε, πρόσεχε οἷς ἀναγινώσκεις.

13. Quot autem, mea sententia, sint modi mentis expurgandæ paulatim cogitationibus affectuum plenis, ut perveniatur ad temperantiam, jam indicare tibi non dubitabo, sermone haudquaquam ornato aut vario. Non enim, ut in historia bellica, statui hac oratione sub verborum lenociniis utilitatem occultare, et maxime simplicioribus. Tu vero, fili Theodule, attende animum his quæ legis.

ιδ'. Εἷς οὖν τρόπος νήψεως, τὸ, τὴν φαντασίαν B πυκνὰ σκοπεῖν, ἤγουν τὴν προσβολὴν, διὰ τὸ μὴ δύνασθαι τὸν Σατανᾶν χωρὶς φαντασίας λογισμοὺς δημιουργεῖν, καὶ παραδεικνύειν τῷ νῷ πρὸς ἀπάτην ψευδῆ.

14. Unus ergo modus temperantiæ comparandæ est, ut imaginationem crebro perpendamus, objectionem videlicet: eo quod absque imaginatione Satanas nequeat moliri cogitationes, aut fallendi gratia, menti proponere mendacia.

ιε'. Ἕτερος δὲ, τὸ ἔχειν τὴν καρδίαν βαθέως διὰ παντὸς σιωπῶσαν καὶ ἡσυχάζουσαν ἀπὸ παντὸς λόγου, καὶ εὔχεσθαι.

15. Alter vero, ut in profundo per omnia silentio, et quiete omni sermone vacua, demersum habeamus animum, ac precemur.

ις'. Ἄλλος, τὸ παρακαλεῖν τὸν Ἰησοῦν εἰς βοήθειαν συνεχῶς ἐν ταπεινώσει.

16. Alius, ut cum humilitate Jesum in auxilium continenter invocemus.

ιζ'. Ἕτερος δὲ τρόπος, τὸ, μνήμην ἔχειν θανάτου ἀδιάλειπτον ἐν τῇ ψυχῇ.

17. Quartus autem modus est, ut continuam in animo habeamus mortis memoriam.

ιη'. Αὗται πᾶσαι αἱ ἐργασίαι, ἀγαπητὲ, τὰς πονηρὰς ἐννοίας δίκην πυλωρῶν κωλύουσι. Τὸ δὲ ὁρᾷν πρὸς οὐρανὸν καὶ γῆν, μηδὲ ἡγεῖσθαι ὅπως ἐνεργές ἐστι σὺν τοῖς ἄλλοις, Θεοῦ διδόντος, ῥῆμα ἐν ἄλλῳ C τόπῳ ἐκτελέστερον ἐκ[τε]θήσομαι.

18. Universæ operationes ejusmodi, charissime, more janitorum arcere solent pravas conceptiones. Quanti vero sit momenti, cœlum intueri, et nihili facere terram, una cum reliquis, Deo donante facultatem dicendi, alio loco plenius exponam.

ιθ'. Ἐὰν πρὸς ὀλίγον τῶν παθῶν τὰς αἰτίας ἐκκόψαντες, τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ διατρίψωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα, μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ σκότωσιν παντελῶς τοῦ νοῦ, καὶ ἐπὶ τὰ ὑλικὰ ἐκτροπήν.

19. Si amputatis ad modicum tempus affectionum causas, studere incipiamus spiritalibus observationibus, et in eis non immoremur, eamdem navantes operam, facile denuo revolvemur ad carnis affectus, nullum inde fructum alium referentes, quam omnimodam obtenebrationem mentis, et ad res sensiles conversionem.

κ'. Δεῖ τὸν ἀγωνιζόμενον ἔνδον κατὰ στιγμὴν χρόνου ἔχειν τὰ τέσσαρα ταῦτα, ταπείνωσιν, προσοχήν τε ἄκραν, ἀντίῤῥησιν, καὶ προσευχήν· ταπείνωσιν μὲν, ὅτι πρὸς ὑπερηφάνους δαίμονας ἀντιθέτους ταπεινώσει ἐστὶν αὕτη ἡ πάλη, ἵνα τὴν Χριστοῦ βοήθειαν ἐν χειρὶ καρδίας ἔχῃ, διὰ τὸ τὸν Κύριον D ὑπερηφάνους μισεῖν· προσοχὴν δὲ, ἵνα ἀεὶ τὴν ἑαυτοῦ καρδίαν ποιῇ μηδένα λογισμὸν ἔχειν, κἂν δῆθεν ἀγαθὸς φαίνηται· ἀντίῤῥησιν δὲ, ἵνα ὁπηνίκα ὀξέως γνοὺς τὸν ἐλθόντα, εὐθὺς μετ' ὀργῆς ἀντιλογισθείῃ τῷ πονηρῷ. *Καὶ ἀποκριθήσομαι*, φησὶ, *τοῖς ὀνειδίζουσί μοι κακά· Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;* εὐχὴν δὲ, ἵνα μετὰ τὴν ἀντίῤῥησιν, εὐθὺς ἐκ βαθέων καρδίας κραυγάσῃ πρὸς Χριστὸν στεναγμῷ ἀκαλήπτῳ· καὶ τότε αὐτὸς ὁ ἀγωνιζόμενος βλέψεται τὸν ἐχθρὸν λυόμενον τῷ ἁγίῳ καὶ προσκυνητῷ ὀνόματι τοῦ Ἰησοῦ, ὡς χοῦν ὑπὸ ἀνέμου, ἢ ὡς καπνὸν ἐκλείποντα μετὰ τῆς φαντασίας αὐτοῦ.

20. Eum qui sustinet interiora certamina, eodem momento temporis, hisce quatuor præditum esse convenit, humilitate, attentione summa, reluctatione, et precatione. Humilitate quidem, quoniam conflictus ille est adversus superbos dæmonas, humilitatis adversarios: quo Christi auxilium in manu cordis habeat: cum Dominus oderit superbos. Attentione vero, ut suum ipsius animum cogitationibus, etiam velut bonitatis speciem præ se ferentibus, immunem semper reddat. Reluctatione autem, ut cum accedentem diligenti mentis acumine noverit, mox excandescens contradicat illi nequam. *Et respondebo*, inquit, *exprobrantibus mihi mala* [61]: *Nonne Deo subjecta erit anima mea* [62]? Precatione autem, ut posteaquam restiterit, confestim ex intimo corde vociferetur ad Christum gemitu indicibili. Tumque is, qui modo certabat, videbit hostem cum illusionibus suis, per nomen Jesu sanctum et adorandum, velut pulverem a vento, aut fumi evanescentis instar, dissolvi.

[61] Psal. cxviii, 42. [62] Psal. lxi, 1.

Digitized by Google

21. Qui non est fretus precatione cogitationibus purgata, caret armis ad bellum aptis. Precationem dico, semper vigentem in penetralibus animæ: ut per invocationem Jesu Christi et intestinum bellum castigetur, et hostis exuratur.

κα'. Ὁ μὴ ἔχων εὐχὴν καθαρὰν λογισμῶν, ὅπλον οὐκ ἔχει εἰς πόλεμον· εὐχὴν δὲ λέγω ἀεννάως ἐνεργουμένην ἐν ἀδύτοις τῆς ψυχῆς, ἵνα τῇ τοῦ Ἰησοῦ Χριστοῦ ἐπικλήσει ὁ κρυφίως πόλεμος μαστιγῆται, καὶ φλέγηται πολέμιος.

22. Debes equidem tu subtili et intenso mentis intuitu perspicere, ut intelligas ingredientes cogitationes. Ubi vero noris, statim resistendo conteras caput serpentis: unaque suspirans, Christum inclamato. Et ita experiere divinam et invisibilem defensionem. Ac tum liquido perspicua fiet cordis rectitudo.

κβ'. Εὖ μὲν ὀφείλεις ὀξεῖ καὶ συντόνῳ νοῦ βλέμματι βλέπειν, ὥστε νοεῖν τοὺς εἰσερχομένους· γνοὺς δὲ, παρ' αὐτὰ δι' ἀντιῤῥήσεως θλᾶν τὴν τοῦ ὄφεως κεφαλὴν, καὶ ἅμα τούτῳ σὺν στεναγμῷ βόησον πρὸς Χριστὸν, καὶ λήψῃ πεῖραν τότε θείας ἀοράτου ἀντιλήψεως· καὶ τότε ὁρᾷς τηλαυγῶς εὐθύτητα καρδίας.

23. Quemadmodum is qui speculum tenet in manu, si forte consistens in medio multorum, defixis oculis intueatur in speculo, videt quidem quali sit ipse facie, videt etiam aliorum vultum in idem speculum incumbentium: ita qui totus in cor suum incumbit, et suum ipsius statum in eo conspicit, et nigram spiritalium Æthiopum intuetur faciem.

κγ'. Ὥσπερ ὁ κρατῶν ἐσοπτρον ἐν χειρὶ, μέσον δὲ εἰ τύχοι πολλῶν ἱστάμενος ἀτενίζων τῷ ἐσόπτρῳ, βλέπει μὲν τὸ ἴδιον πρόσωπον ὁποῖον, βλέπει δὲ καὶ τῶν ἄλλων τῶν ἐγκυπτόντων ἐν τῷ ἑνὶ ἐσόπτρῳ· οὕτως ὁ δι' ὅλου ἐγκύπτων εἰς τὴν καρδίαν αὐτοῦ, βλέπει μὲν τὴν ἑαυτοῦ κατάστασιν ἐν αὐτῇ, βλέπει δὲ καὶ τὰ μέλανα πρόσωπα τῶν νοητῶν Αἰθιόπων.

24. Cæterum mens per seipsam solam non potest superare illusionem dæmonum: ne sibi de eo nimium fidat. Nam cum sint versuti, etiam vinci simulant, dum aliunde per inanem gloriam supplantant. Quando vero Jesus invocatur, ne ad horam quidem subsistere, aut fallere te possunt.

κδ'. Ἀλλ' οὐ δύναται ὁ νοῦς νικῆσαι φαντασίαν δαιμονίαν δι' ἑαυτοῦ μόνου, μήποτε τοῦτου θαῤῥείτω· πανοῦργοι γὰρ ὄντες καὶ ἡττᾶσθαι ὑποκρίνονται, ἄλλοθεν διὰ κενοδοξίας ὑποσκελίζοντες· τῇ δὲ Ἰησοῦ ἐπικλήσει στῆναι, καὶ ὁλιεύσασθαί σε οὐδὲ κἂν πρὸς ὥραν ὑπομένουσιν.

25. Observa, ne qua ducaris opinione, more populi Israelitici: et ita tradaris hostibus intellectualibus. Ille enim beneficio Dei omnium auctoris liberatus ab Ægypto, ad opem sibi ferendam excogitavit idolum conflatile.

κε'. Ὅρα, μὴ οἰηθῇς κατὰ τὸν πάλαι Ἰσραὴλ, καὶ παραδοθήσῃ καὶ αὐτὸς τοῖς νοητοῖς ἐχθροῖς· ἐκεῖνος γὰρ παρὰ τοῦ τῶν ὅλων Θεοῦ, Αἰγύπτου ἀπαλλαγείς, βοηθὸν ἑαυτοῦ ἐπενόησεν εἴδωλον χωνευτόν.

26. Idolum conflatile intelliges, mentem nostram infirmam: quæ quandiu quidem implorat Jesum Christum adversus nequitiæ spiritus, facile profligat eos: et invisibiles inimici copias militares arte subtili repulsat. Sin prorsus in seipsa fiduciam imprudenter collocet, velut avis quæ dicitur ὀξύπτερος, deturbabitur. *In Deo*, inquit, *speravit cor meum, et adjutus sum: et refloruit caro mea* [63]. Et, *Quis, præter Dominum, consurget mihi, aut stabit mecum adversus innumeras cogitationes malignas* [64]? Qui vero sibi ipsi, et non Deo, fidit, casu ruet gravissimo.

κς'. Εἴδωλον δὲ νοήσεις χωνευτὸν, τὸν ἀσθενῆ ἡμῶν νοῦν, ὅς γε, ἕως μὲν Ἰησοῦν Χριστὸν παρακαλεῖς κατὰ τῶν τῆς πονηρίας πνευμάτων, εὐκόλως αὐτὰ καταδιώκει· καὶ μετ' ἐπιστήμης ἐντέχνου τροποῦται τὰς ἀοράτους πολεμίας τοῦ Ἐχθροῦ δυνάμεις. Ἐπὰν δὲ αὐτὸς εἰς ἑαυτὸν ἀφρόνως θαῤῥήσειεν ὅλος, ὡς ὁ λεγόμενος ὀξύπτερος, ταράσσεται. *Ἐπὶ τῷ Θεῷ*, φησὶν, *ἠλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου.* Καὶ, *Τίς πάρεξ τοῦ Κυρίου ἀναστήσεταί με, καὶ συμπαρατάξεταί με ἐπὶ πονηρευομένοις πολλοῖς λογισμοῖς*, Ὁ δὲ εἰς ἑαυτὸν θαῤῥῶν καὶ οὐκ εἰς Θεὸν, πεσεῖται πτῶμα ἐξαισιώτατον.

27. Is est typus et ordo tranquillitatis animi. Si certare statuisti, imitandum tibi propone exiguum animalculum, araneam: sin minus, tranquillum, ut decet, nondum geris animum. Illa quidem minutas venatur muscas. Quod si tu, illius exemplo, labore quietem animæ comparare volueris, irremisse pueros interficies Babylonicos. Quo genere cædis dixeris per Davidem beatus a Spiritu sancto.

κζ'. Καρδιακῆς ἡσυχίας οὗτος τύπος καὶ τάξις· εἰ βούλει ἀθλεῖν, τὸ μικρὸν ζωῦφιον, ἡ ἀράχνη ἔστω σοι τοῦτο ὑπόδειγμα· εἰ δὲ μὴ, οὔπω ὡς δεῖ ἡσύχασας νῷ. Κἀκείνη μὲν μυίας μικρὰς θηρεύει· σὺ δὲ εἰ οὕτω καὶ ὡς αὐτὴ ἐν ψυχῇ πονῶν ἡσυχάζεις, οὐ παύσει κτείνων ἀεὶ νήπια Βαβυλώνια, καθ' ὃν φόνον μακαρίζῃ ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, διὰ Δαβίδ.

28. Quemadmodum fieri nequit, ut in firmamento situm inter astra conspiciatur mare Rubrum, et homo super terram ambulans non respiret hunc aerem: Sic absque frequenti Jesu invocatione, cor nostrum purgare non possumus affectionum stu-

κη'. Ὡς οὐ δυνατὸν τὴν Ἐρυθρὰν θάλασσαν ἐν τῷ στερεώματι ὀφθῆναι μέσον ἀστέρων· καὶ ὡς οὐκ ἔνι ἄνθρωπον ἐν γῇ περιπατοῦντα μὴ τὸν ἀέρα τοῦτον ἀναπνέειν· οὕτως ἀδύνατον καθαρίσαι τὴν ἡμῶν καρδίαν ἐξ ἐμπαθῶν νοημάτων, καὶ ἀποδιῶξαι νοη-

[63] Psal. xxvii, 7. [64] Psal. xciii.

Digitized by Google

τοὺς ἐχθροὺς ἐξ αὐτῆς ἄνευ συχνῆς ἐπικλήσεως Ἰησοῦ.

κθ'. Ἐὰν μετὰ ταπεινώσεως φρονήματος καὶ μνήμης θανάτου, καὶ ἀπὸ μέμψεως, καὶ ἀντιῤῥήσεως, καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τὰς διατριβὰς πάντοτε ποιεῖς ἐν τῇ σῇ *καρδίᾳ*· καὶ τὴν στενὴν μὲν, ἀλλὰ χαροποιὸν καὶ τερπνὴν ὁδὸν τῆς διανοίας καθ' ἡμέραν, μετὰ τούτων τῶν ὅπλων ὁδεύεις νηφόντως, εἰς θεωρίας ἁγίας ἁγίων ἐλεύσῃ, καὶ φωτισθήσῃ μυστήρια βαθέα παρὰ Χριστοῦ. *Παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι· Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*· αἰσθηθήσῃ γὰρ πρὸς Ἰησοῦ· ὅτι πνεῦμα ἅγιον ἐφήλατο τῇ σῇ ψυχῇ, παρ' οὗ νοῦς ἀνθρώπων δεδουχεῖται ὁρᾷν ἀνακεκαλυμμένῳ προσώπῳ. *Οὐδείς*, φησὶ, *λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ*, δηλαδὴ βεβαιῶν μυστικῶς τὸ ζητούμενον.

λ'. Πλὴν καὶ τοῦτο οὖν ἰστέον, τοὺς φιλομαθεῖς, ὅτιπερ οἱ φθονεροὶ δαίμονές τε πολλάκις καὶ κρύπτουσι καὶ συστέλλουσιν ἐξ ἡμῶν τὸν νοητὸν πόλεμον, βασκαίνοντες ἡμῖν οἱ δεινοὶ τῆς ἐκ τοῦ πολέμου ὠφελείας τε καὶ γνώσεως, καὶ πρὸς Θεὸν ἀναβάσεως, καὶ ἵν' ἀμεριμνησάντων ἡμῶν ἐξαίφνης τὸν νοῦν αὐθις ἁρπάσωσι, καὶ ἀπροσεχεῖς τινας τῇ διανοίᾳ πάλιν ἀπεργάσωνται (σκοπὸς γὰρ αὐτοῖς ἄληκτος καὶ ἀγὼν φροντίζεται μηδ' ὅλως ἐᾷν ἡμᾶς τὴν καρδίαν ἡμῶν προσεχῶς ἄγειν), εἰδότες τὸν συναγόμενον πλοῦτον τῇ ψυχῇ, ἐκ τῆς καθ' ἡμέραν προσοχῆς. Ἀλλ' ἡμεῖς γε τότε μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκτεινόμεθα εἰς πνευματικὰς θεωρίας, καὶ ὁ πόλεμος πάλιν εἰς τὸν νοῦν ἐπανέρχεται, μόνον μετὰ βουλῆς, ἵνα οὕτως εἴπω, αὐτοῦ τοῦ Κυρίου, καὶ μετὰ ταπεινώσεως πολλῆς πάντα ποιῶμεν.

λα'. Δεῖ γὰρ ἡμᾶς ἐν κοινῷ βίῳ διατρίβοντας μεθ' ἑκουσίου προαιρέσεως, καὶ προθύμῳ καρδίᾳ πᾶν θέλημα ἡμῶν ἐκκόπτειν, τῷ προεστῶτι τοῦ Θεοῦ συγγινομένου· εὐώνιοι καὶ αὐτοὶ ἡμεῖς πως γινώμεθα καὶ ἀθέλητοι· ὧδε τέχνην τούτοις ἔχειν πρόσῆκει, ἵνα μὴ τῷ χόλῳ ταρασσώμεθα, καὶ τὸ θυμικὸν ἡμῶν παραλόγως καὶ παρὰ φύσιν κινῶμεν, καὶ ἀπαῤῥησίαστοι τολοιπὸν εἰς τὸν ἀόρατον πόλεμον εὑρισκώμεθα. Εἴωθε γὰρ τὸ θέλημα ἡμῶν μὴ κοπτόμενον παρ' ἡμῶν αὐτοεκουσίως, ὀργίζεσθαι πρὸς τοὺς ἀκουσίως ἡμῶν κόπτειν αὐτὸ ἐπιχειροῦντας. Καὶ ἐκ τούτου οὖν ὁ θυμὸς κακῶς ὑλακτῶν κινηθεὶς, ἀπόλλυσι τὴν γνῶσιν τῆς πάλης, ἣν μόγις μετὰ καμάτου πολλοῦ κτήσασθαι ἠδυνήθη. Φθαρτικὸς γὰρ ὁ θυμὸς εἶναι πέφυκεν. Εἰ μὲν οὖν πρὸς λογισμοὺς κινηθείη δαιμονιώδεις, φθείρει καὶ ἀπολλύει αὐτούς. Εἰ δ' αὖ πάλιν κατὰ ἀνθρώπων, φθείρει καὶ οὕτως τοὺς ἀνθρωπίνους λογισμοὺς ἐν ἡμῖν. Πλὴν ὁ θυμὸς ὁρῶ ὅτι φθαρτικὸς τυγχάνει λογισμῶν παντοίων, εἴτε πονηρῶν, εἴτε τύχῃ καὶ δεξιῶν. Ὅπλον γὰρ παρὰ Θεοῦ καὶ τόξον κατὰ δαιμόνων ἡμῖν παρασχεθὲς, εἰ

29. Si cum humilitate, prudentia, mortisque memoria, conquestione, contradictione, imploratione Jesu Christi, continenter exercitia peragas in corde tuo, et per angustam quidem, sed animæ jucundam atque delectabilem viam, his quotidie armis instructus, caste incedas, ad sanctas sanctorum contemplationes pervenies : et profunda mysteria tibi manifestabuntur a Christo. *In quo sunt omnes thesauri sapientiæ et scientiæ absconditi* [65] : *In quo inhabitat omnis plenitudo divinitatis corporaliter* [66]. Senties enim ab Jesu Christo insilire in animam tuam Spiritum sanctum, per quem illustratur mens hominum, ut revelata facie possit intueri. *Nemo*, inquit, *dicit, Dominus Jesus, nisi in Spiritu sancto* [67], confirmante scilicet mystice eum qui quærit.

30. Istud porro scire debent, qui discendi desiderio tenentur, sæpenumero dæmones invidos celare nos, et subtrahere a nobis spiritale bellum : dum infesti illi nobis invident nascentem ex eo bello fructum, cognitionem et ascensionem ad Deum : ut negligentibus nobis, mox repente mentem eripiant, et ignavo animo quosdam denuo efficiant (perpetua enim illorum intentio et labor in eo consistit, ut non sinant nos cor nostrum observare) non ignari quantæ proveniant opes animæ, ex quotidiana observatione. Nos vero tunc memores Domini nostri Jesu Christi, erigimur ad spiritales contemplationes, denuoque bellum insurgit in animum : modo cum consilio, ut ita dicam, Domini ipsius, et humilitate non modica peragamus omnia.

31. Nos qui degimus in cœnobio, spontaneo proposito et alacri animo debemus amputare omnem voluntatem nostram, cum Deus adsit prælato. Abjecti etiam nos ipsi quodam modo efficiamur, et voluntate carentes. Et hanc artem callere convenit illis, ne bili perturbemur, et nostram irascendi facultatem præter naturam et rationem moveamus, et ad committendum spiritale bellum in posterum, reperiamur timidi. Voluntas enim nostra a nobis ultro non abscissa, excandescere solet in eos, qui vi illam a nobis amputare nituntur. Unde ira permota male oblatrans, adimit belli notitiam, quam vix multo cum labore consequi potuit. Ira siquidem natura facultatem habet interimendi : in cogitationes quidem diabolicas emota, perimit et dissolvit eas : sin contra homines, itidem cogitationes humanas in nobis delet. Itaque, ut video, ira quascunque corrumpit cogitationes, seu sinistras, seu, si ita contingat, dexteras. Arma enim et tela nobis adversus dæmones a Deo donata, nisi teneantur in utrisque, licet varium habeant effectum, perniciosa

[65] Coloss. II, 3. [66] ibid. 9. [67] I Cor. XII, 3.

Digitized by Google

sunt. Novi enim canem, alioqui in lupos audacem, etiam oves interficere.

32. Perinde fugienda est securitas, ut aspidis venenum : et pleræque conversationes vitandæ, tanquam serpentes et viperarum fetus : cum hæc eam vim habeant, ut quamprimum inducant in profundam interni belli oblivionem, et abducant animam a sublimi lætitia, quam concipit ex puritate cordis. Quandoquidem animadversioni non aliter adversatur exsecranda oblivio, quam aqua igni : qua hostis in singulas horas valde nititur. Quoniam ex oblivione dilabimur in negligentiam : a negligentia, in contemptum et socordiam ac desideria absurba : et ita denuo convertimur ad ea quæ reliquimus a tergo, velut canis ad proprium vomitum. Quare fugiamus securitatem, ut lethale venenum. Exitiale autem detrimentum oblivionis, et quæ ex ea nascuntur, sanat perdiligens custodia mentis, et invocatio Domini nostri Jesu Christi admodum assidua : quia sine eo nihil possumus facere.

33. Non solemus, nec possumus conciliari serpenti, et eum in sinu gestare : neque corpus variis blanditiis prosequi, delinire, et redamare, non administratis iis quæ necessaria sunt et utilia, ac virtutis itidem cœlestis curam agere. Nam ille vulnerare solet foventem : hoc autem, inservientem voluptatibus inquinare. Idcirco, pro modo delicti, flagellis et pugnis cædatur acerrime, velut servus fugitivus, musto plenus, in dorso flagellis obnoxio : ne dominum tractet ut cauponem : ne corruptibile lutum et ancilla obscura ignoret dominam, et corruptionis exspertem. Ad usque decessum, ne fidas carni tuæ. *Sapientia enim carnis*, inquit, *inimica est Deo* [68]. Legi enim Dei non est subjecta. Et : *Caro concupiscit adversus spiritum* [69]. *Qui autem in carne sunt, Deo placere non possunt* [70]. Nos vero non sumus in carne, sed in spiritu.

34. Prudentiæ quidem officium est, irascendi vim jugiter torquere ad conflictum interioris pugnæ, et ad sui conquestionem. Sapientiæ vero, movere rationalem facultatem ad exactam temperantiam et continuam, necnon ad contemplationem spiritalem. Justitiæ autem est, cupiditatem ad virtutem et Deum dirigere : Fortitudinis vero, quinque sensus moderari et continere : ne per ipsos maculetur interior homo noster, quod est cor : neve exterior, quod est corpus.

35. *In Israele est magnificentia ejus* [71] : in animo videte, quoad fieri potest, decorem gloriæ ipsius Dei. Et virtus ejus in nubibus : hoc est, in amicis splendentibus, intente intuentibus in auroram matutinam, hoc est, in eum qui sedet in dextera Patris, in illos, splendores emittens, veluti sol suis radiis penetrans nubes mundas, quod amabile est, ostendit.

36. Cum quis peccat, inquit Scriptura divina,

μὴ ἐπέχεται ἐν ἀμφοτέροις, εἰ καὶ διαφόρως ἐνεργεῖ, ὀλέσκων ἐστί· ἐγὼ γὰρ εἶδον καὶ κύνα θρασὺν ἴσως τοῖς λύκοις, καὶ τὰ πρόβατα διαφθείροντα.

λβ'. Οὕτως ἐχρῆν φεύγειν τὴν παῤῥησίαν, ὡς ἰὸν ἀσπίδος, καὶ ἐκτρέπεσθαι τὰς πολλὰς συντυχίας, ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν, δυνάμενα ταῦτα σφοδρῶς εἰς λήθην τάχιον τοῦ ἔνδον πολέμου καταστῆσαι τελείαν, καὶ καταγαγεῖν τὴν ψυχὴν ἀπὸ τῆς ὑψηλῆς χαρᾶς, τῆς ἀπὸ τῆς καθαρότητος τῆς καρδίας. Ἀντίκειται ἡ ἐπάρατος λήθη τῇ προσοχῇ ὡς πυρὶ ὕδωρ· καὶ πολέμιος αὐτῇ καθ' ὥραν κραταιῶς τυγχάνει· ἀπὸ γὰρ λήθης εἰς ἀμέλειαν καταντῶμεν, ἐκ δ' ἀμελείας εἰς καταφρόνησιν καὶ ῥᾳθυμίαν καὶ ἐπιθυμίας ἀτόπους· καὶ οὕτω πάλιν ἐπιστρέφομεν εἰς τὰ ὀπίσω, ὃν τρόπον κύων ἐπὶ τὸν ἴδιον ἔμετον. Φύγωμεν τοίνυν τὴν παῤῥησίαν, ὡς ἰὸν θανάτου· τὸ δὲ κακὸν πῆμα τῆς λήθης καὶ τὰ ἐξ αὐτῆς, ἵστησι ἀκριβὴς λίαν νοὸς φυλακή, καὶ συνεχὴς πάνυ ἐπίκλησις τοῦ Κύριου ἡμῶν Ἰησοῦ Χριστοῦ· χωρὶς γὰρ αὐτοῦ οὐ δυνάμεθα ποιεῖν οὐδέν.

λγ'. Οὐκ ἐνδέχεται, οὔτε μὴν δυνατὸν, ὄφει συμφιλιῶσαι, καὶ εἰς κόλπον βαστάσαι· οὐδὲ τὸ σῶμα παντοίως κολακεύειν καὶ θεραπεύειν καὶ ἀγαπᾷν ἐκτὸς τῶν χρειωδῶν τε καὶ ἀναγκαίων, καὶ ἐπιμελεῖσθαι τῆς ἀρετῆς οὐρανίου. Πέφυκε γὰρ, ὁ μὲν, τιτρώσκειν τὸν θάλποντα, τὸ δὲ μολύνειν ἐν ἡδοναῖς τὸν θεραπεύοντα· ἐν οἷς πταίει, μάστιξιν αἰκιζέσθω, πὺξ ἀφειδῶς ὡς δοῦλος δραπέτης γλεύκους μεμεστωμένος νῶτῳ μαστιγίας· τὸν κύριον μὴ καπηλοτριβείτω, μὴ ἀγνοείτω τὴν κυρίαν καὶ ἄφθαρτον, ἢ φθαρτὴ πηλὸς, καὶ δούλη καὶ νυκτερινή. Ἕως ἐξόδου μὴ θαῤῥήσῃς σου τῇ σαρκί· *Τὸ φρόνημα*, φησὶ, *τῆς σαρκὸς ἔχθρα εἰς Θεόν*· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Καὶ, *Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται*. Ἡμεῖς δὲ οὐκ ἐσμὲν ἐν σαρκὶ, ἀλλὰ πνεύματι.

λδ'. Τῆς μὲν φρονήσεως ἔργον, τὸ ἀεὶ κινεῖν τὸ θυμικὸν πρὸς συμπλοκὴν τῆς ἔνδον μάχης, καὶ πρὸς αὐτομεμψίαν· τῆς σοφίας δὲ, κινεῖν τὸ λογιστικὸν πρὸς νῆψιν ἀκριβῆ καὶ ἐνδελεχῆ, καὶ θεωρίαν πνευματικήν· τῆς δὲ δικαιοσύνης, τὸ ἰθύνειν τὸ ἐπιθυμητικὸν πρός τε ἀρετὴν καὶ Θεόν· τῆς δὲ ἀνδρείας, τὰς πέντε αἰσθήσεις κυβερνᾷν καὶ διακατέχειν, ἵνα μὴ δι' αὐτῶν μολύνηται ὁ ἔνδον ἡμῶν ἄνθρωπος, ὅς ἐστὶν ἡ καρδία· καὶ ὁ ἔκτος, ὅς ἐστι τὸ σῶμα.

λε'. *Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ*, ἐπὶ νοῦν ὁρῶντα τὸ κάλλος ὡς δυνατὸν, τῆς δόξης αὐτοῦ τοῦ Θεοῦ. Καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις, ἐν ψυχαῖς φεγγοειδέσιν ἀτενιζούσαις εἰς τὰς πρωΐας, τὸν ἐν δεξιᾷ τῇ πατρικῇ ἐφεζόμενον, φεγγοβολοῦντα αὐταῖς ὡς ἥλιος νεφέλαις καθαραῖς ἀκτινοβολῶν ἐράσμιον ἀποδεικνύει.

λς'. Ἁμαρτάνων εἷς, φησὶν ἡ θεία Γραφὴ, ἀπο-

[68] Rom. VIII, 7. [69] Galat. V, 17. [70] Rom. VIII, 8. [71] Psal. LXVII, 33.

Digitized by Google

λέσει ἀγαθωσύνην μεγάλην, καὶ ἁμαρτάνων νοῦς A
ἐξόλλυσι τὰ ἐν τῷ προγεγραμμένῳ κεφαλαίῳ ποτὰ
καὶ βρωτὰ ἀμβροσίας.

λζ'. Οὐκ ἐσμὲν Σαμψὼν δυνατώτεροι, οὐ Σολομῶντος σοφώτεροι, οὐ Δαβὶδ τοῦ θείου γνωστικώτεροι, οὐ Πέτρου τοῦ κορυφαίου μᾶλλον Θεὸν ἀγαπῶντες· μὴ ἑαυτοῖς τοίνυν θαῤῥήσωμεν· φησὶ γὰρ ἡ Γραφή· Ὁ εἰς αὐτὸν θαῤῥῶν, πεσεῖται πτῶμα ἐξαίσιον.

λη'. Μάθωμεν ἀπὸ Χριστοῦ ταπεινοφροσύνην, καὶ ἐκ Δαβὶδ ταπείνωσιν, καὶ ἐκ Πέτρου δακρύειν ἐπὶ τοῖς συμβαίνουσιν, ἀλλὰ μὴ ἀπογινώσκειν, κατὰ Σαμψών, καὶ Ἰούδαν, καὶ Σολομῶντα τὸν λίαν σοφώτατον.

λθ'. Ὁ γὰρ διάβολος ὠρυόμενος ὡς λέων περιπα- B
τῶν ζητεῖ τίνα καταπίει σὺν ταῖς αὐτοῦ δυνάμεσι. Μήτε οὖν ἡ καρδιακὴ δι' ὅλου προσοχὴ, καὶ νῆψις, καὶ ἀντίῤῥησις, καὶ εὐχὴ πρὸς Χριστὸν Ἰησοῦν, τὸν Θεὸν ἡμῶν, ἀργείτω ποτὲ, πάρεξ Ἰησοῦ· κρεῖττον γὰρ βοήθημα οὐχ εὑρήσεις ἐν ὅλῃ τῇ ζωῇ σου· αὐτὸς γὰρ μόνος ὁ Κύριος γινώσκει ὡς Θεὸς τὰς τῶν δαιμόνων πανουργίας, καὶ μεθοδείας, καὶ δόλους.

μ'. Ἡ ψυχὴ τοίνυν θαῤῥείτω εἰς Χριστὸν, καὶ παρακαλείτω αὐτὸν, καὶ μηδ' ὅλως δειλιάτω. Οὐ γὰρ μόνη πολεμεῖ, ἀλλὰ μετὰ φοβεροῦ βασιλέως Ἰησοῦ Χριστοῦ, κτίστου πάντων τῶν ὄντων, ἀσωμάτων τε καὶ ἐνσωμάτων, ἡγουν ὁρατῶν καὶ ἀοράτων.

μα'. Ὡς γὰρ ὁ ὑετὸς ὅσῳ πλεῖον ἐπὶ τῆς γῆς κα- C
τοφέρεται, τοσοῦτον καὶ τὴν γῆν ἀπαλύνει· οὕτω καὶ τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ παρ' ἡμῶν ἐπιβοώμενον χωρὶς λογισμῶν, ὅσον πυκνότερον αὐτὸ ἐπικαλούμεθα, ἀπαλύνει τὴν γῆν τῆς καρδίας ἡμῶν, καὶ χαροποιεῖ, καὶ εὐφραίνει.

μβ'. Καλὸν δὲ καὶ τοῦτο τοὺς ἀπείρους εἰδέναι, ὅτι ἐχθροὺς ἔχομεν ἀσωμάτους καὶ ἀοράτους καὶ κακοθελεῖς, καὶ φρονίμους εἰς τὸ κακῶσαι, καὶ ἐντρεχεῖς καὶ κούφους ἐμπειροπολέμους, ἔτεσι τοῖς ἀπὸ τοῦ Ἀδὰμ καὶ μέχρι καὶ τοῖς δεῦρο, οἱ παχεῖς ἡμᾶς καὶ πρὸς γῆν βρίθοντες, καὶ τῷ σώματι καὶ τῷ φρονήματι· οὐδενὶ ἄλλῳ τρόπῳ δυνατὸν αὐτοὺς νικῆσαι, ἀλλ' ἢ δι' ἀεννάου νοὸς νήψεως καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ Ποιητοῦ ἡμῶν. Καὶ τοῖς μὲν ἀπείροις Ἰησοῦ Χριστοῦ εὐχὴ προτροπὴ τοῦ δοκιμά- D
σαι καὶ γνῶναι τὸ καλὸν ἔστω ταῦτα· τοῖς δὲ ἐμπείροις ἡ πρᾶξις καὶ ἡ δοκιμασία καὶ ἡ ἀνάπαυσις, τοῦ καλοῦ ἄριστος καὶ τρόπος καὶ διδάσκαλος.

λγ'. Ὥσπερ παιδίον, μικρὸν ἡγουν καὶ ἀπόνηρον, φαντασιοποιόν τινα βλέπον, ἥδεται καὶ ἀκολουθεῖ τῷ φαντασιοκόπῳ ἐξ ἀκακίας· οὕτω καὶ ἡ ψυχὴ ἡμῶν ἁπλῆ τις οὖσα καὶ ἀγαθὴ, οὕτως ὑπὸ τοῦ ἀγαθοῦ Δεσπότου αὐτῆς κτισθεῖσα, ἥδεται ταῖς προσβολαῖς τοῦ διαβόλου ταῖς φανταστικαῖς, καὶ ἀπατωμένη ποστρέχει ὡς καλῷ τῷ χείρονι, ὡς ἡ περιστερὰ τῷ ἐπιβούλῳ τῶν ἑαυτῆς τέκνων· καὶ οὕτω μιγνύει τοὺς ἑαυτῆς λογισμοὺς, τῇ φαντασίᾳ τῆς δαιμονιώδους προσβολῆς. Εἰ τύχοι γυναικὸς εὐμόρφου πρόσωπον, ἢ ἄλλο τι παρὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ πάμι-

perdet bona multa, et mens quæ peccat, escas et potiones ambrosiæ, in ante scripto capitulo declaratas, perdit.

37. Non sumus fortiores Samsone : non Salomone sapientiores : non perspicaciores in re divina quam David : non diligimus Deum vehementius quam Petrus apostolorum princeps. Quamobrem non nobis ipsis fidamus. Inquit enim Scriptura : Qui in seipso confidit, ruet casu gravissimo.

38. Discamus a Christo, de nobis humiliter sentire : et a Davide, abjectionem : a Petro, flere ob casus contingentes. Non tamen despondeamus animum, more Samsonis, et Judæ, et sapientissimi Salomonis.

39. Diabolus enim rugiens, ut leo, obambulans quærit cum omnibus potestatibus suis, quem devoret. Quapropter ne remittatur unquam mentis observatio, temperantia, reluctatio, et preces erga Deum nostrum Jesum Christum. Nullum enim præstantius auxilium in tota vita tua reperies, præterquam ab Jesu. Solus enim ipse Dominus novit, ut Deus, versutias, artificia et dolos dæmonum.

40. Confidat igitur anima in Christum, et invocet illum : et nullatenus extimescat. Non enim sola dimicat, sed ab Jesu Christo rege tremendo adjuta : qui est creator omnium rerum, corporearum et corpore carentium, visibilium scilicet et invisibilium.

41. Quemadmodum pluvia quanto copiosius effunditur super terram, tanto molliorem reddit illam : ita sanctum Christi nomen a nobis invocatum, explosis cogitationibus, quanto frequentius ipsum invocamus, tanto magis emollit terram cordis nostri, eamque gaudio et lætitia perfundit.

42. Cæterum et hoc imperitos nosse convenit, rem nobis esse cum hostibus incorporeis, invisibilibus, malignis, ad affligendum callidis, velocibus, levibus, belli peritis, ab annis Adæ ad hæc usque tempora : qui nos crassos, tam corpore quam sensu, aggravant in terram. Hos nulla alia ratione superare possumus, quam perpetua animi temperantia, et invocatione Jesu Christi Dei et Creatoris nostri. Rudibus itaque pro modo et præceptore optimo sint hæc, deprecatio Jesu Christi, et ad probandum et cognoscendum quid rectum sit, exhortatio. Peritis autem, exsecutio, experientia et requies, quæ ex recto et bono oritur.

43. Quemadmodum puer, parvulus scilicet et nullius capax malitiæ, ubi præstigiatorem quempiam videt, lætatur, et sua simplicitate ductus, illum imaginum effictorem sectatur, sic anima nostra, cum sit simplex et bona, hunc in modum a suo bono Domino creata, delectatur illusoriis suggestionibus diaboli : et decepta, properans ad id quod deterius est, pro bono amplectitur : non aliter quam columba cum qui suis ipsius pullis insidiatur : et hoc pacto suas cogitationes permiscet cum illusione suggestionis diabolicæ. Si formosæ mulie-

Digitized by Google

ris facies occurrat, aut aliud quidpiam mandatis Christi plane prohibitum, cum illis quasi quidpiam artificiosum moliri desiderat : unde, quod sibi visum est pulchrum, ad effectum perducere possit. Deinde ubi devenerit ad consensum, iniquitatem intellectu sibi repræsentatam, ministerio corporis opere ipso perficit, in suam ipsius condemnationem.

44. Ea est ars spiritus nequam, iisque telis omnem venenat animam. Ideoque, antequam animus conflictu militari multam comparaverit experientiam, non est tutum sinere ut ingrediantur cogitationes in cor nostrum : idque potissimum initio, quando delectatur adhuc anima nostra dæmoniacis suggestionibus, atque gaudet, et sectatur eas. Quin hujusmodi cogitationes sunt potius attendendæ, statimque amputandæ atque repellendæ ubi objectæ fuerint. Cum autem animus in eo admirando opere immoratus, exercitatus fuerit, intellexerit, et illæsum belli habitum acquisierit, ut et vere pernoscat eas, et (ut inquit propheta) vulpeculas facile reprehendere possit : tum scite permittat eas introgredi, ut illas ope Christi expugnet, coarguat, et captivas abducat.

45. Quemadmodum per eumdem canalem ignis et aqua simul transire nequeunt, ita fieri nequit, ut peccatum introcat in cor, nisi prius fores cordis pulsaverit illusione suggestionis pravæ.

46. Primo loco, est suggestio : secundo, copulatio : nempe cum cogitationes nostræ permiscentur cum malignis cogitationibus dæmonum : tertio, consensus : quo scilicet pacto se gerat anima inter utrasque cogitationes male consultas : quarto vero loco, est ipsa sensilis operatio, videlicet peccatum. Si ergo temperans animus attenderit, et repugnando, ac Dominum Jesum invocando, imaginationem suggestionis pravæ fugaverit et repulserit : quæ deinceps moliuntur, manent inutilia. Nam, cum spiritus nequam sit mens incorporea, non potest alia ratione seducere animas, quam illusionibus cogitationum. Porro de suggestione quidem ait David, *In matutino interficiebam* [11]; et quæ sequuntur. Magnus vero Moses de consensu, inquit, et non assentietur illis.

47. Mens cum mente modo non aspectabili pugnat : mens quippe dæmonis cum mente nostra. Quapropter ex intimo cordis in ipso pugnæ momento clamare debemus ad Christum, ut dæmonis quidem mentem procul abigat, ac, velut perhumanus, victoriæ præmia donet.

48. Qui tenet speculum, et ipsum fixis oculis intuetur, sit tibi typus quietis cordis : tumque perspicies, quæ intellectuali modo insculpuntur in corde, bona et mala.

49. Vide perpetuo, ne ullam in corde conserves cogitationem, seu irrationalem, seu rationi con-

[11] Psal. c, 8.

A παν ἀπηγορευμένον, βούλεται ὥσπερ μετ' αὐτῶν τι δὴ μεθοδεῦσαι, τοῦ εἰς ἔργον ἀγαγεῖν τὸ ὀφθὲν αὐτῇ ὡραῖον· καὶ τότε τε εἰς συγκατάθεσιν ἐλθοῦσα, εἰς ἔργον λοιπὸν ἄγει διὰ τοῦ σώματος τὸ ὀφθὲν αὐτῇ ἀνόμημα κατὰ διάνοιαν, εἰς ἑαυτῆς κατάκρισιν.

μδ'. Αὕτη ἡ τέχνη τοῦ Πονηροῦ, καὶ μετὰ τούτων τῶν βελῶν φαρμακεύει πᾶσαν ψυχήν, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀσφαλὲς, πρὸ πείρας πολεμικῆς τοῦ νοῦ πολλῆς, εἰσέρχεσθαι ἐᾷν τοὺς λογισμοὺς ἐν τῇ καρδίᾳ ἡμῶν ἐν ἀρχῇ μάλιστα· ἐπειδὴ ἀκμὴν ἡ ψυχὴ ἡμῶν τέρπεται ταῖς δαιμονιώδεσι προσβολαῖς, καὶ ἥδεται καὶ ἀκολουθεῖ αὐταῖς· ἀλλὰ μᾶλλον νοεῖν αὐ B τοὺς, καὶ εὐθὺς κόπτειν ἐξ ἀναδόσεως καὶ προσβολῆς· ὅταν δὲ χρονίσας ὁ νοῦς εἰς τὸ θαυμαστὸν τοῦτο ἔργον ἐξασκηθῇ καὶ νοήσῃ, καὶ ἐν ἕξει ἀδιακόπῳ γένηται τοῦ πολέμου, τοῦ ἀληθῶς τε νοεῖν τούτους, καὶ, ὡς ὁ προφήτης φησὶ, τοῦ εὐχερῶς δύνασθαι αὐτὸν κρατεῖν τοὺς μικροὺς ἀλώπεκας, τότε μετ' ἐπιστήμης ἐᾷν αὐτοὺς ἔρχεσθαι ἔνδον, καὶ πολεμεῖν σὺν Χριστῷ αὐτοῦ, καὶ διελέγχειν αὐτοὺς καὶ κατάγειν.

με'. Ὡς ἀδύνατον ἐν ἑνὶ σωλῆνι πῦρ καὶ ὕδωρ ἅμα διέρχεσθαι, οὕτως ἀδύνατον ἐν καρδίᾳ ἁμαρτίαν εἰσελθεῖν, ἐὰν μὴ κρούσῃ πρότερον ἐν θύρᾳ καρδίας διὰ φαντασίας προσβολῆς πονηρᾶς.

μς'. Ἔστι πρῶτον προσβολὴ, δεύτερον συνδυα- C σμὸς, ἤγουν ἀναμὶξ γινόμενοι οἱ ἡμῶν καὶ τῶν πονηρῶν δαιμόνων λογισμοί· τρίτον συγκατάθεσις, πῶς δεῖ γενέσθαι μεταξὺ τῶν ἀμφοτέρων λογισμῶν βουλευομένων κακῶς· τέταρτον δέ ἐστιν, ἡ αἰσθητὴ πρᾶξις, ἤγουν ἡ ἁμαρτία. Ἐὰν οὖν προσέχῃ ὁ νοῦς νήφων, καὶ δι' ἀντιῤῥήσεως καὶ ἐπικλήσεως τοῦ Κυρίου Ἰησοῦ φυγαδεύῃ ἐξ ἀναδόσεως τὴν φαντασίαν τῆς προσβολῆς, τὰ ἐξῆς αὐτῶν ἀργὰ μένουσι. Νοῦς γὰρ ὢν ἀσώματος ὁ πονηρὸς, οὐκ ἄλλως δύναται πλανῆσαι ψυχὰς, εἰ μὴ διὰ φαντασίας καὶ λογισμῶν. Καὶ περὶ μὲν τῆς προσβολῆς ὁ Δαβὶδ φησιν, *Εἰς τὰς πρωΐας ἀπέκτεινον*, καὶ τὰ ἑξῆς. Ὁ δὲ μέγας φησὶ Μωϋσῆς περὶ συγκαταθέσεως, Καὶ οὐ συγκαταθέσει, φησὶν, αὐτοῖς.

D μζ'. Νοῦς νοῒ ἀοράτως, πρὸς μάχην συμπλέκεται, ὁ δαιμόνιος νοῦς τῷ ἡμετέρῳ νοΐ. Καὶ διὰ τοῦτο χρεία ἐκ βαθέων κατὰ στιγμὴν βοᾶν πρὸς τὸν Χριστὸν, ἀπελάσαι μὲν τὸν δαιμόνιον νοῦν, τὰ νικητήρια δὲ δοῦναι, ὡς φιλάνθρωπον.

μη'. Τύπος σοι ἡσυχίας καρδιακῆς, ὁ κατέχων κάτοπτρον καὶ πρὸς αὐτὸν ἀτενίζων, ἔστω· καὶ τότε ὄψει ἐν τῇ καρδίᾳ νοητῶς ἐγγραφόμενα πονηρά τε καὶ ἀγαθά.

μθ'. Τηρεῖτε ἀεὶ μηδένα λογισμὸν ἐν τῇ καρδίᾳ, μὴ ἄλογον, μὴ εὔλογον, ἵνα οὕτω ῥᾳδίως ἐπιγινώ-

Digitized by Google

σχῃς τοὺς ἀλλοφύλους, ἤγουν τοὺς τῶν Αἰγυπτίων πρωτοτόκους υἱούς.

ν'. Ὡς ἀγαθὴ καὶ τερπνὴ, καὶ ἡδίστη, φωτεινή τε καὶ πάγκαλος, καὶ ἀγλαοφανὴς, καὶ ὡραία ἀρετὴ, νῆψις ὑπὸ σοῦ, Χριστὲ ὁ Θεὸς, εὐοδουμένη, καὶ ἐργηγορότως ἀνθρωπίνου νοὸς ἐν ταπεινώσει πολλῇ ὁδευομένη· ἐκτείνει γὰρ ἕως θαλάσσης καὶ ἀβύσσου θεωριῶν τὰ κλήματα αὐτῆς, καὶ ἕως ποταμῶν μυστηρίων τερπνῶν τε καὶ θείων τὰς παραφυάδας αὐτῆς, ποτίζει τε νοῦν ἐκ χρόνου πολλοῦ καυσωθέντα τῇ ἀσεβείᾳ ὑπὸ ἅλμης πονηρῶν λογισμῶν πνευματικῶν, καὶ τοῦ τῆς σαρκὸς δυσμενοῦς φρονήματος, ὅ ἐστι θάνατος.

να'. Νῆψις ἔοικε τῇ τοῦ Ἰακὼβ κλίμακι, ἐφ' ᾗ ὁ Θεὸς ἐπιμένει, καὶ οἱ ἄγγελοι ἀναβαίνουσιν· ἀναιρεῖ γὰρ ἐξ ἡμῶν πᾶν κακόν· αὕτη γὰρ ἐκκόπτει πολυλογίαν, λοιδορίαν, καταλαλιὰν, καὶ πάντων τῶν αἰσθητῶν κακῶν τὸν κατάλογον, οὐκ ἀνασχομένη διὰ ταῦτα οὐδὲ πρὸς ὀλίγον στερεῖσθαι τῆς ἰδίας γλυκύτητος.

νβ'. Ταύτην προθύμως ἀδελφοὶ μετίωμεν, καὶ ἐν ταῖς θεωρίαις αὐτῆς, καθαρᾷ διανοίᾳ σὺν Χριστῷ Ἰησοῦ πετόμενοι, κινῶμεν τὴν θεωρίαν τῶν ἁμαρτιῶν ἡμῶν καὶ τοῦ βίου τοῦ προτέρου, ἵνα ἐν τῇ τῶν ἁμαρτιῶν ἡμῶν μνήμῃ συντριβόμενοι καὶ ταπεινούμενοι, ἀδιάσπαστον ἐξ ἡμῶν ἔχωμεν τὴν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν βοήθειαν εἰς τὸν ἀόρατον πόλεμον· στερηθέντες γὰρ τῆς Ἰησοῦ βοηθείας δι' ὑπερηφανίας, ἢ φιλανθρωπίας, ἢ κενοδοξίας, ὑστερήθημεν καθαρότητος καρδίας· δι' ἧς γνωρίζεται ἀνθρώπῳ Θεός· αἴτιον γὰρ ὡς ὑπόσχεσις τοῦ δευτέρου, τὸ πρότερον.

νγ'. Νοῦς μὴ ἀμελῶν τῆς ἑαυτοῦ κρυπτῆς ἐργασίας, σὺν τοῖς λοιποῖς καλοῖς οἷς ἐκ τῆς διηνεκοῦς ἐργασίας τῆς φυλακῆς εὑρήσει, καὶ τὰς πέντε αἰσθήσεις τοῦ σώματος, ἀργὰς τῶν ἔξω κακῶν ἀποδείξει. Τῇ γὰρ οἰκείᾳ ἀρετῇ καὶ νήψει δι' ὅλου προσέχων, καὶ τοῖς νοήμασι τοῖς καλοῖς κατατρυφᾷν θέλων, οὐκ ἀνέχεται κλέπτεσθαι διὰ τῶν πέντε αἰσθήσεων, ἐνύλων καὶ ματαίων λογισμῶν αὐτῷ προσερχομένων, ἀλλὰ γνοὺς αὐτῶν τὸ ἀπατηλὸν, ἔνδον ἑαυτοῦ τὰ πολλὰ συστέλλει αὐτάς.

νδ'. Παράμενε τῇ διανοίᾳ, καὶ οὐ κοπιάσεις ἐν πειρασμοῖς· ἐκεῖθεν δὲ ἀναχωρῶν, ὑπόμενε τὰ ἐπερχόμενα.

νε'. Ὥσπερ τοὺς κακοσίτους, ἀψίνθιον ὠφελεῖ τὸ πικρὸν, οὕτω τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει.

νς'. Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε, διότι τοῦτο κἀκείνῳ ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει. Ἑκουσίως οὖν τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες, τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.

νζ'. Ἐκτυφλοῦται ὁ νοῦς διὰ τῶν τριῶν τούτων παθῶν, φιλαργυρίας λέγω, κενοδοξίας, καὶ ἡδονῆς.

νη'. Γνῶσις καὶ πίστις αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' οὐδὲν ἄλλο ἢ δι' ἐκείνας ἠμβλύνθησαν.

sentaneam : ut hoc pacto facile discernas alienigenas, filios nimirum primogenitos Ægyptiorum.

50. Quam bona, delectabilis, suavis, splendida, præclara, venusta et speciosa virtus est temperantia : quæ a te, Christe Deus, dirigitur, et cum summa mentis humanæ humiliatione vigilanter deducitur! Extendit enim palmites suos usque ad mare, et abyssum speculationum, et usque ad flumina jucundorum ac divinorum mysteriorum propagines suas atque potu reficit animum jamdudum impietate æstuantem, præ salsugine tum pravarum cogitationum a dæmonibus invectarum, tum hostilis (quæ mors est) prudentiæ carnis.

51. Temperantia persimilis est scalæ Jacob, cui Deus insidet, et qua ascendunt angeli. Tollit enim a nobis omne vitium. Nam amputat ipsa loquacitatem, convicium, detractionem, omnium denique vitiorum sensilium catalogum; quæ idcirco ne tantisper quidem ferre potest, ut suavitate propria careat.

52. Hujusce, fratres, alacri animo desideremus esse participes : ac in speculationibus ejus puro corde cum Christo Jesu volantes, discutiamus peccatorum nostrorum et pristinæ vitæ rationem : ut peccatorum nostrorum recordatione contriti et humiliati, indivulso a nobis Domini nostri Jesu Christi potiamur auxilio, ad bellum invisibile peragendum. Ope siquidem Jesu destituti, per arrogantiam, humanum amorem, aut vanam gloriam, privati sumus cordis puritate, qua innotescit homini Deus. Prius enim, ut ipse pollicetur, est causa secundi.

53. Animus qui in seipso excolendo interiorem operationem non negligit, præter reliqua bona, quæ ex continua actionis observatione consequetur, etiam quinque sensus corporis externis vitiis vacuos ostendet. Qui enim propriam virtutem ac temperantiam plane curat, et præclaris delectatur consiliis, non sinit occupari se quinque sensibus accessu crassarum vanarumque cogitationum : sed harum insidias cum norit, intra seipsum summopere cohibet eas.

54. In eadem permane sententia, et in tentationibus non laborabis; a qua si recedas, tolera quæ occurrerint.

55. Quemadmodum amarum absinthium juvat eos qui cibos fastidiunt, ita male moratis hominibus utile est, ut patiantur adversa.

56. Nisi statueris adversa perpeti, ne decernas bene agere cum hoc ex illo perpetuo sequatur. Quod enim quisque seminat, hoc etiam metet. Proinde, si quæ sponte seminamus mala, inviti metimus, justitiam divinam admirari debemus.

57. Hi tres affectus excæcant animum : avaritia, inquam, vana gloria, et voluptas.

58. Nulla alia re, quam his, cognitio et fides, quæ collectaneæ sunt naturæ nostræ, profligantur.

Digitized by Google

59. Furor, ira, bella, cædes, et reliquus malorum universus catalogus, illarum vi vehementer invaluerunt inter homines.

60. Qui non novit veritatem, nec vere credere potest : quia notio natura præcedit fidem. Eloquia siquidem Scripturæ non ut intelligamus duntaxat scripta sunt, sed ut ea opere compleamus.

61. Ducamus igitur initium ab opere. Hac enim ratione deinceps proficientes, reperiemus, non modo spem in Deum, sed etiam firmam fidem, notitiam interiorem, liberationem a tentationibus, charismatum dona, cordis confessionem, et assiduas lacrymas, precationis beneficio fidelibus accedere. Neque vero hæc solum, sed etiam accidentium tribulationum tolerantiam, sinceram, quæ sit proximo, remissionem, cognitionem legis spiritalis, justitiæ divinæ adeptionem, adventum sancti Spiritus, spiritalium thesaurorum largitionem, et cuncta quæ pollicitus est Deus se donaturum fidelibus hominibus, tum in hoc tum in futuro sæculo. Et ut in summa dicam, non potes anima præ se ferre imaginem Dei, nisi gratuito Dei munere, ac fide hominis ex animo perseverantis in summa humilitate, et non hæsitante precatione.

62. Ingens profecto bonum est, sicuti experientia accepimus, ut qui suum ipsius cor expurgare desiderat, continenter invocet Dominum Jesum adversus hostes spiritales. Animadverte, quantum id, quod facto periculo dixi, consonet cum testimoniis Scripturæ. Præpara te, inquit, Israel, ad invocandum nomen Domini Dei tui. Et Apostolus, *Sine intermissione orate* [73]. Ac Dominus noster inquit, *Sine me nihil potestis facere. Qui manet in me, et ego in eo, hic fert fructum multum* [74]. Et iterum : *Si quis in me non manserit, mittetur foras, sicut palmes* [75]. Bonum ingens est oratio, bonum, inquam, quod etiam omnia procurat : et emundat cor, in quo spectatur Deus a fidelibus.

63. Humilitatis bonum, cum habeat vim exaltandi natura sua, Deoque sit gratissimum, quod etiam omnia propemodum vitia, et quæ Deo sunt odiosa, in nobis absumat, propterea non facile comparari solet. Itaque in uno eodemque homine, non difficile est reperire particulares quasdam multarum aliarum virtutum actiones : in eo vero si quæras humiliationis odoratum, vix reperies. Quamobrem temperantia non modica opus est, ad hoc bonum consequendum. Etenim vel diabolum Scriptura dicit immundum, quoniam ab initio hoc ipsum humilitatis bonum repulit, et superbiam adamavit : propterea denominatur in universa Scriptura spiritus immundus. Quam enim immunditiam corpoream perpetrare queat, id, quod corporis et carnis est penitus expers, nec ullo loco situm est, et sanguine caret, qualis initio et nunc est Satanas, ut ex his dicatur immundus? Perspicuum est eum

νθ'. Θυμὸς καὶ ὀργὴ, καὶ πόλεμοι καὶ φόνοι, καὶ πᾶς ὁ λοιπὸς τῶν κακῶν κατάλογος, δι' ἐκείνας ἐν ἀνθρώποις σφόδρα ἐκραταιώθησαν.

ξ'. Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὔτε ἀληθῶς πιστεύειν δύναται· ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς πίστεως· τὰ γὰρ τῆς Γραφῆς εἰρημένα, οὐχ ἵνα νοήσωμεν μόνον, ἀλλ' ὅπως αὐτὰ ποιήσωμεν, εἴρηται.

ξα'. Ἀρξώμεθα δὴ οὖν τοῦ ἔργου· οὕτω γὰρ ἀκολούθως προκόπτοντες, εὑρήσομεν ὅτι οὐ μόνον ἡ εἰς Θεὸν ἐλπὶς, ἀλλὰ καὶ βεβαία πίστις καὶ γνῶσις ἐσωτέρα, καὶ πειρασμῶν λύτρωσις, καὶ χαρισμάτων δωρήματα, καὶ ἐξομολόγησις καρδιακὴ, καὶ δάκρυον ἐκτενὲς, διὰ προσευχῆς τοῖς πιστοῖς παραγίνεται. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τῶν ἐπερχομένων θλιβερῶν ὑπομονὴ, καὶ εἰλικρινὴς τοῦ πλησίον ἄφεσις, καὶ νόμου πνευματικοῦ ἐπίγνωσις, καὶ δικαιοσύνης Θεοῦ εὕρεσις, καὶ πνεύματος ἁγίου ἐπιφοίτησις, καὶ θησαυρῶν πνευματικῶν δόσις, καὶ πάντα ὅσα ἐπηγγείλατο ὁ Θεὸς παρέχειν τοῖς πιστοῖς ἀνθρώποις, καὶ ὧδε, καὶ ἐν τῷ μέλλοντι αἰῶνι· καὶ ἁπλῶς ἅπας κατ' εἰκόνα Θεοῦ ἀναφανῆναι τὴν ψυχὴν ἀδύνατον, εἰ μὴ διὰ χαρίσματος Θεοῦ καὶ πίστεως ἀνθρώπου μετὰ πολλῆς ταπεινοφροσύνης, καὶ ἀμετεωρίστου προσευχῆς, τῇ διανοίᾳ παραμένοντος.

ξβ'. Μέγα ὄντως ἀγαθὸν, ὡς ἐκ πείρας παρειλήφαμεν, τὸ συνεχῶς ἐπικαλεῖσθαι Κύριον Ἰησοῦν μετὰ τῶν νοητῶν πολεμίων, τὸν βουλόμενον τὴν ἑαυτοῦ καρδίαν καθᾶραι· ὅρα πῶς σύμφωνος ὁ λόγος ὁ ἐκ πείρας παρ' ἐμοῦ ῥηθεὶς ταῖς Γραφικαῖς μαρτυρίαις. Ἑτοιμάζου, φησὶν, Ἰσραὴλ, τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου· καὶ ὁ Ἀπόστολος, *Ἀδιαλείπτως προσεύχεσθε*. Καὶ ὁ Κύριος ἡμῶν φησιν, *Οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν· Ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν*. Καὶ πάλιν, *Ἐὰν μὴ μείνῃ ἐν ἐμοὶ, ἐκβληθῇ ἔξω ὡς τὸ κλῆμα*. Μέγα ἀγαθὸν εὐχὴ, καὶ ἀγαθὸν πάντων παρεκτικὸν, καρδίαν καθαίρον, ἐν ᾗ ὁ Θεὸς ὀπτάνεται τοῖς πιστοῖς.

ξγ'. Τὸ τῆς ταπεινώσεως χρῆμα, ἐπειδὴ ὑψοποιὸν πέφυκεν εἶναι, καὶ Θεῷ ἀγαπώμενον, καὶ ἀναλωτικὸν σχεδὸν πάντων τῶν ἐν ἡμῖν κακῶν καὶ μισουμένων Θεῷ, δυσπόριστον διὰ ταῦτα πέφυκεν εἶναι· καὶ ῥᾳδίως ἂν ἐν ἀνθρώπῳ ἑνὶ πολλῶν ἀρετῶν ἄλλων ἐργασίας τινὰς μερικὰς, ζητήσας δὲ ἐν αὐτῷ ὀσμὴν ταπεινώσεως μόλις εὑρήσεις. Διὰ τοῦτο χρεία πολλῆς νήψεως, ὥστε κτήσασθαι τοῦτο τὸ χρῆμα. Καὶ γὰρ ἀκάθαρτον καὶ τὸν διάβολον λέγει ἡ Γραφὴ, ἐπειδὴ τοῦτο ἐξαρχῆς τὸ ἀγαθὸν τῆς ταπεινοφροσύνης χρῆμα ἀπώσατο· καὶ τὴν ὑπερηφανίαν ἠγάπησε· διὸ καὶ ἀκάθαρτον πνεῦμα ἐν πάσαις ταῖς Γραφαῖς προσαγορεύεται. Ἐπεὶ ποίαν ἀκαθαρσίαν σωματικὴν δύναται ἐργάσασθαι τὸ ἀσώματον πάντη, καὶ ἄσαρκόν τε, καὶ ἄστατον, καὶ ἄναιμον, οἷος ὑπῆρχεν ἐξ ἀρχῆς καὶ νῦν ὁ Σατανᾶς, ἵνα ἀκάθαρτος ἀπὸ τούτων λέγηται ; Εὔδηλον ὅτι διὰ τὴν ὑπερηφανίαν ἐκλήθη ἀκάθαρτος, καὶ ἐκ καθαροῦ καὶ φωτεινοῦ ἀγγέλου

[73] I Thess. III, 17. [74] Joan. XV, 5. [75] ibid. 6.

Digitized by Google

βέβηλος καὶ ἀκάθαρτος ἀπεφάνθη, καὶ ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος· πρώτη γάρ, φησὶν, ἁμαρτία ἡ ὑπερηφάνεια· οὕτω γὰρ καὶ ὁ ὑπερήφανος Φαραὼ ἔλεγε· *Τὸν Θεόν σου*, φησὶν, *οὐκ οἶδα, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ.*

A superbiæ causa appellatum esse immundum. et ex puro et lucido angelo inquinatus et impurus declaratus est. Quin etiam apud Dominum, quicunque superbo est corde, immundus habetur. Primum enim peccatum, inquit, est superbia. Et hunc etiam in modum superbus Pharao dicebat : *Deum tuum*, inquit, *non novi, et Israel non dimittam* [76].

ξδ'. Εἰσὶ δὲ πολλὰ τῶν τοῦ νοῦ ἐνεργημάτων, τὰ δυνάμενα ἡμῖν τὸ ἀγαθὸν δῶρον τῆς ταπεινοφροσύνης περιποιεῖσθαι, εἴπερ μὴ ἀμελοῦμεν τῆς σωτηρίας ἡμῶν, τουτέστι μνήμη ἁμαρτημάτων, ἐν λόγοις, καὶ ἔργοις, καὶ διανοίᾳ, καὶ ἕτερα πλεῖστα εἰς ταπεινοφροσύνην ἡμῖν συμβάλλονται τῇ θεωρίᾳ ἀναλεγόμενα. Ἐμποιεῖ δὲ καὶ ταπείνωσιν ἀληθῆ, καὶ τὸ, ἵνα τις τῶν πέλας τὰ κατορθώματα καθ' ἑκάστην ἐν οἷς περιστρέφει, καὶ ἕτερα ἑαυτῶν φυσικὰ καὶ πλεονεκτήματα ἐν ἑαυτῷ μεγαλύνει, καὶ συνεξετάζει τοῖς ἑαυτοῦ τὰ ἐκείνων. Καὶ οὕτω βλέπων ὁ νοῦς τὴν ἑαυτοῦ εὐτέλειαν, καὶ πόσον ἀπολείπεται τῆς τῶν ἀδελφῶν τελειότητος, γῆν καὶ σποδὸν ὁ ἄνθρωπος ἑαυτὸν λογίζεται, καὶ οὐκ ἄνθρωπον, ἀλλὰ κύνα τινά, ὡς πάντων ἐπὶ γῆς λογικῶν ἀνθρώπων εἰς πάντα ὑστεροῦντα καὶ ἀπολειπόμενον.

64. Sunt autem permultæ mentis actiones, quæ nos juvare possunt ad vindicandum illud præclarum humilitatis donum, modo solliciti simus de salute nostra : verbi gratia, recordatio peccatorum, quæ verbis, operibus, et cogitatione contrahimus : et alia plurima, quæ speculando colligi possunt, perutilia sunt nobis ad humilitatem. Necnon illud veram humilitatem parit, si quis res quæ B quotidie prospere gerunter, a proximis, inter quos versatur, et alia quæ natura suppeditat eis, possessiones item, apud seipsum magnifaciat : rerumque ad eos pertinentium cum suis collatione facta, ita contempletur animo suam exilitatem, et quam longe absit ab eorum perfectione, terram ac cinerem seipsum existimet, et non hominem, sed canem quemdam, velut cunctorum qui in terra degunt hominum rationalium in omni genere infimum et postremum.

ξε'. Φησὶ τὸ τοῦ Χριστοῦ στόμα, ὁ στύλος τῆς Ἐκκλησίας, ὁ μέγας πατὴρ ἡμῶν Βασίλειος, Μέγα ἀγαθὸν πρὸς τὸ μὴ ἁμαρτάνειν, μηδὲ τῇ ἐρχομένῃ ἡμέρᾳ τοῖς αὐτοῖς περιπίπτειν, τὸ μετὰ τὴν ἀποτελήρωσιν τῆς ἡμέρας ἀνακρίνειν ἐν τῷ συνειδότι ἡμῶν, ἡμᾶς ἑαυτοὺς τὰ καθ' ἡμᾶς, τί πεπλημμελήκαμεν, τί δὲ ἐδικαιοπραγήσαμεν. Τοῦτο καὶ ὁ Ἰὼβ ἐποίει, περί τε αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ· τὰ γὰρ καθ' ἑκάστην λογοθέσια τὸ καθ' ὥραν φωτίζουσι. Καὶ πάλιν ὁ αὐτός φησι· Πᾶν μέτρον ἄριστον.

65. Os Christi, columna Ecclesiæ, magnus pater noster Basilius ait, valde conferre ad vitandum peccatum, et ut postera die in eadem crimina non dilabamur, si peracto quoque die nos ipsos nostraque examinemus in conscientia nostra : quid deliC quimus, quidve boni operis edidimus. Id etiam Job faciebat, tam sua quam filiorum causa. Quæ enim quotidie ratione subducuntur, declarant quid hora quaque gestum sit ac gerendum. Rursum ille ipse Basilius dicit : Modum omnem esse optimum.

ξς'. Καὶ πάλιν ἕτερος τῶν τὰ θεῖα σοφῶν ἔφη, Ἀρχὴ καρποφορίας ἄνθος, καὶ ἀρχὴ πρακτικῆς ἐγκράτεια. Οὐκοῦν ἐγκρατευσώμεθα, καὶ τοῦτο, μέτρῳ καὶ σταθμῷ, ὡς οἱ Πατέρες ἐκδιδάσκουσι· καὶ τὴν ἡμέραν ὅλην τῶν δώδεκα ὡρῶν ἐν τῇ τηρήσει τοῦ νοὸς παρερχώμεθα· οὕτω γὰρ ποιοῦντες, τὴν κακίαν βίᾳ τινὶ σβέσαι καὶ μειῶσαι δυνησόμεθα μετὰ Θεοῦ, ἐπεὶ καὶ βιαστή ἐστιν ἡ ἐνάρετος πολιτεία, δι' ἧς δίδοται ἡ βασιλεία τῶν οὐρανῶν.

66. Denuo alius e peritis rerum divinarum inquit, Initium fertilitatis, est flos : et principium rerum agendarum, est continentia. Continentes igitur simus : idque cum modo et statera, sicuti Patres docent : totamque diem duodecim horarum in conservando animo transigamus. Ita enim agentes, poterimus. Deo præeunte, vi quædam imminuere vitium et exstinguere. Violenta siquidem est D conversatio virtutibus dedita qua regnum cœlorum donatur.

ξζ'. Ὁδὸς ἐπὶ τὴν γνῶσιν, ἀπάθεια καὶ ταπείνωσις, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

67. Via quæ ducit ad cognitionem, est vacuitas affectionum, et humilitas : sine quibus nemo videbit Dominum.

ξη'. Ὁ ἀδιαλείπτως περὶ τὰ ἔνδον τὰς διατριβὰς ποιούμενος, σωφρονεῖ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ θεωρεῖ, καὶ θεολογεῖ, καὶ προσεύχεται. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ Ἀπόστολος, *Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.*

68. Qui assidue dat operam rebus internis, is prudens est. Neque vero id tantum : sed et contemplationi et theologiæ studet et precationi. Istudque est quod ait Apostolus, *Spiritu ambulate, et desideria carnis non perficietis* [77].

ξθ'. Ὁ τὴν ὁδὸν τὴν πνευματικὴν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα, ἀλλ' ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα

69. Qui viam spiritalem conficere nescit, non curat cogitationes affectibus deditas, sed totus de carne sollicitus est : et aut crapulatur et intempe-

[76] Exod. v, 2. [77] Galat. v, 16.

Digitized by Google

rantiam exercet, aut angitur et indignatur, ac injurias in memoriam revocat, unde mentem tenebris obruit : aut exercitatione immodica utitur, et inquinat animum.

70. Qui rebus abrenuntiavit, exempli gratia, uxori, possessionibus, et reliquis, exteriorem hominem fecit monachum, nondum autem et interiorem. Qui vero cogitationibus ista affectantibus renuntiavit, interiorem hominem, nimirum animum, reddidit monachum. Et exteriorem quidem hominem, modo libeat, facile potest quispiam monachum efficere : atqui non est exigui operis, internum hominem facere monachum.

71. Quis porro generationis hujus, qui cogitationibus affectionum studiosis plane liberatus, pure per omnia defæcatæque orationis dignitatem adipisci meruit ? quod quidem signum est interni monachi.

72. Affectiones non paucæ latent in animis nostris : quæ tum deprehenduntur, cum emerserint earum causæ.

73. Ne colloces omnem operam tuam in carne curanda : sed stato tempore pro viribus eam exercito, atque animum tuum penitus ad interiora converte. *Corporalis enim exercitatio ad modicum utilis est* [78] : pietas autem ad omnia utilis est.

74. Ubi cessant affectus impetere, tum oboritur arrogantia, vel ob id, quod non amputantur causæ, vel eo quod insidiose subrepunt dæmones.

75. Humilitas et afflictio liberant hominem omni peccato : cum illa quidem rescindat affectiones animi : ista vero, corporis. Propterea Dominus ait : *Beati mundo corde, quoniam ipsi Deum videbunt* [79] : ipsum, inquam, et thesauros in eo reconditos : quando per charitatem et continentiam seipsos emundaverint. Tantoque plenius videbunt, quanto se purgaverint accuratius.

76. Sermonum, qui de quacunque virtute habentur, intentio est, ut integer servetur animus : sicut antiquus Davidis scopus circumcisionem cordis præsignabat.

77. Ut in sensibus, cum ea videmus quæ offendunt, lædimur : ita circa animum accidit.

78. Quemadmodum qui cor alicujus plantæ vulneravit, illam prorsus aridam reddidit : ita de corde humano debes intelligere, et punctum ipsum animadvertere. Quandoquidem fures nusquam quiescunt.

79. Cum vellet Dominus ostendere, nos ad omnia mandata peragenda teneri ; filiorum autem adoptionem esse proprio sanguine donatam hominibus, ait, *Cum feceritis omnia, quæ præcepta sunt vobis, dicite : Servi inutiles sumus : quod debuimus facere fecimus* [80]. Ea de causa regnum cœlorum non est merces operum; sed gratia Domini, fidelibus servis præparata. Non postulat servus libertatem, veluti mercedem : sed gratias agit, ut debitor, et velut gratuitum munus excipit.

[78] I Tim. IV, 8. [79] Matth. V, 8. [80] Luc. XVII, 10.

A ἔχει, καὶ ἡ γαστριμαργεῖ καὶ ἀκολασταίνει, λυπεῖταί τε καὶ ὀργίζεται, καὶ μνησικακεῖ· καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει, ἢ ἀμέτρῳ ἀσκήσει κέχρηται, καὶ θολοῖ τὴν διάνοιαν.

ο'. Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ, καὶ τοῖς χρήμασι, καὶ τοῖς ἐξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε μοναχὸν, οὔπω δὲ καὶ τὸν ἄνθρωπον τὸν ἔσω· ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον, ὅ ἐστιν ὁ νοῦς. Καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐκόλως τις ποιεῖ μοναχὸν, μόνον ἐὰν θελήσῃ, οὐκ ὀλίγος δὲ ἀγὼν τὸν ἔσω ἄνθρωπον ποιῆσαι μοναχόν.

οα'. Τίς ἐστιν ἄρα ἐν τῇ γενεᾷ ταύτῃ ὁ παντάπασιν ἀπαλλαγεὶς ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς διὰ παντὸς καὶ ἀΰλου καταξιωθεὶς προσευχῆς, ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον μοναχοῦ ;

οβ'. Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν ἐγκέκρυπται· τότε δὲ ἐλέγχονται, ὅταν τὰ αἴτια φαίνωνται.

ογ'. Μὴ ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχε, ἀλλ' ὅσον αὐτὴν κατὰ δύναμιν περὶ τὴν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου περὶ τὰ ἔνδον στρέψον. *Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος*· ἡ δὲ εὐσέβεια εἰς πάντα ὠφέλιμός ἐστιν.

οδ'. Ἐπὶ τῇ τῶν παθῶν ἀνεργησίᾳ, ἢ ὑπερηφανίᾳ συμβαίνει, ἢ τῶν αἰτιῶν οὐκ ἀποκοπτομένων, ἢ τῶν δαιμόνων δολουργῶς ὑποχωρούντων.

οε'. Ἡ ταπείνωσις καὶ κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον· ἡ μὲν, τὰ τῆς ψυχῆς· ἡ δὲ, τὰ τοῦ σώματος περικόπτουσα πάθη· διὰ τοῦτο λέγει ὁ Κύριος· *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*· αὐτὸν καὶ τοὺς ἐν αὐτῷ θησαυροὺς, ὅταν δι' ἀγάπης καὶ ἐγκρατείας ἑαυτοὺς καθάρωσι, καὶ τοσοῦτον πλέον, ὅσον τὴν κάθαρσιν ἐπιτείνουσι.

ος'. Σκοπευτήριον τῶν περὶ ἀρετῆς πάσης λόγων, ἡ τοῦ νοῦ τήρησίς ἐστιν, ὡς ὁ πάλαι τοῦ Δαβὶδ σκοπὸς τὴν περιτομὴν τῆς καρδίας προεδήλου.

οζ'. Ὥσπερ αἰσθητῶς τὰ βλάπτοντα ὁρῶντες βλαπτόμεθα, οὕτω κατὰ νοῦν.

οη'. Ὥσπερ ὁ τὴν τοῦ φυτοῦ τρώσας καρδίαν, ὅλον ἐξήρανεν, οὕτω καὶ ἐπὶ καρδίαν ἀνθρώπου νόει, αὐτὴν τὴν στιγμὴν προσέχειν δεῖ, ἐπειδὴ οὐκ ἀργοῦσιν οἱ κλέπται.

οθ'. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι τοῖς ἀνθρώποις δεδωρημένην, φησὶν, *Ὅταν πάντα ποιήσητε τὰ προστεταγμένα ὑμῖν, εἴπατε, ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν, καὶ ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν*. Διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ χάρις δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη· οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν, τὴν ἐλευθερίαν, ἀλλ' εὐχαριστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

Digitized by Google

ρ'. Ὡς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ τὴν ἐλευθερίαν χαρίζεται· φησὶ γάρ· *Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἐγένου πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.* Οὔπω δὲ δοῦλός ἐστι πιστὸς, ὁ ψιλῇ τῇ γνώσει ἐπαιρειδόμενος, ἀλλ' ὁ δι' ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων, τὸν Δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα· σφαλεὶς δὲ ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα. Φιλομαθὴς οὖν γίνου καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον. A

80. Nam mortuus est pro peccatis nostris, secundum Scripturas : ac bene servientibus ei libertatem gratuito largitur. Inquit enim : *Euge, serve bone et fidelis, supra pauca fuisti fidelis, supra multa te constituam : intra in gaudium Domini tui* [81]. At nondum est fidelis servus, qui de nuda cognitione gloriatur : sed qui obtemperans præcipienti Christo, credit, et prosequens honore Dominum, illius jussa peragit. Qui autem errat, et non paret, casus velut peculiares ferre cogitur. Quocirca, discendi et operandi studiosus esto : quia nuda cognitio inflare solet hominem.

πα'. Οἱ ἀπροσδοκήτως ἡμῖν συμβαίνοντες πειρασμοὶ, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσι γενέσθαι.

81. Tentationes, quæ nobis ex insperato contingunt, dispensatione divina nos docent, in continuo labore versari debere.

πβ'. Ἴδιον μὲν ἀστέρος τὸ περὶ αὐτὸν φῶς, τοῦ δὲ θεοσεβοῦς καὶ Θεὸν φοβουμένου ἴδιον, εὐτέλεια καὶ ταπείνωσις· ἐπεὶ μηδ' ἄλλο τι γνωριστικὸν πέφυκεν εἶναι, καὶ δηλότερον σημεῖον τῶν τοῦ Χριστοῦ μαθητῶν, ὡς ταπεινὸν φρόνημα καὶ εὐτελὲς σχῆμα. Καὶ τοῦτο πάντα βοῶσι τὰ τέσσαρα Εὐαγγέλια· ὁ δὲ μὴ οὕτως ταπεινῶς βιοὺς, τοῦ μέρους ἐκπίπτει τοῦ ἑαυτὸν ἑκουσίως ταπεινώσαντος μέχρι σταυροῦ καὶ θανάτου, τοῦ καὶ τῶν θείων Εὐαγγελίων πρακτικοῦ νομοθέτου. B

82. Stellæ proprietas, est lumen quo ambitur : pii vero ac Deum timentis viri proprietas, est simplicitas et humilitas. Nullum est enim aliud quodvis manifestius ac certius signum discipulorum Christi, quam humilis de se existimatio, et simplex habitus. Et hoc inclamant omnia quatuor Evangelia. Qui vero in ea simplicitate vitam non agit, eo privatur beneficio, ut sponte se humiliare possit, usque ad crucem et mortem perferendam. Quinetiam ipso divinorum Evangeliorum legislatore privatur : qui sancivit, nunquam non operandum esse.

πγ'. *Οἱ διψῶντες*, φησὶ, *πορεύεσθε ἐφ' ὕδωρ*· οἱ δὲ διψῶντες Θεὸν, πορεύεσθε καθαρότητι διανοίας· πλὴν τῷ ὑψηλῶς δι' αὐτῆς πετομένῳ, χρὴ καὶ πρὸς τὴν γῆν τῆς ἑαυτοῦ εὐτελείας ὁρᾷν· οὐδεὶς γὰρ τοῦ ταπεινοῦ ὑψηλότερος. Ὡς γὰρ φωτὸς μὴ παρόντος ζοφώδη καὶ σκοτεινὰ ἅπαντα, οὕτω καὶ μὴ παρούσης ταπεινοφροσύνης, πάντα ἡμῶν μάταια, καὶ ἕωλα τὰ κατὰ Θεὸν σπουδαζόμενα. C

83. *Sitientes*, inquit, *venite ad aquam* [82]. At qui sititis Deum, accedite cum puritate cordis. Verumtamen necesse est eum qui hujus puritatis ope volat in altum, etiam in terram suæ ipsius simplicitatis intueri : quia nemo humili viro sublimior Ut enim absente lumine, caliginosa et tenebrosa sunt omnia, ita si desit humilitas, omnia studia nostra, quæ in Deo colendo impendimus, vana sunt et frivola.

πδ'. Τέλος δὲ λόγου, τὸ πᾶν ἄκουε· *Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε*, καὶ νοητῶς καὶ αἰσθητῶς· εἰ γὰρ νοητῶς βιάσεις σαυτὸν αὐτὰς τηρεῖν, ὀλιγάκις τῶν αἰσθητῶν εἰς αὐτὰς κόπτων δεήσει. Φησὶ γὰρ ὁ Δαβίδ· *Ἠβουλήθην τὸ θέλημά σου καὶ τὸν νόμον σου ποιῆσαι ἐν μέσῳ τῆς κοιλίας μου.* Ἂν μὴ ἐν μέσῳ τῆς κοιλίας, τουτέστιν ἐν μέσῃ καρδίᾳ ὁ ἄνθρωπος τὸ τοῦ Θεοῦ θέλημα καὶ τὸν νόμον ποιήσειεν, οὔτε ἔξωθεν ῥᾳδίως πρᾶξαι τοῦτο δύναται. Καὶ ἐρεῖ πρὸς Θεὸν ὁ μὴ νήφων καὶ ἀδιάφορος, τὸ, ὁδούς σου εἰδέναι οὐ βούλομαι, πάντως δι' ἔλλειψιν θείας ἐλλάμψεως· ἧστινος ὁ μετέχων οὐκ ἀπληροφόρητος, ἀλλὰ καὶ ἔμπεδος ἱκανῶς περὶ τὰ θεῖα γενήσεται. D

84. Universum sermonis finem audi : *Deum time, et mandata ejus serva* [83], tam animo quam sensibus. Nam ubi coegeris animo teipsum ad ea servanda, impingens in sensus tuos, indigebis interdum illis : cum David dicat : *Volui voluntatem tuam et legem tuam facere, in medio ventris mei* [84]. Nisi in medio ventris, hoc est, in medio corde, voluntatem ac legem Dei impleat homo, nec exterius hoc facile poterit efficere. Conveniet itaque Deum intemperans et vagus homo, his verbis, Viam tuam scire nolo : utique ob defectum illustrationis divinæ. Cujus quidem qui particeps est, non est incertus : sed illigatus et impeditus evadet abunde circa res divinas.

πε'. Ὥσπερ γὰρ τὸ αἰσθητὸν ἅλας ἡδύνει τόν τε ἄρτον καὶ πᾶν ὄψον, καὶ ἄσηπτα τινὰ τῶν κρεῶν καὶ διαρκῶν φυλάττει, καὶ τὴν ὀζωδίαν πᾶσαν διασκεδάζει· οὕτω καὶ ἐπὶ τῆς τοῦ νοὸς φυλακῆς, τῆς νοητῆς ἡδύτητος καὶ θαυμαστῆς ἐργασίας νόει. Καὶ γὰρ ἡδύνει ἐνθέως, καὶ τὸν ἐντὸς, καὶ τὸν ἐκτὸς ἄνθρωπον, καὶ τὴν ὀζωδίαν τῶν πονηρῶν λογισμῶν ἐκδιώκει, καὶ διαρκῶν ἐν τοῖς καλοῖς ἡμᾶς διαφυλάττει

85. Quomodo sal istud sensile condire solet panem, et omnem escam, carnes item quasdam, et quæ duratura sunt, conservat a putredine, omnemque malum fugat odorem : hunc etiam in modum sentire debes de conservatione mentis, suavitate animi, et admiranda ejus efficacia. Suavem enim divinitus reddit hominem, tam internum, quam externum : et pravarum cogitationum pædore profligato, perseverans in rebus honestis, nos conservat.

[81] Matth. xxv, 23. [82] Isa. lv, 1. [83] Eccli. xii, 13 [84] Psal. xxxix, 9.

Digitized by Google

86. E suggestione cogitationes oriuntur immodicæ : ex his porro erumpunt exterius actiones improbæ. Cæterum qui divino adjutus auxilio, confestim primum exstinxerit, reliqua effugiet : suavemque rerum divinarum assequetur cumulate notitiam qua Deum ubique adesse sentiet. In eo vero speculum mentis ex reverberatione continenter illustratur, non aliter quam vitrum mundum a sole sensibili. Et tum quiescit animus ab omni alia, quamcunque conceperat, speculatione : velut occurrens scopo omnium bonorum desideratissimo.

A πς'. Ἐκ προσβολῆς πολλοὶ λογισμοί, ἐκ δὲ τούτων ἡ πονηρὰ αἰσθητὴ πρᾶξις· ὁ δὲ μετὰ τοῦ Ἰησοῦ τὸ πρῶτον εὐθὺς σβεννύων, τὰ ἑξῆς διέφυγε, καὶ γνῶσιν θείαν γλυκεῖαν πλουτήσει, δι' ἧς Θεὸν εὑρήσει τὸν πανταχοῦ ὄντα· ἐν αὐτῷ δὲ τὸ κάτοπτρον τοῦ νοὸς ἀντερείσας φωτίζεται διηνεκῶς καθ' ὁμοιότητα τοῦ καθαροῦ ὑέλου, καὶ τοῦ αἰσθητοῦ ἡλίου, καὶ τότε ἀναπαύεται ὁ νοῦς, ὡς τὸ ἔσχατον τῶν ὀρεκτῶν φθάσας, ἀπὸ πάσης ἄλλης τινὸς ἐν αὐτῷ θεωρίας.

87. Cum omnis cogitatio ex imaginatione rerum quarumdam sensilium oriatur in corde, tunc beatum divinitatis lumen illustrabit hominem, cum omnia prorsus pacata reddiderit, et hujusmodi formarum expers apparuerit : si verum est, splendorem illum puræ menti perspicuum esse, conceptionum omnium privatione.

πζ'. Ἐπειδὴ πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινων εἰσέρχεται ἐν τῇ καρδίᾳ, τότε αὐγάζει αὐτὸν τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντα B εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται, εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν τῶν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ.

88. Quanto accuratius observaveris cogitationes animi tui, tanto majore cum desiderio Jesum precaberis. Et contra, quanto negligentius eas scrutatus fueris, tanto longius ab Jesu recesseris. Et quemadmodum prius illud aerem mentis mirum in modum illustrat : ita, si quis temperantia destituatur, et suavi Jesu invocatione, tenebris prorsus obducetur. Et rem hujusmodi sic natura se habere, ut diximus, et non aliter, experientia disces, cum facto ipso tentaveris : cum ea virtus jucunda illuminandi facultate prædita, non aliter percipi soleat, quam experientia.

πη'. Ὅσον τὴν διάνοιαν ἄκρως προσέχεις, κατὰ τοσοῦτον μετὰ πόθου τῷ Ἰησοῦ προσεύξῃ. Καὶ ὅσον πάλιν τὴν διάνοιαν ἀμελῶς ἐπισκέψῃ, κατὰ τοσοῦτον καὶ τοῦ Ἰησοῦ μακρυνθήσῃ· καὶ ὥσπερ τὸ πρότερον ἄκρως τὸν ἀέρα τῆς διανοίας φωτίζει, οὕτω καὶ τὸ ἐκκενῶσαι ἀπὸ τῆς νήψεως, καὶ τῆς γλυκείας ἐπικλήσεως Ἰησοῦ, σκοτίζειν αὐτὸν ἐκ παντὸς πέφυκεν, ὡς εἶναι φύσει τὸ πρᾶγμα τοιοῦτον ὡς εἴπομεν, καὶ ἄλλως οὐκ ἔστι. Καὶ τοῦτο πείρᾳ λήψῃ, ἔργῳ δοκιμάσας, ἐπεὶ μὴ πέφυκεν ἀρετὴ ἡ τοιαύτη φωτοτόκος τερπνὴ ἐργασία, εἰ μὴ τῇ πείρᾳ C διδάσκεσθαι.

89. Implorare Jesum assiduis precibus, cum desiderio quodam suavitatis et lætitiæ pleno, reddit mentis aerem plenum gaudio et tranquillitate, ob summam sui observationem. Ut autem animus penitus mundetur, causa est Jesus Christus Filius Dei et Deus, omnium bonorum auctor et effector. *Ego* enim, inquit, *Deus faciens pacem* [85].

πθ'. Τὸ μὲν μετὰ πόθου τινὸς μεστοῦ γλυκύτητος καὶ χαρᾶς ἐπικαλεῖσθαι συνεχῶς Ἰησοῦν, αἴτιον τοῦ χαρᾶς ἔμπλεον καὶ γαλήνης εἶναι τὸν ἀέρα τῆς καρδίας, ἐκ τῆς ἄκρας προσοχῆς. Τοῦ δὲ ἄκρως καθαίρεσθαι τὴν καρδίαν, αἴτιος Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ πάντων τῶν καλῶν αἴτιος καὶ ποιητής. Ἐγὼ γάρ, φησὶ, Θεὸς *ποιῶν εἰρήνην*.

90. Anima, quæ beneficiis et dulcedine affecta est ab Jesu, cum exsultatione quadam et charitate, per confessionem, eum qui beneficia contulit, remunerat : tam gratias agendo, quam invocando cum voluptate animi placatorem suum : vel eo tempore, quo videt eum in medio dissolventem, intellectuali D ratione, illusiones spirituum nequitiæ.

ρ'. Εὐεργετουμένη ψυχὴ, καὶ γλυκαινομένη ὑπὸ Ἰησοῦ, μετὰ ἀγαλλιάσεώς τινος καὶ ἀγάπης διὰ τῆς ἐξομολογήσεως τὸν εὐεργέτην ἀμείβεται, εὐχαριστοῦσα καὶ ἐπικαλουμένη μετὰ θυμηδείας, τὸν εἰρηνοποιοῦντα αὐτὴν, καὶ μέσον αὐτῆς νοητῶς ὁρώσης αὐτὸν λύοντα τὰς φαντασίας τῶν τῆς πονηρίας πνευμάτων.

91. *Et despexit*, inquit David, *oculus meus* intellectualis *inimicos meos* spiritales : *et insurgentibus in me audiet auris mea* [86]. Et retributionem peccatorum in me a Deo fieri videbam.

ρα'. *Καὶ ἐπεῖδε*, φησὶν ὁ Δαβὶδ ὁ νοητὸς, *ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. Καὶ ἐν τοῖς ἐπανισταμένοις, ἀκούσεται τὸ οὖς μου.* Καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν εἶδον παρὰ Θεοῦ ἐν ἐμοὶ γενομένην.

92. Si nullæ fuerint in mente illusiones, in suo naturali statu permanet animus, paratus inclinare in omnem delectabilem, spiritalem, et Deo gratam contemplationem.

ρβ'. Φαντασιῶν δὲ μὴ οὐσῶν τινων ἐν καρδίᾳ, εἰς τὸ κατὰ φύσιν ὁ νοῦς ἵσταται, ἕτοιμος ὢν κινεῖσθαι εἰς πᾶσαν θεωρίαν τερπνὴν πνευματικὴν καὶ θεοφιλῆ.

93. Hac ergo ratione, ut dixi, temperantia et deprecatio Jesu sese natura mutuo stabilire solent.

ργ'. Οὕτως οὖν, ὡς εἶπον, πεφύκασιν εἶναι ἀλλήλων συστατικὰ, ἥ τε νῆψις, καὶ Ἰησοῦ εὐχή· ἡ μὲν

[85] Isa. XLV, 7. [86] Psal. XCI.

Digitized by Google

γὰρ, ἄκρα προσοχὴ τῆς συνεχοῦς εὐχῆς· ἡ δὲ εὐχὴ πάλιν ἐννοιῶν τῆς ἄκρας νήψεως καὶ προσοχῆς. A

Summa enim observatio, continuam promovet precationem: precatio rursum procuratrix est summæ temperantiæ et observationis cogitationum.

ιδ'. Χρηστὸς παιδαγωγὸς καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, ἡ ἀνεπίληπτος μνήμη τοῦ θανάτου, καὶ τὸ, τὰ ἐν μέσῳ πάντως παραδραμόντα αὐτὸν, ἀεὶ προβλέπειν τὴν κλίνην, ἔνθα ψυχορραγοῦντες μέλλομεν κατακεῖσθαι, καὶ τὰ λοιπά.

94. Optimus corporis et animæ pædagogus est, indelebilis memoria mortis: et, iis quæ ante oculos jacent, omnino prætermissis, continenter cubile prævidere, in quo posthac cum refrigerio requiescere possimus.

ιε'. Οὐκ ἔστιν, ἀδελφοὶ, ὕπνον ἄρασθαι τὸν βουλόμενον ἄτρωτον μένειν διὰ παντός· ἀνάγκη δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀπολέσθαι γυμνωθέντα τῶν ἀρετῶν, ἢ διὰ παντὸς τῷ νοῒ καθωπλισμένον ἑστάναι· καὶ γὰρ ὁ ἐχθρὸς ἀεὶ ἵσταται μετὰ τῆς ἑαυτοῦ παρατάξεως.

95. Non debet, fratres, amplecti somnum, qui perpetuo vult illæsus manere. Itaque necesse est alterum duorum, aut spoliatum virtutibus occumbere et perire, aut mente semper armata consistere: quia nunquam non astat hostis, stipatus exercitu suo.

ις'. Γίνεταί τις κατάστασις θεία ἐν τῷ νῷ ἡμῶν ἐκ τῆς συνεχοῦς μνήμης τοῦ Κυρίου ἡμῶν καὶ ἐπικλήσεως αὐτοῦ συνεχοῦς, ἐὰν μὴ ἀμελῶμεν τῆς πρὸς Χριστὸν συχνῆς κατὰ νοῦν δεήσεως καὶ τῆς πυκνῆς νήψεως, καὶ τοῦ ἐπιστατικοῦ ἔργου· ἀλλὰ καὶ ὄντως ἔργον αὐτὸ ἀεὶ, καὶ ὡσαύτως ἐπιτελούμενον ἔχωμεν τῆς Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐπικλήσεως, ἀλλὰ μετὰ πυρώσεως καρδίας ἐκβοῶντες, ὥστε μεταλαβεῖν τὸ ἅγιον ὄνομα Ἰησοῦ· συνέχεια γὰρ καὶ ἐπὶ ἀρετῆς καὶ ἐπὶ κακίας μήτηρ ἕξεως· ἡ δὲ, ὡς φύσις λοιπὸν κρατεῖ. Καὶ ἐν καταστάσει τοιαύτῃ ὁ νοῦς γενόμενος, ζητεῖ τοὺς πολεμίους, ὥσπερ κύων Λακωνικὸς λαγὼν ἐν λόχμαις. Οὕτω γὰρ καὶ ὁ νοῦς πονηρῶν λογισμῶν ἐξερευνᾷ· ἀλλ' ὁ μὲν, ἵνα καταφάγῃ· ὁ δὲ, ἵνα καταφθείρῃ. B

96. Status quidam divinus nascitur in animo nostro ex continua Domini nostri memoria, et assidua ejus invocatione: modo solliciti simus de frequentibus animi precibus erga Christum, crebris jejuniis, et operibus principatum tenentibus: revera, opere ipso, quod in invocatione Domini nostri Jesu Christi consistit, semper et eodem modo peragendo præditi simus, accenso corde exclamantes, ut sancti nominis Jesu possimus esse participes. Assiduitas enim, sive in virtute sive in vitio, mater est habitus: habitus autem, velut natura, cætera obtinet. In eo itaque statu collocatus animus, hostes inquirit, ut canis laconicus in silvis leporem. Ad hunc enim modum mens scrutatur perversas cogitationes; sed ille quidem, ut comedat, hæc autem, ut labefactet.

ιζ'. Ὅτε οὖν καὶ ὁσάκις ἐπισυμβαίνει πληθύνεσθαι ἐν ἡμῖν τοὺς πονηροὺς λογισμοὺς, τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίκλησιν μέσον αὐτῶν ἐμβάλωμεν· καὶ διαλυομένους αὐτοὺς εὐθέως τότε ὡσεὶ καπνὸν ἐν ἀέρι ὀψόμεθα, ὡς ἡ πεῖρα ἐδίδαξε· καὶ τοῦ νοὸς μόνου καταλειφθέντος τότε ἀρχώμεθα πάλιν τῆς συνεχοῦς προσοχῆς καὶ ἐπικλήσεως. Καὶ ὁσάκις ὑπὸ πείρας τινὸς τοῦτο πάλιν πάθωμεν, οὕτως ποιῶμεν. C

97. Quandocunque et quotiescunque contigerit, ut augeatur in nobis numerus pravarum cogitationum, interjiciamus in medium earum imprecationem Domini nostri Jesu Christi: tumque mox eas, instar fumi in aere, videbimus evanescere: sicuti docuit experientia. Et si mens sola comprehendatur ab illis, denuo resumamus initium continentis observationis et invocationis. Quoties itaque tali quodam periculo rursum vexabimur, hoc ipsum agamus.

ιη'. Ὡς γὰρ οὐ δυνατὸν γυμνὸν εἰς πόλεμον εἰσελθόντα σώματι, ἢ πλεῦσαι μέγα πέλαγος μετ' ἐνδυμάτων, ἢ ζῆν ἄνευ τοῦ ἀναπνεῖν, οὕτως ἀδύνατον χωρὶς ταπεινώσεως καὶ συνεχοῦς πρὸς Χριστὸν ἱκεσίας, τὸν νοητὸν καὶ κρυπτὸν πόλεμον ἐκμαθεῖν, καὶ τεχνικῶς τούτους καταδιώκειν καὶ βάλλειν. D

98. Quemadmodum fieri non potest ut quis nudo corpore descendens in prælium, victor evadat, aut cum indumentis in immenso pelago natet, aut vivat sine respiratione, ita fieri non potest ut citra humilitatem et continuam Christi supplicationem, spiritale et secretum bellum ediscamus, et artificiose cogitationes illas expellamus et cædamus.

ιθ'. Ὁ μέγας πρακτικώτατος Δαβὶδ φησι· *Τὸ κράτος μου πρὸς σὲ φυλάξω*, πρὸς τὸν Κύριον λέγει, ὥστε τὸ φυλαχθῆναι ἐν ἡμῖν τὸ κράτος τῆς καρδιακῆς νοερᾶς ἡσυχίας, ἐξ ἧς γεννῶνται πᾶσαι αἱ ἀρεταὶ, διὰ τοῦ βοηθεῖσθαι ἡμᾶς παρὰ τοῦ Κυρίου προσγίνεται· τοῦ καὶ τὰς ἐντολὰς δόντος, καὶ ἀρ' ἡμῶν τὴν μιαρὰν λήθην ἐκδιώκοντος, συνεχῶς παρ' ἡμῶν ἐπιβοωμένων φθαρτικὴν οὖσαν μάλιστα τῆς καρδιακῆς ἡσυχίας τὴν ἀμέλειαν, ὡς ὕδωρ πυρός· διόπερ, μοναχὲ, μὴ ἐξ ἀμελείας ὑπνοῖς εἰς θά-

99. Magnus David, rerum gerendarum peritissimus, Dominum alloquens, ait: *Fortitudinem meam ad te custodiam* [87]. Ita ut tota vis quietis spiritalis animi nostri, unde nascuntur omnes virtutes, conservetur auxilio Domini: qui et præcepta dedit, et impuram oblivionem a nobis expellit, et a continenter inclamantibus, ignaviam: quæ tranquillitatem mentis non aliter corrumpit, quam aqua ignem. Quamobrem, monache, ne dormias in mortem præ negligentia, sed nomine Jesu percute hostes: et, ut

[87] Psal. LVIII.

Digitized by Google

quidam sapiens dixit, adhæreat nomen Jesu spiraculo tuo, et universæ vitæ: jamque cognosces requietis fructum.

100. Quando nos, qui alioqui indigni sumus, ad divina et impolluta mysteria Christi, Dei summi, et extimescendi regis nostri, non sine horrore admittimur, tunc majorem et accuratiorem temperantiam et mentis custodiam demonstrare debemus: ut ignis divinus, nempe corpus Domini nostri Jesu Christi, peccata nostra, et tam magnas quam exiguas sordes absumat. Nam illud, statim ut ingreditur in nos, expellit e corde improbos spiritus nequitiæ, peccata in nobis oborta condonat: et relinquitur animus pravarum cogitationum perturbatione vacuus. Necnon si postea, stantes ad fores cordis nostri, diligenter animum conservaverimus, quando rursum ad ea mysteria accedimus, corpus divinum majore adhuc, majore, inquam, splendore mentem perfundit, et stellæ similem reddit.

CENTURIA SECUNDA.

1. Oblivio delere solet mentis custodiam, sicut aqua exstinguit ignem. Continua vero erga Jesum precatio, vehementi juncta temperantiæ, tandem absorbet illam e mente. Eget enim oratio temperantia, non aliter quam lampas exigua, lumine lucernæ.

2. Elaborandum est in asservandis iis quæ sunt pretiosa: pretiosa porro revera sunt, quæ nos conservant ab omni vitio, tam corporis quam animæ. Et sunt ista, Custodia mentis, secum habens annexam invocationem Jesu Christi, profunda cordis semper intueri, animum perpetuo, ut ita dicam, fluctuantem tranquillum reddere, etiam ab iis cogitationibus quæ rectæ videntur: dare operam ut cogitationibus libenter careamus, ne fures nos lateant. Et quamvis laboriosum sit, in conservando corde permanere, at proxima est consolatio.

3. Mens enim quæ sine intermissione custoditur, et tamen ei conceditur excipere formas, imagines et illusiones obscurorum et pravorum spirituum, solet ex eis ipsis cogitationes lucidas concipere. Nam ut carbo flammam producit, multo magis Deus habitans in corde, ex sancto baptismate, si reperiat aerem intellectus nostri purum a spiritibus nequitiæ, sub custodia mentis asservatum, accendet intellectivam animi nostri facultatem ad contemplationem, perinde ut flamma ceram.

4. Quemadmodum imminente pluvia fulgur volutatur in aere firmamenti: ita necesse est nomen Jesu Christi perpetuo versari in area cordis nostri. Quod exacte norunt, qui mentis et interni belli periculum fecerunt. Sic bellum intellectuale gerimus, ut in acie. Primum, attentione utimur: deinde, ubi hostem cogitatione ferire novimus, ipsum verbis maledictionis in animo iracunde cædimus; tertio mox ordine, cor contorquentes, invocato Jesu Christo, imprecamur ei, ut quamprimum dissolvatur, ἀλλὰ Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους, καὶ ὡς σοφός τις λέλεχεν, Ἰησοῦ ὄνομα κολληθήτω τῇ πνοῇ σου καὶ πάσῃ τῇ ζωῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.

ρ'. Ὅταν τῶν θείων καὶ ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ καὶ μεγάλου βασιλέως ἡμῶν φοβεροῦ φρικτῶς ἀξιωθῶμεν οἱ ἀνάξιοι, τότε μᾶλλον τὴν νῆψιν καὶ τὴν τήρησιν τοῦ νοὸς καὶ ἀκρίβειαν ἐπιδειξώμεθα, ἵνα καταναλώσῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ τὰ μικρὰ καὶ τὰ μεγάλα ῥυπάσματα, τὸ πῦρ τὸ θεῖκὸν, ἤγουν τὸ σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ γὰρ εἰσερχόμενον ἐν ἡμῖν, τὰ πονηρὰ πνεύματα τῆς πονηρίας εὐθὺς ἐκ τῆς καρδίας ἀπελαύνει, καὶ τὰς ἁμαρτίας τὰς προγενομένας ἡμῖν συγχωρεῖ, καὶ καταλιμπάνεται ὁ νοῦς χωρὶς ὀχλήσεων πονηρῶν λογισμῶν· καὶ εἴπερ μετὰ ταῦτα ἀκριβῶς τὸν νοῦν τηρήσωμεν, καὶ ἐν πύλῃ καρδίας ἡμῶν στῶμεν, ὅτε πάλιν καταξιωθῶμεν, μᾶλλον ἔτι καὶ μᾶλλον λαμπρύνει τὸν νοῦν, καὶ ἀστεροειδῆ αὐτὸν τὸ θεῖον σῶμα ἀπεργάζεται.

ΔΕΥΤΕΡΑ ΕΚΑΤΟΝΤΑΣ.

α'. Λήθη σβεννύειν οἶδε νοὸς φυλακὴν, ὥσπερ σβέννυσι πῦρ ὕδωρ· συνεχὴς δὲ Ἰησοῦ εὐχὴ εἰς τέλος αὐτὴν ἐκδαπανᾷ τῆς καρδίας μετὰ νήψεως συντόνου· χρῄζει γὰρ ἡ εὐχὴ τῆς νήψεως, ὥσπερ λαμπάδιον φωτὸς λύχνου.

β'. Πονεῖν δεῖ ἐπὶ τῇ φυλακῇ τῶν τιμίων· τίμια δὲ ὡς ἀληθῶς, τὰ φυλάσσοντα ἡμᾶς πάσης κακίας αἰσθητῆς τε καὶ νοητῆς. Ταῦτα δέ εἰσι φυλακὴ νοὸς σὺν Ἰησοῦ Χριστοῦ ἐπικλήσει, βλέπειν τε ἀεὶ εἰς τὸ βάθος τῆς καρδίας, καὶ ἡσυχάζειν ἀεννάως τῇ διανοίᾳ, ἵν' οὕτως εἴπω, καὶ ἐκ τῶν δοκούντων λογισμῶν εὑρίσκεσθαι, ἵνα μὴ λανθάνωσιν οἱ κλέπται· καὶ εἰ καὶ πονοῦμεν τῇ καρδίᾳ παραμένοντες, ἀλλ' ἐγγὺς ἡ παράκλησις.

γ'. Πέφυκε γὰρ ἡ καρδία ἀδιαλείπτως τηρουμένη, καὶ συγχωρουμένη, τὰς μορφὰς, καὶ τὰς εἰκόνας, καὶ τὰς φαντασίας δέχεσθαι τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων, λογισμοὺς φεγγοειδεῖς ἐξ ἑαυτῶν κυΐσκειν. Ὥσπερ γὰρ κάρβων γεννᾷ φλόγα, πολλῷ μᾶλλον ὁ ἐνοικῶν τῇ καρδίᾳ Θεὸς ἀπὸ τοῦ ἁγίου βαπτίσματος, εἴπερ εὑρίσκει τὸν ἀέρα τῆς διανοίας ἡμῶν καθαρὸν ἀνέμων πονηρίας· καὶ ὑπὸ φυλακῆς νοὸς τηρούμενον, ἀνάπτει τὸ διανοητικὸν ἡμῶν πρὸς θεωρίαν, ὡς φλὸξ κηρόν.

δ'. Δεῖ γὰρ ἀεὶ στρέφειν ἐν χωρήματι καρδίας ἡμῶν Ἰησοῦ Χριστοῦ ὄνομα, ὥσπερ καὶ ἀστραπὴν στρέφεσθαι ἐν ἀέρι τοῦ στερεώματος ὑετοῦ μέλλοντος. Καὶ γὰρ τοῦτο ἴσασιν ἀκριβῶς οἱ πεῖραν τοῦ νοῦ ἔχοντες καὶ τοῦ ἔνδον πολέμου, ὡς καὶ ἐν τάξει· οὕτω τὸν νοητὸν πόλεμον στρατηγῶμεν· πρῶτον προσοχῇ· εἶτα τὸν ἐχθρὸν λογισμῷ γνόντος παραβαλόντα, λόγοις κατάρας ἐν καρδίᾳ μετ' ὀργῆς αὐτὸν βάλλομεν τρίτῃ τάξει εὐθὺς, κατεύξασθαι κατ' αὐτοῦ, συστρέφοντας τὴν καρδίαν τῇ ἐπικλήσει Ἰησοῦ

Digitized by Google

Χριστοῦ, ἵν' εὐθέως καταλυθῇ τὸ δαιμόνιον ἴνδαλμα, τοῦ μὴ ἐξακολουθῆσαι τῇ φαντασίᾳ τὸν νοῦν, ὡς νήπιον ὑπὸ φαντασιοσκόπου τινὸς πλανώμενον.

ε'. Κοπιάσωμεν ὡς ὁ Δαβὶδ, κράζοντες τὸ, Ἰησοῦ Χριστὲ, μὴ βραγχιασάτω ἡμῶν ὁ λάρυγξ, καὶ μὴ ἐκλίπωσιν οἱ νοητοὶ ἡμῶν ὀφθαλμοὶ ἀπὸ τοῦ ἐλπίζειν ἡμᾶς ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν, τῆς παραβολῆς ἀεὶ μεμνημένοι τοῦ κριτοῦ τῆς ἀδικίας, ἣν εἶπεν ὁ Κύριος, πρὸς τὸ δεῖν ἡμᾶς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐγκακεῖν, καὶ τὸ κέρδος εὑρήσομεν καὶ τὴν ἐκδίκησιν.

ς'. Ὥσπερ ὁ τῷ ἡλίῳ ἀτενίζων, ἀδύνατον μὴ πλουσίως τὰς ὄψεις καταυγάζεσθαι· οὕτως ὁ ἀεὶ ἐγκύπτων εἰς ἀέρα καρδίας αὐτοῦ, οὐ δυνατὸν μὴ φωτίζεσθαι.

ζ'. Ὡς ἀδύνατον, τὴν παροῦσαν ζωὴν ζῆν ἄνευ τοῦ ἐσθίειν καὶ πίνειν, οὕτως ἀδύνατον χωρὶς φυλακῆς νοὸς καὶ καθαρότητος καρδίας, ὅ ἐστι καὶ λέγεται νῆψις, εἴς τι πνευματικὸν καὶ ἀρέσκον Θεῷ φθάσαι τὴν ψυχὴν, ἢ ἐλεύθερωθῆναι τῆς κατὰ διάνοιαν ἁμαρτίας, εἰ καὶ βιάζεταί τις ἑαυτὸν διὰ τὸν φόβον τῶν κολάσεων μὴ ἁμαρτάνειν.

η'. Πλὴν καὶ οἱ τῆς κατ' ἐνέργειαν ἁμαρτίας βίᾳ τινὶ ἀπεχόμενοι, μακάριοι παρά τε τῷ Θεῷ καὶ ἀγγέλοις, καὶ ἀνθρώποις, ὅτι βιασταὶ τῆς βασιλείας τῶν οὐρανῶν εὑρίσκονται.

θ'. Τοῦτο θαυμαστὸν τῆς ὠφελείας τῆς τοῦ νοῦ ἡσυχίας, ὅτι πάντα τὰ ἁμαρτήματα κατὰ νοῦν πρότερον κρούονται ἐν λογισμοῖς μόνον· ὥστε εἰ παραδεχθῶσι παρὰ τῆς διανοίας, γενέσθαι αἰσθητὰ καὶ παχέα. Ἁμαρτήματα πάντα ἐκκόπτει ἡ πρακτικὴ ἀρετὴ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ, μὴ ἐῶσα ταῦτα εἰς ἔργα ἀχθῆναι πονηρὰ, τῇ ῥοπῇ καὶ ἀντιλήψει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ι'. Εἰκὼν τῆς ἐξωτέρας καὶ αἰσθητῆς καὶ σωματικῆς ἀσκήσεως, ἡ Παλαιὰ Διαθήκη· τὸ δὲ ἅγιον Εὐαγγέλιον, ὅ ἐστιν ἡ Καινὴ, εἰκὼν τῆς προσοχῆς, ἤγουν τῆς καθαρότητος τῆς καρδίας. Καὶ ὥσπερ ἡ Παλαιὰ οὐκ ἐτελείου, οὔτε ἐπληροφόρει τὸν ἔσω ἄνθρωπον εἰς θεοσέβειαν (Οὐδένα γὰρ, φησὶν ὁ Ἀπόστολος, *νόμος ἐτελείωσε*), μόνα δὲ τὰ παχέα ἁμαρτήματα διεκώλυε (τοῦ γὰρ κωλῦσαι μὴ ἐκβαλεῖν τὸν ὀφθαλμὸν καὶ ὀδόντα τοῦ πλησίον, τὸ καὶ τοὺς λογισμοὺς ἀπὸ καρδίας ἐκκόψαι, ὅπερ ἐστὶ τοῦ Εὐαγγελίου διάταγμα, καὶ τὰς πονηρὰς ἐνθυμήσεις, μεῖζόν τι εἰς καθαρότητα ψυχῆς)· οὕτω καὶ ἐπὶ τῆς σωματικῆς δικαιοσύνης καὶ ἀσκήσεως, νηστείας λέγω, ἐγκρατείας, χαμευνίας, ἀγρυπνίας, στάσεως, καὶ τῶν λοιπῶν, ἃ περὶ τὸ σῶμα πεφύκασι, καὶ τὸ παθητικὸν μέρος τοῦ σώματος ἡσυχάζειν ποιεῖ ἀπὸ τῆς κατ' ἐνέργειαν ἁμαρτίας, ὥσπερ εἶπον περὶ τῆς Παλαιᾶς, καλά τε ὄντα καὶ ταῦτα· παιδαγωγία γάρ εἰσι τοῦ ἔξω ἡμῶν ἀνθρώπου, καὶ φρουρὸς τῶν κατ' ἐνέργειαν κακῶν, οὐ μὴν καὶ τῶν κατὰ διάνοιαν ἁμαρτημάτων κωλυτικά, οἷον ἀπαλλάξαι ἡμᾶς σὺν Θεῷ παντελῶς φθόνου, ὀργῆς, καὶ τῶν λοιπῶν.

A tur effigies dæmonis : ne mens sectetur imaginationem, more pueri, qui seducitur ab illusore quopiam.

5. Elaboremus, Davidis in morem vociferantes, Jesu Christe, ne irraucescant fauces nostræ : neve deficiant intellectuales oculi nostri [88], dum speramus in Domino Deo nostro : memores semper dictæ a Domino parabolæ, de judice iniquitatis : quæ inquit, semper nos precari debere, et non fatigari, lucrum inde consecuturos, et vindictam.

6. Ut qui intentis oculis solem intuetur, non potest visum abunde illustratum non habere : ita qui semper incumbit in aerem cordis sui, non potest non illustrari.

B 7. Quemadmodum absque cibo potuque vitam hanc vivere non possumus : ita, si desit custodia mentis, et puritas cordis, quæ est et dicitur temperantia, non potest ad rem ullam anima spiritalem et Deo gratam pervenire, aut animi peccato liberari : etiamsi metu pœnarum sibi vim quis inferat, ad vitandum peccatum.

8. Verumtamen et qui vi quadam abstinent a perpetrando peccato, beati censentur apud Deum, angelos, et homines : quia violenti, raptores esse regni cœlorum inveniuntur.

9. Inter commoda quæ referuntur ex tranquillitate animi, hoc mirum est, quod omnia peccata prius cogitationibus duntaxat pulsant animum : a quo si recipiantur, sensilia fiunt et crassa. Virtus C autem operandi studiosa, promovente et opem ferente Domino nostro Jesu Christo, abscindit universa peccata in homine nostro interno, ne sinat ea deduci in opera prava.

10. Vetus Testamentum est imago externæ, sensibilis et corporeæ exercitationis. Sanctum autem Evangelium, quod est Novum Testamentum, imago est attentionis sive puritatis cordis. Et quemadmodum Vetus illud interiorem hominem perfectum et certiorem non faciebat in cultu divino (Neminem enim, inquit Apostolus, *ad perfectum adduxit lex* [89]), sed sola crassiora peccata prohibebat (nam cogitationes cordis et pravas animi conceptiones amputare, quod est præceptum Evangelicum, præstantius quiddam est ad munditiam ani- D mæ, quam vetare ne quis eruat oculum aut dentem proximi) : eodem modo et in externa justitia et exercitatione, jejunio videlicet, continentia, cum dormitur humi, vigiliis, quiete, et reliquis quæ circa corpus versantur, et partem corporis affectibus obnoxiam componunt, ne peccatum in corpus externum erumpat, ut de Veteri Testamento diximus ; quanquam et hæc quidem bona sunt ; eruditunt enim exteriorem nostrum hominem, et tuentur ab externis vitiis in actum prorumpentibus : non tamen animi peccata coercent : cujusmodi est, liberare nos prorsus, opitulante Deo, ab invidia, ira, et reliquis affectibus.

[88] Psal. LXVIII, 4. [89] Hebr. VII, 19.

Digitized by Google

11. Cordis autem puritas, conservatio scilicet et custodia mentis, cujus typus est Novum Testamentum, si asservetur a nobis, ut decet, affectiones omnes et universa vitia e corde radicitus amputat: et contra introducit lætitiam, bonam fiduciam, compunctionem, luctum, lacrymas, nostri ipsorum ac peccatorum nostrorum notitiam, memoriam mortis, veram humilitatem, dilectionem ingentem tam erga Deum quam erga homines, et inhærentem cordi divinum amorem.

ια'. Ἡ δὲ καθαρότης τῆς καρδίας, ἤγουν ἡ τοῦ νοῦ τήρησις καὶ φυλακή, ἧς τύπος ἡ Καινὴ Διαθήκη, εἴπερ ὡς δεῖ παρ' ἡμῶν φυλάττεται, πάντα τὰ πάθη καὶ πάντα τὰ κακὰ, ἀπὸ καρδίας ἐκριζοῦσα ἐκκόπτει, καὶ ἀντεισάγει χαρὰν, εὐελπιστίαν, κατάνυξιν, πένθος, δάκρυα, ἐπίγνωσιν ἡμῶν ἑαυτῶν, καὶ τῶν ἁμαρτημάτων ἡμῶν, μνήμην θανάτου, ταπείνωσιν ἀληθῆ, ἀγάπην τε ἄπειρον, πρός τε Θεὸν καὶ ἀνθρώπους, καὶ ἔρωτα θεῖον ἐγκάρδιον.

12. Sicut is qui facit iter in terra, non potest aerem ipsum non dividere: ita fieri non potest, ut cor humanum perpetuo non impugnetur a dæmonibus, aut clam torqueatur ab illis, etiamsi frequenti occupetur exercitio corporali.

ιβ'. Ὡς οὐκ ἔνι μὴ τέμνειν τοῦτον τὸν ἀέρα ἐν γῇ βαδίζοντα, οὕτω μήτε πολεμεῖσθαι ἀεννάως ὑπὸ δαιμόνων καρδίαν ἀνθρώπου ἀδύνατον, ἢ ὑπ' αὐτῶν κρυπτῶς ἐνεργεῖσθαι, κἂν σωματικὴν ἄσκησιν πολλὴν ἔχῃ.

13. Si velis in Domino, non opinione solum, esse monachus bonus, æquus, et Deo semper unitus, sed revera et facto ipso talis esse desideras, sectare pro viribus attentionis virtutem quæ est custodia et conservatio mentis, consummatio suavitatis ipsius cordis, requies illusionibus vacua, beatus animæ status, res quæ apud paucos reperitur.

ιγ'. Εἴπερ ἐν Κυρίῳ θέλεις μὴ δοκήσει μόνον εἶναι μοναχὸς, καὶ χρηστὸς, καὶ ἐπιεικὴς, καὶ θεῷ πάντοτε ἡνωμένος, ἀλλὰ καὶ ἀληθείᾳ καὶ ἔργῳ τοιοῦτος εἶναι βούλει, προσοχικὴν ἀρετὴν πάσῃ δυνάμει μετέλθε, ἥ ἐστι νοὸς φυλακὴ, νοῦ τήρησις, καὶ τελείωσις καρδιακῆς γλυκείας, ἡσυχία ἀφάνταστος, μακαρία ψυχῆς κατάστασις, πρᾶγμα οὐκ ἐν πολλοῖς εὑρισκόμενον.

14. Hæc dicuntur menti philosophiæ deditæ; et illud: Perge hac via cum multa tribulatione, et ardenti desiderio, cum humili et crebra Jesu Christi deprecatione, cum silentio labiorum tam sensilium quam intellectualium, cum abstinentia cibi et potus, rerumque omnium obnoxiarum peccato; perge hac, duce intellectu, scite et prudenter, et hæc, juvante Deo, te docebit, perspicuum faciet, illustrabit, intelligere faciet, conservabit, et erudiet, quæ prius animo consequi non poteras, dum ambulares in tenebris affectionum, et abysso oblivionis et confusionis involutus, quid sit opus tenebrarum, ignorares.

ιδ'. Ταῦτα γὰρ λέγονται νοῒ τῇ φιλοσοφίᾳ· καὶ, Ὁδεύε ταύτην ἐν πολλῇ θλίψει, καὶ θερμῇ προθυμίᾳ, σὺν εὐχῇ Ἰησοῦ Χριστοῦ, σὺν ταπεινώσει καὶ πυκνότητι καὶ σιωπῇ αἰσθητῶν χειλέων καὶ νοητῶν, σὺν ἐγκρατείᾳ βρωμάτων καὶ πομάτων, καὶ παντὸς ἐφαμάρτου πράγματος· ὁδεύε ταύτην ἐν ὁδῷ διανοίας ἐπιστημόνως· ἐν φρονήσει· καὶ αὕτη σε διδάξει σὺν Θεῷ, καὶ γνωρίζει, καὶ φωτίσει, καὶ συνετίσει, καὶ φυλάξει, καὶ μαθητεύσει σε ἅπερ πρότερον λαβεῖν εἰς νοῦν ἀδυνάτως εἶχες, ἐν σκότει παθῶν περιπατῶν, καὶ σκοτεινὸν ἔργον καὶ ὑπὸ λήθης καὶ συγχύσεως ἀβύσσου καλυπτόμενος.

15. Quemadmodum valles copiosius præbent frumentum: ita hæc via omne bonum augebit in corde tuo: imo potius Dominus noster Jesus Christus, sine quo nihil possumus facere, suppeditabit hæc tibi. Et hanc scalam primum reperies: deinde librum, qui legi solet: postea cum profecceris, civitatem ipsam Jerusalem cœlestem invenies, Christumque regem virium Israelis intellectu manifeste conspicies.

ιε'. Ὥσπερ αἱ κοιλάδες πληθύνουσι σῖτον, οὕτως αὕτη πληθύνει ἐν τῇ καρδίᾳ ἀγαθὸν ἅπαν. Μᾶλλον δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ταῦτα παρέξει σοι, οὗ χωρὶς οὐ δυνάμεθα ποιεῖν οὐδέν. Καὶ πρῶτα μὲν κλίμακα αὐτὸν εὑρήσεις, ἔπειτα δὲ βίβλον ἀναγινωσκομένην, εἶτα πρακτῶν εὑρήσεις αὐτὴν πόλιν Ἱερουσαλὴμ ἐπουράνιον, καὶ τὸν βασιλέα Χριστὸν τῶν δυνάμεων Ἰσραὴλ ἐναργῶς νοητῶς ὄψει.

16. Dæmones semper illusione et mendacio nos inducunt ad peccandum. Nam per illusionem, avaritia et lucrum miserum Judam seduxerunt, ut proderet Dominum et Deum omnium. Mendacio vero, dum recreatione corporea nullius momenti, honore, quæstu, et gloria propositis, illum strangulatione deturbarunt: et infelices pro sua ipsorum illusione, suggestionem dico, prorsus contrarium ei rependentes, mortem æternam illi conciliarunt.

ις'. Διὰ φαντασίας καὶ ψεύδους ἀεὶ οἱ δαίμονες ἐνάγουσιν ἡμᾶς εἰς τὸ ἁμαρτάνειν· καὶ γὰρ ἐν φαντασίᾳ φιλαργυρία καὶ κέρδος τὸν ἄθλιον Ἰούδαν παρεσκεύασαν παραδοῦναι τὸν Κύριον καὶ Θεὸν τῶν ἁπάντων· διὰ δὲ ψευδοῦς καὶ οὐτιδανῆς ἀναπαύσεως σωματικῆς καὶ τιμῆς, καὶ κέρδους, καὶ δόξης, ἀγχόνῃ αὐτὸν περιέβαλε, καὶ τὸν αἰώνιον θάνατον αὐτῷ προεξένησαν· ἀπεναντίας οἱ δεινοὶ πάμπαν τῆς ἑαυτῶν φαντασίας, τῆς προσβολῆς, λέγω, αὐτῷ ἀνταμειψόμενοι.

17. Vide, quo pacto hostes salutis nostræ illusione mendacio, vanisque pollicitationibus, labi nos faciunt. Eumdem in modum etiam ipse Satan a suis elationibus, instar fulguris, effractus est, cum

ιζ'. Ὅρα, πῶς διὰ φαντασίας καὶ ψευδους, καὶ κενῶν ὑποσχέσεων ἡμᾶς πτωματίζουσιν οἱ ἐχθροὶ τῆς σωτηρίας ἡμῶν. Καὶ αὐτὸς ὁ Σατὰν οὕτως ἐκ τῶν ὑψωμάτων ὡς ἀστραπὴ κατερράγη ἰσοθείαν

Digitized by Google

φαντασθείς. Καὶ οὕτω πάλιν τὸν Ἀδὰμ ἐχώρισε Θεοῦ, θεῖκὸν ἀξίωμα φαντάσας αὐτὸν, καὶ οὕτω πάντας τοὺς ἁμαρτάνοντας ἀπατᾷ ὁ ψεύστης καὶ δόλιος εἰωθὲν ἐχθρός.

A se Deo æqualem imaginaretur. Eadem rursum ratione Adam defecit a Deo : cum majestatem divinam imaginatione quadam sibi arrogare vellet. Et ita mendax et dolosus hostis omnes, qui peccant, circumvenire solet.

ιη'. Πικρατινόμεθα τὴν καρδίαν ὑπὸ τοῦ λογισμῶν πονηρίας, ὅταν προσοχῆς καὶ Ἰησοῦ εὐχῆς πρὸς ὀλὺ ὑπὸ λήθης ἀμελοῦντες ἀπαγώμεθα· γλυκαινόμεθα δὲ πάλιν ἐν αἰσθήσει καὶ ἡδύτητί τινι ἀγαλλιάσεως μακαρίας, ὅταν τὰ προειρημένα κραταιῶς καὶ προθύμως ἐν τῷ ἐργαστηρίῳ τῆς διανοίας ἐμμελῶς διὰ ἔρωτος θείου ἐπιτελῶμεν· τότε γὰρ οὐ δι' ἄλλο τι τῇ καρδιακῇ ἡσυχίᾳ βαδίζειν προθυμούμεθα, ἀλλ' ἢ διὰ τὴν ἐαυτῆς ἐν τῇ ψυχῇ γλυκεῖαν ἡδονὴν καὶ τέρψιν.

18. A veneno cogitationum perversarum exacerbamur animo, quando attentione Jesuque deprecatione diu neglectis, nos abducit oblivio. Contra vero dulcescimus, ex perceptione et suavitate quadam beatæ exsultationis, quando constanter, alacriter et studiose in officina mentis, amore divino ducti, ista, quæ ante diximus, exsequimur. Tunc enim nullam aliam ob causam quieto corde vivere exoptamus, quam ob suavem illius in anima voluptatem et delectationem.

ιθ'. Ἐπιστήμη ἐπιστημῶν, καὶ τέχνη τεχνῶν, ἡ τῶν κακούργων λογιαμῶν ἐστι τέχνη. Ἔστιν οὖν ἄριστος τρόπος καὶ τέχνη αὐτῶν, τὸ, ἐν Κυρίῳ τὴν φαντασίαν βλέπειν τῆς προσβολῆς, καὶ φυλάττειν τὴν διάνοιαν, ὥσπερ τὸν αἰσθητὸν φυλάσσομεν ὀφθαλμὸν, καὶ ὀξέως μετ' αὐτοῦ βλέπομεν τὸν πλῆξαι τοῦτον ἐκ συμβάσεως ἐρχόμενον, καὶ ὅση δύναμις πᾶν κάρφος κωλύομεν ἐξ αὐτοῦ.

19. Ars artium, et scientia scientiarum, est ars malignarum cogitationum. Modus igitur optimus et ars earum est, conspecta, Domino favente, suggestionis imaginatione, conservare animum : sicuti sensibilem oculum custodimus, et eo acute videmus casu venientem ad percutiendum illum, ac pro viribus ab eo festucam omnem arcemus.

κ'. Ὡς οὐ τέξεται χιὼν φλόγα, ἢ ὕδωρ πῦρ γεννήσει, ἢ ῥάμνος σῦκον, οὕτως οὐκ ἐλευθερωθήσεται παντὸς ἀνθρώπου καρδία ἀπὸ δαιμονικῶν λογισμῶν, καὶ ἔργων καὶ λόγων, μὴ καθάρασα τὰ ἔνδον· καὶ νῆψις σὺν εὐχῇ Ἰησοῦ συνάψει νῆψιν, καὶ ταπείνωσιν καὶ ψυχικὴν ἡσυχίαν κατορθοῦσα, καὶ ἐπειγομένη σὺν προθυμίᾳ πολλῇ, καὶ ὁδεύουσα. Ἀλλ' ἀνάγκη στειρεῦσαι τὴν ἀπρόσεκτον ψυχὴν παντὸς ἀγαθοῦ καὶ τελείου νοήματος, ὡς ἡμίονον ἄκαρπον, ᾗ οὐκ ἔστι σύνεσις πνευματικῆς συνέσεως· ὄντως εἰρήνη ἐστὶ τῆς ψυχῆς τὸ γλυκὺ πρᾶγμα καὶ ὄνομα, καὶ κένωσις νοημάτων ἐμπαθῶν.

20. Quemadmodum nix non pariet flammam, nec aqua producet ignem, aut spina ficum : ita cor cujusvis hominis, nisi purgaverit interiora, non liberabitur dæmoniacis cogitationibus, operibus et sermonibus : nisi etiam attentio, juncta deprecationi Jesu, accendat temperantiam, qua humilitatem et quietem animi dirigente, cor deducatur, et valde alacriter incedat. Sed necessario evadet anima, quæ non attendit, sterilis totius boni et intelligentiæ perfectæ, perinde ac mulus inutilis, cui non est intellectus sapientiæ spiritalis. Profecto pax est suavitas animæ, tam re, quam nomine, et evacuatio cogitationum deditarum affectionibus.

κα'. Ὅταν κακῶς συμφωνήσῃ ἡ ψυχὴ μετὰ τοῦ σώματος, τότε ἄμφω οἰκοδομοῦσι πόλιν κενοδοξίας, καὶ ὑπερηφανίας, καὶ τοὺς ἐν αὐτοῖς κατοικοῦντας ἀσεβεῖς λογισμούς. Ὁ δὲ Κύριος τῷ φόβῳ τῆς γεέννης τὴν ὁμοφωνίαν αὐτῶν συγχεῖ τε καὶ διαιρεῖ, ἀλλότριά τέ καὶ ἐναντία τῷ σώματι τὴν κυρίαν ψυχὴν λαλεῖν τε καὶ φρονεῖν ἀναγκάζων. Ἐξ οὗ φόβος καὶ διαμερισμὸς αὐτοῖς συμβαίνει, διὰ τὸ, τὸ φρόνημα τῆς σαρκὸς, ἔχθραν εἰς Θεὸν εἶναι, καὶ τῷ τοῦ Θεοῦ νόμῳ μὴ ὑποτάσσεσθαι.

21. Quando vitiose concordat anima cum corpore, tunc ambo construunt civitatem vanæ gloriæ, et superbiæ turrim, habitantes etiam in eis impias cogitationes. Cæterum Dominus, eorum concordiam metu gehennæ confundit ac dividit : dum cogit principatum tenentem animam sentire et loqui aliena et contraria corpori. Ex quo metu oritur illis divisio : eo quod prudentia carnis inimica sit Deo, et legi divinæ non sit subjecta.

κβ'. Τὰ καθ' ἡμέραν ἡμῶν ἔργα δεῖ σταθμίζειν καθ' ὥραν καὶ προσέχειν, καὶ κοῦφα ὅση δύναμις ἐπ' ἀνάγκαις ποιεῖν τῇ ἑσπέρᾳ διὰ τῆς μετανοίας, εἴ γε βουλόμεθα σὺν Θεῷ τῆς κακίας περιγενέσθαι. Καὶ σκοπεῖν δεῖ, εἰ κατὰ Θεὸν τελοῦμεν πάντα τὰ αἰσθητὰ καὶ φαινόμενα ἡμῶν ἔργα κατ' ἐνώπιον Θεοῦ καὶ μόνον, ἵνα μὴ ὑπὸ τῶν αἰσθήσεων ἀλόγως κλεπτώμεθα.

22. Debemus opera nostra quotidiana singulis horis ponderare et observare : eaque vespertino tempore, pro virili, necessitatum habita ratione, beneficio pœnitentiæ allevare, si quidem, favente Deo, vitium superare volumus. Animadvertendum est etiam, an universa opera nostra externa coram Deo conspicua, ex sententia divina peragantur : hac etiam solum de causa, ne irrationali modo subripiamur a sensibus.

κγ'. Ἐὰν τὸ καθ' ἑκάστην κερδαίνωμεν σὺν Θεῷ ἐκ τῆς ἡμῶν νήψεως, οὐκ ὀφείλομεν ἀδιαφόρως ἀναστρέφεσθαι καὶ ζημιοῦσθαι διὰ πολλῶν συντυχιῶν ἐπισφαλῶν, ἀλλὰ μᾶλλον καταφρονεῖν δεῖ τῶν μα-

23. Si, opitulante Deo, ex temperantia nostra hoc lucri quotidie fecerimus, non debemus sine discrimine conversari, ne damnum ex variis conversationibus erroneis contrahamus : sed potius, amabili et

Digitized by Google

dulci virtutis quæstu et honestate contenti, vanas conversationes contemnere debemus.

24. Justa ratione triplicem animæ facultatem movere debemus secundum naturam, quemadmodum a Deo creata est. Vim equidem irascendi moveamus adversus externum nostrum hominem, et contra Satanam serpentem. Irascimini, inquit, adversus peccatum, hoc est, inter cæteros ipsi diabolo. *Irascimini*, ait, *ne peccetis in Deum* [90]. At cupiditatis facultatem movere convenit erga Deum et virtutem. Rationalem autem animæ partem in eo collocabimus ordine, ut his ambabus sapienter et discrete præcipiat, arguat, plectat, et nihilominus, ut rex servis, imperet. Itaque ratio quæ secundum Deum viget in nobis, moderatur illas. Et quamvis affectiones adversus rationem tumultuentur, et dominari nitantur, rationem tamen his præficiemus. Inquit enim frater Domini : *Si quis in verbo non offendit, hic perfectus est vir* [91] : et cætera. Ita ut vere dicamus, omnem iniquitatem et omne peccatum, et rursum virtutem omnem atque justitiam, per hasce tres perfici.

25. Tunc obtenebratur animus, et sine fructu manet, quando sæculares sermones loquitur, aut cum illis ab intellectu susceptis confabulatur : aut quando vane rebus quibusdam sensilibus una cum mente corpus occupatur : aut monachus vanitatibus seipsum tradit. Mox enim, etiam dum hæc agit, perdit fervorem, compunctionem, liberam in Deo fiduciam atque notitiam. Nam quanto diligentius observamus animum, tanto magis illustramur : et quanto minus attendimus, tanto majoribus obruimur tenebris.

26. Qui quotidie mentis pacem et quietem prosequitur et quærit, is sensibile quidvis facile contemnit, ne frustra laboret. Quod si propriam conscientiam eludat, mortifero oblivionis somno acerbe dormiet : quo ne dormiat, sanctus David precatur [92]. Ait enim Apostolus : *Scienti bonum facere, et non facienti, peccatum est illi* [93].

27. Revertitur autem animus ab incuria in proprium ordinem et temperantiam, si denuo beneficium diligentiæ consequatur : et si activam mentis nostræ facultatem rursum collocemus in ferventi studio.

28. Asinus molaris non progreditur extra circulum, in quo detinetur alligatus. Nec mens, quæ non castigat sui partes interiores, proficiet in virtute perfectrice : sed oculis internis perpetuo excæcata non potest intueri virtutem, nec Jesum lumine fulgentem.

29. Equus ferox et contumax cum exceperit sessorem, subsilit : mens vero voluptati dedita, vel sola limina ingrediens delectabitur lumine divino conceptionibus liberata : et ea, sibiipsi renuntians, ex philosophica facultate mentis activa progredietur

ταίων, διὰ τὸ ἐράσμιον καὶ γλυκὺ τῆς ἀρετῆς κέρδος καὶ κάλλος.

κδ'. Δικαίως κατὰ φύσιν ὥσπερ ἐκτίσθη ὑπὸ Θεοῦ, ὀφείλομεν κινεῖν τὸ τριμερὲς τῆς ψυχῆς. Κινῶμεν τὸν θυμὸν μὲν κατὰ τοῦ ἐκτὸς ἡμῶν ἀνθρώπου, καὶ τεῦ ὄφεως Σατᾶν. Ὀργίζεσθε, φησὶ, κατὰ τῆς ἁμαρτίας, τουτέστιν, ἐν αὐτοῖς καὶ τῷ διαβόλῳ · *Ὀργίζεσθε*, φησὶν, *ὅπως μὴ εἰς Θεὸν ἁμαρτάνητε* · τὸ ἐπιθυμητικὸν δὲ χρὴ κινεῖν, πρός τε Θεὸν καὶ ἀρετήν· τὸ δὲ λογικὸν, τούτοις ἀμφοτέροις μετὰ σοφίας τε καὶ ἐπιστήμης τάξωμεν διατάττεσθαι, νουθετεῖν, τιμωρεῖσθαι · καὶ ὅμως ἄρχειν, ὡς βασιλεὺς ἄρχει δούλων. Καὶ κατὰ Θεὸν ταῦτα ὁ λόγος ὁ ἐν ἡμῖν διακυβερνᾷ. Καὶ εἰ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει καὶ ἡγεμονεύει, τὸν λόγον τούτοις ἐπικαταστήσωμεν· φησὶ γὰρ ὁ τοῦ Κυρίου ἀδελφὸς, *Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ*, καὶ τὰ ἑξῆς · ἐπειδὴ ἀληθῶς φάναι, πᾶσα ἀνομία καὶ ἁμαρτία διὰ τῶν τριῶν τούτων ἐπιτελεῖται, καὶ πᾶσα ἀρετὴ καὶ δικαιοσύνη, δι' αὐτῶν πάλιν τῶν τριῶν τούτων.

κε'. Τηνικαῦτα ὁ νοῦς σκοτίζεται, καὶ ἄκαρπος μένει, ἡνίκα ἂν ἢ λόγους κοσμικοὺς λαλήσῃ, ἢ κατὰ διάνοιαν καταδεξάμενος προσομιλήσῃ αὐτοῖς, ἢ εἰς αἰσθητά τινα τὸ σῶμα σὺν τῷ νῷ ματαίως ἐνασχοληθῇ, ἢ ματαιότησιν ὁ μοναχὸς ἑαυτὸν ἐκδῷ. Εὐθέως γὰρ καὶ παρ' αὐτὰ ἀπολεῖ τὴν θέρμην καὶ κατάνυξιν, καὶ τὴν ἐν Θεῷ παῤῥησίαν τε καὶ γνῶσιν · ὅσον γὰρ προσέχομεν τῷ νῷ, φωτιζόμεθα, καὶ ὅσον οὐ προσέχομεν σκοτιζόμεθα.

κς'. Ὁ γὰρ καθ' ἑκάστην ἡμέραν τὴν τοῦ νοῦ εἰρήνην καὶ ἡσυχίαν διώκων καὶ ζητῶν, οὗτος ῥᾳδίως καταφρονήσει αἰσθητοῦ παντὸς, ἵνα μὴ μάτην κοπιᾷ. Εἰ δὲ παραλογίζεται τὴν ἰδίαν συνείδησιν, πικρῶς ὑπνώσει τὸν τῆς λήθης θάνατον· οὗ δὴ ἀπεύχεται τοῦ μὴ ὑπνῶσαι ὁ ἅγιος Δαβίδ· φησὶ γὰρ ὁ Ἀπόστολος, *Τῷ εἰδότι καλὸν ποιεῖν · καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.*

κζ'. Ἔρχεται δὲ ὁ νοῦς ἐξ ἀμελείας εἰς τὴν ἰδίαν πάλιν τάξιν καὶ νῆψιν, εἴπερ αὖθις ἐπιμελείας τύχῃ. καὶ ἐὰν τὸ πρακτικὸν ἡμῶν τοῦ νοὸς ἐν θερμῇ σπουδῇ πάλιν στήσωμεν.

κη'. Οὐ προβήσεται μυλικὸς ὄνος κύκλῳ ἐν ᾧ συνεδέθη · οὔτε νοῦς προβήσεται ἐν ἀρετῇ τελειοποιῷ, μὴ τὰ ἔνδον ἑαυτοῦ διορθωσάμενος· τυφλώττοντι δὲ ἐν τοῖς ἔνδον ὄμμασιν, ἀδύνατον ὁρᾷν καὶ ἀρετὴν, καὶ φωτομαρμαρυγοῦντα τὸν Ἰησοῦν.

κθ'. Ἵππος μὲν θρασύς τις καὶ γαῦρος ἐξάλλεται ἐπιβάτην δεξάμενος· νοῦς δὲ τερπόμενος, τερφθήσεται ἐν φωτὶ Κυρίου, εἰσδύνων εἰς τὰς πρωΐας, νοημάτων ἐλευθερούμενος · πορεύσεται ἐκ δυνάμεως φιλοσοφίας νοῦ, πρακτικὸν αὐτὸς ἑαυτὸν ἀνανεύων εἰς

[90] Psal. IV, 5. [91] Jac. III, 2. [92] Psal. XII, 1 seqq. [93] Jac. IV, 17.

Digitized by Google

δύναμιν ἄῤῥητον, ἀῤῥήτου δὲ καὶ ἀρετῶν θεωρητικήν. Καὶ βάθος ὑψηλὸν τοῦ ἀπείρου θείων ἐννοιῶν ἐν καρδίᾳ δεξάμενος, ὀφθήσεται, ὡς ἐφικτὸν καρδίᾳ, ὁ Θεὸς τῶν θεῶν· ὁ δὲ νοῦς ἐκπλαγεὶς κυδαίνει ἀγαπητικῶς Θεὸν τὸν βλεπόμενον καὶ βλέποντα, καὶ διὰ τοῦτο κἀκεῖνο καὶ σώζει τὸν ἀτενίζοντα.

λ'. Βυθὸν ὑψηλὸν κατόψεται γνωστικῶς ἡσυχία καρδιακὴ κατορθουμένη, καὶ ἐξαίσια παρὰ Θεοῦ ἀκουσθήσεται οὖς ἡσυχίας.

λα'. Ὁδοιπόρος μὲν μακρὰν καὶ δυσδιάβατον καὶ ἀργαλέαν ὁδὸν στείλασθαι ἐναρξάμενος, πλάνην τε ὑφορώμενος ἐν τῷ ὑποστρέφειν, σημεῖά τινα καὶ ὁδηγοὺς ἐν ὁδοιπορίᾳ αὐτοῦ καταπήξεται, ῥᾳδίαν αὐτῷ τὴν πρὸς τὰ οἰκεῖα ἐπανάκαμψιν προξενοῦντα. Λόγους δὲ ὁ νηφαλίως ὁδεύων ἀνὴρ στηλώσεται, τοῦτο αὐτὸ καὶ αὐτὸς ὑφορώμενος.

λβ'. Ἀλλὰ τῷ μὲν ὁδιοπόρῳ ἐπανακάμψαι, ὅθεν ἐξέβη χαρᾶς πρόξενον· νηφαλέῳ δὲ ἐπανακάμπτειν εἰς τὰ ὀπίσω, ὄλεθρος ψυχῆς λογικῆς, καὶ σημεῖον ἀποστασίας τῶν θεαρέστων ἔργων τε καὶ λόγων, καὶ ἐννοιῶν, καὶ ἕξει ἐν καιρῷ ὕπνου ψυχῆς θανατηφόρου τοὺς λόγους ὡς κέντρα διεγείροντας αὐτὸν τῇ ὑπομνήσει τοῦ πολλοῦ κάρου, καὶ ῥᾳθυμίας τῆς ἐξ ἀμελείας αὐτῷ συμβάσης.

λγ'. Ἐν θλίψεσι, καὶ ἀπογνώσεσι, καὶ ἀπελπισμοῖς περιπεσόντας ἡμᾶς χρὴ ποιεῖν ἐν ἑαυτοῖς τοῦ Δαβὶδ τὸν λόγον, ἐκχέειν τὴν καρδίαν ἡμῶν πρὸς τὸν Θεὸν, καὶ τὴν δέησιν καὶ τὴν θλῖψιν ἡμῶν ὡς ἔστι Κυρίῳ ἀναγγέλλειν· ἐξομολογούμεθα γὰρ τῷ Θεῷ, ὡς σοφῶς δυναμένῳ τὰ καθ' ἡμᾶς διοικῆσαι, καὶ τὴν θλῖψιν ἐπὶ συμφέροντι ποιῆσαι ῥᾳδίαν, καὶ ῥύσασθαι ἡμᾶς τῆς ὀλεθρίας τε καὶ φθαρτῆς λύπης.

λδ'. Θυμὸς γὰρ παρὰ φύσιν κατὰ ἀνθρώπων κινούμενος, καὶ λύπην οὐ κατὰ Θεὸν καὶ ἀκηδίαν ἐμποιεῖ· φθαρτικὰ ὁμοίως εἰσὶ τῶν ἀγαθῶν τε καὶ γνωστικῶν λογισμῶν, ἃ ὁ Κύριος τῇ ἐξομολογήσει σκορπίζων, χαρὰν ἐμποιεῖ.

λε'. Λογισμῶν δὲ ἐν καρδίᾳ, καὶ μὴ θελόντων ἡμῶν παγέντων τε καὶ ἱσταμένων, ἐξαλείφειν πέφυκεν Ἰησοῦ εὐχὴ μετὰ νήψεως ἐκ βαθέων ἐννοιῶν καρδίας.

λς'. Κουφισμὸν δὲ καὶ χαρὰν, ἐν θλίψει πολλῶν ἀλόγων λογισμῶν γενόμενοι εὑρήσομεν, ὅταν μεμψώμεθα ἑαυτοὺς ἐν ἀληθείᾳ, καὶ ἀπροσπαθῶς· ἢ τῷ ἀναγγεῖλαι πάντα καθάπερ ἀνθρώπῳ, τῷ Κυρίῳ. Καὶ πάντως ἐκ τῶν δυο εὑρήσομεν ἀνάπαυσιν ἐκ παντὸς, καὶ ἄλλως οὐκ ἔστιν. Εἰ δέ γε νομίζοιμεν, ὡς χειρικῶς τὸ τῶν ποιημάτων αἴτιον, καὶ πυγμικῶς ἀνταμειβόμεθα, γνωσόμεθα· *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω*, φησὶν ὁ Κύριος.

λζ'. Εἰκόνα τοῦ νοῦ ὁ νομοθέτης Μωσῆς λαμβάνεται παρὰ τῶν πατέρων, ὃς Θεὸν ὁρᾷ ἐν τῇ βάτῳ, καὶ τὸ πρόσωπον δοξάζεται, καὶ Θεὸς Φαραὼ ὑπὸ τοῦ Θεοῦ τῶν θεῶν καθίσταται, Αἴγυπτον μαστίζει, καὶ

A ad vim arcanam, arcanorum et virtutum contemplatricem. Et cum imam profunditatem infinitarum notitiarum divinarum animo fuerit assecuta, videbitur Deus deorum, quantum permittitur animo, unde mens attonita glorificat amantissime Deum conspectum et conspicientem : qui utraque de causa assidue intuentem salvat.

30. Cor tranquillum, emendatum et noscendi peritum scrutabitur valde profunda : et auris quietæ mentis efficietur a Deo capax audiendi immensa.

31. Viator brevi profecturus longam, transitu difficilem et molestiam viam, suspicans etiam ne divertendo erret, signa quædam, viæ duces, in sua profectione defigit, quæ facilem sibi parent reditum ad sua. Vir autem, qui sobrie incedit, quæ audierit, notabit : idem etiam ipse observans.

B

32. Sed viatori quidem reditus, unde egressus est, lætitiam gignit : sobrio autem viro regressus ad ea quæ a tergo reliquit, est animæ rationalis interitus, ac indicium defectionis ab operibus, sermonibus et cogitationibus Deo gratis. Is itaque tempore somni lethalis animæ habiturus est cogitationes, instar aculeorum excitantes eum, commemoratione crapulæ multæ, et ignaviæ, nascentis e negligentia.

33. Cum incidimus in tribulationes, desponsiones animi ac desperationes, verba Davidis in nobis ipsi exsequi debemus, effundere in conspectu Dei corda nostra, precationem et afflictionem nostram, ut est, Domino denuntiare. Confitemur enim Deo, C tanquam ea quæ circa nos sunt, sapienter gubernanti, et qui tribulationem cum fructu levem efficere potest, et liberare nos ab interitu et corruptibili molestia.

34. Ira siquidem adversus homines præter naturam emota, et tristitiam non secundum Deum, et tædium gignit : quæ pariter corrumpunt bonas et eruditas cogitationes : et per confessionem dissipantur a Domino lætitiam inferente.

35. Cogitationes in animo, vel nobis invitis fixas et consistentes, delere solet deprecatio erga Jesum, ex intimis animi conceptibus orta cum sobrietate.

36. Cum angimur multitudine cogitationum irra- D tionalium, levari dolorem et recreari nos sentiemus, si vere, et omni affectu deposito, nosipsos accusemus : aut si Domino, velut homini annuntiemus omnia. Hac duplici ratione, et non aliter, recreationem omnimodam nanciscemur. Sin existimemus, velut porrecta manu, Deum auctorem rerum, et horum esse causam, et oblato pugno rependi nobis cognoscemus illud, *Qui habet aures audiendi, audiat*[94], inquit Dominus.

37. Mentis imaginem a patribus accepit legislator Moses, qui Deum videt in rubo, vultu illustratur, Deus Pharaonis a Deo deorum constituitur, flagellat Ægyptum, educit Israelem, et leges sancit quæ

[94] Matth. xi, 15.

Digitized by Google

quidem tropice sumpta, sunt secundum spiritum, effectus mentis et prærogativæ.

38. Aaron autem legislatoris frater, erat imago hominis externi. Nos ergo subinferentes expostulationes iracundas, quemadmodum Moses in Aaron delinquentem, dicamus : Qua te injuria affecit Israel, quod tam cito seduxeris eos a Domino Deo vivo omnipotente?

39. Quod etiam, præter omnia alia ejus beneficia, nos docuit Dominus, suscitaturus Lazarum a mortuis, severa comminatione refrenandam esse mollitiem et effusionem animæ, et habitum animi constantem amplectendum. Quo pacto, nempe si nobis ipsis indignemur, fiet, ut amore sui, vana gloria et superbia, liberetur anima.

40. Ut ergo non possumus absque magna navigatione profundum maris trajicere : ita fieri nequit ut expellamus impetum cogitationis pravæ, citra invocationem Jesu Christi.

41. Reluctatio quidem præcludere solet cogitationes : invocatio autem Dei expellit eas e corde. Suggestio enim in anima, formata per imaginationem rei sensibilis, verbi gratia, facies ejus qui nos offendit, aut imaginatio pulchritudinis muliebris, auri, vel argenti, horum singula si concipiantur intellectu nostro, statim deprehenduntur cogitationes, quæ injuriarum recordationis, stupri et avaritiæ visionem in animo nostro pepererunt. Ac si mens quidem nostra perita fuerit et erudita, comparaverit habitum conservandi sui, et perspiciendi pure et in statu sereno, blandas illusiones et insidias malignorum : perfacile statim repulsione, contradictione, Jesu Christi etiam imploratione, exstinguit ignita tela diaboli, nec sinit illusionem affectionibus imbutam, sibi cognatam aut familiarem fieri, aut cogitationes nostras affectionum vinculo similes imagini objectæ formari, aut colloqui familiariter, aut longam animi moram et consensum contrahere : quibus necessario succedunt opera mala, velut noctes diebus.

42. Sin expers fuerit solertis temperantiæ mens nostra, confestim affectionum intercessione permiscetur cum re per imaginationem objecta, qualiscunque ea fuerit, disputat cum ea, interrogationes scelestas excipit, et dat responsiones : tumque fit, ut promiscue versentur cogitationes nostræ cum illusione diabolica : illa tam viribus quam numero vehementius augescente, quo amabilis, speciosa et grata appareat illam admittenti et deprædato animo. Cui idem contingit, quemadmodum cum in campestri quodam loco canis apparet, et ibi sint agni nuper nati : hi, cum sint innoxii et pusilli, ad eum, quem conspexerunt, frequenter cursitant, velut ad propriam matrem : nihil ex accessu ad canem lucrantes, quam ut ejus sordes duntaxat et malum odorem referant. Ad eumdem modum cogitationes nostræ præcurrunt imperite ad cunctas dæmoniacas illusiones animum ingredientes : quibus cum per-

A ἐξάγει τὸν Ἰσραὴλ, καὶ νομοθετεῖ· ἅτινα τροπικῶς λαμβανόμενα, κατὰ πνεῦμα τοῦ νοός εἰσιν ἐνεργήματα καὶ προτερήματα.

λη'. Εἰκὼν δὲ τοῦ ἐκτὸς ἀνθρώπου Ἀαρὼν ὁ ἀδελφὸς τοῦ νομοθέτου. Ἐγκλήσεις οὖν μετὰ θυμοῦ, ὡς Μωσῆς πταίσαντι τῷ Ἀαρὼν, καὶ ἡμεῖς εἰσφέροντες λέγωμεν· Τί ἠδίκησέ σε Ἰσραὴλ, ὅτι ἔσπευσας ἀποστῆσαι αὐτοὺς ἀπὸ τοῦ Κυρίου Θεοῦ ζῶντος παντοκράτορος ;

λθ'. Παρέδειξε γὰρ ἡμῖν ὁ Κύριος σὺν πᾶσιν ἄλλοις ἀγαθοῖς καὶ τοῦτο, ὅτε ἔμελλεν ἀναστῆσαι τὸν Λάζαρον ἐκ νεκρῶν, τὸ ἀναστέλλειν διὰ ἐμβριμήσεως τὸ θηλυδριῶδες καὶ διαχυτικὸν τῆς ψυχῆς, καὶ στυφνὸν ἦθος ζηλοῦν, ὃ οἶδε, φημὶ δὴ τὸ αὐτομεμφὲς ἐκ φιλαυτίας, ἐκ κενοδοξίας τε καὶ ὑπερηφανίας τὴν B ψυχὴν λυτροῦσθαι.

μ'. Ὥσπερ οὖν ἄτερ πλοίου μεγάλου θαλάττιον πέλαγος περάσαι οὐ δυνατὸν, οὕτως ἀδύνατον ἐκδιῶξαι προσβολὴν λογισμοῦ πονηροῦ, χωρὶς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ.

μα'. Ἀντίρρησις μὲν φιμοῖ, ἐπίκλησις δὲ διώκειν ἐκ καρδίας εἴωθε τοὺς λογισμούς· ἡ γὰρ προσβολὴ μορφωθεῖσα ἐν φαντασίᾳ αἰσθητοῦ πράγματος ἐν τῇ ψυχῇ, οἷον τὸ τοῦ λυπήσαντος ἡμᾶς πρόσωπον, ἢ κάλλους γυναικείου φαντασία, ἢ χρυσίου, ἢ ἀργυρίου, ἓν καθ' ἓν τούτων εἴπερ γένηται ἐν τῇ διανοίᾳ ἡμῶν, εὐθέως ἐλέγχονται οἱ τῆς μνησικακίας, καὶ πορνείας, καὶ φιλαργυρίας φαντάσαντες τὴν καρδίαν λογισμοί· καὶ εἰ μὲν πεπειραμένος ὁ νοῦς ἡμῶν καὶ πεπαιδευμένος ὑπάρχει, ἐν ἕξει ὢν τῆς τοῦ νοῦ τη- C ρήσεως καὶ τοῦ καθαρῶς καὶ ἐν αἰθρίᾳ βλέπειν τὰς θελκτικὰς φαντασίας τε καὶ ἀπάτας τῶν πονηρῶν, εὐκόλως εὐθὺς ἐξ ἀναδόσεως καὶ ἀντιρρήσεως καὶ εὐχῆς Ἰησοῦ Χριστοῦ, σβεννύει τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου, μὴ συγχωρῶν τὴν ἐμπαθῆ φαντασίαν συγγενῆ ἅμα αὐτῇ καὶ τοὺς ἡμῶν λογισμοὺς συμμορφωθῆναι τῷ ἐνδάλματι ἐμπαθῶς, ἢ προσλαλῆσαι φιλικῶς, ἢ πολύνοιαν, ἢ συγκατάθεσιν ποιῆσαι ἐξ ὧν ἐπακολουθοῦσιν ἀνάγκῃ τινὶ ὡς ἡμέραις αἱ νύκτες, τὰ πονηρὰ ἔργα.

μβ'. Εἰ δὲ ἄπειρός ἐστιν ὁ νοῦς ἡμῶν ἐντρεχοῦς νήψεως, εὐθὺς μίγνυται τῷ φαντασθέντι αὐτῷ ἐμπαθῶς, οἷον ἂν εἴη, καὶ διαλέγεται, πεύσεις λαμβάνων ἀδίκους, καὶ διδοὺς ἀποκρίσεις, καὶ τότε ἀναμὶξ γίνονται οἱ ἡμέτεροι λογισμοὶ τῇ δαιμονιώδει φαντασίᾳ, αὐτῆς ἔτι μᾶλλον αὐξανομένης τε καὶ πληθυνομένης, ἵνα ἐρασμία, ὡραία τε καὶ ἀρέσκουσα καταφαίνηται τῷ προσιεμένῳ νοῖ καὶ συλουμένῳ, καὶ ταυτὸν πάσχει τότε ὁ νοῦς, οἷον εἴπερ φανῇ κύων ἐν πεδινῷ τόπῳ τινὶ, ἔνθα καὶ ἄρνες τύχωσιν ὄντες ἄκακοι καὶ μικροὶ, τῷ ὀφθέντι αὐτοῖς προστρέχουσιν ὡς μητρὶ ἰδίᾳ πολλάκις, μηδὲν ἐκ τῆς τοῦ κυνὸς πλησιάσεως κερδαίνοντες, ἢ μόνον τῆς τοῦ κυνὸς ἀκαθαρσίας καὶ δυσωδίας ἀντιλαβέσθαι. Τὸν αὐτὸν δὲ τρόπον, καὶ οἱ ἡμέτεροι λογισμοὶ προστρέχουσιν ἀπαιδεύτως πάσαις ταῖς δαιμονικαῖς ἐν νῷ φαντασίαις, καὶ ἀναμὶξ, ὡς ἔφην, γενόμενοιν ἔστιν ἰδεῖν αὐτοὺς ἅμφω καταστρέψαι βουλομένους τὴν Ἴλιον πόλιν, ὡς

Digitized by Google

ὁ Ἀγαμέμνων τε καὶ Μενέλαος. Οὕτω γὰρ καὶ οὗτοι βούλονται ὅ τι δεῖ γενέσθαι εἰς ἔργον ἀγαγεῖν διὰ τοῦ σώματος τὸ ὡραῖον σὺτοῖς καὶ ἡδὺ φανὲν ἐξ ἀπάτης διὰ τῆς δαιμονίας εἰσβολῆς· καὶ οὕτω δὴ λοιπὸν τότε ἔνδον δημιουργοῦνται τὰ τῆς ψυχῆς πτώματα· ἀνάγκη δὲ ἔκτοτε καὶ ἐκτὸς αὐτὰ ἐκφέρειν τὰ ἔνδον τῆς καρδίας.

μγ'. Εὔκολον γάρ τι καὶ ἄκακον πρᾶγμα ὁ νοῦς, ῥᾳδίως ἑπακολουθῶν τοῖς φαντάσμασι, καὶ πρὸς τὰς ἀνόμους φαντασίας δυσκάθεκτον, εἰ μὴ ἔχοι κωλύοντα αὐτὸν ἀεννάως καὶ χαλινοῦντα τὸν αὐτοκράτορα παθῶν λογισμῶν.

μδ'. Θεωρία καὶ γνῶσις, ὁδηγοὶ ἀκριβοῦς βίου καὶ πρᾴξεως πεφύκασι γενέσθαι· διὰ τὸ, τὴν διάνοιαν ἐκπαρθεῖσαν τούτων, εἰς καταφρόνησιν φθάσαι τῶν ἡδονῶν καὶ τῶν ἄλλων αἰσθητῶν καὶ ἡδέων τοῦ βίου, ὡς εὐτελῶν.

με'. Βίος δὲ προσεκτικὸς ἐν Χριστῷ Ἰησοῦ κατορθούμενος, πατὴρ γίνεται τῆς θεωρίας καὶ γνώσεως. Ἡλίου γεννήτωρ τε ἀναβάσεως θείων, καὶ ἐννοιῶν σοφωτάτων ἁρμοσθεὶς συζύγῳ τῇ ταπεινώσει, ὥς φησιν Ἡσαΐας ὁ θεῖος προφήτης· *Οἱ γὰρ ὑπομένοντες τὸν Κύριον, ἀλλάξουσιν ἰσχύν*, πτεροβολήσουσι καὶ πετασθήσονται διὰ Κυρίου, φησί.

μς'. Σκληρὸν καὶ χαλεπὸν τοῖς ἀνθρώποις καταφαίνεται τὸ ψυχικῶς ἡσυχάζειν ἀπὸ παντὸς διαλογισμοῦ. Καί ἐστιν ἄρα ὡς ἀληθῶς ἐργῶδες καὶ ἐπίπονον· οὐ γὰρ μόνοις ἐπαχθὲς τοῖς ἀμυήτοις τοῦ πολέμου τὸ ἀσώματον ἐν σωματικῷ περικλείειν τε καὶ περιορίζειν, ἀλλὰ καὶ τοῖς πεῖραν εἰληφόσι τῆς ἔνδον ἀΰλου μάχης. Ὁ δὲ Κύριον Ἰησοῦν διὰ συνεχοῦς εὐχῆς ἐνστερνισάμενος, οὐ κοπιάσει κατακολουθῶν αὐτῷ, κατὰ τὸν Προφήτην, καὶ ἡμέραν ἀνθρώπου ὁ τοιοῦτος οὐκ ἐπιθυμήσει διὰ τὴν ὡραιότητα καὶ γλυκύτητα Ἰησοῦ, καὶ τοὺς κύκλῳ ἀσεβεῖς δαίμονας περιπατοῦντας τοὺς ἐχθροὺς αὐτοῦ καταισχυνθήσεται λαλῶν αὐτοῖς ἐν πύλαις καρδίας, καὶ διὰ Ἰησοῦ, κατὰ νώτων διώκων.

μζ'. Ἀναπτᾶσα ψυχὴ διὰ θανάτου ἐν ἀέρι ἐν πύλαις οὐρανίαις, μεθ' ἑαυτῆς ὑπὲρ αὐτῆς Ἰησοῦν ἔχουσα, οὔτ' ἐκεῖ τοὺς ἐχθροὺς αὐτοῦ αἰσχυνθήσεται· ἀλλὰ παῤῥησίᾳ ὡς νῦν καὶ τότε λαλήσει ἐν πύλαις πρὸς αὐτούς, μόνον ἕως ἐξόδου αὐτοῦ μὴ ἐκκακήσῃ βοᾷν πρὸς Χριστὸν Ἰησοῦν ἡμέρας καὶ νυκτός. Καὶ αὐτὸς ποιῶν ποιήσει τὴν ἐκδίκησιν αὐτοῦ ἐν τάχει, κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θείαν ὑπόσχεσιν, ἣν ἔφη περὶ τοῦ κριτοῦ τῆς ἀδικίας· *Ναί, λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν ἐν τάχει*, καὶ ἐν ζωῇ τῇ παρούσῃ, μετὰ τὴν ἐκ τοῦ σώματος αὐτοῦ ἔξοδον.

μη'. Τὴν νοητὴν θάλασσαν πλέων, θάῤῥει τῷ Ἰησοῦ· φωνεῖ γὰρ ἔνδον ἐν τῇ σῇ καρδίᾳ μυστικῶς, τό, Μὴ φοβοῦ, παῖς μου Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ· μὴ φοβοῦ, σκώληξ Ἰσραήλ, ἐγὼ ὑπερασπίζω σου. Εἰ

A mistæ fuerint, ut dixi, videre licet eas ambas, Agamemnonis et Menelaï more, Trojam evertere velle: ita et hæ expetunt, id quod gerendum est, ministerio corporis ad effectum perducere, juxta illud quod sibi præ dilectionis affectu ex suggestione diabolica formosum et suave visum fuerit: et sic tum animæ delicta moliuntur intus, quod reliquum est, vernm necesse est, eodem momento interiora cordis ab illis educere.

43. Animus enim est quidpiam simplex et innoxium: qui facile sectatur imaginationes, et ab illusionibus malignis ægre se continet, nisi habuerit, qui eum perpetuo coerceat, et refrenet animæ facultatem, quæ solet imperare cogitationibus et affectionibus.

B 44. Contemplatio et cognitio natura solent esse duces et auctores exactæ vitæ: quoniam harum ope extollitur animus, ut in primis contemnat voluptates, et alia sensum oblectantia, tanquam levia.

45. Vivendi modus sui observantissimus, qui dirigitur ex sententia Jesu Christi, contemplationis et cognitionis pater efficitur, et rursus genitor ascensionum divinarum, ac doctarum cogitationum, si fuerit humilitati conjugi adaptatus, ut inquit propheta divinus Isaias: *Qui sustinent Dominum, mutabunt fortitudinem*[95]: et alati volabunt, et expandentur a Domino, ait.

C 46. Durum ac difficile videtur hominibus, animum habere posse tranquillum ab omni cogitationum disputatione. Et est sane arduum et laboriosum: quia non his solis onerosum, qui nondum initiati bello, incorporeum nesciunt includere corpore et circumscribere, sed etiam iis qui pugnam intestinam et incorpoream sunt experti. Qui vero continua precatione toto pectore Jesum complexus fuerit, non laborabit sequens illum, ut ait Propheta. Idemque captus decore, oblectatione et suavitate Jesu, non expetet diem humanum: hostesque suos, impios dæmones in circuitu ambulantes, non extimescet, alloquens eos pro foribus cordis, et, opitulante Jesu, expellens eos a tergo.

D 47. Anima quæ per obitum evolat in aere ad portas cœlestes, secum et supra se Jesum habens, hostes suos illic non exhorrescet: sed fidenter, ut nunc, alloquetur tunc eos pro foribus, modo ne ad decessum usque suum fatigetur, diu noctuque clamando, Jesum Christum invocare. Qui procul dubio quamprimum ulciscetur de eis, juxta divinam et minime fallacem ejus promissionem, qua de judice iniquo dixit, *Amen dico vobis, cito faciet vindictam*[96]: tam in hac vita quam post decessionem ejus e corpore.

48. Spiritale mare trajiciens, confide in Jesum. Intus enim mystice sonat illud in corde tuo: Ne timeas, puer mi Jacob, pusille Israel: ne metuas, vermis Israel: ego pro te pugnabo. Si igitur Deus

[95] Isa. XL, 31. [96] Luc. XVIII, 8.

Digitized by Google

pro nobis, quis malignus contra nos? Deus, inquam, qui beatos dixit mundos corde, et lege sancivit, in mundis cordibus dulcem Jesum pure solum et divinitus incedere et inhabitare velle? Quapropter, ut divinus Paulus ait[97], Ne desinamus exercere animum ad pietatem. Re enim vera pietas merito radicata est, quæ semina maligni radicitus evellit. Ipsa pietas est via rationis, hoc est, rationalis facultatis sive ratiocinationis via. Nam secundum proprietatem linguæ Græcæ, via dicitur οἶμος et κέλευθος, quod est ratiocinatio.

A οὖν ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς πονηρὸς καθ' ἡμῶν; ὃς γε μεμακάρικε καθαροὺς τῇ καρδίᾳ, καὶ νενομοθέτηκεν ὡς ταῖς καθαραῖς καρδίαις ὁ γλυκὺς Ἰησοῦς καθαρῶς μόνος ἐπιβαίνειν θεϊκῶς καὶ ἐνοικεῖν θέλων; Διὸ μὴ ἀποστῶμεν, κατὰ Παῦλον τὸν θεῖον, γυμναζόμενοι τὸν νοῦν πρὸς εὐσέβειαν· ἀληθῶς γὰρ εὐσέβεια εἰκότως ἐρρήθη, ἡ ῥιζόθεν ἐκτίλλουσα τὰ τοῦ Πονηροῦ σπέρματα· αὕτη εὐσέβεια, αὕτη οἶμος τοῦ λόγου, τουτέστιν ὁδὸς τοῦ λογιστικοῦ, ἤτοι ὁδὸς λογισμοῦ· καθ' Ἑλληνικὴν δὲ διάλεκτον *οἶμος* καὶ *κέλευθος* ἡ ὁδὸς λέγεται, ὅ ἐστι λογισμός.

49. Davidis sententia, *Delectabitur in multitudine pacis*[98], is qui non accipit personam hominis, nec injuste judicat in corde: sive formas a malignis spiritibus oblatas non suscipit, unde concipiat peccatum: nec male sentit aut judicat in terra cordis sui, cum justa rependat peccato. Summi enim et docti Patres in scripturis suis ipsos dæmonas, ob serendarum cogitationum vim, vocaverunt homines. Cujus generis est Evangelium, in quo Dominus ait: *Inimicus homo hoc fecit*[99]; et tritico permiscuit zizania. Et quia talibus nequitiam perpetrantibus non statim reluctamur, ideo etiam absumimur cogitationibus.

μθ'. Ἐπὶ πλήθει *κατατρυφήσει εἰρήνης*, κατὰ Δαβίδ, ὃς οὐ λαμβάνει πρόσωπον ἀνθρώπου, καὶ κρίνων ἀδικίαν ἐν καρδίᾳ, ἤτοι μορφὰς μὴ λαμβάνων τῶν πονηρῶν πνευμάτων, καὶ διὰ τῶν μορφῶν λογιζόμενος τὴν ἁμαρτίαν, καὶ κακῶς κρίνων καὶ δικάζων ἐν γῇ τῆς ἰδίας καρδίας, τὰ δίκαια τῇ ἁμαρτίᾳ διδούς· ἀνθρώπους γὰρ καὶ τοὺς δαίμονας οἱ μεγάλοι τε καὶ γνωστικοὶ Πατέρες ἐν ταῖς συγγραφαῖς αὐτῶν ἐκάλεσαν, διὰ τὸ λογιστικόν· οἷόν ἐστιν καὶ τὸ εὐαγγελικὸν, ἔνθα φησὶν ὁ Κύριος, ὅτι *Πονηρὸς ἄνθρωπος τοῦτο ἐποίησε*, καὶ τῷ σίτῳ καὶ τὰ ζιζάνια κατέμιξεν. Οὐκ ἔστιν ἀντίῤῥησις ταχὺ ἀπὸ τῶν τοιούτων τὸ πονηρόν· τούτου δὴ χάριν καὶ καταναλισκόμεθα ὑπὸ τῶν λογισμῶν.

50. Mentis attentionem administraturi, si temperantiæ humilitatem aptemus, et reluctationi jungamus precationem, via intellectus recte incedemus, donum cordis nostri adorando et sancto nomine Jesu Christi, velut lampade lucis, decorantes, exornantes, et nequitia expurgantes. Sin confidimus in sola temperantia et observatione nostra, statim ut impellemur ab hostibus, corruemus eversi, et expugnabunt nos deceptores illi versutissimi, et basta valida, nomine Jesu Christi carentes, suis retibus, nempe malignis excogitationibus, facilius et vehementius nos informabunt et sigillabunt. Solus enim colendus ille gladius, nomen, inquam, Jesu: in stabili corde sæpius revolutus, potest contorquere et abscindere illos, adurere, inquam, et ad latebras cogere, velut ignis stipulam. Quinetiam, re satis ante oculos subjecta, certiorem facit peritissimum certantis animum, nempe auxiliatorem et omnis illusionis diabolicæ purgatorem esse Deum: cui cedunt et subjiciuntur omnia.

ν'. Νοῦ προσοχὴν ἀρξάμενοι πολιτεύεσθαι, εἰ μὲν ἁρμόττομεν νήψει ταπείνωσιν, καὶ τῇ ἀντιῤῥήσει εὐχὴν συγκομίσομεν, τὴν ὁδὸν τῆς διανοίας καλῶς ὁδεύσομεν ὥσπερ μετὰ λαμπάδος φωτὸς μετὰ τοῦ προσκυνητοῦ καὶ ἁγίου ὀνόματος Ἰησοῦ Χριστοῦ, τὸν οἶκον ἡμῶν τῆς καρδίας ἐκ πονηρίας φιλοκαλοῦντές τε καὶ ἐκκαθαίροντες. Εἰ δὲ μόνον ἐν νήψει ἡμετέρᾳ ἢ προσοχῇ θαῤῥήσομεν, ταχέως παρὰ τῶν ἐχθρῶν ὠθούμενοι ἀνατραπέντες πεσούμεθα, καὶ καταβαλοῦσιν ἡμᾶς οἱ δολομῆται καὶ δολιώτατοι, καὶ τοῖς ἀμφιβλήστροις αὐτῶν τοῖς πονηροῖς ἐνθυμίοις πλειόνως ἐμπλακησόμεθα, ἢ καὶ σφραγισόμεθα εὐχερῶς ὑπ' αὐτῶν, τὸ κρατοῦν δόρυ οὐκ ἔχοντες Ἰησοῦ Χριστοῦ ὄνομα. Μόνον γὰρ τὸ σεβάσμιον φάσγανον τοῦτο πυκνῶς ἄγαν στρεφόμενον ἐν μονοτρόπῳ καρδίᾳ οἷδε συστρέφειν καὶ κατακόπτειν αὐτοὺς, καταφλέγειν τε καὶ ἀποκρύπτειν· τὸν μὲν ὡσεὶ πῦρ, οἱ δὲ ὡς καλάμην. Ἀλλὰ γὰρ καὶ ἐν αἰσθήσει ἱκανῇ τότε ὑπάρχει, γνωρίζον τὴν τοῦ ἀγωνιστοῦ πολύπειρον καρδίαν, ὅτιπερ ἐκ πάσης δαιμονίας φαντασίας βοηθῶν καὶ καθαίρων Θεός ἐστιν; ᾧτινι πᾶν ὑπείκει, καὶ πάντα ὑποτέτακται.

51. Temperantiæ vero opus non intermittendum, et animæ summum lucrum et emolumentum est, perspicere cogitationum imaginationes, cum primum formantur in mente. Reluctationis autem est deprehendere et indicare cogitationem, quæ per imaginationem rei cujusdam sensibilis, aerem mentis nostræ ingredi nititur. Cæterum nihil est, quod tam cito exstinguat et dissolvat omnem adversariorum conceptionem, omnem sermonem, omne visum, omnem statuam, omne idolum, et omnem

να'. Ἔργον δὲ, νήψεως μὲν, ἀδιάλειπτον καὶ τῆς ψυχῆς ὄνησις καὶ κέρδος μέγα, τὸ ὁρᾷν εὐθὺς σχηματιζομένας τὰς τῶν λογισμῶν ἐν νῷ φαντασίας· ἀντιῤῥήσεως δὲ, τὸ διελέγχειν καὶ δηλοῦν τὸν πειρώμενον εἰσελθεῖν λογισμὸν ἐν τῷ ἀέρι τοῦ νοὸς ἡμῶν διὰ φαντασίας αἰσθητῆς τινὸς πράγματος· τὸ δὲ σβεννύον καὶ διαλύον τῶν ἀντιπάλων εὐθέως πᾶν νόημα, πάντα λόγον, πᾶν φάντασμα, πᾶν ἴνδαλμα, πᾶν εἴδωλον, πᾶσαν στήλην πονηρὰν, ἐστὶν ἡ τοῦ Κυρίου ἐπίκλησις. Καὶ ἡμεῖς γὰρ αὐτοὶ ἐν νῷ βλέ-

[97] I Tim. IV, 7. [98] Psal. XXXVI, 11. [99] Matth. XIII, 28.

Digitized by Google

πομεν τὴν κατὰ κράτος αὐτῶν ἧτταν, τὴν διὰ τοῦ Ἰησοῦ τοῦ μεγάλου Θεοῦ ἡμῶν, καὶ τὴν ἡμῶν τῶν ταπεινῶν καὶ εὐτελῶν καὶ ἀγρίων ἐκδίκησιν. A

reprobum titulum, quam invocatio Domini. Ac nos quidem ipsi conspicimus in animo, de illis, potentia Jesu summi Dei nostri, tum victoriam dari, tum nostram, qui humiles, exiles, et inutiles sumus, ultionem sumi.

νβ'. Ὅτι πάντες οἱ λογισμοὶ οὐδὲν ἕτερόν εἰσιν ἀλλ' ἢ φαντασίαι μόναι αἰσθητῆς καὶ κοσμικῶν πραγμάτων, οἱ πολλοὶ ἀγνοοῦμεν. Εἴπερ δὲ χρονίσομεν ἐν εὐχῇ νήφοντες, στερίσκει μὲν εὐχὴ τὴν διάνοιαν πάσης ὑλώδους φαντασίας λογισμῶν ῥυπαρῶν· γνωρίζει δὲ αὐτὴ καὶ τοὺς λόγους τῶν πολεμίων, καὶ τὸ μέγα κέρδος εὐχῆς τε καὶ νήψεως· *Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν* νοητῶν νοητῶς καὶ αὐτὸς σὺ ὄψει, καὶ κατανοήσεις, φησὶ Δαβὶδ ὁ θεῖος μελῳδός.

52. Ignoramus plerique universas cogitationes nihil aliud esse præterquam solas imaginationes sensilium et mundanarum rerum. Quod si sobrii precibus immoremur, precatio privat animum omni crassa sordidarum cogitationum imaginatione. Perspicuas etiam ipsa facit hostium artes, et declarat, ingens ex precibus et temperantia lucrum oriri. *Verumtamen oculis tuis considerabis, et retributionem peccatorum* spiritalium animo etiam tu ipse *videbis* [1], et considerabis, inquit David modulator divinus.

νγ'. Μνημονεύσωμεν, εἰ δυνατὸν, τοῦ θανάτου ἀδιαλείπτως· δι' ἧς μνήμης φροντίδων ἀπόθεσις ματαιοτήτων τε ἐν ἡμῖν γεννᾶται, φυλακή τε νοὸς καὶ διηνεκὴς δέησις· ἀπροσπάθεια δὲ τοῦ σώματος, βδέλυξις ἁμαρτίας, καὶ σχεδὸν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, πᾶσα ἀρετὴ ἄγουσα ἐκ ταύτης ἐκβλύζεται· διὸ ὡς τῇ ἰδίᾳ πνοῇ, εἰ δυνατὸν, τῷ πράγματι χρησώμεθα. B

53. Perpetuam, si fieri potest, mortis gestemus memoriam: qua curarum, vanitatum omnium, et reliquorum quæ sunt in nobis, depositio nascitur: conservatio etiam mentis, et assidua precatio, alienatio item ab omni corporis affectu, exsecratio peccati, ac propemodum, si verum dicere oportet, virtus omnis ex ea prodiens scaturit. Quamobrem pso facto, tanquam propria spiratione, si fieri potest, utamur ea.

νδ'. Καρδία ξενωθεῖσα φαντασιῶν, τελέως νοήματα τέξεται μέσον αὐτῆς σκιρτῶντα θεῖά τε καὶ μυστηριώδη, ὃν τρόπον σκιρτῶσιν ἰχθύες, καὶ ἐγκυβιστῶσι δελφῖνες γαληνιώσης θαλάσσης· καὶ ῥιπίζεται μὲν θάλασσα ὑπὸ λεπτῆς αὔρας. Ἄβυσσος δὲ καρδίας ὑπὸ Πνεύματος ἁγίου. Ὅτι δὲ, φησὶν, *ἐστὲ υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ* C *αὐτοῦ, ἐν ταῖς καρδίαις ὑμῶν κράζον, Ἀββᾶ, ὁ Πατήρ.*

54. Mens procul ab illusionibus alienata, tandem divinas et mysteriis plenas conceptiones pariet, exsultans in medio sui, quemadmodum tranquillo mari exsiliunt pisces, et demisso capite delphini subsultant. Et levi quidem aura perflatur mare: abyssus autem cordis, Spiritu sancto. *Quoniam autem estis*, ait, *filii Dei, misit Deus Spiritum Filii sui in corda vestra, clamantem, Abba, Pater* [2].

νε'. Ἀπορήσει καὶ διχονοήσει πᾶς μοναχὸς πνευματικοῦ ἔργου, πρὸ νήψεως νοῦ λαβέσθαι, ἢ οὐκ εἰδὼς μὲν τὸ ταύτης κάλλος, ἢ εἰδὼς μὲν, δι' ἀμέλειας δὲ μὴ δυνάμενος, τῆς δὲ ἀπορίας ἀναμφιβόλως λυθήσεται, νοὸς τήρησιν ἐπιβάς, ἥ ἐστι καὶ λέγεται πρακτικὴ φιλοσοφία νοὸς, ὡς τὴν ὁδὸν εὑρηκὼς ἣ εἶπεν, *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀνάστασις, καὶ ἡ ζωή.*

55. De opere spiritali hæsitabit, et ab eo alienus erit omnis monachus, qui temperantiam animi ante non adeptus fuerit, aut ignoraverit ejus dignitatem: aut scierit quidem, sed socordia victus eam exercere non possit. Qua procul dubio dubitatione liberabitur, ubi mentis observationem aggressus fuerit: quæ et est et dicitur philosophia mentis activa: quemadmodum viam appellavit, qui dixit: *Ego sum via, resurrectio, et vita* [3].

νς'. Πάλιν αὖθις ἀπορήσει ὁρῶν ἄβυσσον λογισμῶν, καὶ πλῆθος νηπίων Βαβυλωνίων, ἀλλὰ καὶ ταύτην λύει τὴν ἀπορίαν Χριστὸς, εἴγε τῇ βάσει τῆς διανοίας διηνεκῶς ἐπ' αὐτὸν ἱστάμεθα. Τὰ δὲ πάντα Βαβυλώνια νήπια ἐν τῇ πέτρᾳ ταύτῃ ἐδαφιοῦντες ἐναποκρούσομεν πληροῦντες, κατὰ τὸ λόγιον, τὴν ἐπιθυμίαν ἡμῶν ἐξ αὐτῶν. Ὅς γὰρ, φησὶ, *φυλάσσει ἐντολὴν, οὐ γνώσεται ῥῆμα πονηρόν· χωρὶς γὰρ ἐμοῦ*, ἔφη, *οὐ δύνασθε ποιεῖν οὐδέν.* D

56. Denuo hæsitabit, attendens abyssum cogitationum, et multitudinem parvulorum Babyloniorum. Sed hanc etiam hæsitationem solvit Christus, dummodo ei velut animi fundamento continenter innitamur. Universos autem Babylonios infantulos huic petræ tanquam pavimento allidimus, implentes, juxta eloquium, desiderium nostrum ex ipsis [4]. *Qui enim*, inquit, *custodit præceptum, non experietur quidquam mali* [5]. *Quia sine me*, ait, *nihil potestis facere* [6].

νζ'. Οὗτος ἀληθινὸς τῷ ὄντι μοναχὸς, ὁ νῆψιν κατορθῶν· καὶ οὗτος ἀληθινὸς νηφάλιος, ὁ ἐν καρδίᾳ ὢν μοναχός.

57. Hic profecto verus est monachus, qui recte temperantiam exercet; et hic vere temperans est, qui monachus est animo.

νη'. Συμπαρεκτείνεται ἀνθρώποις ὁ βίος ἐν ἐνιαυτοῖς, ἐν μησὶν, ἐν ἑβδομάσιν, ἔν τε ἡμέραις, καὶ

58. Vita hominum protenditur, per annos, menses, hebdomadas, dies, horas, noctes, et momenta

[1] Psal. xc, 8. [2] Galat. iv, 6. [3] Joan. xi, 25. [4] Psal. cxxxvi, 5. [5] Eccli. viii, 5. [6] Joan. xv, 5.

Digitized by Google

revoluta. Quamobrem una cum iis oportebat nostras secundum virtutem operationes protendere : temperantiam dico, precationem, suavitatem cordis, cum impigra quiete usque ad exitum nostrum.

59. Obveniet enim nobis terribilis hora mortis : ol veniet, nec effugere licebit. Atque utinam tum veniens princeps mundi et aeris, iniquitates nostras reperiat exiguas et leves : ne deprehendatur verax, et frustra lugeamus. *Ille enim servus, qui cognovit voluntatem Domini sui, et non fecit secundum voluntatem ejus* (tanquam servus) *vapulabit multis* [7] inquit.

60. *Væ perditis corde*, ait. Et quid facient, cum inspicere cœperit Dominus 'dcirco fratres, nobis elaborandum.

61. Cogitationibus simplicibus a' ffectione vacuis, fere succedunt aliæ affectionum plenæ : perinde ac serpens sequitur columbam ad pullos suos accedentem : ut diuturna experientia et observatione comperimus. Ac, ut opinor, priores cogitationes posterioribus præbent aditum : et affectu carentes, affectionem sectantibus.

62. Quandoquidem homo bifariam dividendus est : partiri enim debemus, ut dixi, in voluntatem, et intellectum sapientissimum. Horum qui erit inimicus, sine dubio ipsius hominis irreconciliabilis hostis erit. Quo igitur affectu esse potest quis erga eum, a quo nimis acerbe et frequenter sit afflictus : et ita, ut etiam graviore sit affectus injuria, si quidem nos recte gerere volumus juxta summum et primum mandatum? Dico sane illum Christi conversationem imitari debere, beatam videlicet humilitatem Dei, quam incarnatus expressit, dum in mundo versaretur. Hinc Apostolus ait : *Quis me liberabit de corpore mortis hujus* [8] ? Legi enim Dei non subjicitur. Ut autem ostenderet subdere corpus voluntati divinæ, esse de numero eorum quæ sunt in potestate nostra, dixit : *Si enim nos ipsos dijudicaremus, non utique judicaremur : dum judicamur autem, a Domino corripimur* [10].

63. Initium fertilitatis est flos : conservandæ vero mentis principium est temperantia a cibis et potibus : quarumcunque etiam cogitationum abnegatio et abstinentia, necnon tranquillitas cordis nostri.

64. Cum sumus in Christo Jesu firmati, et sub tutela temperantiæ educari cœperimus, apparet nobis in animo primum velut lampas, quæ, quasi manu mentis a nobis teneatur, animi nostri semitas dirigit. Deinde, tanquam luna integre lucens circumvolvitur in firmamento cordis. Postea vero nobis apparet, ut sol, Jesus, radiorum instar solarium justitiam emittens : ostendens scilicet seipsum, ut ille, et speculationum suiipsius præclara lumina.

A ὥραις, καὶ νυξὶ, καὶ στιγμαῖς ἀνακυκλούμενος· τούτοις ἄρα ἐχρῆν καὶ ἡμᾶς συμπαρεκτείνειν τὰς ἐναρέτους ἐργασίας, φημὶ δὴ τὴν νῆψίν τε καὶ εὐχὴν, καὶ τὴν τῆς καρδίας ἡδύτητα ἐπὶ ἐμμελεῖ ἡσυχίᾳ μέχρις ἐξόδου ἡμῶν.

νθ'. Ἐπελεύσεται γὰρ ὥρα ἐφ' ἡμᾶς φοβερὰ ἡ τοῦ θανάτου, ἐλεύσεται καὶ διαφυγεῖν οὐ δυνατόν. Καὶ εἴδε ὁ τοῦ κόσμου καὶ τοῦ ἀέρος ἄρχων τότε ἐρχόμενος, εὑρήσει τὰ ἡμῶν ἀνομήματα ὀλίγα τε καὶ εὐτελέα, ἵνα μὴ ἐλέγξῃ ἀληθεύων, καὶ κλαύσωμεν ἀνωφελῆ. *Ἐκεῖνος γὰρ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, ὡς δοῦλος δαρήσεται πολλὰ*, φησίν.

ξ'. *Οὐαὶ τοῖς ἀπολωλεκόσι τὴν καρδίαν*, φησί. B Καὶ τί ποιήσωσιν ὅταν ἐπισκέπτηται Κύριος; Διὸ σπουδαστέον ἡμῖν, ἀδελφοί.

ξα'. Τοῖς ἁπλοῖς καὶ ἀπαθεστέροις ὄθεν λογισμοῖς οἱ ἐμπαθεῖς παρέπονται, καθὼς εὕρομεν πολυχρονίῳ πείρᾳ τε καὶ παρατηρήσει, ὥσπερ ὄφις περιστερᾷ εἰσερχομένῃ ἐν ἰδίᾳ νοσσιᾷ· ὡς οἶμαι, οἱ πρῶτοι λογισμοὶ εἴσοδος τῶν δευτέρων γινόμενοι, καὶ τῶν ἐμπαθῶν οἱ ἀπαθεῖς.

ξβ'. Τῷ ὄντι γὰρ διχῇ τέμνεσθαι δεῖ ἄνθρωπον, τῇ προαιρέσει καὶ ἐπινοίᾳ σοφωτάτῃ σχίζεσθαι χρὴ, ὡς ἔφην. Καὶ ἐχθρὸς αὐτοῖς, καὶ αὐτοῦ εἶναι ἀκατάλλακτος προσήκει ἀληθῶς. Οἷαν οὖν τις διάθεσιν διόλου ἔχων ἀνθρώπῳ τινὶ δεινῶς ἄγαν καὶ πολλάκις ἐκθλίψαντί τε καὶ ἀδικήσαντι, οὕτως, ἢ καὶ πολὺ πλεῖον, εἴγε βουλόμεθα κατορθοῦσθαι τὴν μεγάλην τε καὶ πρώτην ἐντολὴν, φημὶ δὴ τὴν Χριστοῦ πολιτείαν, τὴν μακαρίαν ταπείνωσιν, τὴν ἔνσαρκον Θεοῦ βιοτήν; ὅθεν φησὶν ὁ Ἀπόστολος, *Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;* Τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Δεικνὺς δὲ ὅτι τὸ ὑποτάξαι τὸ σῶμα πρὸς τὸ τοῦ Θεοῦ θέλημα, τῶν ἐφ' ἡμῖν ἐστιν, ἔφη, *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα.*

ξγ'. Ἀρχὴ μὲν καρποφορίας, ἄνθος· ἀρχὴ δὲ τηρήσεως νοῦ, βρωμάτων ἐγκράτεια καὶ πομάτων, D καὶ παντοίων λογισμῶν ἄρνησις καὶ ἀποχὴ, καὶ ἡσυχία καρδίας.

ξδ'. Ἐν Χριστῷ Ἰησοῦ δυναμουμένοις, καὶ νήψει ἀσφαλείας τρέφειν ἀρξαμένοις ὡς λαμπὰς ἡμῖν καταφαίνεται, ἐν νοῒ πρῶτον, παρ' ἡμῶν οἷα κρατουμένη ἐν χειρὶ νοῦ, καὶ ὁδηγοῦσα ἡμῖν τρίβους διανοίας· ἔπειτα ὡς σελήνη παμφαὴς ἐν στερεώματι καρδίας περιπολοῦσα· μετέπειτα δὲ φαίνεται ἡμῖν ὡς ἥλιος Ἰησοῦς δικαιοσύνην ἡλιοβολῶν, δηλονότι δεικνὺς ἑαυτὸν ὡς ἐκεῖνος, καὶ τὰ ἑαυτοῦ ὁλόφωτα τὰ τῶν θεωρημάτων.

[7] Luc. XII, 47. Eccli. II, 15. [8] Rom. VII, 24. [10] I Cor. II, 31.

Digitized by Google

ξε'. Ταῦτα μυστικῶς ἀποκαλύπτει νῷ ἑπομένῳ τῇ ἐντολῇ αὐτοῦ τῇ φασκούσῃ, *Καὶ περιτεμεῖσθε, φησὶ, τὴν σκληροκαρδίαν ὑμῶν.* Καὶ ὡς εἴρηται, ἐννοίας ἐξαισίας ἐκδιδάσκει ἀνθρώπου νῆψις ἡ σπουδαία· τὸ γὰρ Θεῖον ἀπροσωπόληπτον, ὅθεν φησὶν ὁ Κύριος, Ἀκούετέ μου καὶ συνίετε. *Ὃς γὰρ ἂν ἔχοι; δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὃς δὲ μὴ ἔχει, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ.* Καὶ, *Τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν.* Πολλῷ γοῦν μᾶλλον αὐτῷ αἱ ἀρεταὶ συνεργήσουσιν. A

65. Isthæc mystice revelat animo obtemperanti præcepto ejus, quod dicit, *Et circumcidetis*, inquit, *duritiam cordis vestri* [11]. Temperantia quoque hominis diligenter exculta, sublimes docet et intelligentias, ut dictum est : quia numen divinum personam non accipit. Unde Dominus ait : Audite me, et intelligite, *Habenti dabitur, et abundabit ; ei autem qui non habet, et quod videtur habere, auferetur ab eo* [12]. Et : *Diligentibus Deum, omnia cooperantur in bonum* [13]. Quanto magis certe cooperabuntur ei virtutes

ξς'. Οὐ περιπατήσει πλοῖον πολλὰ μίλια, ὑδάτων χωρὶς, καὶ νοῦ τήρησις οὐδ' ὅλως προβήσεται χωρὶς νήψεως σὺν ταπεινώσει καὶ εὐχῇ Ἰησοῦ Χριστοῦ δι' ὅλης.

66. Navis multa millia non perambulabit absque aqua : ita conservatio mentis citra temperantiam junctam humilitati, et imprecationi Jesu Christi assiduæ, nequaquam proficiet.

ξζ'. Οἶκου θεμέλιος, λίθοι· ταύτης δὲ τῆς ἀρετῆς, καὶ θεμέλιοι, καὶ δροφοι, τὸ προσκυνητὸν καὶ ἅγιον ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ εὐχερῶς μὲν ναυαγήσει κυβερνήτης ἄφρων ἐν καιρῷ κλύδωνος, τοὺς μὲν ναύτας ἐκδιώξας, τὰς δὲ κώπας καὶ τὰ ἱστία ἐν τῷ πελάγει ῥίψας, αὐτὸς δὲ καθεύδων· εὐχερέστερον δὲ ψυχὴ καταποντισθήσεται ἐκ δαιμόνων νήψεως ἀμελοῦσα, καὶ τοῦ ἐπικαλεῖσθαι ἐν ταῖς προσβολαῖς ἀρχομέναις Ἰησοῦ Χριστοῦ ὄνομα. B

67. Fundamentum domus sunt lapides : hujus autem virtutis fundamenta et recta sunt sanctum et adorandum nomen Domini nostri Jesu Christi. Itaque gubernator navis imprudens, qui tempore procellæ nautis expulsis, remis et velis in mare projectis, dormit, facile naufragium facit. Facilius autem anima demergetur a dæmonibus, quæ et temperantiam negligit, et ingruentibus suggestionibus invocare nomen Jesu Christi non curat.

ξη'. Ὃ οἴδαμεν, γράφοντες λέγομεν· καὶ ὃ ἑωράκαμεν, τὴν ὁδὸν διαβαίνοντες, μαρτυροῦμεν τοῖς θέλουσιν, εἴ γε λήψεσθαι τὰ εἰρημένα βουληθήσεσθε. Ὅτι αὐτὸς εἴρηκεν, *Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐκβληθήσεται ἔξω, ὡς τὸ κλῆμα, καὶ συνάγουσιν αὐτὸ, καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται.* Ὁ δὲ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ. Ὡς γὰρ λάμψαι ἥλιον φωτὸς ἄτερ οὐ δυνατὸν, οὕτως ἀδύνατον καθαρθῆναι καρδίαν ῥύπου λογισμῶν ἀπωλείας, ἄνευ τῆς ἐπικλήσεως Χριστοῦ, ᾗ ὡς τῇ ἰδίᾳ πνοῇ χρησώμεθα· τὸ μὲν γὰρ, φῶς· οἱ δὲ, σκότος. Καὶ ὁ μὲν, Θεὸς καὶ Δεσπότης· οἱ δὲ, δοῦλοι δαιμόνων. C

68. Quod scimus, scriptis dicimus ; quod vidimus, dum viam transigeremus, testificamur volentibus ; si quidem excipere dicta vobis libeat ; quia ipse dixit : *Si quis in me non manserit, mittetur foras, sicut palmes : et colligunt eum, et in ignem mittunt, et ardet* [14]. Qui autem manet in me, et ego in eo. Nam sicut sol absque lumine splendere non potest, ita cor purgari non potest sordibus perimentium cogitationum, sine Christi invocatione, qua utimur, velut propria spiratione. Illud enim lumen, hæ vero tenebræ : et ille quidem, Deus ac Dominus ; hæ vero, dæmonum ancillæ.

ξθ'. Φωτοτόκος, καὶ ἀστραπητόκος, καὶ φωτοβόλος, καὶ πυρφόρος ἡ τοῦ νοῦ φυλακὴ προσφυῶς καὶ φερωνύμως καλείσθω· ὑπερέχει γὰρ, τἀληθῆ φάναι, ἀπείρων σωματικῶν καὶ πολλῶν ἀρετῆς. Τούτου οὖν ἕνεκα τοῖς τιμίοις ὀνόμασι καλεῖν χρὴ τὴν ἀρετὴν ταύτην, διὰ τὰ ἐξ αὐτῆς τικτόμενα ἀγλαοφανῆ φῶτα· οἷς οἱ ἐρασθέντες ἐξ ἁμαρτωλῶν καὶ ἀχρείων, καὶ βεβήλων, καὶ ἀγνώστων, ἀσυνέτων τε καὶ ἀδίκων, δίκαιοι, εὔχρηστοι, καθαροὶ, ἅγιοι, καὶ συνετοὶ διὰ Ἰησοῦ Χριστοῦ γενέσθαι δύνανται· καὶ οὐ μόνον, ἀλλὰ καὶ μυστικὰ θεωρεῖν, καὶ θεωρητικοὶ γενόμενοι τῷ ἀκραιφνεστάτῳ καὶ ἀπείρῳ φωτὶ νῦν διανήχεσθαι συμβήσεται, θήγειν τε αὐτῷ ἀῤῥήτοις θήξεσι, καὶ σὺν αὐτῷ κατοικοῦσί τε καὶ πολιτεύονται, ἐπεὶ ἐγεύσαντο ὅτι Χριστὸς ὁ Κύριος, ὡς πληροῦσθαι σαφῶς ἐν τοῖς τοιούτοις πρωταγγέλοις τὸ τοῦ Θείου Δαβὶδ, *Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου·* ὄντως γὰρ δὴ, ὄντως οὗτοι μόνοι ἀτρεκῶς ἐπικαλοῦνται καὶ ἐξομολογοῦνται Θεῷ, ᾧ καὶ φιλοῦσιν ὁμιλεῖν ἀγαπῶντες αὐτόν. D

69. Custodia mentis germano et vero nomine lucipara, fulguripara, lumen emittens, et ignifera vocitetur. Superat enim, ut verum dicamus, infinitas res corporeas, et virtutes plerasque. Qua de causa virtus ista claris nominibus est appellanda, ob splendida lumina quæ nascuntur ex ea : quorum amore qui capiuntur, per Jesum Christum evadere possunt ex peccatoribus, inutilibus, inquinatis, ignotis et insipientibus et iniquis, justi, homines frugi, puri, sancti, et sapientes, neque id solum, sed etiam eveniet ut mystica speculentur : et ubi speculativi fuerint effecti, ut purissimo et infinito lumine trajiciantur, et exacuantur ab ipso arcanis acuminibus : et cum ipso habitant et conversantur, quia gustaverunt quod suavis est Dominus : ut in talibus protangelis clare impleatur illud divini Davidis : *Verumtamen justi confitebuntur nomini tuo, et habitabunt recti cum vultu tuo* [15]. Re enim vera, re, inquam, vera hi soli sincere invocant et confitentur Deo : cum quo colloqui expetunt, amantes eum.

[11] Deut. x, 16. [12] Matth. xxv, 29. [13] Rom. viii, 28. [14] Joan. xv, 6. [15] Psal. cxxxix, 14.

Digitized by Google

70. Væ interiori homini, propter exteriorem. Gravem enim molestiam internus homo contrahet ab externis sensibus, tum ille molestia affectus, flagellis castigabit eos. Qui exsecutus est quod habet littera, jam novit quod theoremate continetur.

A ο'. Οὐαὶ τὸν ἔσω ἀπὸ τῶν ἔξω· σφόδρα γὰρ λυπηθήσεται ὁ ἔνδον ἄνθρωπος ἀπὸ τῶν ἔξω αἰσθήσεων. Καὶ λυπηθεὶς οὗτος μάστιξι χρήσεται κατὰ τῶν ἔξω αἰσθήσεων. Ὁ πράξας τὸ ἐν τῷ γράμματι, ἤδη ἐπέγνω τὸ ἐν τῷ θεωρήματι.

71. Si, ex sententia Patrum, interior noster homo sit temperans, etiam exteriorem potest conservare. Cæterum nos et malorum effectores dæmones, ambo simul perpetramus peccata. Ac hi quidem in cogitationibus duntaxat sive descriptionibus imaginatoriis pro arbitrio formant in animo peccatum : nos autem et cogitationibus intus, et extra operibus ipsis. Nam cum crassitudine corporis dæmones careant, cogitationibus solis, machinatione atque circumventione nituntur, et perinde nobis ac sibi procurant supplicium. Quod si exitiales illi molis corporeæ non essent expertes, etiam factis ipsis peccare non desinerent : ut qui ad impie agendum paratam semper servent intentionem.

οα'. Ἐὰν ὁ ἔσω ἡμῶν ἄνθρωπος κατὰ τοὺς Πατέρας νήφει, δυνατός ἐστι φυλάξαι καὶ τὸν ἔξω, πλὴν ὅτι ἡμεῖς τε καὶ οἱ κακεργάται δαίμονες κοινῶς ἅμφω διαπραττόμεθα τὰς ἁμαρτίας. Καὶ οἱ μὲν ἐν λογισμοῖς μόνον, ἤτοι ἐν φαντασιώδεσι ζωγραφίαις διασχηματίζουσιν ἐν νῷ, ὡς βούλονται, τὴν ἁμαρτίαν· ἡμεῖς δὲ καὶ διὰ λογισμῶν ἔνδοθεν καὶ δι' ἔργων ἔξωθεν· παχύτητος γὰρ σωμάτων ἀπορούντες οἱ δαίμονες, διὰ λογισμῶν μόνον καὶ δολιότητα καὶ ἀπάτην, καὶ ὡς αὐτοῖς προξενοῦσι καὶ ἡμῖν τὴν κόλασιν. B Εἰ γὰρ παχύτητος σωμάτων μὴ ἐστερίσκοντο οἱ ἀλιτήριοι, οὐδ' ἂν καὶ δι' ἔργων ἁμαρτάνειν ἐπαύοντο, ἑτοίμην εἰς τὸ ἀσεβεῖν τὴν προαίρεσιν ἀεὶ διασώζοντες.

72. Sola precatio perimit, et in cinerem redigit eorum fraudes : nempe Jesus Deus et Dei Filius a nobis continenter et sine hæsitatione invocatus : qui prorsus eis non permittit, ut vel initium incursionis suæ (quam etiam impressionem vocant), aut formam subostendant menti in speculo intellectus : vel quosdam sermones habeant cum corde. Forma porro dæmoniaca, quæ nullas habet vires in cor, erit etiam vacua cogitationibus, ut diximus : quia cogitationibus intercedentibus animam clam alloqui solet, et edocere vitia.

οβ'. Εὐχὴ δὲ μονολόγιστος κτείνει τε καὶ ἐκτεφροῖ τὰς αὐτῶν ἀπάτας, δι' ἡμῶν παρακαλούμενος Ἰησοῦς ὁ Θεὸς καὶ Θεοῦ Υἱὸς, συνεχῶς δὲ καὶ ἀόκνως, μηδ' ὅλως παραχωρῶν τούτοις, οὔτε τὴν ἀρχὴν τῆς εἰσβολῆς, ἣν δὴ καὶ προσβολὴν καλοῦσιν, ὑποδεῖξαι τῷ νῷ ἐν κατόπτρῳ τῆς διανοίας, οὐ μορφὴν, οὔτε μὴν λόγους τινὰς λαλῆσαι τῇ καρδίᾳ. Δαιμονιώδης δὲ μορφὴ μὴ εἰσδύνουσα ἐν καρδίᾳ, καὶ λογισμῶν, ὡς ἔφημεν, κενὴ ἔσται, ὅτι τῇ ψυχῇ διὰ λογισμῶν ὁμιλεῖν τε καὶ ἐκδιδάσκειν τὴν κακίαν ἔθος αὐτῇ C λεληθότως.

73. Quamobrem assiduarum precum auxilio, purgatur aer mentis nostræ nebulis obscuris, et ventis nequissimorum spirituum. Mentis autem aere purgato, non potest, inquit, ei non lucere divinum Jesu lumen : modo ne vana gloria, superbia et ostentatione simus inflati, et leviores ad captanda quæ sunt incomprehensibilia : et ab Jesu reperiamur non esse opitulatione digni, eo quod Christus index humilitatis oderit vitia illa.

ογ'. Ἐξ εὐχῆς οὖν συνεχοῦς καθαρεύει ὁ ἀὴρ τῆς διανοίας ἐκ νεφῶν σκοτεινῶν, ἐξ ἀνέμων πνευμάτων πονηροτάτων. Καθαρεύοντος δὲ τοῦ τῆς καρδίας ἀέρος, ἀνένδεκτον μὴ λάμπειν φησὶν αὐτῷ τὸ θεῖον φῶς Ἰησοῦ, εἰ μήτοι γε ὑπὸ κενοδοξίας καὶ τύφου καὶ φαντιασμοῦ φυσώμεθα, καὶ κουφιζόμεθα εἰς τὰ ἀκίχητα, καὶ ἀδοήθητοι πρὸς Ἰησοῦ εὑρισκόμεθα αὐτοὶ, τῷ μισεῖν τὸν Χριστὸν τὰ τοιαῦτα, τὸν τῆς ταπεινώσεως ὑποδείκτην.

74. Demus ergo colla duobus istis, orationi et humilitati : quæ adhibita temperantia sunt adversus dæmones armata, perinde ac flammeus ensis. Quandiu enim sic agemus, singulis diebus et horis læti, mysticum festum animo celebrare poterimus.

οδ'. Ἐχώμεθα τοίνυν εὐχῆς καὶ ταπεινώσεως τῶν δύο τούτων, ἅτινα κατὰ δαιμόνων σὺν νήψει ὁπλίζονται, οἷα μάχαιρα φλόγινος· ἔξεστι γὰρ ἡμῖν οὕτω γε ποιοῦσι καθ' ἡμέραν καὶ καθ' ὥραν καρδιακῶς D μυστικῶς γηθομένοις ἑορτάζειν.

75. Octo generaliores vitiosæ cogitationes, quæ cogitationem omnem complectuntur, et unde cunctæ nascuntur (quemadmodum ex Jove et Junone omnis dæmon exsecrandus, deus Græcorum, ut ferunt illorum fabulæ), omnes redeunt ad fores animi. Quæ cum invenerint mentem custodia destitutam, sigillatim ingrediuntur, suo quæque tempore. Quæcunque enim, illarum octo, cogitatio ascendens in animum, introduxerit exercitum, nempe gregem obscenarum cogitationum, ea, obtenebrata mente, provocat corpus, conversa ad opera turpia perpetranda.

οε'. Οἱ ὀκτὼ γενικώτατοι τῆς κακίας λογισμοὶ, ἐν οἷς περιέχεται πᾶς λογισμὸς, καὶ ἐξ ὧν πάντες τὴν γένεσιν ἔχουσιν (ὡς ἐκ τῆς Ἥρας τε καὶ τοῦ Διὸς πᾶς δαίμων ἐναγὴς θεὸς Δαναῶν, κατὰ τοὺς ἐκείνων μύθους), πάντες ἀνέρχονται ἐν πύλῃ καρδίας, καὶ τὸν νοῦν εὑρόντες ἀφύλακτον, εἷς καθ' εἷς εἰσέρχονται ἐν ἰδίῳ καιρῷ. Ὁπότερος γὰρ τῶν ὀκτὼ διαλογισμὸς ἀναβὰς ἐν καρδίᾳ εἰσέλθῃ ἑσμὸν λογισμῶν αἰσχρῶν φάλαγγα εἰσαγαγεῖν, καὶ οὕτω τὸν νοῦν σκοτίσας, ἐκκαλεῖ τὸ σῶμα, τρεπόμενος εἰς ἐργασίαν αἰσχρῶν πράξεων.

Digitized by Google

ος'. Ὁ τοίνυν τὴν κεφαλὴν τηρῶν τὴν τοῦ ὄφεως, καὶ δι' ἀντιῤῥήσεως θυμοειδοῦς δακεθύμοις ῥήμασι χρώμενος, πὺξ βαλὼν δείματι ἀπεκρούσατο τὸν πολέμιον (ὃ καὶ νῦν τις ἄλλος ἦν κοπιῶν), *Πρῶτος τῶν καρπῶν μεταλάβοι, ὡς* δοκεῖ Παύλῳ. Ὁ τοίνυν θλῶν τὴν κάραν ἐξέφυγε καὶ πολλοὺς πονηροὺς λογισμοὺς καὶ ἔργα πονηρότερα, καὶ τότε διαμένει ἀκύμαντος ἡ διάνοια, τοῦ Θεοῦ ἀπεκδεχομένου τὴν αὐτῆς ἐγρήγορσιν εἰς τοὺς λογισμοὺς, καὶ ἀντιδωρουμένου αὐτῇ εἰδέναι, πῶς δεῖ περιγενέσθαι τοὺς ἀντιπαλαίοντας αὐτὴν, καὶ ὅπως χρὴ καθαίρεσθαι κατὰ μικρὸν τὴν καρδίαν, ἐκ λογισμῶν κοινούντων καὶ μιαινόντων τὸν ἐντὸς ἄνθρωπον, ὡς φησιν ὁ Κύριος, *Ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, πορνεῖαι, μοιχεῖαι, κἀκεῖνά εἰσι τὰ κοινοῦντα τὸν ἄνθρωπον.*

ος'. Ὄντως ἄρα δύναται ψυχὴ ἐν Κυρίῳ στῆναι τῇ ἑαυτῆς εὐμορφίᾳ καὶ ὡραιότητι καὶ εὐθύτητι, ὡς ἐξ ἀρχῆς πρὸς Θεοῦ ἐκτίσθη. Λίαν καλή τε καὶ εὐθεῖα, καθὼς φησιν ὁ μέγας τοῦ Κυρίου θεράπων Ἀντώνιος, τῆς ψυχῆς τὸ νοερὸν κατὰ φύσιν ἐχούσης ἀρετῇ συνίσταται· καὶ πάλιν εἶπε· Τὸ γὰρ εὐθεῖαν εἶναι τὴν ψυχὴν, τοῦτό ἐστι τὸ κατὰ φύσιν νοερὸν αὐτῇ ὡς ἐκτίσθη· καὶ μετ' ὀλίγα αὖθις φησι· Καθαρεύσωμεν τὴν διάνοιαν. Ἐγὼ γὰρ πιστεύω ὅτι καθαρεύσασα ψυχὴ πανταχόθεν καὶ κατὰ φύσιν ἑστῶσα, δύναται διορατικὴ γενομένη πλείονα καὶ μακρότερα βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα Κύριον αὐτῇ· τάδε φησὶν ὁ κλεινὸς Ἀντώνιος, ὡς φησιν ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ Ἀντωνίου Βίῳ.

οη'. Πᾶς λογισμὸς φαντασία ἐν νῷ αἰσθήσει τινὸς πράγματος· νοῦς γὰρ ὢν ὁ Ἀσσύριος οὐκ ἄλλως ἀπατᾷν ἐξισχύει, εἰ μὴ χρήσεται τοῖς παρ' ἡμῶν αἰσθητοῖς καὶ συνήθεσιν.

οθ'. Ὡς οὐ δυνατὸν ἄρα ὄρνεα διώκειν ἡμᾶς ἐν τῷ ἀέρι πτερωτὰ ὄντας ἀνθρώπους, ἢ ἀνίπτασθαι ὥσπερ κἀκεῖνα, τοῦτο τῆς ἡμῶν φύσεως οὐκ ἐχούσης· οὕτως οὐ δυνατὸν λογισμοὺς αὐτομάτους δαιμονιώδεις περιγενέσθαι χωρὶς εὐχῆς νηπτικῆς συχνῆς, ἢ ἀτενῶς ἄγαν πρὸς Θεὸν ὅμμα νοῦ νήχεσθαι. Εἰ δὲ οὔ, γῆν θραύσεις.

π'. Εἰ ἀληθῶς ἄρα περιβαλεῖν αἰσχύνῃ τοὺς λογισμοὺς θέλεις, καὶ ἡσυχάζειν εὐμενῶς, καὶ νήφειν τῇ καρδίᾳ μετὰ εὐκολίας, Ἰησοῦ εὐχὴ κολληθήτω σῇ πνοῇ, καὶ ἐν ὀλίγαις ἡμέραις γινόμενον ὄψει τοῦτο.

πα'. Ὡς γὰρ ἐν ἀέρι γράμματα οὐ δυνατὸν γραφῆναι· δεῖ γὰρ αὐτὰ εἴς τι σῶμα στήσασθαι, ὅπως ἂν διαρκῇ σώζωνται· οὕτω γε τῇ κοπηρᾷ νήψει ἡμῶν τῇ εὐχῇ Ἰησοῦ Χριστοῦ κολληθῶμεν, ἵνα ἡ τῆς νηφαλιότητος πάγκαλος ἀρετὴ, διαρκὴς σὺν αὐτῷ διαμένῃ, καὶ δι' αὐτοῦ ἡμῖν εἰς αἰῶνα διατηρῆται ἀναφαίρετος.

πβ'. Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σου, καὶ εὑρή-

76. Quapropter qui caput serpentis observaverit, et iracunde reluctando, verbis animosis usus, injecto pugno in faciem pulsaverit hostem (in quo modo quispiam alius laborabat) *Primus de fructibus percipere debet*, ut placet Paulo [16]. Qui ergo contundit caput, is et multas cogitationes pravas evitat, et opera pejora. Fitque tum, ut tranquillus permaneat animus : cujus excitationem adversus cogitationes probat Deus, et remunerandi causa docet eum, quo pacto impugnantes se superare queat : et qua ratione cor paulatim purgare oporteat cogitationibus maculantibus et inquinantibus interiorem hominem, sicut ait Dominus : *De corde exeunt cogitationes malæ, adulteria, fornicationes : et hæc sunt quæ coinquinant hominem* [17].

77. Hac itaque ratione potest anima per Dominum retinere suam ipsius venustatem, pulchritudinem et rectitudinem, sicut initio creata est ad similitudinem Dei, valde speciosa et recta, ut inquit magnus Domini servus Antonius, animæ, quæ secundum naturam regitur, vis intellectiva constat virtute. Et iterum dixit, Rectam esse animam, hoc est, ipsam habere facultatem intellectivam naturæ consentaneam, uti creata est. Et statim, paucis interjectis, ait : Purgato simus animo. Ego enim credo animam, quacunque parte purgatam, et natura sua constantem, posse, perspicacem effectam, acutius et remotiora videre, quam possint dæmones, quippe quæ Dominum sibi revelantem habeat. Hæc dicit inclytus Antonius, auctore Athanasio magno, in Vita Antonii.

78. Quævis cogitatio est imaginatio quæ oritur in mente ex perceptione sensitiva rei cujusdam. Cum enim Assyrius sit spiritus, non potest aliter fallere, quam si utatur iis quæ sunt nostris sensibus et moribus familiaria.

79. Ut nos, qui sumus homines, aves in aere volantes assequi non possumus, aut, quemadmodum illæ, sursum volare, cum hanc vim natura nostra non habeat : ita sine frequenti et temperantiæ plena oratione, aut vehementi oculorum mentis in Deum intentione, non potes fortuitas cogitationes diabolicas superare : sin minus, terram feries.

80. Profecto si vere cupis cingere pudore cogitationes, et eas benigne componere, temperantem etiam animum facile comparare, deprecatio Jesu adhæreat spirationi tuæ : et hoc intra paucos dies fieri perspicies.

81. Ut enim litteræ scribi nequeunt in aere, eo quod in corpore quodam necesse habent subsistere ut duraturæ serventur : ita per laboriosam temperantiam nostram precationi Jesu Christi inhæreamus : ut præclara virtus temperantiæ cum ipso perduret et maneat, et per ipsum nobis conservetur in sæcula, ades ut auferri non possit.

82. Versa in Dominum opera tua, et invenies

[16] II Tim. II, 6. [17] Matth. XV, 19, 20.

Digitized by Google

gratiam, inquit. Ne de nobis etiam dicat propheta, *Prope es tu, Domine, in ore ipsorum, sed procul a renibus eorum* [18]. Nullus alius præter Jesum reddet cor tuum pacatum et tranquillum ab affectionibus : præter Jesum, inquam Christum, qui longe distantia conjungit.

83. Utraque pariter spectant ad animam, tum mentales cogitationem allocutiones, tum exteriores conversationes et confabulationes otiosæ. Justissima porro secundum Deum ratione qui declinare vult animi damnum, debet ambobus tam hominibus quam cogitationibus otiosa verba sectantibus succensere, ne mens obscurata perturbet temperantiam : quoniam oblivione obtenebrati perdimus animum.

84. Qui omni studio puritatem cordis semper conservat, legislatorem illius Christum habiturus est pro magistro : qui mystice ipsi voluntatem suam eloquatur. *Audiam quid loquatur in me Dominus Deus* [19], inquit David, dum declarat istud. Explicans autem accuratam animi apud seipsum commentationem, de spiritali bello ac de remuneratoria Dei protectione, dicebat : *Et dicet homo : Eritne fructus justo* [20] ? Deinde ex ea commentatione consilium utrinque excerptum quasi depromens, ait : *Utique est Deus judicans eos in terra* [21]. Perversos scilicet dæmonas in terra cordis nostri. Et alibi dicit : *Accedet homo ad cor altum, et exaltabitur Deus* [22]. Tunc plagæ eorum nobis censebuntur esse sagittæ parvulorum.

85. Ex sententia sacri Psalmi, corde sapientiæ alligato semper degamus, ipsam Dei Patris virtutem ac Dei sapientiam Jesum Christum respirantes. Quod si, ob circumstantiam quamdam remissiores effecti, actiones animi neglexerimus, subsequenti denuo hora matutina lumbos mentis commode perstringentes, rursum opus ipsum attingemus : non ignari, nullam nobis, qui novimus quod bonum est, superesse excusationem, nisi hoc ipsum peragamus.

86. Quemadmodum cibi gignentes morbos, statim ut in corpus sunt injecti, perturbant : at qui comedit, mox ut damnum sentit, vomitorio quodam pharmaco confestim adhibito, manet illæsus : hoc pacto mens quando susceptas cogitationes malas ebibit et manducavit, acerbitatem earum sentit. Deprecatio vero Jesu Christi, ex intimo corde proficiscens, illas facile evomit, et tandem expellit. Sicuti temperantes viros docuit et erudivit, favente Deo, rerum subjectarum perpessio et experientia.

87. Unire studeto spiraculo aerium tuarum temperantiam, necnon nomen Jesu, cum nullius ignara meditatione mortis, et humilitate. Quia mirum in modum ambo juvare solent.

88. Dixit Dominus : *Discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris* [23].

89. Dixit Dominus : *Quicunque seipsum humilia-*

σεις χάρτ, φησίν. Ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται παρὰ τοῦ προφήτου, *Ἐγγὺς εἶ σὺ, Κύριε, τοῦ στόματος αὐτῶν, πόρρω δὲ ἀπὸ τῶν νεφρῶν αὐτῶν.* Οὐδεὶς πάρεξ Ἰησοῦ ἕτερος τὴν σὴν καρδίαν σταθερῶς ἐκ παθῶν εἰρηνεύσει, εἰ μὴ αὐτὸς Ἰησοῦς Χριστὸς ὁ τὰ πόρρω διεστῶτα συνάψας.

πγ'. Ὁμοίως ἀμφότερα τὴν ψυχὴν σκόπουσι, καὶ αἱ κατὰ διάνοιαν τῶν λογισμῶν ὁμιλίαι, καὶ αἱ ἔξωθεν συντυχίαι καὶ ἀργολογίαι. Λυπῆ δὲ ἐκτρεπόμενον τὴν τοῦ νοῦ βλάβην, ἀργολογεῖν ἀμφοτέρους ἀγαπῶντας λυπεῖν, καὶ λογισμοὺς καὶ ἀνθρώπους, δι' αἰτίαν εὐλογωτάτην κατὰ Θεὸν, ἵνα μὴ σκοτιζόμενος ὁ νοῦς χαώσῃ τὴν νῆψιν. Ἐκ γὰρ λήθης σκοτούμενοι τὸν νοῦν ἀπόλλυμεν.

πδ'. Ὁ γὰρ πάσῃ σπουδῇ τηρῶν ἀεὶ τὴν καθαρότητα τῆς καρδίας, ἕξει διδάσκαλον τὸν ταύτης νομοθέτην Χριστὸν, μυστικῶς αὐτῷ λαλοῦντα τὸ θέλημα αὐτοῦ. *Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς*, φησὶν ὁ Δαβὶδ τοῦτο ἐμφαίνων· τὴν δὲ τοῦ νοῦ πρὸς ἑαυτὸν ἐμμελῆ ἐπίσκεψιν περὶ τοῦ νοητοῦ πολέμου δηλῶν, καὶ τὴν τοῦ Θεοῦ ἀντιληπτικὴν ὑπεράσπισιν ἔλεγε· *Καὶ ἐρεῖ*, φησὶν, *ἄνθρωπος· Ἄρα ἔστι καρπὸς τῷ δικαίῳ;* Εἶτα τὸ ἐκ τῆς συζητήσεως σύμμα ἄμφω ἐκρηθὲν ὡς ἐκφαίνων λέγει· *Ἀρά ἐστιν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ·* τοὺς πονηροὺς δαίμονας ἐν τῇ γῇ τῆς καρδίας ἡμῶν. Καὶ ἀλλαχοῦ φησι; *Προσελεύσεται ἄνθρωπος καὶ καρδίᾳ βαθείᾳ, καὶ ὑψωθήσεται ὁ Θεὸς*, καὶ τότε αἱ πληγαὶ αὐτῶν ὡς βέλη νηπίων ἡμῖν λογισθήσονται.

πε'. Ἐν σοφίᾳ πεπεδημένοι τὴν καρδίαν ἀεὶ διάγωμεν κατὰ τὸν Ἱεροψάλτην, αὐτὴν τὴν τοῦ Πατρὸς Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν Χριστὸν Ἰησοῦν ἀναπνέοντες. Εἰ δὲ καὶ ἐκ περιστάσεώς τινος χαυνωθέντες, τῇ νοητῇ κατωλιγωρήσομεν πράξεως, τῇ ἑξῆς πρωΐᾳ πάλιν τὴν ὀσφὺν τοῦ νοὸς καλῶς περισφιγξόμεν, καὶ κραταιῶς τοῦ ἔργου πάλιν ἀψόμεθα, εἰδότες ὅτι οὐκ ἔστιν ἡμῖν ἀπόλογία τὸ καλὸν ἐγνωκόσιν, ἐὰν μὴ αὐτὸ πράξωμεν.

πς'. Ὥσπερ τὰ νοσοποιὰ βρώματα ἐμβληθέντα προσφόρως ἐν σώματι ἐνοχλεῖ, ὁ δὲ φαγὼν εὐθὺς τῆς βλάβης αἰσθόμενος, θᾶττον διά τινος ἐμέσας φαρμάκου ταῦτα ἀπήμαντος διέμεινεν· οὕτω καὶ ὁ νοῦς ὅτε πονηροὺς λογισμοὺς δεξάμενος κατέπιεν ἢ κατέφαγεν, αἰσθηται τῆς πικρίας αὐτῶν, εὐχῇ Ἰησοῦ Χριστοῦ ἐκ βαθέων καρδίας εὐκόλως τούτους ἐξεμεῖται, καὶ θέλεον ἀποβάλλεται, ὡς δὴν Θεῷ ἡ πάθησις καὶ ἡ πεῖρα τῇ μαθήσει νενοηκέναι περὶ τοῦ προκειμένου παρέδωκε ταῖς νήφουσιν.

πζ'. Εἰς πνοὴν τῆς βινὸς, νῆψιν ἕνωσον καὶ Ἰησοῦ ὄνομα, καὶ μελέτην θανάτου ἀλάθητόν ταπείνωσιν· ὠφελεῖν γὰρ λίαν οἶδασι τὰ ἀμφότερα.

πη'. Εἶπεν ὁ Κύριος· *Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.*

πθ'. Εἶπεν ὁ Κύριος· *Ὅστις ταπεινώσει ἑαυτὸν,*

[18] Jerem. XII, 2. [19] Psal. LXXXIV, 9. [20] Psal. LVII, 12. [21] Ibid. [22] Psal. LXIII, 7. [23] Matth. XI, 29.

Digitized by Google

ὡς τὸ παιδίον τοῦτο, *ὑψωθήσεται· ὑψῶν δὲ ἑαυτὸν ταπεινωθήσεται.* — Ἀπ' ἐμοῦ, φησὶ, *μάθετε.* Ὁρᾷς ὅτι μάθησίς ἐστιν ἡ ταπείνωσις. Ὁ μὴ ταπεινὸς οὖν, τῆς ζωῆς ἀπωλίσθησε, καὶ ἐναντίος δηλονότι εὑρεθήσεται.

A *verit*, sicut parvulus iste, *exaltabitur : qui autem seipsum exaltat, humiliabitur* [24]. A me, inquit, discite : vides, humilitatem esse disciplinam. Propterea qui non est humilis, excidit a vita : quinetiam contrarius invenietur.

ιγ'. Εἰ γὰρ πᾶσα ἀρετὴ διὰ ψυχῆς καὶ σώματος κτίζεται. Κτίσμα δὲ Θεοῦ καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, δι' ὧν ἡ ἀρετὴ, ὡς ἔφην, συνίσταται, πῶς οὖν ἀσχέτως μαινόμεθα ἐπ' ἀλλοτρίοις κόσμοις κομπάζοντες ψυχῆς τε καὶ σώματος; καὶ κενοδοξοῦντες ἐπαιρόμεθα, καὶ ὑπερηφάνοις ὡς ἐπὶ καλαμίνης ῥάβδου φυσώμενοι, στηριζόμεθα· ὡς καὶ τὸν ἀπειρομεγέθη Θεὸν ἡμῶν διεγείρομεν τὸν φρικτώτατον διὰ τὴν ἄγαν ἡμῶν ἀνομίαν τε καὶ ἄνοιαν. *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται·* καὶ ἀντὶ τοῦ μιμεῖσθαι τὸν Κύριον ἐν ταπεινώσει, τῷ τοῦ Κυρίου δυσμενεῖ φιλιούμεθα ὑπερηφάνῳ δαίμονι, ἐκ κενοδόξου καὶ ὑπερηφάνου φρονήματος· τούτου γὰρ ἕνεκεν ἔλεγεν ὁ Ἀπόστολος· *Τί γὰρ ἔχεις,* φησὶν, *ὃ οὐκ ἔλαβες ἀπὸ Θεοῦ;* μὴ σὺ σαυτὸν ἔκτισας; Εἰ δὲ σῶμα καὶ ψυχὴν ἐξ ὧν καὶ ἐν οἷς καὶ δι' ὧν πᾶσα ἀρετὴ συνίσταται, παρὰ Θεοῦ ἔλαβες, *τί καυχᾶσαι ὡς μὴ λαβών;* Κύριος γάρ σοι ὁ τάδε δωρούμενος.

90. Cum itaque virtus omnis corporis et animæ ministerio creetur, Dei porro creaturæ sint anima et corpus, quorum opera virtus, ut dixi, subsistit, quomodo non intolerabiliter insanimus, de alienis corporis et animæ ornamentis gloriantes? Vana gloria elati et inflati, superbiæ, velut baculo arundineo, innitimur : atque præ iniquitate et dementia nostra, horrendissimum illum tanquam infinitæ magnitudinis Deum nostrum excitamus. *Dominus superbis resistit* [25]. Et cum imitari Dominum in humilitate deberemus, cum inimico Domini superbo B dæmone conciliamus amicitiam : eo quod vane gloriosa et arroganti opinione ducimur. Illac namque de causa Apostolus dixit : *Quid habes quod non accepisti a Deo* [26]? Num tu teipsum creasti? Quod si corpus et animam, ex quibus, in quibus, et per quæ consistit omnis virtus, a Deo acceperis, *quid gloriaris, quasi non acceperis* [27]? Dominus enim est, qui tibi ista largitus est.

ιδ'. Ἄλλως οὐκ ἄλλο τί ἐστι καθαρισμὸς καρδίας, δι' οὗ καὶ ταπείνωσις καὶ ἀγαθὸν ἅπαν ἐν ἡμῖν εὑρίσκεται καταβαῖνον ἄνωθεν, εἰ μὴ τὸ μηδ' ὅλως παραχωρεῖν τοὺς λογισμοὺς προκύπτοντας εἰσελθεῖν.

91. Nulla prorsus est alia cordis expurgandi ratio, qua et humilitatem et omne bonum e supernis in nos descendere comperimus, quam si nullum demus plane locum cogitationibus ostio imminentibus.

ιε'. Νοὸς γὰρ φυλακὴ σὺν Θεῷ καὶ διὰ μόνου Θεοῦ ἐν ψυχῇ ἐγχρονίσασα φρόνησιν παράσχει τῷ ἡγεμονικῷ ἐν τοῖς κατὰ Θεὸν ἀγωνίσμασιν· οὐκ ὀλίγην δὲ ἱκανότητα τῷ μετόχῳ χορηγεῖ, ἐν τῷ οἰκονομεῖν τὰ ἔργα καὶ τοὺς λόγους ἐν κρίσει εὐαπόδεκτα κατὰ Κύριον.

92. Custodia enim mentis, quæ, Deo favente et C Dei solius auxilio, perseverat in anima, sapientiam comparat intellectui principatum obtinenti, in certaminibus Dei nutu ineundis, ejusque custodiæ participi, sufficientiam non modicam præstat, in rebus et sermonibus Deo gratis cum judicio regendis.

ιϛ'. Τὰ τοῦ ἱερέως δῆλα ἐν τῷ παλαιῷ προτυπώματα καρδίας καθαρᾶς ὑπῆρχον, ἵνα καὶ ἡμεῖς πρόσχωμεν τῷ τῆς καρδίας πετάλῳ, μήπως ἐξ ἁμαρτίας μεμελάνωται, ἵνα δάκρυσι καὶ μετανοίᾳ, καὶ προσευχῇ ἀποσμήχωμεν. Εὔκολον γάρ τι πρᾶγμα ὁ νοῦς, καὶ πρὸς τὰς ἀνόμους ἐνθυμήσεις δυσκάθεκτον, ὁμοίως κακαῖς τε καὶ ἀγαθαῖς φαντασίαις λογιστικαῖς εὐκόλως ἐξακολουθοῦν.

93. Pontificis ornamenta in Veteri Testamento manifesta, erant præeuntes cordis puri figuræ : ut et nos laminam cordis observemus ne ullo modo nigrescat peccato : sed abstergamus illud lacrymis, pœnitentia et oratione. Mens enim res est quædam lubrica, quæ non facile coercetur ab iniquis conceptionibus : nulloque negotio bonas et malas imaginationes rationali parti objectas perinde sectatur.

ιδ'. Μακάριος ὄντως ᾧ οὕτω κεκόλληται Ἰησοῦ εὐχὴ ἐν διανοίᾳ, καὶ φωνεῖ αὐτὸν ἀδιαλείπτως ἐν D καρδίᾳ, ὥσπερ ἥνωται ὁ ἀὴρ τοῖς ἡμῶν σώμασιν, ἢ ὡς φλὸξ κηρῷ. Καὶ διερχόμενος μὲν ἥλιος ὑπὲρ γῆν ποιήσει ἡμέραν· τὸ δὲ Κυρίου Ἰησοῦ ἅγιον ὄνομα καὶ σεβάσμιον ἐν διανοίᾳ λάμπον τῇ συνεχείᾳ, γεννήσει εὐαριθμήτους ἡλιοειδεῖς ἐννοίας.

94. Profecto beatus est ille, cui sic adhæret in animo deprecatio Jesu, et qui sine intermissione resonat ipsum in corde, sicut unitur aer corporibus nostris, aut flamma candelæ. Sol itaque transiens supra terram, diem efficiet : sanctum autem ac reverendum Domini Jesu nomen, relucens in mente, contiguitate sua innumerabiles, solis instar splendentes, procreabit conceptiones.

ιε'. Καὶ διασκεδασθέντων μὲν νεφῶν, ἀὴρ καθαρὸς δείκνυται. Φαντασίαι δὲ ὑπὸ τοῦ Ἡλίου τῆς δικαιοσύνης Ἰησοῦ Χριστοῦ διασκεδασθεῖσαι καὶ λεανθεῖσαι, φεγγοειδῆ καὶ ἀστεροειδῆ νοήματα γεννᾶσθαι ἐν καρδίᾳ ἐκ παντὸς πεφύκασι τοῦ ἀέρος αὐτῆς διὰ Ἰησοῦ φωτισθέντος· φησὶ γὰρ ὁ Ἐκκλησιαστής· *Οἱ*

95. Et dissipatis quidem nubibus aer apparet purus : illusiones autem ab Jesu Christo Sole justitiæ dissipatæ et deletæ, ex universo mentis aere per Jesum illustrato, solent in ea producere conceptiones splendidas, et astrorum speciem præ se ferentes. Nam ait Ecclesiastes : *Qui fiduciam habent in*

[24] Luc. XVIII, 14. [25] Jac. IV, 6. [26] I Cor. IV, 7. [27] ibid.

Digitized by Google

Domino, intelligent veritatem, et qui fideles sunt in dilectione, permanebunt in eo [28]. Cui gloria in sæcula. Amen.

πεποιθότες ἐπὶ Κύριον, συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

96. Præcedentibus quidem sermonibus, quos in prima et secunda centuriis habuimus, quantum elaborandum sit, pro sacra mentis quiete comparanda, descripsimus: non velut ingenii nostri culturam solam, sed quæcunque divini sermones Patrum divina sapientium nos docent de puritate mentis. Jam vero, ubi paucis verbis, quoad fieri potest, demonstraverimus quantum oriatur lucrum ex conservatione mentis, finem dicendi faciemus.

ϛ'. Ἐν μὲν τοῖς ὄπισθεν λόγοις τοῖς ἐν πρώτῃ καὶ δευτέρᾳ ἑκατοντάδι, τοὺς τῆς ἱερᾶς νοῦ ἡσυχίας πόνους συνετάξαμεν, οὐχὶ γεώργιον τῆς ἐμῆς διανοίας μόνον, ἀλλ' ἅπερ καὶ οἱ τῶν θεοσόφων Πατέρες διδάσκουσιν ἡμᾶς θεῖοι λόγοι περὶ νοῦ καθαρότητος. Νῦν δὲ μικρὰ εἰπόντες ὅσον δεῖξαι τὸ κέρδος τῆς τοῦ νοῦ φυλακῆς, τοῦ λέγειν παυσόμεθα.

97. Quod superest, adesdum, quicunque fueris, et sequere me, ad contingendam beatam mentis conservationem, exoptans in spiritu dies videre bonos: et docebo te in Domino conspicuam operationem et conversationem spiritalium potestatum.

ϛ'. Δεῦρο δὴ λοιπὸν ἀκολούθει μοι πρὸς τὴν συνάφειαν τῆς μακαρίας τοῦ νοῦ τηρήσεως, ὅστις ἂν εἶ, καὶ ἐπιποθῶν ἐν πνεύματι ἡμέρας ἰδεῖν ἀγαθάς, καὶ ἐν Κυρίῳ διδάξω σε ὁρωμένην ἐργασίαν καὶ πολιτείαν νοερῶν δυνάμεων.

98. Quoniam angeli nulla capientur satietate laudandi Creatoris, neque mens decertandi. Et quemadmodum illi corporis expertes de cibo nihil sunt solliciti: ita hi, licet corpore præditi, non curant escam, modo in cœlum tranquillum animus ingrediatur.

ϛ'. Οὐ γὰρ κορεσθήσονται ἄγγελοι ὑμνοῦντες τὸν Ποιητήν, οὔτε νοῦς ἀμιλλώμενος· καὶ ὥσπερ οἱ ἄϋλοι οὐ φροντίζουσι περὶ τροφῆς, οὕτως οὐδὲ οὗτοι οἱ ἔνυλοι αὐτῆς φροντίζουσιν, εἴγε ἐν οὐρανῷ ἡσυχίας νοῦς εἰσελεύσεται.

99. Quo igitur modo supernæ potestates nulla tenentur cura pecuniarum aut possessionum: ita qui perspicacem animæ facultatem expurgarunt, et compararunt habitum virtutis, haud curant, quam male torqueantur a spiritibus nequissimis. Et quo modo norunt illæ divitias promotionis in Deum: sic et hi perspectum habent amorem in Deum, necnon intensionem et ascensionem dilectionis erga Numen divinum. Quinetiam amatoria et inexplebili ascensione dilatati, ob gustum divinum et desiderium in excessu positum, non subsistent, donec ad Seraphim perveniant: neque fatigabuntur a diligenti observatione mentis, et exaltatione charissima, donec angeli fiant per Jesum Christum Dominum nostrum.

ϛ'. Ὥσπερ οὖν αἱ ἄνω δυνάμεις οὐ φροντίζουσι χρημάτων ἢ κτημάτων, οὕτως οὔτε οἱ τὸ τῆς ψυχῆς ὀπτικὸν ἐκκαθάραντες, ἐν ἕξει τῆς ἀρετῆς γενόμενοι, οὐ μεριμνήσουσι περὶ κακώσεως τῶν πονηρῶν πνευμάτων. Καὶ ὡς ἐκείνοις φανερὸς τῆς εἰς Θεὸν προκοπῆς ὁ πλοῦτος, οὕτω καὶ τοῖς τοιούτοις ὁ εἰς Θεὸν φανερὸς ἔρως, καὶ ἡ τῆς ἀγάπης τῆς εἰς τὸ Θεῖον ἀτένισίς τε καὶ ἀνάβασις· ἔτι δὲ ἐρωτικῶς καὶ ἀπλήστως τῇ ἀναβάσει ἐπεκτεινόμενοι ἐκ γεύσεως θείου καὶ ἐκστατικοῦ πόθου, οὐ σταθήσονται μέχρι τὰ Σεραφὶμ φθάσουσιν, οὐδὲ κοπιάσουσι τῆς τοῦ νοῦ νήψεως, καὶ ἐρωτικῆς ὑψώσεως, μέχρις ἂν ἄγγελοι γένωνται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

100. Non est venenum, quod superet venenum aspidis et basilisci: neque ullum est vitium, quod vincat φιλαυτίας vitium. Fructus porro philautiæ habes per omnium ora volitantes: qui sunt hi: laudes sui in animo latentes, rerum omnium displicentia, ventris ingluvies, stuprum, vana gloria, et omnium vertex superbia: quæ quidem novit e cœlis expellere non solum homines, sed etiam angelos, et caliginem pro luce obtrudere. Hæc ad te scribit, Theodule, qui cognominatur Hesychius, licet operationem ipsam sit mentitus: at non omnino fortasse, quatenus scilicet Deus donavit. Qui in Patre, et Filio, et Spiritu sancto laudatur et glorificatur, a rationali natura angelorum et hominum, necnon ab universa creatura, quam fabricavit arcana Trinitas, unus Deus. Cujus regnum præclarum utinam et nos consequamur, precibus purissimæ Deiparæ, sanctorumque Patrum nostrorum. Cui Deo incomprehensibili gloria sempiterna. Amen.

ρ'. Οὐκ ἔστιν ἰὸς ὑπὲρ ἰὸν ἀσπίδων καὶ βασιλίσκου, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν φιλαυτίας. Τέκνα δὲ φιλαυτίας ἔχεις πετόμενα, ἃ εἰσι τάδε· Ἔπαινοι ἐν καρδίᾳ, ἀπαρέσκεια, γαστριμαργία, πορνεία, κενοδοξία, καὶ ἡ κορωνὶς πάντων ὑπερηφανία, ἥτις κατασπᾷν ἐπίσταται, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους ἐξ οὐρανῶν, καὶ ζόφον ἀντὶ φωτὸς περιβάλλειν. Ταῦτά σοι, Θεόδουλε, ὁ ἡσυχίας φερώνυμος, εἰ καὶ τῆς πράξεως διέψευσται, ἀλλ' ἴσως οὐχ ὅλον, ἀλλ' ὃ Θεὸς δέδωκεν ὁ ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι αἰνούμενός τε καὶ δοξαζόμενος ὑπὸ τῆς λογικῆς φύσεως, ἀγγέλων τε καὶ ἀνθρώπων καὶ πάσης κτίσεως, ἣν ἡ ἄῤῥητος Τριὰς δεδημιούργηκεν· ὁ εἷς Θεὸς, οὗ καὶ ἡμεῖς τῆς λαμπρᾶς βασιλείας, εὐχαῖς τῆς ὑπεράγνου Θεοτόκου τύχοιμεν, καὶ εὐχαῖς τῶν ὁσίων Πατέρων ἡμῶν· ᾧ Θεῷ ἀκηχήτῳ δόξα αἰώνιος. Ἀμήν.

[28] Sap. III, 9.

Digitized by Google

EJUSDEM HESYCHII

MARTYRIUM SANCTI LONGINI CENTURIONIS.

Τοῦ αὐτοῦ Ἡσυχίου Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος τοῦ Χριστοῦ Λογγίνου τοῦ ἑκατοντάρχου τοῦ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν σὺν αὐτῷ δύο στρατιωτῶν.

A *Ejusdem Hesychii martyrium sancti ac illustris Christi martyris Longini centurionis qui crucifixo Domino nostro Jesu Christo præsens astitit, necnon cum eo duorum militum.*

Ex manuscripto codice Vaticano n. 1190, *fol.* 117, *edidere* Bollandiani. Act. Sanct. Mart. t. II, *pag.* 386, 736.

α'. Πολλαὶ τῶν μαρτύρων αἱ συγγραφαί. Καθάπερ γὰρ αἱ τῶν ζωγράφων εἰκόνες, τινὰς μιμούμεναι τῶν πόλεων ὄψεις, καὶ μεγέθη πύργων, καὶ μορφὰς ἀνδρῶν καὶ γυναικῶν, ποτὲ δὲ νέας, ποτὲ δὲ πρεσβυτικὰς, ποτὲ δὲ βασιλικὰς, ποτὲ δὲ νυμφικὰς, ποτὲ δὲ σκυθρωπὰς, καί ποτε περιχαρεῖς δεικνύονται· οὕτω καὶ οἱ τῶν μαρτυρικῶν ἀγώνων τοὺς λόγους ἱστορήσαντες, τὸ στερρὸν τῆς ψυχῆς, καὶ τὸν τρόπον τὸν ἀνδρεῖον, καὶ τὴν ἐν τοῖς δεινοῖς παράστασιν, ἄφοβον καὶ εὐτολμον, καὶ ἀκατάπληκτον, καὶ τὴν ἐκ Χριστοῦ συμμαχίαν πρὸς αὐτοὺς καταβαίνουσαν, ποτὲ μὲν τὸ πλῆθος τῶν σημείων, ποτὲ δὲ τὸν πλοῦτον ἐν τοῖς λόγοις τῆς χάριτος ὁμολογουμένην, ταῖς ἀκοαῖς ἐμφανίζουσιν. Λογγίνου δὲ ἄρα γραφὴν σοφοῦ τε καὶ ἀνδρείου, ἐξαιρέτως τῆς ὑπὲρ τοῦ Χριστοῦ μαρτυρίας, ἧς ἤρξατο ὁμολογήσας αὐτὸν, πῶς ἐπαξίως ἱστορήσαιμι;

1. Multæ variæque sunt historiæ martyrum. Quemadmodum enim elaboratæ a pictoribus tabulæ, in quibus urbium adumbrantur imagines, et magnitudines turrium exhibent, et formas virorum atque mulierum, alias quidem seniles aut regias, alias juveniles vel plebeias, tristes alias vel fronte serena hilares repræsentant, sic et qui martyricorum certaminum sermones conscribunt, masculam virtutem et robur animi, in duris atque asperis imperterritum fidentemque se exhibentis necesse est audituris manifestent: necnon Christi cum athletis B suis certantis præsentiam palam cognoscendam, seque modo per signorum admirabilium multitudinem, modo per affluentiam in verbis gratiæ manifestantem. Longini vero sapientis pariter ac generosi historiam, atque imprimis illustre ejus de Christo testimonium, a quo Deum confitens est exorsus, qui potero digne enarrare?

β'. Ὅτε γὰρ τῷ φόβῳ συγχυθεὶς ἐξηρνήσατο αὐτὸν ὅλος ὁ χορὸς τῶν ἀποστόλων· χωλοὶ δὲ οὓς ἤγειρεν, τυφλοί τε οὓς ἐφώτισεν, λεπροί τε μετ' αὐτῶν οὓς τῆς πολυτίλτου δορᾶς καὶ τῆς σαρκὸς τῶν μωμημάτων ἠλευθέρωσεν, καὶ ἄλλοι ὧν τὰς συμφορὰς ἔπαυσεν καὶ τὰς νόσους ἐχάλασεν (1), καὶ πρὸς τὸ κρεῖττον τὴν γνῶσιν μετεσκεύασεν, οὗτοι πάντες πρὸς τὸ δρᾶμα τοῦ σταυροῦ καταπλαγέντες, χειμῶνος μεστὸν ναυάγιον C ὑπέμειναν· ἡ ὁμολογία δὲ τοῦ τιμίου καὶ θεοσεβοῦς Ἑκατοντάρχου Λογγίνου ὑπῆρχεν εἰς τὰς ἀκοὰς τῆς ματαίας καὶ ἀπατηλῆς Συναγωγῆς τῶν Ἰουδαίων, ὅτε ἔλεγεν, *Ἀληθῶς Θεοῦ Υἱός ἐστιν οὗτος*. Οὔτε γὰρ Πιλάτον κατὰ τοῦ Χριστοῦ μεμισθωμένον ἠσχύνετο, οὔτε μὴ φόβον τοσούτου δήμου ἐδείτο, ἢ ἐνάρκησεν τὸ πλῆθος τῶν ἀπείρων μυριάδων ἐκείνων. Τοιγαροῦν καὶ [ὑμνείσθω] καὶ γραφέσθω ἡ καλλίστη ἄθλησις αὐτοῦ, ἣν καὶ οἱ ἀπ' ἀρχῆς αὐτόπται διηγήσαντο, καὶ τῇ μετὰ ταύτῃ γενεᾷ παρέδωκαν, ἀπ' ἐκείνης δὲ εἰς τὸ ἑξῆς καὶ οὕτω μέχρις ἡμῶν καταβάντες οἱ τῆς Λογγίνου μαρτυρίας λόγοι, ὡς μαργα-

2. Etenim cum metu confusus universus apostolorum chorus eum vel negasset vel deseruisset: cum erecti in pedes claudi, videndi facultate donati cæci, leprosi a maculosæ cutis defluentisque per ramenta carnis immunditia purgati, aliique soluti a miseriis, liberati a morbis, qui melius utique nosse eum poterant, ad crucis obstupefacti spectaculum, velut tempestate appulsi ad scopulos rectores, tristis suæ fidei fecere naufragium: tunc venerandi hujus religiosique centurionis confessio auribus vanæ atque fallacis synagogæ insonuit: *Vere Filius Dei est iste*[1]. Nempe nec Pilatum reveritus est adversus Christi innocentiam mercede conductum (*a*), neque extimuit tam numerosam multitudinem, vel ad conspectum infinitarum propemodum myriadum obtorpuit. Quidni ergo laudibus efferatur, et scriptis celebretur pulcherrimum ejus certamen? Quod qui viderant ab initio enarrantes, in futuram generationem memorandum tradiderunt; ab illa vero deinceps ad posteros atque ita ad nos usque perve-

[1] Matth. xxvii, 54.

NOTÆ.

(1) Ms. ἐσχόνευσε· quod quia Græcum non est nec alibi reperitur immutavi: forte legendum fuit ἐσχόλευσεν, quasi *otiari fecit*: sed neque hanc vocem reperi, radicem tamen Græcam habemus unde formari possit.

(*a*) Non erat hoc quidem a Pilati ingenio alienum, quem solitum sententias vendere Philo scribit: D Christi tamen damnationem ab eo extortam magis metu concitati in seditionem populi quam alio respectu ullo scimus ex evangelico textu: pecuniam nihilominus eidem decretum esse, ut resurrectionis mysterium pateretur obscurari, satis indicant apud Matthæum Judæi, fidenter militibus promittentes: « Nos suadebimus Præsidi, et securos vos faciemus. »

Digitized by Google

nientes Longinianæ confessionis sermones, velut margaritæ quædam immaculatæ sanctum Christi Domini thalamum exornantes, sunt conservati.

3. Itaque cum Pilatus custodiam (*b*) postulatus advigilaturam sepulcro unigeniti Filii Dei eamdem petentibus Judæis concessit, dux eorum Longinus fuit : siquidem et ipse cum sua cohorte crucifixum custodiverat : verum eodem jam ad vitam resurgendo reverso, quemadmodum Evangeliorum Scripturæ commemorant, et relatis per milites ad Judæorum principes iis quæ gesta fuerant mirabilibus, hi confusionem suam apud populum formidantes, et prodigii tanti claritatem cupientes exstinguere, promiserunt militibus sufficientem pecuniam se daturos, ut resurrectionis calumniarentur mysterium ; multa quoque auri vi apud Pilatum sunt usi, ut is calumniam indiscussam susciperet. At non Longinus promissa eorum antetulit veritati, neque contra Christum pecunias admittere, vel Deum mammonæ sustinuit posthabere : indignum quippe se judicabat ut avaritiæ serviens in istam lethiferam abyssum sese præcipitaret periturum, et falsitati testis accederet adversus Christum, per quem resuscitato Adamo et morte perempta ad vitam mortales immortalem transferimus.

4. Acriter ea Longini constantia Pilatum, et principes Judæorum pupugit : et insidias quidem eidem tendebant ; sed quoniam totius militaris cohortis illustrissimus erat, opportunitas defuit explendæ iracundiæ, quam contra veritatis testem conceperant. Ast ille totum se Christo tradere cupiens (*c*) Cæsareæ militiæ zonam exuit, et de cætero domi se continuit suæ, cum duobus militibus, qui et ipsi beatæ confessionis consortes effecti, prænones exstitere eorum quæ viderant et audierant terribilium signorum. Deinde vero, Hierosolyma relicta, reversus cum iisdem est, et factus Cappadocum regioni optimus prædicator, sicut Thomas Indis, Romanis Petrus, Asiaticis Joannes, Paulus ab Hierosolymis (*d*) ad Illyricum usque, et alii aliis ; Christum annuntians, et quæ propter ipsum atque in ipso facta erant mysteria divulgans.

5. Pessimi autem Judæi zelo inflammati et stimulati ira, Longini confessionem per omnes late partes divulgatam superare non potuerunt : quare ad priores suas artes conversi, Pilatum inducunt, ut Longinum falso criminaretur apud Cæsarem per litteras ; quod alieno ab imperio Romanorum animo militaria contempsisset insignia, et Christum regem gentibus prædicaret, eaque persuasione jam nunc implesset patriam suam universam. Cum hisce lit-

ρῖται τινες ἄμωμοι τὸν ἱερὸν τοῦ Χριστοῦ νυμφῶνα κοσμοῦντες, διεφυλάχθησαν.

γ'. Ὅτε τοίνυν κουστωδίαν αἰτηθεὶς ὁ Πιλάτος εἰς φυλακὴν τοῦ τάφου τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἔδωκεν, Λογγῖνος ἦν αὐτῶν ἔξαρχος· αὐτὸς γὰρ ἦν καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ φυλάξας μετὰ τῶν ὑπ' αὐτοῦ στρατιωτῶν. Ἀλλὰ τοῦ Χριστοῦ πραχθείσης τῆς ἀναστάσεως, ὥσπερ ἡμῖν αἱ τῶν θείων Εὐαγγελίων Γραφαὶ παρέδωκαν, καὶ τῶν στρατιωτῶν ἀπαγγειλάντων τοῖς ἄρχουσιν καὶ πρεσβυτέροις τῆς Ἰουδαϊκῆς συμμορίας τὰ γενόμενα θαύματα, ἐκεῖνοι μὲν αἰσχυνθέντες τὸν λαὸν καὶ σβέσαι τὸ θαῦμα βουλόμενοι, ἀργύρια ἱκανὰ τοῖς στρατιώταις ἔδωκαν, ὥστε συκοφαντῆσαι τὴν ἀνάστασιν τοῦ Χριστοῦ, οὕτω δὲ καὶ τὸν Πιλάτον δέξασθαι τὴν συκοφαντίαν χρήμασι πολλοῖς ἔπεισαν. Οὐ μὴν ὁ Λογγῖνος προκρίνει τὸν λόγον τῆς ἀληθείας, οὐδὲ κατὰ τοῦ Χριστοῦ λαμβάνει χρυσὸν, οὐδὲ τὸν μαμμωνᾶν τοῦ Θεοῦ προθυμῆσαι ὑπέμεινεν, οὐδὲ τῇ πλεονεξίᾳ δουλωθεὶς εἰς τὸν ταύτης βυθὸν τὸν πολυθάνατον ὥλισθεν, οὐ κατὰ Χριστοῦ συκοφαντίας τοῦ ψεύδους ἠνέσχετο, τοῦ τὸν Ἀδὰμ ἐγείραντος καὶ τὸν θάνατον σφάξαντος καὶ τοὺς θνητοὺς ζωώσαντος.

δ'. Πρὸς ταῦτα ὁ Πιλάτος καὶ οἱ δυνάσται τῶν Ἰουδαίων κεντούμενοι, ἐζήτουν ἐπιβουλὴν κατὰ τοῦ μακαρίου Λογγίνου, καὶ οὐκ εἶχον καιρόν· ἦν γὰρ ὁ Λογγῖνος ὅλης τῆς στρατιωτικῆς φάλαγγος ἐπισημότερος. Ἐπειδὴ δὲ ἐβουλήθη ὅλως Χριστοῦ γενέσθαι, ἀποδύεται τὴν ζώνην τοῦ Καίσαρος, καὶ λοιπὸν ἐν οἴκῳ κάθηται μετὰ τῶν δύο στρατιωτῶν, οἵτινες σὺν αὐτῷ καὶ τῆς μακαρίας ἐγένοντο ἀθλήσεως συγκληρονόμοι, κήρυκες γενόμενοι ὧν εἶδον τε καὶ ἀκηκόασιν φοβερῶν τεραστίων. Καὶ καταλιπὼν τὴν Ἱερουσαλὴμ ἀνέστρεψεν σὺν αὐτοῖς, καὶ γίνεται τῇ Καππαδόκων χώρᾳ κήρυξ ἄριστος· ὥσπερ Θωμᾶς τοῖς Ἰνδοῖς, Ῥωμαίοις δὲ Πέτρος, Ἀσιανοῖς δὲ Ἰωάννης, Παῦλος ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ, καὶ ἄλλος ἄλλοις, εὐαγγελιζόμενος τὸν Χριστὸν, καὶ τὰ παρ' αὐτοῦ, καὶ ἐπ' αὐτῷ πεπραγμένα μυστήρια.

ε'. Οἱ δὲ πονηροὶ Ἰουδαῖοι κατόμενοι τῷ ζήλῳ, καὶ τῷ θυμῷ κεντούμενοι, τὴν τοῦ μακαρίου Λογγίνου μαρτυρίαν πολυμερῶς ἤδη τῆς γῆς διαδραμοῦσαν χαρτερεῖν οὐκ ἠδύναντο. Τότε πείθουσιν τὸν Πιλάτον ψευδῆ κατὰ τοῦ μακαρίου Λογγίνου γράψαι τῷ Καίσαρι, ὅτι τῆς Ῥωμαίων βασιλείας ἀλλότρια φρονεῖ, καὶ ἀμελήσας τῶν πολεμικῶν ὅπλων τὸν Χριστὸν κηρύττει Βασιλέα τοῖς ἔθνεσιν, καὶ ἤδη τῶν περὶ τούτου λόγων τὴν ἑαυτοῦ πατρίδα καὶ χώραν ἐπλή-

NOTÆ.

(*b*) Græcus Matthæi interpres consuetam Romanæ militiæ vocem, et apud exteras etiam nationes usitatam, κουστωδίαν, usurpavit ; ut recte Menæa interpretentur ἥτις ἦν τάγμα στρατιωτικόν· ita nunc barbare milites alicui rei vel personæ ad custodiam deputatos dicimus *guardiam*.

(*c*) Acta Metaphrasti ascripta : secessisse eum dicunt ut Judaici populi congressionem declinaret, intellecto quam graviter is sibi esset infensus.

(*d*) Sed diu postquam e Judæa sanctus Longinus secessisset : Pilatus enim, sub quo ille passus, prius apud Syriæ præsidem accusatus et officio motus est, quam eo usque Paulus excurreret, aut Romam se conferret Petrus Antiochia relicta.

Digitized by Google

ρωσεν. Πρὸς τούτοις τοῖς γράμμασι συναποστέλλουσι καὶ χρήματα, καὶ τὸν Λογγίνου θάνατον ἐξαιτοῦνται, τὰς ἀκοὰς Καίσαρος ὑφαρπάσαντες. Καὶ δὴ βασιλικὰ γράμματα εἰς τὴν Ἰουδαίαν τῷ Πιλάτῳ κομίζονται κατὰ Λογγίνου καὶ τῶν σὺν αὐτῷ, ὡς ὅτι οἱ τὰ τῶν ὅπλων ἀμελήσαντες, ξίφει τὰς κεφαλὰς ἀποθέσθαι κελεύωμεν. Ὅθεν σπουδῇ πολλῇ τοῖς τῶν φόνων ὑπηρέταις ὁ Πιλάτος ἐγχειρίζει τὰ γράμματα τοῦ Καίσαρος. Οἱ δὲ τάχος διαβάντες, τὴν τῶν Καππαδόκων γῆν φθάνουσιν· καὶ μαθόντες ἐν ἀγρῷ πατρῴῳ τὸν Λογγῖνον φιλοσοφεῖν, καὶ τὴν ἡσυχίαν ἀσκεῖσθαι, πάντων τῶν πολιτικῶν πραγμάτων ἑαυτὸν ἀπαλλάξαντα. Τὸν ἀγρὸν αὐτίκα καταλαμβάνουσιν, ἡσυχῇ τὸ ἐπίταγμα Πιλάτου καὶ Καίσαρος ἐπιτελέσαι βουλόμενοι, ὥστε μὴ εἰς φυγὴν τὸν Λογγῖνον τραπῆναι. Ὅθεν ἀθρόως ὑπέστησαν τῷ ἀνδρὶ, ὡς ἐπ' ἄλλῳ τινὶ διαβάντες, καὶ οὐδὲν οὐδενὶ τῶν μετὰ χεῖρας αὐτῶν ἐπιφερομένων ἐθάρρησαν· εἶτα εἰσελθόντες καὶ τῷ Λογγίνῳ περιτυχόντες, οὐκ εἰδότες αὐτὸν εἶναι, τὸν αὐτοῖς τε καὶ Πιλάτῳ ζητούμενον, ἄρχονται ἐρωτᾷν, ποῦ ὁ Λογγῖνος εἴη.

Enimvero, summe admirabilem, præcelsamque, ac ineffabilem Salvatoris Christi nativitatem in carne, a Deo afflatorum Patrum sermonibus deliciantes, ante jam celebravimus : cum angelis laudum cantica prompsimus ; cum pastoribus glorificavimus : cum Magis obtulimus munera ; tametsi non aurum, thusve, aut myrrham ; sed horum loco, fidem in Christum, auro pretiosiorem, fragrantiorem thure ; myrrhaque conservante corpora, eximie efficaciorem. Non enim mortua nostra corpora conservat ; verum animas immortalitati consecrat. Nunc autem alius Christi adventus, alius occursus nobis causa exsistit. Venite ergo, charissimi, omni

Ἀλλὰ τῇ μὲν ὑπερψυεστάτῃ καὶ ὑπερκοσμίῳ, καὶ ἀῤῥήτῳ τοῦ Σωτῆρος Χριστοῦ κατὰ σάρκα γεννήσει τοῖς τῶν θεοφόρων Πατέρων ἐντρυφήσαντες λόγοις, ἤδη προεορτάσαμεν· μετὰ ἀγγέλων ὑμνήσαντες· μετὰ ποιμένων δοξάσαντες· μετὰ μάγων δωροφορήσαντες· εἰ καὶ μὴ χρυσὸν καὶ λίβανον καὶ σμύρναν ἀλλ' ἀντὶ τούτων, τὴν εἰς τὸν Χριστὸν πίστιν· χρυσοῦ μὲν οὖσαν τιμιωτέραν· λιβάνου δὲ, εὐωδεστέραν· σμύρνης δὲ τῆς φυλαττούσης τὰ νεκρὰ σώματα, ὑπερβαλλόντως ἐνεργεστέραν. Οὐ γὰρ τὰ θνητὰ ἡμῶν φυλάττει σώματα· ἀλλ' ἀθανάτους τὰς ψυχὰς ἀπεργάζεται. Νῦν δὲ ἑτέρα παρουσία Χριστοῦ, ἑτέρας ἡμῖν ἀπαντήσεως πρόξενος. Δεῦτε οὖν, ἀγαπητοὶ,

[2] Rom. II, 24. [3] Jerem. XXIII, 24.

Digitized by Google

πάντα ὄκνον τῶν ψυχῶν ἀπορρίψαντες· λαμπροὶ λαμπρῶς τῷ *βασιλεῖ τῶν αἰώνων* καὶ Σωτῆρι Χριστῷ ὑπαντήσωμεν. Φησὶ γὰρ ὁ εὐαγγελιστὴς Λουκᾶς, μετὰ τὴν ὀκταήμερον τοῦ νομοθέτου κατὰ νόμον περιτομήν· *Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως*· καθαρισμοῦ δηλονότι, τῆς τε Μαριὰμ καὶ τοῦ βρέφους· καὶ τοῦ προσδοκωμένου εἶναι πατρός· λέγω δὴ τοῦ Ἰωσήφ. Ἀλλ' ἐκπληττόμενος ἐπὶ τοῖς ῥηθεῖσιν, πρὸς τὸν θεσπέσιον εὐαγγελιστὴν εἶποιμι ἄν· τί λέγεις, ὦ μακάριε Λουκᾶ. Ἐπιλελῆσθαί μοι δοκεῖ; τῶν ἀνωτέρω παρὰ σοῦ συγγραφέντων, ἀναρμόδια γὰρ πρὸς ἐκεῖνα τὰ νῦν παρὰ σοῦ λεγόμενα. Οὐκ ἐν τοῖς Εὐαγγελίοις τῇ Θεομήτορι καὶ παναγίᾳ Παρθένῳ, τὸν θεῖον Γαβριὴλ εἰσάγεις λέγοντα· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι;* Πῶς οὖν ἡ ἐκ Πνεύματος ἁγίου καὶ δυνάμεως Ὑψίστου κυήσασα, καὶ μὴ κατὰ νόμον ἀνθρωπίνης κυήσεως, καθαρισμοῦ δέεται. Πῶς δὲ ἡ πληρωθεῖσα τοῦ πᾶσαν κτίσιν ὁρωμένην καὶ οὐχ ὁρωμένην ἁγιάζοντος, Πνεύματος ἁγίου ὑπάρχει ἀμέτοχος. Πῶς δὲ ἡ ἐπισκιασθεῖσα τῇ τοῦ Ὑψίστου δυνάμει, οὐ πάσης καθαρότητος καὶ ἁγιασμοῦ ὑπάρχει ἀνάπλεως; Ἀλλὰ τὰ ἐξῆς τοῦ ἀρχαγγέλου ῥήματα, τῶν ῥηθέντων εἰσὶ φοβερώτερα· λέγει γάρ· *Διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ.* Τίς οὖν ἀκούσας πρώην παρὰ σοῦ ταῦτα, καὶ νῦν ἀκούων πάλιν βοῶντός σου· *Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν*· οὐ δικαίως ἐκπλαγεὶς ἐγκαλέσει σοι. Εἰ γὰρ Πνεῦμα ἅγιον τὴν Παρθένον ἐπλήρωσεν, καὶ ἡ τοῦ Ὑψίστου δύναμις ἐπ' αὐτῇ ἐπεσκίασεν· καὶ τὸ γεννώμενον ἐξ αὐτῆς, Υἱὸς μέν ἐστι τοῦ πρὸ αἰώνων Θεοῦ· καὶ νῦν δὲ, διὰ τὴν οἰκονομίαν *κληθήσεται*· πῶς ἡ τῆς θείας καὶ ὁμοουσίου Τριάδος γεγενημένη μέτοχος, οὐ μόνον οὐ λείπεται ἁγιασμοῦ καὶ καθάρσεως· ἀλλ' οὐχὶ καὶ πάσῃ τῇ κτίσει ἁγιασμοῦ καὶ καθάρσεως γενήσεται πρόξενος.

Τί δὲ πρὸς ταῦτα ὁ εὐαγγελιστής; Οὔ, φησὶν, ἐπιλήσμων τῶν ὑπ' ἐμοῦ ῥηθέντων ἀνωτέρω γέγονα· ἀλλ οὔτε ἀνακόλουθα τοῖς προλαβοῦσι, τὰ ἐπὶ τοῦ παρόντος ῥηθέντα μοι. Εἰ μὲν γὰρ ἔμεινεν παντάπασιν ὁ θεῖος Λόγος ἐν τοῖς θείοις ὑψώμασι, καὶ μὴ κατεδέξατο ἑκουσίως τὴν πρὸς τὴν ἡμετέραν ταπείνωσιν συγκατάβασιν, καλῶς ἐξένιζεν ὑμᾶς νῦν, τὰ παρ' ἐμοῦ λεγόμενα· εἰ δὲ ἄσαρκος ὢν ὁ Θεὸς καὶ ἀσώματος, σῶμα μὲν ἐψυχωμένον ψυχῇ λογικῇ καὶ νοερᾷ ἐξ ἀπειρογάμου κόρης δι' ἡμᾶς περιβάλλεται· οἰκεῖ δὲ μήτραν ἀπεριγράπτως παρθενικὴν, ὁ πληρῶν τὰ σύμπαντα· γεννᾶται δὲ ἐν χρόνῳ διὰ τοὺς ὑπὸ χρόνον, ὁ χρόνων καὶ αἰώνων πρεσβύτερος· μᾶλλον δὲ, ποιητής· ἀγκάλαις δὲ Μητρὸς Παρθένου περιλαμβάνεται, ὁ θρόνον ἔχων τὰ Χερουβίμ· τρέφεται δὲ γάλακτι, ὁ πάσῃ τῇ κτίσει τὴν ζωὴν χαριζόμενος· φεύγει δὲ καὶ Ἡρῴδην εἰς Αἴγυπτον, ὁ τὰ πρωτότοκα Αἰγύπτου πατάξας, καὶ Φαραὼ καταποντίσας τὸν τύραννον· ὑποτάσσεται δὲ τοῖς γονεῦσιν

animis abjecto torpore; læti læte occurramus *Regi sæculorum* [a], Salvatori Christo. Ait quippe evangelista Lucas, post legislatoris ex legis ratione octava die circumcisionem: *Postquam impleti sunt dies purgationis eorum secundum legem Moysis* [b]. Purgationis utique, tum Mariæ, tum infantis, ejusque qui pater existimabatur esse, nempe Josephi. Cæterum stupens ad verba hæc, in hunc modum compellaverim admirabilem Lucam. Quid ais, o beate Luca? Videris oblitus eorum, quæ superius scripseras. Nam dissonant abs te modo dicta. Nonne in Evangeliis divinum Gabrielem inducis, in hæc verba, Dei Genitricem ac sanctissimam Virginem affantem? *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi?* Qua ergo ratione, quæ ex Spiritu sancto, ac Altissimi virtute concepit, non vero secundum legem humanæ conceptionis, purgatione eget? Quomodo autem, quæ eo impleta fuit, qui naturam omnem tum oculis subjectam, tum non aspectabilem sanctificat, Spiritus sancti expers exsistit? Qui demum, quam obumbravit virtus Altissimi, non omni munditia ac sanctitate plena sit? Verum quæ sequuntur verba archangeli, dictis terribiliora sunt; ait enim: *Et ideo quod nascetur ex te sanctum, Filius Dei vocabitur.* Quis ergo ubi hæc nuper ex te audisset, nunc iterum clamantem audiens, *Postquam impleti sunt dies purgationis eorum* [vulg. *ejus*], non merito stupens, te accuset? Siquidem enim Spiritus sanctus Virginem implevit, ac Altissimi virtus super eam obumbravit, quodque natum est in ea, Dei quidem Filius exsistit ante sæcula; nunc vero etiam *vocabitur*, ratione incarnationis; quomodo, quæ divinæ ac consubstantialis Trinitatis fuit effecta particeps, nedum non deficiet sanctitudine ac puritate, quin et creatorum universitati, sanctitudinis ac puritatis conciliatrix exsistet?

Quid vero ad hæc evangelista? Haudquaquam, inquit, oblitus sum eorum quæ dixi superius: at neque jam ante dictis, quæ modo dixi, minus consona sunt. Siquidem enim divinum Verbum in divinis omnino mansisset sublimitatibus, nec sponte sua ad nostram se humilitatem inclinare voluisset, merito nunc vos perturbassent, quæ a me dicuntur: sin autem, cum Deus esset, ac expers corporis, corpus quidem anima rationis ac intellectus facultate prædita animatum, ex innupta puella nostri causa induit, ac virginalem, qui omnia implet, incircumscripta ratione inhabitat uterum: atque is, qui est sæculis antiquior; quinimo conditor sæculorum, in tempore nascitur, propter eos qui essent sub tempore: Matris Virginis ulnis astringitur, qui sedet super Cherubim: lacte nutritur, qui creatis universis vitam largitur: in Ægyptum quoque Herodem fugit, qui percussit primogenita Ægypti, ac tyrannum Pharaonem submersit: subjicitur paren-

[a] 1 Tim. I, 17. [b] Luc. II, 22.

Digitized by Google

tibus in morem infantis, qui universa subjecta habet : a Joanne baptizatur, qui donat remissionem peccatorum : tentatur mei causa, qui major est quam ut tentari possit, ut eum vincat, quo tentatore e paradiso expulsus fui : atque ut verbo dicam, post omnia patrata miracula, qui immunis est a passione, passiones suscipit : qui est immortalis mori carne sustinet, ac sepeliri, ut me mortuum, sua resurrectione immortalem præstet : quid mirum, ut illorum omnium accessione, purus ille ac incontaminatus, una cum incontaminata ac innupta Virgine ac matre, lege perscriptam obeat purificationem ; quo factus sub lege, ut ait Apostolus, eos liberet, qui sub lege erant [6] ?

Verum nesciens quodammodo, charissimi, immenso me incarnationis Salvatoris mari permisi, trahente sermonis impetu. Quippe facilius quis, maris latitudinem volæ manus modulo complectatur, quam ut multos divinæ ad nos inclinationis modos ex incarnatione, prolatitio sermone edicat. Enimvero ad evangelicæ celsitudinis sublatum ignem recurramus, inque eum, Spiritus sancti gubernatione, sermonum onerariam dirigamus.

Postquam autem, inquit, *impleti sunt dies purgationis eorum secundum legem Moysi, tulerunt puerum in Jerusalem, ut sisterent eum Domino.* Bene exposuit evangelista. Omnia enim nobis lege præscripta prudenti quodam consilio, nostri causa suscipit. En enim, qui *cœlos et terram implet* [7], ministerium suscipit, quo e loco in locum feratur. Cuinam vero etiam Domino, puerum festinas sistere, o sanctissima Virgo ? Audisti palam ex Gabriele, Dei Filium esse, qui in tuo utero conciperetur. Siquidem ergo Dei Filius est, qui non citra omnem dubitationem etiam Dominus est ? Scio, inquit beata Virgo, Dei Filium pariter esse atque Dominum, qui idem simul meus fictor est ac filius, quem ut puerum, ob ejus clementiam ac benignitatem, ulnis amplector : verum illi sistere festino, de quo avus meus David, divini Spiritus afflatu, modulo cecinit, dicens : *Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [8]. En tibi Dominus Pater : en et Dominus Filius, ad quem factus est sermo. Tametsi vero duo Domini dicuntur, una tamen eorum dominatio est, uti et una quoque deitas. Illi ergo Domino, Dominum festino sistere, a quo, quod spectat ad Deitatem, neque olim antequam in meo utero conciperetur, neque modo, aut unquam aliquando separabitur.

Subdit deinde evangelista : *Sicut scriptum est in lege Domini : Quia omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur* [9]. Bene fictor meus, et legislator ac Dominus, de iis masculis lege sanxit, qui vulvam aperiunt. At, non subjaceet legibus, legumlator ; quando etiam ejus sine semine nativitas, supra humani partus rationem ex-

ὡς νήπιον, ὁ ἔχων ὑποτεταγμένα τὰ σύμπαντα · βαπτίζεται δὲ ὑπὸ Ἰωάννου. ὁ δωρούμενος τῶν ἁμαρτημάτων τὴν ἄφεσιν · πειράζεται δὲ ὁ ἀπείραστος, δι' ἐμὲ, ἵνα νικήσῃ τὸν ἐμὲ πειράσαντα, καὶ τοῦ παραδείσου διώξαντα · καὶ, ἁπλῶς εἰπεῖν, μετὰ πᾶσαν θαυματουργίαν, πάθη ὁ ἀπαθὴς καταδέχεται · καὶ θάνατον καὶ ταφὴν ὑπομένει σαρκὶ ὁ ἀθάνατος, ἵνα ἐμὲ τὸν θανατωθέντα ἀπαθανατίσῃ διὰ τῆς ἑαυτοῦ ἀναστάσεως. Τί οὖν ξένον, εἰ μετ' ἐκείνων ἁπάντων καὶ τὸν κατὰ νόμον καθαρισμὸν ὁ καθαρὸς καὶ ἄχραντος, μετὰ τῆς ἀχράντου καὶ ἀπειρογάμου Παρθένου καὶ Μητρὸς καταδέχεται · ἵνα γενόμενος ὑπὸ νόμον, ὡς ὁ Ἀπόστολος ἔφησε, τοὺς ὑπὸ νόμον ἐλευθερώσῃ;

Ἀλλ' ἔλαθον, ἀγαπητοὶ, τῷ ἁπλέτῳ πελάγει τῆς τοῦ Σωτῆρος οἰκονομίας ἑαυτὸν ἐπιδοὺς, τῇ φορᾷ τοῦ λόγου ἑλκόμενος. Εὐχερέστερον γάρ ἐστι, τὸ κύτος τῆς θαλάσσης παλάμῃ χειρὸς ἀνθρωπίνης περιλαβεῖν, ἢ τὰς πολυτρόπους τῆς θείας οἰκονομίας συγκαταβάσεις, λόγῳ προφορικῷ ἐξειπεῖν. Ἀλλ' ἐπὶ τὸν πυρὸν τοῦ εὐαγγελικοῦ ὕψους ἐπαναδράμωμεν, καὶ πρὸς αὐτὸν τὴν ὁλκάδα τῶν λόγων, τῇ πηδαλιουχίᾳ τοῦ Πνεύματος, ἀπευθύνωμεν.

Ὅτε, φησὶν, *ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον τὸ παιδίον εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ.* Καλῶς ὁ εὐαγγελιστὴς ἐσιγήσεν. Ὡς ἐξ οἰκονομίας γὰρ πάντα τὰ ἡμῖν ὑπ' αὐτοῦ νομοθετηθέντα ὑπὲρ ἡμῶν καταδέχεται. Ἰδοὺ γὰρ *Ὁ πληρῶν οὐρανούς τε καὶ γῆν*, ὑπηρετεῖται τὴν ἀπὸ τόπων εἰς τόπους μετάβασιν. Ποίῳ δὲ καὶ Κυρίῳ παραστῆσαι τὸ βρέφος ἐπείγῃ, ὦ παναγία Παρθένε; Ἤκουσας σαφῶς ὑπὸ τοῦ Γαβριὴλ, ὡς Υἱὸς Θεοῦ ἐστιν ὁ ἐν τῇ γαστρί σου κυοφορούμενος. Εἰ οὖν Υἱὸς Θεοῦ ἐστιν, πῶς οὐκ ἔστιν ἀναμφιδόλως καὶ Κύριος. Οἶδα, φησὶν ἡ μακαρία Παρθένος, ὅτι καὶ Υἱὸς Θεοῦ ἐστιν καὶ Κύριος, ὁ ἐμὸς πλάστης ἐν ταὐτῷ καὶ υἱὸς, ὃν ὡς βρέφος διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ἐναγκαλίζομαι · ἀλλ' ἐκείνῳ τοῦτον παραστῆσαι σπουδάζω, περὶ οὗ ὁ ἐμὸς προπάτωρ Δαβὶδ, διὰ τοῦ Πνεύματος ἐμελῴδησε λέγων · *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Ἰδοὺ Κύριος ὁ Πατήρ · ἰδοὺ καὶ Κύριος ὁ Υἱὸς, πρὸς ὃν ὁ λόγος ἐγένετο. Ἀλλ' εἰ καὶ δύο Κύριοι λέγονται, μία τούτων ἡ κυριότης, ὥσπερ οὖν καὶ μία ἡ θεότης. Αὐτῷ οὖν τῷ Κυρίῳ παραστῆσαι τὸν Κύριον σπουδάζω, οὗ κατὰ τὴν θεότητα, οὔτε πρὸ τῆς ἐν γαστρί μου κυοφορίας, οὔτε νῦν, ἀλλ' οὔτε ποτὲ χωρισθήσεται.

Εἶτα ἑξῆς προστίθησιν ὁ εὐαγγελιστής · *Καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται.* Καλῶς ὁ ἐμὸς πλάστης καὶ νομοθέτης καὶ Κύριος, περὶ τῶν διανοιγόντων μήτραν ἀρρένων ἐνομοθέτησεν. Ἀλλ' οὐχ ὑπόκειται τοῖς νόμοις ὁ νομοθέτης · ἐπειδὴ καὶ ὑπὲρ νόμον ἀνθρωπίνης κυήσεως ὑπάρ-

[6] Galat. IV, 5. [7] Jerem. XXIII, 24. [8] Psal. CIX, 2. [9] ibid. 2.

Digitized by Google

χει, ἡ τούτου ἄσπορος γέννησις. Οὐ γὰρ διήνοιξεν γεννηθεὶς μόνον τὴν μήτραν κατὰ τοὺς λοιποὺς τῶν ἀνθρώπων· ἀλλὰ καὶ κεκλεισμένην τῆς παρθενίας τὴν πύλην κατέλιπεν, κατὰ τὸν προφήτην Ἰεζεκιὴλ τὸν εἰπόντα· *Καὶ εἶπέν μοι Κύριος· Υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται. Οὐδεὶς εἰσελεύσεται δι' αὐτῆς καὶ ἐξελεύσεται· καὶ ἔσται κεκλεισμένη.* Πῶς οὖν ἐπὶ τοῦ μὴ διανοίξαντος, ἀλλ' ἐσφραγισμένην τὴν πύλην καταλιπόντος, τὰ ἐπὶ τῶν διανοιγόντων νομοθετηθέντα προβῆναι δυνήσεται; Ἀλλ' οὔτε ἅγιον νῦν πρώτως κληθῆναι δεήσεται, τὸ καὶ πρὸ τῆς συλλήψεως *ἅγιον*, καὶ *Υἱὸς Θεοῦ*, παρά τε τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος μαρτυρούμενον. Ἀλλ' ἀκολούθως, καὶ ταῦτα πρέπει τῇ τοῦ Σωτῆρος οἰκονομίᾳ.

Καὶ οὗ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου· ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Πάντα ἁρμόδια τῇ τοῦ Σωτῆρος οἰκονομικῇ καταβάσει. Ἦσαν μὲν γὰρ καὶ ἄλλαι ταῖς τικτούσαις πολυτελέστεραι νενομοθετημέναι θυσίαι, οἷον διὰ προβάτων καὶ ἄλλων τινῶν· ἀλλ' ἐπειδὴ ἅπαν τὸ τῆς ἐνανθρωπήσεως μυστήριον διὰ ἀνεικάστου συγκαταβάσεως γέγονεν· ἀκολούθως καὶ τὰ περὶ τρυγόνων καὶ περιστερῶν νενομοθετημένα νῦν, τεθέαται. Καὶ καλῶς ὁ θεσπέσιος Παῦλος πάντα τῇ διανοίᾳ περιλαβὼν, ἐκπληκτικῶς ἀνεβόησεν· *Ὃς δι' ἡμᾶς ἐπτώχευσεν, πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν.* Πλὴν ὅτι καὶ τὸ φαινόμενον, οὐκ ἀσυντελὴς πρὸς τὸ μυστήριον ἡ προσφορὰ τοῦ Κυρίου ἐτύγχανεν. Αἱ μὲν γὰρ τρυγόνες, τὴν σωφροσύνην καὶ τὴν ἁγνείαν τῆς Ἀειπαρθένου καὶ Θεοτόκου ἐσήμαινον· αἱ δὲ περιστεραὶ τὴν εἰς ἡμᾶς ἄφατον φιλανθρωπίαν, καὶ τὴν ἐκ Πνεύματος ἁγίου οἰκονομίαν τῆς κυοφορίας ἐδήλουν.

Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἰερουσαλὴμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος, δίκαιος καὶ εὐλαβής. Ἀρκεῖται ῥήματα τοῦ εὐαγγελιστοῦ, πρὸς τὸ παραστῆσαι τὴν τοῦ Συμεὼν ἁγιότητα. *Προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ·* Ὅπερ ἡγοῦμαι σημαίνειν, φιλανθρωπίαν ἔσεσθαι ἐκ Θεοῦ μέλλουσαν τῷ Ἰσραήλ. Ἢ καὶ ἄλλως πως. Ἐπειδὴ γὰρ Ἰσραὴλ *νοῦς ὁρῶν Θεὸς* ἑρμηνεύεται· ἐπένθει δὲ νοητῶς πᾶς νοῦς θεωρητικὸς, διὰ τὴν κρατήσασαν πλάνην τῆς ἀγνωσίας τοὺς ἀνθρώπους· εἰκότως ὁ Συμεὼν δίκαιος ὢν καὶ προφητικῷ προβλέπων νοήματι, ἀνέμενεν τὴν μέλλουσαν ἔσεσθαι παράκλησιν τῷ νοητῷ Ἰσραὴλ, διὰ τῆς τοῦ Σωτῆρος ἐπιδημίας. *Καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ.* Μακάριος εἶ, ὦ πρεσβύτα, ὅτι Πνεύματος κατοικητήριον ἠξιώθης γενέσθαι.

Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου. Οὐκ εἶπον ἀνωτέρω, ὅτι προφητικῷ ὄμματι ἀνέμενεν ὁ πρεσβύτης τὴν παρὰ τοῦ Σωτῆρος παράκλησιν; Ἰδοὺ σαφῆ; τῶν πρὸ τούτου ῥηθέντων ἀπόδειξις. Ἀπεκαλύφθη γὰρ τῷ προφήτῃ, φησὶν, ὡς οὐκ ἂν φθάσοι τοῦ βίου τὸ τέλος,

sistit. Nedum enim natus non aperuit vulvam pro more reliquorum hominum, quin etiam clausam virginitatis portam reliquit, juxta quod propheta Ezechiel dixit : *Et dixit mihi Dominus : Fili hominis, porta hæc clausa erit. Nemo per eam ingredietur, et egredietur : et erit clausa* [10]. Qua ergo ratione in iis constituta qui aperiunt, in eo possint procedere, qui non aperuit, sed clausam portam reliquit? Ac neque nunc primum opus habebit sanctum appellari, quod ante etiam conceptionem, *Sanctum*, ac *Dei Filius*, cum Patris, tum Spiritus sancti testimonio, fuit declaratum. Enimvero hæc etiam consequenti ratione Salvatorem, pro ejus œconomia, ac qua ratione se nobis incarnatione inclinavit, decent.

Et ut darent hostiam secundum quod dictum est in lege Domini; par turturum, aut duos pullos columbarum [11]. Congruunt omnia, illi, quam se nobis Salvator inclinando, dispensationem gessit. Nam erant quidem etiam pretiosiores hostiæ aliæ parientibus præscriptæ; puta per oves, ac quædam alia : quia tamen universum Incarnationis mysterium, immensam quamdam inclinationem habuit, ei consentanee habentia modo etiam ostensa sunt, quæ de turturibus ac columbis erant lege præscripta. Bene autem admirabilis Paulus, animo cuncta complectens, stupore exclamavit : *Propter nos egenus factus est, cum esset dives, ut illius nos inopia divites essemus* [12]. Cæterum, quod et palam res præferebat, fuit Dominica oblatio haud inutilis ad mysterium. Nam turtures quidem, pudicitiam ac castitatem semper Virginis ac Dei Genitricis significabant; columbæ autem, ineffabilem in nos Dei clementiam, quamque Spiritus sanctus fecunditatem dispensat, ac facit.

Et ecce homo erat in Jerusalem, cui nomen Symeon, et homo iste justus et timoratus [13]. Sufficiunt Scripturæ ipsa verba ad Symeonis declarandam sanctitatem. *Expectans consolationem Israel :* quod puto significare, quam Deus Israeli clementiam ac benignitatem exhibiturus erat. Aut etiam alia ratione. Quia enim Israel, *mens Deum videns* exponitur; mens autem omnis contemplationi dedita, spiritaliter lugebat, propter errorem ac ignorantiam, quo tenebatur humanum genus; merito Symeon, qui justus esset, ac prophetico sensu prospiceret, accessuram exspectabat spiritali Israeli, per Salvatoris adventum consolationem. *Et Spiritus sanctus erat in eo.* Beatus es, o senex, qui sancti Spiritus habitaculum meruerit effici.

Et responsum acceperat a Spiritu sancto, non visurum se mortem, nisi prius videret Christum Domini [14]. Nonne bene superius dicebam, prophetico senem obtutu exspectare futuram a Salvatore consolationem? En perspicua prius dictorum probatio. Nam, inquit, fuerat revelatum prophetæ, non prius venturum vitæ finem, quam videret Christum Do-

[10] Ezech. XLIV, 2. [11] ibid. 24. [12] II Cor. VIII, 9. [13] ibid. 25. [14] ibid. 26.

Digitized by Google

mini. Plane Symeon, bonum es consecutus, quale nemo unquam prophetarum consequi potuit. Beatus revera es, qui in tempus ejusmodi a Deo fueris reservatus.

Et venit in spiritu in templum. Nihil enim sancti velut a se impulsi agunt, sed movente sancto Spiritu. *Et cum inducerent puerum Jesum parentes ejus, ut facerent secundum consuetudinem legis pro eo* [15]. O puer matre puerpera; quin et universis sæculis exsistens antiquior! O puer necdum sermoni habens expeditam linguam, tametsi vero prophetis per Spiritum sermonem insones! O Mosis fictor; ejusque te legi, quin ei magis, quam tulisses ipse, per benignitatem submittens! O factor legis, Novique Testamenti conditor! Quemadmodum enim rex aliquis legem aliquam conscribi jubens, tum eam propria subscriptione munit; tum iterum, cum libuerit, primam quidem legem antiquat, id est implet: ejus autem loco, sublimiorem legem aliam inducit: sic Dominus: Ubi veterem legem Mosis opera edidisset, ut vidit sic habere, ut ad perfectum nihil adduceret; eam quidem ipse implet, legitima omnia faciens: *Introductionem autem melioris* legis fecit, *per quam proximamus ad Deum* [16], ut apostolus Paulus ait.

πρὶν ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου. Ἐπέτυχες ἀληθῶς, ὦ Συμεών, ἐπιτυχίας, ἧς οὐδεὶς τῶν πάλαι προφητῶν ἐπιτυχεῖν δεδύνηται. Μακάριος εἶ ὡς ἀληθῶς, ὅτι εἰς τοιοῦτον καιρὸν ἐκ Θεοῦ τετήρησαι.

Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν. Οὐ γὰρ αὐτοκινήτως οἱ ἅγιοί τι διαπράττονται, ἀλλ' ἐκ Πνεύματος ἁγίου κινούμενοι. *Καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ.* Ὦ παιδίον τῆς τεκούσης σε μητρός· μᾶλλον δὲ, τῶν αἰώνων ἁπάντων, ὑπάρχον παλαιότερον. Ὦ παιδίον μήπω τρανῶσαν τὴν γλῶσσαν, καί τοι δι' προφήταις ἐνηχοῦν τὸν λόγον διὰ τοῦ Πνεύματος. Ὦ τοῦ Μωσέως πλάστα, καὶ τῷ τούτου νόμῳ· μᾶλλον δὲ τῷ οἰκείῳ διὰ φιλανθρωπίαν ἑαυτὸν ὑποκλίνων. Ὦ τοῦ νόμου ποιητὰ, καὶ τῆς Καινῆς Διαθήκης νομοθέτα. Καθάπερ γὰρ βασιλεύς τις νόμον τυπωθῆναι κελεύων, καὶ οἰκείᾳ ὑποσημειώσει τοῦτον βεβαιοῖ· καὶ πάλιν ὅταν βούληται, τὸν μὲν πρῶτον νόμον παύει, ἤγουν πληροῖ· ἀντεισάγει δὲ τούτου ὑψηλοτέραν νέαν νομοθεσίαν· οὕτως καὶ ὁ Κύριος, τὸν πάλαι νόμον διὰ Μωϋσέως ἐκθέμενος· ὡς οἶδεν τοῦτον μηδένα τελειοῦντα· τοῦτον μὲν αὐτουργίᾳ πληροῖ, διὰ τοῦ ποιῆσαι τὰ νομοθετηθέντα. *Ἐπεισαγωγὴν δὲ κρείττονος νομοθεσίας εἰργάσατο, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ*, ὡς φησιν ὁ ἀπόστολος Παῦλος.

Symeon autem *accepit* puerum *in ulnas suas.* Te iterum, o Symeon, beatum dicam. Revera enim dignus es, qui beatus dicaris. En enim, ipsum qui vehitur super Cherubim, in ulnas accepisti. En Seraphim inaspectabilem, senilibus oculis videns oblectaris. En eum, quem Ezechiel quadriformi sede sublimem vidit, intra ulnas pro more infantis positum, manibus astringis. Qui ergo non beatus, qui tot ac tantis bonis dignus habitus sis?

Et benedixit Deum, et dixit: Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace [17]. Fessus sum, Domine, præsentis sæculi carcerem habitans. Incolatus meus prolongatus est, lubensque migrabo, ubi *habitatio est lætantium omnium* [18]. Dimitte me, Domine. A rebus enim subjectis oculis liberari satago. Jam prophetia propinquavit. Ecce jam adest Salvator. *Viderunt* enim *oculi mei salutare tuum* [19], de quo clamabat Isaias: *Ecce Sion civitas salutare nostrum* [20]. Porro Sion Ecclesia est, in qua salutare, hoc est, Christus, demoratur. Aitque rursus: *Salutare meum ut lampas accendetur* [21]. In modum enim lampadis apparens Salvator, orbis terrarum fines illuminavit.

Quod parasti, ante faciem omnium populorum [22]. Non unius jam ingrati populi, Israelis, inquam: sed *omnium populorum*, juxta sacrum Psaltem, dicentem: *Laudate Dominum, omnes gentes; adlaudate eum, omnes populi* [23]. Sed et Daniel ait: *Omnes populi, tribus, et linguæ servient ei* [24].

Ὁ δὲ Συμεὼν *ἐδέξατο* τὸ παιδίον *εἰς τὰς ἀγκάλας αὐτοῦ.* Πάλιν σὲ μακαρίσω, ὦ Συμεών. Μακαρισμοῦ γὰρ ἀληθῶς ἄξιος πέφυκας. Ἰδοὺ γὰρ τὸν ἐπὶ τῶν Χερουβὶμ ἐποχούμενον, ἐν ἀγκάλαις ἐδέξω. Ἰδοὺ τὸν τοῖς Σεραφὶμ ἀθεώρητον, γηραιοῖς ὀφθαλμοῖς καθορῶν ἐπιτέρπῃ. Ἰδοὺ τὸν ὑπὸ Ἰεζεκιὴλ, ἐπὶ τετραμόρφου θρόνου θεωρηθέντα, ἐν ταῖς χερσὶν ὡς βρέφος ἐναγκαλίζῃ. Πῶς οὖν οὐχ ὑπάρχεις μακάριος, τοιούτων καὶ τηλικούτων ἀξιωθεὶς; ἀγαθῶν;

Καὶ ηὐλόγησεν τὸν Θεὸν, καὶ εἶπεν· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. Κέκμηκα, Δέσποτα, τὸ δεσμωτήριον οἰκῶν τοῦ παρόντος αἰῶνος. Ἐχρόνισα ἐν τῇ παροικίᾳ, καὶ τὴν μετοικίαν ἀσπάζομαι, ἔνθα *εὐφραινομένων πάντων ἡ κατοικία.* Ἀπόλυσόν με, Δέσποτα. Ἀπαλλαγῆναι γὰρ τῶν ὡρωμένων ἐπείγομαι. Ἰδοὺ ἡ προφητεία ἤγγικεν. Ἰδοὺ τὸ σωτήριον πάρεστιν. *Εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου*, περὶ οὗ Ἡσαΐας ἐβόα· *Ἰδοὺ Σιὼν πόλις τὸ σωτήριον ἡμῶν.* Σιὼν δέ ἐστιν ἡ Ἐκκλησία, ἐν ᾗ τὸ σωτήριον, τοὐτέστιν ὁ Χριστὸς, ἐναυλίζεται. Καὶ πάλιν λέγει· *Τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται.* Δίκην γὰρ λαμπάδος ἐπιφανεὶς ὁ Σωτὴρ, τὰ πέρατα τῆς οἰκουμένης ἐφώτισεν.

Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. Οὐκ ἔστι [ἴσ. ἔτι] τοῦ ἑνὸς λαοῦ, τοῦ ἀνωμόνος· λέγω δὴ τοῦ Ἰσραὴλ, ἀλλὰ πάντων τῶν λαῶν, κατὰ τὸν ἱεροψάλτην λέγοντα· *Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη· ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.* Καὶ ὁ Δανιὴλ φησιν· *Πάντες οἱ λαοί, φυλαὶ καὶ γλῶσσαι αὐτῷ δουλεύσουσιν.*

[15] II Cor. VIII, 27. [16] Hebr. VII, 19. [17] Luc. II, 32. [18] Psal. LXXXVI, 7. [19] ibid. 30. [20] Isa. XXVI, 1. [21] Isa. LXII, 1. [22] ibid. 31. [23] Psal. CXXI, 1. [24] Dan. VII, 14.

Digitized by Google

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. Ὅπερ ἐστὶν, εἰς ἀνάβλεψιν καὶ εἰς φωτισμὸν, τῶν καθημένων ἐν σκότει καὶ σκιᾷ θανάτου, ἐθνῶν· *Καὶ δόξαν λαοῦ σου Ἰσραήλ.* Εἰ γὰρ καὶ μὴ πάντες οἱ ἐξ' Ἰσραὴλ ἐπίστευσαν, ἀλλ' οὖν τὸ κατάλειμμα σέσωσται, ἐξ ὧν ὑπῆρχον οἵ τε μακάριοι τοῦ Χριστοῦ ἀπόστολοι, καὶ ἕτεροί τινες τῶν πιστευσάντων. Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος, ἐκ τῆς Ἰούδα φυλῆς ἡμῖν ἀνατέταλκεν. Οὗτος γὰρ ὁ Σωτὴρ περὶ ἑαυτοῦ λέγων, ἔφασκεν· *Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.* Τούτου χάριν φησίν· *Καὶ δόξαν λαοῦ σου Ἰσραήλ.* A

Καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ, θαυμάζοντες ἐπὶ τοῖς λεγομένοις περὶ αὐτοῦ. Εἰ γὰρ καὶ ἦσαν μεμυημένοι, ἥ τε Μαριὰμ καὶ ὁ Ἰωσὴφ τὸ περὶ τοῦ βρέφους μυστήριον· ἡ μὲν διὰ τοῦ Γαβριὴλ, οὐ μὴν ἀλλὰ καὶ διὰ τοῦ Πνεύματος διδαχθεῖσα περὶ τῆς τοῦ τικτομένου θεότητος· ὁ δὲ διὰ τοῦ ἀρχαγγέλου· *Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου·* ἀλλ' ὅμως καὶ ταῦτα μεμυσταγωγημένοι, ἐθαύμαζον ἐκπληττόμενοι *ἐπὶ τοῖς λεγομένοις περὶ αὐτοῦ.* B

Καὶ εὐλόγησεν αὐτοὺς Συμεών. Ἀποδεχόμεθά σου τὴν ἐκ θείας ἀγάπης θερμοτάτην πρόθεσιν ὦ Συμεών. Εἰ γὰρ καὶ ἀνώτεροι πάσης εὐλογίας ἐτύγχανον, ἥ τε τεκοῦσα μήτηρ ὁμοίως καὶ τὸ βρέφος· ἀλλ' ἀντὶ δοξολογίας προσήγαγεν· ὥσπερ ἀμέλει καὶ οἱ ἐν Βαβυλῶνι τρεῖς παῖδες. Καὶ γὰρ ἐκεῖνοι οὐ μόνον τὰς ἀγγελικὰς δυνάμεις, καὶ πᾶσαν ἀνθρωπότητα, ἀλλὰ καὶ τὴν ἄψυχον καὶ ἀναίσθητον κτίσιν, εἰς τὸ εὐλογεῖν τὸν Θεὸν προετρέψαντο, ἀποπληροῦσαν τὴν εὐλογίαν, ὡς εἴρηται, διὰ τοῦ εὐλογεῖν τὴν εἰς τὸ Θεῖον δοξολογίαν. Κατὰ τοῦτον τοίνυν τὸν τρόπον, καὶ ὁ Συμεὼν ἐπὶ τοῦ παρόντος *εὐλόγησεν αὐτοὺς, καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ.* Τίνι λόγῳ, μὴ τῷ νομιζομένῳ πατρὶ τῆς προφητείας εἶπεν ὁ Συμεὼν τὰ ῥήματα, ἀλλὰ μᾶλλον τῇ Μαριάμ: ἐπειδὴ ᾔδει ὡς πνευματοφόρος, ἀληθῆ τοῦ βρέφους μητέρα τυγχάνειν τὴν Μαρίαν· τὸν Ἰωσὴφ δὲ μέχρι ψιλοῦ καὶ μόνου ὀνόματος, τῆς τοῦ πατρὸς προσηγορίας ἀπολαύοντα· ἐπειδὴ οὐκ ἐκ σπέρματος ἀνδρός· ἀλλ' ἐκ Πνεύματος ἁγίου ἡ τῆς ἀπειρογάμου καὶ ἁγίας Παρθένου κυοφορία γέγονεν. Τούτου χάριν καταλιπὼν ὁ Συμεὼν τὸν δοκήσει καὶ ὀνόματι πατέρα, πρὸς τὴν ἀληθῆ μητέρα τοὺς λόγους πεποίηται λέγων· *Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· καὶ εἰς σημεῖον ἀντιλεγόμενον·* εἰς πτῶσιν μὲν τῶν ἀπίστων, εἰς ἀνάστασιν δὲ τῶν πιστευόντων· οὐ τοῦ βρέφους αἰτίου γενομένου τοῖς μὲν πτώσεως, τοῖς δὲ ἀναστάσεως, ἀλλὰ τῆς οἰκείας ἑκάστου προαιρέσεως, ὡς ἔστιν ἐκ πολλῶν μαρτυριῶν τὸν λόγον πιστώσασθαι. Τὰ μὲν οὖν πλήθη τῶν Ἰουδαίων, βλέποντα τὰς γινομένας θαυματουργίας, τῷ Σωτῆρι προσέτρεχον· οἱ δὲ ἀνόητοι ἀρχιερεῖς ἔλεγον· *Δαιμόνιον ἔχει· τί ἀκούετε αὐτοῦ;* Ἆρ' οὐχ οἱ μὲν ἑκουσίως C

Lumen ad revelationem gentium[26]. Nempe ad hoc ut gentes, quæ in tenebris ac umbra mortis sedent, visum ac lumen recipiant. *Et gloriam plebis tuæ Israel.* Quanquam enim non omnes orti ex Israele crediderunt, reliquiæ tamen salvæ factæ sunt; ex quibus fuerunt, tum beati Christi apostoli, tum alii quidam fideles. Nec id modo, quin et ipse Dominus noster, ex tribu nobis Juda exortus est. Ipse namque Salvator de se ipse loquens, dicebat, *Quia salus ex Judæis est.* Idcirco ait: *Et gloriam plebis tuæ Israel*[27].

Et erant pater ejus et mater mirantes super his quæ dicebantur de illo[28]. Quanquam enim didicerant Maria pariter ac Joseph, quod ad puerum spectabat mysterium: Maria quidem, Gabrielis voce: nec id modo, verum etiam a Spiritu sancto nascituræ prolis edocta divinitatem: Joseph autem, per archangelum dicentem: *Noli timere accipere Mariam conjugem tuam: quod enim in ea natum est, de Spiritu sancto est*[29]: tametsi, inquam, ista divinitus edocti erant, mirabantur tamen ac stupebant *super his quæ dicebantur de illo.*

Et benedixit illis Symeon[30]. Laudamus probamusque tuam, o Symeon, ex ferventissima dilectione voluntatem. Quanquam enim etiam omni benedictione superiores erant, Mater pariter puerpera, ac Puer, laudationis tamen loco eam obtulit: ea nimirum ratione, qua pueri tres in Babylone. Nam et illi, nedum virtutes angelicas, universumque hominum genus, verum etiam ratione ac sensu destitutas res, ad benedicendum Deo hortabantur, benedictionem implentes, quemadmodum dictum est, prosequendo verbis divinas laudes. Hac itaque ratione etiam Symeon impræsentiarum *illis benedixit, et dixit ad Mariam matrem ejus.* Quorsum ille, non putato patri dixit prophetiæ verba, sed magis ad Mariam matrem ejus direxit? Quod nimirum tanquam divino Spiritu afflatus sciret, Mariam veram esse pueri matrem, Josephum autem, nomine tenus tantum, patris nuncupatione pollere: quod non ex viri semine, sed de Spiritu sancto, innupta ac sancta Virgo concepisset. Quamobrem relicto Symeon existimato ac nomine tenus patre, ad veram Matrem sermonem convertit, dicens: *Ecce hic positus est in ruinam et in resurrectionem multorum in Israel, et in signum, cui contradicetur.* In ruinam quidem non credentium; in resurrectionem autem credentium. Non tanquam puer ipse causa futurus esset, qua ruinæ aliis, qua aliis resurrectionis, sed propria cujusque voluntas, ut et multis testimoniis licet probare. Nam Judæorum quidem vulgus, cum miracula quæ fiebant, aspicerent, ad Salvatorem accurrebant: at stulti pontifices dicebant: *Dæmonium habet*[31]: Quid eum auditis? nonne itaque hi quidem sponte resurgebant; hique vicissim nedum ipsi voluntate cadebant, quin

[26] Dan. VII, 32. [27] Joan. IV, 22. [28] ibid. 33. [29] Matth. I, 20. ibid. 34. [30] Matth. II, 18.

Digitized by Google

et alios pariter in ruinam impellebant? Item cæcus cum miraculo lucis usuram recepisset, ejus, qui beneficio impertiisset magnificentiam grato animo prædicabat : præfractæ vero audaciæ pontifices ac seniores, dicebant : *Da gloriam Deo : nos scimus quia hic homo peccator est* [33]. Sed et iterum in filia archisynagogi, pater quidem, fide trahente, Jesum accersit [34]; cæterum cum Vita perspicue sciret, suo adventu mortem in fugam vertendam, somnum appellavit mortem; non autem mortem : at stulti illi nihil deridere verebantur eum, qui mortem fugans, reducit ad vitam. Denique in ipsa salutari morte, alter quidem latronum exprobrabat dicens : *Si Filius Dei es, salvum fac temetipsum et nos* [35]; e contra vero alter, alterum, ut par erat, increpabat : atque ad Dominum conversus dicebat : *Memento mei cum veneris in regnum tuum.* Idcirco merito, grati animi indicis confessionis ejusmodi præmio, paradisum refert. Vides ut voluntate ex infidelitate cadant; utque ex fide voluntate resurgant? Cæterum alia quoque ratione impleta est Simeonis prophetia. Salvatoris namque dispensatio in carne, diabolo quidem fuit ruina, ac immundis ejus spiritibus : resurrectio autem iis, quos ille profligasset, ac qui mortis tyrannidi mancipati fuissent. Vides ut puer positus sit in ruinam et resurrectionem multorum? Sed et *in signum cui contradicetur.* Huic quoque convenient dicta superius. Nam qui non credunt, omnino contradicunt : qui autem credunt, plane assentiuntur. Item contradicunt perversarum hæresum inventores, quique temere incarnationis mysterium, ac secus ac habeat, interpretantur.

A ἀνίσταντο, οἱ δὲ ἑκουσίως οὐ μόνον ἔπιπτον, ἀλλὰ καὶ ἑτέρους εἰς τὸ πτῶμα συνείλκοντο; Πάλιν ὁ τυφλὸς, παραδόξως τοῦ φωτὸς ἀπολαύσας, τὴν τοῦ εὐεργέτου μεγαλειότητα εὐχαριστῶν ἀνεκήρυττεν· ἀλλ' οἱ πάντολμοι ἀρχιερεῖς καὶ πρεσβύτεροι ἔλεγον· *Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν.* Καὶ αὖθις δὲ ἐπὶ τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου, ὁ μὲν πατὴρ τῆς κόρης πίστει ἑλκόμενος, τὸν Ἰησοῦν μεταπέμπεται· σαφῶς δὲ γινώσκουσα ἡ ζωὴ, ὡς διὰ τῆς αὐτοῦ παρουσίας δραπετεύσει ὁ θάνατος, ὕπνον ἀπεκάλει τὸ πάθος, καὶ οὐχὶ θάνατον· οἱ δὲ ἀνόητοι ὄντες, καταγελᾶν οὐ παρῃτοῦντο, τοῦ τὸν θάνατον φυγαδεύοντος, καὶ πρὸς ζωὴν ἐπανάγοντος. Καὶ ἐν αὐτῷ δὲ τῷ σωτηρίῳ σταυρῷ, ὁ μὲν τῶν λῃστῶν ὀνειδίζων ἔλεγεν· *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς·* ὁ δὲ τοὐναντίον ἐκείνῳ μὲν ἐπετίμησεν τὰ δέοντα· στραφεὶς δὲ πρὸς τὸν Κύριον, ἔλεγεν· *Μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.* Ὅθεν δικαίως τῶν τῆς εὐγνωμοσύνης αὐτοῦ ῥημάτων κομίζεται τὸν παράδεισον. Βλέπεις ἑκουσίως ἐξ ἀπιστίας πίπτοντας, καὶ ἑκουσίως ἀνισταμένους ἐκ πίστεως; Πλὴν καὶ ἑτέρως ἡ προφητεία τοῦ Συμεὼν πεπλήρωται. Ἡ γὰρ τοῦ Σωτῆρος κατὰ *σάρκα* οἰκονομία, πτῶσις μὲν τῷ διαβόλῳ γέγονεν καὶ τοῖς ἀκαθάρτοις δαίμοσιν, ἀνάστασις δὲ τῶν ὑπ' αὐτοῦ καταβεβλημένων, καὶ ὑπὸ τὴν τοῦ θανάτου τυραννίδα γεγενημένων. Βλέπεις πῶς κεῖται τὸ βρέφος εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν; ἀλλὰ *καὶ εἰς σημεῖον ἀντιλεγόμενον.* Καὶ ἐπὶ τούτου δὲ ἁρμόσειεν τὰ ἀνωτέρω ῥηθέντα. Οἱ μὲν γὰρ ἀπιστοῦντες, ἀντιλέγουσι πάντως· οἱ δὲ πιστεύοντες, δηλονότι συγκατατίθενται. Ἀντιλέγουσι δὲ, καὶ οἱ τὰς διεστραμμένας ἐφευρόντες αἱρέσεις, ἄλλην ἄλλως παρερμηνεύοντες τὸ τῆς οἰκονομίας μυστήριον.

B

C

Et tuam ipsius animam, inquit, *pertransibit gladius.* Gladium porro, eam probationem dici existimo, quæ ex tristitia in cruce sanctæ Virgini accessit. Pertransiit enim eam sine læsione velut obiter, non gravius saucians. Et : *Ut revelentur ex multis cordibus cogitationes.* Omnium enim cogitationes salutaris Domini passio, probatione revelavit. Nam ii quidem qui firmiter credebant, quanquam forte humano more turbati fuerunt, haud tamen penitus desperarunt; exspectabant siquidem Salvatoris resurrectionem; velut nimirum mulieres, quæ venerunt ad monumentum, ac divini discipuli : qui autem habebant fidem titubantem, velut seminati supra petrosa, non ferentes tentationum æstum, illas ipsas quæ supererant nonnullius fidei reliquias, angusti animi vitio amiserunt. Hactenus vero Symeonis prophetia finem habeat.

Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν, φησὶν, *διελεύσεται ῥομφαία.* Ῥομφαίαν δὲ οἶμαι λέγεσθαι, τὴν ἐπὶ τοῦ σταυροῦ γενομένην τῇ ἁγίᾳ Παρθένῳ διὰ τῆς λύπης δοκιμασίαν. Διῆλθεν γὰρ αὐτὴν ἀβλαβῶς ὡς ἐν παρόδῳ, μὴ πλήξασα. Καὶ, *Ὅπως δὲ ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* Πάντων γὰρ τοὺς λογισμοὺς τὸ σωτήριον πάθος τοῦ Κυρίου, δοκιμαστικῶς ἐξεκάλυψεν. Οἱ μὲν γὰρ βεβαιόπιστοι, εἰ καὶ τυχὸν ὡς ἄνθρωποι ἐκλονήθησαν, ἀλλ' οὐκ ἀπήλπισαν παντελῶς. Ἀνέμενον γὰρ τὴν τοῦ Σωτῆρος ἀνάστασιν· καθάπερ ἀμέλει αἵ τε γυναῖκες αἱ τὸ μνῆμα καταλαβοῦσαι, καὶ οἱ θεσπέσιοι μαθηταί. Οἱ δὲ πεπλανημένην τὴν πίστιν ἔχοντες, καθάπερ οἱ ἐπὶ τὰ πετρώδη σπαρέντες, μὴ ἐνέγκαντες τῶν πειρασμῶν τὸν καύσωνα, καὶ ὃ εἶχον μικρὸν τῆς πίστεως λείψανον, ἀπὸ μικροψυχίας ἀπώλεσαν. Καὶ πέρας μὲν ὧδε ἐχέτω ἡ τοῦ Συμεὼν προφητεία.

D

Et hac ipsa hora, inquit, *superveniens* etiam *prophetissa* illa casta, ac *templo in jejuniis et oratione assidua Anna*, corpore quidem vetula, at fide vegeta, *vicissim confitebatur Deo*, ipsa quoque gratias agens, quod talem ac tantam gratiam contulisset, ut et ipsa videret Christum Domini. Sed et alios ad

Αὐτῇ δὲ, φησὶν, τῇ ὥρᾳ *ἐπιστᾶσα καὶ ἡ προφῆτις ἡ σώφρων, καὶ ἐν νηστείᾳ καὶ δεήσει προσκαρτεροῦσα τῷ ναῷ Ἄννα·* ἡ γηραιὰ μὲν τῷ σώματι· τῇ δὲ πίστει νεάζουσα· *Ἀνθωμολογεῖτο τῷ Θεῷ*, εὐχαριστοῦσα καὶ αὐτὴ δηλονότι, καθὸ τῆς τοιαύτης καὶ τοσαύτης ἠξιώθη χάριτος, εἰς τὸ καὶ

[33] Joan. IX, 24. [34] Marc. V, 39. [35] Luc. XXIII, 39.

Digitized by Google

αὐτὴν κατιδεῖν τὸν Χριστὸν Κυρίου. Καὶ ἄλλως δὲ εἰς τοῦτο ἡ Ἄννα προετρέπετο· *Ἐλάλει γάρ*, φησὶ, *περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ.* Λύτρωσιν δὲ προσεδέχοντο, ἣν ὁ θεῖος Δαβὶδ προαναμέλπων ἐκήρυττε λέγων· *Λύτρωσιν ἀπέστειλεν Κύριος τῷ λαῷ αὐτοῦ.* Καὶ πάλιν· *Ἐλυτρώσω ῥάβδῳ κληρονομίαν σου.* Τίς δέ ἐστιν ὁ λυτρωσάμενος; καὶ ἡ λύτρωσις, εἰ μὴ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δι' οὗ πάντες ἐκ τῆς πλάνης καὶ φθορᾶς ἐλυτρώθημεν;

Τὸ δὲ παιδίον, φησὶν, *ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ.* Πῶς τοίνυν ηὔξανεν, ὁ πᾶσιν ἀνθρώποις, καὶ ζώοις, καὶ φυτοῖς, τὴν ζωὴν καὶ τὴν αὔξησιν χαριζόμενος, ἢ δηλονότι κατὰ τὴν τοῦ σώματος αὔξησιν; Πῶς δὲ καὶ ἐκραταιοῦτο Πνεύματι, ὁ πᾶσι προφήταις καὶ δικαίοις τὴν τούτου ἐμπνευσιν καὶ μετοχὴν δωρούμενος, καὶ ἐξ αὐτῆς τῆς νηδύος τὴν θεοδόχον σάρκα ὑπὸ τούτου διαπλαττόμενος; εἰ μὴ ἐκραταιοῦτο πνεύματι, τῷ ὑπὲρ τὴν τοῦ σώματος ἡλικίαν ὑπερλάμπειν ἐν τῷ βρέφει, τῆς θείας φύσεως τὰ γνωρίσματα, Εἰ γὰρ καὶ τὴν ἡμετέραν φύσιν, ὁ τῆς φύσεως πλάστης ἐξ οἰκείας φιλανθρωπίας περιεβάλετο ἀδιαιρέτως; ἅμα καὶ ἀσυγχύτως; ἀλλ' οὖν καὶ οὕτως ὑπερηύγαζεν καθ' ὑπερβολὴν τὴν ἀνθρωπίνην ταπείνωσιν τὸ τῆς θεότητος μέγεθος. Πῶς δὲ πάλιν ἐπληροῦτο σοφίας καὶ χάριτος, *ἐν ᾧ εἰσιν πάντες οἱ θησαυροὶ τῆς γνώσεως καὶ τῆς σοφίας ἀπόκρυφοι;* Καὶ ὁ Παροιμιαστὴς δέ φησιν· *Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.* Σοφία δέ ἐστιν, ὁ τοῦ Θεοῦ Λόγος. Αὐτὸς γὰρ *ἐδόθη ἡμῖν σοφία ἀπὸ Θεοῦ*, κατὰ τὸν μακάριον Παῦλον. Εἰ οὖν αὐτὴ ἡ σοφία ἐν τῇ νηδύϊ τῆς ἁγίας καὶ ἀειπαρθένου, ἑαυτῇ τὸ ἄχραντον καὶ ἅγιον σῶμα διὰ τοῦ Πνεύματος ᾠκοδόμησεν, πῶς νῦν λέγεται σοφία; πληροῦσθαι καὶ χάριτος; Ἢ πάντως κατὰ τὴν πολλάκις ἐν τοῖς ἀνωτέρω ῥηθεῖσαν ἀπόδοσιν, προσφόρως καὶ ἁρμοδίως, τῇ κατὰ σάρκα ἑαυτοῦ παρουσίᾳ, πάντα ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ᾠκοδόμησεν· μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ δόξα καὶ κράτος, καὶ ἡ ἀτελεύτητος βασιλεία, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A idem provocabat : *Loquebatur enim de illo omnibus, qui exspectabant redemptionem in Jerusalem* [Vulg. *redemptionem Israel*]. Porro exspectabant resurrectionem, quam olim divinus David cantico prædicasset, dicens : *Redemptionem misit Dominus populo suo*[35]. Et iterum : *Redemit virga hæreditatem suam*[36]. Quis vero est qui redemit, quæve redemptio præterquam ipse Dominus noster Jesus Christus ? per quem omnes ab errore ac corruptione redempti sumus.

Puer autem, inquit, *crescebat et confortabatur, plenus sapientia, et gratia Dei erat in illo.* Qua vero ratione crescebat, qui universis hominibus, animantibusque, ac plantis, vitam ac crementum tribuit ? utique cremento corporis. Sed et quomodo spiritu B confortabatur is, qui cunctis prophetis ac justis, ejusdem inspirationem ac participationem donavit ? ac cujus deifera cáro ab ipso utero per Spiritum formata fuit ? nisi certe ita spiritu confortabatur, quod supra corporis ætatem, magnifice in puero naturæ divinæ indicia ac notæ elucerent. Quanquam enim naturæ fictor, nostram naturam pro sua in humanum genus propensione induerat indivise simul ac inconfuse ; nihilominus tamen sic quoque Deitatis magnitudo, humanæ vilitatem naturæ eximio quodam fulgore collustrabat. Quomodo vero iterum replebatur sapientia et gratia, *In quo sunt omnes thesauri scientiæ et sapientiæ absconditi*[37] ? Libri quoque Proverbiorum scriptor ait : *Sapientia ædificavit sibi domum*[38] ; atqui Sapientia est Dei Verbum : ipse enim nobis *datus est a Deo sapientia*[39], juxta beatum Paulum. Siquidem ergo ipsa Sapientia, in sanctæ ac semper virginis utero, incontaminatum ac sanctum corpus, per Spiritum sanctum sibi ædificavit ; quomodo nunc dicitur repleri sapientia atque gratia ? Nonne plane juxta sæpius dictam in superioribus expositionem, quod Salvator ac Dominus noster congrue omnia ejus in carne adventui dispensaret ? cum quo Deo ac Patri gloria ac potestas, regnumque immortale, cum sanctissimo, bonoque ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

Β'.

Λεοντίου ἐπισκόπου Νεαπόλεως τῆς Κύπρου, εἰς τὴν ἡμέραν τῆς ἁγίας Μεσοπεντηκοστῆς.

Πάντα τὰ ὑπὸ τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ ἐνσάρκῳ αὐτοῦ οἰκονομίᾳ, καὶ

II.

D *Leontii episcopi Neapolis Cypri, in diem festum Mediæpentecostes* (14).

Nihil in iis, quæ Dominus ac Salvator noster Jesus Christus, in sua in carne dispensatione, ac agens

[35] Psal. cx, 6. [36] Psal. lxxiii, 2. [37] Coloss. ii, 3. [38] Prov. ix, 1. [39] I Cor. i, 30.

NOTÆ.

(14) Leontii plures fuere, iique episcopi, excepto Leontio Byzantino, qui ipse nobilis scriptor, præter alia, etiam ipso hoc argumento scripsit Orationem, quam damus. Noster hic Leontius, constanter Neapoleos Cypri episcopus legitur, citaturque eo titulo in 7 Synodo act. 4 relato ejus loco pro sacris imaginibus luculentissimo : post quem recitatum, sic de eo Constantinus Constantiæ Cypri episcopus, tanquam de gentili suo : Baron. an. 594, num. 3, provocans ad 4 illam act. Synodi II Nicænæ, ita de Leontio : *Quisnam alius res gestas sub Mauritio prosecutus sit, habes ex Actis Nicæni posterioris concilii. Nempe S. Leontium Constantiæ in Cypro episcopum scripsisse tribulationes, quas his temporibus Ecclesia Dei passa est : sed hactenus incompertum nobis opus, vel excidit, vel latet incognitum.* Ita Baronius putat collegisse e veteri versione, in qua sic habetur : *Præterea beati Simeonis, turba-*

Digitized by Google

cum hominibus, gessit, frustra ac otiosum fuit : quia potius, sunt omnia occultis quibusdam exhilita sacramentis, eorum declarandis commodo, propter quos tota œconomia exstitit ; eorum, inquam, qui in Christum crediderunt, et sunt credituri. Ita plane, ut Domini tunc ac Salvatoris gesta, lex quædam sincera sint, tanto Mosaicæ præstans, quantum Dominus servo : atque ut ait Apostolus, quantum *domo* præstat, *is qui fabricavit* [40]. Quamobrem qui Ecclesiæ sanxerunt leges, viri sancti, ac apostolorum successores, in rerum id temporis provide gestarum finem respicientes, celebrandas in posterum divinas solemnitates, quibus illæ in memoriam revocarentur, consequenter statuerunt. Operæ ergo pretium est, ut ostendam quid hoc mihi orationis exordium velit : id nimirum, sacræ hunc Mediæpentecostes diem, non otiose ac nulla ratione traditum celebrari ; sed divina quadam traditione, siquidem ille nec hoc amisit, ut solemnitas ac dies festus esset. Et vero festus idem dies est, et festo prævius, et festum sequens. Post enim novam resurrectionis Dominicam, sive resurrectionis encænium, nos illa excipit, eoque titulo solemnitas est festum consequens. Post illam vero, festo nos Dominicæ in cœlos Assumptionis, ac adventus Spiritus sancti admovet, sicque rursus, dies festus uti festæ diei pervigilium est. Utroque proinde titulo solemnitas præsens, merito a nobis honoranda est, quæ nimirum vivificæ resurrectionis post festiva ornamenta in se habeat ; ut et sequentium divinarum quoque nihilominus celebritatum, ante festivas res. Quippe necesse est, ut quod quibusdam est medium, qua medium est, utrisque illis communicet. Cum itaque præsens solemnitas media exsistat, cum resurrectioni, tanquam illius media, ut respicias extremam, communicat ; tum similiter sanctæ etiam dici Pentecostes, tanquam quæ ad eam transmittat : mediumque rursus invenitur, ut quis ex ipsa ad resurrectionis iterum diem velit repedare. Enimvero, ejusmodi sunt pretiosæ Mediæpentecostes privilegia ; haudquaquam illa a casu, ac fortuita. Ne quis adeo desipiat, ut ita putaverit. Non enim humanæ hoc ambitionis munus, sed divinæ legislationis honor exsistit. Nec unius duntaxat legis, sive legis veteris sine nova ; aut item novæ sine veteri

A ἐπὶ τῇ μετὰ τῶν ἀνθρώπων διατριβῇ πραχθέντα, οὐκ εἰκῇ καὶ μάτην, οὐδὲ ἀργῶς γεγόνασιν· ἀλλὰ μᾶλλον ἀποκεκρυμμένοις τισὶ, καὶ φανερωθῆναι δέουσι μυστηρίοις, ἐπ' ὠφελείᾳ τῶν περὶ ὧν πᾶσα ἡ οἰκονομία γέγονε· φημὶ δὴ τῶν εἰς Χριστὸν πεπιστευκότων, καὶ πιστεύειν μελλόντων· ὡς εἶναι τὰ ὑπὸ τοῦ Δεσπότου καὶ Σωτῆρος τότε γενόμενα, νόμον τινὰ ἀπαράγραπτον, τοῦ Μωσαϊκοῦ καθ' ὑπερβολὴν μείζονα, καθ' ὅσον διαφέρει δούλου, Δεσπότης, καὶ ὡς εἶπεν ὁ Ἀπόστολος, *οἴκου, ὁ τοῦτον κατασκευάσας*. Ὅθεν οἱ τοὺς θεσμοὺς τῇ ἁγίᾳ Ἐκκλησίᾳ παραδεδωκότες ἅγιοι, καὶ τῶν ἀποστόλων διάδοχοι, πρὸς τὸν σκοπὸν τῶν τότε γεγενημένων σωτηρίων οἰκονομιῶν ἀποβλέποντες, ἀκολούθως τελεῖσθαι μετέπειτα τὰς θείας ἑορτὰς, εἰς ἀνάμνησιν ἡμᾶς ἀγούσας τῶν

B τότε γεγενημένων, ἐθεσμοθέτησαν. Τί οὖν μοι βούλεται τοῦ λόγου τὸ προοίμιον, δεῖξαι καιρός. Ὅτι καὶ ἡ παροῦσα τῆς ἁγίας Μεσοπεντηκοστῆς ἡμέρα, οὐκ ἀργῶς οὐδ' ὡς ἔτυχεν ἐπιτελεῖσθαι παραδέδοται, ἀλλὰ θεία τις ὑπάρχει παράδοσις, εἴ τοι καὶ αὐτοῦ τοῦ εἶναι ἑορτὴ οὐκ ἐστέρηται. Ἀλλὰ προεόρτιος ἡ αὐτὴ καὶ μεθεόρτιος. Μετὰ γὰρ τὴν καινὴν τῆς ἀναστάσεως Κυριακὴν, ἤτοι τὸ τῆς ἀναστάσεως ἐγκαίνιον, αὕτη ἡμᾶς ὑποδέχεται· καὶ κατὰ τοῦτο, πέφυκε μεθεόρτιος. Μεθ' ἑαυτὴν δὲ προσάγει τῇδε τῆς Δεσποτικῆς Ἀναλήψεως ἡμέρᾳ, καὶ τῇ τοῦ Πνεύματος ἐνδημίᾳ· οὕτω τε χρηματίζει αὖθις προεόρτιος [καὶ μεθεόρτιος]· ὥστε κατ' ἀμφότερα τιμᾶσθαι παρ' ἡμῶν τὴν παροῦσαν ἑορτὴν ἄξιον, ὡς ἔχουσαν ἐν αὐτῇ τῆς

C μὲν ζωηφόρου ἐγέρσεως τὰ μεθεόρτια καλλωπίσματα· τῶν δὲ μεθ' αὐτὴν θείων καὶ αὐτῶν τελετῶν, τὰ προεόρτια πράγματα. Ἀνάγκη γὰρ τὸ μέσον τινῶν ὑπάρχον, ἑκατέρων κοινωνεῖν ὧν πέφυκε μέσον. Μέση τοίνυν ὑπάρχουσα ἡ παροῦσα ἑορτὴ, κοινωνεῖ καὶ τῇ Ἀναστάσει, ὡς ἐκείνης ὑπάρχουσα πρὸς τὴν τελευταίαν μέση· κοινωνεῖ δὲ ὡσαύτως καὶ τῇ ἁγίᾳ Πεντηκοστῇ, ὡς πρὸς αὐτὴν παραπέμπουσα, καὶ ἐξ αὐτῆς πάλιν ἐπὶ τὴν ἀναστασιμον ἡμέραν εἰς τὸ κατότιν ἀναποδιζόντων, εὑρισκομένη μέση. Ἀλλὰ τῆς τιμίας Μεσοπεντηκοστῆς τὰ τοιαῦτα ἀξιώματα, οὐκ ἐξ αὐτομάτου, οὐδ' ὡς ἔτυχε, μηδέ τις τοῦτο νομίσειεν, ἐφευρεθείη. Οὐ γὰρ ἀνθρωπίνης φιλοτιμίας ὑπάρχει τοῦτο τὸ δώρημα, ἀλλὰ θείας νομοθεσίας ἀξίωμα, καὶ οὐ μιᾶς νομοθεσίας, ἤτοι τῆς παλαιᾶς, τῆς νέας χωρίς

D ἤγουν τῆς νέας, θατέρας δίχα· ἀλλὰ παλαιᾶς τε καὶ νέας

[40] Hebr. III, 3.

NOTÆ.

tionesque propter Christum circa ea tempora in Ecclesia factas. Putem ego nova hæc, glossam esse ac paraphrasim τοῦ σαλοῦ, quod Græca Simeonem appellant, redditque Anastasius, *Simeonis simplicis* : velut nimirum fatui, ac emotæ mentis hominem agentis, qualem etiamnum illius vita prodit, quam habet Surius 1 Julii, ac quibus ea die adscriptus habetur, Romanæ Ecclesiæ tabulis : proindeque frustra Baronius Evagrii continuatorem quærit, Leontium Constantiæ Cypri, quique tribulationes, sive potius turbationes propter Christum in Ecclesia Mauritii annis posterioribus ac deinceps factas scribat. Nam quæso, quænam tunc in Ecclesia factæ tribulationes, ac turbationes propter Christum, ac Christi odio, Christianissimo imperatore Mauritio ? Atque ut dandum aliquid malo interpreti, referrent hæc tempora sancti Simeonis, quem Vitæ auctor ponit claruisse sub Justiniano. Quod item Baronius Constantiæ episcopum facit Leontium, error est male confusa sed interloquentis Constantini, cum sede Leontii, de quo is interloquitur. Plane ut novisset Constantiæ episcopum, suumque in ea sede decessorem, non dixisset, *in una urbium Cypri* : sed potius, in ipsa Constantia, in qua sum episcopus, vel quid simile. Nihil constantiæ cum Neapoli illa, Salamis, sive Salamina, ac novissime Famagosta : hæc nostro Lusignano, *Nemosia*, vel *Lemonce* Græcis, *Lemise nova*. Hæc obiter exsufflandus, tot sub una fere periodo contentis erratis.

Digitized by Google

μετέχει, ὡς εἶναι τὴν ἡμέραν κατ' ἀμφότερα τιμᾶσθαι ἀξίαν. Ὁ μὲν γὰρ Μωσέως νόμος τῷ Ἰσραηλίτῃ λαῷ ἔφασκε· *Μεσούσης τῆς ἑορτῆς, ποιήσεις θυσίαν Κυρίῳ τῷ Θεῷ σου*, καὶ τὰ ἑξῆς. Ἐπειδὴ δὲ, καθὼς αὐτὸς ὁ Κύριος πρὸς τοὺς Ἰουδαίους ἔφησεν· *Εἰ ἐπιστεύσατε Μωσεῖ, ἐπιστεύσατε ἂν ἐμοί· περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψεν*· ὡς ἀναγκαῖον ἐντεῦθεν πάντα τὰ τυπικῶς ἐν ἐκείνῳ γεγραμμένα, ἀλληγορικῶς, ἤτοι ἀληθινῶς, εἰς τὸν Κύριον ἀναφέρεσθαι· καὶ τοῦτο τὸ μέρος εἰς αὐτὸν γεγραμμένον, ἔδει καὶ ὑπ' αὐτοῦ τιμηθῆναι. *Οὐ γὰρ ἦλθε καταλῦσαι τὸν νόμον, ἀλλὰ τοῦτον πληρῶσαι*, καὶ ἀντὶ στοιχειώδους καὶ ἀτελοῦς, πνευματικὸν καὶ τέλειον ἀπεργάσασθαι.

Τῆς τοίνυν ἑορτῆς μεσούσης, ὥς φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς, *ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν*. Εἰ γὰρ καὶ τῆς Σκηνοπηγίας ἦν ἑορτὴ, ὅτε μεσούσης αὐτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν· ἀλλ' ἐμοὶ νῦν περὶ τοῦτο, μέσον πολλαχοῦ τῆς Παλαιᾶς καὶ Νέας διαθήκης τιμᾶσθαι, ὁ σκοπὸς, ὡς καὶ ἐπὶ τῷ τέλει προῖὼν ἔδειξεν ὁ λόγος. *Ἀνέβη* τοίνυν *ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε*. Πάντοτε πᾶσιν ἐπωφελὴς καὶ σωτήριος ἡ Χριστοῦ παρουσία. Ἐν ἱερῷ διδάσκει, φωτίζων τοὺς ἀκούοντας· ἐν πλατείαις θαυματουργεῖ, τοὺς ἀσθενοῦντας ἰώμενος· ἐν συμποσίοις σώζει ἁμαρτωλοὺς ἐπιστρέφοντας· ἐν τελωνίοις ἁρπάζει πρὸς μαθητείαν τοὺς ἁρπαγας· ἐν πλοίοις καθεύδων, κατακοιμίζει τῇ ἐπιτιμήσει τὸν κλύδωνα· ἁλιεὺς ἰχθύων, σαγηνευτὰς ἀναδείκνυσι κόσμου, οὕτω ἐν παντὶ τόπῳ πάντοτε πᾶσιν ἐπωφελὴς καὶ σωτήριος ἡ Χριστοῦ παρουσία. Ἀλλ' ἴδωμεν τοὺς ἀγνώμονας Ἰουδαίους, τί ἄρα ἐκ τῆς τοῦ Σωτῆρος διδασκαλίας ὠφελήθησαν· μᾶλλον δὲ τοὺς τῶν Ἰουδαίων ἄρχοντας, *Οἵτινες τὴν δόξαν τῶν ἀνθρώπων, ὑπὲρ τὴν δόξαν τοῦ Θεοῦ*, ἤτοι τὸ *καλεῖσθαι Ῥαββὶ*, ἀγαπήσαντες, τῆς ὄντως ἀναποβλήτου δόξης, λέγω δὴ, τῆς εἰς Χριστὸν πίστεως, ἑαυτοὺς ἀπεστέρησαν. Ἐπεὶ ὅτι ἐκ τοῦ πλήθους αὐτῶν ἐπίστευσαν οὐκ ὀλίγοι, μετέπειτα ὁ εὐαγγελιστὴς σαφηνίζει φάσκων· *Ἐκ τοῦ οὖν ὄχλου, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν*. Οἱ οὖν τὰ ἀπρόσφορα περὶ τοῦ διδασκάλου ἐνθυμούμενοι, τὸ θεομισὲς ὑπῆρχε τῶν ἀρχιερέων καὶ γραμματέων καὶ λοιπῶν ἀρχόντων συνέδριον, οἵτινες διδάσκοντος τοῦ Κυρίου ἔφασκον· *Πῶς οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς;* Ἡ δὲ τοιαύτη φωνή τε καὶ ἔννοια, κατηγορεῖ τῆς τῶν Ἰουδαίων ἀνηκοΐας, ὡς τοῖς νομικοῖς καὶ προφητικοῖς πραγγέλμασι πάντοτε ἐνάντιοι γεγόνασι. Τὸ γὰρ φῆσαι αὐτούς· *Πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς;* δείκνυσιν ὅτι ἐκ νομικῶν, ἤτοι προφητικῶν, γραμμάτων τὴν διδασκαλίαν ὁ Σωτὴρ τὸ τηνικαῦτα ἐξύφηνεν. Ὅθεν ὡς ἐξ ἐγγράφων διδάσκοντος, καίπερ γράμματα μὴ μεμαθηκὼς, περὶ αὐτὸν φθονερῶς (οὐ γὰρ θαυμαστικῶς), ἐξιστάμενοι ἔφασκον· *Πῶς οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς;* Εἰ γὰρ μὴ τοῦτο

A particeps est; sed et utriusque, veteris pariter ac novæ, ut merito ex utraque honorem habeat. Nam Moyses quidem in hunc modum populo Israelitico sanciens ait: *Media festivitate facies victimam Domino Deo tuo*, etc. [61]. Quia autem, sicut Dominus ipse Judæis ait: *Si credidissetis Moysi, mihi quoque utique credidissetis: de me enim ille scripsit* [62]. Quemadmodum inde necessarium conficitur, ut omnia in lege per figuram scripta, allegorice, seu ipsa veritate, in Dominum referantur, ita et partem hanc, quæ in eum scripta esset, ab eo quoque honorari oportuit: *Non enim venit solvere legem, sed adimplere* [63], atque elementarem ac imperfectam, spiritalem atque perfectam efficere.

B *Die* igitur *festo mediante*, inquit Joannes evangelista, *ascendit Jesus in templum, et docebat* [64]. Quanquam enim dies festus Scenopegiæ erat, cum eo mediante Jesus in templum ascendit, hoc tamen solum in præsentiarum velim ostensum, multis Veteris æque ac Novi Testamenti locis, honorem medio haberi, uti etiam oratio processu in finem ostendit. *Ascendit* itaque *Jesus in templum, et docebat*. Omnibus omni loco utilis est ac salubris Christi præsentia Docens in templo, auditores illuminat [65], miracula in platæis patrans, infirmos sanat; conviviis assistens [66]; peccatores ad meliorem conversos frugem salvat [67]; in teloniis raptores sibi in discipulos rapit [68]; in navigiis dormiens [69], tempestatem increpando sedat: piscatores piscium, mundi piscatores facit [70]; sic ubique omnibus utilis ac salubris illa C Christi præsentia est. Cæterum videamus improbos Judæos, quid ex Salvatoris doctrina commodi consecuti sint; seu magis Judæorum principes, *qui* nimirum, *hominum gloriam diligentes magis quam gloriam Dei* [71], hoc est, *vocari Rabbi* [72]; vere illa inauferibili gloria, fide, inquam, in Christum, seipsos privarunt. Quod enim non pauci ex illo cœtu crediderint, declarat postmodum evangelista, dicens: *De turba autem multi crediderunt in eum* [73]. Ii ergo qui inconsona de præceptore cogitabant, Deo odibile concilium illud erat, pontificum, scribarum, ac reliquorum principum; qui nimirum Domino docente, dicebant: *Quomodo hic litteras scit, cum non didicerit* [74]? Ejusmodi autem vox et cogitatio, D Judæorum obedientiam accusat, qui legis semper ac prophetarum mandatis fuerint adversati. Dicendo enim, *Quomodo hic scit litteras, cum non didicerit?* aperte indicant, tunc Dominum ex scriptis legis ac prophetarum, contexuisse doctrinam. Quod itaque, ex Scripturis doceret, quanquam non didicerat litteras, invidia in ipsum (nec enim admiratione) obstupentes dixerunt: *Quomodo hic scit litteras, cum non didicerit?* Siquidem enim, secus res habebat, novamque, atque hactenus ignotam, neque Scripturis traditam doctrinam exponebat, frustra fuisset ille stupor, quod non sciret litteras. Ea vero cogi-

[61] Exod. xix, 22. [62] Joan. v, 46. [63] Matth. v, 18. [64] Joan. vii, 14. [65] Joan. vii, 14. [66] Marc. vi, 56. [67] Luc. vii, 48. [68] Matth. xi, 9. [69] Matth. viii, 26. [70] Matth. vi, 9. [71] Joan. xii, 43. [72] Matth. xxiii, 7. [73] Joan. vii, 31. [74] Joan. vii, 15.

Digitized by Google

tatione relicta, dixerunt invicem : *Nos scimus quia Moysi locutus est Deus* [58] : *hunc autem nescimus unde sit.* Omnis enim iniquitatis modus, perinde illis expeditus est ; idcirco etiam utraque ratione permanserunt increduli Christo , cum quidem legalia ac prophetica documenta proponeret, calumniam inferentes, tanquam arte magica scientiam sine litteris comparasset ; cum autem doceret sua, eidem contradicentes. *Tu de teipso testimonium perhibes? testimonium tuum non est verum* [59]. Omni ergo ratione venia carent, Judæorum principes, nec quidquam omnino volunt juvari. Salvator nihilominus innata illa sua clementia victus, non statim ita loquentes aversatus est, sed respondit eis, aitque : *Mea doctrina non est mea, sed ejus qui misit me* [60]. Qui enim eos sciret, *facientes irritam legem, ac docentes doctrinas ac mandata hominum* [61] : repulisse quoque prophetas, dicendo huic : *Non nominabis nomen Domini* [62] : illi autem : *Qui vides recede, et vade in terram tuam, et ibi vive , et ibi prophetabis* : *in Bethel autem non prophetabis* [63] : quin et eosdem occidisse, nec Christi doctrinam ullo modo recipere, qui dissuadentes turbis dicerent, Quid eum auditis? *Insanit, et dæmonium habet* [64] ; jure plane merito, cum legis et prophetarum, tum sui ipse mentionem omittens, in Deum refert doctrinæ vim ; ut vel reverentia perculsos, ac linguam dolosam cohibentes, percepta utilitate salvos faceret, vel palam Deum impugnantes convinceret. Sive enim legalia sunt, quæ docco, sive prophetica, noveritis esse Dei, qui et locutus est ad illos, et me misit. Hactenus siquidem congruum assumptæ hominis naturæ modum retinet, ut ne statim occurrendo, impudenter dicant, quod et postea dixerunt : *Quid tu, homo cum sis, facis teipsum Deum* [65] ? Nam alioqui scimus nos fideles, quæ scripta sunt in prophetis et lege, Christi esse prænuntiationes : Nam ait ipse Salvator : *Omnia quæ habet Pater, mea sunt* [66]. Iterum quoque per prophetam ait : *Ipse qui loquebar, ecce adsum* [67]. Subjungit deinceps dictis : *Si quis voluerit ejus voluntatem facere* , nempe ejus qui misit me , *cognoscet de doctrina utrum ex Deo sit, an ego a meipso loquar.* Quod ait, tale quid est. Qui quærit non suam, sed Dei voluntatem, utique attendit Scripturis sacris, in illis siquidem latet voluntas Dei ; atqui Scripturæ sacræ de me prænuntiant, meque Deum Verbum ex Patre procedentem prædicant ; atque hominem fore novissimis temporibus nulla mei mutatione, prophetant. Qui ergo impendio studet Dei facere voluntatem, me quidem ex Scripturis sacris agnituras est ; postmodum vero ex me recurret ad Patrem ; atque adeo, meam doctrinam, Patris esse doctrinam confitens, sibi ipse salutem paraturus est. *Qui a semetipso*, inquit, *loquitur, gloriam propriam quærit : qui autem quærit gloriam ejus qui misit eum, hic verax est, et injustitia in illo non est.* Illis, doctrinam Scribarum et Pharisæorum tacite significat.

A ἦν, ἀλλὰ καινὴν καὶ μήπω ἐγνωσμένην, ἢ γεγραμμένην διδασκαλίαν ἐξετίθετο, περιττὴ ἡ περὶ τοῦ μὴ εἰδέναι αὐτὸν γράμματα ἔκπληξις. Εἶπον δὲ ἂν πρὸς αὐτοὺς, ταύτην καταλείποντες τὴν ἔννοιαν· *Οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί.* Πᾶς γὰρ αὐτοῖς ἱππήλατος παρανομίας τρόπος· διὸ καὶ κατ' ἀμφότερα ἀπιστοῦντες διαμεμενήκασι τῷ Χριστῷ· νομικὰ μὲν, ἤτοι προφητικὰ, παρατιθέντος διδάγματα, συκοφαντίας προσράπτοντες, ὡς ἐκ τῆς μαγείας τινὸς τὴν εἴδησιν ἄνευ γραμμάτων ἔχοντι· ἰδικὰς δὲ ποιουμένου διδασκαλίας, ἀντιφθεγγόμενοι· *Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς; ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.* Πάντοθεν οὖν ἀσύγγνωστοι, καὶ ὠφελεῖσθαι μηδόλως βουλόμενοι, οἱ τῶν Ἰουδαίων καθηγεῖσθαι
B λαχόντες. Ἀλλ' ὅμως ὁ Σωτὴρ τῇ ἐμφύτῳ φιλανθρωπίᾳ νικώμενος, οὐκ εὐθὺς ἀπεστράφη τοὺς ταῦτα λέγοντας, ἀλλ' ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· *Ἡ ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με.* Ἐπειδὴ γὰρ αὐτοὺς ἐγίνωσκε, *νόμον μὲν ἀθετοῦντας, διδάσκοντας δὲ διδασκαλίας ἐντάλματα ἀνθρώπων*, προφήτας δὲ παρωσαμένους ἐκ τοῦ λέγειν, πρὸς μὲν τὸν, *Μὴ ὀνομάσεις τὸ ὄνομα Κυρίου· πρὸς δὲ τὸν, Ἐκχώρησον, ὁ ὁρῶν, καὶ βάδιζε εἰς τὴν γῆν σου, καὶ ἐκεῖ καταβιοῦ, καὶ ἐκεῖ προφητεύσεις· εἰς δὲ Βεθὴλ οὐ μὴ προφητεύσεις·* μᾶλλον δὲ καὶ προφητοκτόνους γεγενημένους· τὴν δὲ αὐτοῦ Χριστοῦ διδασκαλίαν μηδόλως
C ἀποδεχομένους, ἐκ τοῦ ἀναπείθειν τοὺς ὄχλους λέγοντας· *Τί ἀκούετε αὐτοῦ; Μαίνεται, καὶ δαιμόνιον ἔχει·* εἰκότως καὶ νόμου καὶ προφητικῶν, καὶ ἑαυτοῦ, ἐν τῷ πρὸς αὐτοὺς ἐλέγχῳ μὴ ἐπιμνησθείς, εἰς Θεὸν ἀναπέμπει τὴν τῆς διδασκαλίας δύναμιν· ἵνα ἢ αἰδεσθέντες καὶ παυσάμενοι τῆς δολιολόγου γλώσσης, ὠφεληθέντες σωθῶσιν, ἢ φανερῶς θεομαχοῦντες ἐλεγχθῶσιν. Εἴτε γὰρ νομικὰ, εἴτε προφητικά εἰσι τὰ παρ' ἐμοῦ διδασκόμενα, γινώσκετε ὅτι Θεοῦ εἰσι, τοῦ πρὸς ἐκείνους λαλήσαντος, καὶ ἐμὲ ἀποστείλαντος. Τέως γὰρ τὸ τῆς ἀνθρωπότητος μέτρον, ἵνα μὴ εὐθὺς ἀπαντήσωσιν, ἀδεῶς λέγοντες, ὅπερ καὶ εἰρήκασιν ὕστερον· *Τί ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς ἑαυτὸν Θεόν;* Ἐπεὶ ὅτι γε τὰ προφητῶν καὶ νόμου, Χριστοῦ εἰσι προαναγγέλματα, ἴσμεν ἡμεῖς οἱ πεπιστευκότες. Αὐτὸς γὰρ ὁ Σωτὴρ
D ἔφησε· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.* Καὶ πάλιν διὰ τοῦ προφήτου φησίν· *Αὐτὸς ὁ λαλῶν, πάρειμι.* Εἶτα ἐξῆς ἐπάγει τοῖς εἰρημένοις· *Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ*, τοῦ πέμψαντός με, λέγω, *ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀφ' ἑαυτοῦ λαλῶ.* Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὁ μὴ ζητῶν τὸ ἴδιον θέλημα, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ, ταῖς θείαις πάντως προσανέχει Γραφαῖς· ἐν γὰρ ταύταις τὸ θέλημα τοῦ Θεοῦ ἐγκέκρυπται. Αἱ δὲ θεῖαι Γραφαὶ περὶ ἐμοῦ προαγγέλλουσι, καὶ Θεόν με Λόγον κηρύττουσιν, ἐκ τοῦ Πατρὸς προελθόντα· καὶ ἄνθρωπον ἀτρέπτως ἐπεσχάτων γενέσθαι τὸν αὐτὸν προφη-

[58] Joan. IX 29. [59] Joan. VIII, 13. [60] Joan. VII, 16. [61] Matth. XV, 9. [62] Amos. VI, 10. [63] ibid. VII, 13. [64] Joan. X, 20. [65] Joan. X, 33. [66] Joan. XVI, 15. [67] Isa. LII, 6

Digitized by Google

τεύουσι· ὁ τοίνυν τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν ἐπειγόμενος, ἐπιγνώσεται μὲν διὰ τῶν θείων Γραφῶν ἐμέ· αὖθις δὲ ἐξ ἐμοῦ ἀναδραμεῖται πρὸς τὸν Πατέρα· καὶ οὕτως τὴν ἐμὴν διδαχὴν, τοῦ Πατρὸς εἶναι, ὁμολογήσει· καὶ ὁμολογῶν, τὴν σωτηρίαν πορήσεται. *Ὁ παρ' ἑαυτοῦ, φησὶ, λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστιν, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστι.* Τὴν διδαχὴν τῶν Γραμματέων καὶ Φαρισαίων διὰ τούτων αἰνίττεται. Ἐκεῖνοι γὰρ ἀφ' ἑαυτῶν ἐλάλουν, ἀδικοῦντες τὸν νόμον· καὶ τὰ μὲν εἰς Θεὸν συμφέροντα ἀφαιροῦντες· τὰ δὲ παρ' ἑαυτῶν προστιθέντες, ἀνοδίαν βαδίζειν τοὺς αὐτοῖς ἑπομένους ἠνάγκαζον, ὡς φησι τὰ θεῖα Εὐαγγέλια· *Βαπτισμοὺς ξεστῶν, καὶ ποτηρίων, ἀπονίψεις τε χειρῶν, συμπυγμῇ παραδιδόντες· καὶ τὰ βαρύτερα τοῦ νόμου, ὡς μηδὲ γεγραμμένα, παρατρέχοντες,* τὴν τε εὐθεῖαν κρίσιν, καὶ τὸ πρὸς τοὺς πέλας ἔλεος. Ὅθεν καὶ τὸ οὐαὶ ἐπὶ ταῖς τοιαύταις ἀνομίαις πολλαπλασιαζόμενον ἐκομίσαντο. *Οὐαὶ γὰρ ὑμῖν* (οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις), τοῦτο, *Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ,* φησὶν ὁ Σωτήρ· *ὅτι ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν.* Οὐ μόνον γὰρ ἀθετεῖτε· ἀλλὰ καὶ ἀδικεῖτε αὐτὴν, τὰ οἰκεῖα θελημάτων, ὡς ἐξ αὐτῆς προϊσχόμενοι· καὶ βλασφημεῖσθαι τὴν θείαν θεσμοθεσίαν, ταῖς ἀτόποις παραποιήσεσιν ὑμῶν καὶ προσθήκαις, παρασκευάζετε. Τοῦτο δὲ αὐτὸ καὶ μέχρι τήμερον πράττουσιν, οἱ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην, καὶ περὶ τὰ θεῖα καταφρόνησιν ἐκμιμούμενοι τῶν αἱρετικῶν παῖδες, ἢ παραποιοῦντες καὶ νοθεύοντες τὰ τῶν Θεοφόρων διδασκάλων δόγματα· ἢ, τὸ τούτου πρὸς ἁμαρτίαν ῥοὴν ἔλαττον, ψευδῶς· τὰ τῶν αἱρετικῶν τοῖς ἁγίοις Πατράσιν ἐπιφημίζοντες, τοῖς ἐκείνων μοχθηροῖς καὶ δυσσεβέσι συγγράμμασι, τὰς αὐτῶν τιμίας προσηγορίας χραίνοντες· καὶ τὰ μὲν Ἀπολιναρίου τοῦ δυσσεβοῦς, ποτὲ μὲν Ἀθανασίῳ τῷ θείῳ· ποτὲ δὲ, Ἰουλίῳ τῷ τῆς πρεσβυτέρας Ῥώμης προέδρῳ· ἢ Γρηγορίῳ τῷ Θαυματουργῷ, ἢ ἄλλῳ τινὶ τῶν ἐγκρίτων Πατέρων ἐπιγράφοντες· καὶ ἄλλα ἄλλοις, ὀρθοδόξων μὲν αἱρετικοῖς· αἱρετικῶν δ' ὀρθοδόξοις. Ὅθεν καὶ αὐτοὶ τὸ οὐαὶ ἐφ' ἑαυτοὺς ἕλκουσι· ποτίζοντες τοὺς πλησίον ἀνατροπὴν θολερὰν, ἐκ τοῦ λέγειν· *Πικρὸν γλυκὺ,* καὶ τοὐναντίον· *τιθέντες τὸ σκότος εἰς φῶς, καὶ τὸ φῶς σκότος.* Ἀλλὰ τὴν πικρὰν τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴν ἀλλὰ καὶ αἱρετικῶν παρεξήγησιν καὶ νοθείαν καταλιπόντες, πρὸς τὴν σωτήριον διδασκαλίαν ἐπαναδράμωμεν.

Λέγει γὰρ πρὸς τοὺς Ἰουδαίους ὁ Κύριος· *Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον.* Ἰδοὺ σαφῶς διὰ τούτων, γνῶθι ἀκριβέστερον, ἀγαπητὲ, ὅτι καθὼς ἀνωτέρω ἔφημεν, ἐκ νομικῶν καὶ προφητικῶν τὴν διδασκαλίαν ὁ Κύριος πρὸς τοὺς Ἰουδαίους ἐποιεῖτο, ὅτε ἐκεῖνοι τῷ φθόνῳ κεντούμενοι ἔφασκον· *Πῶς οὗτος γράμματα, μὴ μεμαθηκὼς, οἶδε;* Τρανῶς γὰρ νῦν αὐτοῦ τοῦ νόμου καὶ τοῦ δεδωκότος Μωσέως ὑπομιμνήσκει, πᾶσαν αὐτοῖς ἀποκλείων ἐντεῦθεν ἀπολογίαν. Εἶτα, καὶ τὸν κεκρυμμένον καὶ ἔνδον μυχοῦντα, τῇ μιαιφόνῳ αὐτῶν καρδίᾳ δόλον ἀποκαλύπτει, φήσας· *Τί με ζητεῖτε ἀποκτεῖναι;* Οἱ δὲ πάντολμοι, καὶ τῆς παρανομίας σύντροφοι, δέον τὰ κρυπτὰ τῆς

A Illi enim, in legem injuriosi, a semetipsis loquebantur. Ea siquidem auferentes, quæ in Deum conferebant, ac sua adjicientes, per devia sequaces suos incedere cogebant, quemadmodum dicunt sacra Evangelia : *Baptismata calicum, et urceorum, manuumque lotiones, crebro tradentes ; quæ autem sunt graviora legis* [65], velut non essent scripta, *prætereuntes* [66] : nempe rectum judicium, ac misericordiam in proximos : Quamobrem etiam væ illud toties super talibus iniquitatibus ingeminatum reportarunt. *Væ* enim *vobis* [67] : nec id semel, sed et sæpius : *Væ Scribæ et Pharisæi hypocritæ* [68], inquit Salvator; *qui irritum fecistis mandatum Dei, propter traditionem vestram* [69]. Nec solum vero facitis irritum, sed et injuriam facitis, qui vestræ voluntatis inventa, B tanquam ex ipso prætendatis, ac faciatis, ut absonis ejusmodi adulterationibus ac additamentis, divina lex blasphemetur. Hoc ipsum autem etiamnum hæretici faciunt, qui Judæorum improbitatem ac divinorum contemptum æmulantes, vel falsent ac adulterent deiferorum Doctorum sententias ; vel, quod nihil minus scelestum est, quæ sunt hæreticorum, falso sanctorum Patrum nomine publicent, ac eorum pravis ac impiis scriptis, illorum veneranda nomina oblinant : impiaque Apollinarii dogmata, modo quidem divino Athanasio, modo autem Julio veteris Romæ episcopo, aut Gregorio Thaumaturgo, vel cuipiam alii probato Patri inscribant : aliaque aliis tribuant, quæ sunt orthodoxorum, hæreticis ; et quæ hæreticorum, orthodoxis. Quare et ipsi væ illud in C suum caput accersunt, qui proximo propinent subversionem turbidam, dicendo, *Dulce amarum*, et e converso : *Qui ponunt tenebras lucem, et lucem tenebras* [70]. Verum amaram Scribarum et Pharisæorum, quin et hæreticorum obliquationem ac adulterationem relinquentes, ad salutarem doctrinam recurramus.

Ait siquidem Judæis Dominus : *Nonne Moyses dedit* D *vobis legem ? et nemo ex vobis facit legem* [71]. En, dilecte, unde accuratius noveris, ut quemadmodum superius diximus, tunc suam Dominus ad Judæos doctrinam ex legalibus ac propheticis instituerit, cum illi stimulante invidia, dixerunt : *Quomodo hic scit litteras, cum non didicerit ?* Perspicue enim, cum legis meminit, tum Mosis legislatoris, omnem eis inde excusationem excludens. Deinde etiam occultum, pronoque in cædes eorum corde latitantem dolum, detegit, dicens : *Quid me quæritis interficere ?* Verum audacissimi homines, ac iniquitatis alumni, cum audientes secreta cordis, Deum quoque debuissent agnoscere, qui corda et renes scrutatur [72] :

[65] Marc. vii, 8. [66] Matth. xxiii, 23. [67] ibid. [68] Matth. xvi, 16. [69] Marc. vii, 9. [70] Isa. v, 20. [71] Joan. vii, 19. [72] Psal. vii, 10.

Digitized by Google

cum abunde suppeteret, unde converterentur ac pœnitentiam agerent, ii contra responderunt : *Dæmonium habes. Quis te quærit interficere ?* O Judæorum impium animum ! O plenam temeritate Christicidarum insaniam ! O blasphemam linguam semper Spiritui sancto resistentium ! *Dæmonium habes*, ei dicunt, qui eorum obsessos a dæmone curasset ; vere ipsi animis dæmoniaci, ac patris ipsorum diaboli voluntatem semper facientes. *Quis* vero, etiam addiderunt, *quærit te interficere?* nec arcanorum cordis testem timentes, at neque reveriti coargutiones. Enimvero humanitatis affectu condolens, ac vere natura misericors Jesus, non instat arguendo, nec cruentam eorum traducens voluntatem, sermone incalescit, sed ad aliam transit narrationem, universos erudiens, ut cum adversantes aliquos arguimus, siquidem illi moliuntur amoliri crimen, haudquaquam reprehensionem intendamus ; in majorem sæpius impudentiam abacturi eos, qui peccaverunt ; sed demus locum iis, qui fuerunt quidem deprehensi, sed volunt crimen depellere, ac excusare. Sæpe enim fiat, ut pœnitudine conversi, meliores evadant. Hoc Dominus in præsentiarum fecisse dignoscitur : *Respondit* enim, *et dixit eis : Unum opus feci, et omnes admiramini.* Vides sermonem humanitate plenum ? Vides indeficientem bonitatis thesaurum ? Vides arcanæ illius sapientiæ fontem ? Eorum enim ceu homicidarum reprehensionem omittens, parum abest, ut ne tanquam prodigium exhibitum admirantes, qui omnium gerit curam salutis, etiam approbare studeat, ac laudet. *Unum* enim, inquit, *opus feci, et omnes admiramini.* Quanquam enim non omnes statim, pro eo quod acciderat, obstupuerunt ; rem tamen considerantes, ut Dei, non ut hominum proprium, miracula ejusmodi facere merito admirantur. At contra pontifices et Pharisæi conviciantes, nunquam a calumnia in Jesum destiterunt ; nec id solum in aliis ab eo patratis miraculis, verum et in ipso quoque de quo nobis est sermo. Agimus enim de paralytico sanato in Probaticâ piscina, adversus quem Judæorum principes, indignantes dixerunt : *Sabbatum est : non licet tibi tollere grabatum tuum* [73] : multa in eum jactantes qui hoc fieri jusserat. Enimvero quanquam ita animis impie affecti erant, ipse nihilominus Salvator omnibus tribuit, quod opus admirentur.

Ad hæc autem, non tantum edicendo cogitationes, verum etiam exemplis nititur flectere, atque ad id quod rectum esset, reducere, cum ait : *Propterea Moyses dedit vobis circumcisionem, non quia ex Moyse est, sed ex patribus* [74]. Quid enim adeo, inquit, videri vultis studere legi, qui semper legi contraria agatis ? Nam et circumcisio, primum illud post fidem *signum fidei, quæ est in præputio* [75], data proavis vestris, non ex Moyse, sed ex patribus est.

καρδίας ἀκούσαντας, καὶ Θεὸν ἐπιγνόντας [ἴσ. ἐπιγνῶναι], τὸν καρδίας καὶ νεφροὺς ἐτάζοντα. Προσὸν αὐτοῖς ὁ λόγος [ἴσ. ὅλως] ἐπιστρέψαι, καὶ μετανοῆσαι, ἀπεκρίθησαν· *Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;* Ὦ τῆς ἀφιλοθέου τῶν Ἰουδαίων ψυχῆς ! ὦ τῆς παντόλμου τῶν Χριστοκτόνων μανίας ! ὦ τῆς βλασφήμου γλώττης, τῶν πάντοτε ἀντιπιπτόντων τῷ Πνεύματι τῷ ἁγίῳ ! *Δαιμόνιον ἔχεις*, λέγουσι τῷ τοὺς δαιμονιῶντας αὐτῶν θεραπεύσαντι· αὐτοὶ δαιμονῶντες ἀληθῶς ταῖς ψυχαῖς, καὶ τὰ θελήματα τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου ποιοῦντες ἀεί. *Τίς δέ σε καὶ ἀποκτεῖναι ζητεῖ ;* προστιθέασιν, οὐ δεδοικότες τὸν τῶν κρυφίων αὐτῶν λογισμῶν συνίστορα, ἀλλ' οὐδὲ τοὺς ἐλέγχους αἰδούμενοι. Ὁ δὲ συμπαθὴς, καὶ ὄντως φύσει οἰκτίρμων Ἰησοῦς, οὐκ ἐπιμένει τοῖς ἐλέγχοις, οὐδὲ ἐπιζέει τῷ λόγῳ, τὴν μιαιφόνον αὐτῶν στηλιτεύων προαίρεσιν, ἀλλ' ἐφ' ἑτέραν μεταβαίνει διήγησιν, παιδεύων ἅπαντας ἐν τοῖς πρός τινας τῶν ἀντιτεταγμένων ἐλέγχοις, ὅταν οἱ ἁμαρτάνοντες ἀπορρίπτειν πειρῶνται τὸ ἔγκλημα, μὴ ἐπιτείνειν τὸν ἔλεγχον, ἀναιδεστέρους ὡς τὰ πολλὰ τοὺς προσκεκρουκότας ἀπότελοῦντας· ἀλλὰ διδόναι χώραν τοῖς φωραθεῖσι μὲν, ἀποδύεσθαι δὲ βουλομένοις τὸ ἔγκλημα. Πολλάκις γὰρ ἐπιστρέψαντες τῇ μεταγνώσει, βελτίους γενήσονται. Τοῦτο πεποιηκὼς ὁ Δεσπότης τὸ τηνικαῦτα δείκνυται. *Ἀπεκρίθη γὰρ καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.* Ὁρᾷς φιλανθρωπίας ῥῆμα; Ὁρᾷς ἀγαθοσύνης ἀνεπίλειπτον θησαυρόν; Ὁρᾷς τῆς σοφίας τῆς ἀπορρήτου τὴν πηγήν; Ἀφέμενος τούτοις ὡς μιαιφόνοις ἐγκαλεῖν, ὡς θαυμάζοντας τὸ γεγενημένον τεράστιον μικροῦ καὶ ἀποδέχεσθαι, ὁ τῆς σωτηρίας πάντων κηδόμενος, κατεπείγεται. *Ἓν* γὰρ, φησὶν, *ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.* Καίπερ γὰρ οὐ πάντες ἐξαυτῆς περὶ τὸ γενόμενον ἐξεπλήσσοντο· περὶ τοῦ γεγονότος; λογιζόμενοι, εἰκότως ὡς Θεοῦ καὶ οὐκ ἀνθρώπων ἴδιον τὸ τοιαῦτα θαυματουργεῖν, ὑπεραίρονται. Οἱ δὲ ἀρχιερεῖς καὶ Φαρισαῖοι, τοὐναντίον λοιδοροῦντες τὸν Ἰησοῦν οὐ διαλελοίπασιν, οὐ μόνον ἐν τοῖς ἄλλοις ὑπ' αὐτοῦ γεγενημένοις θαύμασιν, ἀλλὰ καὶ ἐν αὐτῷ περὶ οὗ ὁ λόγος. Τὸ γὰρ κατὰ τὸν παράλυτον ἦν, τὸν ἐν τῇ Προβατικῇ κολυμβήθρᾳ, πρὸς ὃν ἀγανακτοῦντες ἔφασκον οἱ τῶν Ἰουδαίων ἄρχοντες· *Σάββατόν ἐστι, καὶ οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου*, πάμπολλα κατὰ τοῦ τοῦτο πρᾶξαι προστεταχότος εἰρηκότες. Ἀλλὰ καίπερ οὕτως ἀφιλοθέως διατεθέντων, πᾶσιν ὁ Σωτὴρ τὸ θαυμάζειν τὸ γεγονὸς ἐπιγράφει.

Εἶτα, οὐ μόνον ἐξειπὼν τὰ λογισμῶν, ἀλλὰ καὶ ἐκ παραδειγμάτων πειρᾶται δυσωπεῖν, καὶ πρὸς τὸ εὐθὲς ἐπαναγαγεῖν· διὰ τοῦτο λέγων, *Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων.* Τί γὰρ, φησὶ, τοσοῦτον τοῦ νόμου δοκεῖτε ἀντιποιεῖσθαι, καίπερ τἀναντία τοῦ νόμου πάντοτε πράττοντες; Αὕτη γὰρ ἡ περιτομὴ, τὸ πρῶτον μετὰ τὴν πίστιν σημεῖον τοῖς προπάτορσιν ὑμῶν δεδομένον τῆς ἐν

[73] Joan. VIII, 41. [74] Joan. VII, 22. [75] Rom. IV, 11.

Digitized by Google

ἀμφιβυστίᾳ πίστεως, οὐκ ἐκ τοῦ Μωϋσέως ἐστίν, ἀλλ' ἐκ τῶν Πατέρων. Καὶ ἐν Σαββάτῳ, φησὶ, περιτέμνετε ἄνθρωπον. Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν Σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωϋσέως· ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν Σαββάτῳ; Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Ἐν Σαββάτῳ περιτέμνειν ἄνθρωπον, φησὶν, οὐ παραιτεῖσθε, καίτοι καὶ αὐτὸ ἔργον ἐστίν. Ἀλλ' ὅμως διὰ τὸν νόμον τοῦτο πράττειν διαγορεύοντα, εἰ τύχοι γεννηθῆναι βρέφος ἐν Σαββάτῳ, τοῦτο περιτέμνετε τῇ ὀγδόῃ ἡμέρᾳ, τουτέστι τῷ ἐρχομένῳ Σαββάτῳ, καίπερ τοῦ νόμου λέγοντος, πᾶν ἔργον μὴ ποιεῖν ἐν Σαββάτῳ, ἢ τὸν τοῦτο πράττοντα ἐξολοθρεύεσθαι ἐκ τοῦ λαοῦ, ὅπερ καὶ πέπονθεν ὁ ἐν τῇ ἐρήμῳ τῇ ἡμέρᾳ τοῦ Σαββάτου συναγαγὼν τὰ ξυλάρια, λιθόλευστος γενόμενος· ὑμεῖς δὲ περιτέμνεσθε ἀδεῶς, διὰ τὸ μέρος τῆς περιτομῆς, ἑλικῶς ἀθετοῦντες τὸν νόμον. Ὁ γὰρ πταίσας, φησὶν, ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος. Μὴ κρίνετε τοίνυν κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Μὴ γὰρ ὅτι τῇ προλήψει τοῦ νόμου κεκράτησθε, καίπερ τὰ λοιπὰ παρωθούμενοι, πρὸς τὸ παρ' ἐμοῦ γενόμενον ἀγανακτεῖτε. Εἰ γὰρ διὰ τὸ μερικῶς ἐν ἀνθρώπῳ διὰ τῆς περιτομῆς γενόμενον, παραλύετε δυνάμει τὸν νόμον, ἵνα μὴ δῆθεν λυθῇ ὁ νόμος Μωϋσέως· Ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν Σαββάτῳ; Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Εἰ γὰρ ὁ μέρος ἀνθρώπου ἰατρεύων, ἐπαινετὸς, μᾶλλον ὁ ὅλον ἄνθρωπον ὑγιῆ καθιστὰς, οὐ ψεκτός· ἀλλ' εὐφημεῖσθαι ἄξιος. Καὶ ἄλλο δέ τι βαθύτερον ὑπὲρ τὸν πρόχειρον νοῦν σημαίνειν οἶμαι τοῦ Κυρίου τὰ ῥήματα. Τῷ γὰρ εἰπεῖν, ὅτι Ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν τῷ Σαββάτῳ, οὐ μόνον τὸ ὅλον σώματος νοεῖν τὸ παράλυτον σημαίνει, ἀλλ' ὅτι καὶ ψυχικῶς ἐξ ἁμαρτιῶν νοσοῦντα τοῦτον, κατ' ἀμφότερα ἐξιάσατο. Ὅλον γὰρ, φησὶν, ἄνθρωπον ἐποίησα ὑγιῆ. Τὸ δὲ σῶμα πᾶν, κἂν ἄρτιον ᾖ καὶ ἀνελλιπὲς, ἀλλ' οὐχ ὅλος ἐστὶν ἄνθρωπος· ὅλος δὲ ἄνθρωπος μᾶλλόν ἐστιν, ὁ ἐκ ψυχῆς καὶ σώματος συνεστὼς, ὃν καὶ ἰᾶσθαι ἔφησεν ὁλικῶς ὁ Κύριος, κατά τε ψυχὴν καὶ σῶμα. Ὅτι δὲ ταῦτα οὕτως ἐστὶν, ἐκ τῶν αὐτοῦ τοῦ Σωτῆρος ῥημάτων πρὸς τὸν πρώην παράλυτον ἔστι μαθεῖν. Εὑρὼν γὰρ αὐτὸν, φησὶν, ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Τοίνυν καὶ ψυχὴν ἐξ ἁμαρτιῶν, καὶ σῶμα ἐκ παρέσεως ἰασάμενος, ὅλον ὑγιῆ ἄνθρωπον ἐποίησε. Μὴ οὖν κρίνετε κατ' ὄψιν, ὦ Φαρισαῖοι, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. Ταῦτα τοῦ Χριστοῦ εἰρηκότος, τινὲς, φησὶ, τῶν Ἱεροσολυμιτῶν ἐθαύμαζον τῶν ῥημάτων τὴν παρουσίαν [γρ. παῤῥησίαν], καὶ τῶν Φαρισαίων τὴν ἡσυχίαν, λέγοντες· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; Καὶ ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. Μήποτε ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; Οἷς ἐπισυνάπτει· Τοὺ οὖν ὄχλου πολλοὶ ἐπίστευσαν εἰς αὐ-

Et in Sabbato, inquit, *circumciditis hominem. Si circumcisionem accipit homo in Sabbato, ut non solvatur lex Moysi : mihi indignamini, quia totum hominem sanum feci in Sabbato ? Nolite judicare secundum faciem, sed justum judicium judicate.* Nihil, inquit, recusatis circumcidere hominem in Sabbato, quanquam ipsum circumcidere opus est. Propter nihilominus legem mandantem hæc fieri, si contingat nasci infantem Sabbato, eum circumciditis die octava ; hoc est, proxime sequenti Sabbato, quanquam lex vetat, ne quod opus Sabbato faciatis [76] ; sive ut qui facit, exterminetur de populo, quod etiam ei accidit, qui in deserto ligula colligens die Sabbati, lapidatus est [77]. Vos autem nullo timore circumcidentes, propter partem illam circumcisionis, legem totam irritam facitis : *Qui* enim, inquit, *offendit in uno, factus est omnium reus. Nolite* ergo *judicare secundum faciem, sed justum judicium judicate* [78]. Ne enim quia legis præsumptione tenemini, quanquam reliqua rejicitis, adversus id quod gestum est, indignemini. Si enim propter hoc, quod in parte circumcisio in homine facit, legem virtute vacuatis, ut ne nimirum solvatur Moysi lex, *Mihi indignamini, quia totum hominem sanum feci in Sabbato ? Nolite judicare secundum faciem, sed justum judicium judicate.* Cum enim is, qui parti medetur laudem habeat, potiori jure non fuerit culpandus, qui hominem totum sanum facit, sed celebri potius fama celebrandus. Arbitror tamen Dominica verba profundius aliquid, quam quod primo statim occurrit sensu, significare. Nam dicendo : *Totum hominem sanum feci in Sabbato*, non id tantum ingerit, ut corpus quod erat paralysi resolutum, intelligamus ; sed quod etiam animo a peccatis laborans, utroque sanatus sit. *Totum* enim *hominem*, inquit, *sanum feci in Sabbato.* Atqui corpus totum, quanquam integrum ac nulla mutilum parte, non est totus homo ; sed magis totus homo est, qui ex animo et corpore constituitur, quem se totum Dominus curasse profitetur ; quod nimirum ad animam spectat, et corpus. Ut enim ea sic habeant, ex ipsius Domini Salvatoris verbis ad eum qui fuisset paralyticus, facile noverimus : *Cum* enim, inquit, *invenisset eum Jesus, dixit illi : Ecce sanus factus es ; jam noli peccare, ne deterius tibi aliquid contingat* [79]. Cum itaque animam a peccatis, tum corpus sanans a paralysi, totum hominem sanum fecit. *Nolite ergo judicare secundum hominem*, o Pharisæi ; *sed justum judicium judicate.* Cum hæc Christus locutus esset, quidam, inquit, ex Jerosolymis verborum Christi libertatem mirantes, ac Pharisæorum silentium, dixerunt : *Nonne hic est, quem quærunt interficere ? Et ecce palam loquitur, et nihil ei dicunt. Nunquid cognoverunt principes, quia hic est vere Christus* [80] ? Subditque : *De turba ergo multi crediderunt in eum*, postquam hæc ille locutus esset : nimirum prudenter cogitantes, non fuisse laturos principes, qui sic in eum

[76] Exod. xx, 10. [77] Num. xv, 36. [78] Jacob. ii, 10. [79] Joan. v, 14. [80] Joan. vii, 25.

Digitized by Google

mentis proposito instructi essent, reprehensionum libertatem, nisi esse vere Christum cognovissent; non ea quæ dicerentur fuisse silentio ac sine strepitu suscepturos; non *tardos* adeo futuros *ad iram* [81], qui sic *veloces erant ad effundendum sanguinem* [82]. Quamobrem cognito quod e re erat, ac supra modum admirati doctrinam, multi crediderunt. Vides, dilecte, præsentiæ Christi in templo finem? Vides doctrinæ quam proposuit fructum? Vides quid is negotiatus egerit, qui *vult omnes salvos fieri* [83]? Idcirco, *qui omnia novit priusquam fiant* [84], festo illo die mediante, qui erat Scenopegiæ, propere ad templum venit, cum jam eos qui salvandi essent, præscia divinitatis sagena, ante suum in illud adventum, conclusisset.

A tor. Ταῦτα εἰρηκότος, σώφρονι λογισμῷ ἐννοήσαντες, ὅτι οὕτως πρὸς τὸν κατ' αὐτοῦ φόνον ἐξωπλισμένοι τῇ προαιρέσει οἱ ἄρχοντες, εἰ μὴ ἔγνωσαν αὐτὸν τὸν Χριστὸν ἀληθῶς εἶναι, οὐκ ἂν ἠνέγκαν τῶν ἐλέγχων τὴν παῤῥησίαν· οὐκ ἂν ἡσυχῇ κατεδέξαντο τὰ λεγόμενα· οὐκ ἂν *ταχεῖς ὄντες πρὸς αἱμάτων ἐκχυσιν*, οὕτως *βραδεῖς πρὸς ὀργὰς διετέθησαν*. Ὅθεν τὸ δέον ἐπιγνόντες, καὶ τὴν διδασκαλίαν ὑπερθαυμάσαντες, πολλοὶ ἐπίστευσαν. Ὁρᾷς, ἀγαπητὲ, τὸ πέρας τῆς ἐν τῷ ἱερῷ τοῦ Χριστοῦ παρουσίας; ὁρᾷς τὸν καρπὸν τῆς παρατεθείσης διδασκαλίας; βλέπεις τὴν πραγματείαν τοῦ πάντοτε *πάντας θέλοντος σωθῆναι*; Τούτου χάριν *ὁ πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν*, ἐπείχθη καταλαβεῖν τὸ ἱερὸν τῆς τότε ἑορτῆς μεσούσης, ἤτις ἦν τῆς Σκηνοπηγίας, τοὺς σωθῆναι μέλλοντας τῇ προγνωστικῇ σαγήνῃ τῆς θεότητος, πρὸ τοῦ ἀνελθεῖν εἰς τὸ ἱερὸν περικλείσας.

Hunc quoque nos modum, præsentem Mediæpentecostes diem celebremus, suscipientes Salvatoris doctrinam, ac aversati nequitiam principum Judæorum, eosque tandem imitati, qui Christo Domino crediderunt. Ut autem majori honoris cumulo dignum noverimus Mediæpentecostes diem, ubi pauca de medio dixerimus, finem dicendi faciemus.

B Οὕτω καὶ ἡμεῖς τὴν παροῦσαν ἡμέραν τῆς Μεσοπεντηκοστῆς ἑορτάσωμεν, τὴν τοῦ Σωτῆρος διδασκαλίαν προσιέμενοι, τὴν φαυλότητα τῶν ἀρχόντων τῶν Ἰουδαίων ἀποστρεφόμενοι, τοὺς πεπιστευκότας τῷ Δεσπότῃ Χριστῷ ἐκμιμούμενοι. Ἵνα δὲ ἐπιπλέον γνῶμεν τιμῆς ἀξίαν τὴν τῆς Μεσοπεντηκοστῆς ἡμέραν, ὀλίγα περὶ μεσότητος εἰπόντες, τὸν λόγον καταπαύσωμεν.

Ait itaque David ad Deum: *In medio Ecclesiæ laudabo te* [85]. Et, *Operatus est salutem in medio terræ* [86]. Salomon vero didicisse se ait a sapientia, *Initium et consummationem, et medietatem temporum* [87]. Habacuc etiam in cantico: *In medio duorum animalium cognosceris* [88]. Alius item propheta: *Ecce ego venio et habitabo in medio tui* [89]. Et iterum: *Ero in gloria in medio* [90]. Dominus vero: C *Ego sum in medio vestrum sicut qui ministrat* [91]. Ipse etiam, *cum essent discipuli congregati, stetit in medio eorum* [92]; neque id semel, sed et iterum. Joannes quoque Baptista: *Medius vestrum stetit, quem vos nescitis* [93]: Quibus non id tantum significat, esse Jesum, in medio turbæ, sed, inquit, medius vestrum est et Dei, in utraque substantia, in quibus exsistit, divinitatis ac humanitatis, simili ambas complexus virtute: atque ut ait Apostolus: *Unus Deus, unus et mediator Dei et hominum, homo Christus Jesus* [94]. Idcirco igitur Deus est. Non enim esset mediator, ut esset tantum homo; ac nec e converso, ut tantum Deus esset. Ideo autem est mediator, quia est et Deus et homo; seu potius, D Deus factus homo. Quamobrem etiam utrisque illis communicat, quibus mediatorem agit; Deo quidem, ut qui Deus exsistat, per divinitatis naturam; hominibus autem, ut qui exsistat homo, per humanitatis substantiam. Verum hactenus sistenda oratio, ut mediocritas consistat, ubi satis jam ostendit, dignam esse cui honorem habeamus diem Mediæpentecostes. Quin etiam virtutem docent doctores medio hærere. Omni ergo nos virtute perornantes, nunc qui-

Λέγει τοίνυν Δαβὶδ πρὸς τὸν Θεόν· *Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε*. Καὶ, *Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς*. Φησὶ δὲ ὁ Σαλομὼν, δεδιδάχθαι παρὰ τῆς σοφίας, *Ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων*. Ὁ δὲ Ἀμβακοὺμ ἐν τῇ ᾠδῇ· *Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ*. Προφήτης δὲ ἕτερος· *Ἰδοὺ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου*, λέγει Κύριος. Καὶ πάλιν· *Εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς*. Καὶ ὁ Κύριος· *Ἐγώ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν*. Ὁ δ' αὐτὸς, *τῶν μαθητῶν συνηγμένων, ἔστη ἐν μέσῳ αὐτῶν*· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον. Καὶ ὁ Βαπτιστὴς Ἰωάννης· *Μέσος δὲ ὑμῶν ἔστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε*. Οὐχ ἁπλῶς τὸ εἶναι ἐν μέσῳ τοῦ ὄχλου τὸν Ἰησοῦν, διὰ τοῦτο σημαίνων· ἀλλὰ, Μέσος ὑμῶν τε, φησὶ, καὶ Θεοῦ, ἐν ἑκατέραις αἷς ἐστιν οὐσίαις, θεότητός τε καὶ ἀνθρωπότητος, ἑκατέρων ἐπειλημμένος, ὁμοίᾳ δυνάμει. Καὶ ὡς Ἀπόστολός φησιν· *Εἷς Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός*. Διὰ τοῦτο οὖν Θεός. Οὐδὲ γὰρ μεσίτης ἦ, μόνον ἄνθρωπος· οὐδὲ ἔμπαλιν, εἰ μόνον Θεός· ἀλλὰ διὰ τοῦτο μεσίτης, ἐπειδὴ Θεός τε καὶ ἄνθρωπος, μᾶλλον δὲ ἐνανθρωπήσας Θεός. Ὅθεν καὶ ἐν ἑκατέροις κοινωνεῖ, ὧν ἐστι μεσίτης· Θεῷ μὲν, Θεὸς ὤν, κατὰ τὴν φύσιν τῆς θεότητος· ἀνθρώποις δὲ, ὢν ἄνθρωπος, κατὰ τὴν φύσιν τῆς ἀνθρωπότητος. Ἀλλὰ μέχρι τούτου τὸν λόγον στῆσαι δέον, διὰ τὴν συμμετρίαν, δείξαντα αὐτάρκως ἐκ τῶν θείων Γραφῶν, τιμᾶσθαι ἀξίαν τὴν τῆς Μεσοπεντηκοστῆς ἡμέραν. Μεσότητος δέ φασιν οἱ διδάσκαλοι καὶ τὴν ἀρετὴν ἔχεσθαι. Πάσῃ οὖν ἀρετῇ ἑαυτοὺς κα-

[81] Jac. I, [82] Psal. XIII, 3. [83] I Tim. II, 4. [84] Dan. II, 1. [85] Psal. XXI, 23. [86] Psal. LXXIII, 12. [87] Sap. VII, 18. [88] Hab. III, 2. [89] Zach. II, 10. [90] ibid. V, 5. [91] Luc. XXII, 27. [92] Joan. XX, 19. [93] Joan. I, 26. [94] I Tim. II, 5.

Digitized by Google

ταχοσμοῦντες, νῦν μὲν τὴν τιμίαν ἡμέραν τῆς Μεσοπεντηκοστῆς ἑορτάσωμεν· ἑαυτοὺς δὲ ἐπιτήδεια δοχεῖα καὶ καθαρὰ ἀπὸ παντὸς ῥύπου κατασκευάσωμεν, ἵνα καὶ ἡμέραν τῆς Πεντηκοστῆς θεοφιλῶς φθάσαντες ἑορτάσωμεν, καὶ παρουσίας καὶ ἐπιφοιτήσεως ἀξιωθῶμεν τοῦ ἁγίου Πνεύματος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. A dem venerandam celebremus festivitatem Mediæpentecostes ; ipsi autem idonea vasa præstemus, et ab omni munda sorde, quo et Pentecostem occupantes, religiosa pietate colamus, dignemurque præsentia ac adventu Spiritus sancti, ac benignitate Domini nostri Jesu Christi, cui gloria in sæcula sæculorum. Amen.

Γ.

Λεοντίου ἐπισκόπου Νεαπόλεως τῆς Κύπρου, ἐκ τοῦ πέμπτου λόγου ὑπὲρ τῆς Χριστιανῶν ἀπολογίας κατὰ Ἰουδαίων, καὶ περὶ εἰκόνων τῶν ἁγίων.

III.

Leontii episcopi Neapoleos Cypri, ex quinto sermone pro Christianorum apologia contra Judæos, ac de imaginibus sanctorum.

(Mansi *Conc.* t. XIII, p. 43.)

Φέρε δὴ λοιπὸν περὶ τῶν σεπτογράφων εἰκόνων ἀπολογίαν ποιήσωμεν, ὅπως ἐμφραγῶσι στόματα λαλούντων ἀδικίαν. Νομικὴ γὰρ καὶ αὐτὴ ἡ παράδοσις. Καὶ ἄκουσον τοῦ Θεοῦ λέγοντος πρὸς Μωσῆν· *Εἰκόνας δύο Χερουβὶμ χρυσογλύπτων κατασκεύασαι, κατασκιαζόντων τὸ ἱλαστήριον.* Καὶ πάλιν, κατὰ τὸν ναόν, ὃν ἔδειξεν ὁ Θεὸς τῷ Ἰεζεκιήλ· *Πρόσωπα*, εἶπε, *φοινίκων, καὶ λεόντων, καὶ ἀνθρώπων, καὶ Χερουβὶμ ἀπὸ ἐδάφους αὐτοῦ ἕως τοῦ φατνώματος τῆς στέγης.* Οὕτως φοβερὸς ὁ λόγος ὁ ἐντειλάμενος τῷ Ἰσραὴλ μὴ ποιῆσαι παντοῖον γλυπτὸν, μηδὲ εἰκόνα, μηδὲ ὁμοίωμα, ὅσα ἐστὶν ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς· καὶ αὐτὸς προστάσσει τῷ Μωϋσεῖ ποιῆσαι γλυπτὰ ζῴδια, Χερουβὶμ, ὃς καὶ τῷ Ἰεζεκιὴλ πλήρη εἰκόνων καὶ ὁμοιωμάτων γλυπτῶν, λεόντων, φοινίκων, καὶ ἀνθρώπων δείκνυσι τὸν ναόν. Ὅθεν καὶ ὁ Σολομὼν ἐκ νόμου λαβὼν τὸν τύπον, πλήρη πεποίηκε τὸν ναὸν χαλκῶν, καὶ γλυπτῶν, καὶ χωνευτῶν λεόντων, καὶ βοῶν, καὶ φοινίκων, καὶ ἀνθρώπων· καὶ οὐ κατεγνώσθη ἐν αὐτῷ ὑπὸ Θεοῦ. Εἰ τοίνυν ἐμοῦ καταγινώσκειν θέλεις περὶ εἰκόνων, κατάγνωθι τοῦ Θεοῦ τοῦ ταῦτα ποιεῖν κελεύσαντος εἰς ὑπόμνησιν αὐτοῦ εἶναι παρ' ἡμῖν. Ὁ Ἰουδαῖος ἔφη· Ἀλλ' οὐ προσεκυνοῦντο ἐκεῖνα ὡς θεοὶ τὰ ὁμοιώματα, ἀλλ' ὑπομνήσεως μόνης χάριν ἐγένοντο. Ὁ Χριστιανὸς ἔφη· Καλῶς εἶπας· οὐδὲ παρ' ἡμῖν ὡς θεοὶ προσκυνοῦνται οἱ τῶν ἁγίων χαρακτῆρες, καὶ εἰκόνες, καὶ τύποι. Εἰ γὰρ ὡς Θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος, ἔμελλον πάντως καὶ τὰ λοιπὰ ξύλα προσκυνεῖν. Εἰ γὰρ ὡς Θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος, οὐκ ἂν πάντως λειανθέντος τοῦ χαρακτῆρος, τὴν εἰκόνα κατέκαιον. Καὶ πάλιν ἕως μέν ἐστι συμπεπεδημένα τὰ δύο ξύλα τοῦ σταυροῦ, προσκυνῶ τὸν τύπον διὰ Χριστὸν τὸν ἐν αὐτῷ σταυρωθέντα· ἐπὰν δὲ διαιρεθῶσιν ἐξ ἀλλήλων, ῥίπτω αὐτὰ καὶ κατακαίω. Καὶ ὥσπερ ὁ κέλευσιν βασιλέως δεξάμενος, καὶ ἀσπασάμενος τὴν σφραγῖδα, οὐ τὸν πηλὸν ἐτίμησεν, ἢ τὸν χάρτην, ἢ τὸν μόλυβδον, ἀλλὰ τῷ βασιλεῖ τὴν προσκύνησιν καὶ τὸ σέβας ἀπένειμεν· οὕτω καὶ Χριστιανῶν παῖδες τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦντες, οὐ φύσιν τοῦ ξύλου τιμῶμεν, ἀλλὰ σφραγῖδα B Eia nunc de cætero super veneranter pictis imaginibus apologiam faciamus, quo obstruantur ora loquentium injustitiam. Legalis enim est hæc traditio : et audi Deum dicentem ad Moysem : *Imagines duorum Cherubim aureorum sculptilium construe, obumbrantium propitiatorium* [96]. Et iterum : Templum [*forte*, circa templum] quod Deus ostendit Ezechieli : [*al.* habebat] *Facies*, dixit, *palmarum et leonum et hominum et Cherubim a pavimento ejus usque ad laquear tecti* [96]. Vere terribilis sermo, qui mandat Israeli non facere omne sculptile, neque iconam, neque similitudinem eorum quæcunque sunt in cœlo, et quæcunque sunt super terram [97] ; et ipse præcipit Moysi facere sculptilia animalia, Cherubim, qui et Ezechieli plenum similitudinibus C sculptilium, leonum, palmarum et hominum templum ostendit. Unde et Salomon ex lege accepta figura, plenum fecit templum æneis et sculptilibus et fusilibus leonibus, et bobus, et palmis, et hominibus ; et tamen non est in his reprehensus a Deo. Si igitur me reprehendere vis super imaginibus, reprehende Deum qui hæc facere jussit, ut in recordationem ejus essent apud nos. Judæus dixit : Sed non adorabantur illæ similitudines sicut dii, sed ad recordationem solam efficiebantur. Christianus dixit : Bene dixisti, quia et penes nos sicut dii non adorantur sanctorum characteres et iconæ vel formæ. Si enim ut Deum adorarem lignum imaginis, possem profecto et ligna reliqua adorare. Nam si ut Deum lignum D adorarem, minime utique deleto charactere iconam incenderem. Et iterum, usquequo compacta sunt duo ligna crucis, adoro figuram propter Christum, qui in ipsa crucifixus est ; postquam autem ab invicem separata fuerunt, projicio ea et incendo. Et sicut is qui jussionem imperatoris suscepit et salutavit sigillum, non lutum adoravit, aut chartam, aut plumbum, sed imperatori adorationem et cultum impendit, ita et nos Christianorum pueri figuram crucis adorantes, non naturam ligni adoramus, sed signum et annulum et characterem Christi, eum aspicientes, per eum illum qui in eo crucifixus est, salutamus et adoramus : et sicut pueri proprii patris

[96] Exod. xxv, 18. [96] Ezech. xli, 18. [97] Exod. xx, 4.

Digitized by Google

cujusdam, qui peregre profectus est ad tempus ab illis, multo erga eum affectu ex anima flagrantes, sive virgam ejus in domo videant, sive sedem, sive chlamydem ; hæc cum lacrymis deosculantes amplectuntur, et non illa adorant, sed patrem desiderant et honorant ; ita et nos omnes fideles ut virgam Christi, crucem adoramus ; ut sedem vero et cubile, ipsius sanctissimum monumentum ; ut domum, præsepe et Bethleem, et sancta ejus cætera tabernacula : porro ut amicos, ejus apostolos et sanctos martyres ac reliquos sanctos ejus : at vero ut civitatem ejus colimus Sion, ut autem villam ejus iterum Nazareth salutamus ; atque ut divinum ejus lavacrum, Jordanem amplectimur.

A καὶ δακτύλιον καὶ χαρακτῆρα Χριστοῦ αὐτὸν βλέποντες, δι' αὐτοῦ τὸν ἐν αὐτῷ σταυρωθέντα ἀσπαζόμεθα καὶ προσκυνοῦμεν. Καὶ ὥσπερ παῖδες γνήσιοι, πατέρος τινὸς ἀποδημήσαντος πρὸς καιρὸν ἀπ' αὐτῶν, πολλῇ τῇ στοργῇ πρὸς αὐτὸν ἐκ ψυχῆς διακείμενοι, κἂν τὴν ῥάβδον αὐτοῦ ἐν τῷ οἴκῳ θεάσωνται, κἂν τὴν χλαμύδα, ταῦτα μετὰ δακρύων καταφιλοῦντες ἀσπάζονται· καὶ οὐκ ἐκεῖνα τιμῶντες, ἀλλὰ τὸν πατέρα ποθοῦντες καὶ τιμῶντες· οὕτως καὶ ἡμεῖς οἱ πιστοὶ ἅπαντες, ὡς μὲν ῥάβδον Χριστοῦ τὸν σταυρὸν προσκυνοῦμεν, ὡς δὲ θρόνον καὶ κοίτην αὐτοῦ τὸ πανάγιον μνῆμα, ὡς δὲ οἶκον τὴν φάτνην καὶ τὴν Βηθλεὲμ, καὶ τὰ λοιπὰ ἅγια αὐτοῦ σκηνώματα· ὡς δὲ φίλους αὐτοῦ, τοὺς ἀποστόλους αὐτοῦ καὶ τοὺς ἁγίους μάρτυρας καὶ λοιποὺς ἁγίους· ὡς δὲ πόλιν αὐτοῦ σεβόμεθα τὴν Σιὼν, ὡς δὲ χώραν αὐτοῦ τὴν Ναζαρὲτ ἀσπαζόμεθα, καὶ ὡς θεῖον αὐτοῦ λουτρὸν τὸν Ἰορδάνην περιπτυσσόμεθα.

Multa quippe et ineffabili erga ipsum affectione ubi ascendit, vel sedit, vel illuxit, vel tetigit, aut omnino obumbravit ; colimus et adoramus ut locum Dei : non locum, neque domum, neque regionem, vel civitatem aut lapides honorantes, sed eum qui in illis conversatus est, et illuxit, et in carne innotuit, atque ab errore liberavit, Christam videlicet Dominum nostrum ; et per Christum ea quæ sunt Christi, passionem in ecclesiis, et domibus, et plateis, et in imaginibus, et in sindonibus, et in penetralibus, et in vestimentis, et in omni loco formamus : ut incessanter aspicientes hæc commoneamur, et non obliviscamur, ut tu es oblitus Domini Dei tui. Et sicut tu adorans librum legis, non naturam pellium vel atramenti, quæ in ipso est, adoras, sed verba Dei quæ jacent in eo, ita et ego imaginem Christi adorans, non naturam lignorum et colorum adoro (absit !) sed inanimatum characterem Christi tenens, per eum Christum tenere spero [*Gr.* mihi videor,] et adorare. Et sicut Jacob acceptam a filiis tuis tunicam variam et sanguinolentam Joseph deosculatus est cum lacrymis, et propriis oculis hanc circumposuit, et non vestimentum amans vel honorans, hoc fecit, sed per id æstimans Joseph osculari, et in manibus eum habere [98], ita et Christiani universi imaginem Christi vel apostolorum aut martyrum tenentes aut salutantes carne, anima ipsum Christum æstimamus vel martyrem ejus habitum retinere. Dic ergo mihi tu, qui opinaris nihil manu factum, vel nihil omnino creatum adorandum, nunquamne multotiens, muliere tua, vel filiis mortuis, tunicam, vel ornamentum ejus visum in cubiculo tuo osculatus es, et lacrymis illud infudisti, et in hoc non es condemnatus ? non enim ut Deum vestimenta adorasti, sed amorem per osculum circa illum ostendisti, qui hoc aliquando fuerat circumamictus. Nam et ipsi natos nostros et patres creatos exsistentes et peccatores multotiens salutamus, et in hoc minimè condemnamur ; non enim ut Deos salutamus eos, sed affectionem naturæ nostræ erga illos per osculum demonstramus. Ut ergo sæpe dixi, intentio

B Τῇ γὰρ πολλῇ καὶ ἀφάτῳ πρὸς αὐτὸν στοργῇ ἔνθα ἐπέβη, ἢ κεκάθικεν, ἢ ἐπέφανεν, ἢ ἥψατο, ἢ ὅλως ἐπεσκίασε, σεβόμεθα, καὶ προσκυνοῦμεν ὡς τόπον Θεοῦ· οὐ τὸν τόπον, οὐδὲ τὸν οἶκον, οὐδὲ τὴν χώραν, ἢ τὴν πόλιν, ἢ τοὺς λίθους τιμῶντες· ἀλλὰ τὸν ἐν αὐτοῖς ἀναστραφέντα καὶ ἐπιφανέντα καὶ γνωρισθέντα σαρκὶ, καὶ ἡμᾶς τῆς πλάνης ἐλευθερώσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν· καὶ διὰ τὸν Χριστὸν καὶ τὰ Χριστοῦ πάθη ἐν ἐκκλησίαις, καὶ οἴκοις, καὶ ἀγοραῖς, καὶ ἐν σινδόσι καὶ ἐν ταμιείοις, καὶ ἱματίοις, καὶ ἐν παντὶ τόπῳ ἐκτυποῦμεν· ἵνα διηνεκῶς ὁρῶντες ταῦτα ὑπομιμνησκώμεθα, καὶ μὴ ἐπιλανθανώμεθα, ὡς σὺ ἐπελάθου Κυρίου τοῦ Θεοῦ σου· καὶ ὥσπερ σὺ προσκυνῶν τὸ βιβλίον τοῦ νόμου, οὐ τὴν φύσιν τῶν ἐν αὐτῷ δερμάτων καὶ τοῦ μέλανος C προσκυνεῖς, ἀλλὰ τοὺς λόγους τοῦ Θεοῦ τοὺς ἐν αὐτῷ κειμένους· οὕτως κἀγὼ τὴν εἰκόνα τοῦ Θεοῦ προσκυνῶν, οὐ τὴν φύσιν τῶν ξύλων καὶ χρωμάτων προσκυνῶ· μὴ γένοιτο· ἀλλὰ τὸν ἄψυχον χαρακτῆρα Χριστοῦ κρατῶν, δι' αὐτοῦ Χριστὸν κρατεῖν δοκῶ καὶ προσκυνεῖν. Καὶ ὥσπερ ὁ Ἰακὼβ δεξάμενος παρὰ τῶν υἱῶν αὐτοῦ χιτῶνα ποικίλον ἡμαγμένον τοῦ Ἰωσὴφ, κατεφίλησε μετὰ δακρύων, καὶ τοῖς ἰδίοις ὀφθαλμοῖς τοῦτο περιέθηκεν, καὶ οὐ τὸ ἱμάτιον ἀγαπῶν, ἢ τιμῶν, τοῦτο ἐποίησεν, ἀλλὰ δι' αὐτοῦ νομίζων τὸν Ἰωσὴφ καταφιλεῖν, καὶ ἐν χερσὶν αὐτὸν κατέχειν· οὕτω καὶ Χριστιανοὶ πάντες εἰκόνα Χριστοῦ, ἢ ἀποστόλου, ἢ μάρτυρος κρατοῦντες καὶ ἀσπαζόμενοι τῇ σαρκὶ, τῇ ψυχῇ αὐτὸν τὸν Χριστὸν νομίζομεν ἢ τὸν μάρτυρα αὐτοῦ κατέχειν. Εἰπέ μοι D σὺ ὁ νομίζων χειροποίητον μηδὲν, ἢ ὅλως κτιστὸν προσκυνεῖν, ἆρα οὐ πολλάκις γυναικὸς σῆς ἢ τέκνων τελευτησάντων χιτῶνα ἢ κοσμίδιον ἰδὼν ἐν τῷ σῷ ταμιείῳ, κρατήσας ἐφίλησας, καὶ δάκρυσιν αὐτὸ κατέβρεξας, καὶ οὐκ ἐν τούτῳ κατεκρίθης ; Οὐ γὰρ ὡς Θεὸν τὰ ἱμάτια προσεκύνησας, ἀλλὰ τὸν πόθον πρὸς τὸν ποτε αὐτὸ περιβεβλημένον διὰ τοῦ φιλήματος ἔδειξας· ἐπεὶ καὶ αὐτὰ ἡμῶν τὰ τέκνα καὶ τοὺς πατέρας κτιστοὺς ὄντας καὶ ἁμαρτωλοὺς πολλάκις ἀσπαζόμεθα, καὶ οὐκ ἐν τούτῳ κατακρινόμεθα. Οὐ γὰρ ὡς θεοὺς αὐτοὺς ἀσπαζόμεθα, ἀλλὰ

[98] Gen. xxxvii, 32 seqq.

Digitized by Google

τὴν στοργὴν ἡμῶν τῆς φύσεως τὴν πρὸς αὐτοὺς διὰ τοῦ φιλήματος ἐνδεικνύμεθα. Ὡς γοῦν πολλάκις εἶπον, ὁ σκοπὸς ἐξετάζεται ἐπὶ παντὸς ἀσπασμοῦ, καὶ ἐπὶ πάσης προσκυνήσεως. Εἰ δὲ ἐγκαλεῖς μοι, ὅτι ὡς Θεὸν προσκυνῶ τὸ ξύλον τοῦ σταυροῦ, διὰ τί οὐκ ἐγκαλεῖς τῷ Ἰακὼβ προσκυνήσαντι ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ;

A exquiritur in omni salutatione, et omni adoratione. Porro si me accusas quod quasi Dominum lignum adorem crucis, quare non calumniaris Jacob, qui adoravit super summitatem virgæ Joseph [99]?

Ἀλλὰ πρόδηλον, ὅτι οὐ τὸ ξύλον ἰδὼν προσεκύνησεν, ἀλλὰ διὰ τοῦ ξύλου τὸν Ἰωσήφ, ὥσπερ καὶ ἡμεῖς διὰ τοῦ σταυροῦ τὸν Χριστόν. Ἐπεὶ καὶ τοῖς πωλήσασι τὸν τάφον ἀσεβέσιν ἀνθρώποις ὁ Ἀβραὰμ προσεκύνησε, καὶ γόνυ ἔκαμψεν ἐπὶ τὴν γῆν· ἀλλ' οὐχ ὡς θεοὺς αὐτοὺς προσεκύνησε. Καὶ πάλιν ὁ Ἰακὼβ τὸν Φαραὼ εὐλόγησεν ἀσεβῆ καὶ εἰδωλολάτρην ὄντα, ἀλλ' οὐχ ὡς Θεὸν αὐτὸν εὐλόγησε. Καὶ πάλιν τὸν Ἡσαῦ πεσὼν προσεκύνησεν, ἀλλ' οὐχ ὡς Θεόν. Εἶδες πόσους ἀσπασμοὺς καὶ προσκυνήσεις ἀπεδείξαμέν σοι Γραφικὰς, καὶ μὴ ἐχούσας κατάγνωσιν; Καὶ σὺ μὲν τὴν σὴν σύμβιον, ἴσως καὶ ἄσεμνον οὖσαν καὶ ἐμπαθῆ, καθ' ἑκάστην ἀσπαζόμενος, οὐ καταγνωστὸς εἶ· καίπερ οὐδαμοῦ σοι τοῦ Θεοῦ σωματικὸν ἀσπασμὸν γυναικὸς ἐντειλαμένου· ἐμὲ δὲ ἐπὰν ἴδῃς εἰκόνα τοῦ Χριστοῦ, ἢ τῆς παναμώμου αὐτοῦ Μητρὸς, ἢ ἄλλου τινὸς δικαίου ἀσπαζόμενον, ἀγανακτεῖς, καὶ εὐθέως βλασφημῶν ἀποπηδᾷς, καὶ εἰδωλολάτρας ἡμᾶς ἀποκαλεῖς. Εἶτα οὐκ αἰσχύνῃ, εἰπέ μοι; οὐ φρίσσεις; οὐ τρέμεις; οὐκ ἐρυθριᾷς, ὁρῶν με καθ' ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ ναοὺς εἰδώλων καταλύοντα, καὶ ναοὺς μαρτύρων οἰκοδομοῦντα; Εἰ τὰ εἴδωλα προσεκύνουν, διὰ τί λοιπὸν τιμῶ τοὺς μάρτυρας, τοὺς τὰ εἴδωλα καταλύσαντας; Εἰ τὰ ξύλα ὡς θεοὺς τιμῶ καὶ δοξάζω, πῶς τιμῶ καὶ δοξάζω τοὺς μάρτυρας, τοὺς τὰ ξύλινα ξόανα καταλύοντας; Εἰ τοὺς λίθους ὡς θεοὺς δοξάζω, πῶς τιμῶ καὶ προσκυνῶ τοὺς μάρτυρας καὶ ἀποστόλους, τοὺς συντρίψαντας καὶ ἀπολέσαντας τὰ λίθινα ζώδια; Πῶς τιμῶ, καὶ ἐπαινῶ, καὶ ναοὺς ἐγείρω, καὶ ἑορτὰς ἐπιτελῶ τοῖς τρισὶ παισὶ, τοῖς ἐν Βαβυλῶνι τῇ χρυσῇ μὴ προσκυνήσασιν;

Sed manifestum est, quia non lignum videns adoravit, sed per lignum virgæ, Joseph; quemadmodum et nos per crucem, Christum. Nam et impios homines qui vendiderunt sepulcrum, Abraham adoravit [1], et genu curvavit super terram; sed non ut deos eos adoravit. Et rursus Jacob Pharaoni benedixit impio et idololatræ, sed non ut Deo illi benedixit [2]. Et iterum, Esau cadens adoravit, sed non ut Deum [3]. Vidisti quot salutationes et adorationes demonstravimus tibi ex Scripturis, non habentes reprehensionem? Et tu quidem conjugem tuam fortassis et impudicam ac vitiosam per singulos dies osculans non reprehenderis, cum certe nusquam Deus tibi corporale osculum mulieri offerre præceperit. Quia vero me vidisti iconam Domini nostri Jesu Christi, vel immaculatæ Matris ejus, vel alterius cujuspiam justi salutare, indignaris et mox blasphemans salis, et nos idololatras appellas. Deinde non confunderis? dic mihi, non horrescis? non tremis? non erubescis, videns me in toto terrarum orbe templa idolorum destruere, et templa martyrum ædificare? Si idola adorarem, cur martyres, qui destruxerunt idola, [honore] adoraremus. Si ligna ut deos honoro et glorifico, quomodo honoro et glorifico martyres, qui lignea simulacra destruxerunt? Si lapides ut deos glorifico, quomodo honoro et adoro martyres et apostolos, qui contriverunt et perdiderunt lignea signa? quomodo honoro et laudo, et templa erigo, et festivitatem celebro tribus pueris, qui in Babylone imaginem auream non adoraverunt [4]?

B

C

Ὄντως πολλὴ τῶν ἀνόμων ἡ πώρωσις, ἀληθῶς πολλὴ τῶν Ἰουδαίων ἡ τύφλωσις, πολλὴ ἡ ἀσέβεια. Ἀδικεῖται ὑπ' αὐτῶν ἡ ἀλήθεια. Θεὸς ὑβρίζεται ὑπὸ γλώσσης ἀχαρίστων Ἰουδαίων. Ἐκ λειψάνων πολλάκις μαρτύρων καὶ εἰκόνων ἐλαύνονται δαίμονες· καὶ ταῦτα ἐνυβρίζοντες ἄνθρωποι μιαροὶ διαστρέφουσι, καὶ διαπαίζουσι, καὶ διαγελῶσι. Πόσαι, εἰπέ μοι, ἐπισκιάσεις, πόσαι ἀναβλύσεις, πολλάκις δὲ καὶ αἱμάτων ῥύσεις ἐξ εἰκόνων καὶ λειψάνων μαρτύρων γεγόνασι; Καὶ οἱ ἀσύνετοι τῇ καρδίᾳ ὁρῶντες οὐ πείθονται, ἀλλὰ μύθους ταῦτα καὶ λήρους λογίζονται· ὁρῶντες οὕτως τὸ καθ' ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ σχεδὸν ἄνδρας ἀσεβεῖς καὶ παρανόμους, εἰδωλολάτρας, καὶ φονεῖς, πόρνους, καὶ λῃστὰς ἐξαίφνης διὰ τὸν Χριστὸν καὶ τὸν σταυρὸν αὐτοῦ κατανυσσομένους, καὶ κόσμου παντὸς ἀποτασσομένους, καὶ πᾶσαν ἀρετὴν ἐργαζομένους. Εἰπέ μοι, πῶς ἐσμεν εἰδωλολάτραι, οἱ καὶ αὐτὰ τὰ ὀστᾶ, καὶ τὴν κόνιν, καὶ τὰ ῥάκη, καὶ τὸ αἷμα, καὶ τὴν σορὸν τῶν

Certe multa est iniquorum obduratio, vere multa est Judæorum cæcitas, multa impietas. Injuriam patitur ab eis veritas: Deus contumelias sustinet a lingua ingratorum Judæorum. Per reliquias martyrum et imagines multoties effugantur dæmonia: et hæc injuriis appetentes homines sordidi, subvertunt et illudunt atque deridenf. Quot, dic mihi, visitationes [*Gr.* obumbrationes,] emanationes, sed et frequenter sanguinum fluores ex iconis et reliquiis martyrum facti sunt? et insensati corde videntes non credunt, sed fabulas ac deliramenta hæc existimant; videntes taliter per singulos dies in toto pene terrarum orbe viros impios et iniquos, idolorum cultores et homicidas, et fornicatores, et latrones subito per Christum et crucem ejus compungi, et ad agnitionem veritatis venire, et mundo toti renunciare, atque omnem operari virtutem. Dic mihi, quomodo sumus idololatræ, qui et ipsa ossa, et cinerem, et pannos, et sanguinem, et tumulum martyrum

D

[99] Hebr. xi, 21. [1] Gen. xxiii, 7. [2] Gen. xlvii, 7. [3] Gen. xxxiii, 3. [4] Dan. iii, seqq.

Digitized by Google

ideo adoramus et honoramus, quia idolis non sacrificarunt ?

Judæus dixit : Et quomodo per totam Scripturam præcipit Deus non adorari omnem creaturam ? Christianus dixit : Dic mihi, terra et montes, creaturæ Dei sunt ? qui ait : Utique. Christianus dixit : Quomodo ergo docet inquiens : « Exaltate Dominum Deum nostrum, et adorate scabellum pedum ejus, quoniam sanctum est [8] ? » Et iterum ipse dixit : « Cœlum mihi sedes est, terra autem scabellum pedum meorum [9] ? » Judæus dixit : Sed non ut deos, sed per hæc eum qui fecit, adoras. Christianus dixit : Fidelis sermo : ergo scito, quod et ego per cœlum, et terram, et mare, et ligna, et lapides, et lipsana, et templa, et crucem, et per angelos, et homines, atque per omnem creaturam visibilem et invisibilem, soli cunctorum conditori, dominatori et creatori adorationem et culturam offero. Non enim creatura per seipsam factorem adorat, sed per me cœli enarrant gloriam Dei, et per me adorat Deum luna, et per me glorificant Deum stellæ, et per me aquæ, imbres, rores, et omnis creatura per me adorat et glorificat Deum [7].

Et quemadmodum regis cujusdam benigni, qui coronam variam et pretiosam sibi propria manu paravit, omnes qui germane adhærent regi, salutant coronam et honorant : non aurum et margaritam honorantes, sed verticem regis honorantes et sapientissimas manus ejus, quæ coronam struxerunt, sic, o homo, Christianorum populi quotquot figuras crucis et iconarum salutant, non ipsis culturam lignis, vel lapidibus offerunt vel auro, vel corruptibili imagini, vel arcæ, vel reliquiis, sed per ea Deo et ipsorum et cunctorum creatori gloriam et salutationem et cultum impendunt. Honor enim qui sanctis ejus impenditur, ad eum recurrit : sicut e contra quidem imagines imperiales demolientes, principem offenderunt, et non ipsam tabulam. Imago igitur Dei est, qui ad imaginem Dei factus est homo, maximeque quia eum Spiritus sanctus habitationem accepit. Ergo juste qui imaginem Dei servorum honorat et adorat, etiam domum Spiritus sancti glorificat. *Inhabitabo enim in ipsis*, inquit, et *inambulabo* [8]. Confundantur Judæi, qui reges proprios et alienos adoraverunt, potius quam Christianos pronuntient idololatras. Nos autem Christiani per omnem civitatem et regionem, et per omnem diem et horam contra idola armamur, contra idola psallimus, contra idola scribimus, contra idola ac dæmones oramus. Et quomodo idololatras nos appellant Judæi? Ubi enim nunc sunt exhibita idolis ab eis sacrificia ovium et boum et filiorum ? Ubi nidores, ubi aræ et perfusiones sanguinum ? Porro nos Christiani neque aram, neque sacri-

μαρτύρων προσκυνοῦντες καὶ τιμῶντες, διὰ τὸ μὴ θῦσαι αὐτοὺς τοῖς εἰδώλοις ;

αὐτῶν, ἐνέδυσεν αὐτοὺς, οἰκτρὰ μὲν, ὅμως ἅγια, ἐλεῶν αὐτοὺς ὁ σοφὸς καὶ συμπαθέστατος, διὰ τὴν τοῦ σώματος αὐτῶν ἀπαλότητα, καὶ ἀσυνείθιστον κακοπάθειαν. Κουρευομένων δὲ αὐτῶν, ὁ μὲν Ἰωάννης ἔκλαιεν πάνυ· ὁ δὲ Συμεὼν ἔνευσεν τοῦτον παύσασθαι, μὴ νοῶν ὅλως τὸ διά τί κλαίει· ἐδόκει γὰρ ὅτι ἀπὸ λύπης τῶν γονέων αὐτοῦ, καὶ τῆς ἀγάπης τῆς γυναικὸς αὐτοῦ κλαίει. Μετὰ οὖν τὸ κουρευθῆναι αὐτοὺς, καὶ τὴν ἁγίαν σύναξιν ἐπιτελέσαι, ἐκαθέζετο πάλιν ὁ ἡγούμενος, διὰ πάσης σχεδὸν τῆς ἡμέρας νουθετῶν αὐτούς. Ἤδει γὰρ ὅτι οὐ πολυχρονοῦσιν πρὸς αὐτὸν, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος. Τῇ οὖν ἐπαύριον ἐβούλετο, οὔσης ἁγίας Κυριακῆς, δοῦναι αὐτοῖς καὶ τὸ ἅγιον σχῆμα. Ὡς οὖν τινες τῶν ἀδελφῶν ἔλεγον αὐτοῖς· Μακάριοί ἐστε, ὅτι αὔριον ἀναγεννᾶσθε, καὶ γίνεσθε καθαροὶ ὡς ἐγεννήθητε ἀπὸ πάσης ἁμαρτίας, ὡς ἵνα αὐτῇ τῇ ἡμέρᾳ ἐβαπτίσθητε, ἐθαμβήθησαν, καὶ ἔδραμον ἀμφότεροι πρὸς τὸν θεῖον Νίκωνα, ὀψὲ τῷ Σαββάτῳ, καὶ τοῖς ποσὶν αὐτοῦ προσέπιπτον λέγοντες· Δεόμεθά σου, Πάτερ, μὴ βαπτίσῃς ἡμᾶς· Χριστιανοὶ γάρ ἐσμεν καὶ Χριστιανῶν γονέων. Ὁ δὲ μὴ γνοὺς τί ἦσαν ἀκηκοότες ὑπὸ τῶν τοῦ κοινοβίου Πατέρων, ἔλεγεν πρὸς αὐτούς· Τίς γὰρ, τέκνα, θέλει βαπτίσαι ὑμᾶς; Οἱ δὲ εἶπον· Οἱ κύριοι οἱ δεσπόται ἡμῶν, οἱ τοῦ μοναστηρίου Πατέρες, λέγουσιν ἡμῖν, ὅτι Αὔριον ἐξαναβαπτίζεσθε. Τότε συνῆκεν ὁ ἡγούμενος, ὅτι περὶ τοῦ ἁγίου σχήματος εἶπον αὐτοῖς, καὶ λέγει πρὸς αὐτούς· Καλῶς εἶπον, ὦ τέκνα· καὶ γὰρ τοῦ Κυρίου εὐδοκοῦντος, αὔριον θέλομεν ἐνδῦσαι ὑμᾶς τὸ ἅγιον καὶ ἀγγελικὸν σχῆμα. Ὡς ἐνόησαν οἱ ἀπόνηροι τοῦ Χριστοῦ παῖδες, μηδὲν αὐτοὺς ἐλλείπειν τοῦ ἐνδύματος τοῦ μοναχικοῦ, λέγουσιν τῷ ἀββᾷ· Τί γὰρ, Πάτερ, ἄλλο τί ποτε χρῄζομεν, ἵνα ἐνδυσώμεθα τὸ ἀγγελικὸν ἐκεῖνο, ὃ λέγεις, σχῆμα;

batur ipsis vir sapiens et commiseratione plenus propter teneram corporis constitutionem, et molestiam, cui non assueverant. Postquam tonsi essent, Joannes ubertim flevit. Sed Symeon innuebat ut desisteret, omnino ignarus cur fleret. Existimabat enim ipsum flere præ dolore erga parentes suos, et dilectione conjugis suæ. Tonsura et synaxi absolutis, denuo consedit hegumenus, per totam pene diem ipsos admonens. Sciebat enim eos non longo tempore apud se commoraturos, hoc quoque ita dispensante Deo. Postera ergo die, quæ erat sancta Dominica, dare ipsis volebat sanctum habitum. Dum nonnulli fratrum ipsis dicebant: Beati estis, quia cras regenerabimini et mundabimini ab omni peccato, ut mundati fuistis eadem die, qua fuistis baptizati: turbati uterque ad divinum Niconem cucurrerunt, vespere Sabbati, et pedibus ejus acciderunt, dicentes: Rogamus te, Pater, ne nos baptizes; nam Christiani sumus, et Christianis orti parentibus. Ille ignarus quidnam audivissent e Patribus cœnobii, dixit ad ipsos: Quisnam baptizare vos vult, filii? Dixerunt: Domini ac heri nostri, monasterii Patres, dicunt nobis: Cras rebaptizabimini. Tunc intellexit hegumenus quod ipsis dixissent de sancto habitu. Et dixit ad illos: Recte dixerunt, filii; cras enim sancto et angelico (17) habitu, si Deo visum fuerit, induere vos volumus. Ubi innocui pueri Christi intellexerunt, nihil in se desiderari, ut monasticum vestimentum induerent, dicunt abbati: Sed enim quanam alia re indigemus, Pater, ut induamur angelico illo, quem dicis, habitu.

ιγ'. Ἦν δὲ μέγας οὗτος τῇ προλαβούσῃ ἑβδομάδι, ἐν ᾗ καὶ ὑπῆρχεν τοῦ τιμίου σταυροῦ ἡ ὕψωσις, δεδωκώς τινι τῶν ἀδελφῶν νεωτέρῳ σχῆμα τὸ ἅγιον, καὶ οὐκ ἦν ἀκμὴν πληρώσας τὰς ἑπτὰ ἡμέρας, ἀλλ' ἔτι ἐφόρει πάντα, ὡς ἔστιν ἡ κατάστασις, ὃν ἐπέτρεψεν ὁ μέγας εὐθέως εἰς μέσον ἀχθῆναι. Ὡς οὖν ἦλθε, θεωροῦσιν αὐτὸν ἀμφότεροι, καὶ ἔπεσαν εὐθέως εἰς τοὺς πόδας τοῦ ἀββᾶ, καὶ εἶπον αὐτῷ· Δεόμεθά σου, ἐὰν οὕτως ἡμᾶς μέλλεις ἐνδύειν, καὶ τοιαύτης τιμῆς καὶ δόξης ἀξιοῦν, ἀφ' ἑσπέρας ποίησον, μή πως ἄνθρωποι ὄντες, διὰ τῆς νυκτὸς φθάσῃ ἡμῖν τὸ ἀνθρώπινον, καὶ ἀπέλθωμεν τῆς τοιαύτης δόξης καὶ χαρᾶς, καὶ τοῦ τοιούτου ὀψικίου καὶ στεφάνου ἀποτυχόντες. Ὡς οὖν ἤκουσεν αὐτῶν ὁ ἡγούμενος εἰρηκότων τῶν τοιούτου ὀψικίου καὶ στεφάνου ἀποτυγχάνειν, ἐνόησεν ὀπτασίαν αὐτοὺς εἰς τὸν τὸ ἅγιον σχῆμα φοροῦντα ἑωρακέναι, καὶ ἐπέστρεψεν ὑπελθεῖν αὐτὸν ἐν τῷ ἰδίῳ τόπῳ, ὅπου ἦν ἐξ οὗ ἐνεδύσατο τὸ ἅγιον σχῆμα. Τούτου οὖν ἀπελθόντος, ἐλυπήθησαν σφόδρα οἱ παῖδες τοῦ Χριστοῦ, καὶ λέγουσιν τῷ ἡγουμένῳ· Διὰ τὸν Κύριον, Πάτερ, ἀνάστα, ποίησον ἡμᾶς ὡς

13. Præterita autem hebdomade, qua colebatur exaltatio pretiosæ crucis, vir iste magnus juniori cuidam fratrum sanctum dederat habitum, et tum temporis necdum expleverat septem dies, sed ferebat adhuc omnia, quæ constitutio exigebat. Quem vir magnus in medium produci permisit. Ubi ergo venit, contemplantur illum ambo, et acciderunt illico ad pedes abbatis, et dixerunt ipsi: Oramus te, si animo fixum sedet sic nos vestire, et tali honore et gloria dignari, ab hoc vespere id agito, ne forte, quoniam homines sumus, humani aliquid per noctem nobis contingat, et discedamus tali gloria et gaudio, necnon tali obsequio et corona frustrati. Postquam ergo eos audisset hegumenus dixisse de tali obsequii et coronæ privatione, intellexit vidisse eos apparitionem in eo, qui ferebat sanctum habitum, et permisit eum ire ad locum suum, ubi erat, a quo tempore induerat sanctum habitum. Postquam ille abierat, valde doluerunt Christi pueri, et dicunt hegumeno: Propter Dominum, Pater, assurge, et fac nos tales, qualis est

NOTÆ.

(17) Duplex apud Græcos est monasticus habitus, parvus nimirum, et magnus, sive angelicus. Cujus apparatum, et quæ huc spectant, dat Goar, pag. 490, et Habertus observatione tertia.

Digitized by Google

ille; nemo enim in toto monasterio est homo, quem non anteeat honore. Dicit eis abbas : Quali honore? Tunc dixerunt : Per eum, Pater, qui nos dignatur hoc habitu et honore, beati sumus et nos, si a tali monachorum multitudine, cereos gestantium, fuerimus stipati, et talem coronam, splendide lucentem, gestaverimus in nostro capite. Putabant enim hegumenum etiam vidisse ea, quæ ipsi conspexerant. Hoc cognito, non dixit ipsis se nihil vidisse, sed tacuit, et simplicitatem magnam ac puritatem obstupuit, potissimum Symeonis.

14. Hoc autem gratiosissime eis dixit vir magnus : Die crastina vos quoque sancto habitu induemus, aspirante Spiritus sancti gratia. Quo assumpto, prout affirmavit sanctissimus diaconus, innocuus Symeon asseveravit, mutuos se vidisse vultus tempore noctis, sicut in die, et similes illi, qui ante apparuerat, alterum in alterius capite coronam. Tanto autem, aiebat, nostra mens affecta erat gaudio, ut nec cibum nec potum gustare liberet. Exactis itaque ab assumpto sancto habitu duobus diebus, contemplantur illum, qui ante septem dies eum assumpserat, quem etiam coronatum et comitatum conspexerant (ferebat hic mantile et ministrabat; sed non amplius deinceps coronam capiti impositam, nec rursum monachos cum cereis comitantes habebat), et mirati sunt. Dicitque Symeon Joanni : Crede, frater, tametsi etiam nos septem hosce dies impleverimus, non adhuc elegantiam illam et gratiam sumus habituri. Et dicit Joannes : Quid vis ut fiat, frater? Cui ille iterum : Si me audis, ut res seculares quas reliquimus, et valere jussimus, perfecte toto animi nisu valere jubeamus. Aliam namque vitam et res novas contemplor in hoc habitu. Ex quo enim eodem nos induit Dei servus, flagrant mea præcordia, nescio unde, et quærit anima mea non videre quemquam, neque alloqui, nec audire. Dicit ei Joannes : Et quid comedemus, frater? Cui Symeon : An comedunt, qui *pascentes* (18) vocantur, de quibus heri dominus Nicon sermonem quoque ad nos habuit? Nam forsan ipse etiam volens, ut nos hujusmodi vitam amplectamur, exposuit nobis quam vitæ rationem teneant, quomodo dormiant (19), et quidquid ad illos pertinet. Deinde dicit Joannes : Et quomodo? Quia neque cantum, neque eorum institutum novimus.

15. Tunc Deus aperuit cor abbatis (20) Symeo-

ἐκεῖνον, ὅτι εἰς τὸ μοναστήριόν σου ὅλον ἄνθρωπος ἐν τῇ τοιαύτῃ τιμῇ οὐκ ἔστιν, ὡς ἐκεῖνος. Λέγει αὐτοῖς ὁ ἀββᾶς· Ποίᾳ τιμῇ; Τότε εἶπον· Μὰ τὸν ἀξιοῦντα ἡμᾶς, Πάτερ, τοῦ σχήματος αὐτοῦ καὶ τῆς τιμῆς, μακάριοί ἐσμεν καὶ ἡμεῖς, ἐὰν ὑπὸ τοσούτου πλήθους μοναχῶν μετὰ κηρίων ὑψικευόμεθα, καὶ τοιοῦτον στέφανον λαμπρὸν λάμποντα ἐπὶ τῆς ἡμετέρας κεφαλῆς φορέσομεν. Ἐνόμιζον γὰρ καὶ τὸν ἡγούμενον βλέπειν τὰ ὑπ' αὐτῶν ὁρώμενα. Διὰ τοῦτο γνοὺς, οὐδὲ εἶπεν αὐτοῖς, ὅτι αὐτὸς οὐδὲν εἶδεν, ἀλλ' ἐσιώπησεν, καὶ κατεπλάγη τὴν πολλὴν ἀκεραιότητα καὶ καθαρότητα, μάλιστα δὲ τοῦ Συμεών.

ιδ'. Τοῦτο δὲ χαριεστάτως ἔλεγεν αὐτοῖς ὁ μέγας, ὅτι Αὔριον ἐνδύομεν καὶ ὑμᾶς διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Μετὰ οὖν τὸ λαβεῖν αὐτοὺς τὸ ἅγιον σχῆμα, ὡς διεβεβαιοῦτο ὁ ὁσιώτατος διάκονος, διισχυρίζετο ὁ ἀψευδὴς Συμεών, ὅτι Τὰ πρόσωπα ἀλλήλων ἐθεωροῦμεν τῇ νυκτὶ ὡς ἐν ἡμέρᾳ, καὶ ὁμοίως τοῦ πρότερον ὑπ' αὐτῶν θεαθέντος, στέφανον ἐπὶ τῆς τοῦ ἑτέρου κεφαλῆς ὁ ἕτερος. Ἐν τοιαύτῃ δὲ χαρᾷ ἦν, φημὶ, ἡ ψυχὴ ἡμῶν, ὥστε μηδὲ θέλειν ἡμᾶς εὐχερῶς τροφῆς μεταλαμβάνειν ἢ πόσεως. Μετὰ οὖν δύο ἡμέρας τοῦ λαβεῖν αὐτοὺς τὸ ἅγιον ἔνδυμα, θεωροῦσιν τὸν πρὸ ἑπτὰ ἡμερῶν τοῦτο λαβόντα, εἰς ὃν τὸν στέφανον καὶ τοὺς ὑψικεύοντας ἐθεάσαντο, καὶ ἐφόρει σακκομάχιν, καὶ ἐποίει διακονίαν, καὶ λοιπὸν οὐκ ἔτι οὔτε τὸν στέφανον αὐτῷ περικείμενον, οὔτε πάλιν τοὺς μετὰ κηρίων ὑψικεύοντας μοναχοὺς ἐκέκτητο, καὶ ἐθαύμασαν. Καὶ λέγει ὁ Συμεὼν τῷ Ἰωάννῃ· Πίστευσον, ἀδελφὲ, ἐὰν καὶ ἡμεῖς πληρώσωμεν τὰς αὐτὰς ἡμέρας ἑπτὰ, οὐκ ἔτι ἕξομεν τὴν εὐπρέπειαν ταύτην καὶ τὴν χάριν. Καὶ λέγει ὁ Ἰωάννης· Καὶ τί θέλεις ἵνα γένηται, ἀδελφέ; Λέγει αὐτῷ πάλιν· Ἐὰν ἀκούσῃς μου, ἵνα ὥσπερ ἐγκατελείψαμεν καὶ ἀπεταξάμεθα τῶν κοσμικῶν, ἀποταξώμεθα τελείως ἀπὸ πάσης πνοῆς. Ἄλλον γὰρ βίον καὶ ξένα πράγματα θεωρῶ ἐν τῷ σχήματι τούτῳ. Ἀφ' ἧς γὰρ αὐτὸ ὁ δοῦλος τοῦ Θεοῦ ἐνέδυσεν ἡμᾶς, καίονται τὰ ἔσωθέν μου, οὐκ οἶδα πόθεν, καὶ ζητεῖ ἡ ψυχή μου μὴ θεωρῆσαί τινα, μήτε λαλῆσαι, ἢ ἀκοῦσαί τινος. Λέγει αὐτῷ ὁ Ἰωάννης· Καὶ τί τρώγομεν, ἀδελφέ; Λέγει αὐτῷ Συμεών· Εἴ τι τρώγουσιν οἱ ἀκούοντες *βοσκοὶ*, περὶ ὧν καὶ χθὲς εἶπεν ἡμῖν ὁ κύριος Νίκων; Τάχα γὰρ καὶ αὐτὸς θέλων, ἵνα τοιοῦτον βίον διάξωμεν, διηγήσατο ἡμῖν τὸ πῶς ζῶσιν, καὶ πῶς κοιμῶνται, καὶ πάντα τὰ κατ' αὐτούς. Εἶτά φησιν ὁ Ἰωάννης· Καὶ πῶς; Ὅτι οὔτε ψάλαι, οὔτε τὴν κατάστασιν παρελάβομεν.

ιε'. Τότε ἀνέῳξεν ὁ Θεὸς τὴν καρδίαν τοῦ ἀββᾶ

NOTÆ.

(18) Ita appellati monachi quidam Palæstinæ βοτανοφάγοι, quia teste Evagrio lib. I *Eccl. Hist. cap.* 21 : « Cibos quidem hominibus usitatos aspernantur, terram autem depascuntur, unde et pabulatores cognominati sunt; tantum carpentes, quantum ad vitam sufficit. » Sive, prout tradit Sozomenus lib. VI, cap. 33 : « Neque domicilia habent, neque panem, neque obsonium comedunt, neque vinum bibunt. In montibus autem degentes, semper Deum celebrant, precibus et hymnis secundum ritum Ecclesiæ vacantes. Quando vero vescendi tempus advenit, pabulantium in morem, quilibet falce arrepta, per montem vagantes, herbis pascuntur. »

(19) Ita ecgraphum nostrum; non κομῶνται, a κομάω, quod est *comam nutrio*, sicuti expressit Interpres apud Surium.

(20) Abbas non tantum *hegumenum*, seu *præfectum monasterii* designabat, sed ita compellabantur monachi passim omnes, præsertim senio venerandi. Id quod semel hic indicasse sit satis in antecessum etiam pro locis sequentibus.

Digitized by Google

Συμεὼν, καὶ εἶπεν· Ὁ σώσας τοὺς πρὸ τοῦ Δαυὶδ εὐαρεστήσαντας αὐτῷ, σώζει καὶ ἡμᾶς. Εἰ δὲ καὶ ἄξιοι γενώμεθα, διδάσκει καὶ ἡμᾶς, ὡς ἐδίδαξεν τὸν Δαυὶδ, ὡς ἦν εἰς τὰ πρόβατα εἰς τὴν ἔρημον, μὴ θελήσῃς ἀνακόψαι τὴν προθυμίαν μου, ἀδελφέ. Ἀλλὰ λοιπόν, ὅτι εἰς τοῦτο τὸ πρᾶγμα ἐδώκαμεν ἑαυτοὺς, μὴ ἀφανίσωμεν αὐτό. Τότε ὁ κῦρις Ἰωάννης εἶπεν· Ὡς θέλεις, ποιήσομεν. Πῶς δὲ καὶ ἐξερχόμεθα; ὅτι ἡ θύρα κλείεται τῇ νυκτί· Λέγει αὐτῷ Συμεών· Ὁ ἀνοίξας ἡμῖν τῇ ἡμέρᾳ, αὐτὸς ἀνοίγει καὶ τῇ νυκτί. Ὡς οὖν ἔστησαν τὴν βουλὴν, εὐθὺς τῆς νυκτὸς καταλαβούσης, θεωρεῖ ὁ ἡγούμενός τινα καθ' ὕπνους ἀνοίγοντα τὴν θύραν τοῦ μοναστηρίου, καὶ λέγοντα· Ἐξέλθετε, πρόβατα ἐσφραγισμένα τοῦ Χριστοῦ, εἰς τὴν βοσκὴν ὑμῶν. Καὶ διυπνισθεὶς, εὐθέως κατέρχεται εἰς τὸν πυλῶνα, καὶ εὗρον αὐτὸν ἀνοικτὸν, καὶ νομίσας; ὅτι ἐξῆλθεν ἐκεῖθεν, ἐκαθέζετο στυγνὸς, στενάζων καὶ λέγων, ὅτι Οὐκ ἠξιώθην ἐγὼ ὁ ἁμαρτωλὸς λαβεῖν τὴν εὐχὴν τῶν Πατέρων μου. Ἀληθῶς οὗτοί μου Πατέρες, καὶ δεσπόται, καὶ διδάσκαλοι ἐτύγχανον, καὶ διὰ τοῦτο τῆς παρ' αὐτῶν παραθέσεως ἠστόχησα. Βαβαί! πῶς λίθοι τίμιοι, ὥς φησιν ἡ Γραφὴ, λελῃθότες ἐπὶ τῆς γῆς κυλίονται, ὑπὸ πολλῶν μὲν φαινόμενοι, ὑπὸ ὀλίγων δὲ καταλαμβανόμενοι! Ὡς ταῦτα οὖν εἰς ἑαυτὸν ἀδημονῶν διελογίζετο, ἰδοὺ οἱ νυμφίοι οἱ καθαροὶ τοῦ Χριστοῦ ἐρχόμενοι ἐπὶ τὸ ἐξελθεῖν, ὧν ἔμπροσθεν ἐθεώρει ὁ καθαρώτατος ἡγούμενος Νίκων τινὰς εὐνούχους λαμπαδηφόρους, τοὺς δὲ σκῆπτρα ἐν τῇ μιᾷ χειρὶ κατέχοντας.

nis, qui dixit: Qui servavit eos, qui ante Davidem placuerunt Deo, nos quoque servabit; et, si quidem fiamus digni, nos item docebit, prout docuit Davidem, quando in solitudine pascebat oves. Noli, frater, desiderium meum retardare. Quod superest, ne rem, quo animum appulimus, reddamus irritam. Tum dominus Joannes dixit: Faciemus, uti vis. At quomodo exibimus? Nam noctu clauditur ostium. Dicit ei Symeon: Qui illud nobis aperuit interdiu, idem ille noctu aperiet. Stabilito igitur consilio, statim, ubi advenit nox, hegumenus videt aliquem in somnis, aperientem ostium monasterii, et dicentem: Exite, oves Christi signatæ, ad pascua vestra. A somno excitatus, statim ad januam pervenit, quam ubi invenisset apertam, ratus exinde egressos, consedit mœstus, gemensque et dicens: Non eram dignus ego peccator, Patrum meorum preces accipere. Illi sane erant Patres mei, et domini, ac magistri: ideo scopum, quem sibi præfixerunt, non sum assecutus. Papæ! quam pretiosi lapides, ut loquitur Scriptura [15], latentes supra terram volvuntur; qui a multis quidem videntur, sed a paucis apprehenduntur. Dum hæc mœstus secum agitabat, ecce puri sponsi Christi veniunt ut egrediantur, ante quos contemplabatur purissimus hegumenus Nicon eunuchos aliquot, quorum alii ferebant lampades, alii sceptra manu tenebant.

CAPUT V.

Sccessus in solitudinem, Satanæ machinatio.

ις'. Ὡς οὖν τούτους ἐθεάσατο, περιχαρ�ὴς σφόδρα ἐγένετο, διότι οὐκ ἀπέτυχεν τῆς αὐτοῦ ἐπιθυμίας· ὃν θεασάμενοι οἱ μακάριοι, ἠβουλήθησαν ὑποστρέψαι, μὴ νοήσαντες ὅτι ὁ ἡγούμενός ἐστιν. Ἔδραμεν οὖν ὁ ὅσιος Νίκων καὶ προσεκαλέσατο αὐτοὺς πρὸς ἑαυτόν. Ὡς οὖν ἔγνωσαν ὅτι ὁ ἡγούμενός ἐστιν, περιχαρεῖς καὶ αὐτοὶ ἐγένοντο, μάλιστα θεωρήσαντες καὶ τὸν πυλῶνα ἀνοικτόν· ἐνόησαν γὰρ ὅτι ὁ Θεὸς αὐτῷ πάλιν καὶ τοῦτο ἀπεκάλυψεν. Ἠθέλησαν οὖν βαλεῖν μετάνοιαν, καὶ διεκώλυσεν αὐτοὺς λέγων, μηδὲν τοιοῦτον αὐτοῖς ἐξεῖναι ποιῆσαι, διὰ τὴν τιμὴν τοῦ περιτεθέντος αὐτοῖς ἀγγελικοῦ σχήματος. Λέγουσιν οὖν αὐτῷ εὐθέως· Εὐχαριστοῦμέν σοι, Πάτερ, καὶ τί προσάξαι τῷ Θεῷ καὶ τῇ σῇ τιμίᾳ κεφαλῇ, οὐκ οἴδαμεν. Τίς ἡμᾶς τοιούτων δωρεῶν ἀξιωθῆναι ἤλπιζεν; ποῖος βασιλεὺς τοιούτῳ ἀξιώματι ἡμᾶς τιμῆσαι ἠδύνατο; ποῖοι ἐπίγειοι θησαυροὶ οὕτως ἐξαίφνης πλουτῆσαι ἡμᾶς ἐποίουν; ποίων λουτρῶν ἀπολούσεις οὕτως ἡμῶν τὴν ψυχὴν ἐκαθάριζον; ποῖοι γονεῖς οὕτως ἀγαπῆσαι καὶ σῶσαι ἐδύναντο; ποῖα ξένια δῶρα τὴν τῶν ἁμαρτιῶν ἡμῶν ἄφεσιν συντόμως οὕτως ἐνέγκαι ἡμῖν ἴσχυον, ὡς σὺ, τίμιε ἡμῶν Πάτερ, καὶ

16. Eos igitur conspicatus, solide gavisus fuit; quia non erat frustratus suo desiderio. Postquam hunc vidissent beati, voluerunt redire, non cogitantes quod hegumenus esset. Cucurrit itaque sanctus Nicon, et advocavit eos ad se. Ubi primum eis hegumenus innotuit, ipsi etiam valde gavisi sunt, maxime quando videbant ostium apertum. Etenim Deum hoc illi rursum revelasse, cogitabant. Jamque volebant pœnitentiam (21-22) facere, at vetuit illis dicens nihil tale eis licere facere; propter angelicum habitum, quo erant induti. Mox illi dicunt: Grates tibi agimus, o Pater, et quidnam Deo ac venerando capiti tuo simus repensuri, ignoramus. Quis nos hujusmodi donis cumulandos sperasset? Qualis rex nos tali dignitate honorare posset? Quales terreni thesauri adeo repente nos divites redderent? Qualium lavacrorum usus adeo animam nostram mundaret? Quales parentes ita diligere possent ac servare? Qualia xenia donaque remissionem peccatorum nostrorum tam breviter nobis afferre, sicut tu facis, venerande Pater noster? Tu progenitorum omnium ac parentum loco

[15] Zachar. IX, 16.

NOTÆ.

(21-22) Interpres apud Surium legit καλεῖν μετάνοιαν, et reddit *vocare pœnitentiam*. Nota cum Cangio vocem μετάνοια, præter *pœnitentiam* designare *corporis et capitis inclinationes*, monachis ac pœnitentibus usitatas. Et fortasse hoc sensu μετάνοια hic accipitur.

Digitized by Google

nobis, post Christum, pater et mater es. Tu dominus, tu instructor, tu manuductor, tu viæ dux, et alia quæcunque, quibus referendis lingua non sufficit. Per te pretiosissimam margaritam adepti sumus, et vere baptismatis virtutem, cujus sancti nobis prænuntii Patres fuere, experti sumus. Novimus vere peccatorum nostrorum combustionem ex igne, qui corda nostra comburit; cui tolerando impares sumus, adeo præcordia nostra inflammat.

17. Beatitudinem tuam, o Pater, obsecramus, ut impense pro nobis ores, et servos tuos abire sinas, ut sincere et enixe Deo serviamus, cui nos consecravimus. Sine te exorari, ut nunquam obliviscaris inutilium filiorum tuorum, eo tempore, quo manus tuas venerabiles extendis. Imo, imo, vir sancte, sine te exorari ab alienigenis : orbitatis eorum reminiscere. Deinde genua sancti hominis amplexi, rursum dicebant : Pater, esto memor humilium tuarum ovium, quas Christo holocausta immolasti. Recordare externarum plantarum, quas pulchro paradisi horto inserere studuisti. Ne obliviscere operariorum inertium, quos undecima circiter hora in vinea Christi mercede conduxisti. Mirabatur autem et obstupescebat præses, quando videbat eos, qui ante biduum fuerant idiotæ ac rudes, tam subito evasisse sapientes, ex eo quod assumpsissent divinum habitum. Dum ergo uterque satis diu flevisset, genu inclinavit sanctus Nicon, et collocato Symeone a dextris et Joanne a sinistris, surrexit, et protensis in cœlum manibus, dixit : Deus juste et laudabilis, Deus magne et fortis, Deus, qui es ante sæcula, exaudi virum peccatorem in hac hora : exaudi me, Deus, exaudi me in fortitudine. Esto immemor, tempore hoc, quo preces fundo, prævaricationum a mea vilitate usque et usque profectarum. Exaudi me, Domine, exaudi me in igne orationis, sicut olim tuum prophetam; et ejus interventu combure meas iniquitates, et peccata expurga. Ita fiat, o Deus sanctarum virtutum! ita fiat, o rerum incorporearum creator! ita fiat! qui dixisti : Petite et accipietis. Ne abominare me, qui sum labiis impuris, et in peccatis hæreo. Exaudi me, qui promisisti te exauditurum eos, qui invocant te in veritate; dirige gressus servorum tuorum, et pedes eorum in viam pacis. Compatere innocuis pueris, in externa terra exsistentibus, qui dixisti : « Estote simplices sicut columbæ [16]. » Clamavi ad te in toto corde meo; Deus, Deus, exaudi me, spes omnium finium terræ, et eorum, qui sunt procul in terra aliena [16*].

18. Increpa spiritus omnes immundos a facie puerorum tuorum : apprehende arma et scutum, et exsurge in adjutorium eorum : effunde frameam et conclude adversus eos, qui persequuntur illos : dic, o Domine, animæ eorum : Salus tua ego sum. Recedat a mente eorum spiritus timoris, acediæ, su-

[16] Matth. x, 16. [16*] Psal. LXIV, 6.

A ἀντὶ πάντων τῶν προγόνων ἡμῶν καὶ γονέων, σὺ ἡμῶν, μετὰ Χριστὸν, πατὴρ καὶ μήτηρ; Σὺ Δεσπότης, σὺ συγκροτητὴς, σὺ χειραγωγὸς, σὺ ὁδηγὸς, καὶ ὅσα γλῶσσα εἰπεῖν οὐκ ἰσχύει. Διὰ σοῦ τὸν πολυτίμητον μαργαρίτην ἐκτησάμεθα, ἐμάθομεν ἀληθῶς τὴν δύναμιν τοῦ βαπτίσματος, οὗπερ ἡμῖν οἱ ὅσιοι Πατέρες προέλεγον. Ἔγνωμεν ὄντως τὴν τῶν ἡμετέρων ἁμαρτιῶν κατάκαυσιν ἐκ τοῦ περικαίοντος ἡμῶν τὰς καρδίας πυρὸς, ὅπερ καὶ μὴ φέροντες, οὕτως τὰ ἡμῶν ἐντὸς περιφλέγων.

ιζ'. Αἰτοῦμεν εὐχὴν ποιῆσαι ἐκτενῶς τὴν μακαριότητά σου, Πάτερ, καὶ ἀπολῦσαι τοὺς σοὺς δούλους εἰς τὸ γνησίως καὶ ὁλοψύχως δουλεῦσαι ᾧ ἀφιερώσαμεν ἑαυτοὺς Θεῷ, δυσωπούμενος μηδέποτε λήθην ποιῆσαι ἀχρείων σου παίδων, ἐν καιρῷ ἐκτάσεως B χειρῶν σου τιμίων. Ναὶ, ναὶ, δυσωπούμενος ὑπὸ τῶν ξένων, ὅτιε, μνείαν ποιοῦ τῆς αὐτῶν ὀρφανείας. Καὶ ἐπιλαβόμενοι τῶν γονάτων τοῦ ὁσίου, πάλιν ἔλεγον· Μνήσθητι, Πάτερ, τῶν σῶν ταπεινῶν προβάτων, ὧν ὁλοκαύτωσας τῷ Χριστῷ. Μνημόνευσον ξένων φυτῶν, ἃ ἐν τῷ καλῷ κήπῳ τοῦ παραδείσου φυτεῦσαι ἔσπευσας. Μὴ ἐπιλάθῃ ὀκνηρῶν ἐργατῶν, οὓς περὶ τὴν ἑνδεκάτην εἰς τὸν ἀμπελῶνα τῷ Χριστῷ ἐμίσθωσας. Ἐθαύμαζεν δὲ καὶ ἐξεπλήττετο ὁ ποιμὴν, θεωρῶν τοὺς πρὸ δύο ἡμερῶν ἰδιώτας, οὕτως ἐξαίφνης σοφισθέντας διὰ τῆς περιβολῆς τοῦ θείου σχήματος. Ὡς ἐκλαυσαν οὖν ἀμφότεροι ἐπὶ ἱκανὴν ὥραν, κλίνας γόνυ ὁ ὅσιος Νίκων, καὶ στήσας Συμεὼν ἐκ δεξιῶν, καὶ Ἰωάννην ἐξ εὐωνύμων ἀνέστη, καὶ ἐκτείνας τὰς C χεῖρας εἰς τὸν οὐρανὸν, εἶπεν· Ὁ Θεὸς ὁ δίκαιος καὶ αἰνετὸς, ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς, ὁ Θεὸς ὁ προαιώνιος, εἰσάκουσον ἁμαρτωλοῦ ἀνδρὸς τῇ ὥρᾳ ταύτῃ. Ἐπάκουσόν μου, ὁ Θεὸς, ἐπάκουσόν μου ἐν ἰσχύϊ. Μὴ μνημόνευσον, ἐν ταύτῃ μου τῇ προσευχῇ, τῶν ἀεὶ καὶ εἰς ἀεὶ παρακοῶν τῆς ἐμῆς ἐξουθενώσεως. Ἐπάκουσόν μου, Κύριε, ἐπάκουσόν μου ἐν πυρὶ προσευχῆς, ὡς ποτε τοῦ σοῦ προφήτου, καὶ διὰ τῶν αὐτοῦ πρεσβειῶν, τὰς ἀνομίας μου κατάφλεξον, καὶ τὰς ἁμαρτίας μου καθάρισον. Ναὶ, ὁ Θεὸς τῶν ἁγίων δυνάμεων· ναὶ ὁ τῶν ἀσωμάτων ποιητής· ναὶ, ὁ εἰπών· Αἰτεῖτε, καὶ λήψεσθε· μή με βδελύξῃ τὸν ἀκάθαρτα χείλη περιβεβλημένον, καὶ ἐν ἁμαρτίαις συνεχόμενον. Ἐπάκουσόν μου, ὁ ἐπαγγειλάμενος ἐπακούειν τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων σε, καὶ D κατεύθυνον τὰ διαβήματα τῶν δούλων σου, καὶ τοὺς πόδας αὐτῶν εἰς ὁδὸν εἰρήνης. Συμπάθησον ἀκάκοις παισὶν ἐπὶ ξένης οὖσιν, ὁ εἰπών· « Γίνεσθε ἀκέραιοι ὡς αἱ περιστεραί. » Ἐκέκραξά σοι ἐν ὅλῃ καρδίᾳ μου. Ὁ Θεὸς, ὁ Θεὸς, ἐπάκουσόν μου, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐπὶ ξένης μακράν.

ιη'. Ἐπιτίμησον πᾶσιν τοῖς ἀκαθάρτοις πνεύμασιν ἀπὸ προσώπου τῶν παίδων σου. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτῶν. Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων αὐτούς. Εἰπὲ, ὦ Κύριε, τῇ ψυχῇ αὐτῶν· Σωτηρία σού εἰμι ἐγώ. Ὑπαναχωρησάτω ἀπὸ

Digitized by Google

τῆς αὐτῶν διανοίας, πνεῦμα δειλίας, ἀκηδίας, ὑπερ- A ηφανίας, καὶ πάσης κακίας, καὶ κατασβεσθήτω αὐτῶν πᾶσα πύρωσις καὶ κίνησις ἐκ διαβολικῆς ἐνεργείας συνισταμένη. Φωτισθήτω αὐτῶν τὸ σῶμα, καὶ ψυχὴ, καὶ τὸ πνεῦμα τῷ φωτὶ τῆς γνώσεώς σου, ἵνα καταντήσαντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τῆς ἁγίας καὶ προσκυνητῆς Τριάδος, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας, δοξάσωσίν σε εἰς αἰῶνα αἰῶνος, καὶ εὐαρεστήσωσίν σοι τῷ Κυρίῳ, ὅτι πάνδημον τὸ φυλακτήριον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Δὸς δὲ αὐτοῖς σὺν πᾶσι τοῖς ἀγαθοῖς, ὦ Κύριε, καὶ τοὺς λόγους ταύτης μου τῆς οἰκτρᾶς καὶ ἀναξίας σου ἱκεσίας ἐν καρδίᾳ διὰ παντὸς ἔχειν πρὸς δοξολογίαν καὶ ὕμνον τῆς σῆς χρηστότητος. Πάλιν δὲ πρὸς αὐτοὺς μετὰ πολλῶν δακρύων ἔλεγεν· Ὁ Θεὸς, ὃν ἐξ- B ελέξασθε, τέκνα καλὰ, καὶ ᾧ κατεδράμετε, αὐτὸς ἐξαποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου ὑμῶν, καὶ κατασκευάσει τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν τῶν ποδῶν ὑμῶν. Ὁ ἄγγελος, ὡς φησιν ὁ μέγας Ἰακὼβ, ὁ ῥυόμενός με ἀπὸ πάντων τῶν ἐναντίων δυνάμεων, αὐτὸς προπορεύεται τῶν τριβῶν ὑμῶν. Ὁ ῥυσάμενος τὸν ἑαυτοῦ προφήτην ἐκ στόματος λεόντων, αὐτὸς ῥύσεται καὶ ὑμᾶς ἀπὸ τῶν χειρῶν τοῦ λέοντος. Ὁ ἐκλεξάμενος ὑμᾶς Θεὸς, αὐτὸς ἀκαταίσχυντον τὴν θυσίαν μου φυλάξει. Ὡς δὲ ταῦτα καὶ πλεῖον τούτων αὐτοῖς ἐπηύξατο, καὶ συνεπλάκη ὁ θεοφόρος τοῖς τραχήλοις αὐτῶν καὶ ἔλεγεν· Σῶσον, ὁ Θεὸς, σῶσον τοὺς ἐν ὅλῃ καρδίᾳ ἀγαπήσαντας τὸ ὄνομά σου· οὐ γὰρ ἄδικος εἶ, Κύριε, τοὺς καταλείψαντας τὰ μάταια τοῦ βίου πράγματα, περιιδεῖν καὶ ἐγκαταλεῖψαι.

perbiæ, et omnis malitiæ, et exstinguatur in illis omnis flamma atque motio, quæ diaboli operatione exsurgit. Corpus eorum et anima et spiritus, cognitionis tuæ radiis illustrentur, ut occurrentes in unitatem fidei, et agnitionem sanctæ et adorandæ Trinitatis, in virum perfectum, in mensuram ætatis glorificent te in sæculum sæculi, placitoque se tuo, qui Dominus es, conforment. Nam præsidium omnium populorum est nomen tuum, Patris et Filii et Spiritus sancti. Amen. Da illis, Domine, cum omnium bonorum cumulo, ut hujus meæ miserabilis et indignæ orationis sermones assidue cordi suo insculpant, ad gloriam et laudem bonitatis tuæ. Iterum multis cum lacrymis ad ipsos dixit : Deus, quem elegistis, boni filii, et ad quem accurristis, Deus ipse emittet angelum suum ante faciem vestram, et præparabit viam suam ante pedes vestros. Angelus, qui, sicut dicit magnus Jacob, liberat me ab omnibus contrariis potestatibus, ille præcedet ante vias vestras. Qui prophetam suum liberavit ab ore leonum, ille vos quoque liberabit a manibus leonis. Qui elegit vos Deus, ille sacrificium meum ab ignominia vindicabit. Hæc et plura precatus, et colla eorum strinxit vir deifer, et dixit : Serva, Deus, serva eos, qui toto corde diligunt nomen tuum, neque enim iniquus es, Domine, ut illos, qui stultas hujus vitæ res reliquerunt, contemnas et deseras.

ιθ'. Εἶτα πάλιν πρὸς αὐτούς· Βλέπετε, τέκνα, εἰς C πόλεμον ἑαυτοὺς ἐξεδώκατε φοβερὸν καὶ ἀθέατον. Ἀλλὰ μὴ φοβηθῆτε· « Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι, ὑπὲρ ὃ δύνασθε ὑπενεγκεῖν. » Ἀγωνίσασθε, τέκνα, μὴ ἡττηθῆναι αὐτῷ, ἀλλὰ στῆτε γεναῖοι, ἔχοντες τὸ ὅπλον τοῦ ἁγίου σχήματος κατ' αὐτοῦ, μνημονεύσατε τοῦ εἰπόντος· « Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Καὶ πάλιν περὶ τῆς τοῦ πύργου οἰκοδομῆς· Μὴ ἀρξαμένων ὑμῶν τῆς τελείας ὁδοῦ, τῆς κατὰ Θεὸν πολιτείας ἀποχαυνωθῆτε, καὶ πληρωθῇ ἐφ' ὑμῖν, ὅτι Ἤρξαντο οἰκοδομῆσαι, καὶ οὐκ εἶχον δύναμιν καὶ προθυμίαν πρὸς τὸν ἀπαρτισμὸν τοῦ θεμελίου. Ἀσφαλίσασθε, τέκνα· μικρὸς ὁ πόλεμος, ἀλλὰ μέγας ὁ στέφανος· πρόσκαιρος ὁ πόνος, D ἀλλ' αἰωνία ἡ ἀνάπαυσις. Τῆς ὥρας οὖν προκοψάσης, καὶ ἤδη λοιπὸν τοῦ ξύλου κρούοντος, ὡς ἔμελλον τοῦ πυλῶνος ἐξέρχεσθαι, ἔλαβεν ὁ Συμεὼν τὸν ἡγούμενον κατ' ἰδίαν, καὶ εἶπεν αὐτῷ· Διὰ τὸν Θεὸν, Πάτερ, εὖξαι, ἵνα ὁ Θεὸς διασκεδάσῃ τὴν μνήμην τῆς γυναικὸς τοῦ ἀδελφοῦ μου Ἰωάννου, μή πως ἐκ τοῦ πονηροῦ ἐάσαι με, καὶ ἀπόλωμαι ὑπὸ τῆς λύπης

19. Postea rursum ad illos sermonem convertit : Attendite, filii, terribili vos et occulto bello dedistis, sed metum pellite : « Potens enim est Deus, qui non patietur vos tentari supra id quod potestis sustinere [17]. » Certate, filii, ut non superemini. Sed state animo erecto, opponentes inimico sacri habitus armaturam. In memoriam revocate verba illius, qui dicit : « Nemo mittens manum suam ad aratrum, et conversus retro, aptus est regno cœlorum [18]. » Et rursum de ædificatione turris : ne viam perfectam incipientes, in Dei obsequio desides sitis, et in vobis impleatur, quia cœperunt ædificare, et non sat habuerunt virium et animi ad opus consummandum [18a]. State securi, o filii : parvum est bellum, sed magna corona; temporalis labor, sed æterna requies. Itaque cum tempus procederet, et jam deinceps lignum pulsaret (23); et illi e janua essent egressuri, hegumeno seorsim prehenso dixit Symeon : Propter Deum, mi Pater, ora, ut Deus ex animo fratris mei Joannis deleat memoriam conjugis suæ, ne maligno machinante spiritu me deserat, et ego inteream præ dolore, ob ejus exitium et recessum. Ora, obsecro, propter Dominum, ut Deus

[17] I Cor. x, 13. [18] Luc. ix, 62. [18a] Luc. xiv, 30.

NOTÆ.

(23) Quomodo lignis pro ære Campano utantur monachi Orientales, explicat libellus Hieronymi Magii *De tintinnabulis*.

Digitized by Google

etiam parentes ejus consoletur, ne de illo laborent.

20. At vero senex, miratus fraternum affectum, nihil ei respondit. Rursus Niconem eodem modo prehendit abbas Joannes et seorsim se vocavit, sic loquens : Propter Deum te obtestor, o Pater, ne fratris mei curam depone ; sed ora, ne matris suæ dolorem miseratus, me fugiat, et in portu inveniar naufragus. Hæc ubi dicta ; ob alternam mutui amoris vicissitudinem obstupefactus Nicon tandem subjecit : Ite, filii, annuntio enim vobis eumdem, qui aperuit vobis hic, aperuisse jam nunc ea, quæ sunt illic. Et postquam frontes eorum, pectora, totumque corpus signasset, illos dimisit. Dimissi itaque et egressi, illud usurparunt : O Deus hujus magni servi tui, alienigenis nobis et auxilio carentibus esto viæ dux ; etenim neque loca, neque regionem novimus. Verum accedentes ad te, morti et solitudinis hujusce pelago nos commisimus. Tunc Joannes ita Symeonem compellat : Quid modo est? Quorsum tendimus? Cui ille : Pergamus ad dexteram : quidquid enim dexterum est, bonum est. Jamque tantum viæ erant emensi, ut ad mare Mortuum (24) venirent versus fluvium, cui nomen Arnon (25).

21. Deo autem dispensante, et nunquam deserente illos, qui toto animo in eum confidunt, invenerunt locum (quem senex quidam prius incoluerat, sed qui jam paucis ante diebus mortem obierat) in quo modica erat supellex, necnon herbæ ad vescendum gratæ et delicatæ, quibus etiam vitam aluerat senex ille, qui ibi jacebat. Locum conspicati, non secus sunt gavisi, quam si thesaurum invenissent. Igitur viri illi, omni præconio celebrandi (eum quippe noverunt fuisse præparatum divinitus, et oblatum) Deo et magno illi seni gratias agere cœperunt. Enimvero, aiebant : Orationis ejus præsidio feliciter nobis successit hoc iter. Paucis ibidem exactis diebus, servorum Christi virtutem non ferens animarum nostrarum hostis diabolus, impugnare eos cœpit, Joannem quidem uxoris, Symeonem autem magno erga matrem affectu. Quando itaque unus ex illis afflictum se vidit, statim alteri dixit : Surge, frater, oremus. Et usurparunt orationem magni senis. Oraverat enim : Da illis, Domine, ut orationis hujus sermones cordi suo insculpant.

αὐτοῦ, καὶ τῆς ἀπωλείας καὶ τοῦ χωρισμοῦ. Εὔξαι, δέομαι διὰ τὸν Κύριον, ἵνα παραμυθήσηται ὁ Θεὸς καὶ τοὺς γονεῖς αὐτοῦ, ἵνα μὴ μεριμνῶσιν αὐτόν.

κ'. Θαυμάσαντος δὲ τοῦ γέροντος τὴν στοργήν, ἣν ἔχει πρὸς τὸν ἀδελφὸν, οὐδὲν ἀπεκρίθη αὐτῷ. Πάλιν δὲ τὸν αὐτὸν τρόπον ἔλαβεν αὐτὸν καὶ ὁ ἀββᾶς Ἰωάννης, καὶ παρεκάλει κατ' ἰδίαν· Διὰ τὸν Θεὸν, Πάτερ, μὴ ἀμελήσῃς τοῦ ἀδελφοῦ, εὐχόμενος, ἵνα μὴ φύγῃ με διὰ τὴν μητέρα αὐτοῦ, συμπαθῶν αὐτῇ, καὶ εὑρεθῶ ἐν τῷ λιμένι ὑπομένων τὸ ναυάγιον. Ὡς οὖν εἴρηται, καταπλαγεὶς τὴν ἀμφοτέρων πρὸς ἀλλήλους ἀγάπην, τελείως λέγει αὐτοῖς· Πορεύεσθε, τέκνα· εὐαγγελίζομαι γὰρ ὑμῖν, ὅτι ὁ ἀνοίξας ὑμῖν ὧδε, προσήνοιξεν ὑμῖν καὶ τὰ ἐκεῖ. Καὶ σφραγίσας αὐτῶν τὰ μέτωπα καὶ τὰ στήθη καὶ ὅλον τὸ σῶμα, ἀπέλυσεν αὐτούς. Ὡς οὖν ἀπελύθησαν, καὶ ἐξῆλθον, τοῦτο ἔλεγον· Ὁ Θεὸς τοῦ δούλου σου τοῦ μεγάλου, ὁδήγησον ἡμᾶς τοὺς ξένους καὶ ἀπεριστάτους, ὅτι οὔτε τοὺς τόπους, οὔτε τὴν χώραν ἐπιστάμεθα. Ἀλλὰ πρὸς σὲ ἐρχόμενοι, παρεδώκαμεν ἑαυτοὺς εἰς θάνατον, εἰς τὸ πέλαγος τῆς ἐρήμου ταύτης. Λέγει οὖν ὁ Ἰωάννης τῷ Συμεών· Τί ἐστιν ἄρτι ; Ποῦ ὑπάγομεν ; Ἀπεκρίθη αὐτῷ ἐκεῖνος, βάλωμεν δεξιὰ, ὅτι ὅλα τὰ δεξιὰ, καλά εἰσιν. Καὶ ἐρχόμενοι κατήντησαν ἐπὶ τὴν Νεκρὰν θάλασσαν, ὡς ἐπὶ τὸν λεγόμενον Ἀρνωνᾶν.

κα'. Τοῦ Θεοῦ δὲ οἰκονομήσαντος, καὶ μηδέποτε τοὺς εἰς αὐτὸν πιστεύοντας ὁλοψύχως ἐγκαταλιμπάνοντος, εὗρον τόπον, ἔνθα ᾤκει τις γέρων, πρὸ ὀλίγων ἡμερῶν τελευτήσας, ἐν ᾧ ὑπῆρχον καὶ μικρὰ σκεύη, καὶ βοτάναι τρυφεραὶ εἰς τὸ ἐσθίειν αὐτοὺς, ἐξ ὧν ἤσθιεν ὁ γέρων, ὁ ἐκεῖσε κείμενος. Ἰδόντες οὖν τὸν τόπον οἱ ἀοίδιμοι, εὐφράνθησαν, ὡς τινα θησαυρὸν εὗρον. Ἔγνωσαν γὰρ ὅτι ὑπὸ Θεοῦ ἡτοιμάσθη, καὶ ἐπέμφθη αὐτοῖς, καὶ ἤρξαντο εὐχαριστεῖν τῷ Θεῷ, καὶ τῷ μεγάλῳ γέροντι. Ἔλεγον γάρ· Πίστευσον, δι' εὐχῶν αὐτοῦ κατευοδώθημεν. Ὡς οὖν ἔμειναν ὀλίγας ἡμέρας, μὴ φέρων τὴν ἀρετὴν τῶν Χριστοῦ δούλων ὁ ἐχθρὸς τῶν ψυχῶν ἡμῶν διάβολος, ἤρξατο πολεμεῖν αὐτοὺς, τὸν μὲν Ἰωάννην εἰς τὴν ἑαυτοῦ γυναῖκα, τὸν δὲ Συμεὼν εἰς τὴν ἀγάπην τὴν πολλὴν τῆς ἑαυτοῦ μητρός. Ὅτε οὖν ἔβλεπεν ἑαυτὸν εἰς ἐξ αὐτῶν θλιβόμενον, εὐθέως ἔλεγεν τῷ ἑτέρῳ· Ἀνάστα, ἀδελφὲ, εὐξώμεθα. Καὶ ηὔχοντο τὴν εὐχὴν τοῦ μεγάλου γέροντος· ηὔξατο γὰρ, ὅτι Δὸς αὐτοῖς, Κύριε, τοὺς λόγους τῆς εὐχῆς ταύτης ἐν τῇ καρδίᾳ αὐτῶν. Καὶ εὐθέως οἱ δύο εὑρέθησαν, γινώσκοντες αὐτὴν ἐκ

NOTÆ.

(24) Ingens lacus Palæstinæ ad meridiem, et Terræ sanctæ versus Orientem, Hebraica phrasi, *mare* dictus, quale vocatur omnis copiosior aquarum collectio. *Mortuum* nuncupatur, quod nullum gignat piscem, nullumve aliud animal producat, sed lacus prorsus sit bituminosus, pestilens, et horribilis, unde et *Asphaltites* appellatur a scriptoribus Græcis ac Latinis. Plura dabit Cotovicus *Itinerarii Hierosolymitani* lib. II, cap. 17.

(25) Designatur hic torrens Arnon, ni fallor, de quo Josephus lib. IV *Antiq. Judaic.* Θαρῆν ἐπὶ ποταμὸν Ἀρνῶν, ὃς ἐκ τῶν τῆς Ἀραβίας ὁρῶν ὁρμώμενος, καὶ διὰ πάσης ἐρήμου ῥέων, εἰς τὴν Ἀσφαλτῖτιν λίμνην ἐκδίδωσι, ὁρίζων τήν τε Μωαβῖτιν καὶ Ἀμορῖτιν· γῆ δ' αὕτη καρποφόρος καὶ πλῆθος ἀνθρώπων ἴσον τοῖς παρ' αὐτοῖς ἀγαθοῖς ἱκανὴ τρέφειν. *Pervenit ad fluvium, qui nominatur Arnon. Is est Arabiæ montibus exortus, desertum medium pererrans, in Asphaltitem lacum influit, Moabitas ab Amorrhæis disterminans ; estque hæc regio frugifera, et fructus, quantum est satis, incolis suppeditat.* Ita Josephus. Porro in ms. nostro adjecta modica paragoge scribitur Ἀρνονᾶν. Vocabulum isthoc vel non invenit in suo apographo, vel prætermisit interpres apud Surium ad diem 1 Julii.

Digitized by Google

στήθους, καὶ αὐτὴν ηὔχοντο πάντοτε εἰς ἕκαστον πει- A
ρασμὸν, καὶ εἰς ἕκαστον αἴτημα αὐτῶν πρὸς τὸν Θεόν.
Ἔστιν γὰρ ὅτε ἐπύρου αὐτοὺς ὁ διάβολος, ὡς ἐξ-
ηγεῖτο ὁ θεοφόρος Σαλὸς, ὡς ἐὰν κρέα καὶ οἶνον ἤσθιον,
καὶ πάλιν ὑπέβαλλεν αὐτοῖς παρὰ τὰς ἀρχὰς δει-
λίαν, καὶ ἀκηδίαν πρὸς τὴν ἄσκησιν, ὥστε διαφό-
ρως ἐπιζητεῖν αὐτοὺς ὑποστρέφειν εἰς τὸ μοναστή-
ριον ἀπὸ τῆς ἐρήμου, πάλιν δὲ κατὰ τοὺς ὕπνους
θεωρεῖν. Ἔστιν δὲ ὅτε καὶ ἐν φαντασίᾳ τοὺς ἑαυ-
τῶν ἰδίους, τοὺς μὲν κλαίοντας, τοὺς δὲ εὐωχηθέντας
παρεσκεύαζεν ὁ πολύμορφος ὄφις, καὶ πολλὰ ἕτερα,
ἃ οὐδὲ ἐξηγήσασθαι δυνατὸν, εἰ μὴ τούτων τῶν πει-
ρασμῶν ἐν πείρᾳ γίνεταί τις. Ἀλλ' ἡνίκα δ' ἂν ἐμ-
νημόνευον τῶν στεφάνων, οὓς εἰς ἀλλήλους ἐθεάσαν-
το, καὶ τῆς διδασκαλίας, καὶ τῶν δακρύων τοῦ γέ-
ροντος. ὥσπερ ἐλαίῳ ἁγίῳ κατεπραΰνετο αὐτῶν ἡ B
καρδία, καὶ παρεκαλεῖτο.

Et eventus illico docuit ambos hanc calluisse ex prompta memoria. Et eam adhibebant, quoties tentatio ingruebat, aut aliquid a Deo petebant. Quadam vice instigabat eos diabolus, uti narrabat deifer Salus, ad usum carnis et vini; et in principio suggerebat timorem, et torporem in vita ascetica: adeo ut variis modis conaretur eos ex eremo in monasterium revocare. Nunc iterum quædam repræsentabat in somno, nunc amicorum aliquos: hos quidem flentes, hosce genio indulgentes in imagine corporea efformabat versipellis ac tortuosus coluber, et plurima alia, quæ recensere nemo valet, præter eum, qui tales tentationes expertus fuerit. Sed quando recordabantur coronarum, quas alter in altero contemplati fuerant, institutionumque et lacrymarum senis; cor illorum quasi sancto quodam oleo delibutum recreabatur.

CAPUT VI.

Apparitiones, orationes, egressus Symeonis ex eremo in publicum præ zelo animarum, occultatæ ejus actiones.

κβ'. Ἐφαίνετο δὲ αὐτοῖς κατ' ὄναρ καὶ ὁ κύριος Νίκων, ὁτὲ μὲν νουθετῶν αὐτοῖς, ὁτὲ δὲ προσευχό-
μενος ὑπὲρ αὐτῶν, ἔστι δὲ ὅτε καὶ ψαλμοὺς αὐτοὺς
διδάσκων· καὶ ἐξυπνίζοντο ἀποστηθίζοντες ὅσα κατὰ
τοὺς ὕπνους αὐτοὺς ἐδίδασκεν, καὶ εἶχον χαρὰν ἐπὶ
τοῦτο μεγάλην. Ἐγίνωσκον γὰρ ὅτι πονεῖ ὁ γέρων
δι' αὐτοὺς, καὶ ἐπληροφοροῦντο ἐξ αὐτῶν τῶν πρα-
γμάτων. Καὶ γὰρ πρὸ πάσης αἰτήσεως ἐκ Θεοῦ τοῦτο
πρὸ πάντων αἰτησαμένων ἀμφοτέρων, τοῦ μὲν Συ-
μεὼν, ἵνα παρακληθῇ ἡ καρδία τῆς μητρὸς αὐτοῦ,
καὶ πληροφορηθῇ· τοῦ δὲ Ἰωάννου, ἵνα προσλάβηται
ὁ Θεὸς τὴν αὐτοῦ σύμβιον, πρὸς τὸ ἀποκοπῆναι τὴν C
σχέσιν αὐτῆς ἀπὸ τῆς ἐννοίας αὐτοῦ, εἰσήκουσεν ὁ
Θεὸς ἀμφοτέρων, ὁ εἰπὼν θέλημα τῶν φοβουμένων
αὐτὸν ποιῆσαι. Καὶ δύο ἐτῶν παρελθόντων, ἐπληρο-
φορήθη ὁ κῦρις Συμεὼν ἐκ Θεοῦ, ὅτι ἄλυπός ἐστιν
ἡ μήτηρ αὐτοῦ περὶ αὐτοῦ, καὶ ὅτι φαίνεται αὐτῇ
κατὰ νύκτα, καὶ παραμυθεῖται αὐτὴν, καὶ λέγει αὐτῇ
τῇ Σύρων διαλέκτῳ· Λαδέχρε, λιχὲμ, ὅ ἐστιν, Μὴ
λυποῦ, μῆτερ· καὶ γὰρ καλῶς ἐσμεν κἀγὼ, καὶ ὁ
κῦρις Ἰωάννης, καὶ ὑγιαίνομεν, καὶ ἐστρατεύθημεν
εἰς τὸ παλάτιον τοῦ βασιλέως, καὶ ἰδοὺ στεφάνους
φοροῦμεν, οὓς ἀνέδησεν ἡμᾶς ὁ βασιλεὺς, καὶ στολὰς
εὐπρεπεῖς. Ἀλλὰ παραμύθησαι καὶ τοὺς γονεῖς τοῦ
ἀδελφοῦ Ἰωάννου, ὅτι μετ' ἐμοῦ ἐστιν ἐστρατευμένος.
Ἀλλὰ μηδὲν λυπηθῆτε. Καὶ ὁ ἀββᾶς δὲ Ἰωάννης
εἶδεν ὅτι λέγει αὐτῷ τις λευχειμονῶν· Ἰδοὺ τὸν μὲν D
πατέρα σου ἄλυπον ἐποίησα, τὴν δὲ γυναῖκά σου ἐν
ταύταις προσλαμβάνομαι.

22. In somno etiam apparuit illis dominus Nicon; nunc eos instruens, nunc pro ipsis orans. Aliquando etiam eos docebat psalmos; et experrecti memoria tenebant, quidquid in somno illos docuerat. Id quod magno eis gaudio fuit. Sciebant enim senem ipsorum causa laborare, de quo ex rebus ipsis fiebant certiores. Et vero cum præ omnibus peteret uterque a Deo, Symeon quidem, ut cor matris solatio recrearetur et confirmaretur; Joannes autem, ut Deus conjugem suam susciperet, et dolorem e separatione ejus ortum ex animo fugaret; utrumque exaudivit Deus, qui dixit, se facturum voluntatem timentium se. Et jam duobus exactis annis, dominus Symeon certior a Deo est factus, quod mater sua causa non doleret; quod noctu ei appareret, et ipsam consolaretur, et diceret Syriaco sermone: Ladechre, Lichem. Hoc est: Ne luge, mater; etenim belle habemus et ego et frater Joannes, et valemus, et militiæ nomen dedimus in palatio regis, et ecce, coronas gestamus, quibus rex nos induit, et vestes elegantes. At parentes (26) quoque consolare fratris Joannis, quia mecum una militat. Neutiquam ergo lugete. Et Joannes quoque conspexit aliquem, candidis vestibus indutum, qui dicebat: Ecce patrem tuum dolore liberavi; conjugem vero tuam e vivis tollam propediem.

κγ'. Ἐξηγήσαντο οὖν ἀλλήλοις ἃ ἐθεώρησαν ἀμφό-
τεροι, καὶ ἐχάρησαν, καὶ εὐφράνθη αὐτῶν ἡ καρδία.
Καὶ τέως ἐκ τοῦ λογισμοῦ τῶν γονέων αὐτῶν εὐθέως
ἐκούφισεν αὐτοὺς ὁ Θεός. Καὶ λοιπὸν ἐν ἀνέσει ὑπ-
ῆρχον μηδὲ ὅλως λυπούμενοι περὶ αὐτῶν. Ἀλλ' ἀπό-
νως καὶ ἀόκνως τὸν τῆς ἀσκήσεως καὶ ἡσυχίας δι-

23. Igitur, quæ quisque contemplatus fuerat, alter alteri narrabat; et gaudebant, et cor eorum exhilaratum est. Et tunc parentum cura statim levavit illos Deus; et imposterum eam omiserunt, nihil prorsus de ipsis dolentes; sed sine molestia et segnitia, exercitationis et silentii cursum perage-

NOTÆ.

(26) Interpres apud Surium legit in numero singulari parentem, conformiter ad ea, quæ supra cap. 1, ubi narratur Joannes fuisse ἀμήτωρ. Nisi per τὸ parentes, hic fortasse significentur amici.

Digitized by Google

bant continuo, diebus ac noctibus: seu potius tentationem, quæ non distrahebat, et sollicitudinem, quæ minime sollicitabat, assiduæ orationis; quia impigri operarii tam compendiose proficiebant, ut exiguo tempore honorati fuerint divinis visionibus, et miraculis confirmati. Nam parvo post tempore, dum uterque silentio vacaret, quasi ad lapidis jactum a se mutuo [distabant]. Sed enim hoc etiam sibi præscripserant; hoc est seorsim secedere, quando alter singulatim ab altero volebat orare; ut, si inciderent ipsi cogitationes, aut negligentia obreperet, ad alterum accederet, et ambo simul Deum invocarent, ut a tentatione liberarentur. Die quodam cum Symeon loco sibi consueto sederet, videt se in ecstasi veluti adesse apud matrem suam, ægrotantem Edessæ (ibi enim erat), et dicit ei lingua Syriaca: Qui vales, mater? Et cum illa diceret: Recte, fili, ille rursum: Vade, ait, ad regem, ne metue: nam rogavi illum, et bonum tibi locum præparavit, et, ubi voluerit, te sequar illuc.

21. Ad se reversus, intellexit ea ipsa hora matrem e vivis excessisse, et curriculo currens ad fratrem Joannem, dixit: Surge, domine, orabimus. Cumque ille turbaretur (existimabat enim aliquam tentationem accidisse Symeoni), dicit ei Symeon: Noli turbari, frater; nihil enim mali habeo, per Deum. Cui Joannes: Et quæ causa talis cursus, Pater Symeon? (Nam impense venerabatur, et colebat ille Symeonem, sicut Symeon Joannem.) Tunc oculis fletu perfusis, et gemmarum instar lacrymis in pectus ejus decurrere incipientibus, dicit Joanni: Jam bonam meam et benedictam matrem Dominus ad se vocat. Et narrabat ei visionem, ac flexis genibus orabant: audiebaturque Symeon Deum compellare vere miserabilibus et supplicibus sermonibus (nam commovebantur et conturbabantur viscera ejus, affectu naturali commota), et clamabat: O Deus, qui sacrificium Abrahæ suscepisti; qui ad Jephtæ victimam respexisti; qui dona Abelis aversatus non fuisti; qui per Samuelem puerum tuum, Annam prophetissam esse ostendisti; tu idem, Domine, mi Domine, propter me servum tuum, suscipe spiritum bonæ matris meæ. Memento, Domine, laborum ac molestiarum ejus, quæ mea causa pertulit. Memento, Domine, lacrymarum ejus, et gemituum, quæ emisit, quando relicta illa confugi ad te. Memento, Domine, uberum, quibus me lactavit vilem, ut gauderet juventute mea, et gavisa non fuit. Ne obliviscere, quod ne vel ad horam separari a me potuerit, et separata fuerit a me toto tempore. Recordare, Domine, qui omnia scis, quod, quando in me oblectare se volebat, tunc me ei subtraxerim (27) propter nomen tuum. Ne obliviscere, juste Deus, dilacerationis viscerum ejus, quam sustinuit illo die, quo ad te confugi.

A ετέλουν δρόμον διὰ παντὸς, ἡμέρας καὶ νυκτὸς, εἰ μὴ τὸν ἀπερίσπαστον πειρασμὸν, καὶ τὴν ἀμέριμνον μέριμναν, λέγω δὴ τῆς ἀδιαλείπτου προσευχῆς, δι' ἧς καὶ διὰ συντομίας προέκοψαν οἱ ἄοκνοι ἐργάται, ὥστε [δι'] ἐν ὀλίγοις χρόνοις ἀξιωθῆναι αὐτοὺς θείων ὁράσεων, καὶ πληροφοριῶν καὶ θαυμάτων. Μικροῦ γὰρ χρόνου παρελθόντος, καὶ ἀμφοτέρων ἡσυχαζόντων, ὡς ἀπὸ λίθου βολῆς ἀλλήλων. Ἦσαν γὰρ καὶ τοῦτο ἑαυτοῖς διατυπώσαντες, τοῦτ' ἔστι τὸ ἀναχωρεῖν κατ' ἰδίαν, ὅτε βούλεται ὁ καθεὶς ἐξ αὐτῶν κατὰ μόνας εὔξασθαι. Ἡνίκα δὲ ἔλθωσιν αὐτῷ λογισμοὶ ἢ ἀκηδία, ἔρχεσθαι αὐτὸν πρὸς τὸν ἕτερον καὶ κοινῶς τὸν Θεὸν παρακαλεῖν τοῦ ἀπαλλαγῆναι τοῦ πειρασμοῦ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν καθήμενος ὁ Συμεὼν ἐν τῷ εἰθισμένῳ αὐτῷ τόπῳ, θεωρεῖ ἑαυτὸν ἐν ἐκστάσει, ὥσπερ παρεῖναι πρὸς τὴν ἑαυτοῦ μητέρα ἀσθενοῦσαν ἐν Ἐδέσῃ (ἐκεῖθεν γὰρ ἦν), καὶ λέγει αὐτῇ τῇ Σύρᾳ φωνῇ· Πῶς ἔχεις, μῆτερ; Τῆς δὲ εἰπούσης, Καλῶς, τέκνον, λέγει αὐτῇ πάλιν· Ὕπαγε πρὸς τὸν βασιλέα, μὴ φοβηθῇς, ὅτι παρεκάλεσα αὐτὸν, καὶ ἡτοίμασέν σοι καλὸν τόπον, καὶ ὅτε βούλεται, φθάνω σε ἐκεῖ.

κδ'. Εἰς ἑαυτὸν δὲ ἐλθὼν, ἔγνω τῇ αὐτῇ ὥρᾳ τελευτῆσαι τὴν μητέρα αὐτοῦ, καὶ δρομέως ἐλθὼν πρὸς τὸν ἀδελφὸν Ἰωάννην, λέγει αὐτῷ· Ἀνάστα, κῦρι, ποιήσομεν εὐχήν. Τοῦ δὲ ταραχθέντος (ἐδόκει γὰρ πειρασμόν τινα συμβῆναι τῷ Συμεὼν), λέγει αὐτῷ Συμεών· Μηδὲν ταραχθῇς, ἀδελφέ· οὐδὲ γὰρ ἔχω τί ποτε κακὸν διὰ τοῦ Θεοῦ. Πάλιν οὖν λέγει αὐτῷ ὁ Ἰωάννης· Καὶ τίς ἡ αἰτία τοῦ τοσούτου σου δρόμου, Πάτερ Συμεών; Πάνυ γὰρ ἐτίμα καὶ ἐσέβετο αὐτὸν, ὥσπερ κἀκεῖνος. Τότε περιχυθέντων αὐτοῦ τῶν ὀφθαλμῶν ἀπὸ τῶν δακρύων, καὶ ἀρξαμένων κατέρχεσθαι ὥσπερ μαργαριτῶν ἐπὶ τὸ στῆθος αὐτοῦ, λέγει αὐτὸς τῷ Ἰωάννῃ· Ἄρτι τὴν καλήν μου μητέρα καὶ εὐλογημένην ὁ Κύριος προσλαμβάνεται. Καὶ ἐξηγήσατο αὐτῷ τὴν ὀπτασίαν, καὶ κλινάντων αὐτῶν τὰ γόνατα, ηὔχοντο. Καὶ ἦν ἀκοῦσαι τοῦ Συμεὼν λέγοντος πρὸς τὸν Θεὸν ἐλεεινοὺς ὄντως καὶ παρακλητικοὺς λόγους· συνεστρέφοντο γὰρ καὶ διεταράσσοντο τὰ σπλάγχνα αὐτοῦ ὑπὸ τῆς φύσεως κινούμενα, καὶ ἐβόα· Ὁ Θεὸς, ὁ τὴν θυσίαν τοῦ Ἀβραὰμ δεξάμενος, ὁ τὴν ὁλοκαύτωσιν Ἰεφθάε ἐπιβλέψας, ὁ τὰ δῶρα τοῦ Ἄβελ μὴ βδελυξάμενος, ὁ διὰ τὸν Σαμουὴλ τὸν παῖδά σου τὴν Ἄνναν προφῆτιδα ἀναδείξας, αὐτὸς, Κύριέ μου, Κύριε, δι' ἐμὲ τὸν δοῦλόν σου πρόσδεξαι τὴν ψυχὴν τῆς καλῆς μου μητρός. Μνήσθητι, Κύριε, κόπων αὐτῆς καὶ τῶν μόχθων, ὧν εἰς ἐμὲ ἐκοπίασεν· μνήσθητι, Κύριε, τῶν δακρύων, αὐτῆς καὶ τῶν στεναγμῶν, ὧν ἐξέχεεν, ὅτε πρὸς σὲ ἐξ αὐτῆς ἔφυγον. Μνήσθητι, Κύριε, τῶν μαζῶν, ὧν ἐθήλασεν ἐμὲ τὸν ταπεινὸν, ἵνα ἀπολαύσῃ τῆς ἐμῆς νεότητος, καὶ οὐκ ἀπέλαυσεν. Μὴ ἐπιλάθῃ, Δέσποτα, ὅτι οὐδὲ πρὸς ὥραν χωρισθῆναί μου ἐδύνατο, καὶ ἐχωρίσθη μου ὅλον τὸν χρόνον. Μνημόνευσον, Δέσποτα, ὁ πάντα ἐπιστάμενος, ὅτι, ὅτε ἐβούλετο χαρῆναι εἰς ἐμὲ, τότε αὐτῇ ἑαυτὸν διὰ τὸ ὄνομά σου ἐστέρησα. Μὴ ἐπιλάθῃ, δίκαιε, τῶν διασπαραγμῶν τῶν σπλάγχνων αὐτῆς, ὧν ἔσχε τῇ ἡμέρᾳ, ὅτε πρὸς σὲ κατέφυγον.

NOTÆ.

(27) Juxta communes probæ syntaxeos leges, dicendum erat: τότε αὐτὴν ἐμαυτοῦ διὰ τὸ ὄνομά σου

Digitized by Google

κε'. Γινώσκεις, Κύριε, πόσην ἀϋπνίαν ἐκτήσατο κατὰ πᾶσαν νύκτα μνημονεύουσα τῆς ἐμῆς νεότητος, ἐξότε αὐτὴν ἐγκατέλιπον. Σὺ οἶδας, Δέσποτα, πόσας νύκτας ἐποίησεν ἄϋπνος, ζητοῦσα τὸ συγκοιμώμενον αὐτῇ πρόβατον. Μὴ ἐπιλάθῃ, φιλάνθρωπε, οἷος πόνος αὐτῆς περιεῖχε τὴν καρδίαν, ὅτε τὰ ἐμὰ ἱμάτια θεωροῦσα ἐστήσατο, διὰ τὸ μηκέτι εἶναι τὸν μαργαρίτην αὐτῆς τὸν ταῦτα ἐνδυνόμενον. Μνημόνευσον, Δέσποτα, ὅτι τὴν ἐξ ἐμοῦ παραμυθίαν, καὶ χαρὰν, καὶ ἀγαλλίασιν ἐστέρησα αὐτὴν (28), ἵνα σοι τῷ ἐμῷ καὶ αὐτῆς Θεῷ καὶ Δεσπότῃ τῶν ἁπάντων δουλεύσω. Δὸς αὐτῇ ἀγγέλους διασώζοντας αὐτῆς τὴν ψυχὴν ἐκ τῶν πνευμάτων καὶ θηρίων τοῦ ἀέρος τούτου τῶν πονηρῶν καὶ ἀνελεημόνων, τῶν ἐπιχειρούντων καταπιεῖν πάντας τοὺς δι' αὐτῶν παρερχομένους. Ἐξαπόστειλον αὐτῇ, Κύριε, Κύριε, φύλακας ἰσχυροὺς ἐπιτιμῶντας πάσῃ ἀκαθάρτῳ δυνάμει. Συναντήσῃ αὐτῇ καὶ ἀλύπως καὶ ἀβασανίστως. Ὁ Θεός μου, κέλευσον διαχωρισθῆναι αὐτῆς τὴν ψυχὴν ἐκ τοῦ σώματος, καὶ εἴ τι ὡς γυνὴ ἐν ἔργῳ, ἢ λόγῳ ἥμαρτεν ἐν τῷδε τῷ βίῳ, συγχώρησον τῇ ψυχῇ αὐτῆς, ὑπὲρ τῆς θυσίας, ἧς ἐγέννησεν, καὶ προσήνεγκέν σοι, Δέσποτα, ἐμὲ τὸν ἀνάξιον δοῦλόν σου, ναὶ, Κύριε ὁ Θεός μου, ὁ δίκαιος κριτὴς καὶ φιλάνθρωπος. Μὴ εἰσενέγκῃς αὐτὴν ἀπὸ θλίψεως εἰς θλῖψιν, καὶ ἀπὸ ὀδύνης εἰς ὀδύνην, ἀπὸ στεναγμῶν εἰς στεναγμοὺς, ἀλλ' ἀντὶ λύπης, ἧς ἐλυπήθη διὰ τὸν μονογενῆ αὐτῆς, εἰς χαρὰν, ἀντὶ δακρύων εἰς ἀγαλλίασιν τὴν ἡτοιμασμένην τοῖς ἁγίοις σου, ὁ Θεὸς, ὁ Θεός μου, εἰς τοὺς αἰῶνας. Ἀμήν.

νβ'. Ἔστι γὰρ ὅτε καταλαμβανούσης τῆς ἁγίας Κυριακῆς, λαμβάνειν αὐτὸν σειρὰν σαλσικίων, καὶ φορεῖν αὐτὰ ὡς ὁράριον, καὶ κρατεῖν ἐν τῇ ἀριστερᾷ αὐτοῦ χειρὶ σίνηπι, καὶ οὕτως βάπτειν καὶ τρώγειν ἀπὸ πρωΐ. Τινὲς δὲ καὶ ἔχριεν εἰς τὸ στόμα αὐτῶν ἐκ τοῦ σινήπεως ἐκ τῶν ἐρχομένων παῖξαι μετ' αὐτοῦ. Ὅθεν καί τις ἐλθὼν προσπαῖξαι αὐτῷ χωρικὸς, ἔχων ἐν τοῖς δυσὶν ὀφθαλμοῖς αὐτοῦ λευκώματα ἄσπρα, ἐχρίσθη ὑπ' αὐτοῦ ἐκ τοῦ σινήπεως εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ. Τοῦ δὲ στυφθέντος ἕως θανάτου, λέγει αὐτῷ· Ὕπαγε, νίψαι, ἔξηχε, εἰς ὄξος καὶ εἰς σκόρδα, καὶ εὐθὺς ὑγιαίνεις. Ἐκεῖνος δὲ ὡς δοκῶν τι ποιεῖν, εὐθέως εἰς ἰατροὺς ἔδραμεν, καὶ πλεῖον ἐτυφλώθη. Τέλος οὖν ἀπὸ μανίας ὀμνύει Συριστί· Μὰ τὸν Θεὸν τοῦ οὐρανοῦ, ἐὰν ἔχωσι εὐθέως πηδῆσαι οἱ δύο μου ὀφθαλμοὶ, εἴ τι εἴπέν μοι ὁ Σαλὸς, ποιῶ. Καὶ νιψαμένου αὐτοῦ, ὡς εἶπεν αὐτῷ, εὐθέως ἐγένοντο οἱ ὀφθαλμοὶ αὐτοῦ ὑγιεῖς, ὡς ἐκ γεννητῆς καθαροὶ, ὥστε δοξάζειν αὐτὸν τὸν Θεόν. Τότε ἀπαντήσας αὐτῷ ὁ Σαλὸς, λέγει αὐτῷ· Ἰδοὺ ὑγίανας, ἔξηχε, μηκέτι κλέπτῃς τὰ αἰγίδια τοῦ γείτονος. Ἐκλάπη τις λογάριν ἐν Ἐμέσῃ νομίσματα πεντακόσια, καὶ ὡς ἐζήτει αὐτὰ, ἀπαντᾷ αὐτῷ ὁ ἀββᾶς Συμεὼν, καὶ θέλων μεταβάλαι ἑαυτὸν, λέγει πρὸς αὐτόν· Δύνασαι ποιῆσαί τί ποτε, ἔξηχε, ἵνα εὑρεθῶσι τὰ ὁλοκότινά μου; Λέγει αὐτῷ ἐκεῖνος· Ἐὰν θέλῃς, ναί. Λέγει αὐτῷ ἐκεῖνος· Ποίησον, καὶ ἐὰν εὑρεθῶσιν, δίδω σοι δέκα. Λέγει αὐτῷ ὁ Σαλός· Εἴ τι εἶπω σοι, ποίησον, καὶ εἰς τὸ σκευρίν σου εὑρίσκεις τῇ νυκτὶ ταύτῃ. Συνέθετο οὖν αὐτῷ μεθ' ὅρκων ὅτι εἴ τι εἴπῃ αὐτῷ, ἀκούει αὐτοῦ, μόνον μὴ ἄκαιρόν τί ποτε εἴπῃ. Λέγει αὐτῷ πάλιν· Ὕπαγε, τὰ ὁλοκότινά σου ὁ δοῦλός σου ὁ ἐπιχέρνης ἐπῆρεν. Ἀλλ' ἰδού, δός μοι λόγον, ὅτι οὐ δέρεις αὐτὸν, οὔτε ἄλλον τοῦ οἴκου σου· ἔδαρεν γὰρ

52. Dum advenisset sancta dies Dominica, contigit, ut acceperit seriem (76) farciminum (77), et illa ferret tanquam orarium, et teneret sinistra manu sinapi, et sic a prima luce tingeret et comederet. Aliquorum vero ex iis, qui lusum cum ipso venerant, oblinebat eos sinapi. Hinc cum venisset aliquis rusticus cum eo lusurus, cujus uterque oculus laborabat candida albugine, inungebat utrumque ejus oculum sinapi. Cui, ad mortem usque afflictato, dicit: Abi, stolide, alliis et aceto te lava, et sanabere jamjam. Ille vero, ut qui existimaret se quidquam effecturum, protinus ad medicos cucurrit, et magis cæcutiebat. Tandem itaque furore percitus, jurat Syriace: Per Deum cœli, tametsi statim duo mei oculi deberent exsilire, quod mihi cunque Salus dixerit, faciam. Postquam lavisset ex præscripto Sali, mox oculi ejus sanati fuerunt, et tam defæcati, quam primo natali die, adeo ut laudaret Deum. Salus ei obviam factus, dixit: Ecce sanus factus es, stulte; noli posthac furari capellas vicini. Alicui quærenti quingentorum nummorum summam (78), Emesæ subreptam, occurrit abbas Symeon. Et ille, invertere se volens, dicit Symeoni: Potin' es efficere, stolide, ut nummi mei inveniantur? Cui ille: Possum utique, si velis. Respondit alter: Effice, et, si inveniantur, dabo tibi decem. Tum Salus: Si quid dixero tibi, facito; et invenies in armario (79) hac etiam nocte. Dato jurejurando ille ad se recepit, quod, si quid ipsi diceret, auditurus ipsum esset, modo ut nihil importuni ipsi diceret. Dicit ei rursum: Abi, nummos tuos abstulit servus tuus, qui a poculis (80) tibi est. Sed ecce, da mihi fidem fore ut ipsum non cædas, vel aliquem e tua domo (cædebat autem acerrime).

NOTÆ.

(76) Vox σειρά, pro qua Latine posui, *series*, quæsita, sed nuspiam inventa.

77) Legitur σαλσικοπώλης, et exponitur apud Auctorem Etymologici, fartor, sarciminum venditor; E quo vocis σαλσίκιον significatio haud obscure eruitur.

(78) Λογάριν non significare *exactorem*, prout legitur apud Surium, sed *summam pecuniæ*, seu certam quantitatem nummorum, exemplis bene multis ostendit Cangius in *Glossario*.

(79) Vox σκευρὶν abstrusa. Videtur derivari a σκεῦος, *vas*, quæcunque utensilia; et quid ni τὸ σκευρὶν significatione coincidat cum vocabulis σκευάριον, σκευοθήκη.

(80) Ἐπιχέρνης idem significat quod πινχέρνης, qui cultiore lingua dicitur οἰνοχόος *pincerna*, qui est a poculis. Lego apud Surium: « Servus tuus epicernes. »

Digitized by Google

Ille igitur putabat dictum sibi esse ut neminem cæderet propter nummos; sed abbas Symeon ipsi dicebat ut nullum unquam cæderet. Dedit itaque ipsi fidem cum juramento gravissimo, quod neminem esset verberaturus. Et abiens, servum suum blande prehendit, et recepit ab eo quantum perdiderat.

A σφοδρῶς. Ἐκεῖνος οὖν ἐνόμισεν ὅτι χάριν τῶν ὁλοκοτίνων εἶπεν αὐτῷ, ἵνα μὴ δείρῃ τινά. Ὁ δὲ ἁββᾶς Συμεὼν διὰ τὸ μηδέποτε δεῖραι αὐτὸν, εἶπεν αὐτῷ. Ἔδωκεν οὖν αὐτῷ λόγον μεθ' ὅρκων φρικτῶν, ὅτι οὐ δερεῖ τινὰ, καὶ ἀπελθὼν, ἐκράτησεν τὸν δοῦλον αὐτοῦ καλοθελῶς, καὶ ἔλαβεν παρ' αὐτοῦ τὸ πόσον.

53. Accidit, ut veniret ab illo tempore, aliquem cæsurus, et non potuit; sed manus ejus emarcuit. Rei gnarus, dicebat: Enimvero hoc Salo acceptum fero: et advit ipsum, et dixit: Solve, Sale, juramentum. Et mox ille stultum se fingebat, adeo ut non sciret quid sibi diceret. Quando itaque pergebat molestus esse, apparuit ipsi in somnis, et dixit: Vere solvam juramentum; promissa verbis inita B solvo, et prorsus reddo irrita. Quid ineptis? Cur vis cædere servos tuos, qui præcedent te in futuro sæculo? Postquam hæc vidit, in posterum quievit. Compatiebatur Symeon dæmoniacis tenerrimo affectu, ita ut discedens, variis modis se illis similem redderet, et cum iis agens, multos ex illis sanaret precibus suis, et nonnulli, a dæmone obsessi, obmurmurarent, ac dicerent: O violente Sale! Totum mundum subsannas; etiam venisti ad nos, ut nos vexares? Recede hinc: non es ex nostro grege. Quid nos crucias per totam noctem et uris? Quando igitur ibidem aderat Sanctus, multos etiam, ut qui loqueretur ex instinctu Spiritus sancti, corripiebat; hos quidem, quod furati essent, illos, quod scortati; alios reprehendebat cum clamore, quod C non assidue communicarent; alios insectabatur, tanquam perjuros, eo successu, ut totam pene civitatem hac industria a peccato coerceret. Erat per id tempus mulier divinatrix, quæ amuletis et incantationibus navabat operam. Hanc sibi demereri studebat Sanctus, dans ipsi ea, quæ ex aliorum beneficentia colligebat, sive obolos, sive panes, sive vestes. Quadam die dicit illi: Visne ut ego tibi amuletum conficiam, quo nunquam (81) capias [molestiam] ex oculo? Respondet illa: Volo equidem, Sale: sic reputans: Tametsi sit fatuus, forsitan id efficiet. Abiens igitur scripsit in tabella Syriace: Faciat te Deus desistere ac cessare, ne homines ab ipso avoces, et ad te convertas. Dedit D itaque illi, et ferebat tabellam, et non amplius potuit alicui divinare, aut facere amuletum.

54. Alia quadam vice sedebat cum fratribus, et calefaciebat se prope caminum figuli vitrorum (82). Erat autem figulus Hebræus. Et dicit Symeon pauperibus, ludens: Vultisne ut risum vobis moveam? Ecce supra poculum, quod fingit artifex, faciam crucem, et frangetur. Postquam itaque ad usque septem ex ordine fregisset, cœperunt ridere pauperes, et rem indicarunt artifici. Qui ferro candente eum persecutus est. Symeon ab eo digressus excla-

νγ'. Ἔστιν οὖν ὅτε ἤρχετο δεῖραί τινα ἀπὸ τότε, καὶ οὐκ ἠδύνατο, ἀλλ' εὐθέως ἐνάρκα ἡ χεὶρ αὐτοῦ. Καὶ ἐπιγινώσκων, ἔλεγεν· Οὕτως τοῦτο ἐκ τοῦ Σαλοῦ ἀπέχω, καὶ ἀπεῖε πρὸς αὐτὸν, καὶ ἔλεγεν· Λῦσον, Σαλὲ, τὸν ὅρκον· καὶ εὐθέως ἐκεῖνος ἐμωροποίει, ὡς ἵνα μὴ οἶδεν τί ἔλεγεν αὐτῷ. Ὅτε οὖν ἐπέμενεν σαίνων αὐτὸν, φαίνεται αὐτῷ κατὰ τοὺς ὕπνους, καὶ λέγει αὐτῷ· Οὕτως λύσω τὸν ὅρκον, καὶ λύω τὸ λογάριν σου, καὶ ὅλον σκορπίζω, τί ἀσχημονεῖς; τί θέλεις τὸ δέρειν τοὺς συνδούλους σου, τοὺς προάγοντάς σου ἐν τῷ μέλλοντι αἰῶνι? Ὡς οὖν ταῦτα εἶδεν, ἡσύχασεν ἀπ' αὐτοῦ. Συνέπασχεν δὲ τοῖς δαιμονῶσιν ὑπὲρ πᾶσαν φύσιν, ὥστε διαφόρως ἀπερχόμενος, ἐποίει ἑαυτὸν ὡς ἕνα ἐξ αὐτῶν, καὶ σὺν αὐτοῖς διάγων, τοὺς πολλοὺς ἐξ αὐτῶν διὰ τῆς ἰδίας εὐχῆς ἴατο, ὥστε τινὰς δαιμονῶντας διαλαλεῖν καὶ λέγειν· Ὦ βία, Σαλὲ, ὅλον τὸν κόσμον χλευάζεις, καὶ ἦλθες καὶ ἐγγὺς ἡμῶν σιᾶναι ἡμᾶς; Ἀναχώρησον ἔνθεν, οὐκ εἶ ἐξ ἡμῶν. Τί ἡμᾶς βασανίζεις ὅλην τὴν νύκτα καὶ καίεις; Ὡς οὖν ἦν ἐκεῖ ὁ ὅσιος, πολλοὺς καὶ αὐτὸς, ὡς διαλαλῶν ἐκ Πνεύματος ἁγίου, ἤλεγχεν, τοὺς μὲν κλέψαντας, τοὺς δὲ πορνεύσαντας, ἄλλους δὲ ἐμέμφετο κράζων, ὡς μὴ κοινωνοῦντας συνεχῶς, καὶ ἄλλους ὡς ἐπιόρκους ἤλεγχεν, ὥστε καὶ δι' αὐτῆς τῆς ἐπινοίας σχεδὸν ὅλην τὴν πόλιν ἀνέκοπτεν τοῦ ἁμαρτάνειν. Ἦν δὲ κατ' ἐκεῖνον τὸν καιρὸν γυνὴ μάντις, καὶ φυλακτάρεα καὶ ἐπαοιδίας ποιοῦσα. Ταύτην ὁ δίκαιος ἐμηχανήσατο κτήσασθαι φίλην, διδοὺς αὐτῇ ἃ συνῆγεν ἐκ τῶν διδόντων αὐτῷ, εἴτε φολερὰ, εἴτε ψωμία, εἴτε καὶ ἱμάτια. Ἐν μιᾷ οὖν λέγει αὐτῇ· Θέλεις ποιήσω σοι ἐγὼ φυλακτὸν, ἵνα μηδέποτε λάβῃς ἀπὸ ὀφθαλμοῦ; Λέγει αὐτῷ ἐκείνη· Ναὶ, Σαλέ· λογισαμένη ὅτι κἂν σαλός ἐστιν, ἴσως ἐπιτυγχάνει. Ἀπελθὼν οὖν, ἔγραψεν εἰς πιττάκιον Συριστί· Καταργήσει σε ὁ Θεὸς καὶ παύσει σε ἀποστρέφουσαν ἀπ' αὐτοῦ πρὸς σὲ τοὺς ἀνθρώπους. Ἔδωκεν οὖν αὐτῇ, καὶ ἐφόρεσεν αὐτὸ, καὶ οὐκέτι ἐδυνήθη ποιῆσαί τινι, οὐδὲ μαντείαν, οὐδὲ φυλακτόν.

νδ'. Ἦν δὲ πάλιν ἄπαξ καθήμενος μετὰ ἀδελφῶν, καὶ θερμαινόμενος πλησίον τοῦ καμινίου τοῦ ὑελεψοῦ. Ἦν δὲ ὁ ὑελεψὸς Ἑβραῖος, καὶ λέγει τοῖς πτωχοῖς παίζων· Θέλετε, ποιῶ ὑμᾶς γελᾶσαι; Ἰδοὺ κατὰ ποτήριν, ὃ ποιεῖ ὁ τεχνίτης, ποιῶ σταυρὸν, καὶ κλᾶται. Ὡς οὖν ἔκλασεν ἐνορδίνως κἂν ἑπτὰ, ἤρξαντο γελᾷν οἱ πτωχοὶ, καὶ εἶπον αὐτῷ τι πρᾶγμα, καὶ ἐδίωξεν καυτηριάσας αὐτόν. Ὡς οὖν ἀπῆρχετο, ἔκραξεν, αὐτῷ λέγων· Οὕτως μάντζηρε, ἕως οὗ ποιήσῃς εἰς τὸ μέτωπόν σου σταυρὸν, ζλα συντρίδονται,

NOTÆ.

(81) Legit interpres apud Surium: « Ut nunquam sit tibi lema in oculo. »

(82) Pro Græco ὑελεψός dicitur communiter ὑαλουργός, *fictor vitrorum*.

Digitized by Google

καὶ κλάσας πάλιν ἄλλα δέκα τρία ἐνορδίνως, κατενέγκη [κατενύχθη] καὶ ποιεῖ σταυρὸν εἰς τὸ μέτωπον αὐτοῦ, καὶ οὐκέτι ἔκλασέν τί ποτε. Ἐκ τούτου οὖν τοῦ τρόπου ἀπῆλθεν, καὶ ἐγένετο Χριστιανός. Δέκα δημοτῶν ποτε πλυνόντων τὰ ἑαυτῶν ἱμάτια ἔξωθεν τῆς πόλεως, προελθὼν ὁ μακαρίτης, λέγει αὐτοῖς· Δεῦτε, ἔξηγοι, καὶ ποιῶ ὑμῖν ἄριστον κομψόν. Οἱ οὖν πέντε ἐξ αὐτῶν εἶπον· Οἶδεν ὁ Θεός, ἄγωμεν. Οἱ δὲ λοιποὶ ἐκώλυον αὐτοὺς, λέγοντες, Ναὶ, ἐκ τοῦ σκότους ἔχει ὑμῖν ποιῆσαι ἄριστον· αὐτὸς ἀπὸ θυρῶν εἰς θύραν ἐπέστη, καὶ πόθεν ἔχει; Ἀλλὰ μόνον ἐξαργῆσαι ἡμᾶς βούλεται.

A mavit : Vere manizere (83), donec crucem formet in fronte, omnia conterentur. Et postquam iterum alia tredecim ex ordine fregisset, compunctus est (84), et formavit crucem in fronte, nec quidquam amplius fregit. Itaque ab hoc tempore mores mutavit, et Christianam fidem amplexus est. Viris decem plebeis extra civitatem vestimenta lavantibus, interveniens sanctus, dixit : Adeste, stulti, et apparabo vobis splendidum prandium. Quinque igitur ex illis dixerunt : Novit Deus, eamus. Cæteri prohibuerunt ipsis, dicentes : Scilicet apparabit nobis prandium e tenebris. Ipse mendicat ostiatim, et unde habebit? Verum duntaxat vult ut cessemus.

νε'. Ἐπίστευσαν οὖν, καὶ ἀπῆλθον οἱ πέντε. Καὶ λέγει αὐτοῖς, Μείνατε ὧδε. Καὶ ἀφεὶς αὐτοὺς, ὡσεὶ τόξου βολὴν ἀπῆλθεν ἀπ' αὐτῶν, καὶ κρυπτῶς ηὔξατο. Λέγουσιν ἐκεῖνοι πρὸς ἑαυτούς· Ὄντως ἐνεπαίχθημεν· νομίζω γὰρ χόρτον θέλει ἐνέγκαι ἡμῖν ὁ ἁββᾶς Συμεὼν, ἵνα βοσκηθῶμεν. Καὶ ἰδοὺ ὡς ταῦτα ἔλεγον, θεωροῦσιν αὐτὸν νεύοντα αὐτοῖς ἀπελθεῖν πρὸς αὐτόν· ἦν γὰρ, ὡς προείρηται, εὐξάμενος, καὶ ἐκ Θεοῦ ἑτοιμάσας αὐτοῖς πάντα. Καταλαβόντες οὖν αὐτὸν, εὗρον ὡς ἐπὶ Κυρίου κείμενα ἔμπροσθεν αὐτοῦ σιλίγνια, καὶ πλακοῦντας, καὶ σφαίρια, καὶ ὀψάρια, καὶ οἰνάρια διάφορα, καὶ ψαθύρια, καὶ γλυκὺ, καὶ ἁπλῶς ὅσα πάντα ἔχει ὁ βίος λιμβά. Καὶ φαγόντων αὐτῶν λέγει· Λαμβάνετε, ταπεινοὶ, καὶ λόγῳ τῶν γυναικῶν ὑμῶν. Καὶ ἐὰν μηκέτι γίνεσθε δημόται ἔξηγοι, ὄντως οὐ μὴ ὑστερήσουσιν τὰ σιλίγνια ταῦτα ἐκ τῶν οἴκων ὑμῶν, ἕως οὗ ἀποθάνω. Λέγουσιν ἐν ἑαυτοῖς ὅτε ἀπῆλθον· Δοκιμάσωμεν μίαν ἑβδομάδα, καὶ ἐὰν μὴ ἐκλείψουσιν, μηκέτι κατέλθωμεν μετὰ τῶν ἑταίρων ἡμῶν εἰς τὸ δημοτικόν. Ὡς οὖν ἴδον ὅτι οὐκ ἐξέλειπον τὰ σιλίγνια, καίτοι καθ' ἡμέραν ἐξ αὐτῶν δαπανώντων αὐτῶν, οὐκέτι παρῆλθον διὰ κακοῦ πράγματος. Ἀλλ' οἱ τρεῖς ἐξ αὐτῶν καὶ ἐμόναζαν κατανυγέντες ἐπὶ τῇ πολιτείᾳ τοῦ Σαλοῦ. Πλὴν ὅτι τινὶ εἰπεῖν τί ποτε, ἄχρις οὗ ἔζη ἐν σαρκὶ ὁ Σαλὸς, οὐκ ἠδυνήθησαν.

55. Crediderunt itaque quinque, et abierunt : B quibus dicit : Manete hic. Et relictis illis, quasi ad teli jactum recessit, ut clam oraret. Dicunt illi inter se : Enimvero delusi sumus. Fenum, opinor, nobis afferre vult abbas Symeon, quo pascamur. Et ecce, ubi hæc dixerant, conspiciunt, eum signum dare, ut accederent ad se. Etenim, uti supra est dictum, oraverat, et virtute Dei omnia ipsis præparaverat. Postquam ad illum pervenerant, invenerunt ante eum, utique a Domino positos, siligineos panes, placentas, tragemata, pisces, diversi generis vina, psatyria (85) et dulce (86), et, ut paucis absolvam, quidquid vita habet lauti. Dum comedissent, dicit : Accipite, o miseri, pro vestris etiam uxoribus. Et siquidem non amplius satis populus stultus, revera C non deficient hi panes siliginei in domibus vestris, donec moriar. Dicunt secum, quando abierant, Periculum faciamus vel una hebdomade, et siquidem non defecerint, non prodeamus amplius in publicum cum sociis. Itaque ubi viderunt panes non deficere, tametsi quotidie ex iis consumerent, non amplius egressi sunt, ut rei quidquam malæ committerent, sed tres ex iis vitam vixerunt solitariam, Sali conversatione compuncti. At nihil cuiquam dicere potuerunt, quoad vixit Salus.

νς'. Ποῖον δὲ πρᾶγμα καί τινι ἀθλίῳ, μᾶλλον δὲ βουρδουναρίῳ ἐποίησεν, ἄξιον τῇ γραφῇ παραδοῦναι τῇ κατ' αὐτόν. Ἦν γὰρ ἐλεήμων ὁ βουρδουνάριος,

56. Cujusmodi autem rem misello cuidam, seu potius burdonario (87) præstiterit, dignum est mandare iis, quæ de illo tractant, litteris. Erat vero

NOTÆ.

(83) Scribit Hamartolus in Copronymo : Μανσοὺρ ἐπωνόμασεν, ὅ ἐστι βλάσφημον. *Mansur cognominavit, quod est blasphemum.* Porro Μανσοὺρ apud Saracenos indigitare *redemptum*, auctor est Cangius; μανσὺρ vero Arabibus esse *victoriosissimum*, testatur Scaliger. Sin legendum *mamzer*, uti exstat apud Surium, significare dicitur Hebræis, *nothum, spurium, e scorto natum.* A quo indubie Græcum Μαζὴρ apud Gregentium, Theophanem, Cedrenum. *Deuteronomii* 23 legitur : « Non ingredietur Mamzer, hoc est, de scorto natus, in Ecclesiam Domini usque ad decimam generationem. » Quomodocunque vox isthæc scribenda sit (nam μάντζερε, quod in apographo nostro legitur, necdum inveni) videtur a Symeone adhiberi, ut hominis irati impetum reprimeret, nuncupando illum *blasphemum*, cum Hebræus ac Judæus esset; vel *spurium*, quem fortasse divino instinctu talem esse cognoscebat. Adi Glossarium Cangii.

(84) Interpres apud Surium etiam legit *compunctus est*, atque adeo κατενύχθη.

(85) Ψαθύριον, *placentæ species.* Hinc Ψαθυριανοὶ dicti, hæretici Ariani Constantinopoli, qui Patrem asseverabant, etiam cum Filius, ut ipsi somniabant, non exsisteret; « propterea quod, ut habet Socrates lib. v *Hist. Eccl.* cap. 22, Theoctistus quidam psathuropola, id est, placentarum venditor, ardenti studio huic opinioni patrocinatus est. » Ita ibidem interpres. Consonat Sozomenus lib. VII *Eccl. histor.* cap. 17, de Psathurianis agens.

(86) Neophytus monachus in Glossis Iatricis mss. « Quando in libro medico inveneris γλυκὺ indefinite dictum, nihil aliud dicit, quam dulce vinum. » Vidi textus nostri vocem et citari et scribi γλυκὺν, pro φλυκύ.

(87) Burdonarius *est agaso.* Consule Glossarium Cangii.

Digitized by Google

burdonarius misericors, et e rebus, quæ ad ipsum redibant, dispergebat. Quadam die exeunti illi, ut pro domo sua afferret, et vinum emeret, occurrit beatus, et dicit : Quo te agis, stulte? (Sermo enim iste identidem el erat in ore.) Cui ille : Eo empturus vinum, Sale. Respondit ei abbas Symeon : Affer etiam pulegium (88), ubi redieris. Auguratus itaque burdonarius, dicebat secum, quando abiret : Quisnam Satanas a tempore matutino ad me misit hunc abbatem, qui dicit : Affer mihi pulegium? Sane malum est hoc vinum, et vel acescit, vel [vitii habet] nescio quid. Ubi itaque rediit, ferens vinum perquam bonum, præ gaudio oblitus est afferre pulegium. Dicit ille iterum Symeoni : Vere, o miser homo, oblitus sum. Subridens ipsi abbas : Abi modo, inquit, res tua administrata est. Quando ergo venit, ut mutaret utres, invenit in eis acetum, prorsus ut homo vel odorari eos pertimesceret. Tunc itaque rem intellexit, et cœpit dicere : Enimvero jamjam afferimus pulegium. Cucurrit igitur, et venit ad Salum, et oravit eum (dicebat enim fecisse de more præstigiatoris, qui oculos fascinat). Dissolve, Sale, quod fecisti. Reposuit ille : Quid feci? Ilic ait : Bonum emi vinum, et tempore horarum duarum inventum est acetum. Cui ille iterum : Abi, abi, mitte hanc curam, aperi mox phuscarium, et proderit tibi.

57. Nam scopus et oratio senis erant, ut quia erat misericors, labor ejus benedicereturSed nihil quidquam voluit aperte facere, sed omnia per ludum. Compunctus itaque burdonarius, dixit : Benedictus Deus; phuscarium aperiam. Quo aperto, benedixit ipsi Deus. At pro quibus rebus ille debebat Salo gratias agere, potius succensuit, non intelligens, quam bene de se esset meritus. Sed hoc totum flebat, ut Deus tegeret scopum Symeonis. Ægrotavit non nemo e primoribus civitatis (accedere eo, et in domo ejus ludere consueverat sanctus), et videt æger, se in somno ludere aleis cum quodam Æthiope. Erat autem ille mors. Festinavit itaque infirmus, et venit, ut projiceret, et nisi jaceret ter sex, victus erat. Convenit illum in somno abbas Symeon et dicit : Quid est, stolide? Revera jam Maurus iste te vincet. Sed da fidem, te posthac non violaturum uxoris tuæ cubile, et tuo loco projiciam, et non vincet te. Postquam jurassem, ut retulit, qui ista vidit et accepisset a me aleas, projecit, et ceciderunt ter sex. Experrecto itaque infirmo, ascendit statim Salus, et dicit illi : Bene ter sex jecisti (89), insane. Crede, si juramentum tuum violes, Maurus ille te suffocabit. Et postquam

καὶ ἀπὸ συμβαινόντων ἐφύρασεν. Ἐν μιᾷ οὖν ἐξερχομένου αὐτοῦ ἐνέγκαι λόγῳ τοῦ οἴκου αὐτοῦ, καὶ εἰς πρᾶσιν οἰνάριον, ἀπαντᾷ αὐτῷ ὁ μακάριος, καὶ λέγει αὐτῷ· Ποῦ ὑπάγεις, ἔξηχε; Εἶχεν γὰρ ἀεὶ τοῦτον τὸν λόγον ἐπὶ τὸ αὐτὸ ἐπὶ στόματος. Λέγει οὖν αὐτῷ ἐκεῖνος, Διὰ οἰνάριον, Σαλέ. Ἀπεκρίθη αὐτῷ ὁ ἀββᾶς Συμεών· Φέρε καὶ γλιχόνην ὡς ἔρχῃ. Οἰωνισθεὶς οὖν ὁ βουρδουνάριος, ἔλεγεν καθ' ἑαυτὸν, ὡς ἀπῄει· Ἄρα ποῖος Σατανᾶς ἀπὸ πρωῒ ἐπεμψέν μοι τὸν ἀββᾶν τοῦτον, λέγοντά μοι· Φέρε μοι γλιχόνην; Ὄντως κακοπόδινον γίνεται τὸ οἰνάριον τοῦτο, καὶ ἢ ὄξίζει, ἢ οὐκ οἶδα τί. Ὡς οὖν ὑπέστρεψεν ἐνέγκας οἶνον καλὸν πάνυ, ἀπὸ χαρᾶς ἔλαθεν ἐνέγκαι τὴν γλιχόνην. Λέγει αὐτῷ πάλιν ἐκεῖνος, Ὄντως, ταπεινέ, ἔλαθον. Μειδιάσας οὖν ὁ ἀββᾶς, λέγει αὐτῷ· Ὕπαγε μόνον· τὸ γὰρ πρᾶγμά σου ἐδιοικήθη. Ὡς οὖν ἦλθε μεταβάλαι τὰ ἀσκήδια, εὗρεν αὐτὰ ὄξος, ὅτι ἐψόφει ἄνθρωπος καὶ ὀσφρανθῆναι αὐτοῦ. Τότε οὖν ἐνόησεν τὸ πρᾶγμα, καὶ ἤρξατο λέγειν· Ὄντως ἄρτι καὶ ἄγομεν διὰ γλιχόνην. Ἔδραμεν οὖν καὶ ἦλθεν πρὸς τὸν Σαλὸν, καὶ παρεκάλει αὐτὸν (ἔλεγεν γὰρ ὅτι ὥσπερ ὁ ψηφᾶς ποιεῖ ὀφθαλμοπλανίαν, οὕτως καὶ αὐτὸς ἐποίησεν)· Ἀνάλυσον δ ἐποίησας, Σαλέ. Λέγει αὐτῷ ἐκεῖνος· Τί ἐποίησα; Ὁ δὲ φησι· Καλὸν οἶνον ἠγόρασα, καὶ εὑρέθη ὀξίδιν εἰς δύο ὥρας· Λέγει αὐτῷ πάλιν· Ὕπαγε, ὕπαγε, οὐ μέλλῃ σοι, ἄνοιξον ἐφετῶ φουσκάριον, καὶ συμφέρει σοι.

νζ'. Ἦν γὰρ ὁ σκοπὸς καὶ ἡ εὐχὴ τοῦ γέροντος, ἵνα εὐλογηθῇ ὁ κάματος αὐτοῦ, ὅτι ἦν ἐλεήμων, ἀλλ' οὐκ ἤθελεν προφανῶς ποιῆσαί τί ποτε, ἀλλ' ὅλα δὲ παιγνιδίων. Κατενύγη οὖν ὁ βουρδουνάριος, καὶ λέγει· Εὐλογητὸς ὁ Θεὸς, φουσκάριον ἀνοίγω· καὶ ἀνοίξαντος αὐτοῦ, ηὐλόγησεν αὐτὸν ὁ Θεὸς καὶ ὑπὲρ ὧν ἔδει εὐχαριστεῖν τῷ Σαλῷ, μᾶλλον καὶ ἐχόλα αὐτῷ, μὴ νοῶν τὸ τί αὐτῷ προσξένησεν. Τὸ δὲ πᾶν τοῦ πράγματος ἦν ὁ Θεὸς, σκέπων τὸν σκοπὸν τοῦ ἀββᾶ Συμεών. Ἠρώτησέν ποτέ τις τῶν μεγιστάνων τῆς πόλεως, Εἶχεν δὲ ἔθος ὁ ὅσιος ἀνέρχεσθαι καὶ παίζειν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ὡς ἐβαρήθη, ἐθεώρει ἑαυτὸν κατὰ τοὺς ὕπνους παυλίζοντα μετά τινος Αἰθίοπος. Ἦν δὲ οὗτος, ὁ θάνατος. Ἔφθασεν οὖν καὶ ἦλθεν, φησὶ, καταῤῥῖψαι ὁ ἀσθενῶν, καὶ εἰ μὴ ἔβαλεν τρίεκτα, ἡττᾶτο. Φθάνει οὖν αὐτῷ κατὰ τοὺς ὕπνους ὁ ἀββᾶς Συμεών, καὶ λέγει· Τί ἐστιν, ἔξηχε; Ὄντως ἄρτι νικᾷ σε ὁ Μαῦρος οὗτος. Ἀλλὰ δός μοι λόγον, ὅτι οὐκέτι μιαίνεις τὴν κοίτην τῆς γυναικός σου, καὶ ἐγὼ καταῤῥίπτω ἀντὶ σοῦ, καὶ οὐχ ἡττᾷ σε. Ὀμόσας οὖν, φησὶν ὁ ταῦτα ἰδὼν, καὶ λαβὼν ἐξ ἐμοῦ τὰ βόλια ἔῤῥιψεν, καὶ ἔπεσαν τρίεκτα. Ἐξυπνισθέντος οὖν τοῦ ἀῤῥώστου, ἀνῆλθεν εὐθὺς ὁ Σαλὸς, καὶ λέγει αὐτῷ· Καλὰ τρίεκτα ἔβαλες, μάταιε. Πίστευ-

NOTÆ.

(88) « Herba est fruticosa, semipedali altitudine, foliis sampsuchi, surculis per intervalla purpureo flore coronatis; unde multis pulegium regale nominatur. Alterum genus est flore candido, cui magna cum nepeta, et mentha societas, multum excalefacit, et extenuat. Si a pecore gustetur, balatum illico dicitur concitare. Idcirco quasi βλήχων vocatur. *Pulegium* autem Latini appellant, quod recens incensum pulices enecet. » Ita Gorræus. Forsan hic *pulegium* ponitur pro qualibet alia herba, aut olere, κατὰ συνεκδοχήν.

(89) Insulse legitur apud Surium : « Pulchra trajecta trajecisti, stolide. »

Digitized by Google

σον, ἐὰν παραβῇς τὸν ὅρκον σου, ὁ Μαῦρος ἐκεῖνος πνίγει σε, καὶ ὑβρίσας αὐτὸν, καὶ πάντας τοὺς τοῦ οἴκου αὐτοῦ, κατῆλθεν τρέχων. A ipsis et omnibus ejus domesticis insultasset, cursu se inde proripuit.

CAPUT XI.

Symeonis virtutes, prædictio obitus, sancta mors, Angelorum cantus, sepultura, corpus divinitus ablatum.

νη'. Οὐκ ἐκέκτητο δὲ οὗτος ὁ σοφὸς ἀληθῶς ἐν τῷ καλυβίῳ αὐτοῦ τι. Εἶχεν γὰρ καλύβην διὰ τὸ κοιμᾶσθαι αὐτὸν, μᾶλλον δὲ διὰ τὸ ἀγρυπνεῖν αὐτὸν τὰς νύκτας, εἰ μὴ ἓν φορτίον κληματιδίων. Πολλάκις οὖν τὴν νύκτα διατελῶν ἕως πρωῒ ἐν προσευχῇ, καὶ τὸ ἔδαφος βρέχων τοῖς δάκρυσιν, ἐξήρχετο ἀπὸ πρωΐ, καὶ ἔκοπτεν ἢ ἀπὸ ἐλαίας, ἢ ἀπὸ βοτανῶν, καὶ ἐποίει ἑαυτῷ στέφανον, καὶ ἐφόρει, καὶ ἐκράτει ἐπὶ τῆς χειρὸς αὐτοῦ ἕνα κλάδον, καὶ ἵστησεν κράζων, Νίκην βασιλεῖ καὶ τῇ πόλει. Ἔλεγεν δὲ, πόλιν μὲν τὴν ψυ- B χὴν, βασιλέα δὲ τὸν αὐτοκράτορα τῶν παθῶν λογισμόν. Καὶ τοῦτο δὲ ᾐτήσατο τὸν Θεὸν ὁ ἅγιος, ἵνα μὴ αὐξήσῃ ἡ κόμη τῆς κεφαλῆς αὐτοῦ, ἢ τοῦ πώγωνος, μή πως διὰ τοῦ καρῆναι, φανερὸς γένηται ὅτι ἑαυτὸν ποιεῖ σαλόν. Διὸ καὶ πάντα τὸν χρόνον, ὃν διετέλεσεν ἐν τῇ τοιαύτῃ πολιτείᾳ, οὐδεὶς αὐτὸν ἐθεάσατο, ὅτι ηὐξήθη ἡ κόμη τῆς κεφαλῆς αὐτοῦ, οὔτε ὅτε ἐκείρατο αὐτήν. Πολλὴν οὖν καὶ ἐπωφελῆ συντυχίαν πολλάκις συνέτυχεν τῷ κυρῷ Ἰωάννῃ τῷ διακόνῳ μόνῳ, καὶ ἠπείλει, ὅτι εἰ φανερώσει τισὶ τὸν ἐνάρετον σκοπὸν αὐτοῦ, βασάνῳ μεγάλῃ κατὰ τὸν μέλλοντα αἰῶνα περιπέσει.

νθ'. Ἔλεγεν δὲ αὐτῷ ὅτε ἅπαντα τὸν ἑαυτοῦ βίον ἐξεῖπεν αὐτῷ, τοῦτ' ἔστιν πρὸ δύο ἡμερῶν τοῦ μεταστῆναι αὐτὸν ἐκ τοῦ βίου, ὅτι Σήμερον ἀπῆλθον πρὸς τὸν ἀδελφὸν Ἰωάννην, καὶ εὗρον αὐτὸν διὰ τοῦ Θεοῦ προκόψαντα μεγάλως, καὶ ἐχάρην. Εἶδον γὰρ αὐτὸν φοροῦντα τὸν στέφανον αὐτοῦ, καὶ ἐπιγεγραμμένον· Στέφανος ὑπομονῆς τῆς ἐρήμου. Καὶ πάλιν φησὶν ἐκεῖνος ὁ εὐλογημένος· Εἶδον, φησὶν, ὡς ἦλθες, τινὰ λέγοντά μοι· Ἐλθὲ, ἐλθὲ, Σαλὲ, ἵνα κομίσῃ οὐχ ἕνα στέφανον, ἀλλὰ τοὺς στεφάνους, ὧν προσήνεγκάς μοι ψυχῶν. Ἔχω δὲ, κῦρι ἀρχιδιάκονε, ὅτι οὐδὲν εἶδεν εἰς ἐμέ τι τοιοῦτον, ἀλλὰ προσεχαρίσατό μοι. Σαλὸς γὰρ καὶ ἔξηχος ἄνθρωπος ποῖον μισθὸν ἔχω κομίσασθαι; Πάλιν ἐκεῖνος· Δυσωπῶ σε, ἵνα πᾶσαν ψυχὴν, μάλιστα δὲ μοναχὸν ἢ πτωχὸν, μηδέποτε ἐξουδενώσῃς, ὡς ἔτυχεν. Οἶδεν γὰρ ἡ ἀγάπη, ὅτι εἰσὶν εἰς τοὺς πτωχοὺς, μάλιστα δὲ εἰς τοὺς τυφλοὺς, ἄνθρωποι, ὡς ὁ ἥλιος καθάρσει καθαρθέντες διὰ τῆς ὑπομονῆς, καὶ τῆς κακοπαθείας αὐτῶν. Πόσους ἐπιχωρίους γεωργοὺς ἴδον ἐν τῇ πόλει πολλάκις εἰσερχομένους κοινωνῆσαι, καὶ ὄντας καθαρωτέρους τοῦ χρυσίου, διὰ τὸ ἄκακον αὐτῶν καὶ ἀπερίεργον, καὶ διὰ τὸ ἐν ἱδρῶτι τοῦ προσώπου αὐτῶν ἐσθίειν τὸν οἰκεῖον ἄρτον!

ξ'. Ἀλλὰ μηδέν με ἐπὶ τοῖς λεγομένοις πρὸς σὲ, δέσποτα, ἐπιμέμψῃ, διὰ τὸ ὅλην ἀμέλειαν τοῦ οἰκτροῦ μου βίου ἐξειπεῖν σοι. Γίνωσκε δὲ ὅτι καὶ σὲ ὁ Κύριος διὰ τάχους προσλαμβάνεται. Ἀλλ' ὅση σοι ἰσχὺς

58. Vir ille vere sapiens nihil quidquam possidebat in suo tugurio (nam habebat tugurium, ubi dormiret, seu potius ubi vigilaret noctu) præter unum fascem sarmentorum. Sæpius itaque noctem producens in oratione usque ad lucem, et terram lacrymis rigans, egrediebatur mane, et scindebat vel ex olea vel ex herbis, faciebat sibi coronam, quam gestabat, tenebatque manu sua ramum, et stabat clamans : Regi ac civitati victoria! Civitatem quidem esse animam, regem vero rationem dictitans, quæ pravis animi affectionibus dominantur. Petierat autem sanctus a Deo, ut non crescerent crines capitis sui, aut barba; ne dum tonderetur, innotesceret eum se stultum simulare. Idcirco per totum tempus, quod exegit in hujusmodi vitæ instituto, nemo vidit crescere comas capitis ejus, nec ab eo tonderi. Frequenti pariter atque utili solius domini Joannis diaconi consuetudine utebatur, et minabatur, quod, si alicui manifestaret suum virtute præstantem scopum, in magnum cruciatum incideret in futuro sæculo.

59. Dixit autem illi, dum viam ei omnem exposuit, id est biduo antequam e vita excederet : Hodie adivi fratrem Joannem, et inveni ipsum valde per Deum profecisse, et gavisus sum. Vidi enim tum gestare coronam suam, cui erat inscriptum : Corona tolerantiæ in solitudine. Ac rursum benedictus ille vir : Vidi, inquit, aliquem, qui, dum advenisti, mihi diceret : Veni, veni Sale, ut accipias non coronam unam, sed coronas animarum, quas mihi obtulisti. Persuasum vero habeo, domine archidiacone, eum nihil tale in me vidisse, sed gratificari mihi voluisse. Quænam enim merces manet hominem fatuum et emotæ mentis? Pergebat ille : Obsecro te, ne ulla anima, maxime autem monachus vel pauper, unquam tibi vilescat, prout (90) contigit. Novit enim charitas quod inter pauperes, ac præsertim inter cæcos, inveniantur homines, qui instar solis, purgatione purgati sunt per patientiam et ærummas suas. Quot rusticos agricolas sæpe vidi ingredientes civitatem, ut [ibidem] communicarent, qui puriores erant auro, quia innocue vivebant, et quia panem suum in sudore vultus sui comedebant.

60. Sed ne propter ea, quæ apud te dicta sunt, Domine, me reprehendas; etenim exposui omnem miserabilis vitæ meæ negligentiam. Cognosce autem, quod Dominus te quoque brevi assumpturus

NOTÆ.

(90) Uti narratum invenies capite 7.

Digitized by Google

sit. Sed, quantum vales ac potes, curam gere animæ tuæ, ut per principes tenebrarum hujus aeris, periculi expers transire possis. Scit enim Dominus magna me sollicitudine et timore affici, donec securus ab ipsis requiescam. Hæc enim est dies mala, de qua Apostolus[23] et David[24] locuti sunt. Ideo rogo te, fili ac frater Joannes, quanta potes contentione, misericordiam exerce; hæc nos tunc juverit plus quam omnes virtutes. Dicit enim: « Beatus qui intelligit super egenum et pauperem; in die mala liberabit eum Dominus[25]; » et nunquam assistas altari, habens aliquid adversum aliquem, ne forte iniquitas tua alios etiam indignos reddat adventu Spiritus sancti.

61. Hæc et plura alia enuntiavit, et prohibuit, ne aliqua ex iis unquam cuiquam diceret, propterea quod non omnes accipiant cum fide illa quæ dicuntur. Hoc tibi sit solatio, quod post hosce tres dies Dominus assumpturus sit minimum hunc Salum, et dominum Joannem, fratrem ejus. Etenim ego ipse discedens, dixi ei: Adesdum, frater, eamus. Tempus etiamnum superest; sed post biduum veni ad tugurium meum, et vide an aliquid inventurus sis. Volo autem ut habeas mnemosynon humilis et peccatoris Sali. Hæc et plura ipsi effatus, discessit, et in tugurium suum se abdidit. Nunc autem tempus vocat, o amici, ut ejus quoque mortem admiratione dignissimam, seu somnum potius vobis exponam. Hæc enim non levem etiam vobis præbebit utilitatem. Quinimo, id quod omnibus, quæ prædicta sunt, est excellentius, illa sigillum exstitit et confirmatio intaminatæ conversationis ejus. Dum enim vir magnus sentiret communem adesse horam, et ne post mortem quidem vellet humanum referre honorem, quid facit? Ingressus subter fascem sarmentorum, qui in sacro ejus tugurio erat, ibidem obdormiens, spiritum suum Domino in pace reddidit. Familiares ejus, qui a biduo illum non viderant, dicunt: Eamus, videamus, num forte infirmus sit Salus. Et invenerunt eum jacentem subter fascem sarmentorum, mortuum. Tum dicunt: An jam credent omnes, quod mentis compos iste fuerit? Ecce, ipsa etiam ejus mors ad scalmos (91) est. Et duo quidam tulerunt eum non lotum, sine psalmodia, sine cereis et odoramentis, et abeuntes sepelierunt ipsum in tumulo peregrinorum.

62. His autem, qui eum portabant, et tumulaturi ipsum abierant, progressis ad usque domum cujusdam Hebræi, figuli vitrorum, quem Salus Christianis sacris ascripserat, audit prædictus Hebræus psalmodiam tam concinnam, ut talem labia humana cantare non possint, et turbam tantam, quantam

καὶ δύναμις, φρόντισον τῆς οἰκείας σου ψυχῆς, ἵνα ἀχειμάστως τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ ἀέρος τούτου διαπεράσαι δυνηθῇς. Οἶδεν γὰρ ὁ Κύριος ὅτι πολλὴν μέριμναν καὶ φόβον ἔχω, ἕως οὗ ἀμεριμνήσω ἐξ αὐτῶν. Αὕτη γάρ ἐστι ἡμέρα ἡ πονηρὰ, περὶ ἧς ὁ Ἀπόστολος, καὶ ὁ Δαυὶδ εἶπεν. Διὸ παρακαλῶ σε, τέκνον καὶ ἀδελφὲ Ἰωάννη, πάσῃ σου δυνάμει, εἰ ἔστιν δεκτὸν, ἐλέει, καὶ τὰς ὑπὲρ πάσας ἀρετὰς βοηθῇ ἡμῖν τότε. Φησὶν γὰρ, « Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος· » καὶ μηδέποτε τῷ ἁγίῳ θυσιαστηρίῳ παραστῇ, ἔχων κατά τινος, μή πως ἡ σὴ ἀνομία ἀναξίους ποιήσῃ καὶ ἄλλους τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος.

ξα'. Ταῦτα καὶ ἄλλα δὲ πλεῖστα παρήγγειλεν αὐτῷ, ἐξ ὧν τινα μήτε εἰπεῖν αὐτά ποτέ τινι παρεκέλευσεν διὰ τὸ μὴ πάντας μετὰ πίστεως δέχεσθαι τὰ λεγόμενα. Παρακλήθητι δὲ, ἐπειδὴ διὰ τῶν τριῶν τούτων ἡμερῶν προσλαμβάνεται ὁ Κύριος τὸν Σαλὸν τὸν ἐλάχιστον, καὶ τὸν κῦριν Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ. Καὶ γὰρ ἐγὼ αὐτὸς ἀπελθὼν εἶπον αὐτῷ, ὅτι Ἀδελφὲ, δεῦρο, ἄγωμεν. Καιρός ἐστι λοιπὸν, ἀλλὰ μετὰ δύο ἡμέρας ἐλθὲ εἰς τὸ καλύδιόν μου, καὶ βλέπε εἴ τι εὑρίσκεις. Θέλω ἵνα ἔχῃς μνημόσυνον τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Σαλοῦ. Καὶ ταῦτα καὶ πλείονα τούτων εἰπὼν αὐτῷ, ἀπελθὼν, συνέστειλεν ἑαυτὸν ἐν τῷ καλυδίῳ αὐτοῦ. Νυνὶ δὲ καιρὸς καλεῖ, ὦ φίλοι, καὶ τὸν ἀξιοθαύμαστον αὐτοῦ θάνατον, μᾶλλον δὲ ὕπνον, ὑμῖν διηγήσασθαι. Καὶ γάρ ἐστιν καὶ αὐτὸς οὐ τὴν τυχοῦσαν παρέχων ὠφέλειαν, ἀλλά τε καὶ πάντων τῶν προειρημένων ἐξαιρετώτερον, ὅστις καὶ σφραγὶς καὶ βεβαίωσις τῆς ἀμολύντου αὐτοῦ πολιτείας καθέστηκεν. Αἰσθόμενος γὰρ ὁ μέγας τὴν κοινὴν ὥραν, βουλόμενος μηδὲ κατὰ θάνατον τιμὴν ἀνθρωπείαν ἀπενέγκασθαι, τί ποιεῖ; Εἰσελθὼν ὑποκάτω τοῦ ὄντος φορτίου τῶν κληματιδίων ἐν τῷ καλυδίῳ αὐτοῦ τῷ ἱερῷ, ἐκεῖσε καθεύδων, τῷ Κυρίῳ παρέδωκεν τὸ πνεῦμα ἐν εἰρήνῃ. Οἱ οὖν συνήθεις αὐτοῦ, ὡς οὐκ εἶδον αὐτὸν τὰς δύο ἡμέρας, λέγουσιν· Ἄγωμεν, ἴδωμεν, μή πως ἀσθενεῖ ὁ Σαλός. Καὶ εὗρον αὐτὸν ὑποκάτω κείμενον τοῦ φορτίου τῶν κληματιδίων νεκρόν. Τότε λέγουσιν· Ἆρα ἂν ἄρτι πιστεύσουσιν πάντες, ὅτι παρ' ἑαυτὸν ἦν οὗτος; Ἰδοὺ καὶ αὐτὸς ὁ θάνατος αὐτοῦ κατάσκαλμος. Καὶ βαστάσαντες αὐτὸν δύο τινὲς, χωρὶς τοῦ πλῦναι αὐτὸν, καὶ χωρὶς ψαλμῳδίας, καὶ χωρὶς κηρίων καὶ θυμιαμάτων, ἀπελθόντες ἔθαψαν αὐτὸν εἰς τὸ ξενοτάφιον.

ξβ'. Ὡς οὖν ἀπήρχοντο διά οἴκου τινὸς ἀπὸ Ἑβραίων ὑελεψοῦ, ὄνπερ αὐτὸς ἐποίησεν Χριστιανὸν, ὡς ἀνωτέρω εἰρήκαμεν, οἱ τοῦτον βαστάζοντες, καὶ ἐξερχόμενοι θάψαι αὐτὸν, ἀκούει ὁ εἰρημένος ἀπὸ Ἑβραίων ψαλμῳδίας, οἷον μέλος οὐ δύναται ψάλαι χεῖλος ἀνθρώπων, καὶ πλῆθος ὃ οὐ δύναται συνάξαι

[23] Ephes. v, vi. [24] Psal. xl, 2. [25] Ibid.

NOTÆ.

(91) Græce σκαλμός, *paxillus*, sive *teres lignum, cui alligatur remus*. Derivatur a σκάλλω, *fodio*, quia paxillus cavo quasi infoditur. Hinc facilis notio vocis κατάσκαλμος, pro qua forte legendum κατὰ σκαλμούς.

Digitized by Google

πᾶσα ἡ ἀνθρωπότης. Ἐκπλαγεὶς οὖν ἐκεῖνος ἐπὶ τῷ συντόνῳ καὶ παναρμονίῳ τῆς ἀγγελικῆς ἡδυμελείας ἤχῳ, παρακύπτει καὶ θεωρεῖ τὸν ὅσιον προκομιζόμενον ὑπὸ δύο καὶ μόνον τῶν βασταζόντων αὐτοῦ τὸ τίμιον σῶμα. Τότε εἶπεν ἐκεῖνος ὁ τούτου τοῦ ἀοράτου μέλους ἀκούσας· Μακάριος εἶ, Σαλὲ, ὅτι μὴ ἔχων ἀνθρώπους ψάλλοντάς σοι, ἔχεις οὐρανίους δυνάμεις ἐν ὕμνοις τιμώσας σε· καὶ εὐθέως κατελθὼν, ἰδίαις χερσὶν αὐτὸν ἔθαψεν. Καὶ τότε τὰ ἀκουσθέντα αὐτῷ ᾄσματα τῶν ἀσωμάτων, πᾶσιν ἐξηγήσατο. Ἤκουσεν οὖν τοῦτο καὶ ὁ κῦρις Ἰωάννης ὁ διάκονος, καὶ ἦλθεν δρομαίως μετὰ καὶ ἄλλων πολλῶν εἰς τὸν τόπον, ὅπου ἐτάφη, βουλόμενος ἀνελέσθαι τὸ τίμιον αὐτοῦ λείψανον ἐπὶ τὸ ἐντίμως αὐτὸν κηδεῦσαι. Ὡς οὖν ἤνοιξαν τὸν τάφον, οὐχ εὗρον αὐτό· μετέθηκεν γὰρ αὐτὸν δοξάσας ὁ Κύριος. Τότε ἅπαντες ὥσπερ ἐξ ὕπνου ἀνένηψαν, καὶ ἐξηγοῦντο ἀλλήλοις ὅσα ἐποίησεν ἑνὶ ἑκάστῳ θαυμάσια, καὶ ὅτι διὰ τὸν Θεὸν προσεποιεῖτο τὸν σαλόν.

A humanum genus congregare nequeat. Verum ille perculsus ordinato ac concinno angelicæ harmoniæ sono, incurvans se, videt virum sanctum efferri a duobus duntaxat, qui venerabile ejus corpus portabant. Tunc dixit ille, qui hoc non spectabile melos audierat: Beatus es, Sale, quia, qui non habes homines, qui tibi psallant, habes cœlestes virtutes, hymnis te honorantes, et mox descendens, eum suis manibus sepelivit. Et tunc audita a se cantica angelorum, omnibus narravit. Audivit etiam hoc dominus Joannes diaconus, et curriculo accurrit cum multis aliis ad locum, ubi sepultus erat, volens tollere pretiosum ejus corpus, ut honorifice ei justa persolveret. Aperto itaque sepulcro, illud non invenit; nam Dominus, qui eum glorificabat, transtu- B lerat. Tunc omnes veluti e somno excitati sunt, et narrabant inter se, quænam unicuique fecisset miracula, et quod propter Deum finxisset se stultum.

EPILOGUS.

ξγ'. Οὗτος ὁ βίος καὶ ἡ πολιτεία, ὦ φιλόχριστοι, τοῦ θαυμασίου τούτου Συμεών. Αὗται αἱ αὐτοῦ ἐκ πολλῶν ὀλίγαι συλλεγεῖσαι ἀρεταί. Οὗτος αὐτοῦ ὁ κρυπτὸς ὢν; καὶ οὐράνιος δρόμος, ὁ μηδενὶ μὲν ὁρώμενος, πᾶσιν δὲ ἐξαίφνης εὑρεθεὶς κατάδηλος. Οὗτος ὁ νέος Λὼτ, ὥσπερ ἐν Σοδόμοις ἐκεῖνος, οὕτως ἐν τῷ κόσμῳ οὗτος ἀφανῶς ὑπελθών. Καὶ τὰ μὲν θαυμαστὰ αὐτοῦ, καὶ πολυύμνητα ἔπαθλα, κατά γε τὸ ἡμῖν τοῖς οὐδαμινοῖς ἐγχωροῦν, γραφῇ παραδοῦναι ἐσπουδάκαμεν, εἰ καὶ ἑτέραν πρὸ ταύτης διὰ C συντομίας πεποιήκαμεν, διὰ τὸ μήπω ἐλθεῖν εἰς ἡμετέραν γνῶσιν, τὴν λεπτομέρειαν τοῦ θαυμασίου τούτου διηγήματος. Τὸ δὲ τοῦτον ἐγκωμίοις τιμῆσαι, οὐ τῆς ἡμετέρας γνώσεως καθέστηκεν, ἀλλ' ἐκείνων, οἷς δύναμις πρόσεστι, καὶ τῇ τούτου ἀρετῇ ἀμιλλᾶσθαι. Ποῖος γὰρ λόγος ἐπαινέσειεν τὸν ὑπὲρ λόγον τιμηθέντα· ἢ πῶς σάρκινα χείλη τὸν ἐν σαρκὶ ἄσαρκον ἀναφανέντα; Πῶς δὲ σοφία γλώσσης τὸν πᾶσαν σοφίαν καὶ φρόνησιν τῇ κατὰ Θεὸν μωρίᾳ ἐξαφανίσαντα; Ὄντως ἄνθρωπος εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. Ὄντως οὐχ οὕτως ὄψεται ἄνθρωπος, ὡς ὄψεται Κύριος. Ὄντως οὐδεὶς γινώσκει τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου. Ὄντως μὴ πρὸ καιροῦ τινα κρίνωμεν, ὦ φιλόχριστοι, ἕως ἂν D ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει πάντα. Τίς ἔλεγεν, φιλόχριστοι, τὸν Ἰούδαν μετὰ τῶν μαθητῶν διάγοντα σωματικῶς, μετὰ δὲ τῶν Ἰουδαίων ὑπάρχοντα καρδιακῶς; Τίς ἐν Ἰεριχὼ τὴν Ῥαὰβ ἐν τῷ πορνείῳ οὖσαν σώματι, ἐδόκει ἐν Κυρίῳ τῷ πνεύματι; Τίς τὸν Λάζαρον ἐκεῖνον, τὸν πτωχὸν, ἤλπιζεν ἐν τοιαύτῃ ταλαιπωρίᾳ τῶν ἑλκῶν διατρίβοντα, ἐν τοιαύτῃ εὐημερίᾳ ἐν τῷ τοῦ Ἀβραὰμ κόλπῳ γενέσθαι;

ξδ'. Ταῦτα ἰδόντες, ἀγαπητοὶ, καὶ ἡμεῖς πεισθῶμεν τῷ καλῶς συμβουλεύοντι· Πρόσεχε σεαυτῷ μόνον, καὶ μηδὲ τοῖς σοῖς, μηδὲ τοῖς περὶ σὲ, ἀλλὰ σεαυτῷ μόνον. Διότι ἕκαστος τὸ ἴδιον φορτίον βαστάσει, καὶ

63. Hæc vita est et conversatio, amantes Christi animæ, mirabilis hujus Symeonis. Hæ paucæ sunt ejus, e multis collectæ virtutes. Hic ipsius est vere occultus ac cœlestis cursus, qui a nullo quidem videbatur, sed omnibus repente manifestus innotuit. Novus hic Lot, qui, sicut hic Sodomam, sic ille in mundum clam ingressus est. Ac mirabilia ejus, et celebratissima certamina, quoad per tenuitatem nostram licuit, litteris mandare studuimus: siquidem ante hanc [vitam] aliam compendio conscripsimus, proterea quod necdum nobis innotuerant singulatim apices omnes hujus mirabilis narrationis. Eum vero præconiis celebrare, non est in nostra scientia situm, sed eorum, quibus facultas adest, ut dicendo virtutem ejus exæquent. Quænam autem laudarit illum oratio, qui omni oratione altius est evectus? Aut quomodo illum laudarint labra carnea, qui in carne carnis expers apparuit? Quomodo linguæ sapientia prædicarit illum, qui omnem sapientiam ac prudentiam affectata propter Deum stultitia superavit? Vere in faciem [respicit] homo; Deus autem ad cor. Vere non sicut videbit homo, sic videbit Dominus. Vere nemo novit, quæ sunt hominis, nisi spiritus hominis. Vere ne ante tempus aliquem judicemus, o amantes Christi animæ, donec venerit Dominus, qui omnia illuminabit. Quis dixisset, Judam versari quidem corpore cum discipulis, corde autem esse cum Judæis? Quis Rahab, quæ in Jericho corpore erat in prostibulo, existimasset spiritu esse in Domino? Quis sperasset, mendicum illum Lazarum, in tanta ulcerum miseria degentem, futurum in sinu Abrahæ in tanta felicitate?

64. Hæc videntes, o dilecti, et nos obediamus ei, qui recte consulit: Attende tibi ipsi solum, et neque tuis, neque quæ sunt circa te, sed tibi ipsi solum. Quia unusquisque onus suum portabit, et

Digitized by Google

propriam mercedem accipiet [26] a cœlesti rege Christo [27]; cui gloria et potestas cum Patre et sancto Spiritu in sæcula [28]. Amen. Requievit autem, postquam angelicam et perquam mirabilem egisset vitam, Symeon, dictus propter Christum Salus, mensis Julii die vicesima prima, et in rectis factis secundum Deum admodum coruscavit, et virtutibus in admirationem rapuit ipsas quoque cœlestes spirituum corpore carentium potestates: et perenni solio Dei et Patris luminum astat, ut qui libertatem acceperit, perpetuis illum hymnis celebrandi una cum omnibus cœlestibus virtutibus. Itaque det nobis Dominus habere partem et hæreditatem cum sancto hoc Symeone, et omnibus sanctis, in regno suo, quod senescere non potest. Quia ipsius est gloria in sæcula. Amen.

τὸν ἴδιον μισθὸν λείψεται παρὰ τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἀνεπαύσατο δὲ ὁ τὸν ἀγγελικὸν καὶ ὑπερθαύμαστον βίον πολιτευσάμενος Συμεὼν, ὁ διὰ Χριστὸν κληθεὶς Σαλὸς, μηνὶ Ἰουλίῳ κα', μεγάλως ὑπεραστράψας ἐν τοῖς κατὰ Θεὸν αὐτοῦ κατορθώμασιν, καὶ ἀρεταῖς καταπλήξας καὶ τὰς ὑπερκοσμίους τῶν ἀσωμάτων δυνάμεις, καὶ τῷ ἀστάκτῳ θρόνῳ τοῦ Θεοῦ καὶ Πατρὸς τῶν φώτων παριστάμενος· ὡς παῤῥησίαν εἰληφὼς, ἀκαταπαύστοις ὕμνοις γεραίρει σὺν πάσαις ταῖς οὐρανίοις δυνάμεσιν. Μεθ' οὗ ἡμῖν δοίη ὁ Κύριος ἔχειν μέρος καὶ κλῆρον τοῦ ἁγίου τούτου Συμεὼν μετὰ πάντων τῶν ἁγίων ἐν τῇ ἀῤῥήρῳ αὐτοῦ βασιλείᾳ, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

[26] Galat. VI, 5. [27] I Cor. III, 8. [28] Rom. XVI, 27.

LEONTIUS DAMASCENUS.

Leontius Damascenus, presbyter, numeratur a Montfauconio in Bibl. Coisl. *r.* 412, *inter eos, quorum excerpta Scripturæ, S. Patrum Ecclesiæ, aliorumque, etc., diversa a* Parallelis *Joann. Damasceni, servantur in cod.* Coisl. 294. (FABRIC. *Biblioth. Gr.* ed. Harles, t. VIII, p. 324.)

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

OLYMPIODORUS DIACONUS ALEXANDRINUS.
Notitia. 9
Notitia altera. 9
COMMENTARIUM IN BEATUM JOB. 11
Monitum. 11
Prœmium auctoris. 14
Incipit commentarium. 18
FRAGMENTA IN PROVERBIA SALOMONIS. 470
COMMENTARII IN ECCLESIASTEN. 478
FRAGMENTA IN JEREMIAM. 627
— IN LAMENTATIONES JEREMIÆ. 726
— IN LIBRUM BARUCH. 762
— IN EPISTOLAM JEREMIÆ. 774
— IN LUCAM. 779
HESYCHIUS PRESBYTER HIEROSOLYMITANUS
Notitia. 782
COMMENTARIUS IN LEVITICUM. 787
Præfatio auctoris. 787
Liber primus. 791
Liber secundus. 846
Liber tertius. 903
Liber quartus. 926
Liber quintus. 966
Liber sextus. 1019
Liber septimus.
FRAGMENTA IN PSALMOS. 1179
— IN XII PROPHETAS MINORES. 1339
— IN ISAIAM. 1370
— IN EZECHIELEM. 1386
— IN DANIELEM. 1387
— IN ACTA APOSTOLORUM. 1387
— IN EPISTOLAM I S. JACOBI. 1390
— IN EPISTOLAM I S. PETRI. 1390
— IN EPISTOLAM JUDÆ. 1391
QUÆSTIONES ET SOLUTIONES VARIÆ. 1391
SERMONES. 1450
I. — In Christi Natalem. 1450
II. — De hora qua Dominus dicitur fuisse crucifixus. 1450
III. — De Resurrectione Domini. 1451
IV. — De S. Maria Deipara. 1451
V. — De eadem. 1459
VI. — In Præsentatione Domini. 1467
VII. — Encomium in B. Thomam. 1478
VIII. — In Jacobum fratrem Domini. 1479
DE TEMPERANTIA ET VIRTUTE.
Centuria prima. 1479
Centuria secunda. 1511
MARTYRIUM S. LONGINI CENTURIONIS. 1546
LEONTIUS EPISCOPUS NEAPOLITANUS.
Notitiæ. 1559
Observatio Basnagii de Leontio. 1563
SERMONES. 1566
I. — In Symeonem. 1566
II. — In Mediam Pentecosten. 1582
III. — Contra Judæos. 1598
Vita S. Joannis Eleemosynarii. 1613
Vita S. Symeonis Sali, confessoris. 1669
LEONTIUS DAMASCENUS.
Excerpta. 1747

FINIS TOMI NONAGESIMI TERTII.

Parisiis. — Ex typis L. MIGNE.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google